ΕΥ̓ΕΡΓΕΤΙΝΌΣ

ἤτοι

ΣΥΝΑΓΩΓῊ

ΤΩ͂Ν ΘΕΟΦΘΌΓΓΩΝ ῬΗΜΆΤΩΝ ΚΑΊ ΔΙΔΑΣΚΑΛΙΩ͂Ν

ΤΩ͂Ν ΘΕΟΦΌΡΩΝ ΚΑῚ ἉΓΊΩΝ ΠΑΤΈΡΩΝ:—

Ἀπὸ πάσης Γραφῆς θεοπνεύστου συναθροισθεῖσα

ΟἸΚΕΙΩ͂Σ ΤΕ ΚΑῚ ΠΡΟΣΦΌΡΩΣ ἘΚΤΕΘΕΙ͂ΣΑ ΠΑΡᾺ

ΠΑΎΛΟΥ ΤΟΥ͂ ὉΣΙΩΤΆΤΟΥ ΜΟΝΑΧΟΥ͂

καὶ κτήτορος Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος,

ΚΑΙ ΕΥ̓ΕΡΓΕΤΙΝΟΥ͂ ἘΠΙΚΑΛΟΥΜΈΝΟΥ

Ἐκδιδομένη τὸ πρῶτον μετὰ πλήρους ἑρμηνείας εἰς τὴν ἁπλῆν Ἑλληνικὴν τῶν ἐμπεριεχομένων κειμένων

Εἰκονογραφημένη κατά τήν παράδοσιν

Πεπλουτισμένη διά πλείστων ὑπομνημάτων:



ἜΚΔΟΣΙΣ ἝΚΤΗ

ΤΌΜΟΣ ΠΡΩΤΟΣ

ἐκδίδεται

ἀναλώμασι καὶ ἐπιμελείᾳ

ὑπό τοῦ Ἐπισκόπου Οἰνόης

ΜΑΤΘΑΙΟΥ ΛΑΓΓΗ͂

αϡπε Ἀθῆναι 1985

ΣΥΝΑΓΩΓΗ
ΤΩ͂Ν ΘΕΟΦΘΟ΄ΓΓΩΝ

ῬΗΜΑ΄ΤΩΝ, ΚΑῚ ΔΙΔΑΣΚΑΛΙΩ͂Ν
ΤΩΝ ΘΕΟΦΟ΄ΡΩΝ, ΚΑῚ ἉΓΙ΄ΩΝ

ΠΑΤΕ΄ΡΩΝ.
Ἀπὸ πάσης Γραφῆς Θεοπνεύστου συναθροισθεῖσα

ΟἸΚΕΙ΄ΩΣΤΕ, ΚΑῚ ΠΡΟΣΦΟ΄ΡΩΣ ἘΚΤΕΘΕΙ͂ΣΑ ΠΑΡΑ΄

ΠΑΥ΄ΛΟΥ
ΤΟΥ͂ ὉΣΙΩΤΑ΄ΤΟΥ ΜΟΝΑΧΟΥ͂,

Καὶ Κτήτορος Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου
τῆς Εὐεργέτιδος,
ΚΑῚ ΕΥ̓ΕΡΓΕΤΙΝΟΥ͂ ἘΠΙΚΑΛΟΥΜΕ΄ΝΟΥ

ἫΤΙΣ ΛΗΦΘΕΙ͂ΣΑ
Ἐκ τῆς Βιβλιοθήκης τῆς ἐν τῷ Ἁγιωνύμῳ Ὄρει Ἱερᾶς, Βασιλικῆς τε,
καὶ Πατριαρχικῆς Μονῆς τοῦ Κουτλουμούση ἐπονομαζομένης.

ΝΥ͂Ν ΠΡΩ͂ΤΟΝ ΤΥ΄ΠΟΙΣ ἘΞΕΔΟ΄ΘΗ
ΔΙΑ΄ ΔΑΠΑ΄ΝΗΣ

ΤΟΥ͂ ΤΙΜΙΩΤΑ΄ΤΟΥ, ΚΑῚ ΕΥ̓ΓΕΝΕΣΤΑ΄ΤΟΥ ΚΥΡΙ΄ΟΥ ΚΥΡΙ΄ΟΥ

ἸΩΑ΄ΝΝΟΥ ΚΑΝΝΑ͂·
ΠΡῸΣ ὨΦΕ΄ΛΕΙΑΝ ΤΩ͂Ν ἘΝΤΥΓΧΑΝΟ΄ΝΤΩΝ.



αψπγ. ἘΝΕΤΙ΄ΗΣΙ, 1783.
ΠΑΡᾺ ἈΝΤΩΝΙ΄Ω, ΤΩ͂ ΒΟ΄ΡΤΟΛΙ.

CON LICENZA DE' SUPERIORI, E PRIVILEGIO.

Τὸ ἐξώφυλλον τῆς α΄ ἐκδόσεως :—



ΕΙC

Τοὺς οὐρανώσαντας τὴν γῆν
διὰ τῆς σκληρᾶς αὐτῶν ἀσκήσεως
καὶ γεωργήσαντας διὰ τῶν δακρύων τὸ ἄγονον τῆς ἐρήμου
Πάντας τοὺς ἐν ἀσκήσει λάμψαντας
Ἁγιωτάτους Πατέρας καὶ ἐπιγείους ἀγγέλους
εἰς οὓς πολλὰ ἡ Ἐκκλησία ὀφείλει
καὶ ὧν τὰ ἔργα ταύτην ἐκόσμησαν
τήνδε τὴν βίβλον
ἐρανισθεῖσαν ἐκ τῶν ὑπερκοσμίων ψιθύρων
τῆς ἑαυτῶν χριστοκινήτου καρδίας
εὐλαβῶς ἀνατίθεμεν
ἐπικαλούμενοι ἅμα τὰς πολυτιμήτους τούτων εὐχὰς
πρὸς τὸν πανοικτίρμονα Κύριον
ἵνα τύχωμεν τῆς ψυχικῆς σωτηρίας

ὁ ἐκδότης







ΞΑΝΤΛΗΘΕΙΣΗΣ πρὸ πολλοῦ ἤδη χρόνου τῆς πέμπτης ἐκδόσεως τοῦ «Εὐεργετινοῦ», προβαίνομεν ἤδη εἰς τὴν παροῦσαν ἕκτην ἔκδοσιν, ἐν τῇ πεποιθήσει ὅτι ἡ ἀνάγνωσις καὶ μελέτη βιβλίων μὲ περιεχόμενον ὡς τὸ τῆς παρούσης βίβλου προσφέρουν μεγίστην ψυχικὴν καὶ πνευματικὴν ὠφέλειαν εἰς τοὺς ἀναγνώστας αὐτῶν.

Εὐχαριστοῦμεν καὶ νῦν καὶ πάντοτε τῷ Θεῷ, ὅτι ἐν τῇ ἀμέτρῳ σοφίᾳ καὶ φιλανθρωπίᾳ αὐτοῦ ἐνισχύει τὴν ἀδυναμίαν ἡμῶν καὶ χάριτι θείᾳ ἐκ τοῦ ἡμετέρου ἐκδοτικοῦ οἴκου τῆς Ἱερᾶς καὶ Σεβασμίας Δεσποτικῆς Μονῆς τῆς Μεταμορφώσεως τοῦ Σωτῆρος ἔχουν προέλθει μέχρι τοῦδε εἰς φῶς πλεῖστα ἠθικοῦ καὶ θρησκευτικοῦ περιεχομένου βιβλία, διὰ τῆς ἀναγνώσεως τῶν ὁποίων ὡς διὰ λύχνου φωτεινοῦ καθίσταται δυνατὴ ἡ ἀσφαλὴς ἐν δικαιοσύνῃ καὶ ἀγάπῃ καὶ θεοσεβείᾳ πορεία εἰς τὴν παροῦσαν σκοτεινήν, πολυτάραχον καὶ ὑλόφρονα ἐποχήν μας.

Οὕτω πλὴν τοῦ σπουδαιοτάτου ἔργου «Ὁ Μέγας Συναξαριστὴς τῆς Ὀρθοδόξου Ἐκκλησίας», ἀποτελεσθέντος ἐκ τόμων δέκα τεσσάρων, ἐξεδόθησαν καὶ πλεῖστα ἄλλα ἔργα, ἐν οἷς ὁ «Εὐεργετινὸς» εἰς τόμους τέσσαρας, «Ἐκλογαὶ καὶ Ἀπανθίσματα» ἐκ τῶν λόγων τοῦ ἐν Ἁγίοις Πατρὸς Ἰωάννου τοῦ Χρυσοστόμου, εἰς τόμον ἕνα, τὸ «Κυριακοδρόμιον» τοῦ ἀειμνήστου Μητροπολίτου Ἀστραχανίου καὶ Σταυρουπόλεως Νικηφόρου τοῦ Θεοτόκη, εἰς τόμους τέσσαρας, τὸ «Ἱερὸν Εὐαγγέλιον» κατ' ἀνατύπωσιν τῆς ἐν Βενετίᾳ ἐκδόσεως τοῦ 1851, ἡ «Κλῖμαξ» τοῦ Ἰωάννου τῆς Κλίμακος (τοῦ Σιναΐτου) καὶ πλεῖστα ἄλλα μικρότερα ἐκκλησιαστικὰ καὶ θρησκευτικὰ βιβλία καὶ περιοδικά.

Δοκιμάζομεν μεγίστην ἠθικὴν καὶ ψυχικὴν ἱκανοποίησιν, διότι πᾶσαι αἱ ἐκδόσεις αὗται ἔτυχον εὐμενοῦς ὑποδοχῆς ὑπὸ τῶν εὐσεβῶν χριστιανῶν, ὥστε πολλαὶ τούτων ἐπανειλημμένως ἐξηντλήθησαν καὶ ἐπανειλημμένως ἀνετυπώθησαν. Τοῦτο μαρτυρεῖ ἀναντιρρήτως, παρὰ τὰ ἀβασανίστως πιστευόμενα καὶ ἐνίοτε παρά τινων κομπορρημόνων δοκησισόφων διακηρυττόμενα, ὅτι ὁ Ἑλληνικὸς λαὸς εἰς τὴν μεγίστην πλειονότητα αὐτοῦ ἐξακολουθεῖ νὰ παραμένῃ πιστὸς εἰς τὰς θρησκευτικὰς παραδόσεις του καὶ τὴν Ὀρθόδοξον Ἐκκλησίαν, ὑπὸ τὴν σκέπην τῆς ὁποίας κατώρθωσε νὰ ἐπιζήσῃ

παρὰ τὰς μεγάλας περιπετείας, τὰς ὁποίας ἐδοκίμασε κατὰ τὴν μακραίωνα ἱστορίαν του.

Ταῦτα πάντα σὺν τοῖς ἄλλοις ἀνακουφίζουν καὶ τὴν θλῖψιν, ἥτις συνέχει τὴν καρδίαν μας διὰ τὴν ἀπώλειαν τοῦ ἀειμνήστου Γέροντος ἡμῶν Καθηγουμένου Βίκτωρος, τὸν ὁποῖον ὁ Κύριος, ἐν ταῖς ἀνεξιχνιάστοις βουλαῖς Αὐτοῦ προσελάβετο ἐκ τῆς παρούσης ζωῆς. Τούτου τοῦ πνευματικοῦ πατρὸς ἡμῶν ἦτο ἡ ἰδέα τῆς ἐκδόσεως ψυχωφελῶν βιβλίων διὰ τὴν ψυχικὴν καὶ πνευματικὴν προαγωγὴν τοῦ Χριστεπωνύμου πληρώματος καὶ εἰς αὐτὸν ὀφείλεται ἡ πραγματοποίησίς της. Ἡμεῖς συνεχίζομεν τὸ ἔργον, τὸ ὁποῖον ἐκεῖνος ἐθεμελίωσε καὶ ἐλπίζομεν ὅτι ὁ Πανάγαθος Θεὸς ἐν τῇ ἀγαθότητι Αὐτοῦ θὰ παράσχῃ καὶ εἰς ἡμᾶς τὴν βοήθειάν Του, ἄνευ τῆς ὁποίας ὁ ἄνθρωπος μόνος οὐδὲν δύναται νὰ κατορθώσῃ.

Ἡ παροῦσα ἕκτη ἔκδοσις τοῦ «Εὐεργετινοῦ» διαφέρει τῆς πέμπτης κατὰ τὸ ὅτι εἰς μὲν τὴν τελευταίαν ταύτην (τὴν πέμπτην) περιείχετο μόνον τὸ ἀρχαῖον κείμενον μετὰ πολλῶν ὅμως ἐν περιθωρίῳ ἑρμηνευτικῶν σημειώσεων, εἰς δὲ τὴν παροῦσαν (ἕκτην) παρατίθεται τὸ κείμενον καὶ ἐν συνεχείᾳ πλήρης ἑρμηνεία αὐτοῦ εἰς τὴν καθομιλουμένην γλῶσσαν. Τοῦτο ἐκρίθη προτιμότερον, ἐπειδὴ μεταξὺ τοῦ πλήθους τῶν ἀναγνωστῶν τοῦ ψυχωφελεστάτου τούτου βιβλίου ἀσφαλῶς θὰ ὑπῆρχον καὶ πολλοί, διὰ τοὺς ὁποίους θὰ ἦτο δύσκολον νὰ κατανοήσωσι πλήρως τὸ κείμενον εἰς τὸ πρωτότυπον, μὲ μόνην βοήθειαν τὰς ἐν περιθωρίῳ ἑρμηνευτικὰς σημειώσεις καὶ νὰ σβέσωσι τὴν δίψαν τῆς ψυχῆς των εἰς τὰ ζωήρυτα νάματα τῶν πατερικῶν ἀποφθεγμάτων καὶ διδασκαλιῶν. Καὶ τοῦτο ἐπράξαμεν παρὰ τοὺς ἀπαιτουμένους κόπους καὶ δαπάνας, ἐν τῇ ἐπιθυμίᾳ μας νὰ καταστήσωμεν τὸ ἔργον τοῦτο εὐχάριστον καὶ ψυχωφελὲς ἀνάγνωσμα διὰ τὸ πλῆθος τῶν εὐσεβῶν ἀναγνωστῶν μας.

Εὐχόμενοι ὅπως ὁ Κύριος παρέχῃ τὴν βοήθειάν Του εἰς πάντας τοὺς ἐπικαλουμένους Αὐτόν, ἐπικαλούμεθα καὶ ἡμεῖς αὐτήν, ἵνα δυνηθῶμεν νὰ συνεχίσωμεν τὸ ἔργον, τὸ ὁποῖον ἐσχεδίασε καὶ ἐπραγματοποίησεν ὁ ἀείμνηστος Γέρων ἡμῶν, εἰς μνημόσυνον τοῦ ὁποίου παραθέτομεν ἐν συνεχείᾳ τὸν ὑπ' ἐκείνου συγγραφέντα πρόλογον τῆς πέμπτης ἐκδόσεως, εἰς τὸν ὁποῖον ἐκθέτει ἐν πλάτει τὰς σκέψεις αἵτινες τὸν ὤθησαν εἰς τὴν ἔκδοσιν τοῦ «Εὐεργετινοῦ».

Νῦν δέ, εὐσεβεῖς ἀναγνῶσται, εὔξασθε καὶ ὑπὲρ ἡμῶν τῶν ταπεινῶν ἐργατῶν τοῦ ἀμπελῶνος Κυρίου, Ματθαίου Ἐπισκόπου καὶ Ἠλία Μοναχοῦ, τῶν ἀπ' ἀρχῆς τοῦ ἐκδοτικοῦ τούτου ἔργου μοχθούντων καὶ διὰ τὴν βοηθείᾳ Θεοῦ αἰσίαν ἀποπεράτωσιν αὐτοῦ κοπιώντων, ὡς καὶ διὰ τὴν κατευόδωσιν τῆς συνεχιζομένης πνευματικῆς ταύτης προσφορᾶς.

Ἐν τῇ Ἱερᾷ Μονῇ Μεταμορφώσεως Κουβαρᾶ Ἀττικῆς

Τῇ 1ῃ Νοεμβρίου 1983

† Ὁ Οἰνόης ΜΑΤΘΑΙΟΣ



ΠΡΟΛΟΓΟΣ



ΜΕΣΑ εἰς τὸν θόρυβον τῆς κοσμικῆς ματαιότητος καὶ εἰς τὸν ἐπικίνδυνον στροβιλισμὸν τῆς ὑλόφρονος ἐποχῆς μας ὑψοῦται ὡς παρήγορος φάρος, ὡς ἀμετάθετος κυματοθραύστης, τὸ ὠφέλιμον βιβλίον. Ὠφέλιμον ὄχι ἀπὸ τῆς ἀπόψεως τοῦ πλουτισμοῦ τῶν γνώσεων τῆς ἀκορέστου εἰς τὸ μανθάνειν διανοίας, ἀλλ' ἀπὸ τῆς ἀπόψεως τῆς ἀνακουφίσεως, τὴν ὁποίαν φέρει εἰς τὴν βεβαρημένην καὶ κατάκοπον ἀπὸ φροντίδας καὶ μερίμνας ψυχὴν τοῦ ἀνθρώπου τῆς ἐποχῆς μας· ὠφέλιμον, διότι διαλύει τὴν πυκνὴν ὁμίχλην τοῦ κοσμικοῦ ψεύδους καὶ ὑποδεικνύει εἰς τὴν ψυχὴν τὸ ὄντως ὄν, τὸ ἀεὶ ὑπάρχον, τὸ μετὰ βεβαιότητος ἐσόμενον, τὴν τοῦ πνεύματος αἰωνιότητα. Καὶ τὸ βιβλίον αὐτὸ δὲν εἶναι καρπὸς πολυγράφου ὀξυγράφου καλάμου ἐπιστήμονος ἢ κατὰ κόσμον σοφοῦ, φέροντος νωπὰς τὰς σφραγῖδας ἀνωτάτων ἱδρυμάτων, ἀλλ' εἶναι πάντοτε τὸ περίσσευμα εὐσεβοῦς καρδίας, τὸ νέκταρ πνευματικῆς συγκομιδῆς, τὸ συμπεπυκνωμένον ἄρωμα τῶν ἀειθαλῶν τῆς ἀρετῆς ἀνθέων, ἅτινα φύονται εἰς καρδίας, αἵτινες ἐγνώρισαν τὸν Κύριον τῆς Δόξης καὶ προσωμίλησαν μὲ Αὐτὸν ὡς ἐνώπιος ἐνωπίῳ.

Διὰ νὰ ὑπάρχῃ ὅμως τὸ τοιοῦτον βιβλίον καὶ νὰ καθίσταται τοῦτο προσιτὸν εἰς τὰς εὐγενεῖς ψυχάς, αἵτινες μετὰ θερμῆς καρδίας τὸ ἀναζητοῦσι, πρέπει οἱ ἐπιφορτισμένοι μὲ τὴν θείαν ἀποστολὴν τῆς κατὰ Χριστὸν ἠθικῆς διαπαιδαγωγήσεως τῶν εὐσεβῶν χριστιανῶν νὰ καταβάλλωσι πᾶσαν αὐτῶν τὴν σπουδὴν καὶ τὴν μέριμναν, ὅπως ἔλθωσιν εἰς φῶς οἱ κεκρυμμένοι θησαυροί, οἱ κληροδοτηθέντες εἰς τὸ ἡμέτερον γένος ὑπὸ τῶν θεοφόρων Ἁγίων Πατέρων ἡμῶν καὶ τεθῶσι πάλιν ἐπὶ τὴν λυχνίαν οἱ ἀειλαμπεῖς αὐτοὶ φάροι, οἵτινες ἐπὶ γενεὰς γενεῶν τοσαύτας ψυχὰς κατεφώτισαν καὶ καθωδήγησαν αὐτὰς εἰς τὰ ὑπερκόσμια σκηνώματα, εἰς τὰς αὐλὰς τοῦ Κυρίου.

Τὸ ἔργον τοῦτο εἶναι τὸ κατ' ἐξοχὴν ἐμπεπιστευμένον εἰς τοὺς διαφόρους ἐπὶ μέρους ἐκκλησιαστικοὺς ὀργανισμοὺς καὶ μάλιστα εἰς τὰς Ἱερὰς Μονάς, αἵτινες διαθέτουσιν ἄφθονα τὰ πνευματικὰ ἐφόδια καὶ ἰσχυρὰ τὰ ὑλικὰ μέσα διὰ τὴν ἐπίτευξιν τοῦ ἱεροῦ τούτου σκοποῦ, ἵνα ὡς καλοὶ δοῦλοι πολλαπλασιάσωσι τὸ ἐμπιστευθὲν αὐτοῖς παρὰ τοῦ Κυρίου τάλαντον καὶ μὴ κατακριθῶσιν ὡς ὁ ὀκνηρὸς δοῦλος, ὅστις λαβὼν τὸ ἀργύριον ὤρυξε λάκκον καὶ κατέκρυψεν αὐτὸ (Ματθ. ΚΕ' 14—30).

Βαρυτάτη εἶναι ἡ εὐθύνη τῶν δυνάμεων νὰ προσφέρουν καὶ μικρὰς ἔστω διὰ τοῦ ἔργου τούτου ὑπηρεσίας καὶ ἀμελούντων, διότι βαρείας ἐπιφέρει φθορὰς ἐπὶ τοῦ χριστεπωνύμου πληρώματος ἡ καθ' ἡμέραν αὐξανομένη διάδοσις τῶν ἐπιβλαβῶν ἀναγνωσμάτων τῆς ἐλαφρᾶς φιλολογίας καὶ τῶν ποικιλωνύμων αἱρετικῶν δοξασιῶν, ἅτινα ἐκφυτρώνουσιν ὡς ἄκανθαι καὶ τρίβολοι ἐν τῇ νοητῇ ἀρούρᾳ τῆς ἐκκλησίας καὶ ἀπειλοῦν νὰ καταπνίξουν καὶ αὐτὸν τὸν ἐναπομείναντα ὀλίγον καλὸν σῖτον.

Ταῦτα ἔχοντες καὶ ἡμεῖς πρὸ ὀφθαλμῶν καὶ παρὰ τὸ γεγονός, ὅτι ἡ Ἱερὰ Μονή, καὶ συνεπῶς καὶ ἡμεῖς, στερούμεθα παντελῶς τῶν πνευματικῶν καὶ ὑλικῶν ἐκείνων δυνατοτήτων, αἵτινες ἀπαιτοῦνται διὰ μίαν τοιαύτην ἐξόρμησιν, ὅμως ὡς ταπεινοὶ καὶ ἐλάχιστοι στρατιῶται τοῦ ὡραίου καὶ ἀγγελικοῦ τάγματος τῶν Μοναχῶν ἐθεωρήσαμεν καθῆκον ἡμῶν ἐπιβεβλημένον νὰ χωρήσωμεν ἐπὶ τὸ ἔργον τοῦτο καὶ ἐπικαλούμενοι ὡς μόνον προσὸν τὴν πανσθενουργὸν τοῦ Κυρίου βοήθειαν, νὰ προσφέρωμεν καὶ ἡμεῖς τὸν ὀβολὸν τῆς χήρας.

Καὶ πράγματι· δεδοξασμένον τὸ ὄνομα τοῦ Κυρίου τῆς δόξης, ὅτι δὲν παρεῖδε τὴν προσπάθειαν ἡμῶν ταύτην, ἀλλὰ καὶ ἡμᾶς τοὺς ἀδυνάτους ἐνίσχυσε καὶ τὴν Ἱερὰν ἡμῶν Μονὴν ὁρμητήριον ἀνέδειξε τοῦ ὡραίου ἀγῶνος, διὰ τὴν ἀποκάλυψιν τῶν κατακεκρυμμένων πνευματικῶν θησαυρῶν καὶ πολλοὺς ἄλλους εὕρομεν συνοδίτας. Καὶ διάφοροι ἄλλοι ἐκδοτικοὶ ὀργανισμοὶ συνεστήθησαν ἐκκλησιαστικοί τε καὶ ἰδιωτικοὶ πρὸς ἐπίτευξιν τοῦ ἐπιδιωκομένου.

Ἐκ τοῦ ἡμετέρου Ἐκδοτικοῦ Οἴκου τῆς Ἱερᾶς καὶ Σεβασμίας Δεσποτικῆς Μονῆς Μεταμορφώσεως τοῦ Σωτῆρος, λειτουργοῦντος τῇ εὐλογίᾳ τῆς Μητρὸς ἡμῶν Ἐκκλησίας ἐπὶ τριακονταετίαν, βοηθείᾳ Θεοῦ προῆλθεν εἰς φῶς ἄχρι τοῦ νῦν, ἐκτὸς τῶν ἄλλων μικροτέρων ἐκδόσεων ἐκκλησιαστικῶν βοηθημάτων καὶ περιοδικῶν, καὶ ὁλόκληρος ἡ σειρὰ τοῦ ὀγκώδους ἔργου τῶν κατὰ πλάτος Συναξαρίων τῶν κινητῶν καὶ ἀκινήτων ἑορτῶν δεσποτικῶν, θεομητορικῶν καὶ ἁγίων ὑπὸ τὸν τίτλον «Ὁ Μέγας Συναξαριστὴς τῆς Ὀρθοδόξου Ἐκκλησίας» συγκειμένη ἐκ τόμων δέκα τεσσάρων.

Ἡ πρόθυμος καὶ εὐγενὴς ὑποδοχὴ τῶν ἔργων ἐκείνων ὑπὸ τῶν εὐσεβῶν Χριστιανῶν καὶ ἡ ἐξάντλησις μάλιστα τῶν ἐκδοθέντων πρώτων τόμων μᾶς ἔδωσαν τὸ θάρρος νὰ ἀποδυθῶμεν εἰς ἕτερον σοβαρὸν ἀγῶνα διὰ τὴν ἀναστήλωσιν καὶ ἑτέρου πατερικοῦ θησαυροῦ, ἀνταξίου τοῦ προηγουμένου· εἶναι δὲ οὗτος τὸ ἀνὰ χεῖρας περιφημότατον βιβλίον, ὅπερ ἀνεσύραμεν ἀπὸ τὴν κόνιν τοῦ παρελθόντος καὶ τὸ ὁποῖον κατακοσμήσαντες ἐπαξίως διὰ μιᾶς πολυτελοῦς καὶ σεμνῆς ἐμφανίσεως κατὰ τὰ πρότυπα τῶν ἀρχαίων καλλιτεχνικῶν χειρογράφων, παρουσιάζομεν εἰς τοὺς φιλευσεβεῖς ἀναγνώστας μὲ τὴν βεβαιότητα, ὅτι προσφέρομεν εἰς τὰς διψώσας ψυχάς των ὕδωρ διαυγὲς καὶ κρυστάλλινον, ὅπερ ἀναβλύζει ἀπὸ τὰς πολυχεύμονας πηγὰς τοῦ Ὀρθοδόξου Ἀσκητισμοῦ τῆς Ἀνατολῆς. Καὶ τὸ βιβλίον αὐτό, τὸ ὁποῖον μέχρι τινὸς ἀνεπαύετο εἰς τὰς βιβλιοθήκας τῶν ἱερῶν Μονῶν, ὄχι ὅλων, δυσπρόσιτον ὡς ἐκ τούτου καὶ ἀθέατον τοῖς πολλοῖς, εἶναι ὁ «ΕΥΕΡΓΕΤΙΝΟΣ» ἢ κατὰ τὸν πλήρη αὐτοῦ τίτλον: «ΣΥΝΑΓΩΓΗ ΤΩΝ ΘΕΟΦΘΟΓΓΩΝ ΡΗΜΑΤΩΝ ΚΑΙ ΔΙΔΑΣΚΑΛΙΩΝ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΑΠΟ ΠΑΣΗΣ ΓΡΑΦΗΣ ΘΕΟΠΝΕΥΣΤΟΥ ΣΥΝΑΘΡΟΙΣΘΕΙΣΑ» «Οἰκείως τε καὶ προσφόρως ἐκτεθεῖσα παρὰ ΠΑΥΛΟΥ τοῦ Ὁσιωτάτου Μοναχοῦ καὶ Κτήτορος τῆς Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος καὶ ΕΥΕΡΓΕΤΙΝΟΥ ἐπικαλουμένου».

Τὸ παμπόθητον καὶ ἀναγωγικὸν πρὸς τὴν ὑψίστην ἀλήθειαν βιβλίον αὐτὸ δὲν περιέχει λόγους σχοινοτενεῖς, δυσπροσίτους εἰς τοὺς πολλούς, ἀλλ' εἶναι μία πάντερπνος ἀνθοδέσμη ἐκ μικρῶν αὐτοτελῶν διηγήσεων, τὰς ὁποίας συνέλεξεν ὁ Μακάριος Παῦλος, μοναχὸς τῆς Μονῆς τῆς Θεοτόκου τῆς Εὐεργέτιδος, ἐξ οὗ καὶ ὁ καθιερωθεὶς τίτλος τοῦ βιβλίου «ΕΥΕΡΓΕΤΙΝΟΣ».

Κύριος σκοπὸς τοῦ ἀνὰ χεῖρας βιβλίου εἶναι ἡ καταπολέμησις τῆς παντοειδοῦς ἁμαρτίας, ἡ ἀπὸ τοῦ ταλαιπωρουμένου ἀνθρώπου ἀποβολὴ τῶν ποικιλωνύμων ψυχοφθόρων παθῶν, τὰ ὁποῖα ὡς κακαὶ ἐρινύες καταβασανίζουν αὐτὸν ψυχῇ τε καὶ σώματι καὶ ἡ ἀνύψωσις αὐτοῦ ἀπὸ τὰ ταπεινὰ καὶ χαμερπῆ εἰς τὰ ὑψηλὰ καὶ ὑπερκόσμια, εἰς τὰ πανευφρόσυνα καὶ ἀθάνατα.

Τὸ θέμα τοῦτο δὲν εἶναι ἁπλοῦν· οὔτε δύναταί τις νὰ ἀντιπαρέλθῃ αὐτὸ ἐπιτροχάδην, ἀλλ' εἶναι τὸ μᾶλλον σπουδαιότερον καὶ πλέον πολυσύνθετον καὶ πολυπλοκώτατον, διότι δι' αὐτὸν τὸν σκοπὸν ἐπλάσθη ὁ ἄνθρωπος, διὰ τοῦτο ἡ ἔνσαρκος τοῦ Κυρίου οἰκονομία, διὰ τοῦτο οἱ ποταμοὶ τῶν μαρτυρικῶν αἱμάτων· εἰς τὸν σκοπὸν αὐτὸν ἀποβλέποντες οἱ Ἀπόστολοι ἐκήρυξαν, οἱ μάρτυρες ὡμολόγησαν, οἱ Πατέρες ἠγωνίσθησαν εἰς τὰ σπήλαια καὶ τὰς ὀπὰς τῆς γῆς καὶ ἑνὶ λόγῳ πάντες οἱ θέλοντες σωθῆναι εἰς τοῦτο καὶ μόνον ἀπέβλεψαν καὶ εἰς αὐτὸ καὶ μόνον τὸ τέλος δέον καὶ ἡμεῖς καὶ οἱ μεθ' ἡμᾶς ἐσόμενοι νὰ ἀποβλέπωμεν.

Εἰς τὸν κεντρικὸν τοῦτον σκοπὸν καὶ ὁ Μακάριος Παῦλος ἀποβλέπων καὶ ἐπιθυμῶν νὰ παράσχῃ εἰς τὴν ἀγωνιζομένην κατὰ τοῦ κακοῦ ἀνθρωπότητα ἕνα πλήρη καὶ ἀπλανῆ ὁδηγὸν σωτηρίας, ἐσταχυολόγησεν ὅ,τι τὸ χρησιμώτερον πρὸς τοῦτο ἀπὸ τοὺς πατερικοὺς θησαυρούς, ὅπερ καὶ παρέθηκεν εἰς ἰδίαν βίβλον. Ἐν ταύτῃ καταμερίσας μεθοδικώτατα τὰ προσβάλλοντα τὸν ἄνθρωπον πάθη, κατένειμεν ταῦτα εἰς διακοσίας περιπτώσεις, ἃς καὶ ὠνόμασεν Ὑποθέσεις. Ἑκάστη Ὑπόθεσις πραγματεύεται περὶ τοῦ τρόπου καταπολεμήσεως ἑκάστου πάθους καὶ τῆς ἀποκτήσεως τῆς ἀντιστοίχου ἀρετῆς. Τὴν βίβλον του ταύτην ὁ Μακάριος Παῦλος διήρεσεν εἰς τέσσαρα βιβλία, ἕκαστον τῶν ὁποίων περιλαμβάνει πεντήκοντα Ὑποθέσεις.

Ἡ ἐφ' ἑκάστης Ὑποθέσεως πραγματεία περιλαμβάνει αὐτουσίας γνώμας, σκέψεις, διδασκαλίας, παραδείγματα καὶ διηγήσεις, σχετικὰς μὲ τὸ θέμα τῆς προκειμένης Ὑποθέσεως, μεγάλων Πατέρων τοῦ Ἀσκητισμοῦ ὅπως τοῦ Ἀντωνίου τοῦ Μεγάλου, Παχωμίου τοῦ Μεγάλου, Εὐθυμίου τοῦ Μεγάλου, Θεοδοσίου τοῦ Κοινοβιάρχου, Μάρκου τοῦ Ἀσκητοῦ καὶ τῆς λοιπῆς τῶν μακαρίων ἐκείνων χορείας τῶν ἀκμασάντων εἰς τὰ τότε ὑπάρχοντα ἀσκητικὰ κέντρα τῆς Θηβαΐδος, τῆς Νιτρίας, τῆς Ταβέννης καὶ ἄλλων, διασωθεῖσας καὶ παραδοθεῖσας ὑπὸ αὐτοπτῶν καὶ αὐτηκόων συγγραφέων καὶ μεγάλων ἐπίσης ἀσκητῶν, ὅπως τοῦ Ἐφραὶμ τοῦ Σύρου, τοῦ Παλλαδίου μαθητοῦ τοῦ Ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ Ἀββᾶ Ἠσαΐα τοῦ Ἀναχωρητοῦ, τοῦ Γρηγορίου τοῦ Διαλόγου, τοῦ Ὁσίου Κασσιανοῦ, τοῦ Ὁσίου Βαρσανουφίου, τοῦ Ἀντιόχου, τοῦ Ἰσαὰκ τοῦ Σύρου, τῆς Ἁγίας Συγκλητικῆς καὶ ἄλλων μυριπνόων ἀνθέων τοῦ Παραδείσου.

Αὐτὸς ὁ τρόπος οἰκονομίας τῆς ὕλης δίδει ἰδιαιτέραν χάριν εἰς τὸ βιβλίον, τὸ καθιστᾷ εὐανάγνωστον καὶ πρὸ παντὸς πρακτικῶς ὠφέλιμον. Δὲν ἔχει τὸν μονότονον χαρακτῆρα μιᾶς θεωρητικῆς μελέτης, ἀλλὰ τὴν ἄνεσιν μιᾶς φιλικῆς συνομιλίας. «Εἰπὲ γέρων· αὕτη ἡ φωνὴ βοᾷ πρὸς τὸν ἄνθρωπον ἕως ἐσχάτης ἀναπνοῆς, ὅτι σήμερον ἐπίστρεψον». «Ἀδελφὸς ἠρώτησε γέροντα λέγων...». «Εἶπεν ὁ Ἀββᾶς Ποιμὴν περὶ τοῦ Ἀββᾶ Ἰσιδώρου...»

«Ἔλεγον οἱ Γέροντες· παιδεύσατε τὰ παιδία, ἀδελφοί, ἵνα μὴ παιδεύσωσιν ὑμᾶς αὐτά». «Διηγήσαντο οἱ Πατέρες πρᾶγμα τοιοῦτον...».

Τὸ βιβλίον τοῦτο ὑπὸ τὴν διάταξιν αὐτὴν ἀνεπαύετο εἰς τὰ χειρόγραφα τῆς Ἱερᾶς Ἀθωϊκῆς Μονῆς τοῦ Κουτλουμουσίου. Διὰ πρώτην φορὰν βλέπει τὸ φῶς τῆς δημοσιότητος καὶ τίθεται ὡς λύχνος ἐπὶ τὴν λυχνίαν τὸ 1783 εἰς Βενετίαν, ἐκτυπωθὲν ἐν τῷ τυπογραφείῳ Ἀντωνίου Βόρτολι διὰ χορηγίας τοῦ εὐσεβεστάτου καὶ εὐγενεστάτου κυρίου Ἰωάννου Καννᾶ.

Τὸ δεύτερον ἐξεδόθη, τῇ αἰτήσει καὶ γενναίᾳ συνδρομῇ τῶν ἐν τῷ Ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθω Ὁσίων Πατέρων, εἰς Κωνσταντινούπολιν, ὑπὸ τῶν Κ. καὶ Λ. Υἱῶν Θ. Φωκαέως. Ἐν συνεχείᾳ ἐγένοντο δύο εἰσέτι ἐκδόσεις ἐν Ἀθήναις κατὰ τὰ ἔτη 1900 καὶ 1901, ἡ μὲν μία ὑπὸ Δημητρίου Γ. Τάκου, ἡ δὲ ἑτέρα ὑπὸ Ἀντωνίου Στ. Γεωργίου. Δι' ἄγνωστα εἰς ἡμᾶς αἴτια καὶ αἱ δύο αὐταὶ ἐκδόσεις χαρακτηρίζονται ὑπὸ τῶν ἐκδοτῶν των ἑκάστη ὡς «Τρίτη ἔκδοσις». Δὲν ἀποκλείεται λόγῳ τῆς ταυτοχρόνου σχεδὸν συνεκδόσεως νὰ μὴ εἶχεν ὁ εἷς ἐκδότης ὑπ' ὄψιν τὸν ἕτερον ἢ ἕκαστος τῶν ἐκδοτῶν νὰ ἐφιλοδόξει δι' ἑαυτὸν τὰ τριτεῖα. Πάντως ἡμεῖς βάσει τῆς ἀναγραφομένης εἰς ἑκάστην ἔκδοσιν χρονολογίας, τὴν μὲν ἔκδοσιν τοῦ Δημητρίου Γ. Τάκου χαρακτηρίζομεν ὡς καλῶς τιτλοφορουμένην «Τρίτην», τὴν δὲ ἔκδοσιν τοῦ Ἀντ. Στ. Γεωργίου τάττομεν Τετάρτην, καίτοι αὕτη ἐπιγράφεται «Τρίτη».

Ἤδη, Θεοῦ θέλοντος, ἡμεῖς, προβαίνοντες εἰς τὴν ἀνὰ χεῖρας ἔκδοσιν, χαρακτηρίζομεν αὐτὴν «Πέμπτην», ἐφ' ὅσον ταύτης προηγήθησαν ἕτεραι τέσαρες. Ὡς πρότυπον διὰ τὴν ἀντιγραφὴν τοῦ κειμένου ἐλήφθη ἡ ἐν Βενετίᾳ Πρώτη ἔκδοσις· ἀντὶ δὲ τοῦ ὀγκώδους καὶ δυσχρήστου σχήματος τῶν προηγηθεισῶν ἐκδόσεων προετιμήσαμεν τὸ ὁρώμενον εἰς τέσσαρας τόμους, ἕκαστος τῶν ὁποίων περιλαμβάνει ἀνὰ ἓν βιβλίον κατὰ τὴν διάταξιν τοῦ μακαρίου Παύλου. Δὲν ἐφείσθημεν δὲ κόπων καὶ δαπανῶν διὰ νὰ δώσωμεν εἰς τὴν παροῦσαν ἔκδοσιν τὴν ἁρμόζουσαν μορφήν, ὥστε καὶ ἀπὸ ἀπόψεως ἐμφανίσεως νὰ εἶναι κόσμημα περιβάλλον τοιοῦτον θησαυρόν.

Ὡς ἐκ τῆς φύσεώς του λοιπὸν αὐτῆς τὸ ἀνὰ χεῖρας βιβλίον δὲν καταπονεῖ τὸν ἀναγνώστην ὑποχρεούμενον νὰ ἐπιστρατεύσῃ τὴν δύναμιν τῆς διανοίας του διὰ νὰ συλλάβῃ τὴν κεντρικὴν ἰδέαν αὐτοῦ καὶ νὰ συγκρατήσῃ τὴν πνευματικήν του ἑνότητα· ἀπ' ἐναντίας παρέχει εἰς αὐτὸν τὴν εὐχάριστον εὐκαιρίαν νὰ ἀναδράμῃ διὰ τῆς εὐσεβοῦς φαντασίας του εἰς ἐρήμους, εἰς σπήλαια, εἰς ὀπὰς τῆς γῆς, εἰς ὄρη, ἔνθα τὰ τέκνα τῆς ἐρήμου, αἱ πνευματικαὶ ἀηδόνες ψελλίζουν ἀκαταπαύστως τὸ πανευφρόσυνον ᾆσμα, ὅπερ δὲν ἐκφράζεται εἰς φθόγγους καὶ μουσικὰ σχήματα, ἀλλ' εἰς καταφλέγουσαν κατάνυξιν, εἰς πολύλαλον σιωπήν, εἰς πολυστένακτον καὶ δακρύβρεκτον συντριβὴν τῆς ψυχῆς.

Ἐκεῖ εἰς τὰ εὐτελῆ ἀλλὰ καὶ οὐρανοφερῆ, ὡς ἐκ τῆς εὐτελείας των, καταγώγια τῶν μακαρίων ἀνθρώπων, οἵτινες ἠγάπησαν ἀποκλειστικῶς καὶ χωρὶς μέτρον τὸν ἀναμετρήσαντα εἰς τὸν Γολγοθᾶν τὴν πρὸς ἡμᾶς ἀγάπην Του, ἐκεῖ, λέγομεν, συναντᾷ κανεὶς τὸ μοναδικὸν θαῦμα, τὸ θαῦμα τοῦ ἀλλοιωθέντος ἀπὸ τὴν Χάριν τοῦ Κυρίου ἀνθρώπου, οὗτινος ἡ ἐπίγειος μὲν παρουσία ὑποπτεύεται ἀπὸ τὸ ἄχαρι σύμπλεγμα τοῦ ἀπωστεωμένου σώματος μετὰ τῶν περιβαλλόντων αὐτὸ ρακιδίων, ἡ δὲ πνευματικὴ αὐτοῦ τελειότης τεκμαίρεται ἀσφαλῶς ἀπὸ τὸ πανευφρόσυνον ἄρωμα τῆς εὐσεβείας, τῆς ταπεινώσεως, τῆς ἀγάπης, τῆς ὑπομονῆς καὶ ὅλων συλλήβδην τῶν μυριπνόων ἀνθέων, ποὺ ἐκβλαστάνουν εἰς ψυχάς, αἵτινες ἠγάπησαν τὸν Κύριον καὶ ἐθυσίασαν τὰ κοσμικὰ σκύβαλα χάριν Αὐτοῦ. Ἐκεῖ τὰ εὐτε-

λῆ ἐκεῖνα καταγώγια, τὰ ὑγρὰ καὶ σκοτεινὰ σπήλαια μεταβάλλονται, ἀπὸ τὴν θείαν ἔλλαμψιν καὶ τὸν ἄνωθεν φωτισμὸν τῶν ἐν αὐτοῖς ἀσκουμένων, εἰς παμφώτους οὐρανούς.

Εἰς αὐτὰς λοιπὸν τὰς περιοχὰς μεταφέρει ὁ «Ε ὐ ε ρ γ ε τ ι ν ὸ ς» τὸν ἀναγνώστην, διὰ νὰ ἀκούσῃ λόγους ἁπλοῦς, ἡσύχους, ἀληθεῖς, λόγους ἐκπορευομένους ἀπὸ ἐξαγιασθείσας καρδίας καὶ ὡς ἐκ τούτου ὠφελίμους καὶ ἀπαραιτήτους διὰ τὸν ἐν Χριστῷ καταρτισμόν. Οἱ λόγοι αὐτοὶ ὁμοιάζουν περισσότερον μὲ θρόϊσμα φύλλων, μὲ φλοῖσβον ρύακος, μὲ πνοὴν αὔρας καὶ οὐδεμίαν ἔχουν σχέσιν μὲ τὰς εὐσεβεῖς μὲν ἀλλ᾽ ἐπιτετηδευμένας διδασκαλίας τῶν τοῦ κόσμου ἱεροδιδασκάλων· δι᾽ αὐτὸν ὅμως τὸν λόγον ἐγγίζουν τὴν ψυχὴν μονιμώτερον καὶ ἀποτελεσματικώτερον, ὡς αἱ ἀκτῖνες τοῦ ἡλίου αἱ θωπεύουσαι εὐεργετικῶς τὰ δημιουργήματα τοῦ Θεοῦ.

* * *

Ἐπ᾽ εὐκαιρίᾳ τῆς ἐκδόσεως ἑνὸς ἔργου τοῦ ὀρθοδόξου ἀσκητισμοῦ κρίνομεν σκόπιμον, νὰ ἀναφέρωμεν ἐλάχιστά τινα περὶ τοῦ μοναχικοῦ ἰδεώδους, ὅπερ ἀποτελεῖ ἕνα ἐκ τῶν λαμπροτέρων ἀστερισμῶν τοῦ νοητοῦ στερεώματος τῆς Ὀρθοδόξου Ἐκκλησίας. Πολλὰ ἔχουν λεχθῇ καὶ πολλὰ ἔχουν γραφῆ περὶ αὐτοῦ· δὲν πρόκειται ἡμεῖς νὰ προβῶμεν εἰς συστηματικὴν ἀνάπτυξιν ἑνὸς τόσον οὐσιώδους θέματος. Ἁπλῶς μίαν ἀσθενῆ σκιαγραφίαν θὰ ἐπιχειρήσωμεν, συμπληρωθησομένην ὑπὸ τῆς εὐσεβείας καὶ τῆς πίστεως τοῦ ἀναγνώστου.

Τὸ μοναχικὸν ἰδεῶδες ἀποτελεῖ ἄνθος διὰ πρώτην φορὰν φυὲν εἰς τὸν Παράδεισον τῆς εὐαγγελικῆς τελειότητος. Δὲν παρουσιάζει καμμίαν οὐσιαστικὴν ἢ μορφολογικὴν ἀναλογίαν μὲ τὰ ἐξωχριστιανικὰ φιλοσοφικὰ συστήματα, ἅτινα στηριζόμενα εἰς τὴν ἀντίληψιν περὶ ἀντιθέσεως μεταξὺ σαρκὸς καὶ πνεύματος ἐκήρυσσον τὸν πόλεμον ἐναντίον τῆς σαρκός, τὴν ὁποίαν ἐθεώρουν ὡς τὸ μὴ ὂν (τὸ μὴ ὑπάρχον), τὸ βδελυκτὸν καὶ κατὰ συνέπειαν τὸ διωκτέον. Τὸ μοναχικὸν ἰδεῶδες μὴ ἐπιβαλλόμενον ὡς τρόπος δικαιώσεως, ἀλλ᾽ ἀκολουθούμενον ἐλευθέρως ὑπὸ ψυχῶν πεπληρωμένων ὑπὸ πανισχύρου Ἀγάπης καὶ φλογερᾶς πρὸς τὸν Κύριον Πίστεως, συνιστᾷ ἕνα ἰδιόμορφον κοινωνισμὸν μεταξὺ τῆς ἀγαπησάσης ψυχῆς καὶ τοῦ ἀγαπηθέντος Οὐρανίου Νυμφίου. Καὶ ὁ κοινωνισμὸς αὐτὸς ἐμπνέει θυσίας χάριν τοῦ ὑπερτάτου ἀντικειμένου τῆς μοναδικῆς ἀγάπης, τοῦ Οὐρανίου Νυμφίου.

Εὐαγγελικῶς τὸ μοναχικὸν ἰδεῶδες στηρίζεται εἰς τὴν σύστασιν τοῦ Κυρίου πρὸς τὸν πλούσιον καὶ εὐσεβῆ νεανίσκον: ε ἰ θ έ λ ε ι ς τ έ λ ε ι ο ς ε ἶ ν α ι, ὕ π α γ ε, π ώ λ η σ ό ν σ ο υ τ ὰ ὑ π ά ρ χ ο ν τ α κ α ὶ δ ὸ ς π τ ω χ ο ῖ ς, κ α ὶ ἕ ξ ε ι ς θ η σ α υ ρ ὸ ν ἐ ν Ο ὐ ρ α ν ῷ...» (Ματθ. ΙΘ΄ 21). Εἰς τὴν σύστασιν αὐτὴν δὲν ὑπάρχει μόνον ἡ ὑπόδειξις μιᾶς ἑκουσίου πτωχεύσεως, ἀλλὰ πρὸ παντὸς καὶ κυρίως ἡ προτροπὴ πρὸς θυσίαν, θυσίαν ἐλαττωμάτων, ὡς ἡ φιλαργυρία, ἡ προτροπὴ πρὸς ἀπαλλαγὴν παντὸς ἐπιγείου ἔρωτος, χάριν τῆς ὑπερτάτης ἀγάπης. «Κ α ὶ δ ε ῦ ρ ο ἀ κ ο λ ο ύ θ ε ι μ ο ι». (Ματθ. ΙΘ΄ 21). Ὑπ᾽ αὐτὸ τὸ πνεῦμα ἀντελήφθησαν τὸ μοναχικὸν ἰδεῶδες οἱ μεγάλοι διδάσκαλοι τοῦ ἀσκητισμοῦ, δι᾽ αὐτὸ καὶ ἡ Ἐκκλησία κατεδίκασε μίαν τάσιν διαστροφῆς τοῦ μοναχισμοῦ, στηριζομένην εἰς τὴν ἀντίληψιν περὶ βδελυκτῶν πραγμάτων καὶ συνθηκῶν. Ἡ ἐν Γάγγρᾳ Ἁγία τοπικὴ Σύνοδος κατεδίκασε τοὺς περὶ τὸν Εὐστάθιον δι᾽ αὐτὴν τὴν ἐπικίνδυνον ἐκτροπήν. Ἰδοὺ τί διακελεύει εἰς τὸν Θ΄ αὐτῆς κανόνα: «εἴ τις παρθενεύοι, ἢ ἐγκρατεύοιτο, ὡς ἂν βδελυτ-

τόμενος τὸν γάμον ἀναχωρήσας, καὶ μὴ δι' αὐτὸ τὸ καλὸν καὶ ἅγιον τῆς παρθενίας, ἀνάθεμα ἔστω».

Τὸ μοναχικὸν ἰδεῶδες, ὡς ζωὴ καὶ κατάστασις βιουμένη, εἶναι μία ἰσόβιος μάχη, ἕνας διαρκὴς ἀγὼν ἐναντίον τῶν συμβατικοτήτων καὶ μικροτήτων τοῦ βίου, εἶναι μία διαρκὴς ἐγρήγορσις, μία νοερὰ καὶ συνεχὴς συνομιλία μὲ τὸν γλυκύτατον Νυμφίον. Ἡ συνοδεύουσα καὶ τροφοδοτοῦσα τὸ μοναχικὸν ἰδεῶδες ἄσκησις δὲν ἔχει σκοπὸν τὴν τυρανίαν τοῦ σώματος, ὡς ἐχθροῦ τινος μισητοῦ, ἀλλὰ τὴν ἐξασφάλισιν τῆς μακαριότητος τοῦ πνεύματος, τῆς ἡσυχίας, τῆς γαλήνης τῆς ψυχῆς. Ἰδοὺ τί γράφει σχετικῶς ὁ οὐρανοφάντωρ Βασίλειος πρὸς τὸν Ἅγιον Γρηγόριον τὸν Θεολόγον. «Κατέλιπον μὲν γὰρ τὰς ἐν ἄστει διατριβάς, ὡς μυρίων κακῶν ἀφορμάς. Μία φυγή, ὁ χωρισμὸς ἀπὸ τοῦ κόσμου παντός. Κόσμου δὲ ἀναχώρησις, οὐ τὸ ἔξω αὐτοῦ γενέσθαι σωματικῶς, ἀλλὰ τῆς πρὸς τὸ σῶμα συμπαθείας τὴν ψυχὴν ἀπορρῆξαι καὶ γενέσθαι ἄπολιν, ἄοικον, ἀνίδιον, ἀκτήμονα, ἄβιον, ἀπράγμονα, ἀσυνάλλακτον, ἀμαθῆ τῶν ἀνθρωπίνων διδαγμάτων. Πρὸς δὴ τοῦτο μέγιστον ὄφελος ἡμῖν ἡ ἐρημία παρέχεται, κατευνάζουσα ἡμῶν τὰ πάθη καὶ σχολὴν διδοῦσα τῷ λόγῳ παντελῶς αὐτὰ τῆς ψυχῆς ἐκτεμεῖν».

Ὁ μοναχικὸς λοιπὸν βίος, τοῦ ὁποίου βάσις εἶναι ὁ ἀσκητισμός, δὲν εἶναι τίποτε ἄλλο, παρὰ πλεονασμὸς ἀγάπης πρὸς τὸν Κύριον εἰς βαθμὸν ἀπόλυτον. Ἡ ἀπόλυτος δονοῦσα αὐτὴ ἀγάπη ἐξαγνίζει τὴν ψυχὴν ἀπὸ πᾶσαν ἐπιθυμίαν κοσμικὴν καὶ κινεῖ αὐθορμήτως τὰ χείλη εἰς διαρκῆ καὶ ἀέναον προσευχήν. Ὁ ἀσκητισμὸς δὲν ἀποτελεῖ φιλοσοφικὸν σχῆμα. Εἶναι ἔμπνευσις εἰς τὴν καρδίαν της θείας ἀγάπης καὶ ἀπορρόφησις τῆς ἀγαπώσης ψυχῆς ἀπὸ τὸν ἀγαπώμενον Κύριον. Ἀλλ' ὅπως ἡ ποίησις καὶ ἡ τέχνη δὲν συλλαμβάνονται ἀπὸ τὸν δέκτην τῆς διανοίας, ἀλλὰ μόνον ἀπὸ τὴν ἀναλογίαν τῶν αἰσθημάτων, ἐκστασιάζουν τὴν εὐπαθῆ καὶ εὐαίσθητον καρδίαν, οὕτω καὶ ὁ μοναχικὸς βίος δὲν κατανοεῖται ὡς θέσις, οὔτε ἑρμηνεύεται ὑπὸ τῆς λογικῆς· μόνον συλλαμβάνεται ὡς ὡραιότης ὑπερκοσμία ἀπὸ τὰς εὐγενεῖς ψυχάς· «Οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται». (Ματθ. ΙΘ' 11).

Ἡ Ἐκκλησία ὀφείλει πολλὰ εἰς τὸν Ὀρθόδοξον ἀσκητισμόν. Ἀπὸ τὰς μυριάδας τῶν ἀσκητῶν ἐστρατολόγησε τὰ πλέον ἀξιόμαχα καὶ ἐκλεκτότερα στελέχη της. Οἱ Γρηγόριοι, οἱ Βασίλειοι, οἱ Χρυσόστομοι ἐξηγνίσθησαν διὰ τῆς ἀσκήσεως, ἐγεώργησαν διὰ τῶν δακρύων τὸ ἄγονον καὶ μετὰ ταῦτα σκληροὶ ὡς ὁ σίδηρος καὶ λάμποντες ὡς ὁ χρυσὸς ἐποίμαναν τὴν Ἐκκλησίαν, οὐχὶ ὡς πλαδαροὶ καὶ ἄβουλοι ἠθοποιοί, οὔτε ὡς ἑτερόφωτα καὶ ἑτεροκίνητα ὄργανα, ἀλλ' ὡς ἐμπειροπόλεμοι στρατηγοί, μὴ δειλιῶντες πρὸ τοῦ ἐχθροῦ καὶ μὴ ὑποχωροῦντες πρὸ τοῦ κινδύνου. Θὰ ἦτο δὲ εὐχῆς ἔργον οἱ ποιμένες νὰ ἐλαμβάνοντο κατὰ κανόνα ἀπὸ τὰς τάξεις τῶν ταπεινῶν καὶ εὐλαβῶν μοναχῶν.

Αὐτῶν τῶν μοναχῶν, αὐτῶν τῶν ἁγίων ἀσκητῶν γνώμας, σκέψεις καὶ στοχασμοὺς περιέχει ὁ «Εὐεργετινός». Καὶ μὲ αὐτὰ τὰ μακάρια πνεύματα συνομιλεῖ ὁ ἀναγινώσκων τὰς σελίδας του.

Ἀπὸ τῆς πλευρᾶς αὐτῆς ὁ «Εὐεργετινὸς» δὲν εἶναι εὐθύνη μόνον καὶ ὑποχρέωσις τῶν μοναχῶν. Ὁ Ἀπ. Παῦλος ὁμιλεῖ περὶ στρατεύσεως, στρατευομένων καὶ ἀθλητῶν, χαρακτηρισμῶν ἀποδιδομένων εἰς τοὺς ἀποδεξαμένους τὴν Χριστιανικὴν πίστιν καὶ ὁμολογοῦντας αὐτήν.

Ἀπὸ τῆς πλευρᾶς αὐτῆς ὁ «Εὐεργετινὸς» δὲν ἀπευθύνεται μόνον εἰς τοὺς μοναχούς, ἀλλ' εἰς ὅλους, ὅσοι αἰσθάνονται τὸν Χριστιανισμὸν ὡς ἀγῶνα, ὡς διαρκῆ καὶ ἰσόβιον ἄσκησιν. Τίς δὲν ἔχει ἀνάγκην

προσευχῆς, ὑπομονῆς, πρᾳότητος, σιωπῆς, κατανύξεως; Ἐφ' ὅσον ὁ αὐτὸς διάβολος βάλλει καὶ κατὰ μοναχῶν καὶ κατὰ λαϊκῶν, ὁ αὐτὸς τρόπος ἀμύνης ἐπιβάλλεται καὶ διὰ τὰς δύο τάξεις τῆς στρατευομένης Ἐκκλησίας. Καὶ ὁ τρόπος αὐτὸς ἀνακύπτει ἐκ τῆς προσεκτικῆς καὶ εὐσεβοῦς μελέτης τῶν ὡραίων καὶ διδακτικῶν διηγήσεων τοῦ «Εὐεργετινοῦ».

* * *

Παραδίδοντες εἰς τὴν δημοσιότητα τὸν «Εὐεργετινὸν» ἔχομεν τὴν συναίσθησιν, ὅτι προσφέρομεν πολύτιμον βοηθὸν εἰς πάντα θέλοντα σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, εἴτε οὗτος ἀκολουθεῖ τὴν δυσανάβατον ἀτραπὸν τοῦ μοναχικοῦ ἰδεώδους εἴτε φέρει τὸν σταυρὸν τοῦ οἰκογενειακοῦ καθήκοντος.

Τὸ κείμενον εἶναι αὐτούσιον, ὡς ἐν τῷ πρωτοτύπῳ, ἄνευ οὐδεμιᾶς γλωσσικῆς ἢ φραστικῆς ἀλλοιώσεως. Διὰ νὰ καταστήσωμεν ὅμως τοῦτο εὐνόητον καὶ εἰς τὰς ἁπλουστέρας ἐκείνας ψυχάς, αἵτινες μετ' ἀπληστίας ἐπιθυμοῦσι νὰ κατασβέσωσι τὴν δίψαν των εἰς τὰς κρυσταλλίνας αὐτὰς πηγὰς τῶν πατρικῶν ναμάτων, ἀλλ' ἀδυνατοῦν νὰ κατανοήσουν τὸ περιεχόμενον αὐτῶν, κατεπλουτίσαμεν την ἔκδοσίν μας ταύτην μὲ πλῆθος ἑρμηνευτικῶν σημειώσεων, τεθεισῶν ἐν τῷ περιθωρίῳ, οὕτως ὥστε καὶ τὸ κείμενον νὰ παραμείνῃ ἄθικτον διὰ τοὺς εἰδότας καὶ ἡ ἑρμηνεία αὐτοῦ νὰ εἶναι εὐχερὴς διὰ τοὺς ἁπλουστέρους. Μάλιστα αἱ ἑρμηνευτικαὶ αὗται σημειώσεις δύνανται νὰ ἀποβῶσι πηγὴ γνώσεως διὰ τοὺς προσεκτικοὺς μελετητάς. Οἱ εἰλικρινῶς ἐπιποθοῦντες τὴν μελέτην τῶν πατερικῶν θησαυρων καὶ δυσκολευόμενοι εἰς τὴν κατανόησιν τοῦ κειμένου ἂς μὴ ἀποκάμουν ἀπὸ τὴν πρώτην προσπάθειαν, ἀλλ' ἂς ἐπιληφθοῦν μετὰ ὑπομονῆς καὶ θελήσεως τῆς μελέτης αὐτοῦ, βοηθούμενοι ἐκ τῶν ἑρμηνευτικῶν σημειώσεων καὶ λίαν συντόμως θέλουσιν ἀποκτήσει τὴν εὐχέρειαν τῆς κατανοήσεως. Ἐπλουτίσαμεν ὡσαύτως τὴν ἔκδοσίν μας ταύτην μὲ πλῆθος ἐπεξηγηματικῶν ὑπομνημάτων ὑποσημειουμένων ἐν τῷ κειμένῳ πρὸς ἐνημέρωσιν τοῦ ἀναγνώστου ἐπὶ παντὸς ἀπορουμένου ζητήματος.

Ὡσαύτως ἐν τῇ ἡμετέρᾳ ἐκδόσει ἠριθμήσαμεν κατ' αὔξοντα ἀριθμὸν τὰ ἐν ἑκάστῃ Ὑποθέσει ὑπάρχοντα αὐτοτελῆ διδάγματα, εἴτε ἕκαστον τούτων τυγχάνει διήγησις γεγονότος τινὸς εἰλημμένου ἀπὸ τὴν Ζωὴν τῶν Ὁσίων Πατέρων εἴτε ἕκαστον ἐξ αὐτῶν ἀποτελεῖ αὐτοτελῆ νουθεσίαν. Ἡ ἀρίθμησις αὕτη μὴ ὑπάρχουσα εἰς τὰς προγενεστέρας ἐκδόσεις προσδίδει ἰδιαιτέραν ἀξίαν εἰς τὴν ἀνὰ χεῖρας ἔκδοσιν.

Ἐπιπροσθέτως ἐν τῷ τέλει τοῦ Δ' Τόμου θέλομεν καταχωρίσει πλήρη ἀλφαβητικὸν πίνακα πάντων τῶν ὀνομαστὶ ἀναφερομένων ἐν τῷ Εὐεργετινῷ Ὁσίων Πατέρων μὲ σύντομον περὶ ἑκάστου βιογραφικὸν σημείωμα, εἰς τρόπον ὥστε νὰ δύναται ὁ ἀναγνώστης νὰ σχηματίζῃ πλήρη εἰκόνα τῶν ἀναγινωσκομένων. Ἐν τῇ ἀρχῇ της ἐκτυπώσεως τοῦ Α' Τόμου τὰ βιογραφικὰ ταῦτα σημειώματα ἐτίθεντο ἐν ὑποσημειώσει εἰς ὃ σημεῖον ἀναφέροντο ὀνόματα Ὁσίων. Ἐπειδὴ ὅμως τὰ αὐτὰ ὀνόματα ἐπαναλαμβάνονται πολλάκις, προεκρίναμεν τὴν ἐν τῷ τέλει τοῦ ὅλου ἔργου προσθήκην ἀλφαβητικοῦ πίνακος πρὸς εὐχερεστέραν χρῆσιν αὐτοῦ ὑπὸ τοῦ ἀναγνώστου.

Μὲ τὰς βελτιώσεις καὶ προσθήκας αὐτάς, μὲ τὴν εἰκονογράφησιν καὶ διακόσμησιν τοῦ ἔργου, ὀφειλομένην κατὰ τὸ πλεῖστον εἰς τὸν καλλιτέχνην κ. Ράλλην Κοψίδην, ἀντάξιον μαθητὴν τοῦ διακεκριμένου ἁγιογράφου τῆς ἐποχῆς μας κ. Φωτίου Κόντογλου, μὲ τὸν ἐκλεκτὸν χάρτην καὶ τὴν ὅλην καλλιτεχνικὴν ἐκτύπωσιν, πιστεύομεν, ὅτι ἡ παροῦσα Πέμπτη ἔκδοσις

τοῦ «Ε ὐ ε ρ γ ε τ ι ν ο ῦ» θέλει ἱκανοποιήσει πλήρως τὸ εὐσεβὲς Χριστεπώνυμον πλήρωμα.

Εὐχόμενοι, ὅπως ὁ Κύριος βοηθῇ τὸν ἀναγνώστην νὰ ἀνέρχεται σταθερῶς μίαν πρὸς μίαν τὰς ὡραίας βαθμίδας τῆς πνευματικῆς τελειώσεως, ἐπικαλούμεθα καὶ ἡμεῖς τὰς εὐχάς του, ἵνα ὁ Κύριος ἐνισχύῃ ἡμᾶς, καὶ τὴν συνοδείαν ἡμῶν, τοὺς δεξιοὺς συνεργάτας ἡμῶν Μ α τ θ α ῖ ο ν Ἱερομόναχον καὶ Ἠ λ ί α ν Μοναχὸν εἰς τὴν διακονίαν αὐτήν, τῆς ἐπανεκδόσεως δηλονότι ὠφελίμων πατερικῶν βιβλίων, τόσον ἀπαραιτήτων εἰς τὸ ἐπικίνδυνον σκότος καὶ τὴν ἀνησυχητικὴν ἄβυσσον τῆς ἐποχῆς μας.

Ἐν τῇ Ἱερᾷ καὶ Σεβασμίᾳ Δεσποτικῇ Μονῇ Μεταμορφώσεως
τοῦ Σωτῆρος Κρονίζης Κουβαρᾶ Ἀττικῆς τῇ 1ῃ Νοεμβρίου 1957.
Ὁ Ἐλάχιστος ἐν Μοναχοῖς καὶ ἔσχατος ἐν Καθηγουμένοις
† ΚΑΘΗΓΟΥΜΕΝΟΣ ΒΙΚΤΩΡ







πάσης τῆς τῶν νοούντων νοήσεως ὑπερκείμενος καὶ μὴ νοούμενος, ἀλλ' ἐκ τῶν νοουμένων εἶναι πιστευόμενος, προαιώνιος καὶ ὑπερούσιος νοῦς· ἅ τε ἀγαθαρχικὸς ὢν καὶ φύσει ἀγαθουργός, ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος δημιουργήσας τὰ σύμπαντα, λόγῳ συμπληρούμενα, καὶ τῷ ζωοποιῷ αὐτοῦ Πνεύματι τελειούμενα, ὅροις τισὶ καὶ θεσμοῖς ὁροθετεῖσθαι ἠθέλησε. Καὶ τὰς μὲν ἀνωτάτω καὶ νοερὰς οὐσίας νόμοις τισὶν ὑπερκοσμίοις ἀγαθοειδῶς διακυβερνᾷ, καθ' οὓς ἐν ἁρμονίᾳ θείᾳ καὶ ἀναλογίᾳ κινουμένων, αἱ μὲν ὑπερκείμεναι τῶν ἐφικτῶν ἐλλάμψεων ἀπολαύουσιν, αἱ δὲ κατωτέρω ταύτας ἀναλόγως δι' αὐτῶν ὑποδέχονται. Τοῖς δὲ ἐν τῷ ὑλικῷ τούτῳ κόσμῳ κειμένοις σώμασι δυνάμεις τινὰς ἐνεφύτευσεν οὐσιώδεις, αἳ καὶ φυσικοὶ νόμοι παρὰ πᾶσιν ἀποκαλοῦνται, ὡς ἂν ὑπ' αὐτῶν τε καὶ κατ' αὐτοὺς κινούμενά τε καὶ διεξαγόμενα τεταγμένας τὰς ἑαυτῶν ἐνεργείας ἀποτελῶσιν· οὕτω γὰρ ἂν καὶ κόσμος φερωνύμως εἴη τῇ ἀληθείᾳ. Ἀνθρώπῳ δὲ τέως λογικήν τινα δύναμιν ἀφ' ἑαυτῆς κριτικὴν ἐγκατέσπειρε, καὶ βοηθὸν προσδέδωκεν ἐντολήν, ὃς δὴ καὶ ἠθικὸς Νόμος ἀποκαλεῖται· ὥστε, κατ' αὐτόν τε καὶ πρὸς αὐτόν, ὡς πρὸς εὐθύτατον κανόνα ἰθυνόμενον, κακίας μὲν ἁπάσης ὡς ἐκτροπῆς τῆς κατὰ τὸν ἠθικὸν Νόμον εὐθύτητος οὔσης, ἀλλοτριοῦσθαι σθένει παντί, παντὸς δ' ἀγαθοῦ καὶ ἀρετῆς ἁπάσης μετὰ λόγου ἀντιποιεῖσθαι· τοῦτο καὶ γὰρ τέλος τῆς ἠθικῆς Φιλοσοφίας, λέγω δὴ τἀγαθόν.

Τί δὴ βουλόμενος, ἢ τί πραγματευόμενος ἐκ τούτων ὁ κοσμογόνος Νοῦς; ἢ πάντως, ἵν' ἐκ τῆς τῶν πάντων κατὰ τοὺς κειμένους νόμους εὐτάκτου καὶ παναρμονίου κινήσεως δόξαν ἑαυτῷ προμνηστεύοιτο· τὰ γὰρ ποιήματα, ἧπερ ἀρετῆς ἢ κακίας ἔχει, ταύτῃ γε πάντως, ἤτοι δοξάζει ἢ ἀτιμάζει τὸν ποιητήν· ταῦτ' ἄρα περὶ ἐκείνων μὲν ἔφη που τὸ γράμμα τὸ ἱερόν· «οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ». Περὶ δ' ἀνθρώπου, «ὅπως ἴδωμεν ὑμῶν, φησι, τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς». Ἐπεὶ δέ τοι τὰ μὲν ἄλλα πάντα (πλήν τινων) τῷ τοῦ Κτίσαντος πειθαρχοῦντα προστάγματι τῶν ἰδίων ὅρων ἐντὸς εἱστήκεισαν· «ὅριον γάρ, φησιν, ἔθου, καὶ οὐ παρελεύσεται»· καὶ διὰ τῆς πολυφθόγγου αὐτῶν ἁρμονίας, οἱονεὶ φωναῖς ἀλαλήτοις, ὅσον τὸ ἐπ' αὐτοῖς, ἐδόξαζον τὸν Θεόν· ἄνθρωπος δέ, ἄνθρωπος! ὢ! πῶς ἀδακρυτεὶ τὸν λόγον διέλθω; μόνος τῶν ἐπὶ γῆς, ἅτε μετειληφὼς αὐτεξουσίου δυνάμεως, καὶ φθόνῳ διαβόλου δελεασθείς, κατὰ τοῦ ἰδίου κτίστου τραχηλιάσας, ἐξετράπη μὲν τῆς τοῦ

ἐνσπαρέντος ὀρθοῦ λόγου εὐθύτητος, ἠθέτησε δὲ καὶ τοὺς ἐν διαφόροις καιροῖς δοθέντας αὐτῷ θεσμοὺς ἠθικούς, ἀρετῆς ἁπάσης καὶ ἀγαθοῦ ἐπιλαθόμενος, κακίας φεῦ! καὶ παθῶν μυριοπτώτων κατέστη δημιουργός· ἐντεῦθεν δ' ἄρα καὶ τὴν δι' αὐτοῦ ἐσομένην δόξαν τὸν Θεὸν ἀφαιρούμενος τὸ ἑαυτοῦ μέρος ἠτίμαζεν.

Ὁ τοῦ Θεοῦ Μονογενὴς Θεὸς Λόγος οἶκτον λαβὼν τοῦ πολυσυμφορωτάτου τουτουῒ πτώματος, ἐπ' ἐσχάτων τῶν ἡμερῶν γενόμενος ἄνθρωπος, τοὺς ἠθικοὺς καὶ προκαταρκτικοὺς ἐκείνους ἀνακαλεῖται θεσμούς. Καὶ δὴ τὴν ἠθικὴν τοῦ Εὐαγγελίου Φιλοσοφίαν κανόσι γενικωτέροις καὶ ὅροις τῶν προτέρων τελειοτέροις ὑπερκάλως ἐξωραΐσας, καὶ ταύτην αὐτὸς πρῶτος δι' ἔργων πεπληρωκώς, καὶ δοξάσας δι' αὐτῶν ἐπὶ γῆς τὸν Θεόν, οὕτω καὶ ἡμῖν αὐτὴν παραδέδωκεν, ὅπως ἂν τοῖς ἴχνεσιν ἐκείνου ἑπόμενοι, παντοίων μὲν ἀρετῶν ἐργάται ἀναδειχθείημεν, δι' αὐτῶν δὲ ἀκολούθως τὸν κτίστην δοξάζωμεν· οὕτω γὰρ ἂν ἡμῖν γένοιτο καὶ πρὸς τὸν ἐξ ἀρχῆς σκοπὸν ἐπαναδραμεῖν. Ἀλλὰ γὰρ τῇ ἠθικῇ ταύτῃ τοῖς μὲν πολλοῖς ἐμμένειν ἀραρότως καὶ οἱονεὶ προσφύεσθαι ἐνετείλατο· τοῖς δὲ περαιτέρω χωρεῖν δυναμένοις, καὶ προσθεῖναι τοῖς κειμένοις ἀφῆκεν, ὅσα γε ἂν φιλοθεΐας χάριν φιλοτιμήσονται, ᾐνίξατο δὲ τοῦτο βαθέως, τῇ μὲν εἰπὼν περὶ τοῦ μυστικοῦ τῆς παρθενίας εὐνουχισμοῦ, «ὁ δυνάμενος χωρεῖν χωρείτω»· τῇ δέ, περὶ τῶν δύο δηναρίων τῆς τε παλαιᾶς, φημι, καὶ καινῆς· καὶ «ὅ,τι ἂν προσδαπανήσῃς, ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι».

Τούτων οὖν οὕτως ἐχόντων, καὶ τῆς τοῦ Εὐαγγελίου ἠθικῆς πρὸς ἑαυτὴν τοὺς πάντας ἐκκαλουμένης, ἄλλοι μέν, οὐκ οἶδ' ὅπως, περὶ μὲν ἄλλ' ἄττα τῆς φιλοσοφίας εἴδη σχολάζουσι· καὶ τούτων, οἱ μὲν τῷ μαθηματικῷ τυχόν, ἢ φυσικῷ εἴδει, οἱ δὲ τῷ μεταφυσικῷ τε καὶ τοῖς ἐγκυκλίοις τῶν γραμματικῶν μαθήμασι τὸν ἅπαντα κατατρίβουσι βίον, τοῦ δὲ ἠθικοῦ, καί τοι ἀναγκαιοτέρου καὶ τῇ τάξει τῶν λοιπῶν προτερεύοντος, λίαν ἀμελῶς ἔχουσι· καὶ περὶ μὲν οὐρανοῦ καὶ γῆς καὶ τῶν ἄλλων ἁπάντων, ὅπως εὐαρμοστίας ἔχει καὶ τάξεως ἐξετάζουσιν, ὅπως δὲ ἑαυτοὺς διὰ τῆς τῶν ἠθῶν εὐκοσμίας ρυθμίσουσι, καὶ ἀληθεῖς μαθήσονται ἀρετάς, καὶ πάνυ ὀλίγοι σπουδάζουσιν, οὐκ εἰδότες, ὡς ἔοικε, κρείττονα διαφερόντως τὴν περὶ ἡμῶν αὐτῶν σπουδὴν οὖσαν, τῆς περὶ τὰ ἀλλότρια, καὶ μόνην τὴν γνῶσιν πράξεως χωρὶς ἀνυπόστατον οὖσαν, καὶ φαντασίας οὐδὲν ἀποδέουσαν, ὡς ὁ Ἱερός φησι Μάξιμος· τί γὰρ ἐμοί, παρακαλῶ, κέρδος ἐκ τῆς τῶν ἄλλων φιλοσοφίας γένοιτ' ἄν, τῆς ψυχῆς ἀφιλοσόφως καὶ ἀγεννῶς ταραττομένης τοῖς πάθεσιν; ἐγὼ μὲν οὐχ ὁρῶ. ἔδει μὲν οὖν καὶ τοῦ ἠθικοῦ μάλιστα εἴδους ἐπιμελεῖσθαι, ἵνα μὴ κατὰ τὸ κρεῖττον μέρος ἐλλιπεῖς ὦμεν.

Ἀλλ' οἱ μὲν οὕτως· τὸ δὲ τῶν Ὁσίων Πατέρων Ἱερώτατον σύστημα κρείττονα βουλευσάμενοι, καὶ ὀξυδερκεστέροις νοὸς ὀφθαλμοῖς συνιδόντες τὸ ἐκ τοῦ τοιοῦδε τῆς Φιλοσοφίας εἴδους ὄφελος ὅσον! καὶ ὡς, εἰ τούτου ἐν ἕξει γένοιντο, ῥᾳδίως ἂν καὶ τῶν λοιπῶν ἐπιβαῖεν. Ἔτι γε μὴν εἰδότες καὶ ὅτι σύγχρονος ἀνθρώποις ἡ ἠθική, ὡς προείρηται, καὶ τῶν ἄλλων εἰδῶν τῆς Φιλοσοφίας τῇ παλαιότητι ὑπερίδρυται, τῶν ἄλλων ἁπάντων οὐδόλως φροντίσαντες, ταύτῃ καὶ μόνῃ προσεκολλήθησαν. Καὶ τοίνυν ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, κατὰ Παῦλον εἰπεῖν, ἑαυτοὺς ἐγκαθείρξαντες, καὶ ἀπερίσπαστον ἡσυχίαν αἱρετισάμενοι προὐργιαίτατον ἔθεντο παρ' ἑαυτοῖς σκοπόν, τὰς μὲν προκαταρκτικὰς τῶν παθῶν ἐπιστημόνως εὑρεῖν ἀφορμάς, καὶ ταύτας τέλεον ἐκτεμεῖν· τῶν δ' ἀρετῶν οὐκ εἰς διάθεσιν μόνην, ἢ καὶ συμβατικὴν πεῖραν ἐλθεῖν (τοῦτο γὰρ καὶ τοῖς τυχοῦσίν ἐστιν εὐχερές)· ἀλλὰ καθ' ἕξιν καὶ οἱονεὶ φύσιν δευτέραν, ὅλως ἐξ ὅλου συγκραθῆναι ταύταις καὶ πιωθῆναι, συνηλικιωθείσαις ὥσπερ αὐτοῖς, καὶ συγκαταγηρασάσαις διὰ πολλῶν ἱδρώτων καὶ πολυχρονίου ἀσκήσεως· τοὺς γὰρ γενικωτέρους τοῦ Εὐαγγελίου, ὡς φθάσας ἐδήλωσεν ὁ λόγος, περὶ ἀρετῶν Νόμους, δίκην ἀρχῶν πρωτίστων τῆς ἰδίας προστησάμενοι Φιλοσοφίας, καὶ τούτοις νυκτὸς καὶ ἡμέρας ἐμμελετήσαντες, εἶθ' οὕτω τούτους καὶ εἰς τὰς μερικωτέρας τῶν ἀρετῶν ὑποδιαιρέσαντες τῶν ἐν ἐκείνοις συνεπτυγμένως θεωρουμένων, καὶ πολλοῖς μὲν πειρασμοῖς, τοῖς ἐξ ἀνθρώπων, φημί, καὶ τοῖς ἐκ δαιμόνων οἱονεὶ κτενισθέντες, πολλῇ δὲ τῇ κατὰ τὸ σῶμα ἐγκρατείᾳ καὶ τῇ ἄλλῃ κακουχίᾳ καταταγ-

ριχευθέντες, μετὰ τοὺς πολλοὺς τούτους τῶν ἀγώνων διαύλους εἰργάσαντο μὲν τὰς ἀρετὰς ἁπάσας καὶ τῆς τούτων ἐπιστημονικῆς γνώσεως ἐν ἕξει γεγόνασι, προσέθηκαν δὲ τῷ Εὐαγγελίῳ προσθήκην τοῖς γε νοῦν ἔχουσιν ἀξιόχρεων, φιλοτιμίᾳ χρησάμενοι προαιρέσεως, ὡς μὴ μόνον κατ' ἐντολήν, ἀλλ' ἤδη καὶ ὑπὲρ ἐντολὴν αὐτοὺς γεγενῆσθαι.

Καὶ δὴ τὸ ἀργύριον τῷ δεσπότῃ μετὰ τόκου, ὡς αὐτοὺς ἀπήτησεν, ἀποδεδωκότες διὰ τῶν ἀρετῶν, ἐδόξασαν μὲν δι' αὐτῶν τὸν Θεὸν (ὅπερ ἦν τό, ὡς εἴρηται, πρώτιστον βούλημα τοῦ Θεοῦ), μετέδωκαν δὲ καὶ ἡμῖν ὡς ἀγαθοῖς τραπεζίταις διὰ τῶν ἑαυτῶν συγγραμμάτων τῆς ἐπιστημονικῆς τῶν ἀρετῶν γνώσεως· ἵνα τοῖς ἐκείνων χρησάμενοι παραδείγμασι διεγερθῶμεν καὶ ἡμεῖς, ὅση δύναμις, πρὸς ἐργασίαν τῆς κατ' ἀρετὴν τελειότητος. Καὶ ἵν' ἀφ' ἑνὸς προσφυεστάτου παραδείγματος δηλώσω τὸ πᾶν· καθάπερ οἱ περὶ τὴν φυσιολογίαν ἐσχολακότες μυρίαις μὲν μηχαναῖς, πολλοῖς δὲ ὅσοις πειράμασι καὶ χυμικαῖς ἀναλύσεσι, καὶ ταῖς τῶν πολλῶν αἰώνων πολυειδέσι βασάνοις ἐξακριβοῦσι τῶν σωμάτων τὰ ἰδιώματα, τὸν αὐτὸν καὶ οὗτοι τρόπον διὰ μυρίων πειρασμῶν, καὶ πολλῶν τῶν κατὰ τὴν πρᾶξιν πειραμάτων, καὶ μακροτάτων ἐτῶν (ἔστι γάρ που παρ' αὐτοῖς ἰδεῖν καὶ λόγον ἕνα μονώτατον διὰ πεντήκοντα χρόνων βασανιζόμενον), ναὶ μὴν καὶ τῇ ὁδηγίᾳ τοῦ φωτίζοντος Πνεύματος τὰ βάθη τῆς ἠθικῆς Φιλοσοφίας ἀνακαλύψαντες, καὶ τὰς ἀρετὰς τῶν ἐφ' ἑκάτερα ὑπερβολῶν καὶ ἐλλείψεων ἐκκαθάραντες, οὕτω τὸν διπλοῦν ἐκδιδάσκουσι τὴν τετραπλῆν ἀπάθειαν, τὴν τελειοποιὸν ὑπακοήν, τὴν πανάρετον ταπείνωσιν, τὴν θεαυγεστάτην διάκρισιν, τὴν εὐχάριστον ὑποδοχήν, τὴν θεομίμητον εὐσπλαγχνίαν, τὴν ψυχοσώτειραν ἐλεημοσύνην, τὴν ἀέναον προσευχήν, τὴν συντετριμμένην μετάνοιαν, τὴν ἀληθῆ ἐξομολόγησιν, τὴν ἀκατάγνωστον συνείδησιν, τὴν θεοποιὸν ἀγάπην, καὶ τὴν λοιπὴν χρυσῆν σειρὰν τῶν ἀρετῶν.

Καὶ τίνες μὲν αὐτῶν, φιλοσοφοῦσι, σωματικαί· τίνες ψυχικαί· καὶ τίνες νοεραί· καὶ πῶς· καὶ ὅσον· καὶ τίνος ἕνεκα ἐνεργούμεναι, εὐπρόσδεκτοι ἢ τοὐναντίον ἀποτελοῦνται· καὶ τίνα μὲν πάθη τὰ γενικά τε καὶ εἰδικά, τίνα δ' αὖ τὰ σωματικά, ψυχικά τε καὶ νοερά· καὶ πῶς ἄν τις τούτων ῥᾳδίως ἀπαλλαγείη· καὶ ἵνα συνελὼν εἴπω, πάνθ' ὅσα τελειοῦν οἶδε τὸν κατὰ Χριστὸν ἄνθρωπον ἐπὶ λεπτοῦ ἑρμηνεύουσι. Καὶ τὸ δὴ θαυμαστὸν τοῦτ' ἔστιν, ὅτι τῶν μακαρίων τούτων Γερόντων οἱ λόγοι, εἰ καὶ ἁπλοϊκοὶ καὶ ἰδιωτικῇ φράσει συντεθειμένοι, ἀλλ' οὖν τοσοῦτον πλουτοῦσι τὸ ἐνεργὸν καὶ δραστήριον, ὥστε πάντας μικροῦ δεῖν καταπείθειν τοὺς ἐντυγχάνοντας· πολλῶν γὰρ πολλάκις ἐκ διαφόρων γραφῶν πρός τινας διαλεγομένων, καὶ πεῖσαι τούτους οὐδαμῶς δυναμένων, λόγος εἷς, ἡ πρᾶξις τῶν σοφῶν τουτωνὶ Πατέρων εἰς μέσον ἐμπεσόντα ἔπεισαν αὐτίκα καὶ πρὸς συγκατάθεσιν εἵλκυσε τοὺς ἀκροατάς· εἰ γὰρ καὶ κατὰ τοὺς σοφοὺς τὸ τῆς ἠθικῆς ὄργανον τέλος ἔχει τὸ πιθανῶς εἰπεῖν· τῶν γε μὴν Πατέρων οἱ λόγοι ἔχουσί πως μετὰ τοῦ πιθανοῦ καὶ τὸ βίαιον, καὶ τὴν πειθανάγκην (πῶς εἴπω;) προβάλλοντας, ἐκ τῶν πραγμάτων πάντως ἐχόντων τὸ τῆς ἀληθείας αὐτόπιστον· ἀλλὰ γάρ, καὶ ἡ λέγουσα παροιμία «εἶδες νέον τρέχοντα, Γέρων ἠπάτησεν αὐτόν», αὐτὸ τοῦτο προσβεβαιοῖ, ὥστ' ἄρα ὁ γνώμονάς τινας, καὶ ὅρους, καὶ θεσμοὺς τῆς ἠθικῆς Φιλοσοφίας τοὺς τῶν θείων τούτων Πατέρων λόγους ἀποκαλέσας ἅπασαν ἐρεῖ τὴν ἀλήθειαν.


Τούτους τοιγαροῦν κοινωφελεστάτους εἰδὼς καὶ Παῦλος ἐκεῖνος ὁ ἐν Μοναχοῖς Ὁσιώτατος ὁ τῆς Σεβασμίας Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος ἐπικεκλημένης Κτήτωρ χρηματίσας, καὶ διὰ τοῦτο Εὐεργετινὸς ἐπιφημιζόμενος, τῇδε κἀκεῖσε διεσπαρμένους εἰς κεφάλαια ἄττα καὶ ὑποθέσεις ἀναγαγὼν διὰ τὸ εὐσύνοπτον, καὶ ἐν τέσσαρσι βιβλίοις διελών, εἰς ἑνὸς σώματος ὁλοκληρίαν συνήγαγε. Καὶ ἦν ἀτεχνῶς τὸ βιβλίον χρῆμά τι ποθεινὸν μὲν παρὰ πᾶσι τοῖς εἰδόσι καὶ χρησιμώτατον, διὰ δὲ τοὺς περὶ τὸ ἀντιγράφειν ἱδρῶτάς τε καὶ δαπάνας καὶ πάνυ ὀλίγοις εὐπόριστον· τοῖς δὲ μὴ εἰδόσι διά τε τὴν σπάνιν, καὶ τὸ μηδέποτε τύποις ἐκδοθῆναι, οὐδὲ εἴ ἐστιν ἀγνοούμενον. Ἦν δ' ἄρα περιμένον, ὡς ἔνεστιν εἰκάσαι ἀπὸ τῆς ἐκβάσεως, τὸν ἐπὶ κοινῇ τῶν πάντων ὠφελείᾳ τύποις ἐκδώσοντα, καὶ τὸ καθαρὸν τοῦτο καὶ λογικὸν ἀργύριον τοῖς γνωστικοῖς παραθήσοντα τραπεζίταις. Οὗτος δὲ ἦν ὁ πάντα ἄριστος, θεο-

σεβέστατός τε καὶ εὐγενέστατος Κύριος Ἰωάννης Καννᾶς· οὗτινος φιλόθεος μὲν ἡ ψυχή, χριστομίμητος δὲ ὁ τρόπος· φιλόπτωχος ἡ προαίρεσις· ἐλευθέριος ἡ γνώμη· καὶ τὰ κατ' ἄμφω προτερήματα λαμπρὰ καὶ διάσημα. Εἶπεν ἄς τις μιᾷ τῇ ἑαυτοῦ ψυχῇ πάσας ὡς ἀπὸ συνθήματος ἐνοικῆσαι τὰς ἠθικὰς ἀρετάς.

Οὗτος δὴ οὖν οὗτος ὁ ἐν ἁμίλλαις ἀγαθαῖς ἐνὶ μηδενὶ ἐξιστάμενος τῶν πρωτείων, ἀλλὰ πάντα λίθον κινῶν, τὸ τῆς παροιμίας, ὥστε μὴ κατόπιν τῶν ἄλλων ἀπολειφθῆναι, ὅση δὲ δύναμις, καὶ προτερεύειν ἐν τοῖς τοιούτοις φιλονεικῶν, ὁ ἐν πᾶσι τοῖς τὸ κοινὸν ὠφελοῦσιν ἐνεργὸς καὶ δραστήριος, ὡς ἑρμαίῳ τινὶ πολυκερδεστάτῳ τῷ πράγματι περιτυχών, καὶ ζῆλον θερμότατον ὑπὲρ τῶν ἀδελφῶν πνέων, μᾶλλον δὲ ὑπὸ τῆς ἄνωθεν χάριτος ἐμπνεόμενος, αὐθαιρέτως, αὐτοβουλήτως ἐπὶ τὴν ἐγχείρησιν ηὐτομόλησεν· ἔδει γὰρ ἔδει τὸν ἠθικαῖς ἀρεταῖς καταγλαϊζόμενον καὶ τὴν ἠθικὴν Βίβλον ἐξοικειοῦσθαι κατάλληλα. Καὶ δή, τοῦ προτέρου σκότους καὶ τῆς ὡς ὑπὸ μόδιον συγκαλύψεως ἐξαρπάσας τὸν παμφαέστατον τουτονὶ τῆς ἠθικῆς λύχνον, καὶ τὴν ὑψηλὴν ταύτην λυχνίαν, καὶ τὴν ὑπερτάτην σκοπιὰν τῆς τυπογραφίας ἰδίαις δαπάναις μετεωρίσας, δαψιλέστατον μὲν πᾶσι καὶ εὐπόριστον παρασκευάζει τὸ τούτου φῶς, γνώριμον δὲ εἰς πᾶσαν, μικροῦ δεῖν, τὴν οἰκουμένην ἀποκαθίστησιν, ὅσην ὁ σωτήριος φθόγγος ἐπέδραμε· καὶ διὰ τούτου μὲν εἰς τὴν τῶν ἀρετῶν ἐργασίαν, δι' αὐτῶν δὲ εἰς τὴν τοῦ Θεοῦ δόξαν διεγείρων τοὺς ἅπαντας, συνεργὸς τῆς τοῦ Θεοῦ δόξης ἐν τῷ μέρει τούτῳ καθίσταται· Θεοῦ δὲ δόξῃ συντρέχειν δόξα ὁμολογουμένως ἐστὶν ὑπερένδοξος. Ὁρᾶτε τὸ ὕψος τῆς τιμῆς ὅσον;

Τούτου τοιγαροῦν τοῦ ἀκριβεστάτου ὅρου τῶν ἀρετῶν, τοῦ τῆς ἀπαθείας διδασκαλείου, τοῦ γηραλέου τῶν σοφῶν Πατέρων φρονήματος, τῶν πρεσβυτικῶν συμβουλῶν τοῦ σεμνοῦ διηγήματος, καὶ ἐνὶ λόγῳ, τοῦ τῶν ἠθικῶν ἀγαθῶν ἁπάντων ἁπαξαπλῶς ταμείου, ἀρτίως εἰς φῶς ἐξενηνεγμένου, σιγάτωσαν Σόλωνες· ῥείτωσαν Λυκοῦργοι· ἐγκαλυπτέσθωσαν Σωκράται· κρυβήτωσαν Ἀριστοτέλεις καὶ Πλάτωνες, καὶ ὅσοι δή τινες ἄλλοι τῶν θύραθεν, ἢ νῦν, ἢ πρότερον περὶ ἠθικῶν ἀρετῶν συνεγράψαντο, ἅπαντες ὡς ἀπὸ συνθήματος τῶν πρεσβείων τῇ βίβλῳ παραχωρείτωσαν· ὅτι τοῦ τῆς ἠθικῆς τέλους πόρρω που πλανηθέντες (φημὶ δὴ τοῦ ὄντος καλοῦ), οὐ τὸν Θεὸν καὶ μόνον ἀκρόατον ὄντα τῶν ἀγαθῶν, καὶ πρὸς ὃν ἀρετὴ πᾶσα ἰθυνομένη μισθοῦ ἀξιοῦται, τῆς οἰκείας φιλοσοφίας ἔσχον συμπέρασμα, ἀλλὰ τὸ κατὰ φύσιν πρόσκαιρον ἀγαθόν· τοῦ δὲ τέλους ἀποτυχόντες, δῆλον ὅτι οὐδὲ ἀρετὰς ἀληθεῖς ἐκδιδάσκουσιν, εἴπερ ἀπὸ τοῦ τέλους κατ' αὐτοὺς πᾶσα ἕξις εἰδοποιεῖται.

Ὑμεῖς δ' ἅπαντες οἱ τῆς ἐπουρανίου καὶ ὀρθοδόξου κλήσεως μέτοχοι, ὅσοι πρὸς μόνον ὁρῶντες Θεόν, τὰς ὑμετέρας ψυχὰς παντοίοις εἴδεσι τῶν ἀρετῶν κοσμῆσαι ἐθέλετε, καθάπερ χρυσᾶς κίονας τὰς ὑμετέρας ὑποστήσαντες χεῖρας, ὡς δρᾶγμα ἱερόν, τὸ τοῦ Νόμου φᾶναι, καὶ Ἁγίαν ἀγκάλην μετὰ πολλῆς θυμηδίας ἀγκαλισάμενοι ἐνστερνίσθητε, καὶ θαμινῶς αὐτὴν ἀναγινώσκοντες, καὶ τοὺς τῆς ὠφελείας καρποὺς ἁδροτάτους ἀποδρεπόμενοι, μὴ ἀποκάμητε, παρακαλῶ, τῷ Κυρίῳ πρεσβεύοντες ὑπὲρ τοῦ διὰ δαπάνης φυτεύσαντος, ναὶ μὴν καὶ τοῦ διὰ συνεργίας ποτίσαντος· οὕτω γὰρ ἂν καὶ εὐγνώμονα διάθεσιν ἐπιδείξητε, ἵνα τοὺς Πατέρας τούτους ἀγαπῶντες, ὅτι καὶ «Κύριος προείλετο ἀγαπᾶν αὐτούς» καὶ τούτους ὁσημέραι ἐπερωτῶντες, ταῖς γηραλέαις καὶ θεοσόφοις αὐτῶν παραινέσεσιν, οἱόν τισι κανόσι τὰ κατὰ τὸν ὑμέτερον βίον ῥυθμίζετε κατὰ τὴν κελεύουσαν ἐντολήν, «ἐπερώτησον τὸν Πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσι σοι»· ῥυθμίζοντες δὲ τῶν ἠθικῶν ἀρετῶν ἐργάται δειχθείητε· ἐργαζόμενοι δὲ ταύτας, δοξάζητε τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς σὺν τῷ μονογενεῖ αὐτοῦ Υἱῷ, καὶ τῷ ζωοποιῷ αὐτοῦ Πνεύματι, τὸν ἕνα τῶν ἁπάντων Θεόν. Ὧ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!



Υμεῖς γὰρ ναὸς Θεοῦ ἔστε ζῶντος, καθὼς εἶπεν ὁ Θεὸς ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός. Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, λέγει Κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς. Καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος Παντοκράτωρ.

(Β' Κορινθ. ΣΤ' 16—18).



Ἡ τῶν μετανοούντων δαψιλὴς ΕΥΕΡΓΕΤΙΣ



Ὅτι οὐ δεῖ ἀπογνῶναι τινὰ ἑαυτόν ποτε, κἂν πολλὰ ἥμαρτεν, ἀλλὰ διὰ μετανοίας ἐλπίσαι τὴν σωτηρίαν

Κανεὶς ποτὲ δὲν πρέπει νὰ ἀπελπίζεται, ἔστω καὶ ἐὰν διέπραξε πολλὰς ἁμαρτίας, ἀλλὰ νὰ ἐλπίζῃ, ὅτι διὰ τῆς μετανοίας θὰ σωθῇ.

Α'. Τοῦ Ἁγίου Παλλαδίου



ΟΣΙΟΣ ΠΑΤΗΡ ἡμῶν Ἰωάννης ὁ ἐν Λυκῷ, περὶ οὗ σαφέστερον καὶ ἕτερον διαλαμβάνει κεφάλαιον, τὸ περὶ τοῦ φεύγειν τὰς τῶν γυναικῶν ὁμιλίας, καὶ τοῦτο ἡμῖν διηγήσατο.

1. Ἦν γάρ φησί τις νεανίας ἐν πόλει, πάμπολλα ἁμαρτήσας καὶ χαλεπά, ὅς νεύματι Θεοῦ κατανυγεὶς ἐπὶ ταῖς πολλαῖς αὐτοῦ ἁμαρτίαις καὶ τοὺς τάφους καταλαβών, καὶ ἐν ἑνὶ τούτων ἑαυτὸν κατακλείσας, τὴν προτέραν ἑαυτοῦ ζωὴν ἀπωδύρετο, πρηνὴς κείμενος καὶ στεναγμοὺς συνεχεῖς κάτωθεν ἐκ βάθους καρδίας ἀναπεμπόμενος.

Ἑβδομάδος οὖν ἐπ' αὐτῷ παρελθούσης, ἐπέστησαν αὐτῷ νυκτὸς οἱ τὸ πρὶν αὐτοῦ τὴν ζωὴν παραβλάψαντες δαίμονες κεκραγότες καὶ λέγοντες· ποῦ ὁ μιαρὸς ἐστιν ἐκεῖνος ὁ ταῖς λαγνείαις ἱκανῶς πορευθεὶς νῦν ἡμῖν ἄκαιρος σώφρων ἐξαίφνης καὶ καλὸς ἀνεφάνη· καὶ ὅτε οὐκέτι δύναται, τότε χριστιανὸς καὶ εὔτακτος εἶναι βούλεται· καὶ τί καλὸν ἔσεσθαι ἑαυτῷ προσδοκᾷ ἐμφορηθεὶς τῶν ἡμετέρων κακῶν;

Οὐκ ἀναστήσῃ ταχὺ ἐκεῖθεν; οὐκ ἐπὶ τὰ συνήθη μεθ' ἡμῶν ἥξεις; μένουσί σε πόρναι καὶ κάπηλοι· οὐκ ἐλεύσει καὶ τῶν ἐπιθυμιῶν σου ἀπολαύσεις; Πάσης σοι

τῆς ἄλλης ἐλπίδος κατασβεσθείσης, ἥξει σοι ταχεῖα ἡ κρίσις, οὕτω σεαυτὸν ἀναιροῦντι· καὶ τί σπεύδεις πρὸς τιμωρίαν, ἄθλιε; τί δὲ φιλονικεῖς θᾶττον ἐπελθεῖν σοι τὴν δίκην; ἀνομίαν ἤσκησας πᾶσαν· πάντων ἡμῶν ὑπεύθυνος γέγονας καὶ δραπετεύειν τολμᾷς; οὐκ ἀποκρίνῃ; οὐ συντάσσῃ; οὐ συνεξελεύσῃ;

Ὡς δὲ ἐκεῖνος τῷ πένθει προσκαρτερῶν οὐκ ἀπεκρίνατο, μηδὲ τὴν ἀκοὴν ὑπέχων, κἀκεῖνοι ὡς μηδὲν ἀνύσαντες διαλαβόντες αὐτόν, ᾔκιζον χαλεπῶς· καὶ ἅπαν τὸ σῶμα αὐτοῦ ταῖς βασάνοις καταξάναντες ἡμιθανῆ καταλιπόντες, ᾤχοντο· ὁ δὲ τῇ ἀνενδότῳ μετανοίᾳ στένων πάλιν ἔμενεν ἀκίνητος.

Ἀναζητησάντων δὲ τῶν οἰκείων αὐτοῦ καὶ εὑρόντων καὶ τὴν αἰτίαν τῆς συμφορᾶς μαθόντων καὶ οἴκαδε ἀπαγαγεῖν αὐτὸν ἀξιούντων, αὐτὸς οὐ κατεδέξατο.

Καὶ πάλιν τῇ ἐπελθούσῃ νυκτὶ ἐπελθόντες οἱ δαίμονες, χείρονας τῶν προτέρων τὰς βασάνους αὐτῷ ἐπάγουσιν· ὡς δὲ πάλιν οἱ προσήκοντες προσελθόντες μεταστῆσαι αὐτὸν τοῦ τόπου οὐκ ἔπειθον, κρεῖττον εἶναι τεθνάναι λέγοντα ἢ τῇ πρώτῃ ἀσωτίᾳ περιπεσεῖν, ἡ τρίτη νὺξ ὑπὸ τῶν δαιμόνων παρὰ μικρὸν τοῦ ζῆν αὐτὸν ἀπήλλαξεν ἀνηλεῶς ταῖς βασάνοις αὐτῷ ἐπιπεσόντων.

Ὡς δὲ οὐκ εἶδον αὐτὸν ἐνδιδόντα, ὑποχωροῦντες ἐκραύγαζον λέγοντες· ἐνίκησας, ἐνίκησας, ἐνίκησας· καὶ οὐκέτι αὐτῷ δεινόν τι συνήντησεν, ἀλλὰ καθαρῶς ἐνήσκησε ταῖς ἀρεταῖς ἕως τέλους ζωῆς αὐτοῦ τὸν τάφον οἰκήσας καὶ Θεῷ γενόμενος τίμιος ἐν δυνάμεσι καὶ θαυμάτων ἐπιδείξεσιν.

Ἑρμηνεία

Ο ΟΣΙΟΣ ΠΑΤΗΡ ἡμῶν Ἰωάννης, ποὺ ἠσκήτευσεν εἰς ἓν ὄρος πλησίον τῆς πόλεως Λυκὼ καὶ περὶ τοῦ ὁποίου ἀναφέρει λεπτομερέστερον ἄλλο κεφάλαιον, διηγήθη εἰς ἡμᾶς καὶ τοῦτο, περὶ τῆς ἀνάγκης νὰ ἀποφεύγωμεν τὰς συναναστροφὰς μετὰ τῶν γυναικῶν.

1. Ἔζη — ἔλεγε — κάποτε εἰς τὴν πόλιν ἕνας νέος, ὁ ὁποῖος διέπραξε πολλὰς καὶ φοβερὰς ἁμαρτίας. Αὐτὸς λοιπὸν ὁ νέος ἠλέγχθη σφοδρῶς ὑπὸ τῆς συνειδήσεώς του, διὰ τὰς πολλὰς ἁμαρτίας του, καὶ μὲ τὴν βοήθειαν τοῦ Θεοῦ μετενόησεν. Ὑπὸ τὸ κράτος δὲ τῆς μετανοίας ἦλθεν εἰς τὴν περιοχὴν τῶν τάφων, ὅπου ἐγκατεστάθη εἰς ἕνα ἐξ αὐτῶν καὶ ἐθρηνολογοῦσε τὴν προηγουμένην ζωήν του, πεσμένος μὲ τὸ πρόσωπον κατὰ γῆς καὶ συνεχῶς ἀναστενάζων ἀπὸ τὰ βάθη τῆς καρδίας του.

Ἀφοῦ ἐπέρασε μία ἑβδομάς, εἰς αὐτὴν τὴν κατάστασιν τῆς ἐπιμόνου καὶ σκληρᾶς μετανοίας, κατέφθασαν πλησίον του, ἐν καιρῷ νυκτός, οἱ δαίμονες, ποὺ ἔβλαψαν πρὶν τὴν ζωήν του, φωνασκοῦντες καὶ κραυγάζοντες: Ποῦ εἶναι ἐκεῖνος ὁ μιαρός, ὁ ὁποῖος ἀφοῦ ἐπέρασε καλὰ - καλὰ τὴν ζωήν του μέσα εἰς ἀσελγείας καὶ ἀνηθικότητας ἔρχεται τώρα, ἔξαφνα, νὰ μᾶς κάνῃ τὸν καλὸν καὶ τὸν σώφρονα; Καὶ τώρα πλέον, ποὺ δὲν δύναται νὰ διασκεδάζῃ καὶ νὰ ἀπολαμβάνῃ τὰς ἡδονάς, θέλει νὰ γίνῃ χριστιανὸς καὶ ἐνάρετος; Καὶ ποῖον καλὸν περιμένει εἰς τὴν ζωήν του, τώρα ποὺ εἶναι γεμᾶτος μὲ τὰ ἰδικά μας κακά;

—Ἔ! σύ, δὲν θὰ σηκωθῇς καμμιὰ φορὰ ἀπ' ἐκεῖ; Δὲν θὰ ἔλθῃς συντροφιὰ μαζί μας, εἰς τοὺς συνηθισμένους τόπους τῆς ἁμαρτίας καὶ τῆς

ἀκολασίας; Σὲ περιμένουν πόρναι καὶ οἰνοπῶλαι· δὲν θὰ ἔλθῃς λοιπὸν νὰ ἱκανοποιήσῃς τὰς ἐπιθυμίας σου; Μετὰ ἀπὸ τόσας ἁμαρτίας ποὺ διέπραξες μέχρι σήμερον, ἔχασες πλέον πᾶσαν ἐλπίδα σωτηρίας καὶ τοιουτοτρόπως, ἄθλιε, βαδίζεις ὁλοταχῶς πρὸς τὴν τιμωρίαν σου, ἐὰν συνεχίσῃς νὰ θανατώνῃς τὸν ἑαυτόν σου. Διατί εἶσαι πεισματάρης καὶ ἐπισπεύδεις τὴν καταδίκην σου; Ὅ,τι παρανομία ὑπῆρχε τὴν διέπραξες· κατέστης συνυπεύθυνος μὲ ἡμᾶς εἰς ὅλα τὰ ἐγκλήματα καὶ τώρα τολμᾷς νὰ φεύγῃς ἀπὸ τὴν συντροφιά μας; Δὲν ἀποκρίνεσαι; Δὲν συμφωνεῖς μὲ τὰς προτάσεις μας; Δὲν θὰ ἐγκαταλείψῃς αὐτὸν τὸν τόπον νὰ ἔλθῃς μαζί μας;

Ἐπειδὴ δὲ ἐκεῖνος ἐπέμενεν εἰς τὸ πένθος τῆς μετανοίας καὶ ἐφαίνετο ὡς νὰ μὴ ἀκούῃ τὰς προτροπὰς τῶν δαιμόνων, δὲν ἀπήντησε καθόλου· τότε οἱ δαίμονες, βλέποντες, ὅτι δὲν ἐπέτυχον τίποτε μὲ τοὺς λόγους, τὸν ἔπιασαν, τὸν ἔδειραν σκληρότατα καὶ ἀφοῦ τὸν κατεπλήγωσαν, ἔφυγον ἐγκαταλείψαντες αὐτὸν μισοπεθαμένον. Ἀλλὰ καὶ πάλιν ὁ νέος παρέμεινεν ἀκλόνητος εἰς τὴν θέσιν του ἀναστενάζων καὶ ἐπιμένων εἰς τὴν ἀνένδοτον μετάνοιαν.

Ἐν τῷ μεταξὺ τὸν ἀνεζήτησαν οἱ συγγενεῖς του, οἱ ὁποῖοι ἐπὶ τέλους τὸν ἀνεῦρον· ἀφοῦ δὲ ἔμαθον τὴν αἰτίαν τῆς συμφορᾶς, δηλαδὴ τὴν θρασεῖαν ἐπίθεσιν τῶν δαιμόνων, ἐπέμεναν νὰ τὸν μεταφέρουν εἰς τὸ σπίτι των· αὐτὸς ὅμως δὲν ἐδέχετο νὰ ἐγκαταλείψῃ τὸν τόπον τῆς μετανοίας του.

Τὴν ἑπομένην νύκτα τοῦ ἐπετέθησαν καὶ πάλιν οἱ δαίμονες καὶ τὸν ἐβασάνισαν ἀκόμη περισσότερον. Οἱ συγγενεῖς του τὸν ἐπεσκέφθησαν διὰ δευτέραν φοράν, χωρὶς ὅμως νὰ τὸν πείσουν νὰ ἀφήσῃ τὸν τόπον τῆς τιμωρίας του καὶ νὰ τοὺς ἀκολουθήσῃ. Εἰς τὰς σχετικὰς προτροπάς των ἀπαντοῦσε μὲ ὑπομονὴν καὶ ἐγκαρτέρησιν.

— Μὴ μὲ πιέζετε· προτιμῶ νὰ πεθάνω, παρὰ νὰ ἐπανέλθω εἰς τὴν προηγουμένην ἄσωτον ζωήν μου.

Τὴν τρίτην νύκτα παρ' ὀλίγον νὰ ἀπέθνῃσκεν ἀπὸ τὰ σκληρὰ βασανιστήρια τῶν δαιμόνων, ποὺ τοῦ ἐπετέθησαν δριμύτεροι ἀπὸ κάθε ἄλλην φοράν.

Ἀφοῦ πλέον εἶδον οἱ δαίμονες, ὅτι τίποτε δὲν ἐπιτυγχάνουν καὶ μὲ τὰς ἀπειλὰς καὶ μὲ τὰ βασανιστήρια, διότι ὁ νέος μὲ κανένα φόβητρον δὲν ἤλλασσε γνώμην, ἀπεχώρησαν καὶ τὸν ἐγκατέλειψαν.

Φεύγοντες ἀπὸ κοντά του ἐκραύγαζον μὲ μανίαν.

— Μᾶς ἐνίκησες· μᾶς ἐνίκησες· μᾶς ἐνίκησες!

Ἔκτοτε τίποτε κακὸν δὲν συνέβη εἰς τὸν νέον, ἀλλὰ ἐπραγματοποίησε μὲ καθαρὰν συνείδησιν ὅλας τὰς ἀρετάς· μέχρι τέλους δὲ τῆς ζωῆς του παρέμεινεν εἰς τὸν τάφον, τὸν ὁποῖον ἐχρησιμοποίησεν ὡς ἀσκητήριον καὶ ἐτιμήθη ὑπὸ τοῦ Θεοῦ μὲ χαρίσματα θαυματουργίας.

Β' Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητική, ὅτι τὰς ἀμελεῖς καὶ ραθύμους ψυχάς, καὶ ὑπναρκώσας εἰς τὴν τοῦ καλοῦ προκοπήν, ἔτι δὲ καὶ πρὸς ἀπόγνωσιν εὐχερεῖς, ἐπαινεῖν δεῖ καὶ κἂν μικρόν τι καλὸν ἐνδείξονται καὶ θαυμάζειν καὶ μεγαλύνειν

αὐτό· τὰ δὲ σφοδρὰ καὶ μέγιστα πλημμελήματα ἐλάχιστα καὶ οὐδαμινὰ ἀποκαλεῖν· ὁ γὰρ διάβολος βουλόμενος πάντα διαστρέφειν εἰς τὴν ἡμῶν ἀπώλειαν, ἐν μὲν τοῖς σπουδαίοις καὶ ἀσκητικοῖς κρύπτειν πειρᾶται τὰ ἁμαρτήματα, καὶ εἰς λήθην τούτων ἄγειν αὐτούς, ἵνα τὴν ὑπερηφανίαν αὐτοῖς ἐμποιήσῃ· ἐπὶ δὲ τῶν νεηλύδων καὶ ἀκροπαγῶν ψυχῶν, μετὰ προσθήκης τὰ ἁμαρτήματα πρὸ ὀφθαλμῶν τίθησι, τὴν ἀπόγνωσιν αὐταῖς μνηστευόμενος.

Τὰς οὖν οὕτω σαλευομένας ψυχάς, παραμυθητέον οὕτως· ὑπομιμνήσκειν δεῖ αὐτὰς τῆς ἀνεικάστου τοῦ Θεοῦ συμπαθείας καὶ ἀγαθότητος· καὶ ὅτι πολυέλεός ἐστιν ὁ Κύριος ἡμῶν καὶ εὔσπλαγχνος καὶ μακρόθυμος καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων.

Παράγειν τε αὐταῖς μαρτυρίας ἐκ τῶν θείων γραφῶν, τὴν ἀνεξιχνίαστον αὐτοῦ ἐπὶ τοὺς ἁμαρτήσαντας καὶ μετανοοῦντας δηλούσας συμπάθειαν· καὶ λέγειν· ὅτι Ῥαὰβ πόρνη ἦν, ἀλλ' ἐσώθη διὰ πίστεως· Παῦλος διώκτης ἦν· ἀλλὰ σκεῦος ἐκλογῆς γέγονε· καὶ ὁ λῃστὴς ἐσύλα καὶ ἐφόνευεν· ἀλλ' ἑνὶ λόγῳ, τὴν θύραν πρῶτος τοῦ Παραδείσου ἀνέῳξεν· ἔτι τὸν Ματθαῖον καὶ τὸν τελώνην καὶ τὸν ἄσωτον, καὶ τὰ ὅμοια τούτοις καταλέγειν· καὶ διὰ τούτων ἀνακαλεῖσθαι ταύτας τῆς ἀπογνώσεως.

Τὰς δὲ τῇ ὑπερηφανίᾳ ἁλισκομένας ψυχὰς θεραπεύειν ἐκ τῶν μειζόνων παραδειγμάτων· καὶ γὰρ καὶ τῶν γεηπόνων οἱ ἄριστοι, ἐπειδὰν μὲν φυτὸν βραχὺ καὶ ἀσθενὲς θεάσωνται, ποτίζουσι δαψιλῶς, καὶ ἐπιμελείας πολλῆς ἀξιοῦσι, πρὸς τὸ αὐξηθῆναι καὶ στερεωθῆναι· ἐπὰν δὲ ἐν φυτῷ πρόωρον βλάστην θεάσωνται, περιτέμνουσι τὰ περιττά, ἵνα μὴ ταχὺ ξηρανθῶσι· καὶ ἰατρῶν δὲ παῖδες, τινὰς μὲν τῶν ἀρρώστων τρέφουσι δαψιλῶς καὶ πρὸς περίπατον προτρέπονται, ἑτέρους δὲ ἀσιτίᾳ ἐπὶ πολὺ δεσμήσαντες, ἀπροΐτους φυλάττουσιν.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγε· πρέπει νὰ ἐπαινῶμεν τὰς ἀμελεῖς καὶ ὀκνηρὰς ψυχάς, τὰς ψυχὰς ποὺ εὐκόλως ἐξαντλοῦνται εἰς τὸν ἀγῶνα τοῦ καλοῦ, ἀκόμη δὲ καὶ τὰς ψυχὰς ποὺ εὐκόλως ἀπογοητεύρνται καὶ περιπίπτουν εἰς ἀπόγνωσιν· αὐτὰς μάλιστα τὰς ψυχὰς καὶ τὸ παραμικρότερον καλὸν ἐὰν παρουσιάσουν πρέπει νὰ τὸ μεγαλοποιοῦμεν καὶ νὰ τὸ θαυμάζωμεν δίδοντες θάρρος εἰς τὸν ἀγῶνα τοῦ καλοῦ· ἀπ' ἐναντίας, τὰ σοβαρὰ καὶ μεγάλα σφάλματά των νὰ τὰ χαρακτηρίζωμεν, ἐνώπιόν των, ὡς ἐλάχιστα καὶ ἀνάξια λόγου· διότι ὁ διάβολος, ποὺ θέλει ὅλα νὰ τὰ διαστρέφῃ, προκειμένου νὰ ἐπιτύχῃ τὴν ψυχικήν μας ἀπώλειαν, καταφεύγει εἰς τὴν ἑξῆς πανουργίαν. Εἰς μὲν τοὺς σπουδαίους καὶ ἀσκητικοὺς ἄνδρας προσπαθεῖ νὰ ἀποκρύψῃ τὰ ἁμαρτήματά των καὶ νὰ τοὺς κάνῃ νὰ τὰ λησμονοῦν, διὰ νὰ ἐμπνεύσῃ εἰς αὐτοὺς τὴν ὑπερηφάνειαν· ἀντιθέτως εἰς τοὺς νεοφερμένους, τῶν ὁποίων ἡ ψυχὴ δὲν ἔχει ἀκόμη στερεωθῇ καλὰ εἰς τὴν ἀσκητικὴν ζωήν, ἐμφανίζει συνεχῶς τὰ ἁμαρτήματά των ἐνώπιόν των, καὶ τὰ ἐξογκώνει μάλιστα, διὰ νὰ τοὺς φέρῃ εἰς ἀπόγνωσιν (ὥστε νὰ ἐγκαταλείψουν τὴν ἀσκητικήν των προσπάθειαν).

Δι' αὐτὸ λοιπόν, αὐτὰς τὰς ἀμφιταλαντευομένας ἀκόμη ψυχὰς πρέ-

πει μετὰ στοργῆς νὰ παρηγορῶμεν καὶ νὰ ὑπενθυμίζωμεν εἰς αὐτὰς συνεχῶς τὴν ἀνεξάντλητον συμπάθειαν καὶ καλωσύνην τοῦ Θεοῦ. Μεταξὺ ἄλλων, ἐπίσης, νὰ τονίζωμεν, ὅτι ὁ Κύριός μας εἶναι εὔσπλαγχνος καὶ μακρόθυμος καὶ ὅτι ἀνακαλεῖ τὰς δικαίας ἀποφάσεις του ἐναντίον τῶν κακῶν ἀνθρώπων, ἐφ' ὅσον βεβαίως καὶ οὗτοι μετανοήσουν.

Διὰ νὰ καθιστῶμεν μάλιστα πειστικὴν τὴν διδασκαλίαν ἡμῶν αὐτήν, νὰ φέρωμεν καὶ παραδείγματα ἀπὸ τὴν Ἁγίαν Γραφήν, ποὺ νὰ φανερώνουν εἰς τὰς ψυχὰς τῶν ἀκροατῶν μας τὴν ἀνεξιχνίαστον συμπάθειαν τοῦ Κυρίου εἰς ἐκείνους ποὺ ἡμάρτησαν καὶ μετενόησαν. Ἐπὶ παραδείγματι νὰ λέγωμεν, ὅτι ἡ Ῥαὰβ ὑπῆρξε πόρνη,* ἀλλὰ διὰ τῆς πίστεώς της ἐσώθη· ὁ Παῦλος ἦτο διώκτης, ἀλλ' ὅμως διὰ τῆς μετανοίας ἀνεδείχθη σκεῦος ἐκλογῆς· καὶ ὁ λῃστής, ποὺ συνεσταυρώθη μὲ τὸν Χριστὸν ἐπάνω εἰς τὸν Γολγοθᾶν, καὶ ἐλῄστευε καὶ ἐφόνευε· μὲ ἕνα ὅμως λόγον μετανοίας, τὸ «μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ Σου», ἤνοιξε πρῶτος τὴν θύραν τοῦ παραδείσου· ἀκόμη νὰ ἀναφέρωμεν τὴν περίπτωσιν τοῦ Ματθαίου, ποὺ ἐκλήθη εἰς τὸ Ἀποστολικὸν ἀξίωμα ὑπὸ τοῦ Κυρίου, ἂν καὶ προηγουμένως ἦτο τελώνης, νὰ διηγούμεθα τὴν παραβολὴν τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου, ὡς ἐπίσης καὶ τοῦ Ἀσώτου Υἱοῦ· ἐν γένει δὲ νὰ ἐξιστορῶμεν ὅλας τὰς σχετικὰς ἱστορίας, ποὺ τονίζουν τὴν ἀξίαν τῆς μετανοίας καὶ ἐξαίρουν τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ πρὸς τὸν μετανοοῦντα.

Ἀντιθέτως τὰς ψυχάς, ποὺ κυριεύονται ἀπὸ τὴν ὑπερηφάνειαν, πρέπει νὰ διορθώνωμεν, διὰ τῆς ἐξιστορήσεως παραδειγμάτων μεγαλυτέρων, ὥστε νὰ δίδωμεν εἰς αὐτὰς θάρρος καὶ νὰ μὴ κατακυριεύωνται ἀπὸ τὴν ἀπόγνωσιν· ἂς παραδειγματισθῶμεν ἀπὸ τὸ ἔργον τῶν ἀρίστων κηπουρῶν, οἱ ὁποῖοι ὅταν ἰδοῦν, ὅτι ἕνα φυτὸν εἶναι μικρόσωμον καὶ ἀσθενικὸν τὸ ποτίζουν ἀφθόνως καὶ τὸ φροντίζουν πάρα πολύ, διὰ νὰ μεγαλώσῃ καὶ νὰ στερεωθῇ· ἀντιθέτως, ὅταν ἰδοῦν εἰς ἕνα φυτὸν μίαν πρόωρον ἀνάπτυξιν τῶν κλάδων, ἀμέσως κλαδεύουν τὰ ἄχρηστα κλαδιά, διὰ νὰ μὴ ξηρανθῇ γρήγορα. Ἀλλὰ καὶ οἱ ἰατροὶ ἄλλους μὲν ἐκ τῶν ἀρρώστων διατρέφουν πλουσίως καὶ τοὺς προτρέπουν νὰ κάνουν περίπατον, ἐνῷ εἰς ἄλλους ἐπιβάλλουν αὐστηρὰν δίαιταν καὶ τοὺς ὑποχρεώνουν νὰ παραμένουν ἀκίνητοι.

Γ΄ Τοῦ Ἁγίου Παλλαδίου

ΕΜΑΘΟΝ περὶ Μωϋσέως τοῦ αἰθίοπος, ὃς ἦν ὀνομαστότατος ἐν τοῖς κατὰ σκῆτιν πατράσιν, ὅτι πρὸ τοῦ γενέσθαι Μοναχός, οἰκέτης ὑπῆρχε πολιτευομένου τινός· καὶ διὰ τὴν πολλὴν αὐτοῦ δυστροπίαν, καὶ τὸ τοῦ ἤθους μιαιφόνον καὶ ἄγριον,

*Γυνὴ πόρνη ἐκ τῆς πόλεως Ἱεριχοῦς, ἡ ὁποία ἐβοήθησε τοὺς Ἰσραηλίτας κατασκόπους τοὺς ἀποσταλέντας ὑπὸ τοῦ Ἰησοῦ τοῦ Ναυῆ διὰ νὰ κατασκοπεύσουν τὴν γῆν, εἰς τὴν ὁποίαν ἐπρόκειτο νὰ εἰσέλθῃ ὁ λαὸς (Ἰησοῦς τοῦ Ναυῆ Β΄, 1 - 21, ΣΤ΄, 17 - 25).

ἔρριψεν αὐτὸν ὁ ἴδιος δεσπότης· ὁ δὲ ἀπελθών, γέγονε λῃστής· καὶ διὰ τὸ τῆς ἰσχύος αὐτοῦ ὑπερβολικόν, γέγονεν ἀφηγούμενος τῶν ἄλλων λῃστῶν.

Φέρεται δὲ καὶ τοῦτο ἐν τοῖς λῃστρικοῖς ἔργοις αὐτοῦ· ὅτι ποιμένι τινὶ ἐμνησικάκησε διὰ τὸ ἐμποδισθῆναι ὑπ' αὐτοῦ διὰ τῶν τῆς ποίμνης κυνῶν εἴς τινα λῃστείαν ἀπιὼν ἐν νυκτί· ὅν τινα ποιμένα καὶ ζητῶν ἀποκτεῖναι, ἐπιμελῶς ἠρεύνα ποῦ μετὰ τῶν προβάτων διάγει.

Ὡς δὲ ἔμαθεν αὐτὸν πέραν εἶναι τοῦ Νείλου, πλημμυροῦντος τότε τοῦ ποταμοῦ καὶ τοῦ ρεύματος ἐπὶ ἓν σημεῖον πλατυνομένου, ὁ Μωϋσῆς ἐκδὺς τὸν χιτωνίσκον ὃν ἐνεδέδυτο, καὶ ἐπιθεὶς τῇ ἑαυτοῦ κεφαλῇ, καὶ τὴν μάχαιραν δακὼν ἐν τῷ στόματι, ἔβαλεν ἑαυτὸν εἰς τὸν ποταμόν· καὶ κολυμβήσας, διεπέρασεν· ὁ δὲ ποιμὴν ἰδὼν αὐτὸν μήκοθεν διακολυμβῶντα ᾤχετο φεύγων καὶ κατέκρυψεν ἑαυτόν.

Ὁ δὲ Μωϋσῆς ἀποτυχὼν τοῦ ποιμένος, τὴν μανίαν αὐτοῦ εἰς τὸ ποίμνιον ἔτρεψε· καὶ σφάξας τέσσαρας κριοὺς τοὺς τῶν ἄλλων κρείττονας, καὶ ὡς ἐν σειρᾷ δήσας, τὸν Νεῖλον αὖθις κολυμβῶν διεπέρασε· καὶ ἐλθὼν εἴς τι προαύλιον, ἀπέδειρε τοὺς κριούς· καὶ πῦρ ἀνάψας, καὶ φαγὼν τὰ κάλλιστα τῶν κρεῶν, εἰς οἶνόν τε διαπωλήσας τὰ κώδια, καὶ πιὼν σαΐτην ὡς ἰταλικῶν δεκαοκτώ, πεντήκοντα σημεῖα ἀπῆλθεν ὅπου τὸ λῃστήριον εἶχεν.

Οὗτος ὀψέποτε ἔκ τινος περιστάσεως κατανυγείς, καὶ τοῦ προτέρου καταγνοὺς βίου, προσῆλθε τῇ μοναδικῇ πολιτείᾳ· καὶ λαβὼν ἐν σκήτει κελλίον, ἄκραν ἄσκησιν ἐπεδείξατο.

Λέγεται δὲ ὅτι κατ' ἀρχὰς τῆς αὐτοῦ ἀποταγῆς, ἡνίκα τὸ κελλίον ἔλαβεν, ἐπῆλθον αὐτῷ λῃσταὶ τέσσαρες, ἀγνοήσαντες ὅτι ὁ Μωϋσῆς ἐστιν οὗτος· οὓς συλλαβὼν ἐκεῖνος, καὶ δήσας, ἐπιθεὶς τοῖς ἰδίοις ὤμοις οἷα σάκκον πλήρη ἀχύρου, ἤνεγκεν εἰς τὴν ἐκκλησίαν τῶν ἀδελφῶν εἰπών· ἐπειδὴ οὐκέτι μοι ἔξεστιν ἀδικεῖν οὐδένα, εὗρον δὲ αὐτοὺς ἐπελθόντας μοι, τί κελεύετε περὶ τούτων; οὓς οἱ ἀδελφοὶ λύσαντες, ἀπέλυσαν.

Οἱ δὲ γνωρίσαντες τὸν Μωϋσέα, καὶ ἰδόντες αὐτοῦ τὴν μετάνοιαν οὐκέτι οὐδὲ αὐτοὶ εἰς τὸν πρότερον βίον ἐπανελθεῖν ἠβουλήθησαν· ἀλλ' ἀποταξάμενοι κἀκεῖνοι τῷ τοῦ Μωϋσέως ὑποδείγματι, γεγόνασι Μοναχοὶ δοκιμώτατοι.

Ὁ δὲ Μωϋσῆς τοιαύτην ἄσκησιν ἐπεδείξατο, περὶ ἧς καὶ ἐν ἄλλοις ἐγράφη· καὶ οὕτω πρὸς τοὺς δαίμονας ἐπολέμησε πᾶσαν μετελθὼν πολιτείαν σκληραγωγίας, ὥστε αὐτὸν καὶ τοῖς μεγάλοις καὶ ἄκροις τῶν Πατέρων συναριθμηθῆναι, γενέσθαι τε πρεσβύτερον, καὶ μεγίστης χαρίσμασι τοῦ πνεύματος διαλάμψαντα, οὕτω τελευτῆσαι, καταλιπόντα καὶ μαθητὰς ἑβδομήκοντα.

Ἑρμηνεία·

ΑΠΟ ΔΙΑΦΟΡΟΥΣ διηγήσεις ἔμαθα τὰ ἑξῆς διὰ τὸν Μωϋσῆν τὸν αἰθίοπα, ὁ ὁποῖος ἦτο πασίγνωστος μεταξὺ τῶν πατέρων τῆς σκήτης. Οὗτος λοιπόν, πρὶν γίνῃ Μοναχός, ἦτο ὑπηρέτης ἑνὸς ἐλευθέρου πολίτου· ὁ κύριός του ὅμως τὸν ἐξεδίωξεν ἀπὸ τὴν οἰκίαν, διότι ἦτο πολὺ δύστροπος καὶ οἱ τρόποι του ἦσαν ἐγκληματικοὶ καὶ ἄγριοι. Ὁ Μωϋσῆς, ὅταν ἐξεδιώχθη, ἔγινε λῃστής· λόγῳ δὲ τῆς ἐξαιρετικῆς του δυνάμεως ἔγινεν ἀρχηγὸς τῶν ἄλλων λῃστῶν.

Μεταξὺ δὲ τῶν κατορθωμάτων του, ὡς ληστοῦ, ἀναφέρεται καὶ τὸ κατωτέρω περιστατικόν, πού φανερώνει τὴν σκληρότητά του: Κάποτε ἔβαλεν εἰς τὸ μυαλό του νὰ ἐκδικηθῇ κάποιον βοσκόν, ἐπειδὴ ἕνα βράδυ τὸν ἐμπόδισαν τὰ τσοπανόσκυλά του νὰ πραγματοποιήσῃ μίαν ληστείαν, ποὺ ἐσχεδίαζε· πρὸς τὸν σκοπὸν αὐτὸν ἐρευνοῦσε μετὰ προσοχῆς τὴν περιοχὴν νὰ ἀνακαλύψῃ τὸν βοσκὸν μὲ τὸ κοπάδι του, διὰ νὰ τὸν σκοτώσῃ.

Μόλις ἐπληροφορήθη, ὅτι εὑρίσκεται πέρα ἀπὸ τὸν Νεῖλον, ἀπεφάσισε νὰ μεταβῇ ἐκεῖ, διὰ νὰ πραγματοποιήσῃ τὸ ἐγκληματικὸν σχέδιόν του· κατὰ τὴν περίοδον ἐκείνην τοῦ ἔτους ὁ ποταμὸς εἶχε πλημμυρίσει καὶ τὸ ρεῦμα του εἰς ἕνα σημεῖον εἶχεν ἁπλώσει. Τότε ὁ Μωϋσῆς ἔβγαλε τὸν κοντὸν χιτῶνα του, ποὺ ἔτυχε τότε νὰ φορῇ, καὶ τὸν ἔβαλεν ἐπάνω εἰς τὸ κεφάλι του, συνεκράτησε μὲ τὰ δόντια του τὸ μαχαίρι καὶ ἔτσι φοβερὸς καὶ τρομερὸς ἔπεσεν εἰς τὸν ποταμόν, καὶ ἐπέρασεν εἰς τὴν ἄλλην ὄχθην κολυμβῶν. Ὅταν τὸν εἶδεν ἀπὸ μακριὰ ὁ βοσκὸς νὰ ἔρχεται πρὸς τὸ μέρος του κολυμβώντας, ἔφυγε τρέχων καὶ ἐκρύφθη εἰς ἀσφαλὲς μέρος.

Τοιουτοτρόπως ἀπέτυχεν ὁ Μωϋσῆς νὰ συλλάβῃ τὸν βοσκὸν καὶ νὰ τὸν ἐκδικηθῇ, ὅπως ἐσχεδίαζε· τότε στρέφει ὅλην του τὴν μανίαν εἰς τὸ κοπάδι. Ὡς δὲ νὰ εἶχεν εἰς τὰ χέρια του τὸν βοσκὸν ἔπιασε τὰ τέσσαρα καλλίτερα κριάρια ἀπὸ τὸ κοπάδι, τὰ ἔδεσεν εἰς τὴν σειρὰν καὶ ξαναπέρασε πάλιν τὸν Νεῖλον κολυμβώντας. Μετὰ ἦλθεν εἰς ἕνα πλάτωμα, ἔγδαρε τὰ κριάρια καὶ ἥναψε φωτιά, ὅπου ἔψησε τὰ καλλίτερα κρέατα ἀπὸ τὰ σφακτά· συγχρόνως ἀντήλλαξε τὰ δέρματα μὲ ὡραῖο κρασὶ ἀπὸ τὴν Σάϊδα τῆς Αἰγύπτου καὶ ἤπιε μέχρι δεκαοκτὼ ἰταλικά.* Ὅταν πλέον ἐχόρτασεν ἀπὸ τὸ φαγοπότι ἐκεῖνο καὶ ἱκανοποίησε τὴν ἐκδικητικήν του μανίαν, ἀνεχώρησε διὰ τὸ λημέρι του, τὸ ὁποῖον ἀπεῖχε περὶ τὰ πεντήκοντα σημεῖα.**

Αὐτὸς λοιπὸν ὁ φοβερὸς καὶ δυνατὸς ληστής, μετὰ ἀπὸ ἀρκετὰ χρόνια, καὶ ἐξ ἀφορμῆς ἑνὸς τυχαίου περιστατικοῦ, ἐδέχθη τὴν ἐπίσκεψιν τῆς Θείας Χάριτος, ἐδοκίμασε τὸ σωτήριον αἴσθημα τῆς κατανύξεως καὶ μετενόησε διὰ τὴν προηγουμένην ζωήν του. Τόσον μάλιστα βαθεῖα καὶ εἰλικρινὴς ὑπῆρξεν ἡ μετάνοιά του, ὥστε ἠσπάσθη τὸν μοναχικὸν βίον, προσῆλθεν εἰς τὴν σκήτην, ἐγκατεστάθη εἰς ἕνα κελλίον καὶ ἐπεδόθη εἰς σκληροτάτην καὶ αὐστηρὰν ἄσκησιν.

Λέγεται μάλιστα, ὅτι εἰς τὰς ἀρχὰς τοῦ μοναχικοῦ του βίου, ὅταν ἔλαβε τὸ κελλίον, τοῦ ἐπετέθησαν τέσσαρες λησταί, μὴ γνωρίζοντες προφανῶς, ὅτι αὐτὸς ὁ καλόγηρος, ποὺ ἀπεφάσισαν νὰ ληστεύσουν, εἶναι ὁ Μωϋσῆς. Τί συνέβη λοιπὸν κατὰ τὴν ἀπόπειραν αὐτὴν τῆς ληστείας τοῦ πρώην ληστοῦ; Ὁ Μωϋσῆς τοὺς συνέλαβεν ἀμέσως μὲ καταπληκτικὴν

---

* Ὁ σαΐτης ἦτο οἶνος παραγόμενος εἰς τὴν πόλιν Σάϊν ἢ Σάϊδα τῆς Αἰγύπτου, τὰ δὲ ἰταλικὰ πιθανῶς ἦσαν νομίσματα ἢ μέτρα βάρους.

**Σημεῖον ἐνταῦθα σημαίνει ἀπόστασιν ἐπὶ ὁδοῦ, ἐπὶ τῆς ὁποίας, ὑπῆρχον σημάδια, διὰ νὰ διακρίνεται αὐτὴ ἀπὸ τοὺς ὁδοιπόρους.

εὐκολίαν, τοὺς ἔδεσε καὶ τοὺς ἔβαλεν εἰς τὸν ὦμον του, μὲ τόσην εὐκολίαν, ὡς νὰ ἐσήκωνεν ἕνα σακκὶ ἄχυρα· ἐν συνεχείᾳ τοὺς ἔφερεν εἰς τὴν ἐκκλησίαν καὶ εἶπεν εἰς τοὺς ἀδελφούς:

—Ἐπειδὴ δὲν μοῦ ἐπιτρέπεται πλέον νὰ ἀδικῶ κανένα, τί μὲ προστάζετε νὰ τοὺς κάνω αὐτοὺς ἐδῶ, οἱ ὁποῖοι μοῦ ἐπετέθησαν, διὰ νὰ μὲ ληστεύσουν;

Οἱ ἀδελφοὶ τῆς σκήτης κατάπληκτοι ἔλυσαν τοὺς ληστὰς καὶ τοὺς ἄφησαν νὰ φύγουν ἐλεύθεροι.

Τότε οἱ λησταὶ ἐκεῖνοι ἀνεγνώρισαν τὸν Μωϋσέα· βλέποντες δὲ καὶ τὴν μετάνοιάν του οὔτε καὶ αὐτοὶ ἠθέλησαν νὰ ἐπανέλθουν εἰς τὸν προηγούμενον ληστρικὸν βίον των, ἀλλ' ἐγκαταλείψαντες καὶ ἐκεῖνοι, κατὰ τὸ παράδειγμα τοῦ Μωϋσέως, τὴν ζωὴν τῆς ἁμαρτίας καὶ τῆς ἀδικίας, ἔγιναν Μοναχοὶ καὶ διεκρίθησαν εἰς τοὺς ἀγῶνας τῆς ἀσκήσεως καὶ τῆς ἐναρέτου ζωῆς.

Ὁ Μωϋσῆς, μετὰ ταῦτα, ἐπέδειξε τόσον τελείαν ἄσκησιν, διὰ τὴν ὁποίαν καὶ ἄλλοι εἰς ἄλλα βιβλία ἔγραψαν. Μὲ τόσην δὲ ἐπιμονὴν ἐπολέμησε πρὸς τοὺς δαίμονας καὶ διεκρίθη εἰς ὅλα τὰ στάδια τῆς ἀσκητικῆς σκληραγωγίας, ὥστε συντόμως κατετάχθη μὲ τοὺς μεγάλους καὶ τελείους πατέρας, ἐχειροτονήθη πρεσβύτερος καὶ ἐπλουτίσθη μὲ τὰ μεγαλύτερα χαρίσματα τοῦ Ἁγίου Πνεύματος. Μετὰ τὸν θάνατόν του ἐγκατέλειψε καὶ ἑβδομήκοντα μαθητάς.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΗΡΩΤΗΘΗ ὁ Ἀββᾶς Μιὼς ὑπὸ στρατευομένου, εἰ ἄρα δέχεται μετάνοιαν ὁ Θεός· ὁ δὲ μετὰ τὸ κατηχῆσαι αὐτὸν ἐν πολλοῖς λόγοις, ἔφη· εἰπέ μοι, ἀγαπητέ· ἐὰν σχισθῇ σου τὸ χλαμύδιον, βάλλεις αὐτὸ ἔξω; ἀπεκρίθη ἐκεῖνος οὔ, ἀλλὰ ῥάπτω αὐτό, καὶ χρῶμαι πάλιν αὐτῷ· ἔφη αὐτῷ ὁ γέρων· εἰ οὖν σὺ τοῦ ἱματίου σου φείδει, ὁ Θεὸς τοῦ ἰδίου πλάσματος οὐ φείσεται;

2. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· ἐποίησα ἁμαρτίαν μεγάλην, καὶ θέλω μετανοῆσαι τρία ἔτη· λέγει αὐτῷ ὁ γέρων· πολύ ἐστιν· οἱ δὲ παρόντες εἶπον· ἕως τεσσαράκοντα ἡμερῶν; καὶ πάλιν εἶπε· πολύ ἐστιν· ἐγὼ γὰρ λέγω, ὅτι ἐὰν ἐξ ὅλης καρδίας μετανοήσῃ ἄνθρωπος, καὶ μὴ προσθήσῃ ἔτι ποιεῖν τὴν ἁμαρτίαν, καὶ εἰς τρεῖς ἡμέρας δέχεται αὐτὸν ὁ Θεός.

3. Ἕτερος πάλιν αὐτὸν ἠρώτησε λέγων· ἐὰν προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, καὶ ἐπιστρέψῃ, συγχωρεῖ αὐτῷ ὁ Θεός; καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· ὁ ἐντειλάμενος Θεὸς τοῖς ἀνθρώποις τοῦτο ποιεῖν, οὐχὶ μᾶλλον αὐτὸς ποιήσει; ἐνετείλατο γὰρ τῷ Πέτρῳ ἀφιέναι τοῖς πταίσασι καὶ μετανοοῦσιν, ἕως ἑβδομηκοντάκις ἑπτά.

4. Ἄλλος πάλιν ἠρώτησεν αὐτὸν λέγων· τί ἐστιν ἡ μετάνοια τῆς ἁμαρτίας; καὶ εἶπεν ὁ γέρων· τὸ μὴ τοῦ λοιποῦ ποιῆσαι αὐτήν· διὰ τοῦτο γὰρ ἐκλήθησαν ἄμωμοι οἱ δίκαιοι, ὅτι κατέλιπον τὰς ἁμαρτίας καὶ δίκαιοι ἐγένοντο.

5. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σισώην λέγων· τί ποιήσω, Ἀββᾶ, ὅτι πέπτωκα; λέγει αὐτῷ ὁ γέρων· ἀνάστα πάλιν· ἔφη ὁ ἀδελφός· ἀνέστην καὶ πάλιν πέ

πτωκα· ἀπεκρίθη ὁ γέρων· ἀνάστα πάλιν καὶ πάλιν· καὶ ὁ ἀδελφὸς εἶπεν· ἕως πότε; ὁ δὲ γέρων· ἕως ἂν καταληφθῇς εἴτε ἐν τῷ ἀγαθῷ, εἴτε ἐν τῷ πτώματι· ἐν ᾧ γὰρ εὑρίσκεται ἄνθρωπος ἐν αὐτῷ καὶ πορεύεται.

6. Ἀδελφός τις ἐκάθητο εἰς κελλίον τῆς Αἰγύπτου, ἐν πολλῇ ταπεινώσει διάγων· ὑπῆρχε δὲ αὐτῷ ἀδελφὴ πορνεύουσα ἐν τῇ πόλει καὶ πολλαῖς ψυχαῖς προξενοῦσα ἀπώλειαν· πολλάκις οὖν παρενοχλήσαντες οἱ γέροντες, τέλος ἠδυνήθησαν τὸν ἀδελφὸν πεῖσαι καταντῆσαι πρὸς αὐτήν, εἴπως νουθετήσας καταργήσει τὴν ἁμαρτίαν τὴν δι' αὐτῆς γινομένην.

Ὡς δὲ ἔφθασεν εἰς τὸν τόπον, ἰδών τις τῶν γνωρίμων, προσδραμὼν ἀπήγγειλε τῇ ἀδελφῇ αὐτοῦ λέγων· ἰδοὺ ὁ ἀδελφός σου ἐπὶ τὴν θύραν· ἡ δὲ συνενεχθεῖσα τοῖς σπλάγχνοις, καταλείψασα τοὺς ἐραστάς, οἷς διηκόνει, γυμνῇ τῇ κεφαλῇ ἐπὶ τὴν ἀπάντησιν τοῦ ἀδελφοῦ ἐξεπήδησε· καὶ πειρωμένη αὐτη περιπλέκεσθαι αὐτῷ, λέγει ὁ ἀδελφός· γνησία μου ἀδελφή· φεῖσαι τῆς ψυχῆς σου, ὅτι διὰ σοῦ πολλοὶ ἀπόλλυνται καὶ πῶς δυνήσῃ ὑπενεγκεῖν τὴν αἰωνίαν καὶ πικρὰν βάσανον;

Ἡ δὲ σύντρομος γενομένη, λέγει αὐτῷ· οἶδας ὅτι ἔστι μοι σωτηρία ἀπὸ τοῦ νῦν; ἀπεκρίθη ὁ ἀδελφός· ἐὰν θέλῃς, ἔστι σωτηρία· ἡ δέ, ρίψασα αὐτὴν εἰς τοὺς πόδας τοῦ ἀδελφοῦ, παρεκάλει αὐτόν, ἵνα λάβῃ αὐτὴν εἰς τὴν ἔρημον μετ' αὐτοῦ· ὁ δὲ εἶπεν αὐτῇ· θὲς τὸ ἱμάτιόν σου ἐπὶ τὴν κεφαλήν σου καὶ ἀκολούθει μοι· ἡ δὲ ἔφη· ἄγωμεν· συμφέρει γάρ μοι ἀσχημονεῖν γυμνῇ τῇ κεφαλῇ, ἢ εἰσελθεῖν εἰς τὸ ἐργαστήριον τῆς ἀνομίας.

Ὡς δὲ ἐπορεύοντο, ἐνουθέτει αὐτὴν ὁ ἀδελφὸς πρὸς μετάνοιαν· ἰδὼν δέ τινας ἐρχομένους εἰς ὑπάντησιν αὐτῶν, λέγει αὐτῇ· ἐπειδὴ οὐ πάντες ἴσασιν ὅτι ἀδελφή μου εἶ, ὑποχώρησον μικρὸν τῆς ὁδοῦ, ἕως οὗ παρέλθωσιν οἱ ἐρχόμενοι· ἡ δὲ ἐξένευσε.

Μετὰ δὲ τοῦτο λέγει αὐτῇ· ἀπέλθωμεν τὴν ὁδὸν ἡμῶν, ἀδελφή· ἡ δὲ οὐκ ἀπεκρίθη αὐτῷ· ἐκνεύσας δὲ πρὸς αὐτήν, εὑρίσκει αὐτὴν νεκράν· θεωρεῖ δὲ καὶ τὰ ἴχνη τῶν ποδῶν αὐτῆς ἡμαγμένα· ἦν γὰρ ἀνυπόδετος· ὡς δὲ ἀπήγγειλε τοῖς γέρουσιν ὁ ἀδελφὸς τὸ συμβάν, ἀντέβαλλον εἰς ἀλλήλους· ἀπεκαλύφθη δὲ ἑνὶ τῶν γερόντων περὶ αὐτῆς, ὅτι ἐπειδὴ οὐδενὸς ὅλως ἐμερίμνησε σαρκικοῦ, ἀλλὰ καὶ τοῦ ἰδίου σώματος κατεφρόνησε, μὴ στενάξασα ἐν τῇ τοσαύτῃ πληγῇ, διὰ τοῦτο προσεδεξάμην αὐτῆς τὴν μετάνοιαν.

Ἑρμηνεία

ΕΝΑΣ ΣΤΡΑΤΙΩΤΙΚΟΣ ἠρώτησε τὸν Ἀββᾶν Μιώς· Πάτερ μου, δέχεται ἄραγε ὁ Θεὸς τὴν μετάνοιαν τοῦ ἁμαρτωλοῦ; Ὁ Γέρων, ἀφοῦ τὸν συνεβούλευσε διὰ πολλῶν διδακτικῶν λόγων, τὸν ἐρωτᾷ εἰς μίαν στιγμήν:

— Εἰπέ μου, ἀγαπητέ, ἐὰν σχισθῇ τὸ στρατιωτικόν σου χιτώνιον τὸ πετᾷς;

—Ὄχι, ἀπήντησεν ὁ στρατιωτικός· τὸ ράπτω καὶ τὸ χρησιμοποιῶ ἐκ νέου πάλιν.

Τότε καὶ ὁ Ἀββᾶς Μιὼς προσέθεσε στοχαστικά:

—Ἐὰν λοιπὸν σὺ λυπᾶσαι τὸ ἱμάτιόν σου, δὲν θὰ λυπηθῇ καὶ ὁ Θεὸς τὸ ἰδικόν του πλάσμα;

2. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

—Πάτερ μου, διέπραξα μεγάλην ἁμαρτίαν· εἶναι ἀρκετὰ πρὸς μετάνοιαν τρία ἔτη;

Ὁ Γέρων ἀπήντησε:

— Εἶναι πολὺ τὸ διάστημα αὐτό.

Οἱ παρευρισκόμενοι, μὲ κάποιαν περιέργειαν, ἠρώτησαν:

— Μέχρι τεσσαράκοντα ἡμερῶν εἶναι ἀρκετὸν διάστημα μετανοίας;

Εἰς τὴν ἐρώτησιν αὐτὴν τῶν παρόντων ὁ Γέρων ἀπήντησεν:

—Καὶ πάλιν πολὺ εἶναι· ἔχω τὴν γνώμην, ὅτι ἐὰν ὁ ἄνθρωπος μετανοήσῃ μὲ ὅλην του τὴν καρδίαν καὶ δὲν ἐπαναλάβῃ τὴν ἁμαρτίαν, καὶ εἰς τρεῖς μόνον ἡμέρας δέχεται ὁ Θεὸς τὴν μετάνοιάν του καὶ τὸν συγχωρεῖ.

3. Ἕνας ἄλλος πάλιν ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

—Ἐὰν ἕνας ἄνθρωπος περιπέσῃ εἰς κάποιο παράπτωμα καὶ μετανοήσῃ, τὸν συγχωρεῖ ὁ Θεός; Ὁ Ἀββᾶς Ποιμὴν ἀπήντησε στοχαστικώτατα: Αὐτὸς ποὺ ἔδωσεν εἰς τοὺς ἀνθρώπους ἐντολὴν νὰ συγχωροῦν, πολὺ περισσότερον ὁ ἴδιος δὲν θὰ τὸ ἐκτελέσῃ; Εἶναι γνωστόν ὅτι ἔδωσεν ἐντολὴν εἰς τὸν Ἀπόστολον Πέτρον νὰ συγχωρῇ τοὺς πταίσαντας καὶ μετανοήσαντας ἕως ἑβδομήντα φορὲς ἑπτά.

4. Καὶ ἕνας τρίτος ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

— Πάτερ μου, τί εἶναι μετάνοια ἐκ τῆς ἁμαρτίας; Ὁ Γέρων ἀπήντησεν εἰς τὴν ἀπορίαν τοῦ ἀδελφοῦ:

— Μετάνοια σημαίνει τὴν σταθερὰν ἀπόφασιν νὰ μὴ ἐπαναλάβῃς τὴν ἁμαρτίαν αὐτήν· δι' αὐτὸν δὲ ἀκριβῶς τὸν λόγον καὶ οἱ δίκαιοι ὠνομάσθησαν ἄμωμοι, διότι ἄφησαν τὰς ἁμαρτίας καὶ ἀνεδείχθησαν δίκαιοι.

5. Κάποιος ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σισώην:

— Συμβούλευσέ με, Πάτερ μου, διότι περιέπεσα εἰς ἁμαρτίαν· τί νὰ κάνω;

Ὁ Γέρων τοῦ λέγει:

— Νὰ σηκωθῇς καὶ πάλιν ἀπὸ τὴν πτῶσιν.

Μὲ πικρίαν ὁ ἁμαρτήσας ἀδελφὸς προσέθεσεν:

—Ἄχ! Πάτερ μου, ἐσηκώθηκα καὶ πάλιν περιέπεσα εἰς τὴν ἰδίαν ἁμαρτίαν.

Ὁ Γέρων, χωρὶς νὰ τὸν ἀπογοητεύσῃ, τοῦ ἀπαντᾷ:

— Νὰ σηκωθῇς καὶ πάλιν πολλὰς φοράς.

Ὁ ἀδελφὸς ἠρώτησεν ἐκ νέου μὲ κάποιαν μελαγχολίαν.

— Μέχρι πότε, Πάτερ μου, ἠμπορεῖ νὰ γίνεται αὐτό;

Ὁ Γέρων τότε, διὰ νὰ τοῦ δώσῃ θάρρος, εἶπεν εἰς τὸν ἀδελφόν:

—Ἕως ὅτου σὲ εὕρῃ τὸ τέλος τῆς ζωῆς σου, εἴτε εἰς τὴν ἐπαινετὴν προσπάθειαν τῆς ἀνορθώσεως, εἴτε εἰς τὴν πτῶσιν τῆς ἁμαρτίας· διότι ὅπου θὰ εὑρεθῇ ὁ ἄνθρωπος, κατὰ τὴν τελευταίαν στιγμὴν τοῦ ἐπιγείου βίου του, εἰς τὸ ἀγαθὸν ἢ εἰς τὸ κακόν, ἐκεῖ καὶ θὰ κριθῇ, πορευόμενος ἢ εἰς τὴν τιμωρίαν, ἢ εἰς τὴν ἀπόλαυσιν.

6. Ἕνας ἀδελφὸς παρέμεινεν εἰς ἕνα κελλίον τῆς Αἰγύπτου καὶ

διήρχετο τὴν ζωήν του ἀσκητεύων μετὰ πάσης ταπεινώσεως. Αὐτὸς ὁ Μοναχὸς εἶχε μίαν ἀδελφήν, ἡ ὁποία ἔμενεν εἰς τὴν πόλιν καὶ ἦτο πόρνη καὶ ἐγίνετο ἀφορμὴ πολλοί, καθ' ἑκάστην ἡμέραν, νὰ χάνουν τὴν ψυχήν των. Πολλὰς φορὰς λοιπὸν οἱ Γέροντες προέτρεπαν τὸν ἀδελφὸν νὰ μεταβῇ πρὸς συνάντησιν τῆς ἁμαρτωλῆς ἀδελφῆς· κάποτε, τέλος πάντων, τὸν ἔπεισαν νὰ μεταβῇ, μήπως καὶ αἱ ἀδελφικαὶ νουθεσίαι φέρουν τὸ ποθούμενον ἀποτέλεσμα καὶ παύσῃ ἡ ἁμαρτία, ἡ ὁποία διεπράττετο δι' αὐτῆς.

Μόλις ἔφθασεν εἰς τὸν τόπον ποὺ ἔμενεν ἡ ἁμαρτωλή, τὸν εἶδε κάποιος γνωστὸς καὶ τρέχων τὴν ἐπληροφόρησε λέγων· ὁ ἀδελφός σου σὲ ἀναζητεῖ κάτω εἰς τὴν θύραν. Ἡ ἀδελφὴ ἀμέσως, ὡς ἤκουσε τὴν εἴδησιν, συνεκινήθη, ἐγκαταλείπει τοὺς φίλους τῆς ἁμαρτίας καί, ἔτσι ὅπως ἦτο, τρέχει νὰ συναντήσῃ τὸν ἀδελφόν της, χωρὶς μάλιστα νὰ προλάβῃ νὰ ρίξῃ εἰς τὴν κεφαλήν της τὸ κάλυμμα. Ὅταν τὰ δύο ἀδέλφια συνηντήθησαν καὶ ἐνῷ ἡ ἀδελφή, ἀπὸ χαράν, προσεπάθει νὰ ἐναγκαλισθῇ τὸν ἀδελφόν της, τῆς λέγει οὗτος.

—Ἀδελφή μου γνησία, λυπήσου τὴν ψυχήν σου καὶ σκέψου πῶς θὰ ὑποφέρῃς τὰ πικρὰ καὶ ἀτελεύτητα βασανιστήρια τῆς Κολάσεως, διότι ὄχι μόνον σύ, ἀλλὰ καὶ πολλοί, ἐξ αἰτίας σου, χάνουν τὴν ψυχήν των.

Ἡ ἁμαρτωλὴ ἤκουσε μετὰ προσοχῆς τὰς εἰλικρινεῖς αὐτὰς συστάσεις τοῦ ἀδελφοῦ της, κατετρόμαξεν ἀπὸ αὐτὰς καὶ μὲ πραγματικὴν μετάνοιαν λέγει εἰς τὸν ἀδελφόν της.

— Εἶσαι βέβαιος ὅτι μπορῶ τώρα νὰ σωθῶ;

—Ἐὰν θέλῃς, ὑπάρχει σωτηρία, ἀπήντησε μετὰ βεβαιότητος ὁ καλὸς ἀδελφός.

Τότε ἐκείνη, μὲ δάκρυα εἰς τοὺς ὀφθαλμούς, ἔπεσεν εἰς τοὺς πόδας τοῦ ἀδελφοῦ της καὶ τὸν παρεκάλει ἐπιμόνως νὰ τὴν πάρῃ μαζί του εἰς τὴν ἔρημον, διὰ νὰ σωθῇ.

Ὁ ἀδελφός, συγκεκινημένος καὶ αὐτὸς ἀπὸ τὴν ἀπροσδόκητον αὐτὴν μεταστροφήν, τῆς λέγει:

— Ρίψε εἰς τὸ κεφάλι σου τὸ κάλυμμα καὶ ἀκολούθησέ με.

Ἐκείνη ὅμως εἶπεν εἰς τὸν ἀδελφόν της:

—Ἔλα, ἔλα νὰ φύγωμεν γρήγορα· εἶναι προτιμότερον δι' ἐμὲ καὶ μὲ συμφέρει περισσότερον ψυχικῶς νὰ διαπράξω αὐτὴν τὴν ἀσχημίαν, βαδίζουσα ἀκάλυπτος εἰς τοὺς δρόμους, παρὰ νὰ εἰσέλθω ἐκ νέου εἰς τὸ ἐργαστήριον τῆς ἁμαρτίας.

Ἐπροχωροῦσαν λοιπὸν πρὸς τὴν ἔρημον καὶ ὁ ἀδελφὸς τὴν ἐνουθετοῦσε στοργικὰ καὶ τῆς ὑπεδείκνυε τοὺς καρποὺς τῆς μετανοίας· ἐκείνη ἤκουε μὲ σιωπηλὴν προσοχήν, ἐνῷ ἡ Θεία Χάρις κατέκτα σιγὰ - σιγὰ τὴν ψυχὴν τῆς μετανοούσης ἁμαρτωλῆς.

Εἰς μίαν στιγμὴν τῆς ὁδοιπορίας βλέπουν, ἀπὸ τὸ ἀντίθετον σημεῖον, νὰ ἔρχωνται ὁδοιπόροι πρὸς αὐτούς. Τότε ὁ ἀδελφός, διὰ νὰ μὴ σκανδαλίσῃ τοὺς ἀνθρώπους αὐτούς, λέγει πρὸς τὴν ἀδελφήν του.

—Ἐπειδὴ δὲν γνωρίζουν ὅλοι, ὅτι εἶσαι ἀδελφή μου, διὰ νὰ μὴν

τοὺς σκανδαλίσωμεν, ἀπομακρύσου λιγάκι ἀπὸ τὸν δρόμον, διὰ νὰ προσπεράσουν αὐτοὶ ποὺ ἔρχονται.

Ἡ ἀδελφὴ μετὰ προθυμίας ἀπεμακρύνθη.

Ὅταν ἐπροσπέρασαν οἱ διαβάται, ὁ ἀδελφὸς ἐφώναξε πρὸς τὴν ἀδελφήν:

—Ἔλα, ἀδελφή, νὰ συνεχίσωμεν τὸν δρόμον μας.

Πλὴν ὅμως δὲν ἔλαβε καμμίαν ἀπάντησιν. Περίεργος τότε ἐκοίταξε πρὸς τὸ μέρος, ποὺ ὑπέθετε, ὅτι θὰ εὑρίσκετο καὶ κατάπληκτος βλέπει, ὅτι ἦτο νεκρά. Παρατηρεῖ συγχρόνως καὶ τὰ πόδια της, ὅτι ἦσαν καταματωμένα ἀπὸ τὴν πορείαν, διότι ἦτο ἀνυπόδητος.

Ὁ ἀδελφὸς ἀνέφερε τὸ περιστατικὸν εἰς τοὺς Γέροντας. Ἐκεῖνοι, συζητοῦντες ἐπὶ τοῦ θέματος, διεφώνουν καὶ ἄλλοι μὲν ἰσχυρίζοντο ὅτι ἐσώθη, ἐνῷ ἄλλοι ἐπέμενον, ὅτι ἀπωλέσθη ψυχικῶς.

Τέλος, μετὰ προσευχήν, ἕνας ἐκ τῶν Γερόντων, ὅστις, φαίνεται θὰ ἦτο ὁ πλέον ἐνάρετος καὶ διορατικός, ἐδέχθη τὴν ἑξῆς ἀποκάλυψιν ἐκ Θεοῦ: «Ἡ ἁμαρτωλὸς αὐτὴ ἐσώθη, διότι μόλις ἡ Θεία Χάρις, διὰ τῶν νουθεσιῶν τοῦ ἀδελφοῦ της, συνεκίνησε τὴν καρδίαν της, μετενόησε καὶ δὲν ἐφρόντισε διὰ τίποτε τὸ ὑλικόν· ἀπ' ἐναντίας κατεφρόνησε καὶ τὸ ἴδιον της τὸ σῶμα καὶ δὲν ἐγόγγυσε διὰ τὸν κόπον καὶ τὰς πληγὰς τῆς ὁδοιπορίας. Διὰ τοῦτο ἐδέχθην τὴν μετάνοιάν της».

Ε'. Τοῦ Ἁγίου Ἀμφιλοχείου περὶ τοῦ μὴ ἀπογινώσκειν

ΑΔΕΛΦΟΣ ΤΙΣ ἡττηθεὶς ὑπὸ τῆς πορνείας, καθ' ἡμέραν ηὑρίσκετο τὴν ἁμαρτίαν ἐπιτελῶν· καθ' ἑκάστην δὲ δάκρυσι καὶ προσευχαῖς ἐξιλεοῦτο τὸν δεσπότην τὸν ἴδιον· οὕτω δὲ ποιῶν (καὶ) δελεαζόμενος τῇ κακίστῃ συνηθείᾳ, τὴν ἁμαρτίαν ἐπετέλει.

Ἔπειτα πάλιν μετὰ τὸ τελέσαι τὴν ἁμαρτίαν, ἐν τῇ Ἐκκλησίᾳ ἀπήρχετο· καὶ βλέπων τὸν τίμιον καὶ σεβάσμιον χαρακτῆρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔρριπτεν ἑαυτὸν ἔμπροσθεν αὐτοῦ μετὰ πικρῶν δακρύων λέγων· ἐλέησόν με, Κύριε, καὶ ἆρον ἀπ' ἐμοῦ τὸν δόλιον πειρασμὸν τοῦτον, ὅτι ὑπωπιάζει με δεινῶς, καὶ τιτρώσκει με τῇ πικρίᾳ τῶν ἡδονῶν· οὐ γὰρ ἔχω πρόσωπον, δέσποτα, ἀτενίσαι καὶ ἰδεῖν τὸν χαρακτῆρα τὸν ἅγιόν σου, καὶ τὴν ὑπερήλιον τοῦ προσώπου σου θέαν, ὅπως ἡ καρδία μου ἡδυνθεῖσα εὐφρανθήσεται.

Ταῦτα λέγων καὶ ἐξερχόμενος τῆς ἐκκλησίας, εἰς τὸν βόρβορον ἔπιπτεν· ἀλλ' ὅμως οὔτε πάλιν ἀπεγίνωσκε τῆς ἑαυτοῦ σωτηρίας, ἀλλ' ἐκ τῆς ἁμαρτίας ἀνθυποστρέφων ἐν τῇ ἐκκλησίᾳ, τὰ παρόμοια ἐπεφώνει πρὸς τὸν φιλάνθρωπον λέγων Κύριον καὶ Θεόν· σέ, Κύριε, ἐγγυητὴν τίθημι ἀπὸ τοῦ νῦν, ὅτι οὐκέτι ποιῶ τὴν ἁμαρτίαν ταύτην· μόνον ἀγαθὲ συγχώρησόν μοι ἅπερ ἀπ' ἀρχῆς καὶ μέχρι τῆς δεῦρο σοι ἥμαρτον.

Ἡνίκα δὲ τὰς φοβερὰς ταύτας εἶχε ποιῆσαι συνθήκας, πάλιν εἰς τὴν πονηρὰν αὐτοῦ ἁμαρτίαν εὑρίσκετο· καὶ ἦν ἰδεῖν τις τὴν γλυκυτάτην τοῦ Θεοῦ φιλανθρωπίαν καὶ ἄπειρον ἀγαθότητα ἀνεχομένην καθ' ἑκάστην, καὶ ὑπομένουσαν τὴν ἀδιόρθωτον καὶ πονηρὰν παράβασιν καὶ ἀγνωμοσύνην τοῦ ἀδελφοῦ καὶ ἀπὸ πλήθους

ἐλέους ζητοῦσαν αὐτοῦ τὴν μετάνοιαν καὶ τὴν ἀμεταστρεπτὶ ἐπιστροφήν· οὐ γὰρ χρόνον τοῦτο ἐποίησεν, ἢ δύο ἢ τρεῖς, ἀλλ' ἐπὶ δέκα ἔτεσι, καὶ ἐπέκεινα.

Ὁρᾶτε, ἀδελφοί, τὴν ἄμετρον ἀνοχὴν καὶ τὴν ἄπειρον φιλανθρωπίαν τοῦ δεσπότου; πῶς ἑκάστοτε μακροθυμεῖ, χρηστεύεται, ὑπομένων τὰ χαλεπὰ ἡμῶν ἀνομήματα καὶ ἁμαρτήματα; ἐκεῖνο γάρ ἐστι φρίξαι τε καὶ θαυμάσαι εἰς τοὺς πλουσίους οἰκτιρμοὺς τοῦ Θεοῦ· ὅτι συντασσόμενος καὶ συντιθέμενος τοῦ μὴ ποιῆσαι ἄλλοτε τὴν ἁμαρτίαν, εὑρίσκετο ψεύστης.

Ἐν μιᾷ οὖν τῶν ἡμερῶν, ὡς ταῦτα ἐπράττετο, τὴν ἁμαρτίαν ἐργασαμένου τοῦ ἀδελφοῦ, ἔρχεται δρομαίως ἐν τῇ ἐκκλησίᾳ, θρηνῶν καὶ στένων καὶ ὀλοφυρόμενος, καὶ βιάζων τὰ σπλάγχνα τοῦ ἀγαθοῦ δεσπότου συμπαθῆσαι αὐτῷ ἐκφυγεῖν τοῦ βορβόρου τῆς ἀσωτίας. Καὶ δὴ ὡς παρεκάλει τὸν φιλάνθρωπον Θεόν, ἰδὼν ὁ ἀρχέκακος καὶ φθορεὺς τῶν ψυχῶν ἡμῶν διάβολος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλ' ἅπερ αὐτὸς διὰ τῆς ἁμαρτίας συνέρραπτεν, ὁ ἀδελφὸς διὰ τῆς μετανοίας παρέλυεν, ἀναισχυντήσας, φαίνεται αὐτῷ ὀφθαλμοφανῶς, τὸ πρόσωπον αὐτοῦ ἀτενίζων καὶ κράζων πρὸς τὸν σεβάσμιον χαρακτῆρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ οὕτω φήσας· τί ἐμοὶ καὶ σοὶ Ἰησοῦ Χριστέ; ἡ συμπάθειά σου ἡ ἄπειρος νικᾷ καὶ ἐδαφίζει με, διὰ τὸ δέχεσθαί σε τοῦτον τὸν πόρνον, τὸν ἄσωτον, ὅστις ψεύδεταί σε καθ' ἡμέραν, καταφρονῶν τοῦ κράτους σου· διατί οὖν οὐ καίεις αὐτόν, ἀλλὰ μακροθυμεῖς καὶ ἀνέχῃ; σὺ γὰρ μέλλεις κρίνειν τοὺς μοιχούς, τοὺς πόρνους καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεῦσαι.

Ὄντως οὐκ εἶ δίκαιος κριτής, ἀλλ' ὅπου δόξει τὸ κράτος σου, παρακρίνει καὶ παραβλέπει· κἀμὲ διὰ μικρὰν παράβασιν τῆς ἐπάρσεως, ἄνωθεν ἐκ τῶν οὐρανῶν κάτω ἀπέρριψας· καὶ οὗτος ψεύστης ὤν, καὶ πόρνος καὶ ἄσωτος, ἐπειδὴ κείμενος πρὸ προσώπου σου, γαληνῶς αὐτῷ καὶ τὴν εὐμένειάν σου χαρίζῃ· τί οὖν καλοῦσί σε κριτὴν δικαιότατον; ὡς ὁρῶ γάρ, ὅτι καὶ σὺ πρόσωπα δέχῃ ἀπὸ πολλῆς ἀγαθότητος, καὶ τὸ δίκαιον παραβλέπεις· ἔλεγε δὲ ταῦτα ὁ διάβολος ἀπὸ πολλῆς πικρίας δριμυσσόμενος καὶ φλόγα ἐσβολωμένην ἐκφέρων ἐκ τῶν μυκτήρων αὐτοῦ.

Ταῦτα εἰπὼν ὁ διάβολος, ἐσίγησε· καὶ εὐθὺς γίνεται φωνή τις ὡς ἐκ τοῦ θυσιαστηρίου λέγουσα· ὦ δράκον παμπόνηρε καὶ ὀλέθριε· οὐκ ἐκορέσθης τῇ πονηρᾷ σου γνώμῃ, ὅτι τὸν κόσμον κατέπιες; ἀλλὰ καὶ τὸν προσελθόντα τῷ ἀφάτῳ ἐλέει τῆς εὐσπλαγχνίας μου, σπεύδεις ἁρπάσαι αὐτὸν καὶ καταπιεῖν; ἔχεις πταίσματα τοσαῦτα, ἵνα ἀντισταθμίσῃς ὀξέως πρὸς τὸ τίμιον Αἷμα, ὅπερ ἐπὶ Σταυροῦ ἐξέχεα ὑπὲρ αὐτοῦ; ἰδοὺ ἡ σφαγή μου καὶ ὁ θάνατος συνεπάθησαν αὐτοῦ τὰς ἀνομίας.

Καὶ σὺ μέν, ὅτε εἰς τὴν ἁμαρτίαν ἔρχεται, οὐκ ἀποδιώκεις αὐτόν, ἀλλὰ δέχῃ μετὰ χαρᾶς καὶ οὐκ ἀποστρέφῃ, οὔτε ἐμποδίζεις, ἐλπίζων αὐτὸν κερδῆσαι· καὶ ἐγὼ ὁ τοιοῦτος ἐλεήμων καὶ φιλάνθρωπος, ὁ κελεύσας τῷ κορυφαίῳ μου Ἀποστόλῳ Πέτρῳ συγχωρεῖν ἕως ἑβδομηκοντάκις ἑπτὰ τῷ ἁμαρτάνοντι καθ' ἡμέραν, ἄρα οὐκ ἐλεήσω αὐτόν; ναί, καὶ γὰρ ἐπειδὴ προστρέχει μοι, οὐκ ἀποστραφήσομαι αὐτόν, ἕως ἂν κληρονομήσω αὐτόν· διὰ γὰρ τοὺς ἁμαρτωλοὺς ἐγὼ ἐσταυρώθην καὶ τὰς ἀχράντους μου παλάμας δι' αὐτοὺς ἐξεπέτασα, ἵνα ὁ βουλόμενος σωθῆναι καταφεύγῃ καὶ σώζηται· οὐδένα γὰρ ἀποστρέφομαι, οὔτε ἐκδιώκω, κἂν μυριάκις τῆς ἡμέρας πταίσῃ, καὶ μυριάκις ἔλθῃ πρός με, οὐ μὴ ἐξέλθῃ λυπούμενος· καὶ γὰρ οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Ὡς δὲ ἐγένετο αὕτη ἡ φωνή, ἵστατο ὁ διάβολος τρέμων, καὶ ἀποδράσαι μὴ δυνάμενος· καὶ πάλιν γίνεται φωνὴ λέγουσα· ἄκουσον ἀπατεὼν περὶ ὧν λέγεις, ὅτι ἄδικός εἰμι· ἐγὼ γὰρ εἰς πάντας δίκαιός εἰμι· ᾧ γὰρ εὕρω τινά, ἐν τούτῳ κρίνω· ἰδοὺ οὖν τοῦτον εὗρον τέως ἐν μετανοίᾳ καὶ ἐπιστροφῇ πρὸ ποδῶν μου κείμενον καὶ νικητήν σου φαινόμενον· λήψομαι οὖν αὐτὸν καὶ σώσω τὴν ψυχὴν αὐτοῦ, ὡς μὴ ἀπογνώσαντα τὴν σωτηρίαν αὐτοῦ· σὺ δὲ θέασαι τὴν τιμὴν αὐτοῦ, καὶ διαπρίσθητι ἀπὸ τοῦ φθόνου σου, καὶ καταισχύνθητι.

Κείμενος οὖν ὁ ἀδελφὸς ἐπὶ πρόσωπον, καὶ ὀδυρόμενος, παρέδωκε τὸ πνεῦμα· καὶ εὐθέως ὀργὴ μεγάλη ὡς πῦρ παραγενομένη, ἐπέπεσε τῷ σατανᾷ, καὶ κατήσθιεν αὐτόν· ἐντεῦθεν οὖν μάθωμεν, ἀδελφοί, τὴν ἄμετρον τοῦ Θεοῦ εὐσπλαγχνίαν καὶ φιλανθρωπίαν καὶ οἷον καλὸν ἔχομεν δεσπότην· καὶ μηδέποτε ἀπογνώσωμεν ἢ ἀμελήσωμεν τῆς ἰδίας σωτηρίας.

2. Ἄλλος τις πάλιν μετανοήσας, ἡσύχασε· συνέβη δὲ αὐτὸν ἐπὶ πέτραν εὐθέως πεσόντα, πληγῆναι τὸν πόδα· καὶ ἐκ τῆς πληγῆς τοσοῦτον ἐκχυθῆναι αἷμα, ὥστε καὶ ὀλιγοψυχήσαντα αὐτὸν ἀποδοῦναι τὴν ψυχήν· ἔρχονται οὖν οἱ δαίμονες θέλοντες λαβεῖν τὴν ψυχὴν αὐτοῦ· καὶ λέγουσιν αὐτοῖς οἱ Ἄγγελοι· προσέχετε τῇ πέτρᾳ καὶ θεωρήσατε αὐτοῦ τὸ αἷμα ὃ ἐξέχεε διὰ Κύριον· καὶ τοῦτο εἰπόντων τῶν Ἀγγέλων, ἠλευθερώθη ἡ ψυχή.

3. Ἀδελφῷ τινι πεσόντι εἰς ἁμαρτίαν, ἐφάνη ὁ σατανᾶς καὶ λέγει· οὐκ εἶ χριστιανός· ὁ δὲ ἀδελφὸς ἀπεκρίθη αὐτῷ· εἴ τις ἐὰν εἰμί, τέως προάγω σου· ὁ δὲ σατανᾶς πάλιν ἔφη· λέγω σοι, εἰς κόλασιν ὑπάγεις· καὶ εἶπεν ὁ ἀδελφός· οὐκ εἶ σὺ ὁ κριτής μου, οὐδὲ ὁ Θεός μου· καὶ μηδὲν ἀνύσας ὁ σατανᾶς ἀνεχώρησεν· ὁ δὲ ἀδελφὸς μετενόησε τῷ Θεῷ γνησίως· καὶ δόκιμος γέγονεν.

4. Ἀδελφὸς ὑπὸ λύπης κρατούμενος, ἠρώτησε γέροντα λέγων· τί ποιήσω; ὅτι οἱ λογισμοὶ ὑποτίθενταί μοι λέγοντες, ὅτι ἀκαίρως ἀπετάξω· οὐ δύνασαι σωθῆναι· καὶ ἀπεκρίθη ὁ γέρων· κἂν μὴ δυνάμεθα εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, συμφέρει ἵνα τὰ κῶλα ἡμῶν πέσῃ ἐν τῇ ἐρήμῳ, ἢ ὑποστρέψαι εἰς Αἴγυπτον.

5. Ἕτερος ἀδελφὸς τὸν αὐτὸν ἠρώτησε λέγων· πάτερ· τί αἰνίττεται ὁ Προφήτης λέγων· οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ; καὶ εἶπεν ὁ γέρων· τοὺς τῆς ἀπογνώσεως λογισμοὺς αἰνίττεται, τοὺς τῷ ἁμαρτήσαντι ἐκ δαιμόνων ὑποβαλλομένους καὶ λέγοντας· τοῦ λοιποῦ οὐκ ἔστι σοι σωτηρία ἐν τῷ Θεῷ, καὶ εἰς τὴν ἀπόγνωσιν αὐτὸν κατακρημνίσαι ἐπιχειροῦντας· οὓς δεῖ ἀναπαλαίειν λέγοντα· Κύριος καταφυγή μου, ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.

6. Διηγήσατό τις τῶν Πατέρων, ὅτι ἐν Θεσσαλονίκῃ ὑπῆρχεν ἀσκητήριον παρθένων· μία δὲ ἐξ αὐτῶν κατ' ἐνέργειαν τοῦ κοινοῦ ἐχθροῦ, ἐξελθοῦσα ἐκ τοῦ μοναστηρίου, ἔπεσεν εἰς πορνείαν· καὶ ἔμεινεν οὕτω πορνεύουσα χρόνον ἱκανόν· εἶτα τῇ συνεργείᾳ τοῦ φιλανθρώπου Θεοῦ μεταμεληθεῖσα, ὑπέστρεψεν εἰς τὸ κοινόβιον αὐτῆς· καὶ πεσοῦσα πρὸ τοῦ πυλῶνος, ἐτελεύτησεν.

Ἀπεκαλύφθη δέ τινι τῶν ἁγίων ὁ θάνατος αὐτῆς· καὶ εἶδε τοὺς Ἁγίους Ἀγγέλους ἐλθόντας παραλαβεῖν τὴν ψυχὴν αὐτῆς, καὶ δαίμονας παρεπομένους αὐτοῖς· καὶ διαλόγου γενομένου μεταξὺ αὐτῶν, οἱ μὲν ἅγιοι Ἄγγελοι ἔλεγον, ὅτι ἐν μετανοίᾳ ἦλθεν· οἱ δὲ δαίμονες ἀντέλεγον, ὅτι ἡμῖν δουλεύει τοσοῦτον χρόνον, καὶ ἡμῶν

ἐστιν, ἅμα δὲ οὐδὲ ἔφθασεν εἰσελθεῖν εἰς τὸ κοινόβιον· καὶ πῶς λέγετε ὅτι μετενόησεν;

Εἶπον δὲ οἱ Ἄγγελοι· ὅτι ἀφ᾽ ὅτου εἶδεν ὁ Θεὸς τὴν πρόθεσιν αὐτῆς εἰς τοῦτο κλίνασαν, προσεδέξατο αὐτῆς τὴν μετάνοιαν· καὶ τῆς μετανοίας αὕτη ἦν κυρία, διὰ τοῦ σκοποῦ οὗ προέθετο· τῆς δὲ ζωῆς, ὁ πάντων δεσπότης· ἐν τούτοις οὖν καταισχυνθέντες οἱ δαίμονες, ὑπεχώρησαν· ὁ δὲ τὴν ἀποκάλυψιν ἑωρακώς, τοῖς παροῦσι ταύτην διηγήσατο.

7. Εἶπεν ὁ Ἀββᾶς Ἀλώνιος· ὅτι ἐὰν θέλῃ ὁ ἄνθρωπος ἀπὸ πρωῒ ἕως ὀψὲ ἔρχεται εἰς μέτρον θεῖον.

8. Ἠρώτησεν ἀδελφὸς τὸν Ἀββᾶν Μωϋσῆν λέγων· ὅτι ἰδοὺ ἄνθρωπος δέρει τὸν δοῦλον αὐτοῦ δι᾽ ἁμαρτίαν ἣν ἔπραξε· τί ἐρεῖ ὁ δοῦλος; ἀπεκρίθη ὁ γέρων· ἐὰν ἐστὶ δοῦλος καλός, ἐρεῖ· ἐλέησόν με, ἡμάρτηκα· ἔφη ὁ ἀδελφός· οὐδὲν ἄλλο λέγει; καὶ ὁ γέρων· οὐδέν· ἀφ᾽ οὗ γὰρ τὴν μέμψιν ἐπιθῇ ἐφ᾽ ἑαυτῷ καὶ εἴπῃ ἡμάρτηκα, εὐθέως σπλαγχνίζεται ἐπ᾽ αὐτῷ ὁ Κύριος αὐτοῦ.

9. Ἀδελφὸς εἶπε τῷ Ἀββᾷ Ποιμένι· ἐὰν παραπέσω ἐν οἰκτρῷ παραπτώματι, κατεσθίει με ὁ λογισμός μου, καὶ κατηγορεῖ, διατί παρέπεσα· λέγει αὐτῷ ὁ γέρων· ἐὰν ἧ ὥρᾳ περιπέσῃ ἄνθρωπος σφάλματι, εἴπῃ ἥμαρτον, πάραυτα πέπαυται.

10. Τινὸς νεωτέρας ὀνόματι Ταϊσίας, ἐτελεύτησαν οἱ γονεῖς, καὶ ὑπελείφθη ὀρφανή· ἡ δὲ τὸν οἶκον αὐτῆς ποιήσασα ξενοδοχεῖον λόγῳ τῶν Πατέρων τῆς σκήτεως, ἔμεινεν ἐπὶ χρόνον ἱκανὸν ὑποδεχομένη τούτους καὶ θεραπεύουσα· εἶτα ὡς ἀνήλωσεν ἃ εἶχεν, ἤρξατο ὑστερεῖσθαι· κολληθέντες δὲ αὐτῇ διάστροφοι ἄνθρωποι, μετέστησαν αὐτὴν τοῦ ἀγαθοῦ σκοποῦ· καὶ λοιπὸν διῆγε κακῶς, ὥς τε καταντῆσαι αὐτὴν καὶ εἰς τὸ πορνεῖον.

Ἀκούσαντες δὲ οἱ Πατέρες, μεγάλως ἐλυπήθησαν· καὶ προσκαλεσάμενοι τὸν Ἀββᾶν Ἰωάννην τὸν Κολοβόν, λέγουσιν αὐτῷ· ἠκούσαμεν περὶ τῆς ἀδελφῆς τῆς δε, ὅτι διάγει κακῶς· καὶ αὕτη ὅτε ἠδύνατο τὴν ἀγάπην πρὸς ἡμᾶς ἐνεδείξατο, καὶ νῦν ἡμεῖς βοηθήσωμεν αὐτῇ ὡς δυνάμεθα· σκύλθητι οὖν πρὸς αὐτήν, καὶ κατὰ τὴν σοφίαν ἣν ἔδωκέ σοι ὁ Θεός, τὰ κατ᾽ αὐτὴν οἰκονόμησον.

Ἦλθεν οὖν ὁ γέρων πρὸς αὐτήν, καὶ λέγει τῇ γραΐδι τῇ θυρωρῷ· μήνυσόν με πρὸς τὴν κυρίαν σου· ἡ δὲ ἀπεπέμψατο αὐτὸν εἰποῦσα· ὑμεῖς ἐξ ἀρχῆς κατεφάγετε τὰ ἑαυτῆς, καὶ ἴδε πτωχή ἐστι· καὶ λέγει ὁ γέρων· εἰπὲ αὐτῇ, πάνυ γὰρ ἔχω αὐτὴν ὠφελῆσαι· ἀνελθοῦσα οὖν ἡ γραῦς, εἶπεν αὐτῇ περὶ τοῦ γέροντος· καὶ ἀκούσασα, ἔφη ἡ νεωτέρα· οὗτοι οἱ Μοναχοὶ ἀεὶ διακινοῦσι παρὰ τὴν ἐρυθρὰν θάλασσαν, καὶ εὑρίσκουσι μαργαρίτας· κοσμήσασα οὖν ἑαυτὴν ἐκαθέσθη εἰς τὴν κλίνην, καὶ λέγει τῇ θυρωρῷ· ἀνένεγκε αὐτὸν πρός με.

Εἰσελθὼν οὖν ὁ Ἀββᾶς Ἰωάννης ἐκαθέσθη ἐγγὺς αὐτῆς· καὶ προσχὼν εἰς τὸ πρόσωπον αὐτῆς, λέγει αὐτῇ· τί κατέγνως τοῦ Ἰησοῦ ὅτι εἰς τοῦτο ἦλθες; ἡ δὲ ἀκούσασα, ἀπεπάγη ὅλη· ὁ δὲ γέρων κλίνας τὴν κεφαλὴν αὐτοῦ ἤρξατο κλαίειν σφοδρῶς· ἐκείνη δὲ λέγει αὐτῷ· Ἀββᾶ, τί κλαίεις; ὁ δὲ ἀνανεύσας, πάλιν ἔκλινεν ἑαυτόν, καὶ εἶπε· βλέπω ὅτι ὁ σατανᾶς παίζει εἰς τὴν ὄψιν σου, καὶ οὐ μὴ κλαύσω; ἔφη αὐτῷ ἡ κόρη· ἔνι μετάνοια, Ἀββᾶ; ὁ δὲ γέρων εἶπε· ναί· κἀκείνη πάλιν· λάβε με ὅπου θέλεις· ὁ δὲ εἶπεν· ἄγωμεν· ἡ δὲ εὐθέως ἀνέστη ἀκολουθῆσαι αὐτῷ.

Προσχὼν δὲ ὁ γέρων ὅτι οὐδὲν διετάξατο περὶ τοῦ οἴκου αὐτῆς ἐθαύμασεν·

ὡς οὖν ἤγγισαν εἰς τὴν ἔρημον, ἑσπέρας αὐτοὺς κατέλαβε· καὶ ποιήσας ὁ γέρων αὐτῇ μικρὸν προσκεφάλαιον καὶ σφραγισάμενος, λέγει αὐτῇ· καθεύδησον ἐνταῦθα· ποιήσας δὲ καὶ ἑαυτῷ ἀπὸ μικροῦ διαστήματος καὶ πληρώσας τὰς εὐχὰς αὐτοῦ, ἀνεκλίθη καὶ αὐτός· περὶ δὲ τὸ μεσονύκτιον διυπνισθείς, βλέπει ὁδόν τινα φωτεινὴν ἀπὸ τοῦ οὐρανοῦ ἕως αὐτῆς ἐστηριγμένην, καὶ εἶδε τοὺς Ἀγγέλους τοῦ Θεοῦ ἀναφέροντας τὴν ψυχὴν αὐτῆς.

Ἀναστὰς οὖν ἀπῆλθε πρὸς αὐτὴν καὶ ἔνυξεν αὐτὴν τῷ ποδί· ὡς δὲ ἔγνω ὅτι νεκρὰ ἦν, ἔρριψεν ἑαυτὸν ἐπὶ πρόσωπον δεόμενος τοῦ Θεοῦ· καὶ ἤκουσε φωνῆς λεγούσης, ὅτι ἡ μία ὥρα τῆς μετανοίας αὐτῆς προσεδέχθη ὑπὲρ τὴν μετάνοιαν πολλῶν ἐγχρονιζόντων καὶ μὴ ἐνδεικνυμένων τὸ θερμὸν τῆς μετανοίας.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ ἀδελφὸς νικηθεὶς ἀπὸ τὸ πάθος τῆς πορνείας ἐπετέλει καθημερινὰ τὴν ἁμαρτίαν. Ἀλλὰ καὶ καθ' ἑκάστην ὅμως, μὲ δάκρυα καὶ προσευχάς, προσέπιπτεν εἰς τὸν Δεσπότην καὶ Κύριον καὶ ἐλάμβανε παρ' Αὐτοῦ συγγνώμην. Ἐνῷ δὲ εἶχε μετανοήσει, τὴν ἐπομένην ἡμέραν, ἐξαπατώμενος καὶ πάλιν ἀπὸ τὴν αἰσχρὰν συνήθειαν, ἐπετέλει τὴν ἁμαρτίαν.

Ἔπειτα, μετὰ τὴν ἐκτέλεσιν τῆς ἁμαρτίας, μετέβαινεν εἰς τὴν Ἐκκλησίαν, ὅπου ἔπιπτε πρὸ τῆς τιμίας καὶ σεβασμίας εἰκόνος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ μὲ πικρὰ δάκρυα ἐξωμολογεῖτο πρὸς τὸν Ἰησοῦν· «Κύριε, ἐλέησόν με, καὶ σήκωσε ἀπ' ἐπάνω μου τὸν φοβερὸν αὐτὸν πειρασμόν, διότι μὲ βασανίζει φοβερὰ καὶ μὲ τραυματίζει μὲ τὴν πικρίαν τῶν ἡδονῶν· δὲν ἔχω, Δέσποτά μου, καθαρὸν τὸ πρόσωπον πλέον, διὰ νὰ ἐνατενίσω εἰς τὴν εἰκόνα Σου καὶ νὰ ἰδῶ τὴν ἁγίαν Σου μορφήν, καὶ τὴν λαμπροτέραν ἀπὸ τὸν ἥλιον θέαν τοῦ προσώπου Σου, ὥστε νὰ γλυκανθῇ ἡ καρδία μου καὶ νὰ εὐχαριστηθῇ».

Ἐνῷ δὲ ἀκόμη τὰ χείλη του ἐψιθύριζον τοὺς λόγους αὐτούς, μόλις ἐξήρχετο ἀπὸ τὴν ἐκκλησίαν, ἔπιπτεν ἐκ νέου εἰς τὸν βόρβορον.

Παρ' ὅλα ταῦτα ὅμως δὲν ἀπηλπίζετο διὰ τὴν σωτηρίαν του, ἀλλ' ἐπιστρέφων ἀπὸ τὴν ἁμαρτίαν, ἐφώναζεν, ἐντὸς τῆς ἐκκλησίας, τὰ ἴδια πρὸς τὸν φιλάνθρωπον Θεὸν καὶ Κύριον ἢ ἔλεγε τὰ ἑξῆς· «Κύριέ μου, σὲ ὁρίζω ἐγγυητὴν εἰς τὴν ὑπόσχεσίν μου, ὅτι ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς δὲν θὰ διαπράξω ποτὲ πλέον αὐτὴν τὴν ἁμαρτίαν. Μόνον, ἀγαθὲ καὶ πολυεύσπλαγχνε Κύριε, συγχώρησον ὅσας ἁμαρτίας ἀπὸ τὴν ἀρχὴν μέχρις αὐτῆς τῆς στιγμῆς ἔχω διαπράξει».

Μόλις δὲ ἔδιδεν αὐτὰς τὰς φοβερὰς ὑποσχέσεις, πάλιν εὑρίσκετο αἰχμάλωτος τῆς πονηρᾶς αὐτοῦ ἁμαρτίας. Καὶ ἤξιζε κανεὶς νὰ θαυμάσῃ τὴν γλυκυτάτην φιλανθρωπίαν τοῦ Θεοῦ καὶ τὴν ἄπειρον ἀγαθότητα, μὲ τὴν ὁποίαν ἠνείχετο καθημερινῶς τὴν ἀδιόρθωτον καὶ πονηρὰν παράβασιν καὶ ἀγνωμοσύνην τοῦ ἀδελφοῦ! πραγματικῶς ὁ Θεός, λόγῳ τοῦ πλήθους τοῦ ἐλέους Του, ἐπεζήτει ἐπιμόνως τὴν μετάνοιαν τοῦ ἁμαρτάνον-

τος ἐκείνου ἀδελφοῦ καὶ τὴν ἀμετάστρεπτον ἐπιστροφήν του. Διότι αὐτὸ συνέβαινεν ὄχι ἐπὶ ἓν ἢ δύο ἢ τρία ἔτη, ἀλλὰ πλέον τῶν δέκα ἐτῶν.

Βλέπετε, ἀδελφοί μου, τὴν ἀμέτρητον ἀνοχὴν καὶ τὴν ἄπειρον φιλανθρωπίαν τοῦ Δεσπότου; Πῶς συνεχῶς μακροθυμεῖ, ἐπιδεικνύει πρὸς ἡμᾶς καλωσύνην, ὑπομένων τὰ φοβερὰ ἀνομήματα καὶ ἁμαρτήματά μας; Ἐκεῖνο δὲ ποὺ προκαλεῖ τὴν κατάπληξιν καὶ τὸν θαυμασμὸν διὰ τοὺς πλουσίους οἰκτιρμοὺς τοῦ Θεοῦ, εἶναι ὅτι δὲν ὠργίζετο ἐναντίον τοῦ ἐν λόγῳ ἀδελφοῦ, καίτοι συνεφώνει νὰ μὴ ἐπαναλάβῃ τὴν ἁμαρτίαν, ψευδόμενος συνεχῶς.

Μίαν ἡμέραν λοιπόν, ὅπου ἐγίνοντο αὐτὰ ποὺ περιγράφομεν, ἀφοῦ ὁ ἀδελφὸς διέπραξε τὴν ἁμαρτίαν, ἔρχεται δρομαίως εἰς τὴν ἐκκλησίαν, θρηνῶν καὶ ἀναστενάζων καὶ κραυγάζων μὲ σπαραγμόν, διὰ νὰ ἐπισύρῃ τὴν εὐσπλαγχνίαν τοῦ ἀγαθοῦ Δεσπότου, νὰ τὸν ἐλεήσῃ καὶ νὰ φύγῃ ἀπὸ τὸν βόρβορον τῆς ἀσωτίας.

Καθὼς λοιπὸν παρεκάλει τὸν φιλάνθρωπον Θεόν, βλέπων ὁ ἀρχέκακος καὶ καταστροφεὺς τῶν ψυχῶν μας διάβολος, ὅτι τίποτε δὲν κερδίζει, διότι ὅσα αὐτὸς ἐπετύγχανε διὰ τῆς ἁμαρτίας, τὰ ἐξηφάνιζε διὰ τῆς μετανοίας ὁ ἀδελφός, ἀποθρασυνθείς, λοιπόν, παρουσιάζεται εἰς τὸν ἀδελφὸν ὀφθαλμοφανῶς, ἔχων τὸ βλέμμα του πρὸς τὴν σεβασμίαν εἰκόνα τοῦ Χριστοῦ καὶ λέγων πρὸς τὸν εὐσπλαγχνικόν μας Σωτῆρα: «Τί θὰ γίνῃ μὲ ἡμᾶς τοὺς δύο, Ἰησοῦ Χριστέ; ἡ ἄπειρος συμπάθειά σου πρὸς τὸν ἁμαρτωλὸν μὲ νικᾷ καὶ μὲ συντρίβει εἰς τὸ ἔδαφος, διότι ἐξακολουθεῖς νὰ δέχεσαι αὐτὸν τὸν πόρνον καὶ τὸν ἄσωτον, ὁ ὁποῖος καθημερινῶς σὲ ἐμπαίζει καὶ καταφρονεῖ τὴν δύναμίν σου. Διατί λοιπὸν δὲν τὸν κατακαίεις, ἀλλὰ μακροθυμεῖς καὶ τὸν ἀνέχεσαι; Διότι θὰ δικάσῃς κάποτε τοὺς μοιχοὺς καὶ τοὺς πόρνους καὶ θὰ ἐξολοθρεύσῃς ὅλους τοὺς ἁμαρτωλούς.

Πράγματι δὲν εἶσαι δίκαιος Κριτής, ἀλλ' ὅπου νομίσῃ ἡ δύναμίς Σου κρίνει ἐπιεικῶς καὶ παραβλέπει. Οὕτω ἐνῷ ἐμὲ διὰ μικρὰν παράβασιν ὑπερηφανείας μὲ ἔρριξες ἀπὸ τοὺς οὐρανοὺς εἰς τὴν ἄβυσσον, αὐτὸν ἐδῶ, καίτοι εἶναι πόρνος καὶ ἄσωτος, ἐπειδὴ ὅμως ἐνώπιον τῆς εἰκόνος Σου ἔχει ριφθῆ, τοῦ χαρίζεις μὲ ἠρεμίαν τὴν συμπάθειάν Σου.

Πρὸς τί λοιπὸν Σὲ ὀνομάζουν δικαιότατον Κριτήν; Διότι, ὅπως βλέπω, καὶ Σύ, ἀπὸ πολλὴν καλωσύνην, δέχεσαι πρόσωπα ἀνθρώπων καὶ παραβλέπεις τὸ δίκαιον».

Αὐτὰ τὰ ἔλεγεν ὁ Διάβολος φαρμακωμένος ἀπὸ τὴν πολλήν του πίκραν, ἐνῷ ἔβγαζεν ἀπὸ τὰ ρουθούνια του μαύρην φλόγα.

Ἀφοῦ εἶπεν αὐτὰ ὁ διάβολος ἐσιώπησεν. Ἐν συνεχείᾳ ἠκούσθη φωνή, προερχομένη ἐκ τοῦ ἱεροῦ Θυσιαστηρίου, λέγουσα τὰ ἑξῆς «Ὦ δράκον παμπόνηρε καὶ καταστρεπτικέ, δὲν ἱκανοποίησες ἀκόμη τὴν καταστρεπτικὴν καὶ πονηράν σου ἐπιθυμίαν, μὲ τὸ νὰ καταπιῇς τὸν κόσμον; Ἀλλὰ ἔχεις ἀκόμη τὸ θράσος νὰ προσπαθῇς, νὰ ἀφαρπάσῃς καὶ αὐτὸν ἐδῶ, ποὺ προσῆλθε συντετριμμένος διὰ νὰ ζητήσῃ τὸ ἔλεος τῆς εὐσπλαγχνίας μου, καὶ νὰ τὸν καταπίῃς; Ἔχεις τὴν δύναμιν νὰ παραθέσῃς τόσα πολλὰ ἁμαρ-

τήματα, διὰ νὰ νικήσῃς, δι᾿ αὐτῶν, εἰς τὸν ζυγὸν τῆς δικαιοσύνης, τὸ τίμιον Αἷμα, ποὺ ἔχυσα ἐπάνω εἰς τὸν Σταυρόν, χάριν αὐτοῦ; Ἰδοὺ ἡ σφαγή μου καὶ ὁ θάνατός μου προσεφέρθησαν διὰ νὰ συγχωρηθοῦν αἱ ἀνομίαι αὐτοῦ.

Καὶ σὺ μέν, ὅταν ἐπιστρέφῃ καὶ πάλιν εἰς τὴν ἁμαρτίαν, δὲν τὸν διώχνεις, ἀλλὰ τὸν δέχεσαι μετὰ χαρᾶς καὶ δὲν τὸν περιφρονεῖς, οὔτε τὸν ἐμποδίζεις νὰ διαπράξῃ τὴν ἁμαρτίαν, ἀπὸ ἐλπίδα μήπως τὸν κερδίσῃς· καὶ ἐγὼ ποὺ εἶμαι ἐλεήμων καὶ φιλάνθρωπος καὶ συνεβούλευσα τὸν κορυφαῖον Ἀπόστολόν μου Πέτρον νὰ συγχωρῇ τὸν ἁμαρτάνοντα ἑβδομήντα φορὲς ἑπτὰ τὴν ἡμέραν (Ματθ. ιη΄ 22), νὰ μὴ τὸν ἐλεήσω καὶ νὰ μὴ τὸν εὐσπλαγχνισθῶ; Βεβαίως· μόνον καὶ μόνον, διότι καταφεύγει εἰς ἐμέ, δὲν θὰ τὸν ἀποστραφῶ, μέχρις ὅτου τὸν κερδίσω. Ἄλλωστε ἐγὼ ἐσταυρώθην διὰ τοὺς ἁμαρτωλοὺς καὶ χάριν τῆς σωτηρίας των ἥπλωσα ἐπάνω εἰς τὸν σταυρὸν τὰς ἀχράντους παλάμας μου, ὥστε ἐκεῖνος ποὺ τὸ ἐπιθυμεῖ, νὰ καταφεύγῃ εἰς ἐμὲ καὶ νὰ σώζεται. Δι᾿ αὐτὸ λοιπὸν κανένα δὲν ἀποστρέφομαι, οὔτε ἐκδιώκω, ἔστω καὶ ἐὰν πταίσῃ μυριάκις τῆς ἡμέρας καὶ μυριάκις ἐπανέλθῃ κοντά μου· ὁ τοιοῦτος δὲν θὰ ἀποχωρήσῃ τοῦ Ναοῦ μου λυπημένος, διότι δὲν ἦλθα νὰ καλέσω τοὺς δικαίους, ἀλλὰ τοὺς ἁμαρτωλοὺς νὰ μετανοήσουν».

Κατὰ τὸ διάστημα ποὺ ἠκούετο αὐτὴ ἡ φωνή, ὁ διάβολος παρέμενεν εἰς τὴν θέσιν του τρέμων, χωρὶς νὰ δύναται νὰ ἀπομακρυνθῇ. Κατόπιν ἤρχισεν ἐκ νέου ἡ φωνὴ νὰ λέγῃ· ἄκουσε, ἀπατεὼν καὶ δι᾿ αὐτὰ ποὺ λέγεις, ὅτι δῆθεν εἶμαι ἄδικος· ἀπ᾿ ἐναντίας ἐγὼ εἶμαι πρὸς ὅλους δίκαιος, διότι εἰς οἱανδήποτε ἠθικὴν κατάστασιν εὕρω τὸν ἄνθρωπον, δι᾿ αὐτῆς καὶ τὸν κρίνω. Ἰδοὺ λοιπὸν καὶ αὐτὸν τὸν εὗρον πρὸ ὀλίγου νὰ μετανοῇ, νὰ ἔχῃ ἐπιστρέψει ἀπὸ τὴν ἁμαρτίαν, νὰ εὑρίσκεται πρὸ τῶν ποδῶν μου μὲ εἰλικρινῆ διάθεσιν νὰ ἐγκαταλείψῃ τὴν ἁμαρτίαν καὶ ὡς ἐκ τούτου νὰ σὲ ἔχῃ νικήσει.

Δι᾿ αὐτὸ θὰ παραλάβω αὐτὸν ἀμέσως τώρα καὶ θὰ σώσω τὴν ψυχήν του, διότι δὲν ἀπηλπίσθη εἰς τὴν σκληρὰν προσπάθειαν τῆς σωτηρίας.

Σὺ κοίταξε πόσον ἀξίζει ἐνώπιόν Μου ἡ μετάνοιά του, τιμηθεὶς δι᾿ αὐτό, σὲ δὲ ἂς καταξεσχίσῃ ὁ φθόνος σου καὶ καταντροπιάσου.

Ἐνῷ ἐλέγοντο αὐτὰ ὁ μετανοῶν ἀδελφὸς εἶχε ριφθῆ πρὸ τῆς εἰκόνος τοῦ Σωτῆρος, μὲ τὸ πρόσωπον κατὰ γῆς καὶ θρηνολογῶν παρέδωκε τὸ πνεῦμα του εἰς τὸν Κύριον. Συγχρόνως μὲ τὴν εἰς Κύριον ἐκδημίαν τοῦ μετανοήσαντος ἀδελφοῦ, ἐπέπεσεν εἰς τὸν σατανᾶν μεγάλη ὀργή, σὰν φωτιὰ ἀπὸ τὸν οὐρανόν, καὶ τὸν κατέτρωγε. Ἀπὸ αὐτὸ τὸ περιστατικόν, ἀδελφοί μου, ἂς πληροφορηθῶμεν τὴν ἄμετρον εὐσπλαγχνίαν καὶ φιλανθρωπίαν τοῦ Θεοῦ καὶ πόσον καλὸν Δεσπότην ἔχομεν, ὥστε ποτὲ πλέον νὰ μὴ ἀπογοητευθῶμεν διὰ τὰς ἁμαρτίας ἡμῶν, ἀλλὰ μετὰ ζήλου νὰ φροντίσωμεν διὰ τὴν σωτηρίαν μας.

2. Ἕνας ἄλλος πάλιν, ἀφοῦ μετενόησε δι᾿ ὅσας ἁμαρτίας διέπραξεν, ἡσύχασε (δὲν ὑπέπεσε πλέον εἰς παράπτωμα ἢ ἁμαρτίαν τινά).

Συνέβη λοιπὸν ἀμέσως, σχεδόν, νὰ σκοντάψῃ εἰς μίαν πέτραν καὶ νὰ κτυπήσῃ τὸ πόδι του· ἀπὸ δὲ τὴν πληγὴν ἔτρεξε τόσον αἷμα, ὥστε νὰ λιποθυμήσῃ καὶ νὰ παραδώσῃ τὴν ψυχήν του. Ἔρχονται λοιπὸν ἀμέσως, μετὰ τὸν θάνατόν του, οἱ δαίμονες, θέλοντες νὰ παραλάβουν τὴν ψυχήν του.

Οἱ Ἄγγελοι ὅμως τοὺς σταματοῦν καὶ τοὺς λέγουν:

— Προσέξατε εἰς τὴν πέτραν καὶ ἴδετε τὸ αἷμα του, τὸν ὁποῖον ἔχυσεν εἰς τὸν ἀγῶνα διὰ τὴν ἀγάπην του πρὸς τὸν Κύριον.

Ὅταν εἶπον αὐτὰ οἱ Ἄγγελοι ἀνῆλθεν εἰς τὸν οὐρανὸν ἐλευθέρα ἀπὸ ἁμαρτίας.

3. Εἰς ἕνα ἀδελφόν, ποὺ περιέπεσεν εἰς τὴν ἁμαρτίαν, ἐνεφανίσθη ὁ σατανᾶς καὶ τοῦ λέγει:

— Δὲν εἶσαι Χριστιανός.

Ὁ ἀδελφός, χωρὶς νὰ παγιδευθῇ ἀπὸ τὴν γνώμην αὐτὴν τοῦ διαβόλου, ἀπαντᾷ:

— Ὁποιοδήποτε καὶ ἐὰν εἶμαι μέχρι σήμερα, ἀπὸ τώρα σὲ ἐγκαταλείπω.

Ὁ σατανᾶς ἐπιδιώκων νὰ τοῦ ἐμπνεύσῃ ἀπόγνωσιν τοῦ λέγει πάλιν:

— Ἐγὼ σοῦ λέγω, ὅτι θὰ ὑπάγῃς εἰς τὴν κόλασιν.

Ὁ ἀδελφός, χωρὶς νὰ χάσῃ τὸ θάρρος του, ἀπαντᾷ ἐκ δευτέρου:

— Δὲν εἶσαι σὺ ὁ δικαστής μου, οὔτε ὁ Θεός μου.

Οὕτως ὁ σατανᾶς ἀνεχώρησε, χωρὶς νὰ ἐπιτύχῃ τίποτε.

Τότε ὁ ἀδελφὸς μετενόησεν εἰλικρινὰ ἐνώπιον τοῦ Θεοῦ καὶ ἀνεδείχθη δόκιμος ἀγωνιστής.

4. Ἕνας ἀδελφός, κατεχόμενος ἀπὸ λύπην καὶ μελαγχολίαν, ἀπηυθύνθη εἰς ἕνα Γέροντα καὶ τὸν ἠρώτησε:

— Τί νὰ κάνω; οἱ λογισμοί μου μοῦ ὑποβάλλουν τὴν σκέψιν, ὅτι, τάχα, ἀσκόπως ἀπηρνήθην τὸν κόσμον καὶ δὲν δύναμαι νὰ σωθῶ.

Εἰς αὐτὰ ὁ Γέρων ἀπήντησε μὲ στοχαστικότητα τὰ ἑξῆς:

— Παιδί μου, καὶ ἐὰν ἀκόμη δὲν κατορθώσωμεν νὰ εἰσέλθωμεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, εἶναι προτιμότερον εἰς ἡμᾶς νὰ πέσουν τὰ μέλη μας εἰς τὴν ἔρημον, παρὰ νὰ ἐπιστρέψωμεν εἰς τὸν τόπον τῆς φοβερᾶς δουλείας, τὴν Αἴγυπτον (Ἀριθμοὶ ιδ΄, 29 - 33).

5. Ἕνας ἄλλος ἀδελφὸς ἠρώτησε τὸν ἴδιον Γέροντα:

— Πάτερ μου, τί ἐννοεῖ ὁ προφήτης, ὅταν λέγῃ· οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ; (Ψαλμ. γ΄, 3).

Ὁ Γέρων ἔδωσε τὴν ἑξῆς ἀπάντησιν εἰς τὴν ἀπορίαν τοῦ ἀδελφοῦ:

— Ἐννοεῖ τοὺς λογισμοὺς τῆς ἀπελπισίας, ποὺ ὑποβάλλουν οἱ δαίμονες εἰς τὸν ἁμαρτήσαντα λέγοντες· ἀπὸ δῶ καὶ πέρα δὲν εἶναι δυνατὸν ὁ Θεὸς νὰ σὲ σώσῃ. Μὲ αὐτὴν δὲ τὴν συμβουλὴν ἐπιδιώκουν νὰ κατακρημνίσουν τὸν ἁμαρτωλὸν εἰς τὴν ἀπόγνωσιν. Αὐτοὺς ὅμως τοὺς λογισμοὺς πρέπει ὁ ἄνθρωπος νὰ τοὺς ἀντιμετωπίζῃ διὰ τῶν λέξεων τῆς Ἁγ. Γρα-

φῆς· «Ὁ Κύριος εἶναι ἡ καταφυγή μου καὶ αὐτὸς θὰ ἐλευθερώσῃ τοὺς πόδας μου ἀπὸ τὴν παγίδα» (Ψαλμ. κδ΄, 15).

6. Ἕνας ἐκ τῶν πατέρων τῆς ἐρήμου διηγήθη τὴν ἑξῆς ὠφέλιμον ἱστορίαν: Κάποτε εἰς τὴν Θεσσαλονίκην ὑπῆρχεν ἕνα ἀσκητήριον παρθένων. Μία Μοναχὴ λοιπὸν ἀπὸ αὐτάς, ἀπὸ ἐνέργειαν τοῦ πειρασμοῦ ἔφυγεν ἀπὸ τὸ Μοναστήρι καὶ περιέπεσεν εἰς τὴν πορνείαν. Εἰς αὐτὴν τὴν βδελυρὰν ἁμαρτίαν τῆς πορνείας παρέμεινεν ἀρκετὸν χρόνον. Μετὰ ταῦτα, διὰ τῆς συνεργείας τοῦ φιλανθρώπου Θεοῦ, μετενόησε καὶ ἐπέστρεψεν εἰς τὸ Μοναστήρι της. Πρὶν ὅμως προλάβῃ νὰ εἰσέλθῃ, ἀπέθανε πρὸ τοῦ πυλῶνος. Ἐν τῷ μεταξὺ ἀπεκαλύφθη εἰς ἕνα ἅγιον ἄνθρωπον ὁ θάνατος αὐτῆς. Κατὰ τὴν ἀποκαλυπτικὴν αὐτὴν ὀπτασίαν — μεταξὺ ἄλλων — εἶδε τοὺς Ἁγίους Ἀγγέλους, ποὺ ἦλθον νὰ παραλάβουν τὴν ψυχήν της, καὶ τοὺς δαίμονας ὀπίσω αὐτῆς. Καὶ οἱ μὲν Ἅγιοι Ἄγγελοι ἔλεγον, ὅτι αὐτὴ ἦλθε μετανοημένη καὶ ἐπομένως ἡ ψυχή της ἀνήκει εἰς ἡμᾶς. Οἱ δὲ δαίμονες ἀπάντουσαν: Τόσον χρόνον δουλεύει εἰς ἡμᾶς καὶ ὡς ἐκ τούτου εἶναι ἰδική μας· ἄλλωστε οὔτε κἂν ἐπρόλαβε νὰ εἰσέλθῃ εἰς τὸ Μοναστήρι· πῶς λοιπὸν λέγετε, ὅτι μετενόησεν;

Οἱ Ἄγγελοι ὅμως τοὺς ἀπεστόμωσαν λέγοντες, ὅτι ἀπὸ τὴν στιγμήν, ποὺ ὁ Παντογνώστης Θεὸς ἀντελήφθη, ὅτι ἡ πρόθεσίς της ἔκλινε πρὸς τὴν μετάνοιαν, ἐδέχθη εὐχαρίστως τὴν μετάνοιάν της (καὶ τὴν ἐδικαίωσε). Καὶ τῆς μὲν μετανοίας ἦτο κυρία ἡ ἰδία, διὰ τὸν σκοπὸν τὸν ὁποῖον ἐσκέπτετο νὰ πραγματοποιήσῃ· τῆς ζωῆς της ὅμως Κύριος ἦτο ὁ Δεσπότης τῶν ὅλων.

Κατόπιν τῶν λόγων αὐτῶν κατησχύνθησαν οἱ δαίμονες καὶ ἀνεχώρησαν ἐγκαταλείψαντες τὴν ψυχὴν εἰς τοὺς Ἀγγέλους.

Ἐκεῖνος, ποὺ εἶδε τὴν ἀποκάλυψιν αὐτήν, τὴν διηγήθη εἰς τοὺς παρευρεθέντας.

7. Ὁ Ἀββᾶς Ἁλώνιος εἶπεν: Ἐὰν ὁ ἄνθρωπος θελήσῃ, δύναται, ἀπὸ τὸ πρωῒ ἕως τὸ βράδυ, νὰ ἔλθῃ εἰς μέτρον θεῖον.

8. Ἕνας ἀδελφὸς ὑπέβαλε τὴν ἑξῆς ἐρώτησιν εἰς τὸν Ἀββᾶν Μωϋσῆν:

—Ἂς ὑποθέσωμεν, ὅτι ἕνας ἄνθρωπος δέρνει τὸν δοῦλον του διὰ κάποιαν ἁμαρτίαν, τὴν ὁποίαν ἔπραξε· τί θὰ εἴπῃ ὁ δοῦλος;

Ὁ Γέρων ἀπήντησεν:

—Ἐὰν εἶναι δοῦλος καλός, θὰ εἴπῃ: Κύριέ μου, ἐλέησόν με, ἡμάρτησα.

Ὁ ἀδελφὸς ἠρώτησε πάλιν:

—Τίποτε ἄλλο δὲν λέγει ὁ δοῦλος;

Καὶ ὁ Γέρων πάλιν ἀπήντησε:

— Τίποτε ἄλλο· διότι ἀφοῦ ἀναγνωρίσῃ καὶ ὁμολογήσῃ τὸ σφάλμα του καὶ εἴπῃ τὸ «ἡμάρτησα», ἀμέσως ὁ Κύριος τὸν λυπᾶται ἀπὸ τὰ βάθη τῆς ψυχῆς του καὶ τὸν συγχωρεῖ.

9. Ἕνας ἀδελφὸς εἶπεν εἰς τὸν Ἀββᾶν Ποιμένα:

—Ἐὰν περιπέσω εἰς κανένα ἐλεεινὸν παράπτωμα, μὲ κατατρώγει ὁ λογισμός μου καὶ μὲ κατηγορεῖ, μὲ δριμύτητα, διατί νὰ περιπέσω εἰς τὸ σφάλμα αὐτό.

Ὁ Γέρων ἀπήντησεν ὡς ἑξῆς εἰς τὸν ἀδελφόν:

—Ἐὰν κατὰ τὴν ἰδίαν ὥραν, ποὺ θὰ περιπέσῃ ὁ ἄνθρωπος εἰς ἕνα σφάλμα, εἰπῇ ἥμαρτον, ἀμέσως σταματᾷ ἡ ἐνόχλησις τοῦ λογισμοῦ.

10. Μιᾶς κόρης, ἡ ὁποία ἐλέγετο Ταϊσία, ἀπέθαναν οἱ γονεῖς καὶ ἔμεινεν ὀρφανή. Ἡ κόρη αὐτὴ μετέβαλε τὸ σπίτι της εἰς ξενῶνα, χάριν τῶν πατέρων τῆς γειτονικῆς σκήτης· ἐπὶ πολὺν δὲ χρόνον τοὺς ὑπεδέχετο καὶ τοὺς ἐπεριποιεῖτο διὰ τῆς φιλοξενίας.

Ὕστερα ὅμως, ἀφοῦ ἐξώδευσεν ὅλα τὰ ὑπάρχοντά της εἰς τὸ ἔργον τῆς φιλοξενίας τῶν πατέρων, ἤρχισε νὰ ὑποφέρῃ καὶ νὰ ὑστερῆται.

Τότε τὴν ἐπλησίασαν μερικοὶ διεστραμμένοι ἄνθρωποι καὶ τὴν ἔκαμαν νὰ ἀλλάξῃ διαγωγὴν καὶ νὰ ἐγκαταλείψῃ τὴν ὁδὸν τῆς ἀρετῆς. Τὸ ἀποτέλεσμα τῆς καταστρεπτικῆς αὐτῆς συντροφιᾶς ἦτο ἡ Ταϊσία νὰ ζῇ πλέον εἰς τὸν δρόμον τῆς ἁμαρτίας καὶ νὰ καταλήξῃ, μὲ τὸν καιρόν, καὶ εἰς πορνεῖον.

Ὅταν ἐπληροφορήθησαν οἱ πατέρες τὸ κατάντημά της αὐτὸ ἐλυπήθησαν πάρα πολύ.

Ἀφοῦ λοιπὸν προσεκάλεσαν τὸν Ἀββᾶν Ἰωάννην τὸν Κολοβόν, εἶπον εἰς αὐτόν. Ἐπληροφορήθημεν, ὅτι ἡ ἀδελφὴ Ταϊσία ζῇ εἰς τὴν ἁμαρτίαν. Ὡς γνωστὸν δέ, ὅταν εἶχε τὴν δύναμιν, ἔδειξεν εἰς ἡμᾶς τὴν ἀγάπην της, μᾶς ἐφιλοξένει καὶ μᾶς ἀνέπαυε. Τώρα λοιπὸν εἶναι καιρὸς νὰ τὴν βοηθήσωμεν καὶ ἡμεῖς ὅσον ἠμποροῦμεν. Λάβε λοιπὸν τὸν κόπον νὰ μεταβῇς πρὸς συνάντησίν της καὶ προσπάθησε, μὲ τὴν σοφίαν, ποὺ σοῦ ἔδωσεν ὁ Θεός, νὰ τὴν τακτοποιήσῃς καὶ νὰ τὴν ἀποσπάσῃς ἀπὸ τὴν λάσπην τῆς διαφθορᾶς.

Ὁ Γέρων λοιπὸν ἦλθεν εἰς τὸ καταγώγιον τῆς ἁμαρτίας, ὅπου διέμενεν ἡ Ταϊσία.

— Εἰδοποίησε, παρακαλῶ, τὴν κυρίαν σου, ὅτι τὴν ζητῶ, εἶπεν εἰς τὴν γραῖαν θυρωρὸν τοῦ καταγωγίου.

— Φύγε ἀπ' ἐδῶ, καλόγερε, τοῦ λέγει ὠργισμένη ἡ γραῖα· σεῖς ἀπὸ τὴν ἀρχὴν ἐφάγατε τὰ ὑπάρχοντά της καὶ τὴν ἐγκατελείψατε τώρα πτωχήν.

— Πήγαινε, σὲ παρακαλῶ καὶ κάνε αὐτό, ποὺ σοῦ λέγω, διότι ἔχω σκοπὸν νὰ τὴν ὠφελήσω πάρα πολύ, ἐπέμεινεν ὁ Γέρων.

Πεισθεῖσα τέλος ἡ γραῖα ἀνέβηκε καὶ ἀνήγγειλεν εἰς τὴν Ταϊσίαν, ὅτι θέλει νὰ τὴν ἐπισκεφθῇ ἕνας καλόγηρος.

— Αὐτοὶ οἱ Μοναχοί, λέγει ἡ Ταϊσία, ὅταν ἤκουσε ποῖος τὴν ζητεῖ, συχνοπερνοῦν κοντὰ εἰς τὴν Ἐρυθρὰν θάλασσαν καὶ εὑρίσκουν πολύτιμα μαργαριτάρια.

Ἀφοῦ λοιπὸν ἐστολίσθη μὲ ἰδιαιτέραν ἐπιμέλειαν, ἐξηπλώθη εἰς τὸ κρεββάτι καὶ λέγει εἰς τὴν γραῖαν θυρωρόν:

—Ὁδήγησε τὸν Μοναχὸν κοντά μου.

Πράγματι λοιπόν, εἰσῆλθε μετ' ὀλίγον εἰς τὸ ἰδιαίτερον δωμάτιόν της ὁ Ἀββᾶς Ἰωάννης, καὶ ἐκάθησε κοντά της. Ἀφοῦ τὴν ἐκοίταξε προσεκτικὰ εἰς τὸ πρόσωπον τῆς λέγει συγκινητικά:

— Τί ἔχεις κατὰ τοῦ Ἰησοῦ, καὶ τὸν κατηγορεῖς διότι ἦλθες εἰς αὐτὴν τὴν κατάστασιν;

Ἐκείνη εἰς τὸ ἄκουσμα τῶν λέξεων αὐτῶν ἐπάγωσεν ὁλόκληρος. Συγχρόνως ὁ Γέρων ἔσκυψε τὸ κεφάλι του καὶ ἤρχισε νὰ κλαίῃ μὲ ἀναφυλλητά.

Ταραγμένη τότε τὸν ἐρωτᾷ ἡ Ταϊσία:

—Ἀββᾶ, διατί κλαίεις;

Ὁ Ἀββᾶς Ἰωάννης ἐσήκωσεν ὀλίγον τὴν κεφαλήν του καὶ πάλιν ἔσκυψε, λέγων:

— Βλέπω, τὸν Σατανᾶν νὰ παίζῃ εἰς τὸ πρόσωπόν σου καὶ νὰ μὴ κλαύσω;

Εἰς τὴν παρατήρησιν αὐτὴν ἠρώτησεν ἡ ἁμαρτωλὴ Ταϊσία:

—Ὑπάρχει μετάνοια, Ἀββᾶ;

— Ναί, ὑπάρχει, ἀπήντησεν ὁ Γέρων.

— Τότε πάρε με — τοῦ λέγει ἡ Ταϊσία — καὶ ὁδήγησέ με ὅπου θέλεις.

—Ἐμπρὸς λοιπόν, ἂς πηγαίνωμεν.

Εἰς τὴν πρόσκλησιν αὐτὴν τοῦ Γέροντος, ἐσηκώθη ἀμέσως ἡ με τανοοῦσα ἁμαρτωλή, διὰ νὰ τὸν ἀκολουθήσῃ.

Ὁ Γέρων ἐδοκίμασε κατάπληξιν, διότι ἐπρόσεξεν, ὅτι ἡ Ταϊσία δὲν ἐνδιεφέρθη καθόλου διὰ τὴν τακτοποίησιν τοῦ σπιτιοῦ της, ἀλλὰ τὸ ἄφησεν ἔτσι ὅπως ἦτο καὶ τὸν ἠκολούθησεν.

Ὅταν ἔφθασαν εἰς τὴν ἔρημον εἶχε πλέον νυκτώσει. Ὁ Ἀββᾶς Ἰωάννης τῆς ἡτοίμασεν ἕνα μικρὸν προσκέφαλον καὶ ἀφοῦ τὸ ἐσφράγισε μὲ τὸ σημεῖον τοῦ Σταυροῦ, τῆς λέγει:

— Κοιμήσου ἐδῶ. Ἀφοῦ δὲ καὶ ὁ ἴδιος ἡτοίμασεν εἰς μικρὰν ἀπόστασιν, ἕνα πρόχειρον τόπον κάτω στὸ χῶμα, ἐτελείωσε τὴν προσευχήν του καὶ ἔγειρεν ὀλίγον νὰ ἀναπαυθῇ.

Κατὰ τὰ μεσάνυκτα ἐξύπνησε καὶ βλέπει παράδοξον θέαμα· βλέπει ἕνα φωτεινὸν δρόμον, ὁ ὁποῖος συνέδεε τὸν οὐρανόν, μὲ τὸ σημεῖον, ὅπου ἐκοιμᾶτο ἡ Ταϊσία, καὶ Ἀγγέλους τοῦ Θεοῦ νὰ ὁδηγοῦν πρὸς τὰ ἐπάνω τὴν ψυχὴν τῆς μετανοούσης ἁμαρτωλῆς.

Ἀμέσως λοιπὸν ἐσηκώθη ὁ Ἀββᾶς καὶ σπεύδει πρὸς τὴν Ταϊσίαν, καὶ τὴν ἐσκούντησεν ἐλαφρὰ μὲ τὸ πόδι του. Μόλις ἀντελήφθη, ὅτι ἦτο πλέον νεκρά, ἐγονάτισε μὲ τὸ πρόσωπον πρὸς τὴν γῆν καὶ παρεκάλει τὸν Θεὸν νὰ τοῦ ἀποκαλύψῃ ἐὰν ἐδέχθη τὴν μετάνοιαν τῆς Ταϊσίας. Προσευχόμενος κατὰ τὸν τρόπον αὐτὸν ἤκουσεν ἐκ Θεοῦ φωνήν, ἡ ὁποία τοῦ ἔλεγεν:

«Ἡ μία ὥρα, ποὺ μετενόησεν αὐτὴ ἡ γυναίκα, ἐγένετο δεκτὴ περισ-

σότερον ἀπὸ ἐκείνων ποὺ διανύουν πολλὰ χρόνια εἰς τὴν μετάνοιαν, ἀλλὰ ἡ μετάνοιά των δὲν ἔχει τόσην θερμότητα, ὅσην ἡ μετάνοια αὐτῆς.

ΣΤ'. Περὶ τοῦ Μακαρίου Παύλου τοῦ ἁπλοῦ, ὃς ἦν τοῦ Ἁγίου Ἀντωνίου Μαθητής

ΔΙΗΓΗΣΑΝΤΟ οἱ Πατέρες πρᾶγμα τοιοῦτον· ὅτι ποτὲ παραγενόμενος εἰς Μοναστήριον ἐπισκέψεως χάριν καὶ ὠφελείας τῶν ἀδελφῶν ὁ ἁπλοῦς Παῦλος, μετὰ τὸ συνήθως προσαγορεῦσαι αὐτούς, ἀπῄει σὺν αὐτοῖς εἰς τὴν ἐκκλησίαν ἐπιτελέσαι τὴν σύναξιν· στὰς δὲ πρὸ τῶν πυλῶν τοῦ ναοῦ, προσεῖχεν ἑκάστῳ τῶν εἰσιόντων ὁποίᾳ ἄρα ψυχῇ εἰσέρχεται· εἶχε γὰρ καὶ ταύτην τὴν χάριν παρὰ Θεοῦ, ὥστε ὁρᾶν ἕκαστος ὁποῖος ἐστὶ τῇ ψυχῇ, ὥς περ ἡμεῖς ὁρῶμεν ἀλλήλους κατὰ τὸ ἔξωθεν· πάντας δὲ ὁρῶν λαμπρᾷ τῇ ὄψει καὶ φαιδρῷ τῷ προσώπῳ, τὸν ἑκάστου Ἄγγελον χαίροντα ἐπ' αὐτῷ, συνέχαιρε καὶ αὐτὸς καὶ τῷ Θεῷ ηὐχαρίστει.

Εἶτα ὁρᾷ τινα εἰσιόντα, μέλανα τὴν ὄψιν καὶ ζοφώδη ὅλον τὸ σῶμα, δαίμονάς τε ἑκατέρωθεν τοῦτον συνέχοντας καὶ διὰ τῆς φορβαίας, ἣν αὐτῷ περιέβαλον, πρὸς ἑαυτοὺς ἕλκοντας· τὸν δὲ Ἄγγελον αὐτοῦ ἀπὸ μακρόθεν ἀκολουθοῦντα σκυθρωπόν τε καὶ κατηφῆ.

Ταῦτα ὁ γέρων ἰδών, ἐδάκρυσε· καὶ τῇ χειρὶ τύψας τὸ στῆθος, ἐκάθισε πρὸ τῆς ἐκκλησίας, ἀποκλαιόμενος σφόδρα τὸν ἀδελφὸν τὸν οὕτως ὀφθέντα αὐτῷ· οἱ δὲ ἀδελφοὶ ἰδόντες τὴν ἀθρόαν μεταβολὴν τοῦ ἀνδρὸς καὶ τὸ περιπαθὲς ἐκεῖνο καὶ κατώδυνον πένθος, προσελθόντες, ἠρώτων τὴν αἰτίαν μαθεῖν ἅμα παρακαλοῦντες καὶ συνελθεῖν αὐτοῖς εἰς τὴν σύναξιν· ὁ δὲ τούτους ἀποσεισάμενος, ἐκάθητο ἔξωθεν τὸν ἀδελφὸν οὕτως ἀποδυρόμενος· ἀπολυθείσης δὲ τῆς συνάξεως καὶ πάλιν ἐξιόντων, κατεμάνθανε πάλιν ὁ Παῦλος ἕκαστον, βουλόμενος γνῶναι οἷοι ἐξέρχονται.

Ὁρᾷ οὖν τὸν ἄνδρα ἐκεῖνον τὸν πρὶν ἐν τῷ εἰσέρχεσθαι φανέντα αὐτῷ μέλανα τὴν ὄψιν καὶ ζοφῶδες ὅλον τὸ σῶμα ἔχοντα, καὶ ὑπὸ τῶν δαιμόνων κυκλούμενον, ἐξερχόμενον ἀπὸ τῆς ἐκκλησίας λαμπρῷ τῷ προσώπῳ, καὶ λευκῷ τῷ σώματι· καὶ τοὺς μὲν δαίμονας μήκοθεν ἀκολουθοῦντας, τὸν δὲ Ἅγιον Ἄγγελονν ἐγγὺς αὐτῷ παρεπόμενον καὶ χαίροντα ἐπ' αὐτῷ σφόδρα. Ταῦτα οὖν παρὰ προσδοκίαν ὁ Παῦλος θεασάμενος, ἀνεπήδησε μετ' ἐκπλήξεως· καὶ χαίρων ἐβόα εὐλογῶν τὸν Θεὸν καὶ λέγων· ὦ τῆς ἀφάτου τοῦ δεσπότου ἡμῶν φιλανθρωπίας καὶ ἀγαθότητος! καὶ δραμὼν ἀνέβη ἐπί τινος βαθμοῦ ὑψηλοῦ· καὶ ἔκραξε λέγων· δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ὡς φοβερὰ καὶ πάσης ἐκπλήξεως γέμοντα.

Συνέτρεχον οὖν πάντες μετὰ σπουδῆς τῶν λεγομένων ἀκούσοντες· καὶ διηγεῖτο ὁ Ὅσιος Παῦλος ἃ εἶδεν ἐν τῷ εἰσιέναι τὸν ἀδελφόν, καὶ πάλιν ἐν τῷ ἐξιέναι· εἶτα καὶ ἠξίου τὸν ἄνδρα λέγειν ἐπὶ πάντων τὴν τοσαύτην μεταβολήν· ὁ δὲ ἀνυποστόλως διηγεῖτο τὰ καθ' ἑαυτὸν λέγων· ἐγὼ ἄνθρωπός εἰμι ἁμαρτωλὸς καὶ πορνείαις συνέζων μέχρι τοῦ νῦν· ἄρτι δὲ εἰσελθὼν ἐν τῇ Ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, ἤκουσα τοῦ Προφήτου Ἠσαΐου, μᾶλλον δὲ τοῦ Θεοῦ λαλοῦντος δι' αὐτοῦ· «λούσασθε, καὶ καθαροὶ γίνεσθε· ἀφελέσθε τὰς πονηρίας ἀπὸ τῶν καρδιῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου μάθετε καλὸν ποιεῖν· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε».

Ταῦτα ἀκούσας ἐγώ, κατανυγεὶς καὶ στενάξας ἐκ βάθους, εἶπον πρὸς τὸν Θεόν· δέσποτα Κύριε ὁ Θεός, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι· ἃ νῦν διὰ τοῦ Προφήτου σου ἐπηγγείλω, ταῦτα καὶ εἰς ἐμὲ πλήρωσον τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον· ἰδοὺ γὰρ δίδωμί σοι λόγον τῷ καρδιογνώστῃ Θεῷ· ὅτι ἀποτάσσομαι πάσῃ παρανομίᾳ καὶ αἰσχρᾷ πράξει, αἷς ἐδούλευον· καὶ οὐκέτι ταύταις προσθήσω ὑπὸ σοῦ βοηθούμενος, ἀλλὰ σοὶ δουλεύσω ἐξ ὅλης ἰσχύος, τῷ φιλανθρώπῳ δεσπότῃ ἡμῶν· ἐπὶ ταύταις οὖν ταῖς συνθήκαις, ἐξῆλθον τῆς Ἐκκλησίας κρίνας καὶ ἔργοις αὐτὰς πληρῶσαι διὰ τῆς ἄνωθεν χάριτος.

2. Εἶπε γέρων· ὥς περ ὁ κασσίτερος μελαινόμενος λαμπρύνεται πάλιν, οὕτω καὶ οἱ πιστεύοντες, κἂν μελαίνωνται ἁμαρτάνοντες, λαμπρύνονται πάλιν μετανοοῦντες· δι' ἣν τάχα αἰτίαν, καὶ κασσιτέρῳ ἡ πίστις παρεικάσθη.

Ἑρμηνεία

ΟΙ ΠΑΤΕΡΕΣ διηγήθησαν τὸ ἑξῆς χαρακτηριστικὸν περιστατικὸν ἀπὸ τὸν βίον τοῦ Μακαρίου Παύλου. Κάποτε Παῦλος ὁ ἁπλοῦς ἦλθεν εἰς τὸ Μοναστήριον διὰ νὰ ἐπισκεφθῇ καὶ ὠφελήσῃ τοὺς ἀδελφούς. Ἀφοῦ λοιπὸν τοὺς ἐχαιρέτησε μετέβη μαζί των εἰς τὴν Ἐκκλησίαν, διὰ τὴν καθιερωμένην ἀκολουθίαν. Ἐστάθη δὲ εἰς τὴν θύραν τοῦ Ναοῦ καὶ ἐπρόσεχεν, εἰς τὸ πρόσωπον, κάθε ἕνα ἀπὸ τοὺς εἰσερχομένους, διὰ νὰ διαπιστώσῃ μὲ ποίαν, ἆραγε, ψυχικὴν κατάστασιν εἰσήρχετο εἰς τὸν Ναόν, διότι εἶχε δεχθῆ ἀπὸ τὸν Θεὸν καὶ αὐτὸ τὸ χάρισμα, νὰ βλέπῃ, δηλαδή, τὸν κάθε ἕνα ὁποῖος ἦτο κατὰ τὴν ψυχήν, μὲ τὴν ἄνεσιν καὶ τὴν εὐκολίαν ποὺ βλέπομεν ἡμεῖς τὸ πρόσωπον τῶν συνανθρώπων μας. Ἔβλεπε δὲ ὅλους νὰ εἰσέρχωνται εἰς τὴν Ἐκκλησίαν μὲ χαρούμενον καὶ λαμπερὸν πρόσωπον καὶ τὸν σύνοδόν τους Ἄγγελον νὰ χαίρῃ μαζί των. Τότε καὶ ὁ ἁπλοῦς Παῦλος, ἀπὸ τὴν πνευματικὴν αὐτὴν θέαν, ἔχαιρε καὶ αὐτὸς μὲ τοὺς εἰσερχομένους καὶ εὐχαριστοῦσε τὸν Θεὸν διὰ τὴν ψυχικὴν κατάστασιν τῶν Μοναχῶν.

Εἰς μίαν στιγμὴν βλέπει νὰ εἰσέρχεται κάποιος, ποὺ εἶχε μαῦρον πρόσωπον καὶ σκοτεινιασμένον τὸ σῶμα του· γύρω - γύρω τὸν ἐκρατοῦσαν σφιχτὰ οἱ δαίμονες, καὶ τὸν ἔσυραν μὲ ἕνα χαλινάρι, μὲ τὸ ὁποῖον τὸν εἶχαν δέσει. Ὁ συνοδὸς Ἄγγελος αὐτοῦ τὸν ἠκολούθει ἀπὸ μακρὰν μελαγχολικὸς καὶ λυπημένος. Μόλις εἶδεν αὐτὰ ὁ Γέρων ἐδάκρυσε καὶ κτυπῶν μὲ τὸ χέρι τὸ στῆθος του ἐκάθισεν ἐμπρὸς ἀπὸ τὴν Ἐκκλησίαν κλαίων μετὰ πόνου διὰ τὴν ψυχικὴν κατάπτωσιν τοῦ ἀδελφοῦ, τὸν ὁποῖον εἶδεν εἰς αὐτὴν τὴν κατάστασιν.

Οἱ ἀδελφοὶ τοῦ Μοναστηρίου μόλις ἀντελήφθησαν αὐτὴν τὴν ἀπότομον μεταβολὴν τοῦ ἁπλοῦ Παύλου, τὴν ψυχικήν του ταραχὴν καὶ τὸ συγκλονιστικὸν πένθος του, τὸν ἐπλησίασαν καὶ τὸν ἠρώτων, μετ' ἐπιμονῆς, διὰ νὰ πληροφορηθοῦν τὴν αἰτίαν τῆς μεταστροφῆς του, παρακαλοῦντες συγχρόνως τὸν Γέροντα νὰ εἰσέλθῃ μαζί των εἰς τὴν Ἐκκλησίαν, διὰ τὴν ἀκολουθίαν.

Ὁ Μακάριος Παῦλος τοὺς ἀπεμάκρυνε, παρέμεινεν ἔξω ἀπὸ τὸν Ναὸν καὶ ἐθρηνολογοῦσε, διὰ τὸ κατάντημα τοῦ ἀδελφοῦ.

Ὅταν ἐτελείωσεν ἡ ἀκολουθία ἤρχισαν πάλιν οἱ ἀδελφοὶ νὰ ἐξέρχωνται τοῦ Ναοῦ. Καὶ ὁ Μακάριος Παῦλος, μὲ τὴν σειράν του πάλιν καὶ αὐτός, ἤρχισε νὰ παρατηρῇ μετὰ προσοχῆς τοὺς ἐξερχομένους, ἐπιθυμῶν νὰ διαγνώσῃ μὲ ποίαν ψυχικὴν κατάστασιν ἐξήρχοντο.

Μεταξὺ αὐτῶν λοιπὸν βλέπει καὶ ἐκεῖνον τὸν ἄνδρα, ὁ ὁποῖος προηγουμένως τοῦ ἐφάνη νὰ εἰσέρχεται μὲ μαῦρον πρόσωπον καὶ σκοτεινιασμένον τὸ σῶμα του, περικυκλωμένος ἀπὸ δαίμονας, νὰ ἐξέρχεται τώρα ἀπὸ τὸν Ναὸν μὲ φωτεινὸν πρόσωπον καὶ ὁλόλευκον τὸ σῶμα. Οἱ δαίμονες, οἱ ὁποῖοι προηγουμένως τὸν περιεκύκλωναν, τὸν ἠκολούθουν τώρα ἀπὸ μακράν, τὸν δὲ συνοδὸν Ἅγιον Ἄγγελον εἶδε νὰ τὸν ἀκολουθῇ ἀπὸ κοντὰ καὶ νὰ χαίρῃ πάρα πολύ, διὰ τὴν μεταστροφὴν αὐτήν.

Μόλις εἶδεν αὐτὸ τὸ ἀνέλπιστον θέαμα ὁ Μακάριος Παῦλος, ἀνεπήδησεν ἀπὸ τὴν ἔκπληξίν του. Ἐφώναζεν ἀπὸ χαρὰν καὶ εὐλογῶν τὸν Θεὸν ἔλεγεν· «Ὢ! πόσον ἀπέραντος εἶναι ἡ φιλανθρωπία καὶ ἡ ἀγαθότης τοῦ Θεοῦ». Τρέχων δὲ ἀνέβη εἰς ἕνα ὑψηλὸν μέρος καὶ ἀπευθυνόμενος πρὸς ὅλους ἐφώναζεν ἀπὸ ἐνθουσιασμόν. Ἐλᾶτε, νὰ ἰδῆτε τὰ ἔργα τοῦ Θεοῦ, πόσον φοβερὰ καὶ καταπληκτικὰ εἶναι.

Εἰς τὰς φωνὰς τοῦ Ὁσίου Παύλου ὅλοι προσέτρεξαν μετ' ἐνδιαφέροντος διὰ νὰ ἀκούσουν τοὺς λόγους τοῦ ὁσίου αὐτοῦ Ἀσκητοῦ. Ἐνώπιον λοιπὸν τῶν προσελθόντων διηγήθη ὁ ὅσιος Παῦλος, μὲ παραστατικότητα καὶ λεπτομέρειαν, ὅσα εἶδεν κατὰ τὴν εἴσοδον καὶ ἔξοδον ἐκείνου τοῦ ἀδελφοῦ. Κατόπιν ἐκάλεσε τὸν ἀδελφὸν νὰ ὁμολογήσῃ ἐνώπιον ὅλων τὴν μεταβολὴν τῆς ψυχῆς του.

Ἐγώ, ἔλεγεν, εἶμαι ἁμαρτωλὸς ἄνθρωπος καὶ ἕως τώρα ἔζων εἰς τὴν πορνείαν καὶ τὴν διαφθοράν. Ὅταν δὲ πρὸ ὀλίγου εἰσῆλθον εἰς τὴν Ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν, ἤκουσα τὸν προφήτην Ἠσαΐαν, ἢ μᾶλλον τὸν ἴδιον τὸν Θεὸν νὰ ὁμιλῇ, διὰ τοῦ προφήτου, καὶ νὰ λέγῃ· «Λουσθῆτε καὶ καθαρισθῆτε· ἀφαιρέσατε ἀπὸ τὰς καρδίας σας τὰς πονηρίας, μάθετε νὰ κάνετε τὸ καλὸν ἐνώπιόν μου· καὶ τότε ἐγώ, ἐὰν αἱ ἁμαρτίαι σας εἶναι κατακόκκιναι (ἀπὸ τὰς ἐπιθυμίας καὶ τοὺς θυμούς) θὰ λευκάνω καὶ πάλιν τὴν συνείδησίν σας, ὅπως τὸ χιόνι· ἐὰν θελήσετε νὰ μὲ ἀκούσετε θὰ φάγετε τὰ ἀγαθὰ τῆς γῆς» (Ἡσ. α', 18 - 20).

Μόλις ἤκουσα αὐτὰ — συνέχισεν ὁ ἀδελφὸς — ἐδοκίμασα βαθυτάτην κατάνυξιν διὰ τὴν ἀγαθότητα τοῦ Θεοῦ καὶ ἀναστενάξας ἀπὸ τὰ βάθη τῆς ψυχῆς μου, εἶπον πρὸς τὸν Θεόν· Δέσποτα Κύριε ὁ Θεός, ὅστις ἦλθες εἰς τὸν κόσμον διὰ νὰ σώσῃς τοὺς ἁμαρτωλούς, σὲ παρακαλῶ, αὐτὰ ποὺ τώρα μόλις ὑπεσχέθης εἰς τοὺς ἁμαρτωλούς, διὰ τοῦ προφήτου Σου, ἐφάρμοσέ τα καὶ εἰς ἐμὲ τὸν ἁμαρτωλὸν καὶ ἀνάξιον. Καὶ ἐγὼ δίδω εἰς Σέ, ποὺ εἶσαι καρδιογνώστης Θεός, ὑπόσχεσιν, ὅτι θὰ ἐγκαταλείψω κάθε παρανομίαν καὶ αἰσχρὰν πρᾶξιν, εἰς τὰς ὁποίας ἤμην δοῦλος, μὲ τὴν βοήθειαν δὲ καὶ τὴν Χάριν Σου δὲν θὰ προσθέσω ἄλλας ἁμαρτίας,

ἀλλὰ θὰ ὑπηρετήσω Σέ, τὸν φιλάνθρωπον Δεσπότην μας, μὲ ὅλην μου τὴν δύναμιν. Μὲ αὐτὰς λοιπὸν τὰς σκέψεις καὶ ἀποφάσεις ἐβγῆκα ἀπὸ τὴν Ἐκκλησίαν ἀποφασίσας νὰ ἐπικυρώσω αὐτάς, μὲ τὴν βοήθειαν τῆς ἐξ ὕψους Χάριτος, καὶ μὲ ἀνάλογα ἔργα.

2. Ἕνας Γέρων εἶπεν· ὅπως ἀκριβῶς ὁ κασσίτερος ὅταν μαυρίσῃ, λάμπει πάλιν ἀφοῦ καθαρισθῇ, τοιουτοτρόπως καὶ ἐκεῖνοι ποὺ πιστεύουν, καὶ ἐὰν ἀκόμη μαυρίσουν ἀπὸ τὰς ἁμαρτίας, λαμπρύνονται καὶ πάλιν διὰ τῆς μετανοίας καὶ ἐξομολογήσεως. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ἡ πίστις παρωμοιάσθη μὲ κασσίτερον.

Ζ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΠΡΟΣΕΧΕ, ἀδελφέ, ὅτι τοῖς ἀγωνιζομένοις διαφόρως πολεμεῖ ὁ ἐχθρός· καὶ πρὸ μὲν τοῦ τελεσθῆναι τὴν ἀνομίαν, σμικρύνει αὐτὴν ὁ ἐχθρὸς ἐν ὀφθαλμοῖς αὐτῶν σφόδρα· μάλιστα δὲ τὴν ἐπιθυμίαν τῆς σαρκικῆς ἡδονῆς τοσοῦτον ἐλαττοῖ αὐτὴν πρὸ τοῦ γενέσθαι, ὡς (τε) σχεδὸν φαίνεσθαι τῷ ἀδελφῷ ταύτην μηδὲν διαφέρουσαν τοῦ ἐκχέαντος ποτήριον ψυχροῦ ὕδατος εἰς τὸ ἔδαφος· μετὰ δὲ τὸ πραχθῆναι αὐτήν, λίαν ὑψοῖ τὴν ἀνομίαν ὁ πονηρὸς ἐνώπιον τοῦ ἁμαρτήσαντος, ἐγείρων κατ' αὐτοῦ μυρία κύματα λογισμῶν, ἵνα καταβαπτίσας τὸν λογισμὸν τοῦ ἀδελφοῦ, κατενέγκῃ αὐτὸν εἰς τὸν βυθὸν τῆς ἀπογνώσεως.

Ταύτας οὖν, ἀγαπητέ, προειδὼς τὰς μηχανὰς τοῦ ἐχθροῦ, πρόσεχε μὴ ἀπατηθῆναι ὑπ' αὐτοῦ καὶ ἁμαρτῆσαι· εἰ δὲ καὶ προελήφθης ἐν παραπτώματί τινι, μὴ ἔμμενε ἐν αὐτῷ, ἀπογνοὺς τῆς σεαυτοῦ σωτηρίας, ἀλλ' ἀναστάς, ἐπιστράφηθι πρὸς Κύριον τὸν Θεόν σου· καὶ ἵλεως ἔσται σοι· οἰκτίρμων γάρ ἐστι καὶ ἐλεήμων ὁ δεσπότης ἡμῶν, μακρόθυμός τε καὶ πολυέλεος, καὶ τοὺς γνησίως μετανοοῦντας οὐκ ἀποστρέφεται, ἀλλ' ἑτοίμως αὐτοὺς καὶ περιχαρῶς ὑποδέχεται.

Ὅταν οὖν λέγει σοι ὁ ἐχθρός, ἀπώλου, οὐκέτι δύνασαι σωθῆναι, εἰπὲ πρὸς αὐτόν· ἐγὼ Θεὸν ἔχω εὔσπλαγχνον, μακρόθυμον, οὐκ ἀπογινώσκω τῆς ἐμαυτοῦ σωτηρίας· ὁ γὰρ ἡμῖν ἐντειλάμενος ἑβδομηκοντάκις ἑπτὰ ἀφιέναι τῷ πλησίον, πολλῷ μᾶλλον αὐτὸς ἀφίησιν ἁμαρτίας, τοῖς ὁλοψύχως πρὸς αὐτὸν ἐπιστρέφουσι· καὶ οὕτω χάριτι Θεοῦ ἀποστήσεταί σου ὁ πόλεμος.

Ἑ ρ μ η ν ε ί α

ΑΔΕΛΦΕ ΜΟΥ, νὰ προσέχῃς, διότι ὁ ἐχθρὸς πολεμεῖ μὲ διαφόρους τρόπους τοὺς ἀγωνιζομένους. Ἐνεργεῖ ἐναντίον τοῦ ἀνθρώπου μὲ ἀφάνταστον ὑποκριτικὴν διπλωματίαν· οὕτω πρὶν μὲν νὰ ἐκτελεσθῇ ἡ ἀνομία, τὴν μικραίνει πάρα πολὺ ὁ ἐχθρὸς εἰς τὰ μάτια τῶν ἀγωνιζομένων. Προπαντὸς δὲ τὴν ἐπιθυμίαν τῆς σαρκικῆς ἡδονῆς τόσον πολὺ τὴν ἐλαττώνει ἐνώπιόν των, ὥστε νὰ φαίνεται αὐτή, πρὶν νὰ ἐκτελεσθῇ, εἰς τὴν συνείδησιν τοῦ ἀδελφοῦ τόσον ἀσήμαντος, ὅσον καὶ τὸ νὰ χύσῃ ἐπὶ τοῦ ἐδάφους ἕνα ποτήρι μὲ κρύο νερόν· ὅταν ὅμως ὁλοκληρωθῇ ἡ σαρκικὴ ἐπιθυμία, τότε ὁ πονηρὸς πάρα πολὺ τὴν διογκώνει εἰς τὴν συνείδησιν τοῦ ἁμαρτήσαντος, διεγείρων εἰς τὴν ψυχήν του ἀναριθμήτους σκέψεις ἀπελπισίας, ποὺ ὁμοιάζουν μὲ μαῦρα κύματα κολάσεως, ὥστε νὰ κατα-

βυθίση εἰς αὐτὰ τὸν καλὸν λογισμὸν τῆς μετανοίας τοῦ ἀδελφοῦ καὶ νὰ τὸν κατακρημνίση εἰς τὸν βυθὸν τῆς ἀπελπισίας.

Γνωρίζων λοιπὸν ἐκ τῶν προτέρων, ἀδελφέ μου, αὐτὰς τὰς μηχανορραφίας τοῦ ἐχθροῦ, πρόσεξε νὰ μὴ ἐξαπατηθῆς ἀπὸ κάποιο παράπτωμα, μὴ ἐπιμένῃς εἰς αὐτό, ἀπηλπισμένος διὰ τὴν σωτηρίαν σου, ἀλλ' ἀφοῦ ἐγερθῆς ἀπὸ τὴν πτῶσιν σου νὰ ἐπιστρέψῃς πρὸς τὸν Κύριον τὸν Θεόν σου. Νὰ εἶσαι δὲ βέβαιος, ὅτι θὰ σὲ εὐσπλαγχνισθῇ, διότι ὁ Δεσπότης ἡμῶν εἶναι οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ δὲν περιφρονεῖ αὐτοὺς ποὺ εἰλικρινῶς μετανοοῦν, ἀλλ' ἀμέσως καὶ μετὰ χαρᾶς τοὺς ὑποδέχεται.

Ὅταν λοιπὸν ὁ ἐχθρὸς τῆς ψυχῆς σοῦ ψιθυρίζει· ἐχάθηκες πιά, δὲν δύνασαι νὰ σωθῆς, ἀπάντησέ του· ἐγὼ δὲν ἀπελπίζομαι διὰ τὴν σωτηρίαν μου, διότι ἔχω Θεὸν εὐσπλαγχνικὸν καὶ μακρόθυμον. Αὐτὴν δὲ τὴν πεποίθησίν μου τὴν στηρίζω εἰς τὴν σκέψιν, ὅτι Ἐκεῖνος ποὺ μᾶς διέταξε νὰ συγχωροῦμεν τὸν συνάνθρωπόν μας, διὰ τὰ πρὸς ἡμᾶς σφάλματά του, ἑβδομήκοντα φορὰς ἑπτά, κατὰ μείζονα λόγον ὁ Ἴδιος θὰ συγχωρήσῃ τὰς ἁμαρτίας, εἰς ὅσους ἐπιστρέφουν ὁλόψυχα πρὸς Αὐτόν. Μὲ αὐτὰς δὲ τὰς σκέψεις καὶ μὲ τὴν Χάριν τοῦ Θεοῦ θὰ φύγῃ ἀσφαλῶς ἀπὸ σὲ ὁ πόλεμος.

Η'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΙ ΑΠΕΤΑΞΩ τῷ κόσμῳ καὶ δέδωκας τῷ Θεῷ σεαυτὸν μετανοῆσαι, μὴ ἐάσῃς τὸν λογισμόν σου θλῖψαι σε περὶ τῶν προτέρων σου ἁμαρτημάτων, ὅτι οὐ συγχωροῦνταί σοι· μηδὲ πάλιν καταφρονήσῃς τῶν τοῦ Κυρίου ἐντολῶν, ἐπεὶ οὐδὲ τὰ πρότερά σου ἁμαρτήματα συγχωρεῖ· νῆφε, ἀδελφέ, πρὸς τὸ πνεῦμα τὸ φέρον τὴν λύπην τῷ ἀνθρώπῳ· πολλὰ γὰρ τὰ θηρεύματα αὐτοῦ, ἕως οὗ ἀδύναμόν σε ποιήσῃ.

Ἡ γὰρ κατὰ Θεὸν λύπη, χαρά ἐστιν ἐν τῷ ὁρᾶν σεαυτὸν ἱστάμενον ἐν τῷ θελήματι τοῦ Θεοῦ· ὁ δὲ λέγων σοι ποῦ ἔχεις φυγεῖν; μετάνοιαν οὐκ ἔχεις· οὗτος τῆς ἔχθρας ἐστίν, ἕως οὗ ποιήσῃ τὸν ἄνθρωπον ἀπολῦσαι τὴν ἐγκράτειαν· ἡ δὲ κατὰ Θεὸν λύπη, οὐκ ἐπιτίθεται τῷ ἀνθρώπῳ, ἀλλὰ λέγει αὐτῷ· μὴ φοβοῦ· δεῦρο πάλιν· οἶδε γὰρ ὅτι ὁ ἄνθρωπος ἀδύνατός ἐστι, καὶ ἐνδυναμοῖ αὐτόν.

Φρονίμην καρδίαν ἔχε ἐπὶ τοὺς λογισμούς σου καὶ ἐλαφρυνθήσονται ἀπὸ σοῦ· τὸν γὰρ φοβούμενον αὐτοὺς ποιοῦσιν ἐκλυθῆναι ἀπὸ τοῦ βάρους αὐτῶν· ἡ δύναμις τῶν θελόντων κτήσασθαι τὰς ἀρετάς, αὕτη ἐστίν· ἵνα ἐὰν πέσωσι, μὴ μικροψυχήσωσιν, ἀλλὰ πάλιν φροντίσωσιν· αὕτη ἐστὶν ἡ ἀγαθότης τοῦ Θεοῦ, ὅτι οἵᾳ δ' ἂν ὥρᾳ ἐπιστρέψῃ ἄνθρωπος ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, ἀποδέχεται αὐτὸν μετὰ χαρᾶς καὶ οὐ λογίζεται αὐτῷ περὶ τῶν προτέρων αὐτοῦ ἁμαρτημάτων, καθὼς γέγραπται περὶ τοῦ ἀσώτου υἱοῦ· ὅτι ἐάσας τὴν τροφὴν τῶν χοίρων, ἤτοι τὰ θελήματα αὐτοῦ τὰ σαρκικά, ὑπέστρεψε πρὸς τὸν Πατέρα αὐτοῦ ἐν ταπεινώσει· διὸ καὶ ὁ Πατὴρ αὐτοῦ ἐδέξατο αὐτόν· καὶ ἐκέλευσεν εὐθέως δοθῆναι αὐτῷ τὴν στολὴν τῆς ἁγνότητος, καὶ τὸν ἀρραβῶνα τῆς υἱοθεσίας, ἣν τὸ Ἅγιον Πνεῦμα χαρίζεται· καὶ γὰρ ὁ δεσπότης ἡμῶν ἐλεήμων ἐστὶ καὶ θέλει ἵνα ἐπιστρέψῃ ὁ ἄνθρωπος, καθὼς εἶπεν· «ἀμὴν ἀμὴν λέγω ὑμῖν· χαρὰ γίνεται ἐν τῷ οὐρανῷ, ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι».

Ἐν ὅσῳ οὖν ἔχομεν, ἀδελφοί, τὸ τοιοῦτον αὐτοῦ ἔλεος καὶ τὸν πλοῦτον τῶν οἰκτιρμῶν αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐπιστρέψωμεν πρὸς αὐτόν, καὶ αὐτὸς φιλανθρώπως ἡμᾶς προσδέξεται, καὶ τῆς αἰωνίου ζωῆς κοινωνοὺς ἀπεργάσεται. Ἐπιστρέψας οὖν, κάτεχε τὴν καρδίαν σου, καὶ μὴ ἀκηδιάσῃς λέγων· ὅτι πῶς δύναμαι ἁμαρτωλὸς ἄνθρωπος διαφυλάξαι πάσας τὰς ἀρετάς;

Οὐδὲ γὰρ τοῦτό σε ἡ μετάνοια ἀπαιτεῖ· ὅταν γὰρ ἐπιστρέψῃ ἄνθρωπος ἐπὶ τὸν Θεὸν καταλείψας τὰς ἁμαρτίας αὐτοῦ, εὐθὺς ἡ μετάνοια αὐτοῦ ἀναγεννᾷ αὐτὸν καὶ ὡς νήπιον γάλα παρέχει αὐτῷ ἐκ τῶν ἁγίων αὐτῆς μαστῶν· καὶ ἀνατρέφει αὐτὸν οἷα μήτηρ φιλόστοργος· ἐφ' ὅσον γὰρ τὸ βρέφος εἰς τοὺς κόλπους τῆς μητρὸς αὐτοῦ ἐστιν, πᾶσαν ὥραν φυλάττει αὐτὸ ἀπὸ παντὸς πονηροῦ· καὶ ὅταν κλαύσῃ, εὐθὺς παρέχει αὐτῷ τὸν μαστὸν αὐτῆς· εἶτα μικρὸν μικρὸν κολαφίζει αὐτὸ κατὰ τὴν δύναμιν αὐτοῦ, ἐκφοβοῦσα αὐτό, δέξασθαι τὸ γάλα αὐτῆς μετὰ φόβου καὶ μὴ ἔχειν τὴν καρδίαν αὐθάδη· καὶ ἐὰν κλαύσῃ, σπλαγχνίζεται εἰς αὐτό, ὅτι ἐκ τῶν σπλάγχνων αὐτῆς ἐστι· παρακαλεῖ αὐτό· φιλεῖ αὐτό· θάλπει αὐτὸ ἕως οὗ δέξηται τὸν μαστὸν αὐτῆς.

Ἐὰν ἐπιδειχθῇ τῷ βρέφει χρυσός, ἢ ἄργυρος, ἢ μαργαρῖται, ἢ πᾶν σκεῦος τοῦ κόσμου, προσέχει μὲν αὐτοῖς, ἀλλ' εἰς τοὺς κόλπους τῆς μητρὸς ὑπάρχον, πάντα παραβλέπει, ἵνα μεταλάβῃ τοῦ μαστοῦ αὐτῆς· οὐ μάχεται αὐτὸ ὁ πατὴρ διατί οὐκ ἐργάζεται ἢ διατί οὐκ ἀπέρχεται εἰς πόλεμον πρὸς τοὺς ἐχθροὺς αὐτοῦ· οἶδε γὰρ ὅτι μικρόν ἐστι καὶ οὐκ ἰσχύει· πόδας μὲν ἔχει, ἀλλ' οὐ δύναται στῆναι εἰς αὐτούς· χεῖρας ἔχει, ἀλλ' οὐ δύναται κατασχεῖν πανοπλίαν· μακροθυμοῦσιν οὖν οἱ γονεῖς αὐτοῦ ἐπ' αὐτῷ, ἕως οὗ αὐξήσῃ.

Αὐξῆσαν οὖν μικρὸν καὶ γενόμενον παιδίον, ἐπὰν θελήσῃ παλαῖσαι μετ' ἄλλου κἀκεῖνος ῥίψῃ αὐτὸ χαμαί, οὐκ ὀργίζεται αὐτῷ διὰ τοῦτο ὁ πατὴρ αὐτοῦ, γινώσκων ὅτι ἔτι παιδίον ἐστίν· ὅταν δὲ γένηται ἀνήρ, τότε ἐκφαίνεται ἡ σπουδὴ αὐτοῦ, εἰ ἐχθραίνει τοῖς ἐχθροῖς τοῦ πατρὸς αὐτοῦ· καὶ τότε καὶ ὁ πατὴρ πιστεύει αὐτῷ τὰ ἑαυτοῦ, ὅτι υἱὸς αὐτοῦ ἐστιν.

Εἰ δὲ μετὰ τοσούτους κόπους οὓς ἐκοπίασαν εἰς αὐτὸ οἱ γονεῖς αὐτοῦ, προκόψας γένηται λοιμὸς καὶ μισήσῃ τοὺς γονεῖς αὐτοῦ καὶ μὴ ὑπακούσῃ τῇ εὐγενείᾳ αὐτῶν, καὶ φιλιάσῃ μετὰ τῶν ἐχθρῶν αὐτῶν, ἀφαιροῦσι τὴν εὐσπλαγχνίαν αὐτῶν ἀπ' αὐτοῦ καὶ ἐκβάλλουσιν αὐτὸ ἐκ τοῦ οἴκου αὐτῶν, μὴ δοῦναι αὐτῷ κληρονομίαν.

Καὶ ἡμεῖς οὖν, ἀδελφοί, φροντίσωμεν ἑαυτῶν μεῖναι ἐν τῇ σκέπῃ τῆς μετανοίας καὶ γάλα δεξώμεθα ἐκ τῶν ἁγίων αὐτῆς μαστῶν, ἵνα αὕτη ἡμᾶς θρέψῃ καὶ βαστάσωμεν τὸν ζυγὸν αὐτῆς παιδευούσης ἕως ἀναγεννηθῶμεν ἄνωθεν ἐν τῷ θελήματι τοῦ Θεοῦ, φθάσαντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

Ἑρμηνεία

ΕΑΝ ΠΡΑΓΜΑΤΙΚΩΣ ἀπηρνήθης τὸν κόσμον καὶ ἐνεπιστεύθης τὸν ἑαυτόν σου εἰς τὸν Θεόν, διὰ τῆς μετανοίας, μὴ ἀφήσῃς τὸν λογισμόν σου νὰ σὲ στενοχωρήσῃ διὰ τὰ προηγούμενα ἁμαρτήματά σου, ὅτι δῆθεν δὲν συγχωροῦνται· οὔτε πάλιν νὰ ἀδιαφορήσῃς διὰ τὴν ἐκπλήρωσιν τῶν ἐντολῶν τοῦ Κυρίου, διότι τότε οὔτε καὶ τὰ προηγούμενα

ἁμαρτήματά σου συγχωροῦνται. Πρόσεχε, ἀδελφέ μου, ἀπὸ τὸ πνεῦμα, ποὺ φέρει τὴν λύπην εἰς τὸν ἄνθρωπον· διότι εἶναι πολλὰ τὰ τεχνάσματά του, διὰ νὰ σὲ παγιδεύσῃ, ἕως ὅτου σὲ καταστήσῃ ἀνίσχυρον.

Ἡ κατὰ Θεὸν λύπη, εἶναι, κατὰ τὸ περιεχόμενόν της χαρά, ποὺ ὀφείλεται εἰς τὴν σκέψιν, ὅτι βλέπεις τὸν ἑαυτόν σου νὰ παραμένῃ εἰς τὸ θέλημα τοῦ Θεοῦ. Ἐκεῖνος δὲ ποὺ σοῦ ψιθυρίζει· ποῦ θὰ ὑπάγῃς, διὰ νὰ γλυτώσῃς; δὲν ὑπάρχει μετάνοια διὰ σέ, εἶναι ἀντίπαλος καὶ τὰ κάνει αὐτά, ἕως ὅτου κατορθώσῃ νὰ πείσῃ τὸν ἄνθρωπον νὰ ἀφήσῃ τὴν ἐγκράτειαν. Ἡ κατὰ Θεὸν λύπη δὲν ἐπιτίθεται ἐναντίον τοῦ ἀνθρώπου, ἀλλὰ τοῦ λέγει μὲ γλυκύτητα· μὴ φοβᾶσαι· ἔλα πάλιν, ἐπανάλαβε τὴν προσπάθειαν τῆς ἀρετῆς, διότι γνωρίζει, ὅτι ὁ ἄνθρωπος εἶναι ἀδύνατος καὶ τὸν ἐνδυναμώνει.

Τοὺς λογισμούς σου νὰ τοὺς ἀντιμετωπίζῃς μὲ συνετὴν καὶ γενναίαν καρδίαν, χωρὶς νὰ τοὺς φοβῆσαι, καὶ τότε οἱ λογισμοί σου θὰ γίνουν ἐλαφρότεροι, διότι αὐτὸς ποὺ φοβεῖται τοὺς λογισμοὺς παραλύει ἀπὸ τὸ βάρος των. Αὐτὴ εἶναι ἡ δύναμις ὅσων θέλουν νὰ ἀποκτήσουν τὰς ἀρετάς· ἐὰν δηλαδὴ περιπέσουν, ὡς ἄνθρωποι, εἰς σφάλματα, νὰ μὴ μικροψυχήσουν, ἀλλὰ πάλιν νὰ φροντίσουν, διὰ τῆς μετανοίας, νὰ διορθωθοῦν. Ἡ δὲ ἀγαθότης καὶ μακροθυμία τοῦ Θεοῦ συνίσταται εἰς τοῦτο· ὅτι δηλαδὴ εἰς οἱανδήποτε ὥραν καὶ ἐὰν ἐπιστρέψῃ ὁ ἄνθρωπος ἀπὸ τὰς ἁμαρτίας του, ὁ Θεὸς τὸν ὑποδέχεται μὲ χαρὰν καὶ δὲν τοῦ καταλογίζει τὰ προηγούμενα ἁμαρτήματα ὅπως ἀναφέρεται εἰς τὴν παραβολὴν τοῦ Ἀσώτου Υἱοῦ (Λουκ. ιε΄, 11-32). Εἰς αὐτὴν τὴν παραβολήν, ὡς γνωστόν, δίδεται παραστατικὰ ἡ εἰκὼν τῆς Μετανοίας· οὕτως ὁ ἄσωτος, μόλις μετενόησεν, ἄφησε τὴν τροφὴν τῶν χοίρων, τὰ σαρκικά του θελήματα, καὶ ἐγύρισε ταπεινωμένος πρὸς τὸν πατέρα του. Δι' αὐτὸ καὶ ὁ πατέρας του τὸν ὑπεδέχθη καὶ διέταξεν ἀμέσως νὰ τοῦ δοθῇ ἡ στολὴ τῆς ἁγνότητος καὶ ὁ ἀρραβὼν τῆς υἱοθεσίας, τὸν ὁποῖον χαρίζει τὸ Ἅγιον Πνεῦμα.

Ἂς μὴ λησμονῶμεν ὅτι ὁ Δεσπότης ἡμῶν εἶναι ἐλεήμων, καὶ θέλει νὰ ἐπιστρέψῃ ὁ ἄνθρωπος εἰς μετάνοιαν, ὅπως ὁ ἴδιος εἶπεν εἰς τὸ ἱερὸν Εὐαγγέλιον· «Ἀληθῶς λέγω εἰς Σέ, ὅτι χαρὰ γίνεται εἰς τὸν οὐρανόν, ὅταν καὶ ἕνας μόνον ἁμαρτωλὸς μετανοήσῃ» (Λουκ. ιε΄, 7).

Ἐφ' ὅσον λοιπόν, ἀδελφοί μου, ἔχομεν εἰς τὴν διάθεσιν ἡμῶν τὸ ἄπειρον Αὐτοῦ ἔλεος καὶ τὸν πλοῦτον τῶν οἰκτιρμῶν Αὐτοῦ, ἂς ἐπιστρέψωμεν μὲ ὅλην μας τὴν καρδίαν πρὸς Αὐτὸν καὶ Αὐτὸς θὰ μᾶς δεχθῇ φιλανθρώπως καὶ θὰ μᾶς καταστήσῃ κοινωνοὺς τῆς αἰωνίου ζωῆς. Ἐπιστρέψας λοιπόν, διὰ τῆς μετανοίας, πρὸς τὸν Θεόν, νὰ ἐλέγχῃς τὴν καρδίαν σου, μήπως περιπέσῃς εἰς ἀδιαφορίαν σκεπτόμενος· πῶς ἠμπορῶ ἐγὼ ἕνας ἁμαρτωλὸς ἄνθρωπος νὰ διαφυλάξω ὅλας τὰς ἀρετάς;

Ἄλλωστε οὔτε αὐτὴ ἡ μετάνοια ἀπαιτεῖ τοιαῦτα πράγματα ἀπὸ τὸν μετανοοῦντα· διότι ὅταν ἕνας ἁμαρτωλὸς ἄνθρωπος ἐπιστρέψῃ εἰς τὸν Θεὸν ἐγκαταλείψας τὰς ἁμαρτίας αὐτοῦ, ἀμέσως ἡ μετάνοιά του (ὡς μητέρα) τὸν ἀναγεννᾷ καὶ ὡς νὰ εἶναι νήπιον, τοῦ παρέχει γάλα ἀπὸ τοὺς

ἁγίους μαστούς της καὶ τὸν ἀνατρέφει, ὅπως μία φιλόστοργος μητέρα τὸ παιδί της. Ὅσον χρόνον λοιπὸν τὸ βρέφος εὑρίσκεται εἰς τὴν ἀγκάλην τῆς μητρός του, ἀνὰ πᾶσαν στιγμὴν τὸ προφυλάσσει ἀπὸ κάθε κίνδυνον ἐκ τοῦ πονηροῦ· ὅταν δὲ τὸ βρέφος κλαύσῃ, τότε ἡ μητέρα φιλοστόργως τοῦ προσφέρει τὸν μαστόν της· μετὰ ταῦτα, ἐφ' ὅσον ἐξακολουθεῖ τὸ βρέφος νὰ δυστροπῇ, τὸ ραπίζει ἐλαφρά, ἀναλόγως πρὸς τὴν ἀντοχήν του, διὰ νὰ τὸ ἐκφοβίσῃ καὶ νὰ δεχθῇ τὸ γάλα καὶ νὰ μὴ ἔχῃ ἀνυπότακτον καρδίαν. Ἐὰν ὅμως συνεχίσῃ τὸ βρέφος νὰ κλαίῃ, τότε ἡ μητέρα ἀνησυχεῖ καὶ λυπεῖται κατάκαρδα τὸ παιδάκι της, διότι προέρχεται ἀπὸ τὰ σπλάγχνα της· τὸ χορεύει, τὸ φιλεῖ, τὸ περιποιεῖται παντοιοτρόπως, μέχρις ὅτου δεχθῇ τὸν μαστόν της, διὰ νὰ θηλάσῃ.

Ἐὰν εἰς τὸ μικρὸν αὐτὸ βρέφος ἐπιδειχθῇ χρυσὸς ἢ ἄργυρος ἢ μαργαριτάρια, ἢ ὁποιοδήποτε ἀντικείμενον ἐκ τοῦ ὑλικοῦ αὐτοῦ κόσμου, τὰ παρατηρεῖ μὲ μίαν ἀπονήρευτον περιέργειαν, εὑρισκόμενον ὅμως εἰς τὴν μητρικὴν ἀγκάλην, πρὸς ὅλα ἀδιαφορεῖ διὰ νὰ γευθῇ τὸν μητρικὸν μαστόν· τὸ βρέφος αὐτὸ δὲν τὸ μαλώνει ὁ πατέρας του, διότι δὲν ἐργάζεται ἢ διότι δὲν πηγαίνει εἰς τὸν πόλεμον ἐναντίον τῶν ἐχθρῶν του, διότι γνωρίζει ὅτι εἶναι μικρὸν καὶ δὲν ἔχει δύναμιν· ἔχει μὲν πόδια, ἀλλὰ δὲν εἶναι δυνατὸν νὰ στηριχθοῦν διὰ νὰ βαδίσουν· ἔχει χεῖρας, ἀλλὰ δὲν ἠμποροῦν νὰ κρατήσουν τὰ πολεμικὰ ὅπλα. Οἱ γονεῖς λοιπὸν τοῦ βρέφους μακροθυμοῦν ἀπέναντί του, ἕως ὅτου νὰ μεγαλώσῃ.

Ὅταν λοιπὸν τὸ μικρὸν αὐτὸ βρέφος μεγαλώσῃ ὀλίγον καὶ γίνῃ παιδίον, ἐὰν τυχὸν θελήσῃ καὶ παλαίσῃ μὲ κάποιον ἄλλον, καὶ ἐκεῖνος τὸ ρίψῃ κάτω, κατὰ τὴν πάλην, δὲν θυμώνει, ἐκ τούτου, ὁ πατέρας ἐναντίον τοῦ παιδιοῦ του, διότι γνωρίζει ὅτι εἶναι ἀκόμη μικρόν. Ὅταν ὅμως πλέον τὸ παιδὶ ἀνδρωθῇ, τότε ἐκδηλώνεται τὸ ἐνδιαφέρον του, ἐὰν ἐχθρεύεται τοὺς ἐχθροὺς τοῦ πατέρα του (καὶ τοὺς ἀντιμετωπίζῃ). Τότε καὶ ὁ πατέρας του ἐμπιστεύεται εἰς τὸ τέκνον του ὅλα τὰ ὑπάρχοντα αὐτοῦ διότι εἶναι πλέον ὁ υἱός του ἱκανός.

Ἐὰν ὅμως τὸ παιδὶ αὐτό, διὰ τὸ ὁποῖον τόσους κόπους κατέβαλον οἱ γονεῖς του, ὅταν θὰ μεγαλώσῃ, γίνῃ ἕνας διεφθαρμένος ἄνθρωπος καὶ μισήσῃ τοὺς γονεῖς του καὶ δὲν ὑπακούσῃ εἰς τὴν εὐγένειάν των καὶ γίνῃ φίλος μὲ τοὺς ἐχθρούς των, τότε πλέον καὶ οἱ γονεῖς παύουν νὰ τὸ ἀγαποῦν ἀπὸ τὰ σπλάγχνα των, τὸ ἐκδιώκουν ἀπὸ τὸ σπίτι των καὶ τὸ ἀποκληρώνουν.

Καὶ ἡμεῖς λοιπόν, ἀδελφοί μου, ἂς φροντίσωμεν νὰ παραμείνωμεν ὑπὸ τὴν σκέπην τῆς μετανοίας καὶ νὰ δεχώμεθα τὸ γάλα ἐκ τῶν ἁγίων μαστῶν της, διὰ νὰ μᾶς ἀναθρέψῃ (καὶ νὰ μᾶς καταστήσῃ ἁγίους καὶ ἐναρέτους).

Ἂς ὑποφέρωμεν τὸν ἐλαφρὸν ζυγόν της, ποὺ μᾶς διαπαιδαγωγεῖ, ἕως ὅτου ἀναγεννηθῶμεν, μὲ τὴν βοήθειαν τῆς ἄνωθεν Χάριτος (καὶ ἑδραιωθῶμεν) εἰς τὸ θέλημα τοῦ Θεοῦ, καταντήσαντες εἰς ὡλοκληρω-

μένους ἄνδρας καὶ φθάσαντες εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ (Ἐφ. δ΄, 13).

Θ΄. Τοῦ Ἀββᾶ Μάρκου

ΕΣΤΙΝ ἁμαρτία πρὸς θάνατον ἀμετανόητος· οὐδεὶς οὕτως ἀγαθὸς καὶ οἰκτίρμων, ὡς ὁ Θεός· τῷ δὲ μὴ μετανοοῦντι, οὐδὲ αὐτὸς ἀφίησι· πολὺ λυπούμεθα ἐπὶ ταῖς ἁμαρτίαις, τὰς δὲ αἰτίας αὐτῶν ἡδέως καταδεχόμεθα.

Ἑρμηνεία

ΘΑΝΑΣΙΜΟΣ ἁμαρτία εἶναι ἐκείνη διὰ τὴν ὁποίαν ὁ ἄνθρωπος δὲν μετανοεῖ. Κανεὶς δὲν εἶναι τόσον ἀγαθὸς καὶ οἰκτίρμων, ὅπως ὁ Θεός. Τὸν ἄνθρωπον ὅμως, ποὺ ἐπιμένει μὲ πεῖσμα εἰς τὴν ἁμαρτίαν, καὶ δὲν μετανοεῖ, οὔτε καὶ ὁ Θεὸς τὸν συγχωρεῖ. Πολὺ λυπούμεθα, ὅταν ἁμαρτάνωμεν· ὡστόσον ὅμως δεχόμεθα ὅλοι εὐχαρίστως τὰς αἰτίας καὶ ἀφορμὰς τῶν ἁμαρτιῶν.

Ι΄. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ οἰκῶν εἰς τὰ μονύδρια πολλάκις ἐξ ἐνεργείας τοῦ διαβόλου ἔπιπτεν εἰς πορνείαν καὶ ἔμενε βιαζόμενος ἑαυτὸν μὴ καταλεῖψαι τὸ σχῆμα, ἀλλὰ βάλλων τὴν μικρὰν αὐτοῦ λειτουργίαν, παρεκάλει τὸν Θεὸν μετὰ στεναγμοῦ λέγων· Κ ύ ρ ι ε· κ ἄ ν θ έ λ ω κ ἄ ν μ ὴ θ έ λ ω, σ ῶ σ ό ν μ ε· ὅτι ἐγὼ ὡς πηλός, τὸν τῆς ἁμαρτίας ρύπον ποθῶ· ἀλλὰ σὺ ὡς Θεὸς καὶ παντοδύναμος, δύνασαί με κωλῦσαι· ἐὰν γὰρ τὸν δίκαιον ἐλεήσῃς, οὐδὲν μέγα· καὶ ἐὰν τὸν καθαρὸν σώσῃς, οὐδὲν θαυμαστόν· ἄξιοι γάρ εἰσι τοῦ τυχεῖν τῆς σῆς ἀγαθότητος.

Εἰς ἐμέ, δέσποτα, θαυμάστωσον τὰ ἐλέη σου καὶ δεῖξον τὴν ἀνείκαστόν σου φιλανθρωπίαν εἰς τοῦτο· ὅτι σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ἤγουν ὁ πασῶν πτωχεύων τῶν ἀρετῶν· ταῦτα οὖν καὶ τὰ τούτοις ὅμοια καθ' ἑκάστην ὁ ἀδελφὸς μετὰ δακρύων ἔλεγε, κἄν τε συνέβη αὐτὸν πεσεῖν κἄν τε μή.

Ποτὲ οὖν πεσὼν εἰς τὴν κατὰ συνήθειαν ἁμαρτίαν νυκτός, ἀνέστη εὐθέως καὶ ἤρξατο τοῦ κανόνος· ὁ δὲ δαίμων ἐκπλαγεὶς ἐπὶ τῇ ἐλπίδι αὐτοῦ, καὶ τῇ ἀναιδείᾳ τῇ πρὸς τὸν Θεόν, ὀφθαλμοφανῶς αὐτῷ παραστάς, λέγει· ἄθλιε πῶς οὐκ ἐρυθριᾷς στῆναι ἐνώπιον τοῦ Θεοῦ; ἢ ὅλως ὀνομάσαι τὸ ὄνομα αὐτοῦ; ἀλλ' ἀναισχυντῶν, καὶ ψάλλειν τολμᾷς; ἀπεκρίθη ὁ ἀδελφός· τὸ κελλίον τοῦτο χαλκεῖον ἐστί· μίαν σφῦραν δίδως, καὶ μίαν λαμβάνεις· ὑπομείνω οὖν ἕως θανάτου πρὸς σὲ παλαίων, καὶ ὅπου φθασθῶ τῇ ἐσχάτῃ ἡμέρᾳ· ἰδοὺ οὖν ὅρκῳ σε πληροφορῶ, καὶ θαρρῶν εἰς τὴν ἄπειρον τοῦ Θεοῦ ἀγαθότητα λέγω· μὰ τὸν ἐλθόντα καλέσαι ἁμαρτωλοὺς εἰς μετάνοιαν καὶ σῶσαι, οὐ μὴ παύσομαι κατὰ σοῦ προσευχόμενος τῷ Θεῷ, ἕως οὗ καὶ σὺ παύσῃ τοῦ πολεμεῖν με· καὶ ἴδωμεν τίς νικᾷ· σὺ ἢ ὁ Θεός.

Ταῦτα ἀκούσας ὁ δαίμων, λέγει αὐτῷ· καὶ ὄντως λοιπὸν οὐκέτι πολεμῶ σε ἵνα μὴ διὰ τῆς ὑπομονῆς σου στέφανόν σοι προξενήσω· ἔκτοτε οὖν ἀνεχώρησεν ἐξ αὐτοῦ ὁ πολέμιος· ὁ δὲ ἀδελφὸς ἐλθὼν εἰς κατάνυξιν ἐκάθητο τοῦ λοιποῦ κλαίων διηνεκῶς τὰς ἑαυτοῦ ἁμαρτίας· ἔλεγεν οὖν αὐτῷ πολλάκις ὁ λογισμὸς ὅτι καλῶς κλαίεις· ὁ δὲ ἀνθυπέφερε τῷ λογισμῷ· ἀνάθεμα τῷ καλῷ τούτῳ· οὐ γὰρ θέλει ὁ

Θεὸς ἵνα ἀπολέσῃ τις τὴν ψυχὴν ἐν πᾶσι τοῖς ἔργοις τῆς ἀτιμίας, εἶτα κάθηται θρηνεῖν αὐτὴν καὶ ἢ σώζει αὐτὴν ἢ οὔ.

2. Ἦν τις ἀδελφὸς εἰς σκῆτιν μετὰ τοῦ Ἀββᾶ Παφνουτίου· καὶ ἐπολεμεῖτο εἰς πορνείαν καὶ ἔλεγεν· ἐὰν μὴ λάβω δέκα γυναῖκας, οὐ πληρῶ τὴν ἐπιθυμίαν μου· ὁ δὲ γέρων παρεκάλει λέγων· μή, τέκνον, πόλεμός ἐστι τῶν δαιμόνων· καὶ οὐκ ἐπείσθη, ἀλλὰ ἀπῆλθεν εἰς Αἴγυπτον, καὶ ἔλαβε γυναῖκα· μετὰ δὲ χρόνον, ἐγένετο ἀναβῆναι τὸν γέροντα εἰς Αἴγυπτον, καὶ ὑπαντῆσαι αὐτῷ βαστάζοντι σπυρίδα πλήρη ὀστράκων· ὁ οὖν γέρων οὐκ ἐγνώρισεν αὐτόν.

Ὁ δὲ ἔφη τῷ γέροντι· ἐγώ εἰμι ὁ δεῖνα μαθητής σου· καὶ ἰδὼν αὐτὸν ὁ γέρων ἐν τῇ ἀτιμίᾳ ἐκείνῃ ἔκλαυσε καὶ εἶπε· πῶς ἀφῆκας τὴν τιμήν, ἣν εἶχες, καὶ ἦλθες εἰς τὴν ἀτιμίαν ταύτην; πλὴν ἔλαβες τὰς δέκα γυναῖκας, ὡς ἔλεγες; ὁ δὲ βαρὺ στενάξας καὶ δακρύσας, εἶπε· φύσει μίαν ἔλαβον, Πάτερ, καὶ ταλαιπωρῶ πῶς αὐτὴν χορτάσω ἄρτων· λέγει αὐτῷ ὁ γέρων· δεῦρο πάλιν μεθ' ἡμῶν· ὁ δὲ εἶπεν· ἔνι μετάνοια, Ἀββᾶ; καὶ ἀπεκρίθη ὁ γέρων· ἔνι· καὶ εὐθὺς καταλείψας πάντα, ἠκολούθησε τῷ γέροντι· καὶ εἰσελθὼν εἰς σκῆτιν, ἀπὸ τῆς πείρας γέγονε δόκιμος Μοναχός.

3. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· ἐὰν συμβῇ τινα εἰς πειρασμὸν ἐμπεσεῖν κατά τινα ἐνέργειαν τοῦ διαβόλου, ἤτοι εἰς πορνείαν, τί γίνεται διὰ τοὺς σκανδαλισθέντας; καὶ διηγήσατο ὁ γέρων λέγων· διάκονός τις ἦν ὀνομαστὸς ἐν κοινοβίῳ τῆς Αἰγύπτου· τὶς δὲ πολιτευόμενος, ἤγουν ἐκ τῆς πόλεως, διωκόμενος ὑπὸ τοῦ ἄρχοντος, ἦλθε μετὰ παντὸς τοῦ οἴκου αὐτοῦ εἰς τὸ κοινόβιον· καὶ ἐξ ἐπηρείας τοῦ διαβόλου ἔπεσεν ὁ διάκονος μετὰ γυναικὸς τῶν ἐλθουσῶν μετὰ τοῦ πολιτικοῦ· καὶ γέγονε πᾶσιν αἰσχύνη γνωσθέντος τοῦ πράγματος· ὁ δὲ ἀπῆλθε πρός τινα ἀγαπητὸν αὐτοῦ γέροντα, καὶ ἀνήγγειλεν αὐτῷ τὸ συμβάν· εἶχε δὲ ὁ γέρων ἐνδότερον τῆς κέλλης αὐτοῦ ὡς κρυπτηρίαν τινά, ἣν καὶ ὁ διάκονος ᾔδει· καὶ παρεκάλεσεν αὐτὸν ἵνα εἰσέλθῃ ἐκεῖ καὶ ταφῇ δῆθεν ζῶν, μή τινος ἄλλου εἰδότος τὸ γεγονός, εἰ μὴ μόνου ἐκείνου τοῦ γέροντος· ὁ δὲ ἐπείσθη.

Εἰσελθὼν οὖν ὁ διάκονος εἰς τὴν σκοτίαν ἐκείνην μετενόησε γνησίως τῷ Θεῷ πενθῶν τὴν ἁμαρτίαν διηνεκῶς καὶ μή τινος ἄλλου μεταλαμβάνων, εἰ μὴ ἄρτου καὶ ὕδατος, ἃ διὰ καιροῦ ὁ γέρων ἐχορήγει αὐτῷ· εἶτα διελθόντος χρόνου τινός, οὐκ ἀνέβη ὡς συνήθως τὸ ὕδωρ τοῦ ποταμοῦ· καὶ πάντων λιτανευόντων καὶ ἐκτενῶς τοῦ Θεοῦ δεομένων, ἀπεκαλύφθη ἑνὶ τῶν ἁγίων, ὅτι ἐὰν μὴ ἔλθῃ ὁ δεῖνα διάκονος ὁ κεκρυμμένος παρὰ τῷ δεῖνι Μοναχῷ, τὸ ὕδωρ τοῦ ποταμοῦ οὐκ ἀνέρχεται.

Ὁ δὲ τὴν ἀπόκρισιν δεξάμενος, διηγήσατο πᾶσιν ἃ παρὰ τῷ Θεῷ ἐγνώσθη αὐτῷ· καὶ ἀκούσαντες ἐθαύμασαν· καὶ ἐλθόντες ἐξήνεγκαν αὐτὸν ἐκ τοῦ τόπου ἐν ᾧ ἐκέκρυπτο καὶ ἠνάγκασαν εὔξασθαι· καὶ ὡς ηὔξατο, εὐθὺς ἀνέβη τὸ ὕδωρ· καὶ οἱ σκανδαλισθέντες πρότερον πολλῷ μᾶλλον ὠφελήθησαν ἐπὶ τῇ μετανοίᾳ αὐτοῦ, καὶ ἐδόξασαν τὸν Θεόν.

4. Ἀδελφὸς ἐπολεμήθη ὑπὸ τοῦ δαίμονος τῆς πορνείας· συνέβη δὲ αὐτὸν διαβαίνοντα κώμην τινὰ τῆς Αἰγύπτου, ἰδεῖν τινὰ γυναῖκα εὐειδῆ, ἥτις ἦν θυγάτηρ τοῦ ἱερέως τῶν Ἑλλήνων· καὶ ἰδὼν ἐτρώθη εἰς αὐτήν· καὶ προσελθών, εἶπε τῷ πατρὶ αὐτῆς· δός μοι αὐτὴν εἰς γυναῖκα· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· οὐ δύναμαί σοι δοῦναι αὐτήν, εἰ μὴ πρότερον μάθω παρὰ τοῦ θεοῦ μου· καὶ πορευθεὶς πρὸς τὸν δαίμονα ἠρώτησεν αὐτὸν λέγων· ἰδού τις Μοναχὸς ἦλθε θέλων τὴν θυγα-

τέρα μου· δώσω ταύτην αὐτῷ; καὶ ἀπεκρίθη ὁ δαίμων· ἐρώτησον αὐτὸν ἐὰν ἀρνῆται τὸν Θεὸν αὐτοῦ καὶ τὸ Βάπτισμα καὶ τὸ ἐπάγγελμα τοῦ Μοναχοῦ· ἐπανελθὼν οὖν πρὸς τὸν ἀδελφὸν ὁ ἱερεὺς τῶν δαιμόνων, εἶπεν αὐτῷ· ἀρνῇ τὸν Θεόν σου, καὶ τὸ Βάπτισμα, καὶ τὸ ἐπάγγελμα τοῦ Μοναχοῦ; ὁ δὲ συνέθετο· καὶ εὐθέως εἶδεν ὡσεὶ περιστερὰν ἐξελθοῦσαν ἐκ τοῦ στόματος αὐτοῦ καὶ ἀναπτᾶσαν εἰς τὸν οὐρανόν.

Ἀπῆλθεν οὖν ὁ ἱερεὺς πρὸς τὸν δαίμονα καὶ εἶπεν· ἰδοὺ συνέθετο· τότε λέγει ὁ δαίμων αὐτῷ· μὴ δῷς αὐτῷ τὴν θυγατέρα σου εἰς γυναῖκα· ὁ γὰρ Θεὸς αὐτοῦ, οὐκ ἀπέστη ἀπ' αὐτοῦ, ἀλλ' ἔτι βοηθεῖ αὐτῷ· ἐλθὼν οὖν πάλιν ὁ μιαρὸς ἱερεύς, εἶπε τῷ ἀδελφῷ· οὐ δύναμαί σοι δοῦναι αὐτήν· ὁ γὰρ Θεός σου μετὰ σοῦ ἐστι καὶ ἔτι βοηθεῖ σοι.

Ἀκούσας δὲ ὁ ἀδελφὸς κατενύγη, καὶ εἶπεν ἐν ἑαυτῷ· εἰ τοσούτων ἀγαθῶν ἀξιωθεὶς παρὰ τοῦ Θεοῦ διὰ μόνην τὴν αὐτοῦ ἀγαθότητα, ἐγὼ ὁ ἄθλιος καὶ ταλαίπωρος ἠρνησάμην αὐτόν, καὶ τὸ Βάπτισμα καὶ τὸ ἐπάγγελμα τοῦ Μοναχοῦ, ὁ δὲ βοηθεῖ μοι, καὶ ἔτι οὐκ ἀπέστη ἀπ' ἐμοῦ οὕτως ἀθετηθείς, πῶς ἐγὼ οὐκ ὀφείλω αὐτῷ προσδραμεῖν, θαρρῶν εἰς τὴν ἄπειρον αὐτοῦ ἀγαθότητα; ἐλθὼν οὖν εἰς ἑαυτόν, ἐξῆλθεν εἰς τὴν ἔρημον· καὶ ἀπελθὼν πρός τινα γέροντα, διηγήσατο αὐτῷ τὸ πρᾶγμα· καὶ εἶπεν αὐτῷ ὁ γέρων.

Κάθισον μετ' ἐμοῦ εἰς τὸ σπήλαιον καὶ νήστευσον τρεῖς ἑβδομάδας ζευγάρια, ἤτοι ἀνὰ δύο ἡμέρας καὶ τῇ τρίτῃ κατάλυε, κἀγὼ παρακαλῶ τὸν Θεὸν ὑπὲρ σοῦ· καὶ ἐπόνεσεν ὁ γέρων ὑπὲρ τοῦ ἀδελφοῦ· καὶ παρεκάλεσε τὸν Θεὸν λέγων· δέομαι, Κύριε, χάρισαί μοι τὴν ψυχὴν ταύτην, καὶ δέξαι αὐτῆς τὴν μετάνοιαν· καὶ εἰσήκουσεν αὐτοῦ ὁ Θεός· καὶ πληρωθείσης μιᾶς ἑβδομάδος, ἦλθεν ὁ γέρων πρὸς τὸν ἀδελφὸν καὶ ἠρώτησεν αὐτὸν λέγων· ἑώρακας τίποτε; ὁ δὲ ἀπεκρίθη· ναί, ἑώρακα τὴν περιστερὰν ἄνω εἰς τὸ ὕψος τοῦ οὐρανοῦ κατέναντι τῆς κεφαλῆς μου· καὶ εἶπεν αὐτῷ ὁ γέρων· πρόσεχε σεαυτῷ καὶ παρακάλεσον τὸν Θεὸν ἐκτενῶς· καὶ ταῦτα εἰπὼν ἀπῆλθε.

Διελθούσης δὲ καὶ τῆς δευτέρας ἑβδομάδος, παραγέγονε πάλιν ὁ γέρων πρὸς τὸν ἀδελφὸν καὶ ἐπηρώτησεν αὐτὸν λέγων· ἑώρακας τίποτε; ὁ δὲ ἔφη· εἶδον τὴν περιστερὰν ἐγγὺς τῆς κεφαλῆς μου· καὶ παραγγείλας αὐτὸν αὖθις ὁ γέρων νήφειν καὶ εὔχεσθαι, ἀπῆλθεν ἀπ' αὐτοῦ· εἶτα πληρωθείσης καὶ τῆς τρίτης ἑβδομάδος, ἐλθὼν πρὸς αὐτὸν ὁ γέρων εἶπε· μήτι πλέον ἑώρακας; ὁ δὲ ἀπεκρίθη· εἶδον τὴν περιστερὰν ὅτι ἦλθε καὶ ἔστη ἐπάνω τῆς κεφαλῆς μου· καὶ ἐξέτεινα τὴν χεῖρά μου κατασχεῖν αὐτήν, ἡ δὲ εἰσῆλθεν εἰς τὸ στόμα μου· καὶ ἀκούσας ὁ γέρων, ηὐχαρίστησε τῷ Θεῷ· καὶ εἶπε τῷ ἀδελφῷ· ἰδοὺ ἐδέξατο ὁ Θεὸς τὴν μετάνοιάν σου· τοῦ λοιποῦ, πρόσεχε σεαυτῷ· ὁ δὲ ἔφη· ἰδοὺ ἀπὸ τοῦ νῦν ἔσομαι μετὰ σοῦ, Ἀββᾶ, καὶ ἕως τελευτῆς οὐ χωρισθήσομαι· καὶ ἔμεινεν ὁ ἀδελφὸς μετὰ τοῦ γέροντος εἰς τὸ ἑξῆς ἀδιαίρετος.

5. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· Ἀββᾶ, λέγει μοι ὁ λογισμός· ὅτι ἐὰν πέσῃ Μοναχὸς ὁ χρονίσας ἐν τῷ σχήματι εἰς πειρασμόν, ἤτοι πορνείαν, δυσκόλως ἐγείρεται καὶ μετὰ κόπου πολλοῦ, ὡς ἀπὸ προκοπῆς εἰς ἐλάττωσιν ἐλθών· ὁ δὲ νῦν ἀπὸ τοῦ κόσμου ἐλθών, ὡς ἀρχὴν βάλλων, οὐ τοσαύτην ζημίαν ὑφίσταται· καὶ ἀποκριθεὶς ὁ γέρων εἶπε· Μοναχὸς ὁ εἰς πειρασμὸν πεσών, ὅμοιός ἐστιν οἰκίᾳ καταπεσούσῃ· ἣν ἐὰν νήψας ὁ οἰκοδόμος τῷ λογισμῷ, βουληθῇ ἀνεγεῖραι, πολλὰς ὕλας ἑ-

τοίμους εὑρίσκει· ἤτοι τὰ τῶν θεμελίων ὀρύγματα, τοὺς λίθους καὶ τὰ ξύλα, καὶ δύναται εὐχερέστερον καὶ ταχύτερον αὐτὴν ἀνεγεῖραι, διὰ τὴν πρόχειρον τῶν ὑλῶν εὕρεσιν, ὑπὲρ τὸν μηδέπω ὀρύξαντα, καὶ βαλόντα θεμέλιον καὶ τὰ πρὸς χρείαν μὴ πορισάμενον, ἀλλὰ τοῦ πορισμοῦ τῶν ὑλῶν καὶ τῆς οἰκοδομῆς νῦν ἐπ᾿ ἐλπίδι ἀρξάμενον, εἴπως ἄρα καὶ τελειώσει.

Τὸ αὐτὸ παράδειγμα καὶ ἐπὶ τοῦ Μοναχοῦ, τοῦ ἤδη ἐν τῇ Μοναχικῇ ἐργασίᾳ χρονίσαντος, καὶ τοῦ ἀρχαρίου εὑρήσεις ὁμοίως σωζόμενον· ὁ μὲν γὰρ Μοναχός, εἰ πεσὼν ἐπιστρέψῃ, πολλὴν εὑρίσκει βοήθειαν ἐκ τῆς συνηθείας τῶν ἔργων, ὧν ἤσκησεν· ἤτοι τῆς μελέτης, τῆς ψαλμῳδίας, τοῦ ἐργοχείρου, καὶ λοιπῆς ἐργασίας Μοναχικῆς, ἣν ἀβαρῶς αὐτῷ ἐκτελεῖν ἐνεποίησεν ἡ τοῦ χρόνου καὶ τῆς ἐργασίας συνήθεια· διὸ καὶ συντόμως τὴν καταπεσοῦσαν τῆς ψυχῆς αὐτοῦ οἰκίαν οἰκοδομεῖν δύναται· ὁ δὲ ἀρχάριος ἄρτι τὰ προειρημένα ἐξασκῶν καὶ μανθάνων, εἰ πέσῃ, ἀργότερον ἀνίσταται· ὡς ἅμα καὶ τὰς ὕλας νῦν ποριζόμενος καὶ τὴν οἰκοδομὴν ἐκτελῶν.

6. Ἐπίσκοπός τις ἦν εἴς τινα πόλιν· ὃς ἀρρωστήσας, ἀπεγνώσθη· ἦν δὲ ἐν τῇ πόλει μοναστήριον γυναικῶν· καὶ μαθοῦσα ἡ ἡγουμένη ὅτι ἀπεγνώσθη ὁ Ἐπίσκοπος, λαβοῦσα μεθ᾿ ἑαυτῆς δύο ἀδελφάς, ἀπῆλθε τοῦ ἐπισκέψασθαι αὐτόν· καθεσθείσης οὖν αὐτῆς καὶ ὁμιλούσης τῷ ἐπισκόπῳ, μία τῶν αὐτῆς μαθητριῶν παρεστῶσα, ἥψατο τοῦ ποδὸς αὐτοῦ, θέλουσα μαθεῖν πῶς ἔχει· ὁ δέ, ἀπὸ τῆς ἁφῆς πολεμηθείς, παρεκάλεσε τὴν ἡγουμένην λέγων· ὅτι οὐκ ἔχω τὸν ἐπιτηδείως ὑπηρετοῦντά μοι· θέλησον οὖν καταλεῖψαί μοι τὴν ἀδελφὴν ταύτην, ἵνα ὑπηρετῇ μοι· ἡ δὲ ἡγουμένη, μηδὲν ὑπονοήσασα πονηρόν, ἀφῆκε τὴν ἀδελφὴν ὑπηρετεῖν τῷ Ἐπισκόπῳ· ὁ δέ, ὑπηρετούμενος ὑπ᾿ αὐτῆς, ἐνδυναμωθεὶς ὑπὸ τοῦ διαβόλου, ἔπεσε μετ᾿ αὐτῆς· καὶ ἐν γαστρὶ ἡ Μοναχὴ ἔλαβεν· εἶτα ὡς ὁ τῆς γαστρὸς ὄγκος ἐμήνυσεν αὐτῆς τὴν σύλληψιν πᾶσι τοῖς βλέπουσιν, οἱ κληρικοὶ ἐκράτησαν αὐτὴν λέγοντες· εἰπὲ ἡμῖν τίς ὁ ποιήσας σε ἔγκυον; ἡ δὲ οὐχ ὡμολόγει.

Τότε ὁ Ἐπίσκοπος λέγει· ἄφετε αὐτήν· ἐγὼ γὰρ ἐποίησα τὴν ἁμαρτίαν ταύτην· καὶ ἐγερθεὶς ἐκ τῆς ἀρρωστίας, εἰσῆλθεν εἰς τὴν Ἐκκλησίαν· καὶ ἀπέθετο τὸ ὠμοφόριον αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον· καὶ ἐξελθὼν ἔλαβε ῥάβδον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ὥρμησεν ἀπελθεῖν εἰς Μοναστήριόν τι, ἔνθα οὐδενὶ τῶν ἐν αὐτῷ ἐγνωρίζετο ὅς τις ἦν· ἀπιόντι δὲ αὐτῷ, ὁ Ἀββᾶς ἐκείνου τοῦ Κοινοβίου, διορατικὸς ὤν, ἀπεκαλύφθη παρὰ τοῦ Θεοῦ, ὅτι Ἐπίσκοπος ἔρχεται εἰς τὴν μονήν· καὶ καλέσας τὸν θυρωρόν, παρήγγειλεν αὐτῷ λέγων· πρόσεχε, ἀδελφέ, ὅτι Ἐπίσκοπος ἔρχεται ἐνταῦθα· καὶ ὑπάντησον αὐτῷ ὡς δεῖ· ὁ δὲ θυρωρὸς προσδοκῶν ὅτι μετὰ λεκτικίου ἔρχεται ἢ ἄλλης τινὸς φαντασίας ὡς Ἐπίσκοπος, ἐλθόντα αὐτὸν ὡς εἶδε μόνον καὶ πεζόν, οὐκ ἐνόησεν οὐδ᾿ ἤνοιξεν, εἰμὴ πρότερον περὶ αὐτοῦ τῷ προεστῶτι ἐγνώρισεν.

Ὁ δὲ ὡς ἤκουσεν, ἐξῆλθεν εὐθὺς εἰς ἀπάντησιν αὐτοῦ· καὶ ὑπαντήσας αὐτῷ, ἠσπάσατο λέγων· καλῶς ἦλθες, κύριε Ἐπίσκοπε· ὁ δὲ καταπλαγεὶς ἐπὶ τῷ γνωρισθῆναι τοῖς ὅλως αὐτὸν ἀγνοοῦσιν, ἠθέλησε φυγεῖν εἰς ἕτερον μοναστήριον· εἶπε δὲ αὐτῷ ὁ Ἀββᾶς· ὅπου ἐὰν ἀπέλθῃς, μετὰ σοῦ ἔρχομαι καὶ γνωρίζω τὰ κατὰ σέ· καὶ μετανοήσας ἐξ ὅλης τῆς καρδίας, καὶ μεγάλους ὑπὲρ ἀρετῆς ἐπιδειξάμενος ἄθλους, ἐν εἰρήνῃ πρὸς Κύριον ἀπεδήμησε, σημείοις πολλοῖς καὶ τέρασι τοῦ Θεοῦ τὴν ἔξοδον αὐτοῦ θαυμαστώσαντος.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ, ποὺ κατοικοῦσε εἰς τὰ μικρὰ μοναστικὰ οἰκήματα, ἀπὸ διαβολικὴν ἐνέργειαν, ἔπιπτε τακτικῶς εἰς πορνείαν· ὡστόσον ἐβίαζε τὸν ἑαυτόν του νὰ μὴ ἀποβάλῃ τὸ μοναχικόν του σχῆμα. Ἐκτελῶν δὲ τὴν ἀκολουθίαν του καὶ τὸν κανόνα του, παρεκάλει μὲ ἀναστεναγμὸν τὸν Θεὸν λέγων· «Κύριέ μου, εἴτε θέλω, εἴτε δὲν θέλω, σῶσε με, διότι ἐγὼ ὡς λάσπη ὅπου εἶμαι, ποθῶ τὴν δυσοσμίαν τῆς ἁμαρτίας· σὺ ὅμως, ὡς Θεὸς Παντοδύναμος, δύνασαι νὰ μὲ ἐμποδίσῃς. Διότι, ἐὰν ἐλεήσῃς τὸν δίκαιον, τίποτε τὸ σπουδαῖον δὲν εἶναι· καὶ ἐάν, ἐπίσης, σώσῃς τὸν καθαρόν, τίποτε τὸ ἀξιοθαύμαστον· οὗτοι, κατὰ τὸ μέτρον τοῦ ἀγῶνος των καὶ τῆς ἀρετῆς των, εἶναι ἄξιοι νὰ τύχουν τῆς ἀγαθότητός σου. Εἰς ἐμέ, Δέσποτα, ἂς κάνουν τὸ θαῦμα των τὰ ἐλέη Σου, καὶ δεῖξε εἰς ἐμὲ τὴν ἄπειρον φιλανθρωπίαν Σου· διότι εἰς Σὲ ἔχει ἐμπιστευθῆ τὸν ἑαυτόν του ὁ πτωχὸς (Ψαλμ. θ', 35), δηλαδὴ ἐκεῖνος ποὺ ἔχει πτωχεύσει ἀπὸ ὅλας τὰς ἀρετάς. Αὐτὰ καὶ ἄλλα ὅμοια ἔλεγε καθημερινῶς ὁ ἀδελφὸς μὲ βουρκωμένα μάτια, εἴτε συνέβαινε νὰ πέσῃ εἰς τὴν ἁμαρτίαν, εἴτε ὄχι.

Μίαν νύκτα λοιπόν, ἔπεσε, κατὰ τὴν συνήθειάν του, εἰς τὴν βδελυρὰν ἁμαρτίαν τῆς πορνείας· ἀμέσως δέ, κατὰ τὸ μεσονύκτιον, ἐσηκώθη καὶ ἤρχισε νὰ ἐκτελῇ τὸν κανόνα του. Ὁ δαίμων, ὁ ὁποῖος τὸν παρεκίνει εἰς τὴν ἁμαρτίαν, τὰ ἔχασε κυριολεκτικῶς ἀπὸ τὴν ἐλπίδα ποὺ ἔτρεφε νὰ σωθῇ ὁ ἁμαρτάνων ἀδελφός, καὶ ἀπὸ τὴν ἀναίδειαν, ὅπως ἐνόμιζε, νὰ παρουσιασθῇ, διὰ τῆς προσευχῆς, ἐνώπιον τοῦ Θεοῦ. Δι' αὐτὸ ἐμφανίζεται ὁλοφάνερος ἐνώπιον τοῦ ἀδελφοῦ καὶ τοῦ λέγει· ἄθλιε, πῶς δὲν κοκκινίζεις ἀπὸ ἐντροπήν, νὰ σταθῇς ἐνώπιον τοῦ Θεοῦ; πῶς τολμᾷς νὰ προφέρῃς εἰς τὰ χείλη σου τὸ ὄνομα τοῦ Θεοῦ; Τόσον ἀδιάντροπα τολμᾷς καὶ νὰ ψάλλῃς;

Εἰς αὐτοὺς τοὺς λόγους τοῦ διαβόλου ὁ ἀδελφὸς ἀπαντᾷ· αὐτὸ ἐδῶ τὸ κελλίον εἶναι σιδηρουργεῖον· δίδεις ἕνα κτύπημα μὲ τὸ σφυρὶ καὶ παίρνεις ἕνα· θὰ ὑπομείνω λοιπὸν νὰ παλαίω ἐναντίον σου μέχρι θανάτου καὶ ὅπου μὲ προλάβῃ ἡ τελευταία ἡμέρα τῆς ἐπιγείου ζωῆς μου. Ἰδοὺ λοιπὸν μὲ ὅρκον σὲ πληροφορῶ καὶ στηρίζων τὸ θάρρος μου εἰς τὴν ἄπειρον ἀγαθότητα τοῦ Θεοῦ, σὲ βεβαιώνω· εἰς τὸ ὄνομα Ἐκείνου, ποὺ ἦλθε νὰ καλέσῃ ἁμαρτωλοὺς εἰς μετάνοιαν καὶ νὰ τοὺς σώσῃ, δὲν θὰ παύσω νὰ προσεύχωμαι εἰς τὸν Θεὸν ἐναντίον σου, ἕως ὅτου σὺ παύσῃς νὰ μὲ πολεμῇς. Καὶ θὰ ἴδωμεν ποῖος θὰ νικήσῃ· σὺ ἢ ὁ Θεός.

Ἀφοῦ ἤκουσεν αὐτοὺς τοὺς ἀποφασιστικοὺς λόγους ὁ δαίμων, λέγει εἰς τὸν ἀδελφόν· πράγματι ἀπ' ἐδῶ καὶ ἐμπρὸς δὲν πρόκειται νὰ σὲ πολεμήσω, διὰ νὰ μὴ γίνω ἀφορμὴ νὰ λάβῃς τὸ στέφανον τῆς ὑπομονῆς. Ἀπὸ τὴν στιγμὴν ἐκείνην ἀνεχώρησεν ἀπὸ κοντά του ὁ ἐχθρός.

Ὁ δὲ μέχρι τότε πολεμούμενος ἀδελφὸς ἦλθεν εἰς κατάνυξιν καὶ ἔκτοτε ἐκάθητο καὶ ἔκλαιε διαρκῶς τὰς ἁμαρτίας του.

Πολλάκις τοῦ ἔλεγεν ὁ λογισμός· καλὰ κάμνεις καὶ κλαίεις· ἐκεῖνος τότε ἀνταπαντοῦσε εἰς τὸν λογισμόν του· 'Ανάθεμα εἰς αὐτὸ τὸ καλόν· διότι ὁ Θεὸς δὲν θέλει νὰ χάσῃ ἕνας ἄνθρωπος τὴν ψυχήν του εἰς ὅλα τὰ ἔργα τῆς ἀτιμίας καὶ ὕστερα νὰ κάθεται καὶ νὰ θρηνολογῇ δι' αὐτὴν τὴν ἀπώλειαν, ὁπόταν ἢ σώζει τὴν ψυχήν του, ἢ δὲν τὴν σώζει.

2. Ἔζη κάποτε εἰς τὴν σκήτην ἕνας ἀδελφός, μαζὶ μὲ τὸν 'Αββᾶν Παφνούτιον. Οὗτος λοιπὸν ὁ ἀδελφὸς ἐπολεμεῖτο μὲ λογισμοὺς πορνείας καὶ ἔλεγε συχνά, ὑπὸ τὴν ἐπίδρασιν τοῦ πάθους· ἐὰν δὲν πάρω δέκα γυναῖκας, δὲν θὰ ἠμπορέσω νὰ ἱκανοποιήσω τὴν ἐπιθυμίαν μου. Ὁ δὲ Γέρων τὸν παρεκάλει καὶ τοῦ ἔλεγε· μή, παιδί μου, σκέπτεσαι τοιουτοτρόπως· πόλεμος εἶναι καὶ θὰ περάσῃ. Ὁ ἀδελφὸς ὅμως δὲν ἐπείσθη ἀπὸ τὴν πολύτιμον αὐτὴν συμβουλήν, ἀλλὰ μετέβη εἰς Αἴγυπτον καὶ ἐπῆρε γυναῖκα, κατὰ τὴν ἐπιθυμίαν του.

Μετὰ ἀρκετὸν χρόνον ἀνέβη ὁ Γέρων ἀπὸ τὴν σκήτην εἰς τὴν Αἴγυπτον καὶ συνήντησε τὸν ἐκπεσόντα ἀδελφόν, ὁ ὁποῖος ἐβάσταζεν ἕνα ζεμπίλι γεμᾶτον ἀπὸ ὄστρακα. Τόση ὅμως ἦτο ἡ ἀθλιότης του, ὥστε ὁ Γέρων δὲν τὸν ἀνεγνώρισεν ἀμέσως.

Ὁ ἐκπεσὼν ἀδελφὸς τὸν ἐπλησίασε καὶ τοῦ εἶπε:

— Γέροντα, ἐγὼ εἶμαι ἐκεῖνος ὁ μαθητής σου εἰς τὴν σκήτην.

Μόλις τὸν ἀνεγνώρισεν ὁ Γέρων καὶ εἶδεν εἰς ποίαν ἀθλιότητα εἶχε περιπέσει, ἔκλαυσε καὶ τοῦ εἶπε μὲ πόνον:

— Παιδί μου, διατί ἄφησες ἐκείνην τὴν τιμήν, μὲ τὴν ὁποίαν ἦσο στολισμένος καὶ ἦλθες καὶ περιέπεσες εἰς αὐτὴν τὴν ἀθλιότητα καὶ ἀτιμίαν; Ὡστόσον ἔλαβες τὰς δέκα γυναῖκας, ποὺ ἔλεγες, διὰ νὰ ἱκανοποιήσῃς τὸ πάθος σου;

Ὁ ἀδελφὸς ἀνεστέναξε βαθύτατα καὶ μὲ βουρκωμένα τὰ μάτια ἀπὸ δάκρυα μεταμελείας ἀπήντησε:

— Πάτερ μου, μίαν ἔλαβον διὰ νὰ ἱκανοποιήσω τὴν φυσικήν μου ἀδυναμίαν καὶ βασανίζομαι νὰ τὴν χορτάσω ψωμί.

Ὁ Γέρων τοῦ λέγει μὲ στοργήν:

— Ἔλα πάλιν μαζί μας, παιδί μου.

— 'Αββᾶ, ὑπάρχει μετάνοια; ἠρώτησε μὲ ἀγωνίαν ὁ ἀδελφός.

— Βεβαίως ὑπάρχει, ἀπήντησεν ἐνθαρρύνων τὸν ἀδελφὸν ὁ Γέρων.

Μετὰ τοὺς ἐνθαρρυντικοὺς αὐτοὺς λόγους τὰ ἐγκατέλειψεν ὅλα ὁ ἐκπεσὼν ἀδελφὸς καὶ ἠκολούθησε τὸν Γέροντα εἰς τὴν ἔρημον. Μόλις εἰσῆλθεν εἰς τὴν σκήτην ὁ ἀδελφός, ἐξ ἀφορμῆς τῆς πείρας ποὺ ἐσχημάτισεν ἀπὸ τὴν δουλείαν τῆς ἁμαρτίας, ἐξειλίχθη εἰς ἀγωνιστὴν καὶ καλὸν Μοναχόν.

3. Ἕνας ἀδελφὸς ὑπέβαλε τὴν ἑξῆς ἐρώτησιν εἰς ἕνα Γέροντα:

— Πάτερ μου, ἐὰν συμβῇ νὰ πέσῃ κάποιος εἰς ἕνα πειρασμόν, ὅπως εἶναι ἡ πορνεία, κατὰ διαβολικὴν ἐνέργειαν, τί γίνεται τότε μὲ ἐκείνους οἱ ὁποῖοι ἐσκανδαλίσθησαν ἀπὸ τὸν πειρασμὸν αὐτόν;

Ὁ Γέρων, ἀντὶ ἄλλης ἀπαντήσεως, διηγήθη τὸ ἑξῆς: Κάποτε ἔζη ἕνας διάκονος ὀνομαστὸς εἰς κοινόβιον τῆς Αἰγύπτου. Κατ' ἐκείνην τὴν ἐποχὴν ἕνας ἄνθρωπος ἀπὸ τὴν πόλιν, ποὺ ἐδιώκετο διὰ τὰς πολιτικάς του πεποιθήσεις ἀπὸ τὸν ἄρχοντα, προσέφυγεν εἰς τὸ κοινόβιον αὐτὸ μὲ ὅλην του τὴν οἰκογένειαν, διὰ νὰ σωθῇ ἀπὸ τοὺς διώκτας του.

Φθόνῳ λοιπὸν καὶ συνεργίᾳ του ἔπεσεν ὁ Διάκονος εἰς ἁμαρτίαν μετὰ μιᾶς γυναικός, ἀπὸ ἐκείνας ποὺ εἶχον ἔλθει μαζὶ μὲ τὸν ἐκ τῆς πόλεως· ὅταν ἡ ἁμαρτία ἔγινε γνωστὴ ὅλοι κατεντροπιάσθησαν.

Ὁ Διάκονος κατέληξεν εἰς ἕνα ἀγαπημένον του Γέροντα καὶ τοῦ ἐξωμολογήθη τὸ περιστατικόν. Ὁ Γέρων αὐτὸς εἶχεν εἰς τὸ βάθος τοῦ κελλιοῦ του μίαν κρύπτην, τὴν ὁποίαν ἐγνώριζε καὶ ὁ Διάκονος. Μεταμεληθεὶς λοιπὸν διὰ τὴν ἁμαρτίαν του ὁ Διάκονος παρεκάλεσε τὸν Γέροντα νὰ εἰσέλθῃ εἰς τὴν κρύπτην καὶ νὰ ταφῇ πραγματικῶς ἐκεῖ, χωρὶς νὰ γνωρίζῃ κανεὶς ἄλλος τὸ γεγονὸς αὐτό, παρὰ μόνον ὁ Γέρων. Ὁ Γέρων ἐπείσθη πράγματι καὶ τοῦ παρεχώρησε τὸν τόπον.

Ὁ Διάκονος εἰσῆλθε τότε εἰς τὸ σκοτεινὸν ἐκεῖνον μέρος καὶ μετενόησεν εἰλικρινῶς ἐνώπιον τοῦ Θεοῦ, πενθῶν διαρκῶς διὰ τὴν ἁμαρτίαν καὶ χωρὶς νὰ λαμβάνῃ τίποτε ἄλλο ὡς τροφήν, παρὰ μόνον ὀλίγον νερὸ καὶ ὀλίγον ψωμί, ποὺ τοῦ ἐχορήγει κάποτε - κάποτε ὁ Γέρων.

Μετὰ κάμποσον καιρόν, ἀφ' ὅτου ὁ Διάκονος ὑπεβλήθη εἰς τὸν σκληρὸν κανόνα τῆς μετανοίας, δὲν ἀνέβη, κατὰ τὴν ὡρισμένην περίοδον τῶν πλημμυρῶν ἡ στάθμη τοῦ ποταμοῦ* καὶ ἐκινδύνευεν ἀπὸ ξηρασίαν ὁλόκληρος ἡ περιοχή. Πρὸς ἀποτροπὴν λοιπὸν τοῦ κινδύνου τῆς ξηρασίας, ὅλοι ἔκαμναν λιτανείας καὶ παρεκάλουν συνεχῶς καὶ μετὰ πίστεως τὸν Θεὸν νὰ ἀποτρέψῃ τὴν θεομηνίαν. Τότε εἰς ἕνα ἐκ τῶν ἁγίων ἀποκαλύπτεται ἡ ἑξῆς πληροφορία· ἐὰν δὲν ἔλθῃ νὰ παρακαλέσῃ τὸν Θεὸν ὁ τάδε Διάκονος, ποὺ εὑρίσκεται κρυμμένος εἰς τὸ κελλὶ τοῦ τάδε μοναχοῦ, ἡ στάθμη τῶν ὑδάτων τοῦ ποταμοῦ δὲν ἀνεβαίνει.

Ὁ ἅγιος ἐκεῖνος ἄνθρωπος μόλις ἔλαβεν αὐτὴν τὴν πληροφορίαν, ἀμέσως τὴν ἐφανέρωσεν εἰς ὅλους. Καὶ ὅσοι ἤκουσαν τὸ μήνυμα αὐτὸ ἐθαύμασαν καὶ ὅλοι μαζὶ ἦλθαν εἰς τὸ κελλὶ τοῦ Μοναχοῦ, ἔβγαλαν τὸν Διάκονον ἀπὸ τὴν σκοτεινήν του κρύπτην καὶ τὸν ἐξηνάγκασαν νὰ προσ-

---

* Ὁ ποταμὸς περὶ οὗ ἐνταῦθα γίνεται λόγος εἶναι ὁ Νεῖλος. Οὗτος πηγάζων ἐκ τῶν ὀρεινῶν περιοχῶν τῆς Ἀνατολικῆς Ἀφρικῆς κατὰ τὸν Ἰσημερινόν, εἰσέρχεται εἰς τὴν Αἴγυπτον καὶ ἐκβάλλει εἰς τὴν Μεσόγειον θάλασσαν. Τὰ ὕδατα τοῦ ποταμοῦ τούτου ἀνέρχονται περὶ τὰ 13—14 μέτρα ὑπὲρ τὴν κανονικὴν αὐτῶν στάθμην κατὰ τὴν αὐτὴν συνήθως ἡμερομηνίαν ἀπὸ τῶν ἀρχῶν Ἰουνίου (2αν Ἰουνίου παλ. ἡμερ.) μέχρι τέλους Σεπτεμβρίου. Κατὰ τὴν περίοδον ταύτην ἔχομεν τὰς πλημμύρας τοῦ Νείλου καὶ ἐκ τῶν πλημμυρῶν αὐτῶν ποτίζεται ἡ γῆ τῆς Αἰγύπτου, διότι ἐν Αἰγύπτῳ σχεδὸν οὐδέποτε βρέχει. Μικρὰ ὕψωσις τῶν ὑδάτων ὑπὲρ τὰ 14 μέτρα ἐπιφέρει καταστροφὰς ἐκ τῶν πλημμυρῶν καὶ ἐλάττωσις αὐτῶν κάτω τῶν 13 μέτρων καθιστᾷ ἀδύνατον τὴν ἄρδευσιν (τὸ πότισμα) τῆς γῆς.

ευχηθῆ εἰς τὸν Θεόν, διὰ νὰ σωθῆ ὁ τόπος ἀπὸ τὴν ξηρασίαν. Καὶ ἀμέσως, μόλις προσηυχήθη ὁ Διάκονος, ἀνέβη ἀμέσως ἡ στάθμη τῶν ὑδάτων τοῦ ποταμοῦ.

Τὸ θαῦμα αὐτὸ ἦτο ἀπόδειξις ὅτι ὁ Θεὸς ἐδέχθη τὴν μετάνοιαν τοῦ Διακόνου, καὶ δι' αὐτὸ ὅσοι ἐσκανδαλίσθησαν προηγουμένως, πολὺ περισσότερον ὠφελήθησαν ἀπὸ τὴν μετάνοιαν αὐτοῦ καὶ ἐδόξασαν τὸν Θεόν.

4. Ἕνας ἀδελφὸς ἐπολεμήθη ἀπὸ τὸν δαίμονα τῆς πορνείας. Συνέβη λοιπὸν κάποτε ὁ ἀδελφὸς νὰ περάση ἀπὸ ἕνα χωριὸ τῆς Αἰγύπτου καὶ εἶδε μίαν ὡραίαν γυναῖκα, ἡ ὁποία ἦτο θυγάτηρ τοῦ ἱερέως τῶν εἰδώλων. Μόλις τὴν εἶδε, τὴν ἐρωτεύθη σφοδρῶς καὶ ὑπὸ τὸ κράτος τοῦ πάθους αὐτοῦ ἐπῆγε πρὸς τὸν πατέρα τῆς κόρης καὶ τοῦ λέγει:

— Δῶσε μου τὴν κόρην σου σύζυγόν μου.

— Δὲν ἠμπορῶ νὰ σοῦ τὴν δώσω, — τοῦ ἀπήντησεν ἐκεῖνος — πρὶν ἐρωτήσω τὸν θεόν μου. Περίμενε ὀλίγον.

Πράγματι ὁ ἱερεὺς τῶν εἰδώλων μετέβη εἰς τὸ μαντεῖον τοῦ θεοῦ του (διὰ τοῦ ὁποίου, ὡς γνωστόν, ὡμίλει ὁ δαίμων) καὶ ἠρώτησεν:

—Ἕνας Μοναχὸς ἦλθεν εἰς τὸ σπίτι μου καὶ θέλει τὴν θυγατέρα μου ὡς σύζυγόν του· νὰ τοῦ τὴν δώσω;

Ὁ κρυπτόμενος εἰς τὸ μαντεῖον δαίμων τοῦ ἀπήντησεν:

—Ἐρώτησέ τον ἐὰν ἀρνῆται τὸν Θεόν του, τὸ βάπτισμα, ποὺ ἔλαβε καὶ τὰς ὑποσχέσεις ποὺ ἔδωσεν ὡς μοναχός.

Ὅταν ἐπέστρεψεν ὁ ἱερεὺς τῶν εἰδώλων, λέγει εἰς τὸν Μοναχόν: Ἀρνεῖσαι τὸν Θεόν σου καὶ τὸ Βάπτισμα καὶ τὸ ἐπάγγελμα τοῦ Μοναχοῦ; Ὁ δὲ Μοναχὸς ἐδέχθη τοὺς ὅρους του. Ἀμέσως ὅμως εἶδε νὰ ἐξέρχεται ἐκ τοῦ στόματός του μία λάμψις, ὡσὰν περιστέρι καὶ νὰ ἀνέρχεται πρὸς τὸν οὐρανόν.

Τρέχει τότε ἀμέσως ὁ εἰδωλολάτρης ἱερεὺς πρὸς τὸν δαίμονα καὶ τοῦ λέγει· ἰδού, ὁ Μοναχὸς ἐδέχθη ὅσα τοῦ ἐζήτησα. Τότε ὁ δαίμων λέγει εἰς αὐτόν:

— Μὴ τοῦ δώσῃς τὴν θυγατέρα σου ὡς σύζυγον, διότι ὁ Θεός του δὲν ἀπεμακρύνθη ἀπὸ κοντά του, ἀλλ' ἀκόμη τὸν βοηθεῖ. Τότε ἦλθε πάλιν πρὸς τὸν Μοναχὸν ὁ εἰδωλολάτρης ἱερεὺς καὶ τοῦ λέγει·

— Δὲν ἠμπορῶ νὰ σοῦ δώσω τὴν θυγατέρα μου ὡς γυναῖκα, διότι ὁ Θεός σου ἐξακολουθεῖ νὰ παραμένῃ κοντά σου καὶ νὰ σὲ βοηθῇ.

Μόλις ἤκουσε τὴν ἀπάντησιν αὐτὴν ὁ Μοναχὸς συνεκινήθη βαθύτατα καὶ εἶπε μέσα του· Ἂν καὶ ὁ Θεὸς ἀπὸ μόνην τὴν καλωσύνην Του μὲ ἠξίωσε τόσων καὶ τόσων ἀγαθῶν, ἐγὼ ὁ ἄθλιος ἠρνήθην Αὐτὸν καὶ τὸ Ἅγιον Αὐτοῦ Βάπτισμα καὶ τὰς ὑποσχέσεις τοῦ Μοναχοῦ. Παρὰ δὲ τὴν ἄρνησίν μου, ὁ Θεὸς δὲν ἀπεμακρύνθη ἀπὸ κοντά μου, καίτοι τόσον τὸν ἐπρόδωσα, ἀλλ' ἐξακολουθεῖ νὰ μὲ βοηθῇ. Κατόπιν αὐτοῦ δὲν ἔχω χρέος νὰ τρέξω κοντά Του, στηριζόμενος εἰς τὸ θάρρος τῆς ἀνεξαντλήτου ἀγαθότητός Του;

'Αφοῦ λοιπὸν συνῆλθεν ἀπὸ τὴν ζάλην τοῦ πάθους ἔφυγεν ἀμέσως διὰ τὴν ἔρημον καὶ μετέβη εἰς ἕνα Γέροντα, πρὸς τὸν ὁποῖον ἐξωμολογήθη τὴν ἄρνησίν του, ὡς καὶ ὅλους τοὺς λογισμούς του.

Ὁ Γέρων τοῦ λέγει μὲ πραότητα:

—'Αδελφέ μου, κάθισε μαζί μου εἰς τὸ σπήλαιον, καὶ νήστευσε ἐπὶ τρεῖς ἑβδομάδας κατὰ ζευγάρια· δηλαδὴ θὰ νηστεύῃς μὲ αὐστηρὰν νηστείαν δυὸ ἡμέρας καὶ τὴν τρίτην θὰ καταλύῃς· καὶ ἐγὼ θὰ παρακαλῶ τὸν Θεὸν νὰ σὲ συγχωρήσῃ.

Πραγματικῶς ὁ Γέρων ἐπόνεσε διὰ τὴν ψυχὴν τοῦ ἀδελφοῦ καὶ παρεκάλεσε μετὰ θερμότητος τὸν Θεόν. Θεέ μου, ἔλεγε, χάρισέ μου τὴν ψυχὴν τοῦ Μοναχοῦ τούτου καὶ δέξαι τὴν μετάνοιάν της.

Ὁ Θεὸς εἰσήκουσεν, ὡς εὔσπλαγχνος, τὴν εἰλικρινῆ καὶ θερμὴν αὐτὴν προσευχὴν τοῦ Γέροντος, ἐφ' ὅσον μάλιστα προήρχετο ἀπὸ γνησίαν ἀγάπην.

Ὅταν συνεπληρώθη ἡ πρώτη ἑβδομὰς τοῦ Κανόνος τῆς μετανοίας ἐπεσκέφθη ὁ Γέρων τὸν ἔγκλειστον Μοναχὸν καὶ τοῦ λέγει:

— Μήπως εἶδες τίποτε;

— Μάλιστα, ἀπήντησεν ὁ Μοναχός· εἶδα τὴν περιστερὰν ὑψηλὰ εἰς τὸν οὐρανόν, ἀπέναντι ἀπὸ τὸ κεφάλι μου.

Ὁ Γέρων λέγει εἰς τὸν ὑπὸ μετάνοιαν Μοναχόν·

— Πρόσεχε τὸν ἑαυτόν σου καὶ παρακάλει τὸν Θεὸν μὲ ὅλην τὴν δύναμιν τῆς ψυχῆς σου, χωρὶς διακοπήν, διὰ νὰ σὲ συγχωρήσῃ. Μετὰ τὰς συστάσεις αὐτὰς ἀνεχώρησε πάλιν ὁ Γέρων.

Μόλις ἐπέρασε καὶ ἡ δευτέρα ἑβδομὰς ἦλθε καὶ πάλιν ὁ Γέρων εἰς τὸ σπήλαιον τοῦ ἐγκλείστου Μοναχοῦ:

—Ἔ, πῶς πηγαίνεις, ἀδελφέ; Μήπως εἶδες πάλιν τίποτε; τὸν ἠρώτησε μὲ πατρικὸν ἐνδιαφέρον καὶ συμπόνια.

— Μάλιστα, Γέροντά μου· εἶδα τὴν περιστερὰν πλησίον τῆς κεφαλῆς μου.

Ὁ Γέρων, ἀφοῦ τοῦ συνέστησε καὶ πάλιν νὰ προσεύχεται μετὰ θερμότητος καὶ νὰ εὑρίσκεται εἰς κατάστασιν ψυχικῆς ἐπαγρυπνήσεως, ἀνεχώρησεν.

Ὅταν, τέλος, συνεπληρώθη καὶ ἡ τρίτη ἑβδομὰς ἦλθε πρὸς τὸν ἔγκλειστον Μοναχὸν ὁ Γέρων καὶ τοῦ λέγει:

— Εἶδες πιὰ ἄλλο τίποτε;

Μὲ χαρὰν ὁ Μοναχὸς ἀπήντησεν:

— Εἶδα τὴν περιστερὰν πῶς ἦλθε καὶ ἐκάθισεν ἐπάνω εἰς τὸ κεφάλι μου· τότε μὲ χαρὰν ἐγὼ ἥπλωσα τὸ χέρι μου νὰ τὴν πιάσω, ὁπόταν ἐκείνη εἰσῆλθε μέσα εἰς τὸ στόμα μου.

Ὅταν ἤκουσε τὴν ἀπάντησιν αὐτὴν ὁ Γέρων, ηὐχαρίστησε τὸν Θεόν, καὶ λέγει εἰς τὸν μετανοήσαντα Μοναχόν:

— Εἶδες, ἀδελφέ μου; ὁ Θεὸς ἐδέχθη τὴν μετάνοιάν σου. Δι' αὐτὸ λοιπὸν ἀπ' ἐδῶ καὶ πέρα, πρόσεχε τὸν ἑαυτόν σου.

Βαύτατα συγκεκινημένος ὁ ἀδελφὸς ἀπήντησε πρὸς τὸν Γέροντα:

—Ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς, Πάτερ μου, θὰ παραμείνω κοντά σου καὶ δὲν θὰ φύγω, μέχρι ποὺ νὰ πεθάνω. Πράγματι ὁ Μοναχὸς παρέμεινε πλησίον τοῦ Γέροντος καὶ δὲν ἐχωρίσθησαν ποτέ.

5. Ἕνας Μοναχὸς ἐξωμολογήθη τὸν λογισμὸόν του εἰς ἕνα Γέροντα καὶ τοῦ εἶπε:

— Γέροντά μου, ὁ λογισμὸς μοῦ λέγει, ὅτι ἂν ἕνας Μοναχός, ποὺ ἔχει πολλὰ χρόνια εἰς τὴν ἄσκησιν, πέσῃ εἰς πειρασμόν, δηλαδὴ εἰς πορνείαν, μὲ περισσότερον κόπον καὶ δυσκολώτερον ἀνεγείρεται ἀπὸ τὴν θανάσιμον πτῶσιν τῆς ψυχῆς, ἐπειδὴ περιέπεσεν ἀπὸ τὴν προκοπὴν εἰς τὴν ἁμαρτίαν· ἀντιθέτως, αὐτὸς ποὺ τώρα κοντὰ ἦλθεν ἀπὸ τὸν κόσμον, ἐπειδὴ εὑρίσκεται ἀκόμη εἰς τὴν ἀρχήν, δὲν ὑφίσταται τόσον μεγάλην ζημίαν.

Ὁ Γέρων τότε τοῦ ἀπαντᾷ:

—Ὁ Μοναχός, ποὺ ἔπεσεν εἰς πειρασμόν, ὁμοιάζει μὲ σπίτι, ποὺ ἐγκρέμισε· τὸ σπίτι αὐτό, ὅταν ἀποφασίσῃ νὰ τὸ ξανακτίσῃ ὁ ἰδιοκτήτης του καὶ σκεφθῇ φρόνιμα, θὰ εὕρῃ ἀρκετὰ ὑλικὰ ἕτοιμα· δηλαδὴ τὰ χαντάκια τῶν θεμελίων, τὶς πέτρες, τὰ ξύλα, καὶ δι' αὐτὸν τὸν λόγον, ἐπειδὴ εὗρῆκε πρόχειρα τὰ ὑλικά, ἠμπορεῖ εὐκολώτερα καὶ γρηγορώτερα νὰ ἀνοικοδομήσῃ τὸ σπίτι. Ἐκεῖνος ὅμως, ποὺ ἀκόμη δὲν ἔχει σκάψει, διὰ νὰ βάλῃ θεμέλιον, καὶ δὲν ἔχει ἀκόμη προμηθευθῇ τὰ ἀπαραίτητα, ἀλλὰ μόλις τώρα ἤρχισε νὰ τὰ προμηθεύεται, μὲ τὴν ἐλπίδα, μήπως καὶ τελειώσῃ, ἀσφαλῶς θὰ δυσκολευθῇ.

Τὸ παράδειγμα αὐτό, κατὰ τὸ μέτρον τῆς ἀναλογίας, θὰ τὸ εὕρῃς νὰ ἐφαρμόζεται καὶ μεταξὺ τοῦ παλαιοῦ Μοναχοῦ καὶ τοῦ ἀρχαρίου Μοναχοῦ. Ὁ Μοναχὸς δηλαδή, ποὺ ἔχει πολλὰ ἔτη εἰς τὴν ἄσκησιν, ἐὰν θελήσῃ νὰ ἐπιστρέψῃ, μετὰ τὴν πτῶσιν του, θὰ εὕρῃ ἀρκετὴν βοήθειαν ἀπὸ τὴν συνήθειαν τῶν ἔργων τῆς μακρᾶς του ἀσκήσεως· τῆς μελέτης, τῆς ψαλμῳδίας, τοῦ ἐργοχείρου καὶ τῆς ὑπολοίπου Μοναχικῆς ἐργασίας, τὴν ὁποίαν, λόγῳ τοῦ μακροῦ χρόνου, συνήθισεν ἀκόπως νὰ ἐπιτελῇ. Δι' αὐτὸ καὶ ἠμπορεῖ γρήγορα - γρήγορα νὰ ἀνοικοδομήσῃ τὴν γκρεμισμένην, ἀπὸ τὴν ἁμαρτίαν, οἰκίαν τῆς ψυχῆς του.

Ἀντιθέτως ὁ ἀρχάριος, ποὺ μόλις τώρα ἤρχισε νὰ μανθάνῃ τὰ ἀναφερθέντα ἀνωτέρω καθήκοντα τοῦ Μοναχικοῦ βίου, καὶ νὰ ἐξασκῆται εἰς αὐτά, ἐὰν πέσῃ, ξανασηκώνεται πολὺ ἀργότερα, διότι συγχρόνως μὲ τὴν ἀνοικοδόμησιν, προμηθεύεται καὶ τὰ ὑλικά.

6. Εἰς μίαν πόλιν ἔζη ἕνας Ἐπίσκοπος. Κάποτε, ὁ Ἐπίσκοπος αὐτὸς ἀρρώστησε καὶ ἐφοβήθη ὅτι θὰ ἀποθάνῃ. Εἰς τὴν ἰδίαν πόλιν ἦτο καὶ ἕνα γυναικεῖον Μοναστήριον· μόλις λοιπὸν ἡ Ἡγουμένη ἐπληροφορήθη ὅτι εἶναι ἄρρωστος ὁ Ἐπίσκοπος καὶ ἔχει, μάλιστα, ἀπελπισθῇ, ἐπῆρε μαζί της δύο Μοναχὰς καὶ ἐπῆγε νὰ τὸν ἐπισκεφθῇ. Κατὰ τὸ διάστημα τῆς ἐπισκέψεως καὶ ἐνῷ συνωμίλει μὲ τὸν Ἐπίσκοπον ἡ

Ἡγουμένη, μία ἀπὸ τὰς Μοναχάς, ποὺ ἐκάθητο κοντὰ εἰς τὸ κρεββάτι τοῦ ἀρρώστου, ἤγγισεν ἐλαφρά, μὲ τὸ χέρι της, τὸ πόδι τοῦ Ἐπισκόπου, ἐπιθυμοῦσα νὰ ἀντιληφθῇ ἐὰν ἔχῃ πυρετόν.

Ὁ Ἐπίσκοπος ὅμως ἐπολεμήθη σαρκικῶς ἀπὸ τὸ πλησίασμα αὐτό· ὑπὸ τὴν ἐπήρειαν δὲ τοῦ πάθους, ὅταν ἐπρόκειτο νὰ ἀναχωρήσουν αἱ ἐπισκέπτριαι, λέγει πρὸς τὴν Ἡγουμένην:

— Σὲ παρακαλῶ, Γερόντισσα, ἐπειδὴ δὲν ἔχω κανένα νὰ μὲ ἐξυπηρετήσῃ, ἄφησέ μου αὐτὴν τὴν ἀδελφὴν νὰ μὲ ὑπηρετήσῃ, ἕως ὅτου νὰ ἀναρρώσω.

Ἡ Ἡγουμένη, χωρὶς νὰ σκεφθῇ τὸ πονηρόν, συνεφώνησεν εἰς τὴν παράκλησιν τοῦ Ἐπισκόπου καὶ ἄφησε τὴν ἀδελφήν, διὰ νὰ τὸν ὑπηρετῇ. Ὁ Ἐπίσκοπος ἐξυπηρετούμενος ἀπὸ τὴν Μοναχήν, μὲ τὴν ὁποίαν τὸν ἐπείραξεν ὁ λογισμός, ἐνισχύθη περισσότερον εἰς τὴν ἁμαρτωλήν του ἐπιθυμίαν ἀπὸ τὸν Διάβολον καὶ οὕτω συγκατετέθη εἰς τὴν ἐπίθεσιν τοῦ πονηροῦ λογισμοῦ. Κατόπιν ἔπεσε καὶ εἰς τὴν ἁμαρτίαν μὲ τὴν Μοναχήν, ἡ ὁποία συνέλαβε καὶ ἤρχισε νὰ κυοφορῇ μέσα της τὸν καρπὸν τῆς ἁμαρτίας.

Μετ' ὀλίγους μῆνας ἡ πρόοδος τῆς κυοφορίας της κατέστη ἐμφανὴς εἰς ὅσους τὴν ἔβλεπον. Οἱ δὲ κληρικοί, ἐπιζητοῦντες νὰ μάθουν τὸν ἔνοχον τῆς ἁμαρτίας τῆς Μοναχῆς, τὴν συνέλαβον καὶ τῆς εἶπον:

— Εἰπέ μας, ποῖος σὲ κατέστησεν ἔγκυον;

Ἡ Μοναχὴ ὅμως κατ' οὐδένα λόγον ἀπεκάλυπτε τὸν ἔνοχον τῆς ἁμαρτίας, δηλαδὴ τὸν Ἐπίσκοπον. Ἐνῷ δὲ ἐπίεζον τὴν Μοναχὴν νὰ ἀποκαλύψῃ τὸν ἔνοχον, ἔξαφνα ὁ Ἐπίσκοπος παρουσιάζεται καὶ λέγει:

—Ἀφήσατέ την· διότι ἐγὼ ἡμάρτησα μαζί της.

Μετὰ τὴν ἀποκάλυψιν αὐτὴν ἐσηκώθη ἀπὸ τὸ κρεββάτι, ὅπου παρέμενεν ἄρρωστος καὶ μετέβη κατ' εὐθεῖαν εἰς τὴν Ἐκκλησίαν. Ἐκεῖ, συντετριμμένος, ἀπέθεσε τὸ ὠμοφόριόν του ἐπάνω εἰς τὸ ἱερὸν θυσιαστήριον καὶ ἐξελθὼν τῆς Ἐκκλησίας ἐπῆρεν εἰς τὸ χέρι του μίαν ὁδοιπορικὴν ῥάβδον καὶ ἐξεκίνησε δι' ἕνα Μοναστήρι, εἰς τὸ ὁποῖον οὐδεὶς τὸν ἐγνώριζε ποῖος ἦτο. Ἐνῷ δὲ μετέβαινε πρὸς τὸ Μοναστήρι αὐτὸ ὁ Ἐπίσκοπος, ὁ Ἡγούμενος αὐτοῦ τοῦ Μοναστηρίου, ὡς διορατικὸς ὅπου ἦτο, ἔλαβεν ἀποκάλυψιν ἀπὸ τὸν Θεόν, ὅτι ἐντὸς ὀλίγου καταφθάνει ἕνας Ἐπίσκοπος. Καὶ καλέσας τὸν θυρωρόν, παρήγγειλεν εἰς αὐτὸν τὰ ἑξῆς:

— Πρόσεχε, ἀδελφέ, — τοῦ λέγει — διότι ἔρχεται εἰς τὸ Μοναστήρι μας ἕνας Ἐπίσκοπος· ἔχε λοιπὸν τὸν νοῦν σου, νὰ τὸν προϋπαντήσῃς ὅπως ἁρμόζει εἰς τὸ ἀξίωμά του. Ὁ θυρωρός, κατόπιν τῆς ἐντολῆς αὐτῆς, ἐπερίμενεν ὅτι ὁ Ἐπίσκοπος θὰ ἔλθῃ εἰς τὸ Μοναστήρι μὲ πολυτελῆ ἅμαξαν καὶ μὲ συνοδείαν, ὅπως συνήθως συμβαίνει εἰς Ἐπισκόπους. Δι' αὐτὸ καὶ δὲν ἔδωσε καμμίαν σημασίαν, ὅταν μίαν ἡμέραν κατέφθασεν εἰς τὸ Μοναστήρι ἕνας ταπεινὸς καὶ ἄσημος πεζοπόρος· δὲν ἐκατάλαβε ποῖος ἦτο ὁ ἐπισκέπτης καὶ μετέβη προηγουμένως εἰς τὸν προεστῶτα καὶ τὸ ἀνήγγειλεν.


Ὁ Ἡγούμενος ἀμέσως ἀντελήφθη ὅτι ὁ μοναχικὸς αὐτὸς καὶ ἄσημος ἐπισκέπτης ἦτο ὁ ἀναμενόμενος Ἐπίσκοπος καὶ ἐξῆλθεν ἀμέσως νὰ τὸν προϋπαντήση. Καθὼς δὲ τὸν ἠσπάζετο διὰ τοῦ ἐπιβαλλομένου σχήματος σεβασμοῦ πρὸς ἀξιωματοῦχον τῆς Ἐκκλησίας, τοῦ λέγει:

— Καλῶς ἦλθες εἰς τὸ Μοναστήρι μας, κύριε Ἐπίσκοπε.

Ὁ Ἐπίσκοπος ξαφνιάστηκε καὶ ἠπόρησε πῶς ἀνεγνωρίσθη ἀπὸ ἀνθρώπους, ποὺ τὸν ἀγνοοῦσαν τελείως. Ἀμέσως δὲ ἐσκέφθη νὰ ἀναχωρήση εἰς ἄλλο Μοναστήριον. Τότε ὁ Ἡγούμενος, ὁ ὁποῖος μὲ τὸ προορατικὸν χάρισμα ἐγνώριζε τὴν ἁμαρτίαν τοῦ Ἐπισκόπου, ἀλλὰ καὶ τὴν εἰλικρινῆ του πρόθεσιν νὰ μετανοήση, λέγει φιλαδέλφως πρὸς τὸν Ἐπίσκοπον:

—Ὅπου καὶ νὰ πᾶς ἔρχομαι καὶ ἐγὼ μαζί σου, διὰ νὰ καταστήσω γνωστὸν τὸ ἀξίωμά σου. Ἀφοῦ λοιπὸν τὸν παρηγόρησε μὲ στοργήν, τὸν ἔβαλε μέσα εἰς τὸ Μοναστήρι. Παρέμεινε δὲ ἀρκετὸν καιρὸν εἰς τὸ Μοναστήρι καὶ μετενόησε μὲ ὅλην του τὴν καρδίαν, κατορθώσας σπουδαῖα κατορθώματα ἀρετῆς.

Μετὰ ἀρκετὸν χρόνον ἀνεπαύθη ἐν εἰρήνῃ ὁ Ἐπίσκοπος καὶ ὁ Θεὸς συνώδευσε μὲ πολλὰ θαύματα τὸν θάνατόν του, διὰ νὰ ἀποδείξῃ εἰς τοὺς ἀνθρώπους τὴν γνησιότητα καὶ εἰλικρίνειαν τῆς μετανοίας του.





ΥΠΟΘΕΣΙΣ Β΄

Ὅτι δεῖ ἐν τῷ ἐνεστῶτι ποιεῖν τὸ καλὸν καὶ μὴ εἰς τὸ μέλλον ὑπερτίθεσθαι καὶ ὅτι μετὰ θάνατον οὐκ ἔστι διόρθωσις.

Πρέπει ἐνόσῳ εὑρισκόμεθα εἰς τὴν παροῦσαν ζωὴν νὰ κάμνωμεν τὸ καλὸν καὶ νὰ μὴ ἀναβάλλωμεν εἰς τὸ μέλλον. Μετὰ θάνατον δὲν ὑπάρχει διόρθωσις.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΑΔΕΛΦΟΣ ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· Ἀββᾶ, δύο ἄνθρωποι ἦσαν εἷς Μοναχὸς καὶ εἷς κοσμικός· ὁ Μοναχὸς ἐλογίσατο ὀψέ, ἵνα πρωῒ ρίψῃ τὸ σχῆμα· καὶ ὁ κοσμικὸς ἐλογίσατο ἵνα γένηται Μοναχός· ἀμφότεροι δὲ ἀπέθανον ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ οὐκ ἔφθασαν ἐπιτελέσαι· τί ἄρα λογίζεται αὐτοῖς; καὶ εἶπεν ὁ γέρων· ὁ Μοναχὸς ἀπέθανε Μοναχός, καὶ ὁ κοσμικὸς ἀπέθανε κοσμικός· ἐν ᾧ γὰρ εὑρέθησαν, ἀπῆλθον.

2. Εἶπε γέρων· αὕτη ἡ φωνὴ βοᾷ πρὸς τὸν ἄνθρωπον ἕως ἐσχάτης ἀναπνοῆς· ὅτι σ ή μ ε ρ ο ν ἐ π ί σ τ ρ ε ψ ο ν.

3. Εἶπε γέρων· ἡ γενεὰ αὕτη οὐ ζητεῖ τὸ σήμερον, ἀλλὰ τὸ αὔριον.

4. Ἔλεγον περί τινος γέροντος, ὅτι ὅτε ἔλεγον αὐτῷ οἱ λογισμοί· ἄφες σήμερον καὶ αὔριον μετανοεῖς, ἀντέλεγεν αὐτοῖς φάσκων· οὐχί· ἀλλὰ σήμερον μετανοήσω καὶ αὔριον τὸ θέλημα τοῦ Θεοῦ γενέσθω.

5. Εἶπε γέρων· πᾶσα πονηρία μὴ τετελεσμένη, οὐκ ἔστι πονηρία· καὶ πᾶσα δικαιοσύνη μὴ τελειωθεῖσα, οὐκ ἔστι δικαιοσύνη.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἠρώτησε τὸν Ἀββᾶν ποιμένα:

—Ἀββᾶ, τοῦ εἶπε· ἦσαν δύο ἄνθρωποι· ὁ ἕνας Μοναχὸς καὶ ὁ ἄλλος κοσμικός. Ὁ Μοναχὸς ἐσκέφθη τὴν νύκτα, τὴν ἄλλην ἡμέραν τὸ πρωῒ νὰ ἀποβάλῃ τὸ μοναχικὸν σχῆμα· καὶ ὁ κοσμικός, πάλιν, κατὰ τὴν ἰδίαν νύκτα, ἐσκέφθη νὰ γίνῃ Μοναχός.

Ἐν τῷ μεταξὺ τὴν ἰδίαν νύκτα ἀπέθανον καὶ οἱ δύο, χωρὶς νὰ πραγματοποιήσουν τὰς ἀποφάσεις των. Πῶς, ἄραγε, θὰ κριθοῦν αὐτοί; Καὶ ὁ Γέρων ἀπήντησεν εἰς αὐτὴν τὴν ἀπορίαν.

—Ἁπλούστατα· ὁ Μοναχὸς ἀπέθανεν ὡς μοναχὸς καὶ ὁ κοσμικὸς ὡς κοσμικός· διότι εἰς τὴν κατάστασιν ποὺ εὑρέθησαν κατὰ τὴν ὥραν τοῦ θανάτου, ἀπῆλθον ἐκ τοῦ κόσμου τούτου.

2. Ἕνας Γέρων εἶπε· μία εἶναι ἡ φωνὴ ποὺ πρέπει ἐπιμόνως νὰ βοᾷ εἰς τὰ αὐτιὰ τοῦ ἀνθρώπου· σήμερα νὰ ἐπιστρέψῃς.

3. Ἕνας ἄλλος Γέρων εἶπεν· αὐτὴ ἡ γενεὰ δὲν ζητεῖ τὸ σήμερον ἀλλὰ τὸ αὔριον (δηλαδὴ ἀναβάλλει τὰ ἔργα τῆς μετανοίας).

4. Διηγοῦνται δι' ἕνα Γέροντα, ὅτι ὅταν οἱ λογισμοί του τοῦ ἐψιθύριζαν· ἄφησε σήμερα καὶ αὔριον μετανοεῖς, τοὺς ἀντέκρουε λέγων· ὄχι, ἐγὼ θὰ μετανοήσω σήμερα καὶ αὔριον ἂς γίνῃ τὸ θέλημα τοῦ Θεοῦ.

5. Ἕνας ἄλλος Γέρων εἶπε· κάθε πονηρία, ποὺ δὲν ἔχει ἐκτελεσθῆ, δὲν θεωρεῖται πονηρία· ἀλλὰ καὶ κάθε δικαιοσύνη, ποὺ δὲν μετεβλήθη εἰς ἐναρέτους πράξεις, δὲν δύναται νὰ θεωρηθῇ ὡς δικαιοσύνη.

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΟΙ· καιρὸς μετανοίας ὁ ἐνεστώς ἐστι· μακάριος οὖν ὁ μηδ' ὅλως ἐμπεσὼν τῷ τοῦ ἐχθροῦ ἀμφιβλήστρῳ· εἰ δέ τις καὶ ἐμπεσὼν διέρρηξε τὰ δίκτυα αὐτοῦ, καὶ ἐξήλατο ἀποδράσας ἀπ' αὐτοῦ, ἐν ὅσῳ ἐν τῷ παρόντι βίῳ ἐστί, καὶ οὗτος ἐμοὶ μακάριος· ὅτι ζῶν ἔτι ἐν σαρκί, ἠδυνήθη ἐκφυγεῖν τὸν πόλεμον, ὥσπερ ἰχθὺς ἐκ σαγήνης διασωθείς· ὁ γὰρ ἰχθὺς ἐν τοῖς ὕδασιν ὑπάρχων, ἐὰν ἀγρευθεὶς διαρρήξῃ τὸ δίκτυον, καὶ ἑαυτὸν κατὰ τοῦ βυθοῦ ἐλάσῃ, σώζεται· ἐπὰν δὲ ἑλκυσθῇ ἐν τῇ ξηρᾷ, βοηθῆσαι ἑαυτῷ οὐ δύναται.

Οὕτω καὶ ἡμεῖς ἐφ' ὅσον ἐσμὲν ἐν τῷ παρόντι βίῳ, ἐξουσίαν καὶ δύναμιν ἐλάβομεν ἐκ Θεοῦ διαρρῆξαι ἀφ' ἑαυτῶν τὰ δεσμὰ τῶν θελημάτων τοῦ ἐχθροῦ καὶ ἀπορρίψαι τὸ φορτίον τῶν ἁμαρτιῶν διὰ τῆς μετανοίας, καὶ διασωθῆναι εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν· εἰ δὲ καταλάβοι ἡμᾶς τὸ πρόσταγμα τὸ φοβερὸν ἐκεῖνο καὶ ἡ ψυχὴ ἐξέλθοι τοῦ σώματος, καὶ τὸ σῶμα εἰσαχθῇ ἐν τῷ τάφῳ, οὐκέτι δυνάμεθα ἑαυτοῖς βοηθῆσαι· ὥς περ οὐδὲ ὁ ἰχθὺς τῶν ὑδάτων ἀνελκυσθείς, καὶ κατασφαλισθεὶς ἐν ἀγγείῳ.

2. Ἀδελφέ· μὴ εἴπῃς σήμερον ἁμαρτάνω, καὶ αὔριον μετανοῶ· οὐ γὰρ ἔχεις τὸ ἀσφαλές· περὶ τῆς αὔριον, τῷ Κυρίῳ μελήσει.

Ἑρμηνεία

6. ΑΔΕΛΦΟΙ ΜΟΥ, ὁ χρόνος ποὺ ἔχομεν εἰς τὴν διάθεσίν μας διὰ νὰ μετανοήσωμεν, εἶναι ἡ ἐπίγειος ζωή. Εὐτυχισμένος λοιπὸν καὶ καλότυχος αὐτὸς ποὺ δὲν ἔπεσε καθόλου εἰς τὰ δίκτυα τοῦ ἐχθροῦ. Ἂν ὅμως κάποιος, ποὺ ἐνεπλάκη εἰς τὰ δίκτυα τοῦ ἐχθροῦ, ἠδυνήθη νὰ καταστρέψῃ τὰ δίκτυά του καὶ νὰ δραπετεύσῃ ἀπὸ τὴν φοβερὰν αἰχμαλωσίαν τοῦ Διαβόλου, καὶ αὐτός, κατὰ τὴν γνώμην μου, πρέπει νὰ μακαρίζεται, διότι, καίτοι ἔζη μετὰ σαρκός, ἐν τούτοις ἐξέφυγε τὸν πόλεμον τοῦ ἐχθροῦ

τῆς ψυχῆς μας, ὅπως τὸ ψάρι ξεφεύγει ἀπὸ τὸ δίκτυ τοῦ ψαρᾶ. Διότι, ὡς γνωστόν, τὸ ψάρι ἐφ' ὅσον ὑπάρχει μέσα εἰς τὸ ὕδωρ, ἐὰν συλληφθῇ καὶ κατορθώση νὰ σχίση τὸ δίκτυον καὶ ὁρμήση πρὸς τὸν βυθόν, σώζεται· ὅταν ὅμως συρθῇ μὲ τὸ δίκτυ ἀπὸ τὸν ψαρᾶν εἰς τὴν ξηράν, τότε πλέον δὲν δύναται νὰ βοηθήση τὸν ἑαυτόν του.

Τὸ ἴδιον ἀκριβῶς συμβαίνει καὶ μὲ ἡμᾶς· ἐφ' ὅσον δηλαδὴ ζῶμεν εἰς τὴν παροῦσαν ζωήν, ἔχομεν λάβει ἀπὸ τὸν Θεὸν ἐξουσίαν καὶ δύναμιν νὰ σπάσωμεν μόνοι μας τὰ δεσμὰ τῶν πονηρῶν θελημάτων τοῦ ἐχθροῦ καὶ νὰ ἀπορρίψωμεν, διὰ τῆς μετανοίας, τὸ φορτίον τῶν ἁμαρτιῶν μας, σῳζόμενοι πλέον ἀσφαλῶς καὶ κληρονομοῦντες τὴν Βασιλείαν τῶν οὐρανῶν. Ἐὰν ὅμως μᾶς προλάβη τὸ φοβερὸν πρόσταγμα τοῦ θανάτου, καὶ φύγη ἡ ψυχή μας ἀπὸ τὸ σῶμα, καὶ καταβιβασθῇ τὸ σῶμα εἰς τὸν τάφον, τότε πλέον δὲν ἠμποροῦμεν νὰ βοηθήσωμεν τοὺς ἑαυτούς μας, ὅπως ἀκριβῶς καὶ τὸ ψάρι, ὅταν θὰ βγῆ ἀπὸ τὰ νερά, μετὰ τὴν σύλληψίν του ἀπὸ τὸν ψαρᾶν, καὶ ἀσφαλισθῇ καλῶς εἰς τὸ ἀγγεῖον, δὲν δύναται κατ' οὐδένα λόγον νὰ σωθῇ.


7. Ἀδελφέ μου, νὰ μὴ εἴπῃς εἰς τὸν ἑαυτόν σου, ὅτι σήμερα θὰ διαπράξω τὴν ἁμαρτίαν καὶ αὔριον θὰ μετανοήσω· διότι δὲν δύνασαι νὰ εἶσαι βέβαιος διὰ τὴν αὐριανὴν ἡμέραν· ἡ φροντὶς διὰ τὴν αὔριον ἀνήκει μόνον εἰς τὸν Θεόν.

Γ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

Ο ΕΠ' ΕΛΠΙΔΙ μετανοίας ὀλισθαίνων ἐκ δευτέρου, οὗτος μετὰ πανουργίας πορεύεται ἐνώπιον τοῦ Θεοῦ· τούτῳ ἀγνώστως ἐπιπίπτει ὁ θάνατος καὶ οὐ φθάνει τὸν καιρὸν τῆς ἐλπίδος αὐτοῦ.

Ἑρμηνεία

8. ΕΚΕΙΝΟΣ, ποὺ ἁμαρτάνει διὰ δευτέραν φοράν, μὲ τὴν ἐλπίδα, ὅτι θὰ μετανοήση, αὐτὸς πορεύεται ἐνώπιον τοῦ Θεοῦ μὲ τὸ φορτίον τῆς πανουργίας· εἰς αὐτὸν τὸν πανοῦργον ἐπέρχεται ὁ θάνατος ἐντελῶς ἀπροσδοκήτως, εἰς τελείως ἄγνωστον στιγμὴν καὶ ὥραν, καὶ δὲν κατορθώνει νὰ φθάση εἰς τὴν ἡμέραν, ποὺ ἤλπισε πὼς θὰ μετανοήση.





ΥΠΟΘΕΣΙΣ Γ΄

Περὶ τοῦ πῶς δεῖ μετανοεῖν.

Περὶ τοῦ πῶς πρέπει νὰ μετανοῶμεν.



Α΄. Τοῦ Ἀββᾶ Μάρκου



ΠΟΒΑΛΛΩΝ πόνον καὶ ἀτιμίαν μὴ ἐπαγγέλλου δι' ἑτέρων ἀρετῶν μετανοεῖν· κενοδοξία γὰρ καὶ ἀναλγησία δουλεύειν τῇ ἁμαρτίᾳ, καὶ διὰ δεξιῶν πεφύκασιν. Ἐάν τις πέσῃ εἰς οἵαν δήποτε ἁμαρτίαν καὶ μὴ λυπηθῇ κατὰ ἀναλογίαν τοῦ σφάλματος, εὐχερῶς πάλιν τῷ αὐτῷ περιπίπτει δικτύῳ.

Ἑ ρ μ η ν ε ί α

ΟΤΑΝ ἀποφεύγῃς τὰς θλίψεις καὶ τοὺς κόπους τῆς ἀσκήσεως καὶ τὰς καταφρονητικὰς ταπεινώσεις, μὴ ἐλπίζῃς ὅτι θὰ δυνηθῇς νὰ ἐπιτύχῃς τὸ ἔργον τῆς μετανοίας δι' ἄλλων ἀρετῶν· διότι ἡ κενοδοξία καὶ ἡ ἀποφυγὴ τῶν πόνων, καὶ ὅταν νομίζωμεν ὅτι μᾶς βοηθοῦν. εἰς τὴν πραγματικότητα ὑπηρετοῦν τὴν ἁμαρτίαν.

Ἐὰν ἕνας ἄνθρωπος πέσῃ εἰς οἱανδήποτε ἁμαρτίαν, καὶ δὲν λυπηθῇ ἀναλόγως τοῦ σφάλματος τὸ ὁποῖον διέπραξε, τότε εὐκόλως θὰ πέσῃ πάλιν εἰς τὸ ἴδιον δίκτυον.

Β΄. Τοῦ Ἀββᾶ Ἰσαὰκ τοῦ Σύρου

ΕΝ ΟΙΣ ἀπώλεσας τὸ ἀγαθόν, ἐν τούτοις πάλιν κτῆσαι αὐτό· χρυσὸν χρεωστεῖς τῷ Θεῷ; οὐ δέχεται ἐκ σοῦ μαργαρίτην· οἷον, τὴν σωφροσύνην ἀπώλεσας; οὐ δέχεται ἐλεημοσύνην ἐκ σοῦ ὁ Θεός, σοῦ ἐπιμένοντος τῇ πορνείᾳ· διότι τὸν ἁγιασμὸν τοῦ σώματος θέλει παρὰ σοῦ· ἐπεὶ παρέβης τὴν ἐντολήν, ὑπὸ τοῦ φθόνου νικώμενος· τί τῷ ὕπνῳ μάχῃ διαγρυπνήσας; καὶ τῇ νηστείᾳ πρόσκεισαι; οὐδέν σοι πρὸς

ἐκεῖνο τὸ πάθος ἔσται ἐκ τούτων ὄφελος· ἕκαστον γὰρ ἀρρώστημα ἐπί τε ψυχῆς καὶ σώματος, τοῖς οἰκείοις καὶ καταλλήλοις φαρμάκοις θεραπεύεται.

2. Δύο ἀδελφοὶ σαρκικοὶ ἀπετάξαντο, ὧν ὁ εἷς εἰς τὸ ὄρος τῶν Ἐλαιῶν καθήμενος, ἐν μιᾷ σφόδρα τῇ κατανύξει πυρωθεὶς τὴν καρδίαν, κατῆλθεν εἰς τὴν ἁγίαν πόλιν· καὶ προσελθὼν τῷ ἄρχοντι ἐξωμολογήσατο αὐτῷ τὰς ἁμαρτίας αὐτοῦ εἰπὼν αὐτῷ· κόλασόν με κατὰ τοὺς νόμους· ὁ δὲ ἄρχων θαυμάσας, διεκρίθη ἐν ἑαυτῷ καὶ λέγει τῷ ἀδελφῷ· ὄντως, ἄνθρωπε, ὅτι σὺ ἀφ' ἑαυτοῦ ἐξωμολογήσω, οὐ τολμῶ κρῖναί σε πρὸ τοῦ Θεοῦ· ἴσως γὰρ καὶ συνεχώρησέ σοι· καὶ ἀπελθὼν ὁ ἀδελφός, ἔβαλεν ἑαυτῷ σίδηρα εἰς τοὺς πόδας, καὶ εἰς τὸν τράχηλον, καὶ ἀπέκλεισεν ἑαυτὸν εἰς κελλίον· καὶ εἴ ποτε παρέβαλλέ τις καὶ ἠρώτα λέγων· τίς ἔβαλέ σοι, Ἀββᾶ, τὰ τοιαῦτα βαρύτατα σίδηρα; ἀπεκρίνετο· «ὁ ἄρχων».

Πρὸ οὖν μιᾶς ἡμέρας τῆς τελευτῆς αὐτοῦ, Ἀγγέλου παραστάντος αὐτῷ, ἔπεσον παραχρῆμα τὰ σίδηρα ἀπ' αὐτοῦ· εἶτα τῇ ἐπαύριον ἐλθόντος τοῦ διακονοῦντος αὐτῷ, καὶ ἐρωτήσαντος τίς ἔλυσε τὰ σίδηρα ἀπὸ σοῦ; ἀπεκρίθη ὁ ἀδελφός· ὁ λύσας τὰς ἁμαρτίας μου· ἐφάνη γάρ μοι προχθὲς λέγων· ἰδοὺ διὰ τὴν ὑπομονήν σου ἐλύθησαν πᾶσαι αἱ ἁμαρτίαι σου· καὶ ἥψατο τῷ δακτύλῳ αὐτοῦ τῶν σιδήρων, καὶ εὐθέως ἔπεσον ἀπ' ἐμοῦ· καὶ ταῦτα εἰπὼν ὁ ἀδελφός, παραχρῆμα ἐκοιμήθη.

3. Ἕτερος ἀδελφὸς ἐκάθητο κατὰ μόνας ἐν τῇ Μονῇ τῶν Μονιδίων καὶ ηὔχετο τὴν εὐχὴν ταύτην ἀεὶ πρὸς τὸν Θεόν· Κύριε, οὐ φοβοῦμαί σε, καὶ διὰ τοῦτο πέμψον μοι κεραυνόν, ἢ ἄλλην τινὰ τιμωρίαν, ἢ ἀσθένειαν, ἢ δαίμονα, ἵνα κἂν οὕτως ἔλθῃ εἰς φόβον ἡ πεπωρωμένη μου ψυχή· εἶτα παρακαλῶν ἔλεγε πάλιν· οἶδα ὅτι πολλὰ ἥμαρτον εἰς σέ, δέσποτα, καὶ ἀναρίθμητά εἰσι τὰ πταίσματά μου· διὸ καὶ οὐ τολμῶ εἰπεῖν ἵνα συγχωρήσῃς μοι· ἀλλ' εἰ ἐνδέχεται διὰ τοὺς οἰκτιρμούς σου, συγχώρησόν μοι· εἰ δὲ οὐκ ἐνδέχεται, παίδευσόν με ὧδε, καὶ ἐκεῖ μὴ κολάσῃς με· εἰ δὲ καὶ τοῦτο ἀδύνατον, ἀπόδος μοι ὧδε μέρος τῆς τιμωρίας, καὶ ἐκεῖ κουφοτέραν μοι τὴν κόλασιν ἔργασαι· μόνον ἄρξαι ἀπὸ τοῦ νῦν παιδεύειν με· πλὴν ἐν ἐλέει, καὶ μὴ τῷ θυμῷ σου, δέσποτα.

Οὕτως οὖν αὐτοῦ ἐπὶ ἐνιαυτὸν ὅλον μετανοοῦντος καὶ ταῦτα μετὰ δακρύων θερμῶς καὶ ὁλοψύχως ἱκετεύοντος ἔν τε νηστείᾳ, καὶ ἀγρυπνίᾳ, καὶ τῇ λοιπῇ κακουχίᾳ τό τε σῶμα καὶ τὴν ψυχὴν ἑαυτοῦ καταδαπανῶντος καὶ συντρίβοντος, ἐν μιᾷ καθημένου αὐτοῦ χαμαί, καὶ θρηνοῦντος συνήθως καὶ γοερὸν ἀνοιμώζοντος ἀπὸ τῆς πολλῆς ἀθυμίας, νυσταγμὸς ἐπῆλθεν αὐτῷ καὶ ὕπνωσε· καὶ ἰδοὺ παρίσταται αὐτῷ ὁ Χριστὸς λέγων ἱλαρᾷ τῇ φωνῇ· τί ἔχεις, ἄνθρωπε; τί οὕτω κλαίεις; ὁ δὲ γνωρίσας αὐτὸν ὅς τις ἐστὶν ἀποκρίνεται σύντρομος· ὅ τ ι ἔ π ε σ ο ν, Κ ύ ρ ι ε· ἔφη αὐτῷ ὁ φανείς· κ α ὶ ἐ γ ε ί ρ ο υ· ὁ δὲ λέγει· οὐ δύναμαι, δέσποτα, ἐὰν μὴ δώσῃς μοι χεῖρα· κἀκεῖνος ἐκτείνας τὴν χεῖρα, καὶ λαβόμενος αὐτοῦ, ἀνέστησεν αὐτόν.

Ὁ δὲ ἀναστάς, ἐπένθει σφοδρῶς· λέγει οὖν αὐτῷ πάλιν ὁ φανείς, ὁμοίως πραείᾳ καὶ ἱλαρᾷ τῇ φωνῇ· τί κλαίεις, ἄνθρωπε; τί λυπῇ; ἀπεκρίθη ὁ ἀδελφός· οὐ θέλεις, Κύριε, ἵνα κλαίω καὶ λυπῶμαι, ὅτι τοσαῦτα σὲ ἐλύπησα, ὁ τοσούτων ἀγαθῶν παρὰ σοῦ ἀπολαύσας; ὁ δὲ ἐκτείνας αὖθις τὴν χεῖρα αὐτοῦ, ἔθηκεν ἐπὶ τὴν κεφαλὴν τοῦ ἀδελφοῦ καὶ λέγει αὐτῷ· τοῦ λοιποῦ μὴ λυποῦ· ἐπεὶ γοῦν σὺ ἕνεκεν ἐμοῦ ἐλυπήθης, οὐκέτι ἐγὼ λυποῦμαι κατὰ σοῦ· εἰ γὰρ διὰ σὲ τὸ αἷμά μου δέδωκα, πόσῳ μᾶλλον καὶ τὴν συγχώρησιν δώσω καὶ σοί, καὶ πάσῃ τῇ γνησίως μετανοούσῃ ψυχῇ; ἐλθὼν

οὖν εἰς ἑαυτὸν ὁ ἀδελφὸς ἐκ τῆς ὀπτασίας, εὗρε τὴν καρδίαν ἑαυτοῦ πάσης χαρᾶς πεπληρωμένην· καὶ ἐπληροφορήθη ὅτι ἐποίησεν ὁ Θεὸς ἔλεος μετ᾽ αὐτοῦ· καὶ ἔμενε διὰ παντὸς ἐν πολλῇ ταπεινώσει εὐχαριστῶν αὐτῷ.

4. Εἶπε γέρων· ἐὰν πέσῃς εἰς ἁμαρτίαν καὶ ἐπιστρέψῃς ἐξ αὐτῆς καὶ ἄρξῃ εἰς λύπην καὶ μετάνοιαν, βλέπε μὴ παύσῃ λυπούμενος καὶ στενάζων πρὸς τὸν Κύριον, ἕως ἡμέρας θανάτου σου· ἐπεὶ πάλιν ταχὺ εἰς τὸν αὐτὸν βόθρον ἐμπίπτεις· ἡ γὰρ κατὰ Θεὸν λύπη, χαλινός ἐστι τῆς ψυχῆς, μὴ ἐῶν αὐτὴν πεσεῖν.

5. Ἔλεγεν ὁ Ἀββᾶς Δανιὴλ περὶ τοῦ Ἀββᾶ Ἀρσενίου· ὅτι οὐκ ἤλλασσε τὸ ὕδωρ εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ, εἰς ὃ τὰ βαΐα ἀπέβρεχεν, ἀλλ᾽ ἐλαττούμενον, προσετίθει μόνον· ἔπλεκε γὰρ τὴν σειράν, καὶ εἰργάζετο ἀεὶ ἕως ὥρας ἕκτης· τὸ δὲ ὕδωρ μὴ ἀλλασσόμενον, δυσωδίαν ἐποίει. Παρεκάλεσαν οὖν αὐτὸν οἱ παραβάλλοντες γέροντες εἰπεῖν αὐτοῖς τίνος χάριν οὐκ ἀλλάσσει τὸ ὕδωρ τῶν βαΐων, ἀλλὰ τῆς τοιαύτης δυσωδίας ἀνέχεται; καὶ ἀπεκρίθη αὐτοῖς ὁ γέρων· ἀντὶ τῶν θυμιαμάτων καὶ τῶν μύρων ὧν ἀπήλαυσα ἐν τῷ κόσμῳ, χρεία με ταύτης τῆς δυσωδίας ἀνέχεσθαι· οὕτω καὶ ἡμεῖς τὰ ἐναντία διὰ τῶν ἐναντίων ἰᾶσθαι σπουδάζωμεν· καὶ τὰς ἡδονὰς ὧν ἀπηλαύσαμεν, διὰ τῶν προσφυῶν κακουχιῶν ἀναιρεῖν ἐν γνώσει ἀγωνιζώμεθα.

6. Εἶπεν ὁ Ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης· ὅτι ἄνθρωπος στήκων εἰς μετάνοιαν, οὐ δέδεται εἰς ἐντολήν· ἤγουν ὁ γνησίως μετανοῶν, εἰ βούλεται καὶ ὑπὲρ τὴν ἐντολὴν ποιεῖν, οὐδὲν τὸ κωλῦον αὐτόν· ἐντολὴν δέ φησιν οὐ μίαν, ἀλλὰ πᾶσαν ἣν τὸ Ἅγιον Πνεῦμα ἐν τῇ Ἐκκλησίᾳ ἐθέσπισεν· ἅμα δὲ καὶ εἴ τινα παρὰ Πατρὸς εἰδικῶς ἐντολὴν ἔλαβεν.

7. Ἀδελφοὶ δύο πολεμηθέντες ὑπὸ τοῦ δαίμονος, ἀπῆλθον καὶ ἔλαβον γυναῖκας· ἔπειτα εἶπον πρὸς ἀλλήλους· τί ἐκερδήσαμεν ἀφέντες τὴν Ἀγγελικὴν τάξιν καὶ ἐλθόντες εἰς τὴν ἀκαθαρσίαν ταύτην, δι᾽ ἣν τελευταῖον μέλλομεν ἀπελθεῖν καὶ εἰς τὸ αἰώνιον πῦρ, καὶ εἰς τὰς ἀτελευτήτους κολάσεις; ὑποστρέψωμεν οὖν πάλιν εἰς τὴν ἔρημον καὶ μετανοήσωμεν. Καὶ ἐπανελθόντες, παρεκάλεσαν τοὺς Πατέρας δοῦναι αὐτοῖς ἐντολάς, ἐξομολογησάμενοι ἅπερ ἔπραξαν· ἐκέλευσαν οὖν οἱ γέροντες ἀποκλεισθῆναι αὐτοὺς ἐπὶ ἐνιαυτόν, καὶ δίδοσθαι τοῖς δύο ἐπίσης ἄρτον καὶ ὕδωρ μόνον· ἦσαν δὲ οἱ ἀδελφοὶ καὶ τῇ ἰδέᾳ ὅμοιοι.

Ὡς οὖν ἐπληρώθη ὁ τῆς μετανοίας καιρός, ἐξῆλθον· καὶ εἶδον αὐτοὺς οἱ Πατέρες· καὶ ἦν ὁ μὲν εἷς ὠχρὸς καὶ στυγνὸς καὶ κατατετηγμένος, ὁ δὲ ἕτερος φαιδρός τε καὶ εὐθαλής· καὶ ἐθαύμασαν πῶς καὶ τροφῆς τῆς αὐτῆς ἐπίσης μετέχοντες καὶ κατακεκλεισμένοι ὄντες ἀμφότεροι, οὕτω τῇ μορφῇ κατὰ πολὺ διέφερον· ἠρώτησαν οὖν τὸν στυγνὸν λέγοντες· τίς ἡ ἀδολεσχία ἣν μετὰ τῶν λογισμῶν ἠδολέσχεις ἐν τῷ κελλίῳ καθήμενος; ὁ δὲ ἔφη· τὰ κακὰ ἃ ἐποίησα, καὶ τὴν κόλασιν εἰς ἣν ἔμελλον ἀπελθεῖν ἐλογιζόμην διηνεκῶς· καὶ ἀπὸ τοῦ φόβου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου· ἠρώτησαν δὲ καὶ τὸν ἄλλον τί ἐνεθυμεῖτο ἐν τῷ κελλίῳ· καὶ ἀπεκρίθη· τῷ Θεῷ ηὐχαρίστουν, ὅτι οὐκ ἀφῆκέ με ἀποθανεῖν ἐν τῇ ἁμαρτίᾳ, ἀλλ᾽ ἐξείλετό με ἀπὸ τῆς ἀκαθαρσίας τοῦ κόσμου καὶ τῆς κολάσεως καὶ ἤγαγεν εἰς τὴν Ἀγγελικὴν ταύτην πολιτείαν· καὶ μνημονεύων τοῦ Θεοῦ, εὐφραινόμην· καὶ εἶπον οἱ γέροντες, ὅτι ἐπίσης ἡ μετάνοια τῶν δύο ἐστὶ πρὸς τὸν Θεόν.

Ἑρμηνεία

ΑΝΘΡΩΠΕ, μὲ τὰ μέσα ἕνεκα τῶν ὁποίων ἔχασες τὸ ἀγαθόν, μὲ αὐτὰ πρέπει νὰ τὸ ἐπανακτήσῃς· χρεωστεῖς χρυσὸν εἰς τὸν Θεόν; δὲν δέχεται ἀπὸ ἐσὲ μαργαρίτην. Δηλαδὴ ἔχασες τὴν σωφροσύνην; δὲν δέχεται ὁ Θεὸς τὴν ἐλεημοσύνην σου, ἐφ' ὅσον ἐξακολουθεῖς τὴν πορνείαν, διότι θέλει ἀπὸ ἐσὲ τὸν ἁγιασμὸν τοῦ σώματος, ἐπειδὴ παρέβης τὴν ἐντολὴν (διὰ τὴν καθαρότητα τοῦ σώματος) νικώμενος ἀπὸ τὸν φθόνον τοῦ διαβόλου. Διατί προσπαθεῖς νὰ νικήσῃς διὰ τῆς ἀγρυπνίας τὸν ὕπνον; καὶ νηστεύεις συνεχῶς; οὐδεμίαν ὠφέλειαν ἔχεις ἀπὸ αὐτὰ ἐναντίον ἐκείνου τοῦ πάθους, ἐφ' ὅσον ἐξακολουθεῖς νὰ δουλεύῃς εἰς αὐτό· διότι κάθε ἀρρώστια, εἴτε ψυχικὴ εἴτε σωματική, μόνον μὲ τὰ κατάλληλα δι' αὐτὴν φάρμακα θεραπεύεται.

2. Δύο ἀδελφοὶ σαρκικοὶ ἀπηρνήθησαν τὸν κόσμον, διὰ νὰ μονάσουν· ὁ ἕνας ἐξ αὐτῶν ἐγκατεστάθη καὶ ἐμόναζεν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. Μίαν ἡμέραν, ἡ καρδία του ἐπυρακτώθη, κυριολεκτικῶς, ἀπὸ σφοδρὰν κατάνυξιν· ἀμέσως λοιπὸν κατέβη εἰς τὴν Ἱερουσαλήμ, καὶ ἀφοῦ προσῆλθεν εἰς τὸν ἄρχοντα τῆς πόλεως ὡμολόγησεν εἰς αὐτὸν ὅλας τὰς ἁμαρτίας του· συγχρόνως παρεκάλεσε τὸν ἄρχοντα εἰπὼν πρὸς αὐτόν· τιμώρησόν με, ὅπως προστάζουν οἱ νόμοι. Ὁ ἄρχων ἐθαύμασε διὰ τὴν συντριβὴν καὶ μεταμέλειαν τοῦ ἐξομολογηθέντος, ἐσκέφθη ἐπ' ὀλίγον καὶ λέγει εἰς τὸν ἀδελφόν:

—Ἄνθρωπέ μου, ἐπειδὴ σὺ ἐξωμολογήθης μὲ τὴν θέλησίν σου, καὶ μετενόησες εἰλικρινῶς, δὲν τολμῶ νὰ σὲ κρίνω, πρὶν σὲ κρίνῃ ὁ Θεός· διότι ἴσως καὶ νὰ σὲ συνεχώρησε.

Κατόπιν αὐτοῦ ἀνεχώρησεν ὁ ἀδελφὸς καὶ ἔβαλε μόνος του εἰς τὸ σῶμα του σίδηρα, εἰς τὰ πόδια του καὶ εἰς τὸν λαιμόν του, καὶ αὐτοεφυλακίσθη εἰς τὸ κελλίον του. Ὅταν δὲ τὸν ἐπεσκέπτετο κανεὶς καὶ τὸν ἠρώτα· ποῖος, Ἀββᾶ, σοῦ ἔβαλεν αὐτὰ τὰ βαρύτατα σίδηρα; ἐκεῖνος ἀπαντοῦσε· «ὁ ἄρχων».

Μίαν ἡμέραν λοιπὸν πρὸ τοῦ θανάτου του ἦλθε κοντά του Ἄγγελος Κυρίου καὶ ἀμέσως ἔπεσαν τὰ σίδηρα ἀπ' ἐπάνω του. Τὴν ἑπομένην ἡμέραν, ὅταν εἰσῆλθεν εἰς τὸ δωμάτιον ὁ ὑποτακτικός του, ποὺ τὸν ἐξυπηρέτει, καὶ τὸν εἶδεν ἐλευθερωμένον ἀπὸ τὰ σίδηρα, τὸν ἠρώτησε μετά τινος καταπλήξεως.

— Ποῖος, Ἀββᾶ, ἔλυσε τὰ σίδερα ἀπὸ ἐπάνω σου;

—Ἐκεῖνος ποὺ συνεχώρησε τὰς ἁμαρτίας μου, ἀπήντησεν ὁ Μοναχὸς καὶ συνέχισεν· Προχθὲς παρουσιάσθη ἐνώπιόν μου Ἄγγελος Κυρίου καὶ μοῦ εἶπε· χάρις εἰς τὴν ὑπομονήν, ποὺ ἐπέδειξες, συνεχωρήθησαν ὅλαι αἱ ἁμαρτίαι σου· ἐν συνεχείᾳ δὲ ἤγγισε μὲ τὸ δάκτυλόν του τὰ σίδηρα καὶ ἀμέσως ἔπεσαν ἀπὸ ἐπάνω μου. Μόλις ἐξιστόρησε τὸ περιστατικὸν αὐτὸ ὁ Μοναχὸς ἀμέσως ἐκοιμήθη τὸν ὕπνον τῆς αἰωνιότητος.

3. Ἕνας ἄλλος ἀδελφὸς παρέμεινε μόνος του εἰς τὴν Μονὴν τῶν

Μονιδίων καὶ ἀνέπεμπε διαρκῶς πρὸς τὸν Θεὸν αὐτὴν τὴν εὐχήν· Κύριε, ἐπειδὴ δὲν ἔχω φόβον Θεοῦ, διὰ τοῦτο στεῖλε μου κεραυνόν, ἢ καμμίαν ἄλλην τιμωρίαν, ἢ ἀσθένειαν, ἢ δαίμονα, μήπως δι' αὐτῶν συνέλθῃ ἡ πεπωρωμένη ψυχή μου καὶ ἔλθῃ εἰς φόβον. Ἄλλοτε πάλιν παρακαλῶν τὸν Θεὸν ἔλεγεν· Γνωρίζω, Δέσποτά μου, ὅτι πολὺ ἡμάρτησα ἐνώπιόν Σου, καὶ τὰ πταίσματά μου εἶναι ἀναρίθμητα· δι' αὐτὸ καὶ δὲν τολμῶ νὰ σοῦ εἰπῶ νὰ μὲ συγχωρήσῃς· ἀλλ' ἐὰν εἶναι δυνατόν, χάρις εἰς τοὺς οἰκτιρμούς σου, συγχώρησόν με. Ἐὰν πάλιν εἶναι ἀδύνατον νὰ μὲ συγχωρήσῃς, τότε τιμώρησόν με ἐδῶ, καὶ ὄχι ἐκεῖ εἰς τὴν αἰώνιον κόλασιν. Ἐὰν δὲ καὶ αὐτὸ εἶναι ἀδύνατον, δῶσε μου εἰς τὴν παροῦσαν ζωὴν μέρος τῆς κολάσεως, ὥστε νὰ καταστῇ ἐλαφροτέρα ἡ κόλασίς μου εἰς τὴν ἄλλην ζωήν. Μόνον ἀπὸ τώρα ἄρχισε, Δέσποτά μου, νὰ μὲ τιμωρῇς, ὄχι ὅμως μὲ τὸν δίκαιον θυμόν σου καὶ τὴν ὀργήν, ἀλλὰ μὲ εὐσπλαγχνίαν καὶ ἐπιείκειαν.

Ἔτσι λοιπὸν ἐπέρασεν ἕνας ὁλόκληρος χρόνος· καθ' ὅλον αὐτὸ τὸ διάστημα ὁ Μοναχὸς δὲν ἔπαυσε νὰ ἐκτελῇ τὸ ἔργον τῆς μετανοίας, νὰ ἱκετεύῃ ὁλοψύχως καὶ μετὰ θερμῶν δακρύων τὸν Θεὸν νὰ τὸν συγχωρήσῃ, νὰ νηστεύῃ, νὰ ἀγρυπνῇ, νὰ ὑποβάλλῃ τὸ σῶμα του εἰς διαφόρους κακουχίας καὶ νὰ καταπονῇ τὴν ψυχήν του διὰ τῆς συντριβῆς.

Μίαν ἡμέραν, ἐνῷ ἐκάθητο κατὰ γῆς, καί, ὡς συνήθως, ἐθρήνει διὰ τὰς ἁμαρτίας του καὶ ὠδύρετο θλιβερῶς καὶ μεγαλοφώνως, ἐνύσταξεν ἀπὸ τὴν πολλὴν λύπην καὶ ἀπεκοιμήθη. Σχεδὸν ἀμέσως ἐμφανίζεται ἐνώπιόν του ὁ Χριστὸς καὶ τοῦ λέγει μὲ φωνήν, γεμάτην καλωσύνην καὶ στοργήν.

— Τί ἔχεις, ἄνθρωπε; Διατί κλαίεις τόσον ἀπαρηγόρητα;

Ὁ Μοναχὸς τὸν ἀνεγνώρισεν ἀμέσως ποῖος εἶναι καὶ ἔντρομος ἀπὸ τὸν φόβον καὶ τὸν σεβασμὸν τοῦ ἀπαντᾷ:

— Ἔπεσα, Κύριέ μου, ἀπήντησεν ἔντρομος ὁ Μοναχός.

— Σήκω λοιπόν, ἀπήντησεν ὁ φανεὶς Κύριος.

— Δὲν ἠμπορῶ, Δέσποτα, ἐὰν δὲν μοῦ δώσῃς τὸ χέρι σου.

Τότε ὁ Κύριος ἅπλωσε τὸ χέρι του, τὸν ἔπιασε καὶ τὸν ἐσήκωσε.

Ὅταν ἐσηκώθη ὁ Μοναχὸς καὶ ἐστάθη ἐνώπιον τοῦ ἀνεγείραντος αὐτὸν Κυρίου, ἤρχισε πάλιν νὰ κλαίῃ καὶ νὰ συγκλονίζεται ἀπὸ τὸ σφοδρὸν πένθος.

Λέγει λοιπὸν πάλιν εἰς αὐτὸν ὁ φανερωθεὶς εἰς τὸ ὅραμα Κύριος, μὲ φωνὴν ἥσυχον καὶ γλυκεῖαν.

— Διατί, κλαίεις, ἄνθρωπε; Διατί λυπεῖσαι;

Καὶ ὁ ἀδελφὸς ἀπαντᾷ πάλιν πρὸς τὸν Κύριον.

— Δὲν θέλεις, Κύριε, νὰ κλαίω καὶ νὰ λυποῦμαι, ἀφοῦ, ἂν καὶ ἀπήλαυσα τόσα καλὰ ἀπὸ σένα, ἐν τούτοις ἐγὼ τόσον πολὺ σὲ ἐλύπησα;

Μετὰ τοὺς λόγους αὐτοὺς ὁ Κύριος ἥπλωσε καὶ πάλιν τὸ χέρι Του καὶ τὸ ἀκούμβησεν ἐλαφρὰ ἐπάνω εἰς τὴν κεφαλὴν τοῦ Μοναχοῦ, λέγων πρὸς αὐτόν:

— Μὴ λυπεῖσαι πλέον· διότι ἀφοῦ δι' ἐμὲ ἐδοκίμασες τόσην λύπην,

ἐγὼ καθόλου δὲν θὰ λυποῦμαι ἐναντίον σου. Ἐὰν δὲ τὸ αἷμά μου ἔδωσα διὰ σέ, πόσον μᾶλλον καὶ τὴν συγχώρησιν θὰ προσφέρω καὶ εἰς σὲ καὶ εἰς κάθε ψυχήν, ποὺ μετανοεῖ εἰλικρινῶς διὰ τὰς ἁμαρτίας της;

Μόλις ὁ ἀδελφὸς συνῆλθεν ἀπὸ τὴν εὐεργετικὴν αὐτὴν ὀπτασίαν ᾐσθάνθη τὴν καρδίαν του γεμάτην ἀπὸ χαράν· ἡ δὲ συνείδησίς του τὸν ἐπληροφόρησεν, ὅτι ὁ Θεὸς τὸν εὐσπλαγχνίσθη. Κατὰ δὲ τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς του ἔζησε μὲ πολλὴν ταπείνωσιν εὐχαριστῶν τὸν Θεὸν διὰ τὴν συγχώρησιν τῶν ἁμαρτιῶν του.

4. Ἕνας Γέρων εἶπεν· ἐὰν πέσῃς εἰς μίαν ἁμαρτίαν καὶ ἐπιστρέψῃς ἀπὸ αὐτὴν καὶ ἀρχίσῃς νὰ λυπῆσαι καὶ νὰ μετανοῇς διὰ τὴν πτῶσιν, πρόσεξε νὰ μὴ παύσῃς νὰ λυπῆσαι καὶ νὰ ἀναστενάζῃς πρὸς τὸν Κύριον, μέχρι τοῦ θανάτου σου, ἐπειδὴ ὑπάρχει κίνδυνος γρήγορα πάλιν νὰ ξαναπέσῃς εἰς τὸν ἴδιον βόθρον. Ἡ κατὰ Θεὸν λύπη εἶναι χαλινὸς τῆς ψυχῆς, ποὺ δὲν τὴν ἀφήνει νὰ ξαναπέσῃ πάλιν.

5. Ὁ Ἀββᾶς Δανιὴλ διηγεῖτο διὰ τὸν Ἀββᾶν Ἀρσένιον, ὅτι τὸ νερὸν εἰς τὸ ὁποῖον ἔβρεχε τὰ κλαδιὰ τῶν φοινίκων, τὸ ἤλλαζε μίαν φορὰν τὸν χρόνον· μόνον δὲ ὅταν ἠλαττώνετο, προσέθετεν ὀλίγον. Ὡς γνωστὸν δὲ ἀπὸ τὰ φοινικόκλαδα αὐτὰ ἔπλεκε τὸ σχοινίον καὶ εἰργάζετο συνεχῶς μέχρι τῆς ἕκτης ὥρας! Καθ' ὅλον δὲ αὐτὸ τὸ διάστημα τῆς ἐργασίας ἡ δυσωδία ἀπὸ τὸ στάσιμον νερόν, ποὺ δὲν τὸ ἄλλαζεν, ἦτο ἀφόρητος. Οἱ πατέρες ποὺ προσήρχοντο εἰς τὸ κελλί του, διὰ νὰ τὸν ἐπισκεφθοῦν, τὸν παρεκάλεσαν νὰ τοὺς ἐξηγήσῃ, διατί δὲν ἀλλάσσει τὸ νερὸ τῶν φοινικοκλάδων, ἀλλ' ἀνέχεται τόσον ἀφόρητον δυσοσμίαν.

Εἰς αὐτὴν τὴν ἀπορίαν ὁ Ἀββᾶς Ἀρσένιος ἔδωσε τὴν ἑξῆς ἀπάντησιν:

— Μοῦ χρειάζεται νὰ ἀνέχωμαι αὐτὴν τὴν δυσοσμίαν, ἀντὶ τῶν θυμιαμάτων καὶ τῶν εὐωδιῶν, ποὺ ἀπήλαυσα εἰς τὴν κοσμικήν μου ζωήν.

Ἄς φροντίσωμεν λοιπὸν καὶ ἡμεῖς νὰ θεραπεύσωμεν τὰ πάθη μὲ τὰ ἀντίθετα πρὸς αὐτὰ πνευματικὰ φάρμακα. Ἄς ἀγωνισθῶμεν δὲ μὲ ἐπίγνωσιν νὰ σβήσωμεν τὰς ἀναμνήσεις τῶν ἡδονῶν, ποὺ ἀπηλαύσαμεν, μὲ τὰς ἀντιστοίχους πρὸς αὐτὰς κακουχίας.

6. Ὁ Ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης εἶπεν· ὅτι ὁ ἄνθρωπος ποὺ ἐκτελεῖ κανόνα μετανοίας, δὲν δεσμεύεται εἰς τὴν ἐντολήν· δηλαδὴ ἐκεῖνος, ποὺ μετανοεῖ εἰλικρινῶς, ἐὰν θέλῃ νὰ καταβάλῃ κόπους, μεγαλυτέρους καὶ ἀπὸ τὴν ἐντολήν, τίποτε δὲν τὸν ἐμποδίζει. Ὡς ἐντολὴν δὲ δὲν ἐννοεῖ μόνον μίαν, ἀλλὰ ὅλας ὅσας ἐθέσπισε τὸ Ἅγιον Πνεῦμα εἰς τὴν Ἐκκλησίαν· ὅπως ἐπίσης καὶ τὴν δοθεῖσαν εἰς αὐτὸν εἰδικὴν ἐντολὴν (κανόνα).

7. Δύο Μοναχοὶ ἐπολεμήθησαν ὑπὸ τοῦ δαίμονος τῆς πορνείας καὶ ἀναχωρήσαντες ἐκ τοῦ τόπου τῆς ἀσκήσεως μετέβησαν εἰς τὴν πόλιν καὶ ἔλαβον γυναῖκας. Μετὰ καιρὸν συνηντήθησαν καὶ ἔλεγον μεταξύ των:

— Τί ἐκερδίσαμεν ἐγκαταλείψαντες τὴν Ἀγγελικὴν τάξιν καὶ κυλισθέντες εἰς αὐτὴν τὴν ἀκαθαρσίαν τῶν ἡδονῶν, διὰ τὴν ὁποίαν πρόκει-

ται, εἰς τὸ τέλος, νὰ ἀπέλθωμεν εἰς τὸ αἰώνιον πῦρ καὶ νὰ ὑποστῶμεν τὰ ἀτελείωτα βασανιστήρια τῆς κολάσεως; Ἂς ἐπιστρέψωμεν πάλιν εἰς τὴν ἔρημον καὶ νὰ μετανοήσωμεν.

Πράγματι, ἐπανῆλθον εἰς τὴν ἔρημον, ἐξωμολογήθησαν τὰς ἁμαρτίας των καὶ παρεκάλεσαν τοὺς πατέρας νὰ τοὺς δώσουν κανόνα μετανοίας. Οἱ Γέροντες διέταξαν νὰ παραμείνουν κλεισμένοι, ἐπὶ ἓν ὁλόκληρον ἔτος, εἰς τὸ κελλίον των, καὶ νὰ δίδεται ὡς τροφὴ εἰς τοὺς Μοναχοὺς αὐτοὺς μόνον ψωμὶ καὶ νερό. Κατὰ σύμπτωσιν δὲ καὶ οἱ δύο Μοναχοὶ ἦσαν ὅμοιοι κατὰ τὴν μορφὴν τοῦ προσώπου των.

Ὅταν λοιπὸν συνεπληρώθη ὁ καιρὸς τῆς μετανοίας των, ἐξῆλθον ἀπὸ τὸ κελλίον καὶ τοὺς εἶδον οἱ Πατέρες. Περιέργως δέ, καίτοι ὡμοίαζον κατὰ τὴν μορφήν, ἔτρωγον τὸ ἴδιον φαγητὸν καὶ ἔζων ὑπὸ τὰς αὐτὰς συνθήκας, ἐν τούτοις ὁ μὲν ἕνας ἦτο ὠχρός, σκελετωμένος καὶ ἐξησθενημένος, ἐνῷ ὁ ἄλλος ἦτο ἀκμαῖος καὶ χαρούμενος. Καὶ ἐθαύμασαν οἱ Πατέρες πῶς ἐνῷ καὶ οἱ δύο ἔτρωγον τὴν ἰδίαν τροφὴν καὶ ἦσαν καὶ οἱ δύο κλεισμένοι, διέφερον τόσον πολὺ κατὰ τὴν μορφήν.

Ἠρώτησαν λοιπὸν τὸν σκελετωμένον:

— Ποία ἦτο ἡ μυστικὴ συνομιλία σου μὲ τοὺς λογισμούς σου, ὅταν παρέμεινες ἐπὶ ἓν ἔτος ἔγκλειστος εἰς τὸ κελλίον σου;

Ἐκεῖνος ἀπήντησεν:

—Ἐσκεπτόμην συνεχῶς τὰς ἁμαρτίας, τὰς ὁποίας διέπραξα καὶ τὴν κόλασιν εἰς τὴν ὁποίαν ἐπρόκειτο νὰ ἀπέλθω μετὰ θάνατον. Ἐκ τοῦ φόβου δὲ τῆς αἰωνίας τιμωρίας, ἐκόλλησε τὸ δέρμα μου εἰς τὰ ὀστᾶ μου (Ψαλμ. ρα', 6).

Ἠρώτησαν καὶ τὸν ἄλλον, τί ἐσκέπτετο ἐπὶ ἓν ἔτος κλεισμένος εἰς τὸ κελλίον.

—Ἐγὼ —ἀπήντησεν— εὐχαριστοῦσα τὸν Θεόν, διότι δὲν μὲ ἄφησε νὰ ἀποθάνω εἰς τὴν ἁμαρτίαν, ἀλλὰ μὲ ἔβγαλεν ἀπὸ τὴν ἀκαθαρσίαν τοῦ κόσμου καὶ τὴν κόλασιν καὶ μὲ ἔφερε καὶ πάλιν εἰς αὐτὴν ἐδῶ τὴν Ἀγγελικὴν πολιτείαν. Ἐνθυμούμενος δὲ διαρκῶς τὸν Θεὸν καὶ τὴν ἀγάπην Του, ἔχαιρον πνευματικῶς.

Μετὰ τὰς ἐξηγήσεις αὐτὰς εἶπον οἱ Γέροντες:

— Καὶ τῶν δύο Μοναχῶν ἡ μετάνοια ἔχει τὴν αὐτὴν ἀξίαν ἐνώπιον τοῦ Θεοῦ.





ΥΠΟΘΕΣΙΣ Δ'

Ὅτι τοῖς ἀσθενέσιν ἁρμόδιον τὸ κατὰ μικρὸν εἰς τὰ τῆς μετανοίας ἔργα ἐνάγεσθαι.

Ὅτι οἱ ἀσθενεῖς πρέπει νὰ ὁδηγοῦνται σιγὰ-σιγὰ εἰς τὰ ἔργα τῆς μετανοίας.



Α'. Ἐν τῷ Γεροντικῷ



ΔΕΛΦΟΣ ἐμπεσὼν εἰς πειρασμόν, ἤτοι εἰς ἁμαρτίαν, ἀπὸ τῆς θλίψεως ἀπώλεσε τὸν μοναχικὸν κανόνα· καὶ θέλων βαλεῖν ἀρχήν, ὑπὸ τῆς λύπης ἐνεποδίζετο λέγων ἐν ἑαυτῷ· πότε ἔχω εὑρεῖν ἐμαυτόν, ὥς περ ἤμην ποτέ; καὶ ὀλιγωρῶν, οὐκ ἴσχυεν ἄρξασθαι τοῦ μοναχικοῦ ἔργου· ἐλθὼν δὲ πρός τινα γέροντα, διηγήσατο αὐτῷ τὰ καθ᾽ ἑαυτόν· καὶ ἀκούσας ὁ γέρων τὰ τῆς θλίψεως αὐτοῦ, διηγήσατο αὐτῷ ὑπόδειγμα τοιοῦτον λέγων· ἄνθρωπός τις εἶχε χωρίον καὶ ἐξ ἀμελείας αὐτοῦ ἐχερσώθη· καὶ ἐπληρώθη θρύων καὶ ἀκανθῶν· ὕστερον δὲ ἔδοξεν αὐτῷ φιλοκαλεῖσθαι τοῦτο· καὶ λέγει τῷ υἱῷ αὐτοῦ· ὕπαγε, καθάρισον τὸ χωρίον· καὶ ἀπελθὼν ὁ υἱὸς αὐτοῦ καθαρίσαι αὐτό, θεωρήσας τὸ πλῆθος τῶν ἀκανθῶν, ὠλιγώρησε λέγων ἐν ἑαυτῷ· πότε ἔχω ὅλα ταῦτα ἀνασπάσαι καὶ καθαρίσαι τὰ ὧδε; καὶ ἀναπεσὼν ἐκοιμήθη, ἀφυπνισθεὶς δὲ πάλιν καὶ ἀπιδὼν εἰς τὸ πλῆθος τῶν ἀκανθῶν καὶ ἀκηδιάσας, ἔμεινε κείμενος κατὰ γῆς· καὶ ποτὲ μὲν καθεύδων, ποτὲ δὲ στρεφόμενος ἔνθεν κἀκεῖθεν ὡς θύρα ἐπὶ στρόφιγγα αὐτῆς κατὰ τὴν γραφήν, καὶ οὕτως ἀργῶς οὐκ ὀλίγας ἡμέρας ἠνάλωσεν.

Ἔρχεται οὖν μετὰ ταῦτα ὁ πατὴρ αὐτοῦ ἰδεῖν τί ἐποίησε· καὶ εὗρεν αὐτὸν μηδὲν ἐργασάμενον· καὶ εἶπεν αὐτῷ· τί ὅτι οὐδὲν εἰργάσω ἕως τοῦ νῦν; ὁ δὲ ἔφη· πάτερ, ὡς ἠρχόμην ἐργάσασθαι, βλέπων τὸ πλῆθος τῶν θρύων καὶ τῶν ἀκανθῶν, συνειχόμην καὶ ἀπὸ τῆς θλίψεως ἐτίθουν ἐμαυτὸν καὶ ἐκοιμώμην, διὸ καὶ οὐδὲν εἰργασάμην· καὶ λέγει αὐτῷ ὁ πατὴρ αὐτοῦ· τέκνον, ἴσον τοῦ πλάτους τοῦ στρώματός σου ποίει καθημέραν καὶ οὕτω προκόπτει τὸ ἔργον σου καὶ οὐκ ὀλιγωρεῖς· ὁ δὲ νεώτερος ἐποίησεν οὕτως· καὶ ἐν ὀλίγῳ χρόνῳ ἐκαθαρίσθη τὸ χωρίον. Οὕτως οὖν καὶ σύ, ἀδελφέ· κατ᾽ ὀλίγον ἐργάσου καὶ οὐκ ὀλιγωρεῖς· καὶ ὁ Θεὸς τῇ χάριτι αὐτοῦ πάλιν ἀποκαθιστᾷ σε εἰς τὴν ἀρχαίαν σου τάξιν· ὁ δὲ ἀδελφὸς ἀκούσας, καὶ καθίσας μεθ᾽ ὑπομονῆς, ἐποίει ὡς ἐδιδάχθη ὑπὸ τοῦ γέροντος· καὶ χάριτι Θεοῦ εὗρεν ἀνάπαυσιν.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ἀδελφὸς ἔπεσεν εἰς πειρασμόν, δηλαδὴ εἰς ἁμαρτίαν· τόσον δὲ μεγάλην θλῖψιν ἐδοκίμασεν, ὥστε ἐγκατέλειψε καὶ τὸν κανόνα τοῦ Μοναχοῦ. Καὶ ἐνῷ ἤθελε νὰ κάμῃ ἀρχὴν νὰ μετανοῇ, ἠμποδίζετο ἀπὸ τὴν λύπην καὶ ἔλεγεν εἰς τὸν ἑαυτόν του· πῶς θὰ ἠμπορέσω νὰ ἀνεύρω τὸν ἑαυτόν μου, ὅπως ἤμουν κάποτε; Ἀμελῶν δὲ καὶ διστάζων δὲν εἶχε τὴν δύναμιν νὰ ἀρχίσῃ τὸ μοναχικόν του ἔργον.

Ἐπεσκέφθη λοιπὸν ἕνα Γέροντα καὶ ἐξωμολογήθη εἰς αὐτὸν ὅσα τοῦ συνέβαινον.

Ὁ Γέρων, ἀφοῦ ἤκουσε μετὰ προσοχῆς τὰ ζητήματα, ποὺ τὸν ἔθλιβον, ἀντὶ ἀπαντήσεως τοῦ διηγήθη τὸ κατωτέρω παράδειγμα, ὑπὸ μορφὴν διδακτικῆς παραβολῆς: Ἕνας ἄνθρωπος —ἤρχισε νὰ λέγῃ— εἶχεν ἕνα ἀγρόν· ἀπὸ ἀμέλειάν του λοιπὸν ὁ ἀγρὸς αὐτὸς ἐχερσώθη καὶ ἐγέμισεν ἀπὸ ἄγρια χόρτα καὶ ἀγκάθια. Μετὰ καιρὸν ὁ ἄνθρωπος αὐτὸς ἐσκέφθη νὰ περιποιηθῇ τὸν ἀγρόν του καὶ νὰ τὸν καλλιεργήσῃ. Διέταξε λοιπὸν τὸν υἱόν του νὰ ὑπάγῃ νὰ καθαρίσῃ τὸν ἀγρόν. Πράγματι μετέβη ὁ υἱὸς νὰ καθαρίσῃ τὸν ἀγρόν· μόλις ὅμως τὸν εἶδε γεμᾶτον ἀγκάθια, ἀπεγοητεύθη καὶ εἶπε μέσα του· πότε θὰ ἠμπορέσω νὰ τὰ ξερριζώσω ὅλα αὐτὰ καὶ νὰ τὸν καθαρίσω; ἐξηπλώθη λοιπὸν καὶ ἀπεκοιμήθη.

Ἐξυπνήσας δὲ ἐπ' ὀλίγον καὶ ἀτενίσας πάλιν πρὸς τὸ πλῆθος τῶν ἀκανθῶν, ἐβαρύνθη καὶ ἔμεινεν ἐξαπλωμένος κατὰ γῆς. Καὶ ἄλλοτε μὲν κοιμώμενος, ἄλλοτε πάλιν στρέφων ἀπὸ τὴν μίαν πλευρὰν εἰς τὴν ἄλλην, ὅπως ἡ θύρα περιστρέφεται εἰς τὴν στρόφιγγά της, κατὰ τὴν παροιμίαν, «ὥσπερ θύρα στρέφεται ἐπὶ τοῦ στρόφιγγος, οὕτως ὀκνηρὸς ἐπὶ τῆς κλίνης αὐτοῦ. Κρύψας ὀκνηρὸς τὴν χεῖρα ἐν τῷ κόλπῳ αὐτοῦ, οὐ δυνήσεται ἐπενεγκεῖν ἐπὶ στόμα» (Παροιμ. κστ΄ 14—16) ἐπέρασεν ἀρκετὰς ἡμέρας χωρὶς ἐργασίαν καὶ μὲ ἀμέλειαν.

Ἐν τῷ μεταξὺ ἔρχεται καὶ ὁ πατήρ του, νὰ ἰδῇ τί ἔκαμεν εἰς τὸν ἀγρόν. Καθὼς λοιπὸν τὸν εὗρεν ἀργὸν καὶ ἀναποφάσιστον, τοῦ λέγει:

— Διατί, παιδί μου, δὲν ἔκανες τίποτε μέχρι τώρα;

Τὸ παιδὶ ἀπήντησεν:

— Πατέρα μου, καθὼς ἠρχόμην νὰ ἐργασθῶ, καὶ ἔβλεπα αὐτὸ τὸ πλῆθος ἀπὸ τὰ ἀγριόχορτα καὶ τὰ ἀγκάθια, ἔχανα τὴν ὄρεξίν μου πρὸς ἐργασίαν, καὶ ἀπὸ τὴν στενοχωρίαν μου ἐξήπλωνα καὶ ἐκοιμώμουν. Δι' αὐτὸ δὲν ἔκαμα τίποτε μέχρι σήμερα.


— Παιδί μου, μὴ στενοχωρεῖσαι, ἀπήντησεν ὁ πατέρας· νὰ ξεχερσώνῃς κάθε ἡμέραν ἔκτασιν ἴσην πρὸς τὸ πλάτος τοῦ στρώματός σου καὶ ἔτσι θὰ προχωρήσῃ ἡ ἐργασία σου καὶ δὲν θὰ σὲ καταπνίξῃ ἡ ἀμέλεια. Πράγματι ὁ υἱὸς ἐπραγματοποίησε τὴν συμβουλὴν τοῦ πατρὸς καὶ ἐντὸς ὀλίγου χρόνου ἐκαθαρίσθη ὁ ἀγρὸς ἀπὸ τὰ ἀγκάθια καὶ τὰ ἀγριόχορτα.

—Ἔτσι καὶ σύ, ἀδελφέ μου, ὀλίγον κατ' ὀλίγον νὰ ἐργάζεσαι καὶ δὲν κινδυνεύεις ἀπὸ ἀμέλειαν. Ὁ δὲ Θεὸς βλέπων τὴν ἐπιθυμίαν σου πρὸς ἐργασίαν θὰ σὲ ἀποκαταστήσῃ καὶ πάλιν, μὲ τὴν Χάριν Του, εἰς τὴν ἀρχαίαν σου τάξιν.

Ὁ Μοναχὸς ἤκουσε μετὰ προσοχῆς τὰς συστάσεις αὐτάς, ἐκάθισε μὲ ὑπομονὴν καὶ ἐφήρμοσε τὰς ὑποδείξεις τοῦ Γέροντος.

Πράγματι δὲ μὲ τὴν Χάριν τοῦ Θεοῦ εὗρε τὴν ἐπιζητουμένην ἀνάπαυσιν.





ΥΠΟΘΕΣΙΣ Ε΄

Ὅτι δεῖ ἀεὶ τοῦ θανάτου μεμνῆσθαι καὶ τῆς μελλούσης κρίσεως· οἱ γὰρ μὴ ταῦτα διηνεκῶς προσδοκῶντες καὶ λογιζόμενοι, ὑπὸ τῶν παθῶν ῥαδίως ἁλίσκονται.

Ὅτι πρέπει πάντοτε νὰ ἐνθυμούμεθα τὸν θάνατον καὶ τὴν μέλλουσαν κρίσιν· διότι ἐκεῖνοι ποὺ δὲν ἀναμένουν διαρκῶς τὸν θάνατον καὶ τὴν μέλλουσαν κρίσιν εὐκόλως κυριεύονται ἀπὸ τὰ πάθη.



Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀντωνίου


ΛΕΓΕΝ ὁ Ἅγιος Ἀντώνιος πρὸς τοὺς μαθητὰς αὐτοῦ· ὅτι εἰς τὸ μὴ ὀλιγωρεῖν ἡμᾶς καὶ ἐνδιδόναι τῆς ἀσκήσεως, καλὸν ἀεὶ μελετᾶν τὸ τοῦ Ἀποστόλου ῥητόν· τὸ καθημέραν ἀποθνήσκω· ἐὰν γὰρ καὶ ἡμεῖς ὡς θνήσκοντες καθημέραν οὕτω ζῶμεν, οὐχ ἁμαρτήσομεν· ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον· ἵνα ἐγειρόμενοι καθημέραν, νομίζωμεν μὴ ἐγείρεσθαι, ἀδήλου φύσει καὶ τῆς ζωῆς ἡμῶν οὔσης καὶ μετρουμένης καθημέραν παρὰ τῆς προνοίας.

Οὕτω δὲ διακείμενοι, οὔτε ἁμαρτήσομεν, οὔτε τινὸς ἐπιθυμίαν ἕξομεν οὔτε μηνιοῦμεν τινὶ οὔτε θησαυρίσομεν ἐπὶ γῆς· ἀλλ᾽ ὡς καθημέραν προσδοκῶντες ἀποθανεῖν, ἀκτήμονες ἐσόμεθα καὶ πάντα πᾶσι συγχωρήσομεν· ἀλλ᾽ οὐδὲ ἐπιθυμίας γυναικός, ἢ ἄλλης τινὸς ῥυπαρᾶς ἡδονῆς ἀπολαῦσαι θελήσομεν, ἀλλ᾽ ὡς παρερχομένην ἀποστραφησόμεθα, ἀγωνιῶντες ἀεὶ καὶ προβλέποντες τὴν ἡμέραν τῆς κρίσεως· ἀεὶ γὰρ ὁ μείζων φόβος καὶ ἀγὼν τῶν βασάνων, διαλύει τὸ λεῖον τῆς ἡδονῆς· καὶ τὴν ψυχὴν κλίνουσαν ἀνίστησιν.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ Ἀντώνιος ἔλεγε πρὸς τοὺς μαθητάς του· διὰ νὰ μὴ ἀμελῶμεν καὶ νὰ μὴ ὑποχωρῶμεν πρὸ τῆς ἀσκήσεως, εἶναι καλὸν νὰ μελετῶμεν πάντοτε τὸ ῥητὸν τοῦ Ἀποστόλου ποὺ λέγει, καθημερινῶς ἀποθνήσκω. Διότι ἐὰν καὶ ἡμεῖς διάγωμεν τὸν βίον ἡμῶν ὡς ἀποθνήσκοντες

καθημερινῶς, ἀσφαλῶς δὲν θὰ ἁμαρτήσωμεν. Αὐτὸ δὲ ποὺ σᾶς προτείνω, θὰ τὸ πραγματοποιήσωμεν κατὰ τὸν ἑξῆς τρόπον· κατὰ τὴν καθημερινήν μας ἀφύπνισιν ἐκ τοῦ ὕπνου, ἂς νομίζωμεν ὅτι δὲν ἠγέρθημεν ἐκ τῆς κλίνης καὶ ἀπεθάναμεν, ἐφ' ὅσον ἄλλωστε καὶ ἡ ζωὴ ἡμῶν, ἐκ φύσεως, εἶναι ἀγνώστου διαρκείας καὶ τέλους καὶ καθημερινῶς μετρεῖται ἀπὸ τὴν θείαν πρόνοιαν.

Ὅταν σκεπτώμεθα κατὰ τὸν τρόπον αὐτόν, οὔτε θὰ ἁμαρτήσωμεν, οὔτε τίποτε θὰ ἐπιθυμήσωμεν, οὔτε θὰ μνησικακοῦμεν ἐναντίον τῶν ἄλλων, οὔτε θὰ ἀποκτήσωμεν ὑλικοὺς θησαυροὺς ἐπάνω εἰς τὴν γῆν· ἀλλ' ὡς ἀναμένοντες καθημερινῶς τὸν θάνατον, θὰ γίνωμεν ἀκτήμονες καὶ θὰ συγχωρήσωμεν ὅλα τὰ σφάλματα εἰς τοὺς ἀδελφούς μας. Ἐπὶ πλέον οὔτε γυναῖκα θὰ ἐπιθυμήσωμεν, οὔτε θὰ θελήσωμεν νὰ ἀπολαύσωμεν καμμίαν ἄλλην ρυπαρὰν ἡδονήν, ἀλλὰ μετὰ βδελυγμίας θὰ τὰ ἀποστραφῶμεν ὅλα αὐτά, ὡς παρερχόμενα ταχύτατα, ζῶντες διαρκῶς μὲ τὴν ἀγωνίαν τοῦ θανάτου καὶ προβλέποντες πάντοτε τὴν ἡμέραν τῆς κρίσεως.

Διότι πάντοτε ὁ μεγαλύτερος φόβος τοῦ ἀπροσδοκήτου θανάτου καὶ ἡ ἀγωνία διὰ τὰ ἀναμενόμενα βάσανα ἐκ τῆς ἁμαρτίας, διαλύουν εὐκόλως τὸ ἀπατηλὸν τῆς ἡδονῆς καὶ ἀνεγείρουν τὴν ψυχήν, ὁσάκις παρεκκλίνει πρὸς τὸ κακόν.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος

Ο ΜΕΓΑΣ Ἰωάννης ὁ τῆς ἐν Ἀλεξανδρείᾳ Ἐκκλησίας Πατριάρχης, ἵνα τὴν τοῦ θανάτου μνήμην εἰς βάθος ἐγχαράξῃ τῇ ἑαυτοῦ διανοίᾳ, καὶ διὰ παντὸς αὐτῷ παρισταμένην ἔχῃ καὶ πρὸ ὀμμάτων, τί ποιεῖ; μνημεῖον αὐτῷ προστάττει διοικοδομηθῆναι· τούτῳ δὲ μὴ ἐπιτεθῆναι πέρας ἀλλ' ἡμιτελὲς οὕτω καταλειφθῆναι· εἶτα τοὺς ἐπὶ τῷ ἔργῳ τεταγμένους, ἐπειδ' ἂν ἐπίσημός τις ἑορτὴ εἴη, ἐπὶ πάντων ἐφισταμένους τῶν συνεδρευόντων, ἐν τῷ προφανεῖ λέγειν· τὸ μνῆμα τὸ σὸν ἄχρι σήμερον ἀτελές, δέσποτα· ἐπίτρεψον οὖν αὐτῷ πέρας λαβεῖν· ἄδηλον γὰρ ὁποίᾳ ὥρᾳ ὁ κλέπτης ἔπεισι θάνατος.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Ἰωάννης, ὁ Πατριάρχης τῆς Ἐκκλησίας τῆς Ἀλεξανδρείας, διὰ νὰ ἐγχαράξῃ βαθιὰ εἰς τὸ μυαλό του τὴν μνήμην τοῦ θανάτου καὶ νὰ τὴν βλέπῃ πάντοτε ζωηρῶς μὲ τὰ μάτια τῆς ψυχῆς του, τί κάνει; Διατάσσει νὰ κτίσουν τὸν τάφον του, νὰ μὴ τὸν τελειώσουν ὅμως, ἀλλὰ νὰ τὸν ἀφήσουν μισοτελειωμένον. Ἔπειτα δίδει ἐντολὴν εἰς αὐτούς, ποὺ ἠσχολοῦντο μὲ τὴν κατασκευὴν τοῦ τάφου του, ὁσάκις ἐπετελεῖτο ἐπίσημος ἑορτή, νὰ ἔρχωνται ἐμπρὸς εἰς ὅλους ποὺ συνήρχοντο διὰ τὴν ἑορτήν, καὶ νὰ τοῦ λέγουν δυνατά: Ὁ τάφος σου, Δέσποτα, εἶναι μισοτελειωμένος ἀκόμη· ἐπίτρεψέ μας λοιπὸν νὰ τὸν τελειώσωμεν, διότι εἶναι ἄγνωστον εἰς ποίαν ὥραν ἐπέρχεται, ὡς κλέπτης, ὁ θάνατος.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἀγάθων· χρὴ τὸν Μοναχὸν πᾶσαν ὥραν προσέχειν τῷ κριτηρίῳ τοῦ Θεοῦ.

2. Ἦν τις Ἀναχωρητὴς ἐν τοῖς μέρεσι τοῦ Ἰορδάνου, ἀγωνιζόμενος ἐπὶ ἔτη πολλά· ὃς ὑπὸ Θεοῦ σκεπόμενος, προσβολὰς ἐκ τοῦ ἐχθροῦ οὐκ ἐδέχετο, ἀλλὰ σχεδὸν ἀπολέμητος ἦν καὶ διὰ τοῦτο πρὸς πάντας τοὺς πρὸς αὐτὸν ἐρχομένους ὠφελείας χάριν, ἐξουθένει τὸν σατανᾶν καὶ λοιδορίαις ἔβαλλε λέγων· ὅτι οὐδέν ἐστι καὶ οὐ δύναταί τι πρὸς τοὺς ἀγωνιστάς, εἰ μὴ ὁμοίους αὐτοῦ εὕρῃ ῥυπαρούς, δεδουλωμένους πάντοτε τῇ ἁμαρτίᾳ, οὓς ἐκνευρίζει· ταῦτα δὲ ἔλεγε, μὴ αἰσθανόμενος τῆς ἄνωθεν χάριτος, ἣ τὸν σατανᾶν οὐ συνεχώρει αὐτῷ προσβαλεῖν.

Ἐγγίζοντος δὲ τοῦ τέλους αὐτοῦ κατὰ συγχώρησιν Θεοῦ, φαίνεται αὐτῷ ὁ διάβολος ὀφθαλμοφανῶς, καί φησι πρὸς αὐτόν· τί ἔχω πρὸς σέ, Ἀββᾶ; μή σοι τίποτε παρηνώχλησα; ὁ δὲ ἐμπτύσας αὐτῷ, τοῖς αὐτοῖς πάλιν ἐκέχρητο ῥήμασιν· ὕπαγε ὀπίσω μου, σατανᾶ· οὐδὲν γὰρ δύνῃ πρὸς τοὺς δούλους τοῦ Χριστοῦ· ὁ δὲ ἔφη· ναί, ναί· ἄλλα τεσσαράκοντα ἔτη ἔχεις ζῆσαι καὶ μίαν ὥραν εἰς τὰ τοσαῦτα ἔτη οὐχ εὑρήσω σκελίσαι σε; καὶ ταῦτα εἰπών, ἀφανὴς γέγονεν· ὁ δὲ Μοναχὸς ἤρξατο εὐθὺς λογισμοῖς παλαίειν· καὶ λέγει πρὸς ἑαυτόν· ἔχω τοσαῦτα ἔτη τρυχόμενος ὧδε καὶ ἀκμὴν ἄλλα τεσσαράκοντα ἔτη θέλει με ζῆσαι ὁ Θεός; λοιπὸν ἀπέρχομαι εἰς τὸν κόσμον, καὶ βλέπω τοὺς διαφέροντάς μοι· καὶ συγγίνομαι αὐτοῖς ἔτη τινά· καὶ πάλιν ὑποστρέφω καὶ ἔχομαι τῆς ἀσκήσεώς μου.

Ὡς οὖν ἔδοξε ταῦτα αὐτῷ, ἔργῳ ἐπλήρου· καὶ ἐξελθὼν τῆς κέλλης, εἴχετο τῆς ὁδοῦ· οὐ μακρὰν δὲ αὐτοῦ γενομένου, ὁ φιλάνθρωπος Θεὸς ἐλεήσας αὐτὸν καὶ μὴ θελήσας ἀπολεσθῆναι τοὺς κόπους αὐτοῦ, ἀπέστειλεν Ἄγγελον εἰς βοήθειαν αὐτοῦ· καὶ ὑπαντήσας αὐτῷ ὁ Ἄγγελος, φησὶ πρὸς αὐτόν· ποῦ πορεύει, Ἀββᾶ; ὁ δὲ ἔφη· ἐπὶ τὴν πόλιν· λέγει αὐτῷ ὁ Ἄγγελος· ὑπόστρεψον εἰς τὴν κέλλαν σου καὶ μηδέν σοι καὶ τῷ σατανᾷ· ἔχε δὲ ἑαυτὸν χλευασθέντα ὑπ' αὐτοῦ· ὁ δέ, εἰς ἑαυτὸν ἐλθών, ὑπέστρεψεν εἰς τὴν κέλλαν αὐτοῦ· καὶ ποιήσας τρεῖς ἡμέρας ἐτελειώθη.

3. Εἶπε γέρων· ὅτι ἐν τῷ ἐργάζεσθαι καταφέρω τὸν ἄτρακτον καὶ τιθῶ τὸν θάνατον πρὸ ὀφθαλμῶν μου, πρὸ τοῦ ἀνενέγκαι αὐτόν. Ὁ αὐτὸς εἶπεν· ἄνθρωπος ἔχων πρὸ ὀφθαλμῶν τὸν θάνατον πᾶσαν ὥραν, νικᾷ τὴν ὀλιγοψυχίαν.

4. Εἶπε γέρων· ἐν παντὶ ἔργῳ ὃ μέλλεις ποιεῖν, πάντοτε λέγε· ἐὰν ἐπισκέψηταί με ὁ Θεὸς νῦν, τί γίνεται; καὶ βλέπε τί ἀποκρίνεται ὁ λογισμός· καὶ ἐὰν κατακρίνῃ σε, ἄφες εὐθὺς καὶ ῥίψον τὸ ἔργον ὃ κρατεῖς· καὶ λάβε ἄλλο ἵνα θαρρῇς φθασθῆναι εἰς τὸ αὐτό· δεῖ γὰρ τὸν ἐργάτην ἐν πάσῃ ὥρᾳ ἕτοιμον εἶναι πορευθῆναι τὴν ὁδὸν αὐτοῦ, κἂν εἰς ἐργόχειρον κάθῃ κἂν ἐν ὁδῷ πορεύῃ· κἂν ἐσθίῃς, τοῦτο πάντοτε λέγε ἐν σεαυτῷ· ὅτι ἄρτι ἐὰν καλέσῃ ἡμᾶς ὁ Θεός, τί γίνεται; καὶ βλέπε τί ἀποκρίνεται ἡ συνείδησίς σου· καὶ τάχυνον ποιῆσαι, εἴ τι λέγει σοι.

Καὶ ἐὰν θέλῃς μαθεῖν εἰ ἐγένετο ἔλεος μετὰ σοῦ, ἐρώτησον τὴν συνείδησίν σου καὶ μὴ παύσῃ τοῦτο ποιῶν, ἕως οὗ πληροφορηθῇ ἡ καρδία σου καὶ ἡ συνείδησίς σου εἴπῃ σοι, ὅτι πιστεύομεν εἰς τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, ὅτι πάντως ποιεῖ μεθ' ἡμῶν ἔλεος· πρόσεχε δὲ τῇ καρδίᾳ σου μήπως ἀπὸ δισταγμοῦ λέγει τὸν λόγον· καὶ ἐὰν δυσπιστῇ ἕως τριχὸς μιᾶς, μακράν ἐστιν ἀπὸ σοῦ τὸ ἔλεος.

5. Ὁ Ἀββᾶς Ἀρσένιος, μέλλων τελευτᾶν, ὡς ἤδη ὥρα ἦν, εἶδον αὐτὸν οἱ ἀδελφοὶ κλαίοντα, καὶ λέγουσιν αὐτῷ· καὶ σὺ φοβῇ, Πάτερ; ὁ δὲ εἶπεν αὐτοῖς· ἐν ἀληθείᾳ ὁ φόβος ὁ νῦν ὢν μετ᾽ ἐμοῦ, οὐδέποτέ μου ἀπέστη ἀφ᾽ οὗ γέγονα Μοναχός· καὶ τοῦτο εἰπὼν ἐκοιμήθη.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἀγάθων εἶπεν, ὅτι ὁ Μοναχὸς πρέπει ἀνὰ πᾶσαν στιγμὴν νὰ ἔχῃ τὸν νοῦν του εἰς τὸ φοβερὸν κριτήριον τοῦ Θεοῦ, δηλαδὴ τὴν Δευτέραν τοῦ Χριστοῦ Παρουσίαν.

2. Εἰς τὰ μέρη τοῦ Ἰορδάνου ἔζη, κατὰ τοὺς χρόνους ἐκείνους, ἕνας Ἀναχωρητής, ὁ ὁποῖος ἐπὶ πολλὰ ἔτη ἠγωνίζετο. Οὗτος προστατευόμενος ἀπὸ τὴν σκέπην τοῦ Θεοῦ δὲν ἐθίγετο ἀπὸ τὰς προσβολὰς τοῦ ἐχθροῦ, ἀλλὰ παρέμενε σχεδὸν ἀνενόχλητος ἀπὸ τὸν πόλεμον τοῦ διαβόλου. Δι᾽ αὐτὸ ἐμπρὸς εἰς ἐκείνους ποὺ τὸν ἐπεσκέπτοντο, χάριν πνευματικῆς ὠφελείας, ἐπεριφρονοῦσε τὸν σατανᾶν καὶ τὸν εἰρωνεύετο λέγων εἰς τοὺς ἐπισκέπτας του· τίποτε δὲν εἶναι, οὔτε ἠμπορεῖ νὰ κάμῃ κάτι εἰς βάρος τῶν ἀγωνιστῶν, ἐκτὸς ἐὰν εὕρῃ ὁμοίους του εἰς ρυπαρότητα, ποὺ παραμένουν διαρκῶς δοῦλοι τῆς ἁμαρτίας· αὐτοὺς τότε τοὺς ἀδυνατίζει τελείως. Ὅλα αὐτὰ τὰ ἔλεγε βεβαίως, διότι δὲν ἀντελαμβάνετο τὴν εἰς αὐτὸν δωρεὰν τῆς Θείας Χάριτος, ἡ ὁποία δὲν ἐπέτρεπεν εἰς τὸν σατανᾶν νὰ τὸν πειράξῃ.

Ὅταν λοιπὸν ἐπλησίαζε τὸ τέλος του, ἐμφανίζεται ἐνώπιόν του, κατὰ παραχώρησιν Θεοῦ, ὀφθαλμοφανῶς ὁ διάβολος καὶ τοῦ λέγει:

— Τί σοῦ ἔχω κάνει, Ἀββᾶ; μήπως καθόλου σὲ ἠνώχλησα;

Ὁ Ἀναχωρητὴς τὸν ἔπτυσεν ἀμέσως εἰς τὸ πρόσωπον καὶ ἐπανέλαβε τὰ ἴδια εἰρωνικὰ λόγια· εἰς τὸ τέλος προσέθεσε:

— Πήγαινε ὀπίσω μου, σατανᾶ, διότι τίποτε δὲν μπορεῖς νὰ κάνῃς εἰς βάρος τῶν δούλων τοῦ Χριστοῦ.

— Καλὰ - καλά, ἀπήντησεν ἐκ δευτέρου ὁ σατανᾶς· μὴ λησμονῇς ὅμως, ὅτι ἔχεις νὰ ζήσῃς ἀκόμη ἄλλα σαράντα χρόνια· τί λέγεις λοιπόν· μέσα εἰς τόσα χρόνια δὲν θὰ εὕρω μίαν ὥραν, διὰ νὰ σὲ καταρρίψω;

Μετὰ τοὺς λόγους αὐτοὺς ἐξηφανίσθη ὁ σατανᾶς. Ἐν τῷ μεταξὺ ὅμως ἐνέσπειρεν εἰς τὴν διάνοιαν τοῦ Ἀναχωρητοῦ τὰ σπέρματα τοῦ κακοῦ. Οὕτως ὁ Ἀναχωρητὴς ἤρχισεν ἀμέσως νὰ παλαίῃ μὲ τοὺς λογισμούς του καὶ νὰ λέγῃ ἀπὸ μέσα του. Τόσα χρόνια ἔχω ποὺ ταλαιπωροῦμαι εἰς αὐτὴν τὴν ἔρημον· καὶ ἀκόμη ἄλλα σαράντα χρόνια ζωῆς μοῦ ἔχει ὁ Θεός; Θὰ ἀναχωρήσω λοιπὸν διὰ τὸν κόσμον, διὰ νὰ ἴδω τοὺς συγγενεῖς καὶ τοὺς γνωστούς μου· καὶ ἀφοῦ παραμείνω πλησίον των μερικὰ ἔτη, ἐπιστρέφω καὶ πάλιν εἰς αὐτὴν τὴν ἔρημον, διὰ νὰ συνεχίσω τὴν ἄσκησιν.

Ὅπως δὲ ἐσκέφθη, οὕτω καὶ ἐνήργησεν· ἀμέσως ἐβγῆκεν ἀπὸ τὸ κελλί του καὶ ἐβάδιζε πρὸς τὴν πόλιν. Ὡς τόσον ὅμως ὁ φιλάνθρωπος Θεὸς δὲν ἠθέλησε νὰ χαθοῦν οἱ κόποι του· οὕτω, πρὶν ἀκόμη ἀπομακρυνθῇ ἀπὸ τὸ κελλί του, ἔστειλεν ἕνα Ἄγγελόν Του, διὰ νὰ τὸν βοηθήσῃ. Ὅταν συνηντήθησαν, τοῦ λέγει ὁ Ἄγγελος:

— Ποῦ πηγαίνεις, Ἀββᾶ;

— Εἰς τὴν πόλιν, ἀπήντησεν ὁ Ἀναχωρητής.

— Ξαναγύρισε εἰς τὸ κελλί σου, ἐπανέλαβε πάλιν ὁ Ἄγγελος, καὶ εἰς τίποτε δὲν θὰ σὲ ξαναενοχλήσῃ πλέον ὁ σατανᾶς, ὁ ὁποῖος, ἔχε το ὑπ' ὄψιν σου, κατώρθωσε νὰ σὲ ἐμπαίξῃ.

Ὁ Ἀναχωρητὴς συνῆλθεν ἀπὸ τοὺς λόγους τοῦ Ἀγγέλου καὶ ἐπέστρεψεν εἰς τὸ κελλί του· ἀφοῦ δὲ ἔζησε τρεῖς ἡμέρας ἀκόμη, ἀνεπαύθη ἐν Κυρίῳ.

3. Ἕνας Γέρων Ἀσκητὴς εἶπεν ὅτι, καθὼς ἐργάζομαι καὶ κατεβάζω τὸ ἀδράχτι, πρὶν τὸ ἀνεβάσω, φέρνω ἐμπρὸς εἰς τὰ μάτια μου τὸν θάνατον. Ὁ ἴδιος πάλιν εἶπεν, ὅτι ὁ ἄνθρωπος, ὁ ὁποῖος κάθε στιγμὴν φέρνει στὸν νοῦν του τὸν θάνατον, θὰ κατορθώσῃ νὰ νικήσῃ τὴν ὀλιγοψυχίαν.

4. Ἕνας Γέρων ἔλεγεν, ὅτι σὲ κάθε ἔργον, ποὺ πρόκειται νὰ ἐπιτελέσῃ ὁ ἄνθρωπος, νὰ λέγῃ πρὸς τὸν ἑαυτόν του· ἐὰν αὐτὴν τὴν στιγμὴν μὲ ἐπισκεφθῇ ὁ Θεός, τί θὰ γίνῃ; Πρόσεξε τί θὰ σοῦ ἀπαντήσῃ ὁ λογισμός· ἐὰν σὲ κατακρίνῃ δι' αὐτὸ ποὺ σκέπτεσαι νὰ κάνῃς, νὰ τὸ ἀπορρίψῃς ἀμέσως καὶ νὰ ἀναλάβῃς τὴν πραγματοποίησιν ἄλλου, ὥστε μὲ θάρρος νὰ τὸ ὁλοκληρώσῃς. Διότι ὁ ἐργάτης τοῦ ἀγαθοῦ καὶ τῆς ἀρετῆς θὰ πρέπει ἀνὰ πᾶσαν στιγμὴν νὰ εἶναι ἕτοιμος νὰ πορευθῇ πρὸς τὴν ὁδὸν τῆς αἰωνιότητος, εἴτε κάθεται εἰς τὸ κελλί του καὶ ἐκτελεῖ τὸ ἐργόχειρόν του, εἴτε βαδίζει εἰς τὸν δρόμον. Δι' αὐτὸ καὶ σύ, εἴτε ἐργάζεσαι, εἴτε βαδίζεις, εἴτε τρώγεις, νὰ λέγῃς πάντοτε εἰς τὸν ἑαυτόν σου: Ἐὰν τώρα δὰ μᾶς καλέσῃ, ὦ ψυχή μου, ὁ Θεός, τί θὰ γίνῃ; Πρόσεξε δὲ τί θὰ σοῦ ἀπαντήσῃ ἡ συνείδησίς σου καὶ πραγματοποίησε γρήγορα αὐτὸ ποὺ θὰ σοῦ ὑποδείξῃ.

Καὶ ἐὰν θέλῃς καὶ πάλιν νὰ μάθῃς ἂν ἔγινεν ἔλεος εἰς σέ, ἐρώτησε καὶ πάλιν τὴν συνείδησίν σου καὶ μὴ σταματήσῃς νὰ τὴν ἐρωτᾷς, ἕως ὅτου ἡ καρδία σου δεχθῇ τὴν πληροφορίαν τῆς Χάριτος καὶ ἡ συνείδησίς σου σοῦ εἴπῃ: Πιστεύομεν εἰς τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, ὅτι ὁπωσδήποτε θὰ μᾶς ἐλεήσῃ. Πρόσεχε ὅμως τὰς κινήσεις τῆς καρδίας σου, μήπως ἡ συνείδησίς σου σοῦ λέγει τὸν λόγον μὲ κάποιον δισταγμόν. Ἐὰν δὲ ὑπάρχῃ καὶ μία τρίχα δυσπιστίας, ὅτι κατέστης ἄξιος τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ, τότε ἀσφαλῶς εὑρίσκεται πολὺ μακρὰν ἀπὸ σὲ τὸ ἔλεος τοῦ Θεοῦ.

5. Ὁ Ἀββᾶς Ἀρσένιος, ὅταν ἐπρόκειτο νὰ ἀποθάνῃ, μόλις ἐπλησίαζεν ἡ ὥρα τοῦ θανάτου, ἐδάκρυσε· καθὼς τὸν εἶδον οἱ ἀδελφοὶ καὶ πατέρες νὰ κλαίῃ, τοῦ λέγουν:

— Καὶ σύ, πάτερ, φοβεῖσαι, τὸν θάνατον;

— Εἰλικρινῶς σᾶς λέγω, ἀπήντησεν ἐκεῖνος, πὼς ὁ φόβος ποὺ αἰσθάνομαι τώρα, οὐδέποτε, ἀφ' ὅτου ἔγινα Μοναχός, μὲ ἐγκατέλειψε. Μόλις δὲ ἐτελείωσε τὰς λέξεις αὐτὰς ἐκοιμήθη.

Δ΄. Τοῦ Ἁγίου Ἐφραίμ

ΑΔΕΛΦΕ· προσδόκα καθεκάστην τὴν ἔξοδόν σου. Καὶ εὐτρεπίζου πρὸς τὴν πορείαν ἐκείνην· ἐν ᾗ γὰρ οὐ προσδοκᾷς ὥρᾳ τὸ φοβερὸν ἐλεύσεται πρόσταγμα· καὶ οὐαὶ τῷ εὑρεθέντι ἀνετοίμῳ. Ἐὰν δὲ ἧς νεώτερος, πολλάκις ὑποβάλλει σοι ὁ ἐχθρὸς λέγων· ἔτι νεώτερος εἶ, ἀπόλαβε τῶν ἡδονῶν σου, καὶ περὶ τὸ γῆράς σου μετανοεῖς· πόσους γὰρ οἶδας, καὶ τῶν ἐνταῦθα ἡδονῶν ἀπολαύσαντας, εἶτα μετανοήσαντας καὶ τῶν οὐρανίων ἐπιτυχόντας ἀγαθῶν; καὶ σὺ τί θέλεις ἀπὸ τοιαύτης ἡλικίας ἐκτρίβειν σου τὸ σῶμα, μή ποτε καὶ ἀσθενείᾳ περιπέσῃς; σὺ δὲ ἀντιστάς, εἰπὲ τῷ ἐχθρῷ· ὦ διῶκτα τῶν ψυχῶν καὶ πολέμιε· παῦσαι τοιαῦτα ὑποτιθέμενος· εἰ γὰρ καταληφθῶ ἐν τῇ νεότητί μου ὑπὸ τοῦ θανάτου, καὶ γηράσαι οὐ φθάσω, τί ἀπολογήσομαι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ; βλέπω γὰρ πολλοὺς νεωτέρους ἀποθνήσκοντας, καὶ πρεσβυτέρους μακροβιοῦντας· ἄδηλος γὰρ ἀνθρώποις ὁ τοῦ θανάτου ὅρος καθέστηκεν.

Εἰ οὖν προληφθῶ, δύναμαι εἰπεῖν τότε τῷ κριτῇ, ὅτι νεώτερος ὢν κατελήφθην, καὶ ἀπόλυσόν με, ἵνα μετανοήσω; οὐδαμῶς ἄλλως τε βλέπω πῶς ὁ Κύριος δοξάζει τοὺς ἐκ νεότητος δουλεύοντας αὐτῷ ἄχρι γήρως. Εἶπε γὰρ πρὸς Ἱερεμίαν τὸν Προφήτην· «ἐμνήσθην ἐλέους νεότητός σου καὶ ἀγάπης τελειώσεώς σου τοῦ ἐξακολουθεῖν σε ὀπίσω Ἁγίου Ἰσραήλ»... τὸν δὲ ἐξακολουθήσαντα ἐκ νεότητος ἄχρι γήρως τῷ τῆς πλάνης λογισμῷ, πῶς ἤλεγξεν ὁ Προφήτης εἰπὼν νέος καὶ αὐτὸς ὤν· πεπαλαιωμένε ἡμερῶν κακῶν, νῦν ἥκασιν αἱ ἁμαρτίαι σου ἃς ἐποίεις τὸ πρότερον· διὰ τοῦτο καὶ τὸ Πνεῦμα τὸ Ἅγιον μακαρίζει τοὺς αἴροντας ἐφ᾽ ἑαυτοῖς ἐκ νεότητος αὐτοῦ»... ἀπόστηθι οὖν ἀπ᾽ ἐμοῦ, ἐργάτα τῆς ἀνομίας καὶ πονηρὲ σύμβουλε. Κύριος ὁ Θεὸς καταργήσαι σου τὰ μηχανήματα κἀμὲ τῶν σῶν ἐπιβουλιῶν ἐξέλοιτο τῇ αὐτοῦ δυναστείᾳ καὶ χάριτι.

Ἔχε οὖν, ἀγαπητέ, κατὰ νοῦν ἀεὶ τὴν ἡμέραν τῆς τελευτῆς σου· ὅταν μέλλῃς κατακεῖσθαι ἐν τῷ ψιαθίῳ σου ψυχορραγῶν, οἴμοι! οἷος φόβος καὶ τρόμος περιέχει τὴν ψυχὴν ἐν ἐκείνῃ τῇ ὥρᾳ, καὶ μᾶλλον εἰ τὸ συνειδὸς ἔχῃ καταγινῶσκον. Εἰ μὲν ἀγαθόν τι πεποίηκεν ἐν τῷ βίῳ τούτῳ, ἤγουν ἐὰν θλῖψιν καὶ ὀνειδισμὸν ὑπήνεγκε διὰ τὸν Κύριον, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ἐποίησε, μετὰ χαρᾶς πολλῆς ἀνάγεται εἰς οὐρανοὺς ὑπὸ Ἁγίων Ἀγγέλων ὁδηγουμένη· καθάπερ γὰρ ἐργάτης μοχθῶν ἐργαζόμενος δι᾽ ὅλης τῆς ἡμέρας, προσδοκᾷ τὴν δωδεκάτην ὥραν, ἵνα μετὰ τὸν κάματον δεξάμενος τὸν μισθὸν αὐτοῦ ἀναψύξῃ, οὕτω καὶ αἱ ψυχαὶ τῶν δικαίων τὴν ἡμέραν ἐκείνην προσδέχονται.

Αἱ δὲ τῶν ἁμαρτωλῶν ψυχαὶ φόβῳ καὶ τρόμῳ πολλῷ συνέχονται ἐν ἐκείνῃ τῇ ὥρᾳ· ὥσπερ γὰρ κατάδικος συλληφθεὶς ὑπὸ ὑπηρετῶν, καὶ ἀπαγόμενος εἰς κριτήριον, ἀγωνιᾷ καὶ κλονεῖται πάντοθεν λογιζόμενος τὰς βασάνους, ἃς ὑποστήσεται, οὕτω καὶ αἱ ψυχαὶ τῶν ἀδίκων τρέμουσι δεινῶς ἐν τῇ ὥρᾳ ἐκείνῃ, ἀφορῶσαι εἰς τὴν ἀτελεύτητον βάσανον τοῦ αἰωνίου πυρός, καὶ τὰς λοιπὰς τιμωρίας τὰς ἀτελευτήτους καὶ ἀπεράντους· κἂν πρὸς τοὺς κατεπείγοντας λέγῃ, ἄφετέ με μετανοῆσαι μικρόν, οὐκ ἔχει τὸν εἰσακούοντα· μᾶλλον δὲ ἀποκρίνονται αὐτῷ· ὅτε εἶχες καιρὸν οὐ μετενόεις, καὶ ἄρτι ὑπισχνῇ μετανοῆσαι; ὅτε ἠνέῳκτο πᾶσι τὸ στάδιον οὐκ ἠγωνίσω, καὶ νῦν βούλει ἀγωνίσασθαι μετὰ τὸ κλεισθῆναι πάσας τὰς θύρας καὶ παρελθεῖν τὸν τοῦ ἀγῶνος καιρόν; οὐκ ἤκουσας τοῦ Κυρίου λέγοντος· «γρηγορεῖτε, ὅτι οὐκ οἴδατε τὴν ἡμέ-

ραν οὐδὲ τὴν ὥραν»; Ταῦτα καὶ τὰ τοιαῦτα προειδώς, ἀγαπητέ, ἀγωνίζου ὡς ἔτι ἔχεις καιρόν· καὶ τὴν λαμπάδα τῆς σῆς ψυχῆς ἄσβεστον τήρει ἀεὶ τῇ ἐργασίᾳ τῶν ἀρετῶν· ὅπως, ἐλθόντος τοῦ νυμφίου, ἕτοιμος εὑρεθείς, συνεισέλθῃς αὐτῷ εἰς τὴν οὐράνιον παστάδα μετὰ τῶν λοιπῶν παρθένων ψυχῶν τῶν ἀξίως πολιτευσαμένων αὐτοῦ.

Ἑρμηνεία

ΑΔΕΛΦΕ· Νὰ περιμένῃς καθημερινῶς τὸν θάνατόν σου. Καὶ νὰ ἑτοιμάζεσαι διὰ τὴν πορείαν ἐκείνην· διότι θὰ ἔλθῃ ἡ φοβερὰ διαταγὴ τοῦ θανάτου, εἰς ὥραν, κατὰ τὴν ὁποίαν δὲν θὰ τὸ περιμένῃς. Ἀλλοίμονον δὲ τότε εἰς σέ, ἐὰν θὰ εὑρεθῇς ἀνέτοιμος.

Ἂν δὲ συμβαίνῃ νὰ εἶσαι ἀκόμη νέος, τότε πολλάκις ὁ ἐχθρὸς θὰ βάλλῃ μέσα εἰς τὸν νοῦν σου: Τώρα εἶσαι ἀκόμη νέος· ἀπόλαυσε λοιπὸν τὰς ἡδονάς σου καὶ ἔχεις καιρόν, ὅταν θὰ γηράσῃς, νὰ μετανοήσῃς. Διότι, εἰπέ μου, σὲ παρακαλῶ, δὲν γνωρίζεις ἀρκετοὺς ποὺ ἠδυνήθησαν καὶ τὰς ἐπιγείους ἡδονὰς νὰ ἀπολαύσουν καὶ μετά, διὰ τῆς μετανοίας, νὰ ἐπιτύχουν καὶ τὰ ἐπουράνια ἀγαθά; Σὺ λοιπόν, διατί θέλεις ἀπὸ αὐτὴν τὴν ἡλικίαν νὰ καταστρέψῃς τὴν ὑγείαν σου καὶ τὸ σῶμα σου; ὑπάρχει δὲ καὶ κίνδυνος νὰ ἀρρωστήσῃς. Εἰς τὴν δολίαν αὐτὴν σύστασιν τοῦ ἐχθροῦ σὺ νὰ ἐναντιωθῇς καὶ νὰ εἴπῃς πρὸς αὐτόν· ὦ διῶκτα καὶ ἐχθρὲ τῆς ψυχῆς μας, παῦσε νὰ μὲ συμβουλεύῃς τέτοια πράγματα· διότι ἐὰν μὲ προλάβῃ ὁ θάνατος εἰς τὴν νεότητά μου καὶ δὲν προφθάσω νὰ γηράσω, τότε τί θὰ ἀπολογηθῶ ἐμπρὸς εἰς τὸ φοβερὸν βῆμα τοῦ Χριστοῦ; Καθημερινῶς δὲ βλέπω πολλοὺς νεωτέρους νὰ ἀποθνήσκουν καὶ πρεσβυτέρους νὰ ζοῦν εἰς βαθύτατον γῆρας. Τὸ πότε θὰ ἐξοφλήσῃ ὁ ἄνθρωπος τὸ κοινὸν χρέος τοῦ θανάτου εἶναι ἄγνωστον εἰς αὐτόν.

Ἐὰν λοιπὸν μὲ προλάβῃ ὁ θάνατος, θὰ εἶναι δυνατὸν νὰ εἴπω τότε εἰς τὸν φοβερὸν Κριτήν, ὅτι μὲ συνέλαβεν ὁ θάνατος, ἐνῷ εἶμαι ἀκόμη νέος, δι' αὐτό, σὲ παρακαλῶ, ἄφησέ με διὰ νὰ μετανοήσω;

Ἄλλωστε βλέπω ὅτι ὁ Κύριος δοξάζει αὐτούς, ποὺ δουλεύουν εἰς Αὐτὸν ἀπὸ τὴν νεότητά των μέχρι τῶν γηρατείων των. Διότι εἶπε πρὸς τὸν προφήτην Ἱερεμίαν· «Ἔλαβα ὑπ' ὄψιν μου τὴν εὐσπλαγχνίαν τῆς νεότητός Σου, καὶ τὴν ἀγάπην ποὺ εἶχες νὰ τελειοποιηθῇς, καὶ νὰ ἀκολουθήσῃς ὀπίσω ἀπὸ τὸν Ἅγιον τοῦ Ἰσραήλ». Ἐνῷ, ἀντιθέτως, ἐκεῖνον ποὺ ἐξηκολούθησεν ἀπὸ τὴν νεότητά του μέχρι τῶν γηρατείων του νὰ κατευθύνεται ἀπὸ πεπλανημένας καὶ ἀπατηλὰς σκέψεις, τὸν ἤλεγξεν αὐστηρότατα ὁ προφήτης, καίτοι ἦτο νέος, εἰπὼν πρὸς αὐτόν· σὺ ποὺ ἐγήρασες εἰς τὸ κακόν, τώρα ἔφθασαν αἱ ἁμαρτίαι σου, ποὺ διέπραξες προηγουμένως. Δι' αὐτὸ καὶ τὸ Ἅγιον Πνεῦμα μακαρίζει αὐτούς, ποὺ ἐσήκωσαν εἰς τὸν ὦμον, ἀπὸ τὴν νεότητά των, τὸν ζυγὸν τοῦ Χριστοῦ καὶ λέγει δι' αὐτούς· «Εἶναι καλὸν διὰ τὸν ἄνθρωπον, ὅταν θὰ σηκώσῃ τὸν ζυγὸν τῆς ἀρετῆς ἀπὸ τὴν νεότητά του» (Θρῆνοι Ἱερεμ. Γ', 27). Φύγε λοιπὸν ἀπὸ κοντά μου, πονηρὲ σύμβουλε καὶ ἐργάτα τῆς ἀνομίας. Εἴθε ὁ Κύριος καὶ Θεός μου νὰ διαλύσῃ τὰς μηχανορραφίας τῆς πονηρίας σου, καὶ νὰ ἐλευ-

θερώση καὶ ἐμένα, μὲ τὴν δύναμίν Του καὶ τὴν Χάριν Του, ἀπὸ τὰς ἐπιβουλάς σου.

Νὰ ἔχῃς λοιπόν, ἀγαπητέ μου, πάντοτε εἰς τὸν νοῦν σου τὴν ἡμέραν τοῦ θανάτου σου. Ὅταν πρόκειται νὰ πέσῃς εἰς τὴν ψάθαν σου, διὰ τελευταίαν φοράν, καὶ νὰ ψυχορραγῇς, ἀλλοίμονον! ποῖος φόβος καὶ τρόμος περισφίγγει τὴν ψυχὴν καὶ κατὰ τὴν ὥραν ἐκείνην, καὶ μάλιστα ἐὰν ἡ συνείδησις ἔχῃ λόγους νὰ κατηγορήσῃ τὸν ψυχορραγοῦντα ἄνθρωπον.

Ἐὰν ὁ ἄνθρωπος ἔχῃ κάνει κάτι καλὸν εἰς αὐτὴν τὴν πρόσκαιρον ζωήν, ἐὰν δηλαδὴ χάριν τοῦ Κυρίου ὑπέφερε καὶ στενοχωρίαν καὶ εἰρωνίαν, καὶ ἐξετέλεσεν ὅσα εἶναι εὐχάριστα εἰς Αὐτόν, τότε μὲ πολλὴν χαρὰν ὁδηγεῖται ἀπὸ τοὺς Ἁγίους Ἀγγέλους καὶ ἀνυψώνεται πρὸς τοὺς οὐρανούς. Ὅπως δὲ ὁ ἐργάτης, ποὺ κουράσθηκε νὰ ἐργάζεται ὅλην τὴν ἡμέραν, περιμένει μὲ χαρὰν τὴν δωδεκάτην ὥραν, διὰ νὰ πληρωθῇ μετὰ τὸν κόπον καὶ νὰ ἀνακουφισθῇ, ἔτσι ἀκριβῶς καὶ αἱ ψυχαὶ τῶν δικαίων ἀναμένουν ἐκείνην τὴν ἡμέραν.

Ἀντιθέτως δὲ αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν διακατέχονται ἀπὸ πολὺν φόβον καὶ τρέμουν κατ' ἐκείνην τὴν ὥραν· διότι, ὅπως ὁ κατάδικος ποὺ συνελήφθη ἀπὸ τὰ ὄργανα τῆς ἐξουσίας, ἀγωνιᾷ καὶ τρέμει, καθὼς ὁδηγεῖται εἰς τὸ δικαστήριον, ἐπειδὴ σκέπτεται τὰ βασανιστήρια, ποὺ θὰ ὑποστῇ, ἔτσι ἀκριβῶς φοβερὰ τρέμουν καὶ αἱ ψυχαὶ τῶν ἀδίκων, ἐκείνην τὴν ὥραν, προβλέπουσαι τὸ ἀτελεύτητον βασανιστήριον τοῦ αἰωνίου πυρός, ὅπως καὶ τὰς ὑπολοίπους καὶ ἀπεράντους τιμωρίας. Καὶ ἂν ἀκόμη λέγῃ πρὸς ἐκείνους ποὺ τὸν σύρουν βιαίως· ἀφήσατέ με νὰ μετανοήσω ὀλίγον, κανεὶς πλέον δὲν τοῦ δίδει προσοχήν. Μᾶλλον οἱ φοβεροὶ καὶ ἀδυσώπητοι συνοδοί του, θὰ τοῦ ἀπαντοῦν· ὅταν εἶχες εἰς τὴν διάθεσίν σου καιρόν, δὲν μετανοοῦσες καὶ τώρα ὑπόσχεσαι, ὅτι θὰ μετανοήσῃς; Ὅταν ἦτο δι' ὅλους τὸ στάδιον ἀνοικτόν, δὲν ἠγωνίζεσο τοὺς πνευματικοὺς ἀγῶνας, καὶ τώρα, ἀφοῦ ἔκλεισαν πλέον ὅλαι αἱ θύραι τοῦ σταδίου καὶ ἐπέρασεν ὁ καιρὸς τοῦ ἀγῶνος, σὺ τώρα θέλεις νὰ ἀγωνισθῇς; Δὲν ἤκουσες τί ἔλεγεν ὁ Κύριος, «νὰ εἶσθε πάντοτε εἰς ἐπιφυλακήν, διότι δὲν γνωρίζετε τὴν ἡμέραν, οὔτε τὴν ὥραν»; (Ματθ. ΚΔ΄, 42).

Αὐτὰ καὶ τὰ παρόμοια νὰ σκέπτεσαι, ἀγαπητέ μου, καὶ νὰ ἀγωνίζεσαι ἕως ὅτου ἔχεις καιρόν· νὰ διατηρῇς δὲ πάντοτε ἄσβεστον τὴν λαμπάδα τῆς ψυχῆς σου, διὰ τῆς ἐργασίας τῶν ἀρετῶν, ὥστε ὅταν θὰ ἔλθῃ ὁ Νυμφίος, νὰ εὑρεθῇς ἕτοιμος καὶ νὰ εἰσέλθῃς μαζὶ μὲ Αὐτὸν εἰς τὸν νυμφικὸν θάλαμον τῶν οὐρανῶν, μαζὶ μὲ τὰς ὑπολοίπους παρθένους ψυχάς, ποὺ ἐπολιτεύθησαν εἰς τὴν παροῦσαν ζωὴν σύμφωνα μὲ τὸ ἅγιον θέλημα Ἐκείνου.

Ε΄. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΤΡΙΑ εἰσὶ πράγματα ἃ δυσκόλως κτᾶται ὁ ἄνθρωπος· καὶ αὐτὰ φυλάττει πάσας τὰς ἀρετάς· τὸ πένθος· καὶ τὸ κλαίειν ἐπὶ ταῖς οἰκείαις ἁμαρτίαις· καὶ τὸ ἔχειν πρὸ ὀφθαλμῶν τὸν ἑαυτοῦ θάνατον· ὁ γὰρ λογιζόμενος καθημέραν, καὶ λέγων ἐν ἑαυ-

τῷ· ὅτι τὴν σήμερον ἔχω ποιῆσαι εἰς τὸν κόσμον, οὐδέποτε ἁμαρτήσει εἰς Θεόν· ὁ δὲ προσδοκῶν πολὺν χρόνον ζήσεσθαι, πολλαῖς ἁμαρτίαις συμπλακήσεται. Τοῦ ἑτοιμάζοντος ἑαυτὸν λόγον δοῦναι περὶ πάντων τῶν ἔργων αὐτοῦ τῷ Θεῷ, ὁ Θεὸς φροντίζει ἁγνίσαι πᾶσαν ὁδὸν αὐτοῦ ἀπὸ ἁμαρτίας. Ὁ δὲ καταφρονῶν καὶ λέγων· τέως φθάσω ἐκεῖ, παροικεῖ τοῖς πονηροῖς.

Πρὸ τοῦ τι ποιῆσαι ἔργον καθ᾽ ἑκάστην ἡμέραν, μνήσθητι ποῦ εἶ καὶ ποῦ ἔχεις ἀπελθεῖν ὅταν ἐξέλθῃς ἐκ τοῦ σώματος καὶ μὴ ἀμελήσῃς τῆς ψυχῆς σου μηδὲ μίαν ἡμέραν· πρόσεχε σεαυτῷ τοῦ πάντοτε μνημονεύειν καὶ πρὸ ὀφθαλμῶν ἔχειν τὸν θάνατον, καὶ τὰς αἰωνίους κολάσεις καὶ τοὺς ἐκεῖ βασανιζομένους καὶ ὀδυνωμένους· καὶ ὡς ἕνα ἐκείνων σεαυτὸν λογίζου μᾶλλον ἢ τῶν ζώντων.

Οὐαὶ ἡμῖν ὅτι μεταίρειν μέλλοντες ἐκ τῆς γῆς, ἧς παροικοῦμεν, πολυχρονίους τὰς περὶ τῶν γηΐνων καὶ φθαρτῶν πραγμάτων φροντίδας ποιούμεθα· καὶ ἐν καιρῷ τῆς ἀπαραιτήτου ἐνθένδε ἡμῶν ἀποδημίας, οὐδενὸς ἐξουσιάσαι καταξιούμεθα. Οὐαὶ ἡμῖν, ὅτι ὑπὲρ πάσης πράξεως τῆς ἐν τῇ ἐπιγείῳ ζωῇ, καὶ ἀργοῦ λόγου, καὶ πονηρῶν ἐνθυμήσεων καὶ ἀκαθάρτων καὶ ἐνθυμήσεων ψυχῆς, λόγον ὑφέξειν μέλλομεν τῷ φοβερῷ δικαστῇ καὶ ὡς ἀνεύθυνοι, ἐν ὅλῳ τῷ τῆς ζωῆς ἡμῶν χρόνῳ, ἀμεριμνοῦμεν τῶν ἡμετέρων ψυχῶν.

Διὰ τοῦτο ἐκδέχεται ἡμᾶς ἐκεῖ τὸ πῦρ τὸ ἄσβεστον τῆς γεέννης, καὶ τὸ σκότος τὸ ἐξώτερον· καὶ ὁ σκώληξ ὁ ἀκοίμητος· καὶ ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· καὶ ἐπὶ πάσης τῆς ἄνω καὶ κάτω κτίσεως αἰσχύνη αἰώνιος. Οὐαὶ ἡμῖν ὅτι φύλλων καὶ κονίδων, καὶ φθειρῶν, καὶ μυιῶν, καὶ κωνώπων, καὶ μελισσῶν τὰ κέντρα καὶ τὰς δήξεις οὐχ ὑπομένομεν, τοῦ δὲ νοητοῦ δράκοντος δάκνοντος ἡμᾶς καθεκάστην καὶ ὡς ἐν ροφήματι καταπίνοντος, καὶ τοῖς ἰοβόλοις τοῦ θανάτου κέντροις ἡμᾶς κατατιτρώσκοτος πάντοθεν, οὐ φροντίζομεν οὐδὲ φυγεῖν ἀπ᾽ αὐτοῦ θέλομεν· καὶ πῶς τὰς φοβερὰς κολάσεις καὶ ἀτελευτήτους ὑπενεγκεῖν δυνησόμεθα;

Ἑρμηνεία

ΤΡΙΑ ΠΡΑΓΜΑΤΑ εἶναι ποὺ ἀποκτᾷ δυσκόλως ὁ ἄνθρωπος· καὶ αὐτὰ τὰ τρία τὸν βοηθοῦν νὰ διατηρήσῃ εἰς τὴν ψυχήν του ὅλας τὰς ἀρετάς. Εἶναι δὲ αὐτὰ τὰ ἑξῆς: τὸ πένθος· καὶ τὰ δάκρυα διὰ τὰς ἁμαρτίας του· καὶ ἡ διαρκὴς ἐνθύμησις τοῦ θανάτου. Ἐκεῖνος ποὺ καθημερινῶς σκέπτεται τὸν θάνατον καὶ λέγει εἰς τὸν ἑαυτόν του, ὅτι μόνον σήμερον θὰ ζήσω εἰς τὸν μάταιον αὐτὸν κόσμον, ποτὲ δὲν θὰ ἁμαρτήσῃ ἐνώπιον τοῦ Θεοῦ. Ἀντιθέτως, αὐτὸς ποὺ ἐλπίζει πὼς θὰ ζήσῃ πολλὰ χρόνια, θὰ περιπέσῃ εἰς πολλὰς ἁμαρτίας. Ἐκεῖνον ποὺ ἔχει εἰς τὸν νοῦν του τὸ φοβερὸν Κριτήριον καὶ ἑτοιμάζεται νὰ λογοδοτήσῃ δι᾽ ὅλας τὰς πράξεις του ἐνώπιον τοῦ Θεοῦ, καὶ ὁ Θεὸς φροντίζει νὰ καθαρίζῃ τὸν δρόμον τῆς ζωῆς του ἀπὸ τὰς ἁμαρτίας. Ἐνῷ ἐκεῖνος ποὺ ἀδιαφορεῖ καὶ λέγει εἰς τὸν ἑαυτόν του, ἔχω καιρὸν μέχρις ὅτου νὰ φθάσω εἰς ἐκείνην τὴν ὥραν, συγκατοικεῖ μὲ τοὺς πονηρούς.

Πρὶν ἀρχίσῃς τὴν καθημερινήν σου ἐργασίαν, νὰ ἐνθυμῆσαι εἰς ποίαν ψυχικὴν κατάστασιν εὑρίσκεσαι, καὶ ποῦ πρόκειται νὰ μεταβῇς, ὅταν θὰ ἐξέλθῃς ἐκ τοῦ φθαρτοῦ καὶ προσκαίρου σώματος, καὶ μὴ ἀμε-

λήσῃς οὔτε μίαν ἡμέραν διὰ τὴν ψυχήν σου. Πρόσεχε συνεχῶς, ὥστε νὰ ἐνθυμῆσαι διαρκῶς τὸ τέλος σου καὶ νὰ ἔχῃς ἐμπρὸς εἰς τὰ μάτια σου τὸν θάνατον, τὴν αἰώνιον κόλασιν, καθὼς καὶ ἐκείνους ποὺ βασανίζονται καὶ ὑποφέρουν ἐκεῖ. Νὰ λογαριάζῃς δὲ τὸν ἑαυτόν σου ὄχι ὡς ζῶντα, ἀλλ' ὡς ἕνα ἐξ ἐκείνων ποὺ φλογίζονται εἰς τὴν αἰώνιον κόλασιν.

Ἀλλοίμονον εἰς ἡμᾶς, διότι ἐνῷ πρόκειται νὰ φύγωμεν ἀπὸ αὐτὸν τὸν κόσμον, εἰς τὸν ὁποῖον ὡς προσωρινοὶ καὶ πρόσκαιροι κατοικοῦμεν, δεσμευόμεθα μὲ πολυχρονίους φροντίδας διὰ γήϊνα καὶ φθαρτὰ πράγματα· ὅταν δὲ ἔλθῃ ἡ στιγμὴ τοῦ ἀπαραιτήτου καὶ χωρὶς ἐπιστροφὴν ταξειδίου μας ἀπὸ τὸν κόσμον αὐτόν, τότε δὲν θὰ ἠμπορέσωμεν οὔτε ἕνα πρᾶγμα, ἀπὸ ὅσα τόσον ἐφροντίσαμεν, νὰ ἐξουσιάσωμεν. Ἀλλοίμονον εἰς ἡμᾶς, διότι ἐνῷ εἶναι βέβαιον, ὅτι θὰ λογοδοτήσωμεν ἐνώπιον τοῦ φοβεροῦ Δικαστοῦ, δι' ὅλας τὰς πράξεις τῆς ἐπιγείου ζωῆς μας, δι' ἀργολογίαν, διὰ πονηροὺς καὶ ἀκαθάρτους λογισμοὺς τῆς ψυχῆς, ἐν τούτοις διερχόμεθα ὅλον τὸν χρόνον τῆς ζωῆς μας ὡς ἀνεύθυνοι καὶ ἀδιαφοροῦμεν διὰ τὰς ψυχάς μας.

Δι' αὐτὴν τὴν ἀδιαφορίαν μας μᾶς περιμένει ἐκεῖ τὸ ἄσβεστον πῦρ τῆς γεέννης καὶ τὸ πῦρ τὸ ἐξώτερον, ὁ ἀκοίμητος σκώληξ, ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων καί, πρὸ παντός, ἡ αἰώνιος ἐντροπὴ ἐνώπιον τῶν Ἀγγέλων καὶ τῶν ἀνθρώπων καὶ ὅλης τῆς κτίσεως.

Ἀλλοίμονον εἰς ἡμᾶς, διότι ἐνῷ δὲν ὑποφέρομεν τὰ κεντρίσματα καὶ τὰ δαγκώματα ἀπὸ ψύλλους, καὶ κόνιδας, καὶ ψείρας, καὶ μυίγας, καὶ κουνούπια, ἐν τούτοις ἀνεχόμεθα ἀδιαμαρτυρήτως νὰ μᾶς καταπληγώνῃ ἀπὸ παντοῦ καὶ νὰ μᾶς δαγκώνῃ ὁ νοητὸς δράκων, μὲ τὰ θανατηφόρα κεντρίσματα τοῦ θανάτου καὶ ὡς εἶδος ροφήματος νὰ μᾶς καταπίνῃ, χωρὶς νὰ φροντίζωμεν νὰ τὸν ἀποφύγωμεν καὶ νὰ θελήσωμεν νὰ ἀντιδράσωμεν εἰς τὰς ἐπιθέσεις του.

Πῶς ὅμως τότε, ἀφοῦ τώρα δὲν καταβάλλομεν καμμίαν προσπάθειαν διὰ τὴν σωτηρίαν μας, θὰ ἠμπορέσωμεν νὰ ὑποφέρωμεν τὰς φοβερὰς καὶ ἀτελευτήτους τιμωρίας;

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Εὐάγριος· μέμνησο διὰ παντὸς κρίσεως αἰωνίου· καὶ μὴ ἐπιλάθῃ σῆς ἐξόδου· καὶ οὐκ ἔσται πλημμέλεια τῇ ψυχῇ σου.

2. Εἶπε γέρων· καθεζόμενος ἐν τῷ κελλίῳ, συνάγαγέ σου τὸν νοῦν· καὶ μνήσθητι τῆς ἡμέρας τοῦ θανάτου σου· ἴδε τὴν τοῦ σώματος νέκρωσιν· ἐννόησον τὴν ὀδύνην τὴν ἐν τῷ χωρισμῷ τῆς ψυχῆς· κατάγνωθι τῆς ἐν τῷ κόσμῳ τούτῳ ματαιότητος· μνήσθητι τῶν ἐν τῷ ᾅδῃ κολάσεων, λόγισαι, πῶς ἄρά εἰσι νῦν ἐκεῖ αἱ ψυχαί· ἐν ποίᾳ πικροτάτῃ σιγῇ ἢ ἐν ποίῳ δεινοτάτῳ στεναγμῷ, ἐν ἡλίκῳ φόβῳ καὶ τρόμῳ, προσδοκῶσαι ἀεὶ τὴν ἄπαυστον ὀδύνην καὶ τὰς ἀνυποίστους κολάσεις τὰς ἐκδεχομένας αὐτάς.

Πρὸς τούτοις, ἀνατύπωσαι ἐν σεαυτῷ τὴν ἡμέραν τῆς ἀναστάσεως καὶ παραστάσεως ἐνώπιον τοῦ Βήματος τοῦ Χριστοῦ· ἔτι δὲ καὶ τὸ φοβερὸν καὶ φρικῶδες ἐκεῖ-

νο κριτήριον, ἐν ᾧ τοὺς μὲν ἁμαρτωλοὺς αἰσχύνη καλύψει αἰώνιος ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν Ἀγγέλων αὐτοῦ καὶ πάντων ἀνθρώπων τῶν ἀπ' ἀρχῆς μέχρι συντελείας· εἶτα τὴν αἰσχύνην αἱ ἀφόρητοι καὶ ἀπέραντοι τιμωρίαι εἰσδέξονται· τὸ πῦρ τῆς γεέννης τὸ ἄσβεστον· ὁ σκώληξ ὁ ἀτελεύτητος, ὁ τῶν ὀδόντων βρυγμός, τὸ ἐξώτερον σκότος, ὁ τάρταρος, καὶ λοιπαὶ ἀναρίθμητοι βάσανοι, αἳ τοῖς τοιούτοις ἀπόκεινται.

Οἱ δὲ δίκαιοι λάμψουσιν ὑπὲρ τὴν τοῦ ἡλίου λαμπρότητα· καὶ ἔσονται εἰς αἰῶνας συμβασιλεύοντες τῷ Χριστῷ καὶ τῆς ἀπορρήτου δόξης αὐτῷ συμμετέχοντες, μετὰ τῶν οὐρανίων ταγμάτων καὶ αὐτοὶ τὸν ἐπινίκιον ὕμνον ᾄδοντες· καὶ τῆς μακαρίας ἐκείνης διαγωγῆς, καὶ τῶν ἐν οὐρανοῖς ἀγαθῶν διηνεκῶς ἀπολαύοντες, μηκέτι τῆς ἀνεκφράστου χαρᾶς ἐκείνης καὶ τέρψεως στέρησίν τινα, ἢ διακοπὴν ὑποπτεύοντες· ἀπέδρα γάρ φησιν ἐκεῖθεν πᾶσα ὀδύνη, λύπη καὶ στεναγμός· ἀλλὰ γὰρ εὐφροσύνην αἰώνιον ἔχοντες, καὶ τὴν ἑορτὴν ἀκατάπαυστον, καὶ τὰ ὑπὲρ νοῦν ἀγαθὰ ἐν ἀσφαλείᾳ λοιπὸν κατέχοντες ἀκατάλυτα.

Ταῦτα λογίζου διηνεκῶς· ἐν τούτοις ἀπαύστως μελέτα· καὶ σπούδασον ὅση δύναμις, τὰ μὲν πρότερα κακὰ ἐκφυγεῖν τὰ τοῖς ἁμαρτωλοῖς ἀποκείμενα, τῶν δὲ δευτέρων ἐπιτυχεῖν ἀγαθῶν, ὧν τοῖς δικαίοις ἡτοίμασται· διαφεύξει δὲ καὶ τοὺς πονηροὺς λογισμοὺς εἰ ἐν τούτοις τὸν νοῦν ἔχῃς σχολάζοντα.

3. Εἶπεν ὁ Ἀββᾶς Ἠλίας· ἐγὼ τρία πράγματα φοβοῦμαι ἀεί· ὅταν μέλλῃ ἡ ψυχή μου χωρισθῆναι ἐκ τοῦ σώματος· καὶ ὅταν μέλλω τῷ Θεῷ ὑπαντῆσαι· καὶ ὅταν μέλλῃ ἡ ἀπόφασις ἐξελθεῖν κατ' ἐμοῦ.

4. Εἶπε γέρων· ὅτι εἰ ἐνδέχετο ἐν τῇ παρουσίᾳ Χριστοῦ μετὰ τὴν ἀνάστασιν ἐξελθεῖν πάλιν ἀπὸ τῶν σωμάτων τὰς ψυχὰς τῶν ἀνθρώπων, πᾶς ὁ κόσμος ἀπέθνησκεν ἂν ἀπὸ τοῦ φόβου καὶ τῆς φρίκης καὶ τῆς ἐκστάσεως· πῶς γάρ τις ἐνέγκοι ἰδεῖν οὐρανοὺς σχιζομένους, καὶ τὸν Θεὸν ἀποκαλυπτόμενον μετ' ὀργῆς καὶ ἀγανακτήσεως, καὶ τὰς ἀναριθμήτους στρατιὰς τῶν οὐρανίων δυνάμεων σὺν αὐτῷ κατιούσας καὶ πᾶσαν ἐπὶ τὸ αὐτὸ συναγομένην τὴν ἀνθρωπότητα; Ταῦτα οὖν ἀεὶ ἀναλογιζόμενοι, οὕτω ζῶμεν τοιούτῳ κριτῇ καὶ κριτηρίῳ φρικτῷ μέλλοντες παραστῆναι, καὶ λόγον δοῦναι τῶν βεβιωμένων ἡμῖν.

5. Ἀδελφὸς σπουδαῖος ἦλθεν ἀπὸ τῆς ξένης καὶ ἔμεινεν εἰς μικρὸν κελλίον ἐν τῷ Σινᾶ ὄρει· καὶ ὡς ἦλθε, τῇ πρώτῃ ἡμέρᾳ εὗρε μικρὸν ξύλον ἐπιγεγραμμένον ὑπὸ τοῦ ποτὲ μείναντος ἐκεῖ ἀδελφοῦ, οὕτως· «Μωϋσῆς Θεοδώρῳ πάρειμι καὶ μαρτυρῶ»· τοῦτο οὖν λαβών, ἐτίθει πρὸ ὀφθαλμῶν αὐτοῦ καθεκάστην, καὶ ὡς παρόντα τὸν γράψαντα ἠρώτα· ἆρα εἰς ποῖον κόσμον ἢ τόπον ὑπάρχεις, ποῦ ἐστιν ἡ χεὶρ ἡ ταῦτα γράψασα; καὶ οὕτω παρὰ πᾶσαν τὴν ἡμέραν ποιῶν καὶ τοῦ θανάτου μνημονεύων, διέμεινε θρηνῶν. Εἶχε δὲ ἐργόχειρον τὸ καλλιγραφεῖν· καὶ λαβὼν παρὰ τῶν ἀδελφῶν χαρτία καὶ ἐπιταγὴν γραφίμων, ἀπέθανε μηδενὶ μηδὲν γράψας· τοῦτο δὲ μόνον ἐπέγραφεν εἰς τὰ ἑκάστου χαρτία· συγχωρήσατέ μοι, κύριοί μου καὶ ἀδελφοί· ὅτι μικρὸν ἔργον εἶχον μετά τινος καὶ δι' ἐκεῖνο οὐκ ηὐκαίρησα ὑμῖν γράψαι.

6. Γέρων τις παρέβαλε τινὶ τῶν πατέρων καθημένῳ εἰς Ραϊθώ· καὶ λέγει αὐτῷ· Ἀββᾶ· ὅτε ἀπολύω τὸν μετ' ἐμοῦ ἀδελφὸν εἰς διακονίαν, θλίβομαι· μάλιστα εἰ βραδύνει· ἀπεκρίθη ἐκεῖνος· ἐγὼ ὅτε πέμπω διὰ χρείαν τὸν διακονητήν μου, κάθημαι πλησίον τῆς θύρας καὶ θεωρῶ· καὶ ὅτε λέγει μοι ὁ λογισμός, ἆρα πότε ἔρχεται ὁ ἀδελφός; λέγω κἀγὼ πρὸς τὸν λογισμόν· εἶτα ἐὰν προλάβῃ ἄλλος Ἀδελφός, καὶ

ἔλθῃ ἐπαίρων πρὸς τὸν Κύριον, τουτέστιν Ἄγγελος, τί γίνεται; καὶ οὕτω καθημέραν κάθημαι βλέπων τὴν θύραν, μεριμνῶν καὶ κλαίων μου τὰς ἁμαρτίας, καὶ λέγων· ἄρα ποῖος ἀδελφὸς προλαμβάνει καὶ ἔρχεται, ὁ κάτωθεν ἢ ὁ ἄνωθεν; καὶ κατανυγεὶς ὁ γέρων ἀνεχώρησε· καὶ τοῦ λοιποῦ ἐκράτησε τὴν ἐκείνου ἐργασίαν.

7. Γέρων τις ἐκάθητο εἰς Ραϊθῶ· καὶ εἶχεν ἐργασίαν τοιαύτην· καθήμενος ἀεὶ εἰς τὸ κελλίον αὐτοῦ, σύννους εἰς γῆν νενευκώς, καὶ τὴν κεφαλὴν αὐτοῦ διὰ παντὸς σείων, ἔλεγε μετὰ στεναγμοῦ· ἄρα τί γίνεται; καὶ ἐσιώπα βραχύ· καὶ πάλιν ἔλεγε τὸν αὐτὸν λόγον, ποιῶν ὁμοίως· ἅμα δὲ εἰργάζετο καὶ τὴν σειρὰν καὶ οὕτω διετέλεσε πάσας τὰς ἡμέρας αὐτοῦ φροντίζων περὶ τῆς ἐξόδου αὐτοῦ.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Εὐάγριος εἶπεν· νὰ ἐνθυμῆσαι πάντοτε τὴν αἰώνιον κρίσιν καὶ νὰ μὴ λησμονῇς ὅτι μίαν ἡμέραν θὰ ἀποθάνῃς· νὰ εἶσαι δὲ τότε βέβαιος, ὅτι δὲν θὰ ἁμαρτήσῃς.

2. Ἕνας Γέρων εἶπε· καθὼς κάθεσαι εἰς τὸ κελλί σου, φρόντιζε νὰ συγκεντρώνῃς τὸν νοῦν σου καὶ νὰ σκέπτεσαι τὴν ἡμέραν τοῦ θανάτου σου. Βλέπε ὅτι τὸ σῶμα χωρὶς τὴν ψυχὴν θὰ εἶναι νεκρὸν καὶ ἄχρηστον καὶ σκέψου τὴν ὀδύνην τοῦ χωρισμοῦ τῆς ψυχῆς ἀπὸ τὸ σῶμα. Πρόσεξε καλὰ τὴν ματαιότητα ποὺ βασιλεύει εἰς τὸν κόσμον αὐτὸν καὶ ἐνθυμήσου τὰς τιμωρίας τοῦ Ἅδου. Φέρε εἰς τὸν νοῦν σου πῶς ἄραγε εἶναι ἐκεῖ κάτω αἱ ψυχαὶ τῶν κολασμένων. Εἰς ποίαν πικροτάτην σιωπὴν εὑρίσκονται ἢ πόσον φοβερὰ καὶ ἀξιολύπητα στενάζουν, πόσον πολὺ φοβοῦνται καὶ τρέμουν ἀναμένουσαι διαρκῶς τὴν ἀσταμάτητον ὀδύνην καὶ τὴν τελειωτικὴν κρίσιν τῆς Δευτέρας Παρουσίας.

Ἐκτὸς ἀπὸ αὐτὰ ζωγράφισε μέσα σου τὴν ἡμέραν τῆς κοινῆς ἀναστάσεως, ὅταν ὅλοι θὰ παρουσιασθῶμεν ἐνώπιον τοῦ Βήματος τοῦ Χριστοῦ. Φέρε εἰς τὸν νοῦν σου τὴν εἰκόνα ἐκείνου τοῦ φοβεροῦ καὶ φρικτοῦ Κριτηρίου, ἐνώπιον τοῦ ὁποίου οἱ ἁμαρτωλοὶ θὰ δοκιμάσουν αἰώνιον ἐντροπὴν εὑρισκόμενοι πρὸ τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν Του Ἀγγέλων, ὡς καὶ ὅλων τῶν ἀνθρώπων ποὺ ἔζησαν ἀπὸ τὴν ἀρχὴν τοῦ κόσμου μέχρι τῆς συντελείας Του. Μετὰ τὴν ἐντροπὴν αὐτὴν θὰ ἐπακολουθήσουν αἱ ἀνυπόφοροι καὶ ἀσταμάτητοι τιμωρίαι τῆς κολάσεως, τὸ ἄσβεστον πῦρ τῆς γεέννης, ὁ παντοτεινὸς σκώληξ, ὁ βρυγμὸς τῶν ὀδόντων, τὸ σκότος τὸ ἐξώτερον, ὁ τάρταρος καὶ τὰ ὑπόλοιπα ἀναρίθμητα βασανιστήρια, ὅσα ἀναμένουν τοὺς ἁμαρτωλούς.

Φέρε, ἐπίσης, εἰς τὸν νοῦν σου τὴν εἰκόνα τῶν δικαίων, τῶν ὁποίων ἡ λαμπρότης θὰ νικᾷ καὶ αὐτὸν τὸν ἥλιον· σκέψου, πῶς οἱ δίκαιοι τότε θὰ συμβασιλεύουν αἰωνίως μετὰ τοῦ Χριστοῦ καὶ θὰ μετέχουν μαζί Του τῆς ὑπερτέρας παντὸς λόγου δόξης καὶ μαζὶ μὲ τὰ ἐπουράνια τάγματα θὰ ψάλλουν πρὸς τὸν Κύριον τῆς δόξης τὸν ἐπινίκιον ὕμνον. Οἱ εὐλογημένοι αὐτοὶ ἄνθρωποι, ποὺ εὐηρέστησαν διὰ τῶν πνευματικῶν των ἀγώνων ἐπάνω εἰς τὴν γῆν τὸν Κύριον, θὰ ἀπολαμβάνουν ἀτελευτήτως τῶν ἐπουρανίων ἀγαθῶν, θὰ ζοῦν τὴν τρισευτυχισμένην ἐκείνην ζωὴν καὶ δὲν θὰ φο-

βοῦνται καθόλου μήπως στερηθοῦν τὴν ἀνέκφραστον χαρὰν τῶν οὐρανῶν ἢ μήπως σταματήση ἡ πανευφρόσυνος ἀγαλλίασίς των. Διότι, ὅπως λέγει, ἀπὸ ἐκεῖ ἔφυγε κάθε πόνος, κάθε λύπη καὶ κάθε στεναγμός. Θὰ ἔχουν λοιπὸν οἱ δίκαιοι αἰώνιον τὴν εὐφροσύνην, ἀκατάπαυστον τὴν ἑορτὴν καὶ θὰ κατέχουν ἀσφαλισμένα τὰ ἀγαθὰ ἐκεῖνα, χωρὶς κανεὶς νὰ δύναται νὰ τοὺς τὰ πάρῃ.

Αὐτὰ νὰ σκέπτεσαι συνεχῶς· αὐτὰ ἀκατάπαυστα νὰ μελετᾷς καὶ φρόντισε, ὅσον ἠμπορεῖς, τὰς μὲν μετὰ θάνατον συμφορὰς τῶν ἁμαρτωλῶν, ποὺ ἀνέφερα προηγουμένως, νὰ ἀποφύγῃς, τὴν δὲ εὐτυχίαν καὶ τὰ ἀγαθά, ποὺ ἔχουν προετοιμασθῆ διὰ τοὺς δικαίους, νὰ τὰ ἀπολαύσῃς. Ὅταν εἰς αὐτὰς τὰς σκέψεις καὶ τὰς εἰκόνας κινεῖται ὁ νοῦς σου, τότε ἀσφαλῶς καὶ τοὺς πονηροὺς λογισμοὺς θὰ ἀποφύγῃς, ἐὰν ὁ νοῦς σου ἐνοχλῆται ἀπὸ αὐτούς.

3. Ὁ Ἀββᾶς Ἠλίας συνήθιζε νὰ λέγῃ· ἐγὼ τρία πράγματα φοβοῦμαι πάντοτε· τὴν στιγμὴν ποὺ πρόκειται ἡ ψυχή μου νὰ χωρισθῇ ἀπὸ τὸ σῶμα, τὴν στιγμὴν ποὺ θὰ συναντήσω τὸν Θεὸν ὡς Κριτήν, καὶ τὴν στιγμήν, ποὺ ὁ φοβερὸς Κριτής, θὰ ἐκδώσῃ τὴν καταδικαστικὴν δι' ἐμὲ ἀπόφασιν Αὐτοῦ.

4. Ἕνας Γέρων Ἀσκητὴς εἶπεν· ἐὰν ἦτο δυνατόν, μετὰ τὴν κοινὴν ἐκ νεκρῶν Ἀνάστασιν, κατὰ τὴν Δευτέραν Παρουσίαν, νὰ ἐξέλθουν καὶ πάλιν ἀπὸ τὰ σώματα αἱ ψυχαί, ἀσφαλῶς θὰ ἀπέθνησκον ὅλοι οἱ ἄνθρωποι ἀπὸ τὸν φόβον, τὴν φρίκην καὶ τὴν τρομερὰν κατάπληξιν. Διότι πῶς εἶναι δυνατὸν νὰ μὴ τρομάζῃ κανεὶς μέχρι θανάτου, ὅταν ἰδῇ νὰ σχίζωνται οἱ οὐρανοί, καὶ νὰ φανερώνεται ὠργισμένος καὶ ἀγανακτισμένος ὁ Θεός, ὅταν βλέπῃ τὰς ἀναριθμήτους στρατιὰς τῶν ἐπουρανίων δυνάμεων νὰ κατεβαίνουν μαζί Του καὶ νὰ συγκεντρώνεται ὁλόκληρος ἡ ἀνθρωπότης εἰς τὸ ἴδιον μέρος;

Αὐτὰ λοιπὸν ἂς σκεπτώμεθα πάντοτε καὶ ἂς ζῶμεν μὲ τὴν σκέψιν ὅτι εἰς Ἕνα τοιοῦτον Κριτὴν καὶ ἐνώπιον ἑνὸς τόσον φρικτοῦ Δικαστηρίου πρόκειται νὰ παρασταθῶμεν καὶ νὰ λογοδοτήσωμεν διὰ τὰς πράξεις μας.

5. Ἕνας εὐλαβέστατος καὶ ἐνάρετος Ἀδελφὸς ἦλθεν εἰς τὸ Ὄρος Σινᾶ* ἀπὸ μακρινὸν μέρος καὶ ἐγκατεστάθη εἰς ἕνα μικρὸν κελλίον.

Τὴν πρώτην ἡμέραν τῆς ἐγκαταστάσεώς του εὑρῆκεν ἕνα μικρὸν ξύλον ἐπάνω εἰς τὸ ὁποῖον εἶχεν ἀναγραφῆ ἀπὸ τὸν ἀδελφόν, ποὺ ἔμενε κά-

* Τὸ περιλάλητον ἐν τῇ θείᾳ Γραφῇ Ὄρος Σινᾶ ἐπὶ τοῦ ὁποίου ὁ Θεὸς ἔδωκε τὰς πλάκας τοῦ Νόμου εἰς τὸν Μωϋσῆν κεῖται ἐν τῷ Νοτίῳ τμήματι τῆς ὁμωνύμου χερσονήσου καὶ πρὸς τὴν πλευρὰν τοῦ κόλπου τῆς Ἀκάμπα. Ἡ χερσόνησος τοῦ Σινᾶ γεωγραφικῶς ἀνήκει εἰς τὴν Ἀσίαν καὶ εἶναι τμῆμα τῆς Πετραίας Ἀραβίας, πολιτικῶς δὲ ὑπόκειται εἰς τὴν Αἴγυπτον· ἀποτελεῖ δὲ ἡ χερσόνησος τοῦ Σινᾶ σύμπλεγμα ὀρέων τὸ ὑψηλότερον τῶν ὁποίων κεῖται εἰς τὸ κέντρον τοῦ νοτίου τμήματος αὐτῆς καὶ καλεῖται Ὄρος τῆς Ἁγίας Αἰκατερίνης. Τούτου τὸ ὕψος φθάνει τὰ 2641 μέτρα,

ποτε ἐκεῖ καὶ τώρα δὲν ὑπῆρχε πλέον· «Ὁ Μωϋσῆς πρὸς τὸν Θεόδωρον, εἶμαι παρὼν καὶ παρακολουθῶ». Αὐτὸ λοιπὸν τὸ γραμμένον ξύλον ἔφερνε καθημερινῶς ἐμπρὸς εἰς τὰ μάτια του καὶ ἠρώτα τὸν γράψαντα ὡς νὰ παρευρίσκετο ἐνώπιόν του εἰς τὸ κελλίον· ἆρα γε, ἄνθρωπε, ποὺ εἶσαι τώρα; διότι λέγεις ὅτι εἶμαι παρὼν καὶ παρακολουθῶ! ἆρα γε εἰς ποῖον κόσμον ἢ τόπον ὑπάρχεις; ποῦ εἶναι τώρα τὸ χέρι, ποὺ ἔγραψεν αὐτά; Αὐτὸ ἔκανε καθημερινῶς, ἐνθυμούμενος καθημερινῶς τὸν θάνατον καὶ οὕτω διήρχετο τὴν ζωήν του κλαίων συνεχῶς.

Ὁ ἀδελφὸς αὐτὸς εἶχεν ὡς ἐργόχειρον τὴν καλλιγραφίαν. Πρὸς τὸν σκοπὸν τοῦτον ἔλαβεν ἀπὸ τοὺς διαφόρους Μοναχοὺς τῆς περιοχῆς τεμάχια χάρτου μὲ τὴν παραγγελίαν νὰ ἀναγράψῃ ἐπ᾽ αὐτῶν διάφορα θέματα, κατ᾽ ἀντιγραφὴν ἀπὸ ἄλλα κείμενα. Ἐκοιμήθη ὅμως χωρὶς νὰ γράψῃ τίποτε διὰ κανένα. Τοῦτο δὲ μόνον ἀνέγραψεν εἰς τὰ χαρτία ἑνὸς ἑκάστου· «Κύριοί μου καὶ ἀδελφοί μου, νὰ μὲ συγχωρήσητε, διότι μὲ ἀπησχόλει μία μικρὰ ἐργασία μὲ κάποιον καὶ δι᾽ αὐτὸ δὲν εὐκαίρησα νὰ Σᾶς γράψω».

6. Ἕνας Γέρων ἐπεσκέφθη ἕνα Ἀσκητήν, ποὺ παρέμενεν εἰς τὴν Ραϊθὼ καὶ τοῦ λέγει:

— Πάτερ, ὁσάκις ἀποστέλλω τὸν ὑποτακτικόν μου εἰς μίαν ὑπηρεσίαν, στενοχωροῦμαι· ἡ στενοχωρία μου μάλιστα ἐπαυξάνει, ὅταν ὁ ὑποτακτικὸς ἀργῇ νὰ ἐπιστρέψῃ.

—Ὅταν ἐγὼ στέλλω τὸν διακονητήν μου —ἀπήντησεν ὁ Ἀσκητὴς— εἰς μίαν ὑπηρεσίαν, κάθομαι κοντὰ εἰς τὴν θύραν καὶ βλέπω πρὸς τὸν δρόμον. Ὅταν δὲ ὁ λογισμός μου μὲ βάζῃ εἰς ἀνησυχίαν καὶ μοῦ λέγει, ἆρα γε πότε θὰ ἔλθῃ ὁ ἀδελφός; ἀπαντῶ ὡς ἑξῆς εἰς τὸν λογισμόν μου. Ἐὰν μὲ προλάβῃ ἕνας ἄλλος ἀδελφός, διὰ νὰ μὲ ὁδηγήσῃ πρὸς τὸν Κύριον, δηλαδὴ ὁ Ἄγγελος Κυρίου, τότε τί θὰ γίνῃ; εἶμαι ἆραγε ἕτοιμος διὰ τὴν συνάντησιν αὐτήν;

Ἔτσι κάθομαι κάθε ἡμέραν καὶ παρακολουθῶ τὴν θύραν, κλαίων διὰ τὰς ἁμαρτίας μου καὶ φροντίζων διὰ τὴν διόρθωσίν μου. Ἐνῷ δὲ κλαίω, λέγω εἰς τὸν ἑαυτόν μου· ἆραγε ποῖος ἀδελφὸς θὰ προλάβῃ καὶ

διακρίνεται δὲ ἀπ᾽ αὐτοῦ ἡ Μεσόγειος θάλασσα, ἀπὸ τῆς ὁποίας ἀπέχει περὶ τὰ 120 μίλλια πρὸς νότον· ἔναντι τούτου εἶναι τὸ Ὄρος τοῦ Μωϋσέως ὕψους 2290 μέτρων.

Τὸ Ὄρος τῆς Ἁγίας Αἰκατερίνης ἀπεκλήθη οὕτω πρὸς τιμὴν τῆς Ἁγίας Μεγαλομάρτυρος Αἰκατερίνης, τῆς ὁποίας τὸ τίμιον σῶμα μετὰ τὸ μαρτύριον αὐτῆς παραληφθὲν ὑπὸ θείων Ἀγγέλων ἐναπετέθη εἰς τὴν κορυφὴν αὐτοῦ (βλέπε ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας» Τόμος ΙΑ΄ σελ. 635). Εἰς τὰς ὑπωρείας τοῦ ὄρους τούτου καὶ εἰς ὕψος 1530 μέτρων ᾠκοδόμησεν ὁ Ἰουστινιανὸς μέγα Μοναστήριον, ὅπερ σώζεται μέχρι σήμερον καὶ τιμᾶται μὲ θρόνον Ἀρχιεπισκόπου, ὅστις καὶ ἡγούμενος τοῦ Ὄρους Σινᾶ καλεῖται, ὑπὸ τὸν Πατριάρχην Ἱεροσολύμων διατελοῦντος, ἀπέχει δὲ τὸ Ὄρος Σινᾶ ἀπὸ τῶν Ἱεροσολύμων περὶ τὰ 250 μίλλια πρὸς νότον.

θὰ ἔλθη ἐνωρίτερα· ὁ ἐπίγειος ἢ ὁ οὐράνιος; δηλαδὴ ὁ ὑποτακτικός μου ἢ ὁ Ἄγγελος τοῦ Κυρίου;

Ἀφοῦ ἤκουσεν αὐτὰ ὁ ἐπισκέπτης τοῦ Ἀσκητοῦ κατενύγη καὶ ἀνεχώρησεν. Ἀπὸ τότε δὲ ἐφήρμοσεν εἰς τὴν ζωήν του καὶ αὐτὸς τὴν ἐργασίαν τοῦ Ἀσκητοῦ.


7. Ἕνας ἄλλος Γέρων ἔζη εἰς τὰ μέρη τῆς Ραϊθώ. Οὗτος πάλιν κατεγίνετο εἰς τὴν ἑξῆς ἐργασίαν, μὲ τὴν ὁποίαν ὑπενθύμιζεν εἰς τὸν ἑαυτόν του τὸ τέλος του.

Ἐκάθητο πάντοτε σκεπτικὸς εἰς τὸ κελλίον του καὶ τὸ βλέμμα του ἦτο κατεβασμένο πρὸς τὴν γῆν· ἐν τῷ μεταξὺ ἐκουνοῦσε συνεχῶς τὸ κεφάλι του καὶ ἔλεγεν ἀναστενάζων· ἄραγε τί θὰ γίνῃ μὲ ἐμέ; Ἐσώπαινε πρὸς στιγμὴν καὶ ἡσύχαζε, διὰ νὰ ἀρχίσῃ καὶ πάλιν ἀμέσως τὸ ἴδιον πρᾶγμα καὶ νὰ εἴπῃ τὰς ἰδίας λέξεις.

Συγχρόνως ἔκανε καὶ τὸ ἐργόχειρόν του, πλέκων τὸ σχοινίον.

Μὲ τὸν τρόπον αὐτὸν διῆλθε τὰς ἡμέρας τῆς ζωῆς του φροντίζων νὰ εἶναι ἕτοιμος κατὰ τὴν στιγμὴν τῆς ἐξόδου τῆς ψυχῆς του ἐκ τοῦ σώματος.






ΥΠΟΘΕΣΙΣ ΣΤ΄

Ὅτι ἀνείκαστος ἡ ἐν οὐρανοῖς εὐφροσύνη, καὶ ἡ τοῖς ἁγίοις ἀποκειμένη δόξα· διὸ δεῖ ταύτης ἐκθύμως ὀρέγεσθαι· καὶ ὅτι οὐδὲν τῶν ὄντων ἢ παρ᾿ ἡμῶν γιγνομένων ταύτης ἀντάξιον.

Ἡ χαρὰ εἰς τοὺς οὐρανοὺς εἶναι ἀνέκφραστος, ὅπως ἐπίσης καὶ ἡ δόξα, ποὺ ἀναμένει τοὺς Ἁγίους· δι᾿ αὐτὸ πρέπει νὰ ἐπιθυμῶμεν μὲ ὅλην μας τὴν ψυχὴν τὴν ἐπουράνιον χαρὰν καὶ τὴν δόξαν τῶν Ἁγίων. Ἀπὸ ὅσα ὑπάρχουν ἢ ἀπὸ ὅσα πράττομεν ἡμεῖς, τίποτε δὲν εἶναι ἀντάξιον τῆς χαρᾶς καὶ τῆς δόξης ἐκείνης.



Α΄. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς



ΛΕΓΕΝ ἡ μακαρία Συγκλητική· ὅτι ἐν ταύτῃ τῇ γῇ ὡς ἐν δευτέρᾳ μητρῴᾳ κοιλίᾳ τυγχάνομεν· ὥς περ γὰρ ἐν μητρικῇ νηδύϊ οὐ τοιαύτην ζωὴν εἴχομεν, οὐδὲ τῶν τοιούτων στερεμνίων τροφῶν ἀπελαύομεν οἵων νῦν οὔτε μὴν ἐνεργεῖν οὕτως ἠδυνάμεθα ὡς ἐνταῦθα· καὶ γὰρ καὶ τοῦ ἡλιακοῦ φωτὸς καὶ πάσης ἄλλης αὐγῆς ἐκτὸς ἦμεν καὶ πολλῶν ἄλλων τῶν ἐνταῦθα τερπνῶν ἐλειπόμεθα, οὕτω καὶ ἐν τῷ παρόντι κόσμῳ ὄντες, μεγάλων τινῶν καὶ θαυμαστῶν ὑστερούμεθα τῶν ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν· ἐπεὶ οὖν πεῖραν τῶν ἐνταῦθα ἱκανὴν ἐλάβομεν, λοιπὸν τῶν ἐκεῖθεν ἐπιθυμήσωμεν· τῶν ὧδε τροφῶν ἐπειράθημεν, τῶν θείων ὀρεχθῶμεν· τοῦ ἐνθάδε φωτὸς ἀπηλαύσαμεν, τὸν ἥλιον τῆς δικαιοσύνης ποθήσωμεν· τὴν ἄνω Ἱερουσαλὴμ ὡς πατρίδα ἡμῶν καὶ μητέρα ἰδεῖν ποθήσωμεν· τὸ λοιπὸν τῆς ζωῆς, πρὸς τὰς ἐκεῖθεν ἐλπίδας ζήσωμεν, ἵνα καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσωμεν.

Ὡς γὰρ τὰ ἐν τῇ μήτρᾳ βρέφη τελειωθέντα ἐξ ἐλάττονος τροφῆς τε καὶ ζωῆς, προέρχονται λοιπὸν πρὸς τὴν μείζονα δίαιταν, οὕτω καὶ οἱ δίκαιοι ἐκ τῆς ἐν κόσμῳ διαγωγῆς προκόψαντες, εἰς τὴν ἄνω πολιτείαν μεταχωροῦσι, κατὰ τὸ γεγραμμένον, ἐκ δυνάμεως εἰς δύναμιν πορευόμενοι· οἱ δὲ ἁμαρτωλοί, ὥς περ τὰ κατὰ γαστρὸς ἔμβρυα ἐν τῇ μήτρᾳ τελευτήσαντα, ἐκ σκότους σκότει παραδίδονται· καὶ γὰρ ἐν τῇ γῇ ὄντες, τῇ προσπαθείᾳ τῶν γηΐνων, ὡς ἐν σκότει διάγουσι· καὶ τελευτήσαντες, εἰς ζοφωδεστέρους καὶ ταρταρώδεις τόπους καταφέρονται· τρίτον οὖν ἐν τῷ βίῳ τικτόμεθα· ἅπαξ μὲν ἐκ τῶν μητρικῶν λαγόνων, καὶ ἀπὸ γῆς εἰς γῆν ἐρχόμεθα· διὰ δὲ τῶν λοιπῶν δύο ἀπὸ γῆς εἰς οὐρανὸν μεθιστάμεθα· τούτων δέ, ἡ μὲν μία ἐστὶν ἐκ χάριτος,

ἡ διὰ θείου Βαπτίσματος, ἣν καὶ ἀληθῶς παλιγγενεσίαν καλοῦμεν· ἡ δὲ ἑτέρα ἐκ τῆς μετανοίας ἡμῖν καὶ τῶν ἀγαθῶν πόνων προσγίνεται, ἐν ᾗ καὶ ἑστήκαμεν.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ ΣΥΓΚΛΗΤΙΚΗ ἔλεγεν, ὅτι εἰς αὐτὴν τὴν γῆν εὑρισκόμεθα ὡς νὰ εἴμεθα μέσα εἰς δευτέραν μητρικὴν κοιλίαν. Ὅταν εὑρισκόμεθα μέσα εἰς τὴν κοιλίαν τῆς μητρός μας, δὲν ἐζούσαμεν ὅπως ζῶμεν μετὰ τὴν ἐξ αὐτῆς γέννησιν ἡμῶν, οὔτε τὰς στερεὰς τροφάς, ποὺ τώρα ἀπολαμβάνομεν, ἐτρώγαμεν τότε κατὰ τὴν ἐμβρυϊκήν μας περίοδον, ἀλλ᾽ οὔτε καὶ μέσα εἰς τὴν κοιλίαν τῆς μητρὸς ἡμῶν ἠδυνάμεθα νὰ ἐνεργῶμεν ὅπως τώρα. Καὶ τοῦτο διότι, ὡς γνωστόν, ἐντὸς τῆς μητρικῆς κοιλίας εἴμεθα μακρὰν τοῦ ἡλιακοῦ φωτὸς καὶ οὐδεμία ἀνταύγεια μᾶς ἐπλησίαζεν· ἐν γένει δὲ ὑστερούμεθα πολλῶν ἄλλων ἐπιγείων ἀπολαύσεων. Τοιουτοτρόπως ἀκριβῶς ζῶντες καὶ εἰς τὸν παρόντα κόσμον δὲν δυνάμεθα νὰ ἀπολαύσωμεν ὡρισμένα μεγαλοπρεπῆ καὶ ἀξιοθαύμαστα ἀγαθὰ ποὺ εὑρίσκονται ἀποκλειστικῶς καὶ μόνον εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν.

Ἐφ᾽ ὅσον λοιπὸν ἐγνωρίσαμεν λεπτομερῶς τὴν παροῦσαν ζωήν, εἶναι πλέον καιρὸς νὰ ἐπιθυμήσωμεν καὶ τὰ ἐπουράνια· ἐδοκιμάσαμεν τὰς ἐπιγείους τροφάς, ἂς ὀρεχθῶμεν τώρα καὶ τὰς θείας· ἐχορτάσαμεν τὸ προσωρινὸν ὑλικὸν φῶς, ἂς ποθήσωμεν τώρα τὸν ἥλιον τῆς δικαιοσύνης. Ἂς συγκλονισθῶμεν ἀπὸ τὴν ἰσχυρὰν νοσταλγίαν τῆς ἄνω Ἱερουσαλήμ, καὶ ἂς ποθήσωμεν νὰ τὴν ἴδωμεν ὡς μητέρα μας καὶ πατρίδα. Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἂς τὸν διανύσωμεν κατευθυνόμενοι ἀπὸ τὰς ἐλπίδας τῆς ἐπουρανίου μακαριότητος, διὰ νὰ δυνηθῶμεν, τοιουτοτρόπως, νὰ ἀπολαύσωμεν καὶ τὰ αἰώνια ἀγαθά.

Ὅπως ἀκριβῶς τὰ βρέφη διεμορφώθησαν ὀλίγον μέσα εἰς τὴν μήτραν ἀπὸ ἀτελεστέραν τροφὴν καὶ ζωὴν καὶ οὕτω, τέλειοι πλέον ὀργανισμοί, μεταπηδοῦν πρὸς ζωὴν τελειοτέραν καὶ ἀπολαμβάνουν ἐκλεκτοτέρας διαίτης, τοιουτοτρόπως καὶ οἱ δίκαιοι, ἀφοῦ ἐτελειοποιήθησαν διὰ τοῦ τρόπου μὲ τὸν ὁποῖον ἐπολιτεύθησαν εἰς τὸν κόσμον, μεταβαίνουν εἰς τὴν ἐπουράνιον πολιτείαν, προχωροῦντες, σύμφωνα πρὸς τὸ γεγραμμένον, ἀπὸ δυνάμεως εἰς δύναμιν.

Τὸ ἀντίθετον συμβαίνει μὲ τοὺς ἁμαρτωλούς· οὗτοι ὁμοιάζουν μὲ τὰ ἔμβρυα, ποὺ συνελήφθησαν μὲν κανονικῶς εἰς τὴν μήτραν, ἀπέθανον ὅμως πρὶν γεννηθοῦν, πορευόμενα τοιουτοτρόπως ἀπὸ τὸ ἕνα σκότος εἰς τὸ ἄλλο. Ἀκριβῶς λοιπὸν καὶ οἱ ἁμαρτωλοὶ εὑρισκόμενοι εἰς τὴν γῆν περνοῦν τὴν ζωήν των μέσα εἰς τὴν πολυμέριμνον προσπάθειαν τῶν γηΐνων, αἰχμαλωτιζόμενοι κυριολεκτικῶς ἀπὸ τὸ σκότος τῶν ἐπιγείων μεριμνῶν· ὅταν δὲ ἀποθάνουν, χωρὶς νὰ συνοδεύωνται ἀπὸ τοὺς θησαυροὺς τῶν καλῶν ἔργων καὶ τῆς μετανοίας, ὁδηγοῦνται βιαίως τοὺς σκοτεινοτέρους καὶ ταρταρώδεις τόπους τῶν κολάσεων.

Ἐκ τῶν ἀνωτέρω λοιπὸν συμπεραίνομεν, ὅτι τρεῖς φορὰς γεννώ-

μεθα κατὰ τὸ διάστημα τοῦ βίου μας: Μίαν καὶ ἀνεπανάληπτον φορὰν ἀπὸ τὴν μητέρα μας· εἰς τὴν περίπτωσιν αὐτὴν ἀπὸ γῆν προερχόμεθα καὶ εἰς γῆν πορευόμεθα. Κατὰ τὰς ὑπολοίπους δύο γεννήσεις μετατιθέμεθα ἀπὸ τὴν γῆν εἰς τὸν οὐρανόν. Ἐξ αὐτῶν ἡ μία γέννησις εἶναι ἡ τῆς Χάριτος, ἡ ὁποία πραγματοποιεῖται διὰ τοῦ Ἁγίου Βαπτίσματος καὶ τὴν ὀνομάζομεν ἀληθῶς παλιγγενεσίαν. Ἡ δευτέρα πάλιν γέννησις ἐπιτυγχάνεται διὰ τῆς μετανοίας καὶ τῶν κόπων τῶν καλῶν καὶ ἐναρέτων πράξεων, εἰς τὴν ὁποίαν καὶ ἡμεῖς τώρα ἐστάθημεν.

Β'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ ΓΕΡΩΝ· μὴ θαυμάσῃς εἰ ἄνθρωπος ὤν, ἄγγελος γενέσθαι δυνήσῃ· πρόκειται γὰρ ἰσάγγελος δόξα· καὶ ταύτην ὁ ἀγωνοθέτης τοῖς ἀγωνιζομένοις ἐπαγγέλλεται.

2. Εἶπεν ὁ Ἀββᾶς Ὑπερέχιος· ἡ ἐνθύμησίς σου ἔστω διὰ παντὸς ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν καὶ ἐν τάχει κληρονομήσεις αὐτήν.

3. Τινὰ τῶν γερόντων παρεκάλουν οἱ ἀδελφοὶ παύσασθαι τῶν μεγάλων πόνων· ὁ δὲ ἀπεκρίθη αὐτοῖς· λέγω ὑμῖν, τέκνα, ὅτι Ἀβραὰμ μετανοῆσαι ἔχει, ὁρῶν τὰς ὑπερβαλλούσας δωρεάς· διότι μὴ πλέον ἠγωνίσατο.

Ἑρμηνεία

ΕΝΑΣ ΓΕΡΩΝ εἶπε, πῶς δὲν εἶναι ἀξιοθαύμαστον, ἐὰν ἕνας ἄνθρωπος ἠμπορέσῃ νὰ γίνῃ ἄγγελος· διότι εὑρίσκεται ἐνώπιόν μας, διὰ νὰ τὴν ἀπολαύσωμεν, δόξα ἴση μὲ τὴν δόξαν τῶν Ἀγγέλων. Αὐτὴν δὲ τὴν δόξαν ὑπόσχεται ὁ ἀγωνοθέτης εἰς τοὺς ἀγωνιζομένους.

2. Ὁ Ἀββᾶς Ὑπερέχιος εἶπεν, ὅτι ἡ σκέψις σου πρέπει παντοτεινὰ νὰ εὑρίσκεται εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν, ὁπότε γρήγορα καὶ ἀσφαλῶς θὰ τὴν κληρονομήσῃς.

3. Κάποτε μερικοὶ Ἀδελφοὶ παρεκάλουν ἕνα Γέροντα νὰ σταματήσῃ τοὺς μεγάλους κόπους εἰς τοὺς ὁποίους ὑπεβάλλετο. Εἰς αὐτὴν τὴν πρότασιν ὁ Γέρων ἀπήντησεν:

— Τέκνα μου, σᾶς διαβεβαιῶ, πὼς ὁ Ἀβραὰμ ἀσφαλῶς θὰ μετανοήσῃ ὅταν θὰ ἰδῇ τὸν πλοῦτον τῶν ἐπουρανίων δωρεῶν, διότι δὲν ἠγωνίσθη περισσότερον, ἐφ' ὅσον ἔζη.

Γ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΟΙ· μεγάλη ἡ δόξα καὶ ἀκατάληπτος ἡ τοῖς ἁγίοις ἀποκειμένη· ἡ δὲ τοῦ βίου τούτου, ὡς ἄνθος παρέρχεται, καὶ ὡς λάχανα χλόης ταχὺ ἀποπίπτει· πολλοὶ γὰρ τύραννοι καὶ βασιλεῖς ἐκράτησαν χωρῶν, καὶ πόλεων οὐκ ὀλίγων· καὶ μετὰ μικρὸν ἐγεννήθησαν ὡς οὐχ ὑπάρξαντες· πόσοι γὰρ βασιλεῖς ἦρξαν ἐθνῶν πολλῶν, ἀνεγείραντες ἑαυτοῖς εἰκόνας καὶ στήλας, λογισάμενοι διὰ τούτων ὀνομαστοὶ ἔσεσθαι μετὰ θάνατον καὶ ἐπῆλθον ἕτεροι, καὶ κατέστρεψαν τὰς εἰκόνας καὶ συνέτριψαν τὰ ἀγάλματα· τινῶν δὲ καὶ τὰ πρόσωπα περιελόντες, τὴν ἰδίαν ἀνετυπώσαντο ὄψιν· καὶ αὐτῶν δὲ τὰ ἔργα, πάλιν ὑφ' ἑτέρων κατελύθη.

Ἕτεροι δὲ καὶ περιφανεῖς τάφους κατεσκεύασαν ἑαυτοῖς, δόξαντες διὰ τούτων στηρίζειν ἑαυτοῖς ὄνομα αἰώνιον, διαγραψάμενοι ἄνωθεν τῶν τάφων τοὺς ἑαυτῶν χαρακτῆρας· ἦλθε δὲ γενεὰ ἑτέρα, καὶ γεγόνασιν οἱ τάφοι ὑπὸ τὴν ἐξουσίαν αὐτῶν· καὶ βουλόμενοι οὗτοι τὰς σοροὺς ὡς εἰκὸς ἐκκαθάραι, χαλίκων δίκην τὰ ὀστᾶ ἐκείνων μετήγαγον· καὶ τί ὠφέλησεν αὐτοὺς ἡ πολυτίμητος σορὸς ἢ ἡ πυραμίς; πάντα οὖν τὰ τῆς ματαιότητος ἔργα εἰς οὐδὲν καταλήγει.

Οἱ δὲ ἐν Θεῷ δοξαζόμενοι, οὐχ οὕτω· ζωὴν γὰρ αἰώνιον καὶ δόξαν ἀκατάλυτον ἡτοίμασεν αὐτοῖς· ὡς γὰρ φῶς τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἀστέρων, ἀπὸ κτίσεως αὐτῶν ἄχρι τοῦ νῦν, οὐκ ἠμαυρώθη οὐδὲ μετεβλήθη εἰς παλαίωσιν, ἀλλὰ ἀεὶ ὡσαύτως νεάζει καὶ ἀκμάζει καὶ φαιδρύνεται διὰ τὸν ὅρον τοῦ δημιουργοῦ, ὃν ὥρισεν αὐτοῖς ἀπ' ἀρχῆς ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός, οὕτω καὶ τοῖς ἀγαπῶσιν αὐτὸν ὥρισε Βασιλείαν οὐρανῶν καὶ χαρὰν ἀκατάλυτον.

Καὶ ὥς περ ἐν τούτοις τοῖς φαινομένοις ἐστὶν ἀψευδής, οὕτω δηλονότι καὶ ἐν ἐκείνοις τοῖς νοουμένοις· καὶ ταῦτα μὲν παρελεύσεται ὁπηνίκα βουληθείη ὁ δημιουργός· τῆς δὲ δόξης τῶν Ἁγίων οὐκ ἔσται τέλος. Σπουδάσωμεν οὖν ποιῆσαι καρποὺς ἀξίους τῆς μετανοίας, ἵνα μή, ἀποκλεισθέντες τῆς χαρᾶς ἐκείνης, εἰς τὸ αἰώνιον σκότος παραπεμφθῶμεν, οὗ ἡ ὀδύνη ἀφόρητος· εἴσελθε γὰρ εἰ δοκεῖ ἐν τῷ κοιτῶνι σου, καὶ ἀπόκλεισον τὰς θύρας καὶ τὰς θυρίδας· ἔμφραξον δὲ καὶ τὰ διαυγάζοντα πάντα καὶ κάθισον ἔσω καὶ γνώσῃ ὁποίαν ὀδύνην ἔχει ἡ σκοτία.

Εἰ οὖν ἐνταῦθα δίχα πόνου καὶ βασάνου καθεζόμενος, οὕτως ἀλγύνει καίτοι ἐξουσίαν ἔχων καὶ μετὰ μικρὸν ἐξελθεῖν, πόσην ἄρα κόλασιν ἔχειν ὑπολαμβάνεις ἐκεῖνο τὸ ἐξώτερον σκότος, ἔνθα ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, καὶ τὸ ἄσβεστον πῦρ αἰωνίως τιμωροῦντα τοὺς ἅπαξ ἐν τούτοις παραπεμφθέντας; ἐννοήσωμεν δὲ καὶ οἵα αἰσχύνη ἡμᾶς καὶ πρὸ τῶν κολάσεων καταλήψεται ὅταν ἴδωμεν τοὺς μὲν ἁγίους ἐνδυομένους τὴν ὑπέρλαμπρον ἐκείνην στολὴν καὶ ἀνέκφραστον, ἣν διὰ τῶν ἀγαθῶν ἔργων ἑαυτοῖς κατεσκεύασαν, ἡμᾶς δὲ ἑαυτοὺς βλέπωμεν οὐ μόνον γυμνοὺς τῆς ἐξαστραπούσης δόξης ἐκείνης, ἀλλὰ καὶ μεμελανωμένους καὶ ζοφεροὺς καὶ δυσωδίας ὄντας μεστούς, καθὼς ἑαυτοὺς ἀπὸ τῶν ὧδε ἡτοιμάσαμεν, διὰ τῶν τῆς σκοτίας ἔργων καὶ τῆς σπατάλης τε καὶ τρυφῆς· κλαύσωμεν τοίνυν ἐνώπιον Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἵνα εὕρωμεν οἰκτιρμοὺς παρ' αὐτοῦ.

Οὐκ ἔστιν ἡμῖν περὶ χρημάτων ὁ ἀγών· ἃ καὶ ἐὰν ζημιωθῇ, δύναται ἕτερα ἀντ' αὐτῶν πάλιν κτήσασθαι· περὶ ψυχῆς ἡμῖν ἐστιν ὁ κίνδυνος, ἥν, ἐὰν ἀπολέσωμεν, οὐκέτι ἀνακαλέσασθαι δυνάμεθα κατὰ τὸ γεγραμμένον· τί ὠφεληθήσεται ἄνθρωπος, ὅταν τὸν κόσμον ὅλον κερδήσῃ τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Λογισώμεθα οὖν, ὅτι οἱ κατὰ τὸν κόσμον στρατιῶται οἰκτρὰ δῶρα παρὰ τοῦ ἐπὶ γῆς βασιλέως λαμβάνοντες, προθύμως μέχρι θανάτου ὑπὲρ αὐτοῦ κινδυνεύουσι· πόσῳ οὖν μᾶλλον ἡμεῖς οἱ τοιαύτας ἐπαγγελίας δεξάμενοι, ὀφείλομεν μὴ ὑπενδοῦναι τοῦ ἔργου τῆς δικαιοσύνης, ἵνα καὶ τῆς μελλούσης διασωθῶμεν κρίσεως, καὶ τῶν ἀνεικάστων ἀγαθῶν ἐπιτύχωμεν. Ἐνθυμηθῶμεν δὲ καὶ τοῦτο· ὅτι καύσωνα ἡλίου, ἢ ὀξύτητα πυρετοῦ, φέρειν οὐ δυνάμεθα· καὶ πῶς τὴν καῦσιν τοῦ αἰωνίου πυρὸς ὑποίσομεν, τοῦ καίοντος ἀεὶ καὶ μὴ κατακαίοντος;

Καὶ εἰ θέλῃς, ἀγαπητέ, δοκίμασον ἀπεντεῦθεν· καὶ μαθήσῃ ἐκ τοῦ παρόντος πυρός, τὴν βάσανον ἐκείνην τὴν ἀνυποφόρητον· ἀνάψας γὰρ λύχνον, ἐπίθες τῷ πυρὶ

τὸ ἄκρον τοῦ δακτύλου σου, καὶ εἰ δύνασαι βαστάσαι τὴν ὀδύνην, τάχα δυνήσῃ κἀκεῖ ὑπομεῖναι· εἰ δὲ τοῦ μικροῦ τούτου τὰς ἀλγηδόνας οὐ δύνασαι φέρειν, τί ποιήσομεν ὅταν τὸ σῶμα ὅλον σὺν τῇ ψυχῇ ἐμβληθῇ εἰς τὸ φοβερὸν ἐκεῖνο καὶ ἄσβεστον πῦρ;

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ ΜΟΥ· ἡ δόξα, τὴν ὁποίαν πρόκειται νὰ ἀπολαύσουν οἱ Ἅγιοι εἶναι μεγάλη καὶ ἀκατάληπτη· ἐνῷ ἡ δόξα τοῦ ἐπιγείου αὐτοῦ βίου ὁμοιάζει πρὸς τὸ ἄνθος, τοῦ ὁποίου ἡ ὡραιότης συντόμως παρέρχεται καὶ πρὸς τὰ τρυφερὰ χόρτα, ποὺ συντομώτατα ξηραίνονται. Βλέπομεν εἰς τὴν ἱστορίαν, ὅτι πολλοὶ τύραννοι καὶ βασιλεῖς ἐκυρίευσαν ἀπεράντους χώρας καὶ πολλὰς πόλεις καὶ ἐντὸς ὀλίγου αὐτοὶ οἱ νικηταὶ ἐξηφανίσθησαν ὡς νὰ μὴ ὑπῆρξαν ποτέ· διότι πόσοι ἀπὸ αὐτοὺς τοὺς βασιλεῖς, ποὺ κατεξουσίασαν ἔθνη πολλά, ἀνήγειραν, διὰ νὰ ἀπαθανατίσουν τὸ ὄνομά των, εἰκόνας καὶ ἀναμνηστικὰς στήλας νομίσαντες ὅτι μὲ αὐτὰ θὰ γίνουν ὀνομαστοί; Παρ' ὅλα ὅμως ταῦτα μετὰ τὸν θάνατον τῶν βασιλέων αὐτῶν κατέλαβον ἄλλοι τὴν ἐξουσίαν, οἱ ὁποῖοι καὶ κατέστρεψαν τὰς ἀναμνηστικὰς εἰκόνας καὶ συνέτριψαν τὰ ἀγάλματά των. Μερικοὶ μάλιστα ἀπὸ αὐτοὺς τοὺς ἐπιδρομεῖς ἐξηφάνισαν τὰ πρόσωπα τῶν προκατόχων βασιλέων καὶ ἀπετύπωσαν, ἐπάνω εἰς τὰς ἀναμνηστικὰς στήλας, τὴν ἰδικήν των μορφήν. Ἀλλὰ καὶ αὐτῶν τῶν ἐπιδρομέων τὰ ἔργα κατελύθησαν ἀπὸ ἄλλους.

Ἄλλοι, πάλιν, κατεσκεύασαν διὰ τοὺς ἑαυτούς των τάφους λαμπροὺς καὶ περιβλέπτους καὶ ἀνέγραψαν ἐπάνω εἰς τοὺς τάφους τὰ ὀνόματά των καὶ τὴν μορφήν των, νομίσαντες ὅτι μὲ αὐτὰ θὰ καταστήσουν τὸ ὄνομά των αἰώνιον.

Καὶ ἦλθεν ἡ ἑπομένη γενεὰ καὶ παρέλαβεν ὑπὸ τὴν δικαιοδοσίαν της τοὺς τάφους αὐτούς· οἱ δὲ ἄνθρωποι τῆς γενεᾶς αὐτῆς θελήσαντες νὰ καθαρίσουν τὰς σαρκοφάγους, ὅπως ἦτο φυσικόν, ἐπέταξαν τὰ ὀστᾶ ἐκείνων τῶν βασιλέων, ὡς νὰ ἦσαν χαλίκια. Εἰς τί λοιπὸν ὠφέλησε τοὺς φιλοδόξους αὐτοὺς βασιλεῖς ἡ πολύτιμος σαρκοφάγος ἢ ἡ πυραμίς; Τὸ συμπέρασμα λοιπὸν εἶναι, ὅτι τὰ ἔργα τῆς ματαιότητος εἰς τίποτε δὲν ὠφελοῦν τὸν ἄνθρωπον.

Δὲν συμβαίνει ὅμως τὸ ἴδιον μὲ ὅσους δοξάζει ὁ Θεός· διότι ὁ Θεὸς ἡτοίμασε, πρὸς χάριν των ζωὴν αἰώνιον καὶ δόξαν ἀκατάλυτον. Ὅπως ἀκριβῶς τὸ φῶς τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν ἀστέρων, ἀπὸ τότε ποὺ ἐδημιουργήθησαν μέχρι τώρα, δὲν ἠλαττώθη, οὔτε ἔπεσεν εἰς παρακμήν, ἀλλὰ διατηρεῖ συνεχῶς τὴν ἰδίαν ἔντασιν καὶ ἀκτινοβολίαν, παραμένει νέον, ἀκμάζει καὶ διαρκῶς λάμπει, ἐξ αἰτίας τοῦ ὅρου ὑπάρξεως, ποὺ ὥρισεν εἰς τὰ οὐράνια αὐτὰ σώματα ὁ Δημιουργός, νὰ ἐξουσιάζουν τὴν ἡμέραν καὶ τὴν νύκτα, τοιουτοτρόπως ὁ ἴδιος Θεὸς καθώρισε δι' αὐτοὺς ποὺ τὸν ἀγαποῦν ἀτελείωτον τὴν χαρὰν καὶ συνεχῆ τὴν Βασιλείαν τῶν Οὐρανῶν.

Καὶ ὅπως ἀκριβῶς εἰς τὰ φυσικὰ αὐτὰ φαινόμενα, ὁ Θεὸς δὲν

ἐψεύσθη, τοιουτοτρόπως θὰ ἐκπληρώσῃ καὶ τὰς ὑποσχέσεις Του εἰς ἐκεῖνα, τὰ τῆς μελλούσης ζωῆς, τὰ ὁποῖα νοοῦνται ὑπὸ τῶν ἀνθρώπων. Καὶ τὰ μὲν φυσικὰ σώματα, ὁ οὐρανὸς καὶ ἡ γῆ θὰ παρέλθουν καὶ θὰ ἐξαφανισθοῦν ὁπόταν θελήσῃ ὁ Δημιουργός· ἡ δόξα ὅμως τῶν Ἁγίων οὐδέποτε θὰ ἔχῃ τέλος. Ἂς φροντίσωμεν λοιπὸν νὰ κάμωμεν καρποὺς ἀξίους τῆς μετανοίας, διὰ νὰ μὴ ἀποκλεισθῶμεν ἀπὸ ἐκείνην τὴν χαρὰν καὶ παραπεμφθῶμεν εἰς τὸ αἰώνιον σκότος, ὅπου ἡ ὀδύνη εἶναι ἀνυπόφορος. Εἴσελθε, ἐὰν θέλῃς, εἰς τὸν κοιτῶνα σου καὶ κλεῖσε τελείως τὰς θύρας καὶ τὰ παράθυρα· ἀκόμη νὰ φράξῃς καὶ κάθε σχισμὴν ἀπὸ τὴν ὁποίαν εἶναι δυνατὸν νὰ εἰσχωρήσῃ φῶς καὶ κάθισε μέσα εἰς αὐτὸ τὸ σκοτάδι, καὶ θὰ ἀντιληφθῇς τότε μόνος σου πόσον φοβερὰ βάσανος εἶναι τὸ σκοτάδι.

Ἐὰν λοιπὸν τόσον πολὺ θλίβεσαι, ὅταν παραμένῃς ἐδῶ, χωρὶς πόνους καὶ ἄλλα βασανιστήρια, ἂν καὶ ἔχῃς ἐξουσίαν ἐντὸς ὀλίγου νὰ ἐξέλθῃς εἰς τὸ φῶς, σκέψου πόσον φοβερὰν κόλασιν θὰ ἔχῃ ἐκεῖνο τὸ ἐξώτερον σκότος, εἰς τὸ ὁποῖον κυριαρχεῖ ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, μαζὶ δὲ μὲ τὸ ἄσβεστον πῦρ τιμωροῦν αἰωνίως τοὺς μίαν μόνον ἀλλ' ἀμετάκλητον φορὰν παραπεμφθέντας εἰς αὐτὰ ἁμαρτωλούς;

Πρέπει δὲ ἀκόμη νὰ σκεφθῶμεν καὶ ὁποίαν ἐντροπὴν θὰ δοκιμάσωμεν, ὅταν, πρὸ τῶν κολάσεων ποὺ μᾶς ἀναμένουν ἴδωμεν τοὺς μὲν ἁγίους νὰ ἐνδύωνται τὴν ὑπέρλαμπρον στολήν, τῆς ὁποίας τὴν ἀπαστράπτουσαν ὡραιότητα δὲν δύναται νὰ ἀποδώσῃ ἀνθρωπίνη γλῶσσα, καὶ τὴν ὁποίαν κατεσκεύασαν μὲ τὰ καλά των ἔργα, ἐνῷ τοὺς ἑαυτούς μας θὰ τοὺς βλέπωμεν, ὄχι μόνον γυμνούς, ἀλλὰ καὶ μελανιασμένους καὶ σκοτεινοὺς καὶ ἀναδίδοντας ἀποπνικτικὴν δυσοσμίαν, ὅπως ἀκριβῶς ἀπὸ ἐδῶ ἑτομαστήκαμεν μὲ τὰ σκοτεινά μας ἔργα, τὴν σπατάλην καὶ τὴν ἁμαρτωλὴν ἀπόλαυσιν. Ἂς κλαύσωμεν λοιπὸν ἐνώπιον τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν, διὰ νὰ τύχωμεν τοῦ ἐλέους καὶ τῶν οἰκτιρμῶν Αὐτοῦ.

Ὁ ἀγών μας δὲν γίνεται διὰ τὰ χρήματα, τὰ ὁποῖα καὶ ἐὰν κανεὶς χάσῃ, εἶναι δυνατὸν νὰ ἀποκτήσῃ πάλιν ἄλλα εἰς ἀντικατάστασιν τῶν ἀπολεσθέντων. Ὁ κίνδυνος τὸν ὁποῖον ἀντιμετωπίζομεν ἀναφέρεται εἰς τὴν ψυχήν, τὴν ὁποίαν ὅταν χάσωμεν, ποτὲ πλέον δὲν δυνάμεθα νὰ ἐπανεύρωμεν, σύμφωνα μὲ τὸ ἁγιογραφικὸν «τί θὰ ὠφεληθῇ ἄνθρωπος, ἐὰν κερδήσῃ ὅλον τὸν κόσμον καὶ ζημιωθῇ τὴν ψυχήν του; ἢ τί δύναται νὰ δώσῃ ἄνθρωπος ὡς ἀντάλλαγμα τῆς ψυχῆς του;»

Ἂς σκεφθῶμεν λοιπόν, ὅτι οἱ στρατιῶται τοῦ κόσμου αὐτοῦ φιλοτιμούμενοι ἀπὸ τὰ εὐτελῆ δῶρα, ποὺ λαμβάνουν ἀπὸ τὸν ἐπίγειον βασιλέα, κινδυνεύουν μέχρι καὶ θανάτου χάριν αὐτοῦ. Πόσον λοιπὸν περισσότερον πρέπει ἡμεῖς, ποὺ ἐλάβομεν τόσον σπουδαίας ὑποσχέσεις, νὰ μὴ ὑποχωρήσωμεν καθόλου ἀπὸ τὴν ἐπίμονον προσπάθειαν τοῦ ἔργου τῆς ἀρετῆς, ὥστε καὶ ἀπὸ τὴν μέλλουσαν κρίσιν νὰ διασωθῶμεν, ἀλλὰ καὶ τὰ ἐπουράνια ἀγαθὰ νὰ ἐπιτύχωμεν; Ἂς ἐνθυμούμεθα δὲ διαρκῶς καὶ τοῦτο· δὲν ἠμποροῦμεν νὰ ὑποφέρωμεν τὴν ζέστην τοῦ ἡλίου, οὔτε

τὸν σφοδρὸν πυρετόν· πῶς λοιπὸν θὰ ὑποφέρωμεν τὴν φλόγα τοῦ αἰωνίου πυρός, ποὺ διαρκῶς καίει, χωρὶς ὅμως νὰ μᾶς κατακαίῃ μὲ τὰς φλόγας του;

Καὶ ἐὰν θέλῃς, ἀγαπητέ μου, ἀπὸ ἐδῶ δοκίμασε τὴν σφοδρότητα τοῦ πάθους καὶ θὰ ἀντιληφθῇς ἀπὸ τὸ ὑλικὸν πῦρ τοῦ κόσμου αὐτοῦ τὰ ἀνυπόφορα βασανιστήρια τῆς κολάσεως. Ἄναψε δηλαδὴ τὸ λυχνάρι σου καὶ βάλε εἰς τὴν φλόγα τὴν ἄκρην τοῦ δακτύλου σου· ἐὰν θὰ ἠμπορέσῃς νὰ βαστάσῃς τὸν πόνον, τότε ἀσφαλῶς θὰ δυνηθῇς καὶ ἐκείνην τὴν αἰωνίαν φλόγα νὰ ὑπομένῃς. Ἐὰν ὅμως δὲν ἠμπορέσῃς νὰ ὑποφέρῃς τοὺς πόνους ἑνὸς μικροῦ ἐγκαύματος, τότε τί θὰ κάνωμεν ὅταν ὁλόκληρον τὸ σῶμα μας, μαζὶ μὲ τὴν ψυχήν, θὰ ριφθοῦν μέσα εἰς τὸ φοβερὸν ἐκεῖνο καὶ ἄσβεστον πῦρ;

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΔΙΑΛΟΓΙΖΟΥ τὴν τιμὴν ἣν κατέλαβον πάντες οἱ Ἅγιοι· καὶ ὁ ζῆλος αὐτῶν ἑλκύσει σε μικρὸν κατὰ μικρόν· ἐνθυμοῦ πάλιν καὶ τοὺς ὀνειδισμοὺς οὓς ἔλαχον οἱ ἁμαρτωλοί, καὶ ὁ λογισμὸς οὗτος φυλάξει ἀπὸ τῶν πονηρῶν.

Ἑ ρ μ η ν ε ί α

ΝΑ ΕΧΗΣ συνεχῶς εἰς τὸν λογισμόν σου τὴν τιμήν, τὴν ὁποίαν ἔλαβον ὅλοι οἱ Ἅγιοι· καὶ ὁ ζῆλος τὸν ὁποῖον ἐπέδειξαν, θὰ σὲ ἑλκύσῃ ὀλίγον κατ' ὀλίγον εἰς τὸ ἀγαθόν. Νὰ ἐνθυμῆσαι, ἐκ παραλλήλου πάλιν καὶ τοὺς ἐξευτελισμούς, ποὺ ἐπεφυλάχθησαν εἰς τοὺς ἁμαρτωλοὺς καὶ τότε ὁ λογισμός σου θὰ σὲ περιφρουρήσῃ ἀπὸ τὰ πονηρά.

Ε'. Τοῦ Ἁγίου Μαξίμου

ΕΙ ΔΙΑ ΤΟΥΤΟ γέγονεν υἱὸς ἀνθρώπου καὶ ἄνθρωπος ὁ τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸς Λόγος, ἵνα ποιήσῃ θεοὺς καὶ Θεοῦ υἱοὺς τοὺς ἀνθρώπους, ἐκεῖ γενήσεσθαι πιστεύσωμεν, ἔνθα νῦν αὐτός ἐστιν ὁ Χριστὸς ὑπεράνω πάντων τῶν οὐρανῶν, ὡς κεφαλὴ τοῦ ὅλου σώματος, καὶ ὑπὲρ ἡμῶν γενόμενος πρόδρομος πρὸς τὸν Πατέρα τὸ καθ' ἡμᾶς· ἐν γὰρ συναγωγῇ Θεῶν τῶν σῳζομένων, ἔσται Θεὸς μέσος ἱστάμενος καὶ διανέμων τὰς ἀξίας τῆς ἐκεῖθεν μακαριότητος, τοπικὴν οὐκ ἔχων ἀπὸ τῶν ἀξίων διάστασιν· τὴν Βασιλείαν τῶν οὐρανῶν εἶναι τινὲς λέγουσι, τὴν ἐν οὐρανοῖς τῶν ἀξίων διαγωγήν· ἕτεροι δέ, τὴν ὁμοίαν τοῖς Ἀγγέλοις τῶν σῳζομένων κατάστασιν· ἄλλοι δέ, τὸ εἶδος αὐτῆς τῆς θεϊκῆς ὡραιότητος, τῶν φορεσάντων τὴν εἰκόνα τοῦ ἐπουρανίου· συνάδουσι δὲ τῇ ἀληθείᾳ, ὡς ἐμοὶ δοκεῖ, καὶ αἱ τρεῖς περὶ τούτων δόξαι· πᾶσι γὰρ κατὰ τὴν ἀναλογίαν τῆς ἐν αὐτοῖς κατὰ ποιόν τε καὶ ποσὸν δικαιοσύνης ἡ μέλλουσα δίδοται χάρις.


Ἑ ρ μ η ν ε ί α

ΕΑΝ Ο ΘΕΟΣ καὶ Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς ἔγινε πρὸς τοῦτο ἄνθρωπος καὶ υἱὸς ἀνθρώπου, διὰ νὰ καταστήσῃ δηλαδὴ τοὺς ἀνθρώπους θεοὺς καὶ υἱοὺς Θεοῦ, θὰ πρέπει νὰ πιστεύσωμεν, ὅτι ὁ σκοπὸς


αὐτὸς τῆς ἐνσάρκου οἰκονομίας θὰ πραγματοποιηθῇ ἐκεῖ, ὅπου τώρα εἶναι ὁ Χριστὸς ὑπεράνω ὅλων τῶν οὐρανῶν, ὡς κεφαλὴ ὁλοκλήρου τοῦ σώματος καὶ ἀνεδείχθη χάριν ἡμῶν πρόδρομος πρὸς τὸν Ἐπουράνιον Πατέρα.

Διότι εἰς ἐκείνην τὴν ὑπερκόσμιον καὶ πνευματικὴν συγκέντρωσιν τῶν σῳζομένων καὶ ὡς θεῶν καταστάντων, διὰ τῆς Χάριτος, θὰ δεσπόζῃ εἰς τὸ μέσον ὁ Θεός, ὅστις θὰ διανέμῃ εἰς τοὺς σῳζομένους τὰς ἀξίας τῆς ἐπουρανίου μακαριότητος καὶ δὲν θὰ εὑρίσκεται εἰς τοπικὴν ἀπόστασιν ἀπὸ τοὺς ἀξίους. Μερικοὶ ἀπὸ τοὺς βαθυστοχάστους ἑρμηνευτὰς λέγουν, ὅτι ἡ Βασιλεία τῶν Οὐρανῶν εἶναι ἡ κατοίκησις τῶν ἀξίων εἰς τοὺς οὐρανούς. Ἄλλοι πάλιν ἰσχυρίζονται, ὅτι ἡ Βασιλεία τῶν Οὐρανῶν ὁμοιάζει μὲ τὴν κατάστασιν τῶν Ἀγγέλων, τὴν ὁποίαν θὰ ἀπολαύσουν οἱ σῳζόμενοι· ἄλλοι, τέλος, ἔχουν τὴν γνώμην, ὅτι ἡ Βασιλεία τῶν Οὐρανῶν εἶναι αὐτὴ αὕτη ἡ θεϊκὴ ὡραιότης ὅσων ἐφόρεσαν τὴν εἰκόνα τοῦ ἐπουρανίου.

Ἐγὼ πάντως φρονῶ, ὅτι καὶ αἱ τρεῖς ἀνωτέρω περιγραφεῖσαι ἀντιλήψεις περὶ τῆς Βασιλείας τῶν Οὐρανῶν συμφωνοῦν μεταξύ των· διότι εἰς ὅλους τοὺς σῳζομένους ἡ μέλλουσα Χάρις θὰ δοθῇ ἀναλόγως τῆς ποιότητος καὶ ποσότητος τῶν ὑπ' αὐτῶν ἐπιτελεσθέντων ἔργων πίστεως καὶ ἀρετῆς κατὰ τὴν ἐπίγειον ζωήν των.







ΥΠΟΘΕΣΙΣ Ζ΄

Ὅτι πολλάκις αἱ τῶν ἐναρέτων ψυχαὶ ἐν τῷ θανάτῳ θείᾳ τινὶ ἐπισκιάσει παρακαλούμεναι, οὕτω τοῦ σώματος διαζεύγνυνται.

Πολλὰς φορὰς αἱ ψυχαὶ τῶν ἐναρέτων ἀνθρώπων ἐνθαρρύνονται, κατὰ τὴν ὥραν τοῦ θανάτου, ὑπὸ θείας τινὸς ἐπισκιάσεως καὶ ἔτσι ἀποχωρίζονται ἀπὸ τὸ σῶμα.



Α΄. Γρηγορίου τοῦ Διαλόγου



Ν ΤΗι τῆς Νουρσίας χώρᾳ, Πρεσβύτερός τις ἦν τὴν ἐμπιστευθεῖσαν αὐτῷ Ἐκκλησίαν μετὰ μεγίστου πρὸς τὸν Θεὸν φόβου ποιμαίνων, ὃς ἀπὸ τοῦ καιροῦ τῆς χειροτονίας αὐτοῦ, τὴν ἑαυτοῦ σύμβιον, ὡς μὲν ἀδελφὴν ἠγάπα, ὡς δὲ ἐχθρὸν φοβούμενος, ταύτην ἐγγίσαι αὐτῷ οὐδέποτε εἴασεν ἐν οὐδεμιᾷ προφάσει, ἀλλὰ παντελῶς τὴν ἐκ τῆς κοινωνίας γνησιότητα ἐξ αὐτῆς ἀπέτεμε· μετὰ πάντων γὰρ τῶν ἀγαθῶν καὶ τοῦτο τὸ ἰδίωμα ἔχουσιν οἱ ἅγιοι ἄνδρες· ὡς μὴ μόνον ἐκ τῶν μὴ ἁρμοζόντων πάντοτε ἐκ μήκους εἶναι, ἀλλὰ καὶ τὰ ἁρμόζοντα πολλάκις ἀφ᾽ ἑαυτῶν ἀποτέμνουσιν· ὅθεν καὶ αὐτὸς ὁ ἀνὴρ ἵνα μὴ οἱῳδηποτοῦν πταίσματι δι᾽ αὐτῆς περιέλθῃ, οὔτε εἰς τὰ ἐπάναγκες διακονηθῆναι παρ᾽ αὐτῆς κατεδέχετο.

Οὕτως οὖν τὴν ζωὴν διανύσας, καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἐκκαύσει πυρετοῦ βαρυτάτου συσχεθείς, τῷ τεσσαρακοστῷ ἔτει τῆς χειροτονίας αὐτοῦ, εἰς τὰ ἔσχατα ἀπηνέχθη· ἰδοῦσα δὲ αὐτοῦ ἡ σύμβιος ὅτι ἅπαντα αὐτοῦ τὰ μέλη ἀπενεκρώθησαν, καὶ λοιπὸν τῷ θανάτῳ προσήγγισε, τὴν ἀκοὴν αὐτῆς ταῖς ρισὶν αὐτοῦ ἐπιθεῖσα, ἔσπευδε διαγνῶναι ἐὰν αὐτῷ τις ἔτι πνοὴ ζωτικὴ ὑπῆρχεν· ὅπερ ἐκεῖνος ἐπιγνούς, καίτοι λίαν λεπτοτάτης αὐτῷ πνοῆς ὑπαρχούσης, τῇ ἐπινεύσει δὲ μᾶλλον θερμανθεὶς τοῦ Πνεύματος, ὅσην ἠδυνήθη σωρεῦσαι πνοὴν τοῦ λαλῆσαι, ἔλεγε λέγων· ἀπόστα ἀπ᾽ ἐμοῦ, γύναι· τὸ γὰρ πῦρ ἔτι ζῇ· ἔπαρον τὸ ἄχυρον· ἐκείνης δὲ ὑποχωρησάσης, καὶ τῆς τοῦ σώματος αὐτοῦ δυνάμεως αὐξησάσης, μετὰ μεγάλης εὐφροσύνης ἤρξατο κράζειν καὶ λέγειν· καλῶς ἔρχονται οἱ κύριοί μου· καλῶς ἔρχονται οἱ κύριοί μου· τί πρὸς τὸν ἀνάξιον ὑμῶν δοῦλον ἐλθεῖν κατηξιώσατε; ἔρχομαι· εὐχαριστῶ· εὐχαριστῶ.

Οἱ οὖν γνωστοὶ αὐτοῦ οἱ ἐκεῖσε παρόντες, τὸν αὐτὸν λόγον συχνῶς αὐτοῦ λέ-

γοντος ἀκούοντες, τί σοι τοῦτο ἔλεγον; ἠρώτων· πρὸς οὓς ἀπεκρίθη ἐκεῖνος θαυμάζων· οὐ θεωρεῖτε τοὺς θείους Ἀποστόλους συνεληλυθότας ἐνταῦθα; οὐ θεωρεῖτε τοὺς μακαρίους Πέτρον καὶ Παῦλον τοὺς πρώτους τῶν Ἀποστόλων; πρὸς οὓς πάλιν ἐπιστραφεὶς εἶπεν· ἰδοὺ ἔρχομαι· καὶ ἐν τούτοις τοῖς ῥήμασι τὴν ψυχὴν ἀπέδωκεν· ἐπ' ἀληθείας οὖν τοὺς Ἀποστόλους ἐθεάσατο, οἷς καὶ ἀκολουθεῖν ἐμαρτύρησεν.

Ὅθεν δῆλον ὅτι καὶ τοῦτο τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ συμβαίνει ἐν τοῖς δικαίοις· ἵνα τῷ θανάτῳ γενόμενοι, ὀπτασίας τινῶν ἁγίων θεάσωνται, ὡς ἂν μὴ ἐν τῇ ἀποφάσει τοῦ θανάτου βάσανον δειλιάσωσιν· ἀλλ' ἐν τῷ ἐπιδεικνῦσθαι αὐτοῖς τῷ ἔνδοθεν λογισμῷ μετὰ τίνων συμμέτοχοι ὑπάρχουσιν, ἐκ τοῦ δεσμοῦ τῆς σαρκὸς ἄνευ πόνου καὶ φόβου ἀπολυθῶσι.

2. Τὸ αὐτὸ καὶ εἰς Πρόβον τὸν ἐπίσκοπον τῆς πόλεως Ῥεάτης γενόμενον ἔμαθον· ὅτι τοῦ τέλους τῆς ζωῆς αὐτοῦ πλησιάσαντος, βαρυτάτη νόσος αὐτὸν κατέσχεν· ὁ δὲ ἐκείνου πατὴρ Μάξιμος ἐν τοῖς πέριξ ἀποστείλας ἰατροὺς προσεκαλέσατο, ἵνα εἴ τι δύνανται τῷ ἀσθενοῦντι βοηθήσωσι· πολλοὶ οὖν ἰατροὶ συνελθόντες, καὶ τὸν τοῦ ἀρρωστοῦντος σφυγμὸν θεασάμενοι καὶ ψηλαφήσαντες, ἐμήνυσαν σύντομον τὸν θάνατον αὐτοῦ ἔσεσθαι· τῆς οὖν ὥρας προκοψάσης, καὶ ἤδη τοῦ καιροῦ τοῦ ἀρίστου καταλαβόντος, ὁ ἀρρωστῶν Ἐπίσκοπος, περὶ τῆς ἐκείνων ἀναπαύσεως πλεῖον ἢ περὶ ἑαυτοῦ ἐφρόντισεν· ὅθεν καὶ τοὺς ἰατροὺς παρεκάλεσεν, ἵνα σὺν τῷ πρεσβύτῃ αὐτοῦ πατρὶ ἐν τοῖς ἀνωγέοις τοῦ Ἐπισκοπείου ἀνέλθωσι, καὶ τροφῆς μεταλάβωσιν· ἅπαντες οὖν ἐπὶ τὸ ἀριστῆσαι ἀνῆλθον, καταλιπόντες παιδίον σεμνὸν ἵνα αὐτῷ παρίσταται· ὅπερ καὶ μέχρι τοῦ νῦν περίεστιν.

Ἐν ὅσῳ οὖν τὸ παιδίον τῇ κλίνῃ τοῦ κειμένου παρίστατο, ἐθεάσατο αἴφνης ἄνδρας τινὰς πρὸς αὐτὸν εἰσερχομένους, στολὰς λευκὰς ἠμφιεσμένους, οἵτινες τῷ φωτὶ τοῦ προσώπου αὐτῶν τὴν λαμπρότητα τῶν ἱματίων αὐτῶν ὑπερέβαλλον· πληγεὶς οὖν ὁ παῖς ἐκ τῆς ἀστραπῆς τῆς αὐτῶν λαμπρότητος, κράζειν ἤρξατο τίνες ἐκεῖνοι ὑπάρχουσι· τῇ δὲ τοῦ παιδὸς φωνῇ ὁ Ἐπίσκοπος Πρόβος συνταραχθείς, εἰσερχομένους τοὺς ἄνδρας ἑωρακὼς τούτους ἐπέγνω καὶ ὅλος εὐφροσύνης ἀναπλησθείς, τὸν κράζοντα παῖδα παρεκάλει λέγων· μὴ φοβοῦ, μὴ φοβοῦ· ὅτι πρός με ὁ Ἅγιος Ἰουβενάλιος, καὶ ὁ Ἅγιος Ἐλευθέριος οἱ Μάρτυρες ἦλθον· ἐκεῖνος δὲ μὴ φέρων τὴν ἀστραπὴν τῆς ἐκείνων θέας δρομαῖος ἐξελθών, τῷ πατρὶ τοῦ Ἐπισκόπου καὶ τοῖς ἰατροῖς τὰ θεαθέντα ἐμήνυσεν· οἵτινες κατελθόντες συντόμως, εὗρον τὸν Ἐπίσκοπον ἤδη θανόντα· ὅθεν δῆλον ὅτι ἐκεῖνοι αὐτὸν μεθ' ἑαυτῶν ἐπῆραν, ὧν τὴν θέαν ὁ παῖς οὐκ ἠδυνήθη ὑπενεγκεῖν.

3. Καὶ τοῦτο δὲ γνώριμον ποιῆσαι ἀναγκαῖον ὑπάρχει· ὅτι πολλάκις ταῖς ψυχαῖς τῶν ἐκλεκτῶν ἐξερχομέναις ἐκ τοῦ σώματος αἶνος ἐν τοῖς οὐρανοῖς ἀκούεται· ἵνα ἐν ὅσῳ τούτου ἡδέως αἱ ψυχαὶ ἐπακροῶνται, τὴν ἐκ τῆς σαρκὸς διάζευξιν μὴ αἰσθάνωνται πῶς ὑπομένουσι.

Περὶ δὲ οὗ μέλλω εἰπεῖν, καὶ ἐν ταῖς ὁμιλίαις τοῦ Εὐαγγελίου διηγησάμενος μέμνημαι. Ἐν γὰρ τῷ ἐμβόλῳ τῷ διήκοντι μέχρι τῆς Ἐκκλησίας τοῦ Ἁγίου Κλήμεντος, ὑπῆρχέ τις κατὰ τὴν ὁδὸν κατακείμενος ὀνόματι Σέρβουλος· ὃν καὶ σὲ ἀγνοεῖν οὐκ οἶμαι· οὗτος οὖν εἰ καὶ τοῖς πράγμασι τοῦ βίου πτωχὸς ἦν, ἀλλὰ ταῖς ἀρεταῖς καὶ πάνυ πλούσιος ὑπῆρχε· τούτου δὲ τὸ σῶμα πολυχρόνιος ἀρρωστία παρέλυσεν· ἐξ οὗ γὰρ αὐτὸν διέγνωμεν μέχρι τοῦ τέλους τῆς ζωῆς αὐτοῦ παραλυτικὸς ἔκειτο καὶ

στῆναι ὅλος ὀρθός, ἢ ἀνακαθίσαι ἐν τῇ κλίνῃ, οὐκ ἴσχυσεν ἢ κἂν τὴν χεῖρα ἢ τὸν πόδα μετακινῆσαι.

Τούτῳ δὲ πρὸς ὑπηρεσίαν ἡ μήτηρ καὶ ὁ ἀδελφὸς αὐτοῦ παρίσταντο· εἴ τι δὲ ἀπὸ ἐλεημοσύνης ἐλάμβανε, τοῦτο διὰ τῶν χειρῶν τῆς μητρὸς καὶ τοῦ ἀδελφοῦ αὐτοῦ πάλιν εἰς ἐλεημοσύνην ἐδίδου· καὶ γράμματα μὲν οὐδαμῶς ἐγίνωσκε· βίβλους δὲ τῆς Ἱερᾶς Γραφῆς ἑαυτῷ ἠγόρασε καὶ δεχόμενος πρὸς παροικίαν εὐλαβεῖς τινας ἄνδρας, τούτους ἐνώπιον αὐτοῦ πεπονημένως ἀναγνῶναι ἐποίει· γέγονε δὲ ὥς τε κατὰ τὸ δυνατὸν αὐτῷ χρησίμως τὴν Ἱερὰν Γραφὴν αὐτῷ ἐκμαθεῖν, καί περ γράμματα τὸ σύνολον μὴ γινώσκων· εὐχαρίστως δὲ πάντα τὸν πόνον ὑπέφερε, καὶ ἐν τῇ τοῦ Θεοῦ αἰνέσει νύκτα καὶ ἡμέραν ἐσχόλαζεν.

Ὡς δὲ λοιπὸν καιρὸς ἦν ἵνα τῆς τοσαύτης αὐτοῦ ὑπομονῆς τὴν ἀντάμειψιν ἀπολάβῃ, ὁ τῶν μελῶν αὐτοῦ πόνος ἔπαυσεν· ἡνίκα δὲ τῷ θανάτῳ πλησιάζοντα ἑαυτὸν ἐπέγνω, οὕς περ ἦν ὑποδεξάμενος ἄνδρας πρὸς τὸ ξενοδοχῆσαι, παρεκάλεσεν, ὅπως ἀναστῶσι καὶ σὺν αὐτῷ διὰ τὴν ἀναμονὴν τῆς ψυχῆς αὐτοῦ ψαλμῳδίαν τῷ Θεῷ ᾄσωσιν· ἐν ὅσῳ δὲ σὺν αὐτοῖς καὶ αὐτὸς ὁ τελευτῶν ἔψαλλεν, αἴφνης τούτους τοῦ ψάλλειν ἐκώλυσε μετὰ φόβου καὶ κραυγῆς μεγάλης λέγων· σιωπᾶτε· μὴ γὰρ οὐκ ἀκούετε πῶς ἀντηχοῦσιν αἰνέσεις ἐν τῷ οὐρανῷ; εἰς οὖν τὰς αἰνέσεις ἐκείνας προσέχων, ὡς ὅτι ἔνδον ἐν τοῖς ὠσὶ τῆς καρδίας αὐτοῦ τούτων ἤκουεν ἡ ἁγία ἐκείνη ψυχή, ἐκ τῶν δεσμῶν τοῦ σώματος ἀπελύθη.

Ταύτης δὲ ἐξελθούσης τοσαύτη ὄσφρησίς εὐωδίας ἐν τῷ τόπῳ ἐκείνῳ γέγονεν, ὡς πάντας τοὺς ἐκεῖ παρισταμένους ταύτης ἐμπλησθῆναι, καὶ φανερὸν ἐκ τούτου γενέσθαι, ὅτι τὴν ψυχὴν ἐκείνην αἱ ἐν τῷ οὐρανῷ αἰνέσεις ἐδέξαντο· ἐν δὲ τῷ πράγματι τούτῳ, Μοναχὸς ἡμέτερος παρὼν αὐτόθι ὑπῆρχεν· ὃς καὶ μέχρι τοῦ νῦν περιών, μετὰ κλαυθμοῦ μαρτυρεῖ λέγων· ὅτι ἕως οὗ τὸ σῶμα αὐτοῦ τῇ ταφῇ παρεδόθη, ἐκ τῶν ρινῶν αὐτοῦ ἡ τῆς εὐωδίας ἐκείνης ἡδύτης οὐκ ἀπέστη.

4. Καὶ γυνὴ δέ τις Ῥεδέμπτα καλουμένη, ἐν τῷ ἱερῷ ὑπάρχουσα σχήματι, ἐν ταύτῃ τῇ Ῥωμαίων πόλει κατῴκει· ταύτης δὲ ἦσαν μαθήτριαι δύο· ὧν ἡ μία Ῥωμίλλα ὠνομάζετο· ἔμενον δὲ αἱ τρεῖς αὗται ἐν μιᾷ οἰκήσει, τοῖς μὲν χρηστοῖς ἤθεσι πλουτοῦσαι, κατὰ δὲ τὴν πρόσκαιρον ταύτην ζωὴν ἐνδείᾳ διάγουσαι· ἡ οὖν Ῥωμίλλα ἐν μεγίστοις δικαιώμασι πολιτείας, τὴν συμμαθήτριαν αὐτῆς ὑπερέβαλλεν· ὑπῆρχε γὰρ θαυμαστῆς ὑπομονῆς, καὶ ἄκρας ὑπακοῆς, τοῦ τε στόματος αὐτῆς φύλαξ ἀκριβής, καὶ πρὸς σιωπὴν ἐπιτηδεία, καὶ καρτερικὴ ἐν τῇ προσευχῇ.

Ἀλλ' ἐπειδὴ ἐν τελειότητι ὑπάρχειν τινὰς ὑπολαμβάνουσιν οἱ ἄνθρωποι, ἐν δὲ τοῖς ὀφθαλμοῖς τοῦ πάντων Δημιουργοῦ ἀτελές τι ἔχουσιν· ὡς γὰρ αἱ τελείως μὴ γλυφεῖσαι σφραγῖδες, πολλάκις παρὰ τῶν μὴ γινωσκόντων ὁρώμεναι, ὡς ἤδη τετελειωμέναι ἐπαινοῦνται· εἰ δὲ ὁ τεχνίτης, εἰ καὶ ἐπαινουμένας αὐτὰς ἀκούει, ἀλλ' οὖν ρινίζων αὐτός, καὶ κατακρούων, καὶ καλλωπίζων οὐκ ἀφίσταται, τοιοῦτόν τι καὶ ἐπὶ τῇ Ῥωμίλλᾳ παρὰ τοῦ πάντων Τεχνίτου γέγονε· νόσῳ γὰρ αὕτη σωματικῇ περιπεσοῦσα, ἣν ἰατροὶ παράλυσιν ὀνομάζουσιν, ἐν πολλοῖς ἔτεσιν ἐν τῇ κλίνῃ κατακειμένη, ἀκίνητος ὅλως ἦν· οὐ μέντοι γε τὸν ταύτης λογισμὸν αἱ τῆς νόσου μάστιγες εἰς ἀνυπομονησίαν κατέσπασαν, ἀλλὰ μᾶλλον προσθήκη δυνάμεως πνευματικῆς αὐτῇ γεγόνασι· τοσούτῳ γὰρ σπουδαιοτέρα ἐν τῇ εὐχῇ γέγονεν, ὅσῳ ἐν τοῖς σωματικοῖς ἔργοις ἀδύνατος ἦν· καὶ εἶχε τὴν προσευχὴν ἀδιάλειπτον.

Ἐν μιᾷ δὲ νυκτὶ τὴν δηλωθεῖσαν Ῥεδέμπταν τὴν διδάσκαλον αὐτῆς καὶ συμμαθήτριαν μετακαλεσαμένη, ἤδη ὄντος μεσονυκτίου, τῇ αὐτῆς παραστᾶσαι κλίνῃ, εἶδον· καὶ ἰδοὺ αἴφνης οὐρανόθεν φῶς ἀπεστάλη, καὶ πάντα τόπον τῆς κέλλης ἐκείνης ἐπλήρωσε· τοσαύτη δὲ ἦν ἡ ἀστραπὴ τοῦ φωτὸς ἐκείνου, ὥς τε τὰς καρδίας τῶν παρεστωσῶν, φόβῳ μεγάλῳ ἐκπλῆξαι, καὶ τὰ μέλη αὐτῶν παγῆναι, ὡς ἐκεῖναι ὕστερον διηγήσαντο· ἐκπλήκτων οὖν ἱσταμένων αὐτῶν ἦχος μέγας ἠκούετο, ὡς πολλοῦ πλήθους εἰσερχομένου, καὶ τῶν θυρῶν τοῦ κελλίου δονουμένων, ἐκ τῆς θλίψεως τῶν εἰσιόντων, τῇ δὲ ὑπερβολῇ τοῦ φόβου, καὶ τῇ ἀστραπῇ τοῦ φωτός, θεωρῆσαι τινὰ οὐκ ἠδύναντο· οἱ γὰρ ὀφθαλμοὶ αὐτῶν καὶ ἐκ τοῦ φόβου ἐβαροῦντο, καὶ ἐκ τῆς τοσαύτης τοῦ φωτὸς λαμπρότητος ἀντεσκοτοῦντο. Τῷ δὲ φωτὶ ἐκείνῳ, θαυμαστὴ ὄσφρησις εὐωδίας ἐπηκολούθει, ὥς τε τὰς τούτων ψυχὰς κἂν εἰ τὸ φῶς ἐκεῖνο ἐφόβισεν, ἀλλ᾽ οὖν ἡ τῆς εὐωδίας ὄσφρησις μᾶλλον ἐψυχαγώγει.

Ὡς δὲ τὴν τοῦ φωτὸς ἐκείνου λαμπρότητα ὑπενεγκεῖν οὐκ ἠδύναντο, ἡ Ῥωμίλλα ἰδοῦσα τὴν ἑαυτῆς διδάσκαλον παρισταμένην καὶ τρέμουσαν, κολακευτικῇ φωνῇ παρεμυθεῖτο λέγουσα· μὴ φοβοῦ, μῆτερ, οὐκ ἀποθνήσκω ἄρτι· ἐν δὲ τῷ συνεχῶς τοῦτο λέγειν αὐτήν, κατ᾽ ὀλίγον τὸ φῶς ἐκεῖνο, ὅπερ ἦν αὐτόθι ἀποσταλέν, ὑπεχώρησεν, ἡ δὲ εὐωδία ἐναπέμεινε. Δευτέρας οὖν καὶ τρίτης ἡμέρας παρελθούσης, ἡ τῆς ἐκκενωθείσης εὐωδίας ὄσφρησις οὕτω διέμεινε· τῇ δὲ τετάρτῃ νυκτί, τὴν διδάσκαλον αὐτῆς καλέσασα, δοθῆναι αὐτῇ συνοδοιπόρον τὸ δεσποτικὸν σῶμα ᾐτήσατο, ὅπερ καὶ ἔλαβεν· αἴφνης δὲ ἐν τῇ πλατείᾳ ἔμπροσθεν τῶν θυρῶν τοῦ κελλίου, δύο χοροὶ ψαλλόντων παρέστησαν· καθὼς δὲ ἔλεγεν ἡ διδάσκαλος αὐτῆς καὶ συμμαθήτρια, δύο φύσεων φωνὰς ἐκ τῆς τοῦ ᾄσματος ψαλμῳδίας διεγίνωσκον· ἀνδρῶν καὶ γυναικῶν ἀντιφωνούντων· ἐν δὲ τῷ ταύτην τὴν οὐράνιον δοξολογίαν ἔμπροσθεν τοῦ κελλίου ἐπιτελεῖσθαι, ἡ ἁγία ἐκείνη ψυχὴ ἐκ τῶν τοῦ σώματος δεσμῶν ἀπελύθη· ἧς τινος ἐν τῷ οὐρανῷ ἀνερχομένης, ὅσον οἱ τῶν ψαλλόντων χοροὶ ἐν τοῖς ὑψηλοτέροις ἀνέβαινον, τοσοῦτον ἡ ψαλμῳδία ἐξ ὕψους ἠκούετο· ἕως οὗ λοιπὸν καὶ ὁ ἦχος τῆς ψαλμῳδίας καὶ ἡ τῆς εὐωδίας ὄσφρησις μακρυνθεῖσαι ἀπῆλθον.

5. Πολλάκις δὲ διὰ παράκλησιν τῆς ἐξερχομένης ψυχῆς, καὶ αὐτὸς ὁ ἀρχηγὸς τῆς ζωῆς καὶ ἀνταποδότης τῶν τῆς ζωῆς ἡμῶν πράξεων ἐπιφαίνεται· καὶ τοῦτο καὶ ἀλλαχοῦ μέμνημαι εἰπὼν περὶ Ταρσίλας τῆς ἐμῆς θείας· αὕτη γὰρ μεταξὺ δύο ἀδελφιδῶν αὐτῆς πάσῃ δυνάμει ἐν τῇ ἀδιαλείπτῳ προσευχῇ προσεκαρτέρει, ἐν μονώσει διάγουσα· καὶ διὰ τοῦ τῆς ἐγκρατείας δὲ ὑψώματος, τῇ ἁγιωσύνῃ ὑπερηύξανε· δι᾽ ὀπτασίας δὲ αὐτῇ ἐπεφάνη Φῆλιξ ὁ προπάππος μου, ὁ ταύτης τῆς Ῥωμαίων ἐκκλησίας Πατριάρχης γενόμενος, καὶ ταύτῃ μονὴν αἰωνίου λαμπρότητος ὑπέδειξε λέγων, ἐλθέ· ὅτι ἐν ταύτῃ σε τῇ μονῇ τοῦ φωτὸς ἀπεκδέχομαι· πυρετοῦ δὲ αὐτῇ ἐπελθόντος, τῷ θανάτῳ προσήγγισε· καθὼς δὲ ἔθος ἐστὶν ἀνδρῶν τε καὶ γυναικῶν εὐγενῶν ἀποθνησκόντων, πολλοὺς παραγίνεσθαι ἐπὶ τῷ τοὺς συγγενεῖς αὐτῶν παραμυθήσασθαι, ἐν αὐτῇ τῇ ὥρᾳ τῆς ἐξόδου αὐτῆς πολλοὶ ἄνδρες καὶ γυναῖκες πέριξ τῆς κλίνης αὐτῆς παρίσταντο.

Αἴφνης δὲ ἡ κειμένη ἄνω θεασαμένη, εἶδε τὸν Ἰησοῦν ἐρχόμενον, καὶ μετὰ μεγίστης προθυμίας τῆς ψυχῆς τοῖς παρισταμένοις αὐτῇ μετὰ κραυγῆς ἔλεγεν· ἀπόστητε, ἀπόστητε, ὁ Ἰησοῦς ἔρχεται· καὶ ἐν τῷ προσέχειν αὐτὴν εἰς ὃν περ ἐθεώρει, ἡ ἁγία ψυχὴ ἐκείνη ἐκ τοῦ σώματος ἐξῆλθε· τοιαύτη δὲ ὄσφρησις θαυμαστῆς εὐω-

δίας ἐκεῖσε ἐξεχύθη, ὅση πᾶσι τοῖς ἐκεῖ εὑρεθεῖσι δεῖξαι φανερῶς ἠδυνήθη, ὅτι τότε ὁ τῆς εὐωδίας ἀρχηγὸς ἐκεῖ παρεγένετο· κατὰ δὲ τὸ ἔθος τὸ ἐν τοῖς νεκροῖς τελούμενον, ἐπὶ τῷ λοῦσαι τὸ σῶμα αὐτῆς γυμνώσαντες, εὗρον ἐν τοῖς γόνασι καὶ τοῖς ἀγκῶσιν αὐτῆς, καθάπερ καμήλου τὸ δέρμα ἀπεσκληκός, ἐκ τῆς συντόνου εὐχῆς καὶ γονυκλισίας. Καὶ ἡ νεκρωθεῖσα σὰρξ ἐμαρτύρησε τί τὸ πνεῦμα ζώσης αὐτῆς διεπράττετο.

6. Καὶ κόρη δέ τις μικρά, καλουμένη Μοῦσα, καθὼς μοι Πρόβος ὁ αὐτῆς ἀδελφός, ἀνὴρ εὐλαβής, διηγήσατο, ἐν τῇ νυκτὶ δι' ὀπτασίας εἶδε τὴν Θεοτόκον καὶ Ἀειπάρθενον Μαρίαν, ὑποδεικνύουσαν αὐτῇ τὰς ὁμήλικας αὐτῇ κόρας, αἷς κἀκείνη ἑαυτὴν συμμῖξαι θέλουσα, οὐκ ἐτόλμα· ἠρωτήθη. δὲ παρὰ τῆς Θεοτόκου ἐὰν θέλῃ ἅμα αὐταῖς εἶναι καὶ εἰς τὸ ὀψίκιον αὐτῆς ταγῆναι· τῆς δὲ σφόδρα θέλειν εἰπούσης, εὐθὺς δέδωκεν ἡ Θεοτόκος αὐτῇ ἐντολήν, ὅπως τοῦ λοιποῦ μηδὲν παιδικὸν ἢ ἄκαιρόν τι διαπράξηται, ἀλλὰ καὶ ἀπὸ γέλωτος καὶ παιγνιδίου ἐγκρατεύηται, γινώσκουσα ἀκριβῶς ὅτι μετὰ τῶν παρθένων ἐκείνων, ὧν ἐθεάσατο εἰς τὸ ὀψίκιον αὐτῆς, τῇ τριακοστῇ ἡμέρᾳ ἔρχεται.

Ἔκτοτε οὖν ἡ κόρη ἐκ πάντων τῶν ἐθῶν αὐτῆς ἠλλάγη καὶ πᾶσαν ἀφ' ἑαυτῆς παιδικὴν ἐλαφρότητα σὺν πάσῃ δυνάμει ἐπῆρεν, οἱ δὲ γονεῖς αὐτῆς οὕτως ἀλλαγεῖσαν αἰφνιδίως θεασάμενοι, θαυμάζοντες ἐπηρώτων αὐτὴν τὴν αἰτίαν τῆς ἀλλοιώσεως· ἡ δὲ ἀπεκρίθη τί αὐτῇ ἡ Θεοτόκος ἐκέλευσεν, ἣν εἶδεν ἐν τῇ νυκτὶ καὶ ποίᾳ ἡμέρᾳ εἰς τὸ ὀψίκιον αὐτῆς μέλλει ἀπέρχεσθαι τούτοις ἐμήνυσε· τῇ οὖν εἰκοστῇ πέμπτῃ ἡμέρᾳ, πυρετῷ κατεσχέθη· τῇ δὲ τριακοστῇ, ὅτε ἡ ὥρα τῆς ἐξόδου αὐτῆς ἐπλησίασεν, εἶδε πάλιν τὴν Θεοτόκον πρὸς αὐτὴν ἐλθοῦσαν σὺν ταῖς κόραις ἐκείναις ταῖς καὶ πρώην ὀφθείσαις αὐτῇ, καὶ καλοῦσαν αὐτήν· ἡ δὲ ἐρυθριῶντι βλέμματι καὶ φωνῇ πρᾳοτάτῃ ἀπεκρίνατο αὐτῇ· Ἰ δ ο ὺ Κ υ ρ ί α ἔ ρ χ ο μ α ι· Ἰ δ ο ὺ Κ υ ρ ί α ἔ ρ χ ο μ α ι· καὶ ἐν ταύταις ταῖς φωναῖς τὸ πνεῦμα ἀπέδωκε· καὶ ἐκ τοῦ παρθενεύοντος σώματος ἐξελθοῦσα, μετὰ τῶν παρθένων κατῴκησε.

7. Καὶ τὸ γεγονὸς δέ σοι εἴπω εἰς τὸν εὐλαβέστατον πατέρα Στέφανον· ὃς ἄκρος ἀκτήμων ἦν καὶ ἀνεξίκακος καὶ τῇ εὐχῇ διαπαντὸς σχολάζων, οὗ τινος ἓν ἔργον ἀναγγελῶ, ἵνα ἐκ τούτου καὶ τὰ λοιπὰ αὐτοῦ δυνήσῃ κατανοῆσαι· ἐν γὰρ μιᾷ τὸν σῖτον ὃν ἔσπειρε θερίσας, εἰς τὴν ἅλωνα ἀπήγαγεν· οὐδὲν δὲ ἕτερον εἶχεν εἰς ἀποτροφὴν ὅλου τοῦ ἔτους ἅμα τοῖς αὐτοῦ μαθηταῖς, πάρεξ τούτου· ἀνὴρ δέ τις ὑπὸ τοῦ διαβόλου ἐνεργούμενος, τὸν σῖτον ἐν τῇ ἅλωνι κείμενον, πῦρ ὑφάψας ἔκαυσεν· ἕτερος δέ τις τὸ γεγονὸς θεασάμενος, τῷ τοῦ Θεοῦ οἰκέτῃ τοῦτο ἐμήνυσε προσθείς· οὐαί, οὐαί, πάτερ Στέφανε, τί σοι συνέβη· αὐτὸς δὲ ἱλαρῷ προσώπῳ καὶ ὀφθαλμῷ ἀταράχῳ ἀπεκρίθη αὐτῷ λέγων· οὐαὶ τί ἐκείνῳ συνέβη τῷ τοῦτο ποιήσαντι· ἐπεὶ ἐμοὶ τί συνέβη; ἐκ τούτου οὖν κατανόησον, ἐν ποίῳ ὕψει δυνάμεως καὶ βαθμῷ ὁ τούτου λογισμὸς ἵδρυτο· ὅτι ἓν ὅπερ εἰς ἀποτροφὴν εἶχεν ὅλου τοῦ ἔτους ἀπολέσας, οὕτως ἀμέριμνος διέμεινε καὶ ἀτάραχος, καὶ μᾶλλον ὑπὲρ ἐκείνου τοῦ τὴν ἁμαρτίαν ποιήσαντος ἐπόνεσεν, ἢ διὰ τὴν ζημίαν ἣν αὐτὸς ὑπέμεινε.

Τούτου οὖν προσεγγίσαντος τῷ θανάτῳ, πολλοὶ ἐκεῖθεν συνῆλθον, ἵνα τῆς ἁγίας ψυχῆς ἐκείνης τοῦ σώματος ἐξιούσης, τὰς ἑαυτῶν ψυχὰς ταύτῃ παράθωνται· κύκλῳ οὖν τῆς κλίνης ἱστάμενοι, οἱ μὲν εἰσερχομένους τοὺς Ἀγγέλους ἐθεάσαντο, εἰπεῖν δέ τι οὐδαμῶς ἠδυνήθησαν· ἕτεροι δέ, τίποτε μὲν οὐκ ἐθεάσαντο, πολλῷ δὲ φό-

δῳ τὰς ψυχὰς συνεσχέθησαν, ὥς τε πάντας, τούς τε ἰδόντας καὶ μὴ ἰδόντας, σφόδρα φοβηθέντας φυγεῖν, καὶ μηδένα δυνηθῆναι ἐκεῖσε ἐναπομεῖναι, τῆς ἁγίας ἐκείνης ἐξερχομένης ψυχῆς· καὶ φανερῶς ἐδείχθη τίνες ἐκεῖνοι ὑπῆρχον οἱ τὴν ἁγίαν ψυχὴν ἐξερχομένην ὑποδεχόμενοι, ἧς τὴν ἔξοδον οὐδεὶς τῶν θνητῶν ὑπενέγκαι ἠδυνήθη.

8. Ἐπὶ τούτοις δὲ καὶ τοῦτο γνωστὸν ἔστω σοι, ὅτι οὐ πάντοτε ἐν τῇ ἐξόδῳ τῆς ψυχῆς τὸ ἀξίωμα αὐτῆς δείκνυται, μετὰ δὲ θάνατον ἀσφαλῶς φανεροῦται· ὅθεν καὶ οἱ Ἅγιοι Μάρτυρες, πολλὴν ὠμότητα παρὰ τῶν ἀπίστων ὑπομείναντες, ἐν τοῖς νεκροῖς αὐτῶν ὀστέοις σημείοις καὶ θαύμασι καθ' ἑκάστην λαμπρύνονται· ἔστι δὲ ὅτε τοὐναντίον καὶ πρὸ τῆς τελευτῆς ὁ παντοδύναμος Θεός, τινῶν δειλιώντων τοὺς διαλογισμοὺς ἀποκαλύψεσί τισιν ἐπιστηρίζει, ἵνα ἐν τῷ θανάτῳ γενόμενοι μηδὲν φοβηθῶσι.

Ἀδελφὸς γάρ τις μετ' ἐμοῦ ἐν τῷ Μοναστηρίῳ διάγων, ὀνόματι Ἀντώνιος, ἐν καθημερινῷ πένθει καὶ δάκρυσιν ἀδιαλείπτοις ἠγωνίζετο ἐπιτυχεῖν τῆς χαρᾶς τῆς ἐν τῇ ἐπουρανίῳ πατρίδι ἀποκειμένης, μετὰ πολλοῦ πόθου καὶ ἐπιμονῆς τὰ ἱερὰ μελετῶν λόγια· οὐχὶ γνώσεως ῥήματα ἐν αὐτοῖς ἐπιζητῶν, ἀλλὰ κλαυθμὸν κατανύξεως, ὅπως διὰ τούτων ὁ λογισμὸς αὐτοῦ ἀνανήψας, τὰ ἐπίγεια καταλιπών, ἐν τῇ ἐπουρανίῳ πατρίδι διὰ θεωρίας μετάρσιος γένηται.

Τούτῳ οὖν διὰ νυκτερινῆς ὀπτασίας ἐρρέθη· ἕ τ ο ι μ ο ς γ ε ν ο ῦ· ὁ γὰρ Κύριος ἐκέλευσεν ἵνα μετάρῃς· ἐκείνου δὲ εἰρηκότος μὴ ἔχειν ἐν ἑτοίμῳ τὰ δέοντα πρὸς τὸ μετάραι αὐτόν, παρευθὺς ἀπολογίας ἤκουσε λεγούσης· ἐὰν περὶ τῶν ἁμαρτιῶν σού ἐστιν ὅπερ λέγεις, συνεχωρήθησάν σοι· ταῦτα δὲ ἅπαξ ἀκούσας, ἐν μεγάλῳ φόβῳ καὶ δειλίᾳ ἔτι ὑπῆρχεν. Ἐν δὲ ἑτέρᾳ νυκτί, πάλιν τοῖς αὐτοῖς λόγοις ἐχρηματίσθη· μετὰ δὲ πέντε ἡμέρας, πυρετῷ συσχεθεὶς πάντων τῶν ἀδελφῶν κλαιόντων καὶ εὐχομένων, ἐν ἀγαλλιάσει πρὸς Κύριον ἐξεδήμησεν.

9. Καὶ ἕτερος ἀδελφὸς ἐν τῷ αὐτῷ Μοναστηρίῳ, Μέρουλος λεγόμενος, σφοδροτάτοις δάκρυσι καὶ τῇ ἐλεημοσύνῃ προσεκαρτέρει· ἡ δὲ προσευχὴ ἐκ τοῦ στόματος αὐτοῦ οὐδέποτε διελίμπανε, πάρεξ τῆς ὥρας τῆς τροφῆς καὶ τοῦ ὕπνου· ἐφάνη οὖν αὐτῷ διὰ νυκτερινῆς ὀπτασίας, ὅτι ἐκ λευκῶν ἀνθέων στέφανος ἀπ' οὐρανοῦ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ κατήρχετο· ὃς μετὰ μικρὸν σωματικῇ ἀρρωστίᾳ κατασχεθείς, μετὰ πολλῆς ἀμεριμνίας καὶ ἐν ψυχῆς ἱλαρότητι ἐτελεύτησε· μετὰ δὲ δεκατέσσαρα ἔτη πλησίον τοῦ μνήματος ἐν ᾧ ἐτάφη, Πέτρος ὁ νυνὶ τῆς αὐτῆς μονῆς προεστώς, μνῆμα ἑαυτῷ ποιῆσαι ἠθέλησε· κάμνοντος δὲ αὐτοῦ ἐκεῖσε καθὼς λέγει, τοιαύτης ὄσφρησις εὐωδίας ἐκ τοῦ μνήματος ἀνῆλθεν, ὡς ὅτι παντοῖα ἄνθη τὰ εὐώδη ἐκεῖσε ἦν συνηγμένα· ὅθεν φανερὸν καθίσταται ὅτι ἀληθὲς ὑπῆρχεν, ὅπερ διὰ τῆς νυκτερινῆς ὀπτασίας ἐθεάσατο.

Ἑ ρ μ η ν ε ί α

ΕΙΣ ΤΗΝ ΠΟΛΙΝ τῆς Νουρσίας* ἔζη κάποτε ἕνας πρεσβύτερος. Οὗτος ἐποίμαινε μετὰ μεγίστου φόβου Θεοῦ τὴν Ἐκκλησίαν, ποὺ ἐνεπιστεύ-

---

* Νουρσία (Norcia) εἶναι πόλις μικρὰ τῆς Κεντρικῆς Ἰταλίας κειμένη παρὰ τὸν Φρέδαραν ποταμὸν μεταξὺ Ἀκουϊλίας καὶ Σπολέτου ἑκάστης τῶν ὁποίων ἀπέχει περὶ τὰ 28 μίλια.

θη εἰς αὐτὸν ἡ Θεία Πρόνοια. Αὐτὸς λοιπὸν ὁ Πρεσβύτερος, ἀπὸ τότε ποὺ ἐχειροτονήθη, ἠγάπα τὴν πρεσβυτέραν του ὡς ἀδελφήν· τὴν ἐφοβεῖτο ὅμως, ὡς ἐχθρόν, καὶ δι' αὐτὸ οὐδέποτε τὴν ἄφησε νὰ τὸν ἐγγίση, ἀλλ' ἀπέκοψε τελείως ἐξ αὐτῆς καὶ αὐτὴν ἀκόμη τὴν σχέσιν τῆς συζυγικῆς ἐπικοινωνίας.

Διότι οἱ Ἅγιοι ἄνδρες, μαζὶ μὲ ὅλα τὰ ἄλλα καλά, ποὺ στολίζουν τὴν ψυχήν των, ἔχουν καὶ αὐτὸ τὸ γνώρισμα· ὅτι δηλαδὴ ἀπέχουν ὄχι μόνον ἀπὸ αὐτὰ ποὺ δὲν ἁρμόζουν, ἀλλὰ ἀποκόπτουν ἀπὸ τὰς συνηθείας των πολλάκις καὶ αὐτὰ ποὺ ἁρμόζουν.

Δι' αὐτὸ λοιπὸν καὶ αὐτὸς ὁ εὐλογημένος πρεσβύτερος, φοβούμενος μήπως ὑποπέση, δι' αὐτῆς, εἰς ἕνα οἱονδήποτε πταῖσμα, δὲν ἄφηνε νὰ ἐξυπηρετηθῇ ἀπὸ τὴν πρεσβυτέραν του οὔτε εἰς αὐτὰς τὰς στοιχειώδεις ἀνάγκας τῆς ζωῆς.

Μὲ τοιαύτην προσοχὴν καὶ ἐπαγρύπνησιν ἐπέρασε τὴν ζωήν του καὶ ἔφθασεν εἰς βαθὺ γῆρας· τεσσαράκοντα λοιπὸν ἔτη μετὰ τὴν χειροτονίαν κατελήφθη ἀπὸ ὑψηλὸν πυρετὸν καὶ ἔφθασεν εἰς τὰ τελευταῖα του. Ὅταν εἶδεν ἡ σύζυγός του ὅτι ὅλα πλέον τὰ μέλη του ἐνεκρώθησαν καὶ ἐπλησίασε πλέον τὸν θάνατον, πλησιάσασα εἰς τὴν μύτην αὐτοῦ προσπαθοῦσε διὰ τῆς ἀκοῆς της νὰ ἀντιληφθῇ ἐὰν ἀνέπνεε· μόλις ὁ ἑτοιμοθάνατος πρεσβύτερος ἀντελήφθη τὴν ἐπαφήν της, ἂν καὶ ἐλαχίστη πλέον πνοὴ τοῦ ἀπέμενε, συνεκέντρωσεν ὅλην τὴν ἐναπομένουσαν δύναμιν καὶ θερμαινόμενος μᾶλλον ἀπὸ τὴν φλόγα τοῦ Ἁγίου Πνεύματος, ποὺ ἐφλόγιζε τὴν καρδίαν του, λέγει εἰς τὴν πρεσβυτέραν του:

— Γυναίκα, φύγε ἀπὸ κοντά μου· διότι τὸ πῦρ ζῇ ἀκόμη μέσα μου· πάρε λοιπὸν τὸ ἄχυρον. Φοβισμένη ὑπεχώρησεν ἡ πρεσβυτέρα· ὁ δὲ πρεσβύτερος αἰσθανθεὶς αἰφνιδίως αὔξησιν τῆς σωματικῆς του δυνάμεως, ἤρχισε νὰ κραυγάζῃ μὲ μεγάλην χαράν:

— Καλῶς ὡρίσατε οἱ κύριοί μου· καλῶς ἤλθατε οἱ κύριοί μου· πῶς καταδεχθήκατε νὰ ἔλθετε πρὸς τὸν ἀνάξιον δοῦλον σας; ἔρχομαι· εὐχαριστῶ, εὐχαριστῶ.

Ὅσοι λοιπὸν ἐκ τῶν γνωστῶν του παρευρίσκοντο, τὸν ἠρώτων μὲ περιέργειαν, καθ' ὅσον τὸν ἤκουον νὰ ἐπαναλαμβάνῃ τὰς ἰδίας λέξεις:

— Τί σοῦ συμβαίνει;

Τότε τοὺς ἀπήντα ἐκπλησσόμενος πῶς καὶ ἐκεῖνοι δὲν ἀντελαμβάνοντο τὰ γινόμενα.

—Δὲν βλέπετε τοὺς θείους Ἀποστόλους, ποὺ ἔχουν ἔλθει ἐδῶ; Δὲν βλέπετε τοὺς κορυφαίους, τὸν μακάριον Πέτρον καὶ τὸν μακάριον Παῦλον;

Αἰφνιδίως δέ, ὡς νὰ ἀπηυθύνετο πρὸς τοὺς κορυφαίους, τὸν Πέτρον καὶ τὸν Παῦλον, ἔλεγεν:

— Νά, ἀμέσως ἔρχομαι.

Μὲ τὰς λέξεις δὲ αὐτὰς παρέδωσε καὶ τὴν ψυχήν του. Πράγματι

λοιπόν, ὁ εὐσεβὴς αὐτὸς ἄνθρωπος εἶδε τοὺς Ἀποστόλους καὶ ὀρθῶς ἐβεβαίωσεν, ὅτι τοὺς ἀκολουθεῖ.

Ἀπὸ αὐτὸ λοιπὸν τὸ περιστατικὸν γίνεται ὁλοφάνερον, ὅτι ἡ φιλανθρωπία τοῦ Θεοῦ προσφέρει κάτι εἰς τοὺς δικαίους κατὰ τὴν ὥραν τοῦ θανάτου· φαίνεται ὅτι ὅταν οἱ δίκαιοι προσεγγίσουν πρὸς τὴν στιγμὴν τοῦ θανάτου, βλέπουν, κατ' οἰκονομίαν Θεοῦ, ὀπτασίας μερικῶν ἁγίων, διὰ νὰ μὴ δειλιάσουν ἀπὸ τὸν φόβον τοῦ θανάτου, ποὺ ἀπεφασίσθη δι' αὐτούς. Ἀπ' ἐναντίας, μὲ τὸ νὰ φανερώνεται εἰς αὐτούς, εἰς τὰ βάθη τῆς ψυχῆς των, μὲ ποίους ἁγίους ἄνδρας θὰ συναγάλλωνται, ἐντὸς ὀλίγου, ἀπελευθερώνονται, εὐκόλως, χωρὶς φόβον καὶ πόνον ἀπὸ τὸν δεσμὸν τῆς σαρκός.

2. Τὸ ἴδιον πρᾶγμα, ὅπως ἔμαθον, συνέβη καὶ εἰς τὸν ἐπίσκοπον τῆς πόλεως Ρεάτης*, τὸν Πρόβον. Ὅταν λοιπὸν ὁ Πρόβος ἔφθασεν εἰς τὰς τελευταίας στιγμὰς τοῦ βίου του, κατελήφθη ἀπὸ βαρυτάτην νόσον. Ὁ πατέρας τότε τοῦ Πρόβου, ὁ Μάξιμος, ἔστειλε καὶ ἐκάλεσεν ἰατροὺς ἀπὸ τὰ γειτονικὰ μέρη, διὰ νὰ βοηθήσουν, εἰς ὅ,τι ἠμποροῦσαν, τὸν ἄρρωστον. Ἦλθον λοιπόν, πράγματι, πολλοὶ ἰατροί· μόλις ὅμως εἶδον τὸν σφυγμὸν τοῦ ἀσθενοῦς καὶ τὸν ἠκροάσθησαν, ἐβεβαίωσαν τοὺς παρισταμένους, ὅτι πλησιάζει ὁ θάνατος. Ἐν τῷ μεταξὺ ἐπέρασεν ἡ ὥρα καὶ ἔφθασεν ἡ στιγμὴ τοῦ γεύματος· ὁ ἀσθενὴς Ἐπίσκοπος τότε, ἐνδιαφερόμενος περισσότερον διὰ τὴν ἀνάπαυσιν τῶν παρευρισκομένων, παρὰ διὰ τὴν ἰδικήν του, παρεκάλεσε καὶ τοὺς ἰατρούς, νὰ ἀναβοῦν, μὲ τὸν γέροντα πατέρα του, εἰς τὸ ἀνώγειον τοῦ Ἐπισκοπείου, διὰ νὰ φάγουν ὀλίγον φαγητόν. Πράγματι λοιπὸν ὅλοι ἀνέβησαν, διὰ νὰ γευματίσουν καὶ ἄφησαν κοντὰ εἰς τὸν ἄρρωστον ἕνα σεμνὸν παιδί, διὰ νὰ τοῦ κρατῇ συντροφιάν· αὐτὸ μάλιστα τὸ παιδὶ εὑρίσκεται εἰς τὴν ζωὴν μέχρι σήμερα.

Καθὼς λοιπὸν τὸ παιδὶ ἐστέκετο κοντὰ εἰς τὸ κρεβάτι τοῦ ἀρρώστου, ἔξαφνα εἶδε μερικοὺς ἄνδρας νὰ εἰσέρχωνται εἰς τὸ δωμάτιόν του, ἐνδεδυμένους λευκὰ φορέματα· τόσον δὲ λαμπρὸν ἦτο τὸ φῶς τοῦ προσώπου των, ὥστε κατενίκα καὶ αὐτὴν τὴν λαμπρότητα τῶν ἐνδυμάτων των. Ἀπὸ τὴν ἀπροσδόκητον θέαν τῶν ἀνθρώπων αὐτῶν καί, πρὸ παντός, ἀπὸ τὴν ἐξαστράπτουσαν ἀκτινοβολίαν των, ἐξεπλάγη τὸ παιδὶ καὶ ἤρχισε περίφοβον νὰ κραυγάζῃ, ποῖοι εἶναι αὐτοὶ οἱ ἄνθρωποι. Ἀπὸ τὴν κραυγὴν αὐτὴν τοῦ παιδιοῦ ἐταράχθη ὁ Ἐπίσκοπος Πρόβος καὶ ἐστράφη πρὸς τοὺς εἰσερχομένους. Μόλις τοὺς εἶδεν, ἀμέσως τοὺς ἀνεγνώρισε. Γεμᾶτος δὲ ἀπὸ χαρὰν καὶ εὐφροσύνην συνεβούλευσε τὸ παιδὶ πού, ἀπὸ τὸν φόβον του, ἐφώναζε. Μὴ φοβᾶσαι, παιδί μου, μὴ φοβᾶσαι, διότι ἦλθον νὰ μὲ ἐπισκεφθοῦν οἱ Ἅγιοι Μάρτυρες Ἰουβενάλιος καὶ Ἐλευθέριος.

Ὡστόσον τὸ παιδί, ζαλισμένον ἀπὸ τὴν ἐξαστράπτουσαν ἀκτινο-

---

* Ρεάτη (Rieti) εἶναι πόλις ἀρχαία τῆς Ἰταλίας, εὑρισκομένη εἰς ἀπόστασιν 40 περίπου μιλίων βορειοανατολικῶς τῆς Ρώμης.

βολίαν τῶν Ἁγίων Μαρτύρων, ἐβγῆκε τρέχον ἀπὸ τὸ δωμάτιον τοῦ ἀσθενοῦς καὶ ἐπῆγεν ἐκεῖ ποὺ εὑρίσκοντο ὁ πατέρας τοῦ Ἐπισκόπου καὶ οἱ ἰατροὶ καὶ τοὺς διηγήθη ὅσα εἶχεν ἴδει. Ἀμέσως τότε ἐκεῖνοι κατῆλθον εἰς τὸ δωμάτιον τοῦ ἀσθενοῦς καὶ εὗρον τὸν Ἐπίσκοπον πλέον νεκρόν. Εἶναι δηλαδὴ φανερὸν πῶς οἱ προσελθόντες Ἅγιοι Μάρτυρες, τῶν ὁποίων τὴν ἐξαστράπτουσαν ἀκτινοβολίαν δὲν ἠμποροῦσε νὰ ἀντικρύση τὸ παιδί, ἐπῆραν μαζί των τὴν ψυχὴν τοῦ Ἐπισκόπου.

3. Εἶναι ἀνάγκη ἀκόμη νὰ γίνῃ γνωστὸν καὶ τοῦτο· πολλάκις, ὅταν αἱ ψυχαὶ τῶν ἐκλεκτῶν ἀνθρώπων ἐξέρχωνται ἀπὸ τὸ σῶμα, ἀκούεται εἰς τοὺς οὐρανοὺς ὕμνος. Αὐτὸ συμβαίνει ἀπὸ τὴν φιλάνθρωπον πρόνοιαν τοῦ Θεοῦ, διὰ νὰ ἀκούουν αἱ ψυχαὶ τὸν ὕμνον, κατὰ τὴν διάρκειαν τῆς ἐπιθανατίου ἀγωνίας, καὶ νὰ μὴ αἰσθάνωνται τὸν χωρισμόν των ἀπὸ τὸ σῶμα.

Τὸ περιστατικόν, τὸ ὁποῖον τώρα ἀμέσως πρόκειται νὰ ἀφηγηθῶ, ἐνθυμοῦμαι ὅτι τὸ ἔχω διηγηθῆ καὶ εἰς τὰς ὁμιλίας μου ἐπὶ τοῦ ἱεροῦ Εὐαγγελίου. Κάποτε λοιπὸν εἰς τὴν στοάν, ἡ ὁποία φθάνει μέχρι τῆς Ἐκκλησίας τοῦ Ἁγίου Κλήμεντος, ἔζη κάποιος δυστυχής, ποὺ ἐλέγετο Σέρβουλος. Αὐτός, τὸν ὁποῖον καὶ σὺ νομίζω ὅτι γνωρίζεις, ἦτο παράλυτος καὶ ἐζήτει ἐλεημοσύνην εἰς τὸν δρόμον. Ὁ Σέρβουλος λοιπόν, ἂν καὶ πάμπτωχος ἀπὸ ὑλικὰ ἀγαθὰ τοῦ παρόντος βίου, ἐν τούτοις ἦτο πάρα πολὺ πλούσιος εἰς ἀρετάς. Τὸ σῶμα του τὸ εἶχε παραλύσει πολυχρόνιος ἀρρώστια· ἀπὸ ὅσα δὲ γνωρίζομεν περὶ αὐτοῦ παρέμεινεν εἰς ὅλην του τὴν ζωὴν παράλυτος καὶ δὲν ἠμπόρεσε ποτὲ νὰ σταθῇ ὄρθιος εἰς τὰ πόδια του ἢ καὶ νὰ ἀνακαθίσῃ ὀλίγον εἰς τὸ κρεββάτι του ἤ, ἔστω, νὰ κινήσῃ ἐπ' ὀλίγον τὸ χέρι του ἢ τὸ πόδι του.

Τὸν δυστυχισμένον αὐτὸν παράλυτον ἐπεριποιοῦντο ἡ μητέρα του καὶ ὁ ἀδελφός του. Ἐὰν δὲ εἰσέπραττε κάτι ἀπὸ τὴν ἐλεημοσύνην τῶν χριστιανῶν, τὸ ἔδιδε καὶ πάλιν ὡς ἐλεημοσύνην μὲ τὰ χέρια τῆς μητέρας του καὶ ἀδελφοῦ του. Ὁ Σέρβουλος δὲν ἐγνώριζε καθόλου γράμματα· ἐν τούτοις ὅμως εἶχεν ἀγοράσει τὰ βιβλία τῆς Ἁγίας Γραφῆς καὶ ὁσάκις τὸν ἐπεσκέπτοντο, διὰ νὰ τοῦ κρατήσουν συντροφιάν, διάφοροι εὐλαβεῖς ἄνθρωποι, τοὺς παρεκάλει μὲ ἐπιμονὴν νὰ διαβάζουν ἐνώπιόν του ἀπὸ τὴν Ἁγίαν Γραφήν. Διὰ τοῦ τρόπου αὐτοῦ κατώρθωσεν, ἂν καὶ δὲν ἤξερε καθόλου γράμματα, νὰ μάθῃ ἀπ' ἔξω τὴν Ἁγίαν Γραφὴν καὶ νὰ τὴν χρησιμοποιῇ διὰ ψυχικήν του ὠφέλειαν. Μὲ ψυχικὴν δὲ εὐχαρίστησιν καὶ γενναιότητα ὑπέφερε τὸν πόνον καὶ τὴν δοκιμασίαν ὑμνῶν καὶ δοξολογῶν νύκτα καὶ ἡμέραν τὸν Θεόν.

Ὅταν ἔφθασεν ὁ καιρὸς νὰ ἀνταμειφθῇ ἀπὸ τὸν Θεὸν διὰ τὴν μεγάλην του αὐτὴν ὑπομονήν, ἀπερχόμενος ἐκ τῶν προσκαίρων εἰς τὰ αἰώνια, ἐσταμάτησε κατ' ἀρχὴν ὁ πόνος τῶν μελῶν του· μόλις δὲ ἀντελήφθη ὅτι πλέον τὸν εἶχε πλησιάσει ὁ θάνατος, παρεκάλεσε τοὺς ἀνθρώπους ἐκείνους, ποὺ ἐδέχθη διὰ νὰ τοὺς φιλοξενήσῃ, νὰ ἐγερθοῦν ἀπὸ τὰ καθίσματά των καὶ νὰ ψάλωσι μαζί του πρὸς τὸν Θεόν, ἐν ἀναμονῇ τῆς ἐ-

ξόδου τῆς ψυχῆς του. Ἔξαφνα δὲ καθὼς ὁ μελλοθάνατος συνέψαλλε μαζί των, τοὺς ἐσταμάτησεν ἀπὸ τὴν ψαλμῳδίαν καὶ μὲ φωνὴν γεμάτην φόβον εἶπε πρὸς αὐτούς: Σιωπᾶτε· δὲν ἀκούετε πῶς ἀντηχοῦν ἀπὸ τὸν οὐρανὸν ὕμνοι; Ἔχων λοιπὸν ἐστραμμένην τὴν προσοχήν του ὁ ψυχορραγῶν εἰς ἐκείνους τοὺς ὕμνους, τοὺς ὁποίους ζωηρῶς καὶ μεθ' ἡδονῆς ἀπελάμβανον τὰ ὦτα τῆς καρδίας του, ἡ ψυχή του ἀπηλευθερώθη ἐκ τοῦ σώματος. Μετὰ τὴν ἔξοδον τῆς ψυχῆς ἐκ τοῦ σώματος ὁ τόπος ἐγέμισεν ἀπὸ τόσην εὐωδίαν, τὴν ὁποίαν ὅλοι οἱ παριστάμενοι ᾐσθάνθησαν. Ἀπὸ αὐτὸ ἐγένετο φανερόν, ὅτι τὴν ἐκδημήσασαν ψυχὴν ὑπεδέχθησαν εἰς τὸν οὐρανὸν ἐκεῖνοι, ποὺ προηγουμένως ἔψαλλον. Εἰς αὐτὸ τὸ συγκινητικὸν γεγονὸς παρευρέθη καὶ ἕνας ἰδικός μας Μοναχός, ὁ ὁποῖος ζῇ ἀκόμη καὶ μὲ δάκρυα, ὁσάκις ἐρωτᾶται, λέγει «μέχρι νὰ ἐνταφιασθῇ τὸ σῶμα τοῦ εὐλογημένου ἐκείνου ἀνθρώπου δὲν ἔφυγε καθόλου ἀπὸ τὴν μύτην μας ἡ γλυκύτης τῆς εὐωδίας ἐκείνης».

4. Εἰς τὴν Ρώμην κατῴκει κάποτε μία Μοναχή, ποὺ ὠνομάζετο Ρεδέμπτα. Κοντά της παρέμενον καὶ δύο μαθήτριαι ἐκ τῶν ὁποίων ἡ μία ἐλέγετο Ρωμίλλα. Καὶ αἱ τρεῖς Μοναχαὶ διέμενον εἰς τὴν ἰδίαν οἰκίαν, πτωχόταται μὲν ἀπὸ τὰ ὑλικὰ ἀγαθὰ τῆς παρούσης ζωῆς, πλουσιώταται ὅμως εἰς εὐσέβειαν καὶ ἀρετήν. Ἡ Ρωμίλλα ὅμως ὑπερέβαλλε τὴν συμμαθήτριάν της εἰς τὴν ἄσκησιν καὶ τὸ ἔργον τῆς ἀρετῆς· διεκρίνετο διὰ τὴν ἀξιοθαύμαστον ὑπομονήν της καὶ τὴν ἄκραν ὑπακοήν της, ἐκράτει μετὰ προσοχῆς τὸ στόμα της κλειστὸν καὶ παρέμενε σιωπηλὴ ἀσκουμένη εἰς τὴν σιωπὴν καὶ ἐπέμενε καρτερικῶς εἰς τὴν προσευχήν.

Εἶναι ὅμως γεγονός, ὅτι οἱ ἄνθρωποι, κρίνοντες ἀπὸ τὰ φαινόμενα, θεωροῦν μερικοὺς ἀνθρώπους τελείους· ἐν τούτοις ὅμως οὗτοι ἐνώπιον τῶν ὀφθαλμῶν τοῦ Δημιουργοῦ ἔχουν κάποιαν ἀτέλειαν. Ἂς λάβωμεν ὡς παράδειγμα τὰς σφραγῖδας· συμβαίνει δηλαδὴ μερικαὶ σφραγῖδες νὰ μὴ ἔχουν σκαλισθῆ καλῶς ἀπὸ τὸν τεχνίτην καὶ ἐν τούτοις ἀπὸ τοὺς μὴ γνωρίζοντας τὰ πράγματα θεωροῦνται τέλειαι. Ἀλλ' ὁ τεχνίτης ὅμως, ὅσους ἐπαίνους καὶ ἐὰν ἀκούῃ διὰ τὸ κατασκεύασμά του, δὲν παύει νὰ χρησιμοποιῇ τὴν λίμαν, νὰ τὴν κτυπᾷ μὲ τὴν σφῦραν διὰ νὰ κάμῃ τὴν σφαγῖδα ὡραιοτέραν καὶ τελειοτέραν. Κάτι ἀνάλογον συνέβη καὶ ἀπὸ τὸν Δημιουργὸν τῶν ὅλων εἰς τὴν Ρωμίλλαν· περιέπεσε δηλαδὴ εἰς μίαν σωματικὴν νόσον, τὴν ὁποίαν οἱ ἰατροὶ τὴν ὀνομάζουν παράλυσιν, ἐκ τῆς ὁποίας κατέστη ἀκίνητος καὶ παρέμενε κατάκοιτος ἐπὶ πολλὰ ἔτη. Ἐν τούτοις ὅμως αἱ μάστιγες τῆς νόσου δὲν ἠδυνήθησαν νὰ κάμψουν τὴν εὐσέβειάν της καὶ νὰ σύρουν τὸν λογισμόν της εἰς ἀνυπομονησίαν· ἀπ' ἐναντίας προσέθεσαν εἰς αὐτὴν πνευματικὴν δύναμιν. Ὅσον περισσότερον ἀδυνάτιζε, λόγῳ τῆς ἀσθενείας, εἰς τὰ σωματικὰ ἔργα καὶ τὴν σωματικὴν ἄσκησιν, ἐπὶ τοσοῦτον καθίστατο σπουδαιοτέρα εἰς τὴν εὐσέβειαν καὶ προσηύχετο ἀδιαλείπτως.

Μίαν νύκτα ἐκάλεσε πλησίον της τὴν γερόντισσαν καὶ διδάσκαλον αὐτῆς Ρεδέμπταν, καθὼς καὶ τὴν συμμαθήτριάν της· κατὰ τὰ μεσά-

νυκτα λοιπόν, ἐνῷ ἐστέκοντο ὄρθιαι κοντὰ εἰς τὴν κλίνην της, εἶδον θέαμα καταπληκτικὸν καὶ θαυμάσιον. Ἐντελῶς αἰφνιδίως κατῆλθε φῶς ἀπὸ τὸν οὐρανὸν καὶ ἐγέμισε μὲ τὴν λάμψιν του ὅλον τὸν χῶρον τοῦ κελλιοῦ. Τόσον δὲ ἐκτυφλωτικὴ ὑπῆρξεν ἡ λάμψις ἐκείνη, ὥστε αἱ καρδίαι τῶν παρισταμένων δηλαδὴ τῆς Γεροντίσσης καὶ τῆς ἀδελφῆς νὰ δοκιμάσουν μεγάλον φόβον καὶ νὰ παγώσουν τὰ μέλη των, καθὼς μετὰ ταῦτα διηγήθησαν.

Ἐνῷ λοιπὸν ἐστέκοντο κατάπληκτοι, ἤρχισε νὰ ἀκούεται συγχρόνως μεγάλος ἦχος, ὡς νὰ εἰσήρχετο εἰς τὸ κελλίον πλῆθος πολὺ καὶ νὰ τρίζουν αἱ θύραι ἀπὸ τὸν συνωστισμὸν τῶν εἰσερχομένων. Ἡ Γερόντισσα καὶ ἡ συμμαθήτριά της ἀπὸ τὸν ὑπερβολικὸν φόβον ποὺ ἐδοκίμασαν καὶ τὴν ἐκτυφλωτικὴν λάμψιν τοῦ φωτός, δὲν ἠμποροῦσαν νὰ ἴδουν κανένα, διότι ἀπὸ τὸν φόβον ἔκλειναν οἱ ὀφθαλμοί των καὶ ἀπὸ τὴν ἐκτυφλωτικὴν λάμψιν τοῦ φωτὸς ἐθαμβώνοντο. Τὸ δὲ ἐκτυφλωτικὸν ἐκεῖνο φῶς συνώδευε μία περίεργος καὶ ἀξιοθαύμαστος εὐωδία, ὥστε αἱ ψυχαί των, ἂν καὶ ἐφοβήθησαν ἀπὸ τὴν λάμψιν, ἐν τούτοις ἀπὸ τὴν ὄσφρησιν τῆς εὐωδίας ηὐχαριστοῦντο.

Βλέπουσα ἡ Ρωμίλλα, ὅτι ἡ Γερόντισσα καὶ ἡ ἀδελφὴ δὲν ἠμποροῦσαν νὰ ὑποφέρουν τὴν ἐκτυφλωτικὴν λαμπρότητα τοῦ περιέργου ἐκείνου φωτὸς καὶ ὅτι ἡ Γερόντισσά της ἐστέκετο φοβισμένη καὶ τρέμουσα, τὴν παρηγόρει μὲ γλυκεῖαν φωνήν.

— Μὴ φοβᾶσαι, μητέρα, — τῆς ἔλεγε· δὲν ἀποθνήσκω τώρα.

Ἐν ὅσῳ δὲ ἡ Ρωμίλλα ἐπανελάμβανε συνεχῶς αὐτὰ τὰ παρηγορητικὰ λόγια, τὸ περίεργον ἐκεῖνο φῶς, ποὺ ἐστάλη ἐκεῖ, ὑπεχώρησε σιγὰ - σιγά, ἀλλὰ ἡ ἄρρητος ἐκείνη εὐωδία παρέμεινεν. Ἐν τῷ μεταξὺ ἐπέρασεν ἡ δευτέρα καὶ ἡ τρίτη ἡμέρα, καὶ ἡ ὀσμὴ τῆς μυστηριώδους εὐωδίας, ποὺ εἶχε γεμίσει τὸ κελλί, παρέμενε μὲ τὴν ἰδίαν ἔντασιν· κατὰ δὲ τὴν τετάρτην νύκτα, ἐφώναξε κοντά της τὴν Γερόντισσάν της καὶ τὴν παρεκάλεσε νὰ τῆς δώσῃ, διὰ τῆς Θείας Μεταλήψεως, τὸ Δεσποτικὸν Σῶμα, ὡς συνοδοιπόρον διὰ τὸ ταξίδιον τῆς αἰωνιότητος, τὸ ὁποῖον βεβαίως καὶ ἔλαβεν. Ἔξαφνα δὲ εἰς τὴν πλατεῖαν, ἐμπρὸς εἰς τὰς θύρας τοῦ κελλίου, παρουσιάσθησαν δύο χοροὶ καὶ ἤρχισαν νὰ ψάλλουν.

Καθὼς δὲ διηγεῖτο ἀργότερα ἡ Γερόντισσά της, ἀλλὰ καὶ ἡ συμμαθήτριά της, διέκρινον, ἐκ τῆς ψαλμῳδίας τῶν ᾀσμάτων, ὅτι ἔψαλλον καὶ ἄνδρες καὶ γυναῖκες κατ' ἀντιφωνίαν, δηλαδὴ πότε ἡ ὁμὰς τῶν ἀνδρῶν καὶ πότε ἡ ὁμὰς τῶν γυναικῶν. Κατὰ τὸ διάστημα δὲ ποὺ ἠκούετο ἡ κατανυκτικὴ καὶ ὑπερκόσμιος αὐτὴ ψαλμῳδία ἔξω ἀπὸ τὸ κελλίον, ἡ ἁγία ἐκείνη ψυχὴ τῆς Ρωμίλλας ἠλευθερώθη ἀπὸ τὰ δεσμὰ τοῦ σώματος. Ἐν ὅσῳ δὲ ἀνήρχετο ἡ μακαρία αὐτῆς ψυχὴ πρὸς τὸν οὐρανόν, ἐπὶ τοσοῦτον ἀνήρχοντο καὶ οἱ χοροὶ τῶν ψαλλόντων, ὥστε ἡ ψαλμῳδία νὰ ἀκούεται ἀπὸ ὑψηλὰ πλέον, ἕως ὅτου ἀπεμακρύνθησαν τελείως καὶ ἔσβυσαν καὶ αἱ φωναὶ καὶ ἡ εὐωδία.

5. Πολλάκις , ἐπίσης, πρὸς παρηγορίαν καὶ ἐνθάρρυνσιν τῆς ἐ-

ξερχομένης ἐκ τοῦ σώματος ψυχῆς, παρουσιάζεται καὶ ὁ ἴδιος ὁ Ἀρχηγὸς τῆς ζωῆς καὶ ἀνταποδότης τῶν πράξεων, ποὺ ἐπετελέσαμεν κατὰ τὴν ἐπίγειον ἡμῶν ζωήν. Αὐτὸ καὶ ἄλλοτε τὸ ἔχω ἐνθυμηθῆ, ὅταν διηγούμην τὴν περίπτωσιν τῆς θείας μου τῆς Ταρσίλας. Αὐτὴ λοιπὸν ἔζη μὲ δύο ἀγαπητοὺς ἀδελφούς της, πλὴν προσηύχετο ἀδιαλείπτως καὶ ἐπερνοῦσε τὸν καιρόν της ἀπομονωμένη. Ἀνελθοῦσα δὲ εἰς τὸ ὕψος τῆς ἐγκρατείας ἐμεγάλωνε καταπληκτικῶς κατὰ τὴν ἁγιωσύνην. Μίαν νύκτα λοιπὸν παρουσιάσθη εἰς αὐτήν, δι' ὀπτασίας, ὁ προπάππος μου ὁ Φῆλιξ, ὁ ἄλλοτε Πατριάρχης εἰς τὴν Ἐκκλησίαν τῆς Ρώμης, καὶ ἀφοῦ τῆς ὑπέδειξεν ἕνα τόπον αἰωνίου λαμπρότητος, τῆς λέγει μὲ πατρικὴν στοργήν:

—Ἔλα· εἰς αὐτὴν ἐδῶ τὴν ὁλόφωτον διαμονὴν σὲ περιμένω.

Μετ' ὀλίγον ἡ Ταρσίλα κατελήφθη ἀπὸ πυρετὸν καὶ ἐπλησίαζε πλέον πρὸς τὸν θάνατον. Κατὰ τὴν ἐπικρατοῦσαν δὲ συνήθειαν, ὅταν ἀσθενοῦν βαρέως εὐγενεῖς ἄνδρες καὶ γυναῖκες, νὰ ἔρχωνται πολλοὶ εἰς τὸ σπίτι τοῦ μελλοθανάτου, διὰ νὰ παρηγοροῦν τοὺς συγγενεῖς, συνέβη νὰ παρευρίσκωνται πολλοί, ἄνδρες καὶ γυναῖκες, γύρω ἀπὸ τὸ κρεββάτι τῆς Ταρσίλας κατὰ τὰς τελευταίας στιγμάς της.

Ἔξαφνα ἡ ἡμιθανὴς Ταρσίλα ἐσήκωσε τὸ βλέμμα της ὑψηλὰ καὶ βλέπει νὰ ἔρχεται πρὸς αὐτὴν ὁ Ἰησοῦς· ἡ ψυχή της τότε κατελήφθη ἀπὸ ἀνεκλάλητον χαρὰν καί, μὲ δύναμιν ἀνεξήγητον ἐκ τῆς ἐπιθανατίου ἀγωνίας της, ἤρχισε νὰ κραυγάζῃ πρὸς τοὺς ἐπισκέπτας της· — Πηγαίνετε, τώρα, πηγαίνετε — ἔρχεται ὁ Ἰησοῦς.

Καθὼς δὲ ἡ Ταρσίλα ἐπρόσεχεν εἰς Αὐτὸν ποὺ ἔβλεπε, τὸν Ἰησοῦν, ἐξῆλθεν ἡ ἁγία ψυχή της ἀπὸ τὸ σῶμα. Συγχρόνως μία ἀξιοθαύμαστος ἰσχυρὰ εὐωδία ἐσκορπίσθη ὁλόγυρα, τὴν ὁποίαν ὅλοι ἀντελήφθησαν καὶ ἡ ὁποία ἔδειξεν ὁλοφάνερα εἰς τοὺς παρευρεθέντας, ὅτι εἶχε προσέλθει ἡ πηγὴ πάσης ἀρρήτου εὐωδίας, ὁ Ἀρχηγὸς τῆς πίστεως Ἰησοῦς.

Ὅταν δέ, κατὰ τὴν ἐπικρατοῦσαν συνήθειαν νὰ πλύνουν τοὺς νεκρούς, τὴν ἐγύμνωσαν διὰ νὰ τὴν λούσουν, εἶδον ὅτι τὸ δέρμα εἰς τὰ γόνατα καὶ εἰς τοὺς ἀγκῶνας εἶχε σκληρύνει, ὅπως τὸ δέρμα τῆς καμήλου, ἀπὸ τὴν ἐντατικὴν προσευχὴν καὶ τὰς γονυκλισίας. Τοιουτοτρόπως τὸ νεκρὸν σῶμα ἀπεκάλυψεν εἰς ὅλους τὰ λαμπρὰ ἔργα ποὺ ἔπραττε τὸ πνεῦμα, ὅταν ἡ Ταρσίλα ἔζη.

6. Ἐξ ἴσου θαυμαστὸν εἶναι καὶ αὐτό, ποὺ μοῦ διηγήθη ἕνας εὐλαβὴς ἄνθρωπος, ὁ Πρόβος, διὰ τὴν ἀδελφήν του Μοῦσαν. Ἡ Μοῦσα, μικρὰ καὶ ἀθῴα κόρη, εἶδε μίαν νύκτα, δι' ὀπτασίας, τὴν Θεοτόκον καὶ ἀειπάρθενον Μαρίαν, νὰ ὑποδεικνύῃ εἰς αὐτὴν συνομήλικά της κορίτσια, τὰ ὁποῖα ἤθελε νὰ πλησιάσῃ ἡ Μοῦσα, ἀλλὰ δὲν ἐτόλμα. Ἠρωτήθη δὲ ἀπὸ τὴν Θεοτόκον, ἐὰν θέλῃ νὰ εἶναι μαζὶ μὲ τὰς παρθένους ἐκείνας καὶ νὰ καταταγῇ εἰς τὴν συνοδείαν της. Ὅταν δὲ ἡ Μοῦσα ἀπήντησεν ὅτι αὐτὸ τὸ ἐπιθυμεῖ σφοδρῶς, ἡ Θεοτόκος ἔδωσεν εἰς αὐτὴν ἐντολὴν εἰς τὸ ἑξῆς νὰ μὴ πράξῃ τίποτε παιδικὸν ἢ ἄκαιρον, ἀλλὰ καὶ ἀπὸ γέλωτας καὶ

ἀπὸ παιγνίδια νὰ ἐγκρατεύεται, γνωρίζουσα καλῶς, ὅτι μετὰ τριάκοντα ἡμέρας, μαζὶ μὲ τὰς κόρας ἐκείνας, τὰς ὁποίας εἶδε, θὰ ἔλθῃ εἰς τὴν συνοδείαν της.

Πράγματι, ἀπὸ τὴν ἡμέραν ἐκείνην ἡ νέα μετέβαλεν ὅλας τὰς συνηθείας της, καὶ συμπεριεφέρετο μὲ φρόνησιν. Οἱ γονεῖς τῆς νέας, ὅταν εἶδον τόσον ἐξαφνικὰ ὅτι ἡ κόρη των ἤλλαξε τελείως, ἠρώτων αὐτὴν μὲ ἀπορίαν ποία ἦτο ἡ αἰτία τῆς μεταβολῆς αὐτῆς.

Ἡ νέα τότε ἀνέφερεν εἰς τοὺς γονεῖς της τί τὴν διέταξεν ἡ Θεοτόκος κατὰ τὴν νυκτερινὴν ὀπτασίαν, καὶ ἐφανέρωσεν εἰς αὐτοὺς τὴν ἡμέραν, ποὺ πρόκειται νὰ ἀπέλθῃ, διὰ νὰ καταταχθῇ εἰς τὴν συνοδείαν τῶν παρθένων, ποὺ τὴν ἀκολουθοῦν.

Κατὰ τὴν εἰκοστὴν πέμπτην λοιπὸν ἡμέραν κατελήφθη ἀπὸ πυρετόν· κατὰ δὲ τὴν τριακοστήν, ὅταν ἐπλησίαζεν ἡ ὥρα τῆς ἐξόδου τῆς ψυχῆς ἐκ τοῦ σώματος, ἡ νέα εἶδε πάλιν τὴν Θεοτόκον νὰ ἔρχεται πρὸς αὐτήν, συνοδευομένη ἀπὸ τὰ κορίτσια, ποὺ εἶχεν ἴδει τὴν πρώτην φοράν, καὶ νὰ τὴν προσκαλῇ κοντά της.

Ἡ μικρὰ κόρη μὲ κόκκινον ἀπὸ σεβασμὸν τὸ πρόσωπον καὶ μὲ ἤρεμον φωνὴν ἀπεκρίθη:

—Ἰδού, Κυρία, ἔρχομαι· ἰδού, Κυρία, ἔρχομαι.

Μὲ αὐτὰς δὲ τὰς λέξεις παρέδωσε τὸ πνεῦμα της· ἔτσι ἡ ἁγνὴ ψυχὴ ἐξῆλθεν ἀπὸ τὸ παρθενικὸν σῶμα καὶ κατετάχθη εἰς τὸν χορὸν τῶν Παρθένων.

7. Ἀκόμη θὰ σοῦ διηγηθῶ καὶ αὐτὸ ποὺ συνέβη εἰς τὸν εὐλαβέστατον πατέρα Στέφανον. Οὗτος ἦτο εἰς τὸ ἔπακρον ἀκτήμων καὶ ἀνεξίκακος καὶ ἠσχολεῖτο συνεχῶς μὲ τὴν ἀδιάλειπτον προσευχήν. Ἕνα μόνον περιστατικὸν ἀπὸ τὴν ζωήν του θὰ διηγηθῶ, διὰ νὰ ἐννοήσῃς ἀπὸ αὐτὸ καὶ τὰς ὑπολοίπους ἀρετάς του.

Κάποτε λοιπὸν ἐθέριζε τὸν σῖτον, τὸν ὁποῖον εἶχε σπείρει καὶ τὸν μετέφερεν εἰς τὸ ἁλώνιον, διὰ νὰ τὸν ἁλωνίσῃ. Ἐκτὸς ἀπὸ τὸ σιτάρι αὐτὸ τίποτε ἄλλο δὲν εἶχε διὰ νὰ διατραφῇ ὁλόκληρον τὸ ἔτος αὐτὸς καὶ οἱ μαθηταί του. Κάποιος ὅμως κακὸς ἄνθρωπος, ὄργανον τοῦ διαβόλου, ἔβαλε φωτιὰν εἰς τὸ ἁλώνι καὶ ἔκαυσε τὸ σιτάρι τοῦ πατρὸς Στεφάνου. Κάποιος περαστικός, ποὺ ἔτυχε νὰ ἴδῃ τὸ γεγονός, ἐφανέρωσε τοῦτο εἰς τὸν δοῦλον τοῦ Θεοῦ προσθέσας· ἀλλοίμονον, πάτερ Στέφανε, τί ἦτο αὐτὸ τὸ κακό, ποὺ σοῦ συνέβη!

Ὁ Στέφανος ὅμως, μὲ ἤρεμον πρόσωπον καὶ ἀτάραχον βλέμμα, ἀπεκρίθη εἰς αὐτόν· Ἀδελφέ μου, ἀλλοίμονον εἰς τὸν ἐμπρηστὴν διὰ τὴν ἁμαρτίαν ποὺ διέπραξε καὶ ἐζημίωσε τὴν ψυχήν του· διότι εἰς ἐμὲ τί συνέβη; Ἀπὸ αὐτὸ λοιπὸν τὸ περιστατικὸν ἠμπορεῖς νὰ ἀντιληφθῇς εἰς ποῖον ὕψος δυνάμεως καὶ εἰς ποῖον βαθμὸν ἀδιαφορίας πρὸς τὰ ὑλικὰ εἶχε φθάσει ὁ λογισμὸς καὶ ἡ σκέψις του, ὥστε ἔχασεν ὅ,τι εἶχε καὶ δὲν εἶχε διὰ τὴν διατροφὴν ἑνὸς ὁλοκλήρου ἔτους, καὶ ἐν τούτοις παρέμεινε τόσον ἀδιάφορος καὶ ἀτάραχος καὶ ἐπόνεσε μᾶλλον διὰ τὴν ψυχικὴν ζημίαν,

τὴν ὁποίαν ὑπέστη ὁ ἐμπρηστής, παρὰ διὰ τὴν ὑλικὴν ζημίαν τὴν ὁποίαν ἔπαθεν ὁ ἴδιος.

Ὅταν λοιπὸν ὁ Στέφανος ἔφθασεν εἰς τὰς τελευταίας στιγμὰς τοῦ βίου του καὶ ἐπρόκειτο νὰ ἀποθάνῃ, συνεκεντρώθησαν πλησίον του πολλοί, διὰ νὰ παρασταθοῦν ψυχικῶς εἰς τὴν εὐλογημένην καὶ ἁγίαν ψυχὴν τοῦ Στεφάνου, ποὺ ἐντὸς ὀλίγου θὰ ἐξήρχετο ἐκ τοῦ σώματος. Περιεκύκλωσαν λοιπὸν τὴν κλίνην του καὶ παρηκολούθουν μετὰ προσοχῆς τὰς τελευταίας στιγμὰς τοῦ Ὁσίου· ἄλλοι μὲν ἐξ αὐτῶν, μετὰ τὸν θάνατον τοῦ Ὁσίου, διηγοῦντο ὅτι εἶδον νὰ εἰσέρχωνται Ἄγγελοι, χωρὶς νὰ δυνηθοῦν νὰ εἴπουν τίποτε· ἄλλοι, πάλιν, δὲν εἶδον τίποτε, κατελήφθησαν ὅμως ἀπὸ ἰσχυρὸν φόβον.

Πάντως καὶ αὐτοὶ ποὺ εἶδον τοὺς Ἀγγέλους, καὶ αὐτοὶ ποὺ δὲν εἶδον τίποτε, τόσον πολὺ ἐφοβήθησαν, ὥστε ἔφυγον ἀπὸ τὸ δωμάτιον τοῦ ἀποθνήσκοντος, καὶ κανεὶς δὲν ἠδυνήθη νὰ παραμείνῃ ἐκεῖ κατὰ τὴν ὥραν ποὺ ἐξήρχετο ἡ ἁγία ἐκείνη ψυχή. Ἀπεκαλύφθη δὲ ὁλοφάνερα ποῖοι ὑπεδέχθησαν τὴν ἐξερχομένην ἁγίαν ψυχήν, ὥστε κανεὶς ἀπὸ τοὺς θνητοὺς νὰ μὴ δυνηθῇ νὰ παρακολουθήσῃ τὴν λαμπρὰν καὶ ἔνδοξον ἔξοδόν της.

8. Ἐκτὸς ὅμως ἀπὸ αὐτά, πρέπει νὰ γνωρίζῃς καὶ τοῦτο· ὅτι ἡ ἀξία τῆς ψυχῆς δὲν φαίνεται πάντοτε κατὰ τὴν ἔξοδόν της· φανερώνεται ὅμως ἀσφαλῶς μετὰ τὸν θάνατον. Αὐτὸ τὸ βλέπομεν εἰς τὴν περίπτωσιν τῶν Ἁγίων Μαρτύρων, οἱ ὁποῖοι ὑπέμειναν τὴν πολλὴν ὠμότητα τῶν ἀπίστων. Καθημερινῶς δέ, μετὰ τὸν μαρτυρικόν των θάνατον, δοξάζονται καὶ λαμπρύνονται διὰ τῶν θαυμάτων τῶν νεκρῶν ὀστέων αὐτῶν. Ἄλλοτε πάλιν συμβαίνει τὸ ἀντίθετον, καὶ ὁ Παντοδύναμος Θεὸς ἐπιστηρίζει, μὲ μερικὰς ἀποκαλύψεις, τὰς ψυχὰς ἐκείνων ποὺ δειλιοῦν, πρὸ τῆς τελευτῆς των, διὰ νὰ μὴ φοβηθῶσι, ὅταν θὰ ἔλθῃ ἡ στιγμὴ τοῦ θανάτου.

Θὰ ἀναφέρω μίαν περίπτωσιν. Κάποτε παρέμενε μαζί μου εἰς τὸ Μοναστήρι ἕνας ἀδελφός, ὀνόματι Ἀντώνιος· αὐτὸς λοιπόν, διὰ καθημερινοῦ πένθους καὶ ἀκαταπαύστων δακρύων, ἠγωνίζετο νὰ ἐπιτύχῃ τὴν ἀνεκλάλητον χαράν, ποὺ ὑπάρχει εἰς τὴν ἐπουράνιον πατρίδα. δι' αὐτὸ δὲ καὶ ἐμελέτα μὲ πολὺν πόθον καὶ ἐπιμονὴν τὰ ἱερὰ λόγια. Διὰ τῆς μελέτης αὐτῆς δὲν ἐπεζήτει νὰ πλουτισθῇ μὲ γνώσεις, ἀλλὰ μὲ κατανυκτικὰ δάκρυα· ἐμελέτα δηλαδὴ διὰ νὰ ἀνανήψῃ ὁ λογισμός του, νὰ ἐγκαταλείψῃ τὰ ἐπίγεια καὶ νὰ μεταρσιωθῇ, διὰ τῆς μυστικῆς θεωρίας, εἰς τὴν ἐπουράνιον πατρίδα.

Εἰς αὐτὸν λοιπὸν τὸν λαμπρὸν ἀγωνιστὴν κατὰ μίαν νυκτερινὴν ὀπτασίαν ἐλέχθη· Ἑτοιμάσου· διότι ὁ Κύριος διέταξε νὰ φύγῃς ἀπὸ τὸν κόσμον αὐτόν. Ὅταν δὲ ὁ Μοναχὸς Ἀντώνιος ἀπήντησεν, ὅτι δὲν εἶναι ἕτοιμος διὰ τὸ ταξίδι αὐτό, ἤκουσεν ἀμέσως τὴν μυστηριώδη φωνὴν νὰ τοῦ λέγῃ· Ἐὰν ἰσχυρίζεσαι, ὅτι δὲν εἶσαι ἕτοιμος, ἐξ αἰτίας τῶν ἁμαρτιῶν σου, μάθε ὅτι συνεχωρήθησαν ὅλαι αἱ ἁμαρτίαι σου. Μόλις ἤκουσεν αὐτὰ ὁ Μοναχὸς Ἀντώνιος, περιέπεσεν εἰς μεγάλον φόβον καὶ δειλίαν. Καὶ μίαν ἄλλην νύκτα ἐπληροφορήθη τὸ ἴδιον πρᾶγμα μὲ τοὺς ἰδίους λόγους.

Μετὰ πέντε ἡμέρας κατελήφθη ἀπὸ πυρετὸν καὶ ἐνῷ ὅλοι οἱ ἀδελφοὶ ἔκλαιον, διότι θὰ ἀπεχωρίζοντο τοιοῦτον ἐκλεκτὸν καὶ καλὸν ἀδελφὸν καὶ προσηύχοντο, ἡ ψυχὴ τοῦ Ἀντωνίου ἀνεχώρησε μὲ ἀγαλλίασιν πρὸς τὸν Κύριον.

9. Εἰς τὸ ἴδιον Μοναστήριον ἔζη καὶ ἕνας ἄλλος ἀδελφός, ποὺ ἐλέγετο Μέρουλος. Ὁ Μέρουλος ἐπερνοῦσε τὰς ἡμέρας τῆς ἐπιγείου ἐξορίας μὲ ἀφθονώτατα δάκρυα καὶ ἐλεημοσύνην· ἡ προσευχὴ ποτὲ δὲν ἔλειπεν ἀπὸ τὸ στόμα του, ἐκτὸς ἀπὸ τὰς ὥρας τοῦ ὕπνου καὶ τοῦ φαγητοῦ. Εἰς αὐτὸν λοιπὸν ἐφανερώθη, κατὰ μίαν νυκτερινὴν ὀπτασίαν, ὅτι στέφανος ἀπὸ λευκὰ ἄνθη κατήρχετο ἀπὸ τὸν οὐρανὸν εἰς τὴν κεφαλήν του. Μετὰ τὴν ἀποκαλυπτικὴν αὐτὴν ὀπτασίαν ἠσθένησεν ὁ Μέρουλος καί, ἐντὸς ὀλίγου, μὲ ψυχικὴν χαρὰν καὶ χωρὶς οὐδεμίαν ἀγωνίαν ἐξεδήμησεν ἐκ τῶν ἐπιγείων πρὸς τὰ ἐπουράνια.

Ἀφοῦ ἐπέρασαν δεκατέσσαρα ἔτη ἀπὸ τοῦ θανάτου τοῦ Μερούλου, ὁ σημερινὸς Ἡγούμενος τῆς Μονῆς Πέτρος ἠθέλησε νὰ σκάψῃ τὸν τάφον του πλησίον τοῦ μνήματος τοῦ Μερούλου· ὅπως δὲ διηγεῖται ὁ ἴδιος, καθὼς εἰργάζετο εἰς τὸ μέρος ἐκεῖνο, ἐξῆλθεν ἀπὸ τὸν τάφον τοῦ Μερούλου μία εὐωδία τόσον ἰσχυρὰ καὶ βαθεῖα, ὡς νὰ εἶχον μαζευθῇ ἐκεῖ τὰ πλέον εὐωδιαστὰ καὶ μυρίπνοα ἄνθη. Ἀπὸ αὐτὸ τὸ γεγονὸς γίνεται ὁλοφάνερον, ὅτι ἡ ὀπτασία, ποὺ εἶδεν ὁ Μέρουλος, πρὶν ἀποθάνῃ, ἦτο ἀληθινή.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Σάββα

ΓΕΡΩΝ ΤΙΣ ἐκ Βηθανίας ὡρμημένος, Ἄνθιμος δὲ καλούμενος, πολλοῖς κατὰ Θεὸν ἱδρῶσι τὸν ἑαυτοῦ βίον κοσμήσας, ἐτύγχανε πέραν τοῦ χειμάρρου πρὸς ἀνατολάς, ἀντικρὺ τοῦ πύργου ὃς τῷ μακαρίῳ ἵδρυτο Σάββᾳ κελλίον οἰκοδομήσας· καὶ τριακοστὸν ἐκεῖ τελέσας ἐνιαυτόν, εἶτα νόσῳ τινὶ περὶ τὰ τελευταῖα κατασχεθείς, ἐπὶ κλίνης ὀδύνης ὁ γηραιὸς ἔκειτο· οὕτως οὖν αὐτὸν ὁ θαυμάσιος Σάββας, ἔκ τε τῆς νόσου καὶ τοῦ μακροῦ γήρως παρειμένον ἰδών, ἠξίου πρός τι τῶν τῆς Ἐκκλησίας μετατεθῆναι κελλίων, ὡς ἂν ἔχοιεν οὕτως οἱ ἀδελφοὶ ἐπισκέπτεσθαί τε αὐτόν, καὶ ὑπηρετεῖν ἀπονώτερον· ταῦτα ὁ μὲν ἠξίου· ὁ γέρων δὲ οὐκ ἠνείχετο, θαρρεῖν ἐπὶ τῷ Θεῷ λέγων, ἐκεῖσε τελειωθῆναι ὅπου καὶ τὴν ἀρχὴν φθάσας ᾤκησεν.

Εἶτα νυκτός ποτε διαναστάς, πρὸ τῆς κατὰ τὸν ὄρθρον συνάξεως ὁ Σάββας, ἀκούειν ἐδόκει τινὸς συμφωνίας, οἷα πολλῶν ἀδόντων· νομίσας οὖν τὰς εἰωθυίας τελεῖσθαι περὶ τὸν ὄρθρον ᾠδάς, ἠπορεῖτο καθ' ἑαυτόν, ὅπως οὐ κατὰ τὴν συνήθειαν παρὰ τὴν αὐτοῦ γνώμην τὰ τοῦ ὄρθρου τελεῖται· παρελθὼν οὖν εἰς τάχος εἰς τὸν ναόν, καὶ ἀσφαλῶς τὰς θύρας συγκεκλεισμένας εὑρών, ἀναστρέφει· καὶ πάλιν τῶν προτέρων φωνῶν ἀκούειν ἐδόκει μετὰ πολλῆς ὅσης ἀδομένων τῆς ἡδονῆς, εἶχε δὲ τὸ ἀδόμενον οὕτως· διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ· ἐν φωνῇ ἀγαλλιάσεως, καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντων.

Καταμαθὼν τοίνυν ὅθεν ὁ ἦχος τῶν θαυμασίων ἐκείνων ᾠδῶν, διϋπνίζει παραχρῆμα, καὶ κελεύει τὸν ἐπ' αὐτῷ τεταγμένον τῷ κρούσματι τοῦ ξύλου συγκαλέσαι

τοὺς ἀδελφούς· ἀθρόον δὲ αὐτῶν συναχθέντων, παραλαβών τινας ὁ Σάββας εἰς τὸ κελλίον τοῦ γέροντος, ὑπὸ θυμιάμασί τε καὶ λαμπάσιν ἀφικνεῖται· τὰ τῆς ᾠδῆς γὰρ ἐκεῖθεν ἠκούετο· καὶ εἴσω τοῦ κελλίου γενόμενοι, καταλαμβάνουσιν ἕτερον μὲν οὐδένα, ὅτι μὴ μόνον τὸν γέροντα, καὶ αὐτὸν ἤδη τελειωθέντα· ὃν καὶ περιπτυξάμενοι εὐλαβῶς, καὶ ὅσα νόμος τελέσαντες, ταφῇ τὸ ἱερὸν ἐκείνου σῶμα παραδιδοῦσιν.

Ἑ ρ μ η ν ε ί α

ΕΖΗ ΚΑΠΟΤΕ ἕνας Γέρων ἀσκητής, ποὺ κατήγετο ἀπὸ τὴν Βηθανίαν καὶ ὠνομάζετο Ἄνθιμος· οὗτος ἠσκήτευεν εἰς ἕνα κελλίον, ποὺ ἔκτισε, πέραν ἀπὸ τὸν χείμαρρον, πρὸς ἀνατολάς, ἀπέναντι ἀπὸ τὸν Πύργον, ποὺ εἶχεν ἱδρύσει ὁ μακάριος Σάββας. Εἰς αὐτὸ τὸ κελλὶ ἐπέρασε τριάντα ὁλόκληρα ἔτη· μετά, κατὰ τὰ τελευταῖα του, ἀρρώστησε καὶ ἔπεσεν ὁ γέρων εἰς τὸ κρεββάτι τοῦ πόνου. Ὅταν τὸν εἶδεν εἰς αὐτὴν τὴν κατάστασιν ὁ θαυμάσιος Σάββας, ἐξηντλημένον ἀπὸ τὴν νόσον καὶ τὰ βαθειὰ γηρατειά, διέταξε νὰ μεταφέρουν τὸν Γέροντα Ἄνθιμον εἰς ἕνα ἀπὸ τὰ κελλιὰ τῆς Ἐκκλησίας, διὰ νὰ ἠμποροῦν οἱ ἀδελφοὶ νὰ τὸν ἐπισκέπτωνται καὶ νὰ τὸν ἐξυπηρετοῦν χωρὶς πολὺν κόπον. Καὶ ὁ μὲν Ἅγιος Σάββας αὐτὰ διέτασσεν· ὁ Γέρων Ἄνθιμος ὅμως δὲν συνεφώνει μὲ τὴν πρότασιν αὐτὴν τοῦ Σάββα καὶ τῆς συνοδείας του. Ἰδοὺ δὲ τί τοὺς ἀπήντησεν:

—Ἔχω στηρίξει τὸ θάρρος μου εἰς τὸν Θεὸν καὶ ἐπιθυμῶ νὰ ἀποθάνω εἰς τὸ μέρος ἐκεῖνο, ποὺ ἀπὸ τὴν ἀρχὴν κατῴκησα δι' ἄσκησιν.

Μετὰ τὴν ἀπάντησιν αὐτὴν τοῦ Ἀνθίμου, ἐσηκώθη κάποτε τὴν νύκτα ὁ Σάββας, διὰ τὴν ἀκολουθίαν τοῦ ὄρθρου· ἐνόμισε δὲ ὅτι ἤκουσεν ὑμνῳδίαν, ὡς νὰ ἔψαλλον πολλοί. Ἐπειδὴ λοιπὸν ἐσχημάτισε τὴν γνώμην, ὅτι ἀνεπέμποντο οἱ καθιερωμένοι κατὰ τὸν ὄρθρον πρωϊνοὶ ὕμνοι, ἀποροῦσε καὶ ἐσυλλογίζετο, πῶς ἤρχισαν νὰ ψάλλουν τὸν ὄρθρον, χωρὶς νὰ πάρουν προηγουμένως τὴν εὐλογίαν του. Ἀμέσως τρέχει γρήγορα εἰς τὸν Ναόν, ἀλλὰ κατάπληκτος εὑρίσκει κλεισμένας τὰς θύρας τοῦ Ναοῦ καὶ δι' αὐτὸ ἐπιστρέφει εἰς τὸ κελλί του. Ἀλλὰ καὶ πάλιν ἀκούει τὰς προηγουμένας φωνὰς νὰ ψάλλουν μὲ ἀπερίγραπτον γλυκύτητα. Διέκρινε δὲ καθαρὰ καὶ τὸ ψαλλόμενον ᾆσμα, τὸ ὁποῖον ἦτο· «διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ· ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορταζόντων».

Ἀφοῦ ἀντελήφθη καλῶς ἀπὸ ποῖον μέρος προήρχοντο οἱ θαυμαστοὶ αὐτοὶ ὕμνοι, ἀμέσως ἐξυπνᾷ καὶ διατάσσει τὸν μοναχόν, ποὺ εἶχεν ὡς ὑπηρεσίαν νὰ κτυπᾷ τὸ τάλαντον, νὰ συγκαλέσῃ μὲ τὰ ρυθμικὰ κτυπήματα τοὺς μοναχούς, ὅπως ἦτο συνήθεια.

Συναχθέντων ἀμέσως ὅλων τῶν μοναχῶν, παίρνει μαζί του ὁ μακάριος Σάββας μερικούς, καὶ ἔρχεται εἰς τὸ κελλὶ τοῦ Γέροντος Ἀνθίμου, μὲ θυμιάματα καὶ λαμπάδας. Οἱ ἀκουόμενοι ὕμνοι προήρχοντο ἀπὸ τὸ κελλὶ τοῦ Γέροντος. Ὅταν εἰσῆλθον εἰς τὸ κελλί, δὲν εὑρίσκουν κανένα ἄλλον, ἐκτὸς μονάχα ἀπὸ τὸν Γέροντα, ὁ ὁποῖος ἤδη εἶχε τελειωθῇ ἐν Κυ-

ρίῳ. Τότε τὸν ἐναγκαλίζονται καὶ τὸν ἀσπάζονται μὲ εὐλάβειαν καὶ ἀφοῦ ἐπετέλεσαν τὴν κανονικὴν ἀκολουθίαν εἰς ἀποθανόντα Μοναχόν, ἐνεταφίασαν μὲ συγκίνησιν τὸ ἱερὸν σῶμα τοῦ Γέροντος Ἀνθίμου.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Δανιὴλ τοῦ Στυλίτου

ΛΕΓΕΤΑΙ περὶ τοῦ Ὁσίου Δανιὴλ τοῦ Στυλίτου· τρισὶ πρότερον τῆς τελευτῆς αὐτοῦ ἡμέραις, νυκτὸς ἤδη μεσούσης, συνδραμεῖν πάντας καὶ πρὸς αὐτὸν ἀπαντῆσαι τοὺς ἀπ' αἰῶνος Ἁγίους, Προφήτας, Ἀποστόλους, Μάρτυρας, καὶ πάντας Ἁγίους· ἀλλὰ δὴ καὶ δυνάμεις τινὰς οὐρανίους· οἳ φιλοφρόνως τε τὸν μέγαν ἠσπάζοντο, καὶ τὴν θείαν ἐπιτελέσαι μυσταγωγίαν ἐπέτρεπον, ἣν καὶ ὤφθη τελέσας, αὐτός τε τῶν ἀχράντων Μυστηρίων μεταλαβὼν καὶ μεταδεδωκὼς οἷς ἦν ἄξιον· ἤδη δὲ αὐτοῦ καὶ περὶ τὰς ἐσχάτας ἀναπνοὰς ὄντος καὶ πολλῶν ὄντων τῶν συνελθόντων, ἀνήρ τις δαίμονι κάτοχος πρὸς τὸν στῦλον ἐχώρει, ὃς τήν τε τῶν Ἁγίων ἐπιδημίαν τὴν πρὸς τὸν ὅσιον φανερῶς ἐβόα, ὀνομαστί τε τούτους ἐκάλει καὶ τῶν Ἀγγέλων ὡς συνδραμόντων ἐμέμνητο· εἶτα καὶ προσετίθει ὅτι τρίτην ὥραν τῆς ἡμέρας ἐχούσης, αὐτός τε πρὸς τὸν Κύριον ὁ Δανιὴλ ἀπελεύσεται, καὶ τὸ ἀκάθαρτον πνεῦμα τῆς χρονίας οἰκήσεως θεοκινήτως ἀπελαθήσεται· ἃ δὴ καὶ ἀμφότερα κατὰ τὸν καιρὸν ἀπήντα.

Ἑρμηνεία

ΔΙΑ ΤΟΝ ΟΣΙΟΝ Δανιὴλ τὸν Στυλίτην λέγεται, ὅτι τρεῖς ἡμέρας πρὸ τοῦ θανάτου του, κατὰ τὰ μεσάνυκτα, συνεκεντρώθησαν εἰς τὸ κελλί του διὰ νὰ τὸν προϋπαντήσουν ὅλοι οἱ ἀπ' αἰῶνος Ἅγιοι, οἱ Προφῆται, οἱ Ἀπόστολοι, οἱ Μάρτυρες καὶ ὅλοι οἱ λοιποὶ Ἅγιοι. Ἀκόμη δὲ μαζὶ μὲ αὐτοὺς συμπαρευρέθησαν καὶ μερικαὶ οὐράνιαι δυνάμεις. Αὐτὸ λοιπὸν τὸ Ἅγιον πλῆθος τῶν προσδραμόντων ἠσπάζοντο μὲ ἀγάπην καὶ ἐκτίμησιν τὸν Μέγαν καὶ τὸν παρεκίνουν νὰ ἐπιτελέσῃ τὴν Θείαν Μυσταγωγίαν, τὴν ὁποίαν καὶ πράγματι ἐθεάθη ὅτι ἐπετέλεσε μεταλαβὼν καὶ ὁ ἴδιος τῶν ἀχράντων Μυστηρίων, μεταδώσας δὲ αὐτὰ καὶ εἰς ὅσους ἔπρεπε.

Ἐνῷ δὲ ἀνέπνεε τὰς τελευταίας στιγμὰς τῆς ζωῆς του καὶ ἦλθαν πολλοὶ πλησίον του νὰ τὸν συντροφεύσουν, ἕνας δαιμονισμένος ἐπροχωροῦσε πρὸς τὸν στῦλον· αὐτὸς λοιπὸν ἐφώναζε δυνατὰ περὶ τῆς ἐπισκέψεως τῶν Ἁγίων πρὸς τὸν Ὅσιον καὶ μάλιστα ὠνόμαζε καὶ τὸν κάθε Ἅγιον. ἐκ τῶν ἐπισκεπτῶν, ξεχωριστὰ μὲ τὸ ὄνομά του, ἀκόμη δὲ ἀνέφερεν, ὅτι καὶ Ἄγγελοι ἐπεσκέφθησαν τὸν Ὅσιον. Μετὰ ταῦτα ὁ δαιμονισμένος προσέθετεν, ὅτι τὴν τρίτην ὥραν τῆς ἰδίας ἡμέρας ὁ μὲν Δανιὴλ θὰ ἀπέλθῃ πρὸς τὸν Κύριον, τὸ δὲ ἀκάθαρτον πνεῦμα θὰ ἐκδιωχθῇ μὲ τὴν Χάριν τοῦ Θεοῦ καὶ θὰ φύγῃ ἀπὸ μέσα του μετὰ τὴν πολυχρόνιον κατοίκησίν του εἰς αὐτόν. Πράγματι δὲ συνέβησαν καὶ τὰ δύο εἰς τὸν ὡρισμένον καιρόν, ὅπως ἀνέφερεν ὁ δαιμονισμένος.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Σισώη· ὅτε ἔμελλε τελευτᾶν καθημένων τῶν Πατέρων πρὸς αὐτόν, ἔλαμψε λίαν τὸ πρόσωπον αὐτοῦ, καὶ λέγει αὐτοῖς· ἰδοὺ ὁ Ἀββᾶς Ἀντώνιος ἦλθε· καὶ μετὰ μικρὸν λέγει· ἰδοὺ ὁ χορὸς τῶν Προφητῶν ἦλθε· καὶ πάλιν τὸ πρόσωπον αὐτοῦ περισσῶς ἔλαμψε, καὶ εἶπεν· ἰδοὺ ὁ χορὸς τῶν Ἀποστόλων ἦλθε· καὶ ἐδιπλασίασεν ἡ λαμπρότης τοῦ προσώπου αὐτοῦ ἔτι· καὶ ἰδοὺ αὐτὸς ὡς μετά τινων λαλῶν· καὶ ἐδεήθησαν αὐτοῦ οἱ γέροντες λέγοντες· μετὰ τίνος ὁμιλεῖς, Πάτερ; ὁ δὲ ἔφη· ἰδοὺ Ἄγγελοι ἦλθον λαβεῖν με· καὶ παρακαλῶ ἵνα ἀφεθῶ μετανοῆσαι μικρόν· καὶ λέγουσιν αὐτῷ οἱ γέροντες· οὐ χρείαν ἔχεις μετανοῆσαι, Πάτερ· καὶ ἀπεκρίθη αὐτοῖς· φύσει οὐκ οἶδα ἐμαυτόν, ὅτι ἔβαλον ἀρχήν· ἔμαθον δὲ πάντες ὅτι τέλειός ἐστι· καὶ πάλιν ἄφνω ἐγένετο τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ ἐφοβήθησαν πάντες· καὶ λέγει αὐτοῖς· βλέπετε; ὁ Κύριος ἦλθε λέγων· φέρετέ μοι τὸ σκεῦος τῆς ἐρήμου· καὶ εὐθέως παρέδωκε τὸ πνεῦμα· ἐγένετο δὲ ὡς ἀστραπή, καὶ ἐπλήσθη ὁ οἶκος εὐωδίας.

Ἑρμηνεία

ΟΙ ΠΑΤΕΡΕΣ ἔλεγον διὰ τὸν Ἀββᾶν Σισώην τὰ ἑξῆς περὶ τῶν τελευταίων στιγμῶν τῆς ζωῆς του. Ὅταν ἐπρόκειτο νὰ ἀποθάνῃ ὁ Ἀββᾶς Σισώης καὶ οἱ πατέρες ἐκάθηντο κοντὰ εἰς τὸ κρεββάτι του, ἔλαμψεν ἔξαφνα τὸ πρόσωπόν του πάρα πολὺ καὶ λέγει πρὸς αὐτοὺς χαρούμενος: Ἰδού, ἦλθεν ὁ Ἀββᾶς Ἀντώνιος. Μετ' ὀλίγας στιγμὰς μὲ λαμπρὸν πάλιν πρόσωπον εἶπε: Νά, τώρα ἦλθεν ὁ χορὸς τῶν Προφητῶν, καὶ τὸ πρόσωπόν του ἔλαμψε περισσότερον. Μετ' ὀλίγας στιγμὰς μὲ λαμπρὸν πάλιν πρόσωπον εἶπε: Νὰ τώρα προσῆλθεν ὁ χορὸς τῶν Ἀποστόλων, καὶ ἐφαίνετο ὡς νὰ συνωμίλλει μὲ μερικοὺς ἀοράτους ἐπισκέπτας.

Οἱ παριστάμενοι γέροντες τὸν παρεκάλεσαν καὶ τοῦ ἔλεγον:


— Πάτερ, μὲ ποῖον ὁμιλεῖς;

Ἐκεῖνος ἀπήντησε· Τώρα ἦλθον νὰ μὲ παραλάβουν οἱ Ἄγγελοι καὶ παρακαλῶ νὰ μὲ ἀφήσουν ὀλίγον νὰ μετανοήσω. Οἱ πατέρες τοῦ ἀπαντοῦν· Πάτερ, σὺ δὲν ἔχεις ἀνάγκην νὰ μετανοήσῃς.

Μὲ βαθεῖαν ταπείνωσιν τοὺς λέγει πάλιν ὁ Ὅσιος Σισώης. Σᾶς διαβεβαιῶ, ὅτι πραγματικῶς δὲν γνωρίζω, ἐὰν ἔβαλα ἀρχὴν μετανοίας.

Ἐν τῷ μεταξὺ ὅλοι ἐγνώριζον, ὅτι ἦτο τέλειος. Ἔξαφνα τὸ πρόσωπόν του ἤστραψεν ὅπως ὁ ἥλιος καὶ ὅλοι ἐφοβήθησαν. Πρὸς τοὺς καταπλήκτους Γέροντας ὁ Ἀββᾶς Σισώης λέγει· Βλέπετε; Ἦλθεν ὁ Κύριος καὶ λέγει, φέρετέ μου τὸ σκεῦος τῆς ἐρήμου.

Ἀμέσως δὲ μὲ τοὺς λόγους αὐτοὺς παρέδωκε τὸ πνεῦμα του. Τὴν στιγμὴν δὲ τῆς ἐξόδου τῆς μακαρίας ψυχῆς του ἐφάνη ὡς μία ἀστραπὴ καὶ τὸ κελλὶ ἐγέμισεν ἀπὸ εὐωδίαν.



Ο ΑΓΙΟΣ
ΑΝΤΩΝΙΟΣ
ΙΔΟΥ ΕΓΩ ΤΑΣ ΠΑΓΙΔΑΣ ΤΟΥ ΔΙΑΒΟΛΟΥ ΗΠΛΩΜΕΝΑΣ ΕΝ ΤΗ ΓΗ
ΧΕΙΡ ΔΗΜΗΤ. ΡΙΤΣΟΥ



ΥΠΟΘΕΣΙΣ Η΄

Περὶ τῶν ἐκλιπόντων, καὶ πάλιν ὑποστρεφόντων, ὅτι κατὰ θείαν οἰκονομίαν τοῦτο γίνεται· καὶ ὅτι πολλάκις οἱ ἁμαρτωλοί, ἔτι ἐμπνέοντες, τὰ ἐν ᾅδου ὁρῶντες δικαιωτήρια καὶ τοὺς δαίμονας τρέμουσι· καὶ οὕτω τοῦ σώματος διαζεύγνυνται.

Περὶ ἐκείνων οἱ ὁποῖοι ἀποθνήσκουν καὶ ἐπανέρχονται πάλιν εἰς τὴν ζωήν· αὐτὸ συμβαίνει κατὰ θείαν οἰκονομίαν. Καὶ ὅτι πολλὰς φορὰς οἱ ἁμαρτωλοί, ἐνῷ ἀκόμη ἀναπνέουν, βλέποντες τὰ εὑρισκόμενα εἰς τὸν Ἄδην βασανιστήρια καὶ τοὺς δαίμονας, τρέμουν· ὑπὸ τὸ κράτος δὲ αὐτοῦ τοῦ τρόμου ἀποχωρίζονται αἱ ψυχαί των ἀπὸ τὸ σῶμα.



Α΄. Γρηγορίου τοῦ Διαλόγου

Ἐρώτησις Πέτρου



Ι ΕΣΤΙ ΤΟΥΤΟ, ὅπερ πολλοὶ πάσχουσι, καὶ ὡς ἐν πλάνῃ ἐκ τοῦ σώματος ἁρπάζονται; καὶ πρὸς καιρὸν ἄψυχοι γενόμενοι, πάλιν ὑποστρέφουσιν;

Ἀπόκρισις Γρηγορίου

Τοῦτο, Πέτρε, ἐὰν καλῶς νοηθῇ, οὐχὶ πλάνη, ἀλλὰ νουθεσία ὑπάρχει· ἡ γὰρ τοῦ Θεοῦ εὐσπλαγχνία διὰ μεγίστην ἐλέους δωρεάν, οἰκονομικῶς τοῦτο ποιεῖ, ὥς τε πολλοὺς μετὰ τὴν ἔξοδον πάλιν ἐν τῷ σώματι ὑποστρέψαι, ἵνα τὰς τοῦ ᾅδου βασάνους, ἅς περ ἀκούοντες οὐκ ἐπίστευον, μᾶλλον θεωροῦντες φοβηθῶσιν.

2. Μοναχὸς γάρ τις, Πέτρος ὀνόματι, γέροντι Μοναχῷ ὀνόματι Ἐββασὰ προσκολληθείς, ἐν τόπῳ ἐρήμῳ καὶ κατάλσῳ κατῴκει· παρ᾽ αὐτοῦ οὖν διηγουμένου μεμάθηκεν, ὅτι πρὸ τοῦ τὴν ἔρημον οἰκῆσαι, ἀσθενείας αὐτῷ ἐπελθούσης, ἀπέθανε· πάραυτα δὲ πάλιν ἐν τῷ σώματι ἀποδοθείς, τὰ τοῦ ᾅδου βάσανα καὶ ἀμετρήτους τόπους φλογὸς ἑωρακέναι ἔλεγε, καί τινας τοῦ κόσμου τούτου δυνάστας ἐν τῇ

φλογὶ κρεμαμένους θεωρῆσαι διεβεβαιοῦτο· ὡς δὲ καὶ αὐτὸς ἐπὶ τὸ ἐκεῖσε ριφῆναι ἀπηνέχθη, αἴφνης ἄγγελον ἐξαστράπτοντα ἐπιφανῆναι ἔλεγεν, ὃς τοῦτον ἐν τῷ πυρὶ ριφῆναι ἐκώλυσεν· εἶπε δὲ πρὸς αὐτόν· ἄπελθε καὶ βλέπε πῶς μέλλεις μετὰ ταῦτα προσέχων ἑαυτῷ ζῆσαι.

Μετὰ δὲ τὴν φωνὴν ταύτην, κατ' ὀλίγον τῶν μελῶν αὐτοῦ ἀναζεόντων, ἐκ τοῦ ὕπνου τοῦ αἰωνίου θανάτου ἐξυπνισθείς, πάντα τὰ εἰς αὐτὸν γεγονότα διηγήσατο· τοσαύταις δὲ μετέπειτα νηστείαις καὶ ἀγρυπνίαις ἐκδέδωκεν ἑαυτόν, διὰ τὸ ἑωρακέναι καὶ φοβηθῆναι τὰ ἐν ᾅδῃ βάσανα, ὥς τε κἂν ἡ γλῶσσα αὐτοῦ ἡσύχαζεν, ἡ πολιτεία ἐλάλει. Οὕτω τοίνυν τῇ θαυμαστῇ τοῦ Θεοῦ προνοίᾳ ὁ θάνατος αὐτοῦ ἐπράχθη, ἵνα μὴ αἰωνίως ἀποθάνῃ. Ἐπεὶ ἡ ἀνθρωπίνη καρδία σφόδρα βαρείας σκληρότητος ὑπάρχει, ἴσως ποτὲ αὐτὴ τῶν βασάνων ἡ ἐπίδειξις πρὸς μετάνοιαν αὐτὴν ἐπιστρέψαι δύναται· ποτὲ δὲ καὶ εἰς περισσοτέραν κατάκρισιν ἐπί τινων τὸ αὐτὸ γίνεται· οἳ καὶ μετὰ τὸ ἰδεῖν ἐκεῖνα τὰ φοβερά, εἰς τὴν παροῦσαν ζωὴν ὑποστρέψαντες, πάλιν ὁμοίως ἔμειναν ἀδιόρθωτοι· καὶ ἀπολογία τις τούτοις οὐχ ὑπολείπεται.

Ἑ ρ μ η ν ε ί α

Ἐρώτησις Πέτρου

ΠΩΣ ΘΑ ΕΞΗΓΗΣΩΜΕΝ τὸ φαινόμενον ποὺ συμβαίνει εἰς πολλούς, κατὰ τὸ ὁποῖον οὗτοι ἁρπάζονται ἐκ τοῦ σώματος (ἂν καὶ τοῦτο φαίνεται πλάνη) καὶ θεωρούμενοι πρὸς στιγμὴν νεκροί, ἐφ' ὅσον καθίστανται ἄψυχοι, πάλιν ξαναγυρίζουν εἰς τὴν ζωήν;

Ἀπόκρισις Γρηγορίου

ΑΥΤΟ ΤΟ ΦΑΙΝΟΜΕΝΟΝ, Πέτρε, ἐὰν τὸ ἐννοήσῃ κανεὶς καλά, δὲν εἶναι πλάνη, ἀλλὰ θεϊκὴ νουθεσία πρὸς τὸν ἄνθρωπον· διότι αὐτὸ τὸ φαινόμενον τὸ πραγματοποιεῖ ἡ εὐσπλαγχνία τοῦ Θεοῦ, κατ' οἰκονομίαν, καὶ τὸ προσφέρει ὡς τὴν μεγαλυτέραν δωρεὰν ἐλέους, ὥστε πολλοί, μετὰ τὴν ἔξοδον τῆς ψυχῆς των ἐκ τοῦ σώματος, νὰ ἐπανέρχωνται πάλιν εἰς τὸ νεκρωθὲν σῶμα, διὰ νὰ ἴδουν μόνοι των, μὲ τὰ μάτια τῆς ψυχῆς των, τὰ βασανιστήρια τοῦ Ἅδου, τὰ ὁποῖα δὲν ἐπίστευον ὁσάκις τὰ ἤκουον ἀπὸ τοὺς ἄλλους, καὶ τοιουτοτρόπως νὰ φοβηθῶσι.

Κάποτε ἔζη ἕνας Μοναχός, ὀνομαζόμενος Πέτρος. Αὐτὸς ὁ Μοναχὸς ὑπετάχθη εἰς ἕναν Γέροντα Ἀσκητήν, τὸν Ἐββασά, ποὺ ἠσκήτευεν εἰς ἕνα ἐρημικὸν καὶ δασώδη τόπον. Ὁ Γέρων Ἐββασὰ διηγήθη εἰς τὸν ὑποτακτικόν του Πέτρον, ὅτι πρὶν νὰ ἐγκατασταθῇ εἰς αὐτὸν τὸν ἐρημικὸν τόπον, ἠσθένησε καὶ ἀπέθανε. Ἀμέσως ὅμως ἡ ψυχή του ἐπέστρεψε καὶ πάλιν εἰς τὸ σῶμα καί, ἀφοῦ συνῆλθε, διεβεβαίωνεν, ὅτι εἶδε μὲ τὰ μάτια του τὰ βασανιστήρια τοῦ Ἅδου καὶ τοὺς ἀμετρήτους φλογισμένους τόπους, καὶ ὅτι ἀκόμη εἶδε κρεμασμένους εἰς ἐκείνην τὴν φλόγα καὶ ἀρκετοὺς ἀπὸ τοὺς ἄρχοντας τοῦ κόσμου αὐτοῦ. Καθὼς δὲ καὶ ὁ ἴδιος ὡδηγήθη, διὰ νὰ ριφθῇ εἰς τὸν τόπον ἐκεῖνον τῆς βασάνου καὶ τῆς φλογός, αἴφνης παρουσιάσθη ἕνας ἀστραφτερὸς Ἄγγελος καὶ ἠμπόδισε νὰ τὸν

ρίψουν εἰς ἐκείνην τὴν φωτιάν. εἶπε δὲ ὁ Ἄγγελος πρὸς αὐτόν· Πήγαινε καὶ ἔχε τὸν νοῦν σου· ἀπ' ἐδῶ καὶ ἐμπρὸς πρέπει νὰ ζήσῃς μὲ μεγάλην προσοχήν.

Μετὰ τοὺς λόγους αὐτοὺς ἤρχισαν νὰ ξαναζεσταίνωνται τὰ παγωμένα μέλη τοῦ νεκρωθέντος σώματος καὶ ἀφοῦ ἐξύπνησε τελείως ἀπὸ τὸν ὕπνον τοῦ αἰωνίου θανάτου, διηγήθη εἰς τοὺς παρισταμένους ὅλα ὅσα συνέβησαν εἰς αὐτόν. Κατόπιν δὲ ἐπεδόθη εἰς τόσον αὐστηρὰς νηστείας καὶ ἀγρυπνίας, ἐνθυμούμενος πάντοτε τὰ βάσανα ποὺ εἶδεν εἰς τὸν Ἅδην καὶ φοβούμενος ἀπὸ αὐτά, ὥστε καὶ ἐὰν ἀκόμη δὲν τὸ ἔλεγε μὲ τὴν γλῶσσαν του, τὸ διεκήρυσσε μὲ τὴν ζωήν του ἐν γένει.

Κατ' αὐτὸν τὸν τρόπον χάρις εἰς τὴν ἀξιοθαύμαστον πρόνοιαν τοῦ Θεοῦ, διὰ νὰ μὴ καταδικασθῇ εἰς τὸν αἰώνιον θάνατον τῆς κολάσεως, συνέβη εἰς αὐτὸν ὁ προσωρινὸς θάνατος. Ἐπειδὴ ἡ καρδία τοῦ ἀνθρώπου κατέχεται πάντοτε ἀπὸ βαρεῖαν σκληρότητα, ἴσως κάποτε δυνηθῇ νὰ τὴν ἐπιστρέψῃ πρὸς μετάνοιαν ἡ πρὸς αὐτὴν ἐπίδειξις τῶν βασάνων τῆς αἰωνίου κολάσεως.

Ἄλλοτε πάλιν ἡ ἐπίδειξις αὐτὴ τῶν βασάνων τῆς αἰωνίου κολάσεως γίνεται πρὸς περισσοτέραν κατάκρισιν μερικῶν ἀμελῶν καὶ ἀδιαφόρων, οἱ ὁποῖοι καὶ μετὰ τὴν τρομακτικὴν αὐτὴν ὅρασιν, ἐπανερχόμενοι καὶ πάλιν εἰς τὴν ζωὴν παραμένουν ἐξ ἴσου, ὅπως καὶ προηγουμένως, ἀδιόρθωτοι, ὁπόταν δὲν ἀπομένει πλέον εἰς αὐτοὺς καμμία δικαιολογία.

Τοῦ αὐτοῦ Ἁγίου

Β'. Γρηγορίου τοῦ Διαλόγου πρὸς τὸν αὐτοῦ Διάκονον Πέτρον.

Ὅτι πολλάκις αἱ ψυχαὶ ἔτι ἐν τοῖς σώμασιν ὑπάρχουσαι, βασάνους τινὰς παρὰ τῶν τῆς πονηρίας πνευμάτων θεωροῦσιν, αἱ μὲν εἰς οἰκοδομὴν ἑαυτῶν, αἱ δὲ εἰς οἰκοδομὴν τῶν ἀκουόντων.

Ὅτι πολλάκις αἱ ψυχαὶ ὅταν εὑρίσκωνται ἀκόμη εἰς τὸ σῶμα, βλέπουν μερικὰ ἀπὸ τὰ βασανιστήρια τῆς κολάσεως παρὰ τῶν ἀκαθάρτων πνευμάτων, ἄλλαι μὲν διὰ τὴν ἰδικήν των οἰκοδομήν, ἄλλαι δὲ διὰ οἰκοδομὴν ἐκείνων ποὺ τὰς ἀκούουν.

ΘΕΟΔΩΡΟΣ ΤΙΣ παῖς ἀκατάστατος σφόδρα ὑπῆρχεν· ὃς τῷ ἀδελφῷ αὐτοῦ, Μοναχῷ ὄντι, ἀνάγκῃ μᾶλλον ἢ θελήματι, εἰς τὸ Μοναστήριον ἠκολούθησε· λίαν δὲ ὢν ἀπειθής, ἐάν τις αὐτῷ ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας ἀγαθόν τι ἔλεγεν, οὐχὶ μόνον μὴ ποιῆσαι, ἀλλ' οὐδὲ ἀκοῦσαι ὅλως ἠθέλησεν, οὐδὲ ἐλθεῖν ἐν τῷ τῆς ἁγίας διαγωγῆς σχήματι ἠνείχετο ποτέ. Ἐν δὲ τῷ λοιμῷ τοῦ θανατικοῦ κἀκείνου ἐν τῷ μηρῷ κρουσθέντος, καὶ εἰς τὰ ἔσχατα ἐλθόντος, πάντες οἱ ἀδελφοὶ συνῆλθον· καὶ ὡς εἶδον αὐτὸν ἤδη ἐκλείποντα, (τὸ γὰρ σῶμα αὐτοῦ ἐκ παντὸς μέρους ψυχρανθὲν ἐνεκρώθη,

ὀλίγη δέ τις ἦν θέρμη ζωτικὴ ἐν τῷ αὐτοῦ στήθει ἐναπομείνασα), ἐπιμόνως ὑπὲρ αὐτοῦ ηὔχοντο, δεόμενοι τοῦ φιλανθρώπου Θεοῦ, ἵλεων αὐτῷ ἐν τῇ ἐξόδῳ γενέσθαι.

Αἴφνης δὲ τῶν ἀδελφῶν εὐχομένων, ἐκεῖνος κράζειν ἤρξατο μεγίστῃ φωνῇ, καὶ τῶν ἀδελφῶν τὰς εὐχὰς ἐπικόπτειν, λέγων· ἀπόστητε ἀπ' ἐμοῦ, ἀπόστητε· ἰδοὺ γὰρ τῷ δράκοντι ἐδόθην εἰς βρῶσιν· ὃς διὰ τὴν ὑμετέραν παρουσίαν φαγεῖν με οὐ δύναται· τὴν γὰρ κεφαλήν μου ἤδη κατέπιεν ἐν τῷ στόματι αὐτοῦ· δότε οὖν τόπον ἵνα μὴ ἐπὶ πλεῖόν με κρίνῃ, ἀλλ' ὅπερ ἔχει ποιῆσαι ἐν τάχει ποιήσῃ· ἐπειδὴ αὐτῷ εἰς βρῶσιν ἐδόθην· καὶ διὰ τί βραδυτῆτα ὑπομένω; οἱ δὲ ἀδελφοὶ εἶπον αὐτῷ· ποίησον, ἀδελφέ, τὴν σφραγῖδα τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ ἐπὶ σέ· ἐκεῖνος δὲ μετὰ μεγίστης κραυγῆς ἀπεκρίθη λέγων· θέλω ἐμαυτὸν σφραγῖσαι ἀλλ' οὐ δύναμαι· ἐκ γὰρ τοῦ σιέλου τοῦ δράκοντος τούτου βαροῦμαι.

Τοῦτο οἱ ἀδελφοὶ ἀκούσαντες, ἐπὶ τῆς γῆς πάντες πεσόντες, μετὰ δακρύων ὑπὲρ τῆς λυτρώσεως αὐτοῦ σφοδροτέρως καὶ θερμοτέρως ηὔχοντο· ἐπιμενόντων οὖν αὐτῶν τῇ εὐχῇ, ὁ ἀρρωστῶν μεγάλῃ τῇ φωνῇ ἔκραξεν· δότε εὐχαριστίαν τῷ Θεῷ· ἰδοὺ γὰρ ὁ δράκων ὁ λαβών με εἰς βρῶσιν ἔφυγε διὰ τῶν εὐχῶν ὑμῶν, καὶ στῆναι ἐνταῦθα οὐκ ἠδυνήθη· ἀρτίως οὖν διὰ τὰς ἁμαρτίας μου εὔξασθε· ἕτοιμος γάρ εἰμι ἐπιστρέψαι καὶ τὴν κοσμικὴν ζωὴν παντελῶς καταλεῖψαι. Ἀναλαβὼν οὖν εὐθὺς τὴν ζωτικὴν δύναμιν ὅλῃ τῇ καρδίᾳ μετέπειτα πρὸς Θεὸν ἐπέστρεψεν, ἀλλαγεὶς τῇ γνώμῃ, διὰ τὸ ἱκανῶς τῇ μάστιγι παιδευθῆναι, καὶ οὕτως ἐξῆλθε τοῦ σώματος.

2. Καὶ οὗτος μέν, δι' ὠφέλειαν ἑαυτοῦ τὴν τιμωρίαν τὴν μετὰ θάνατον εἶδεν· ἕτεροι δέ, ὡς ἔφην, δι' ἡμετέραν οἰκοδομὴν ἔτι ἐμπνέοντες τὰς παρὰ τῶν πονηρῶν πνευμάτων κολάσεις θεασάμενοι διηγοῦνται καὶ εὐθὺς ἐκπνέουσι. Τίς γὰρ ἀνὴρ καλούμενος Χρυσαώριος κατὰ τὸν κόσμον τοῦτον, σφόδρα περιφανὴς ἦν· ὅσον δὲ τῷ πλούτῳ ἐπλεόναζε, τοσούτῳ καὶ τοῖς πάθεσιν ἐπλούτει, ἐν ὑπερηφανείᾳ φυσιούμενος, τοῖς σαρκικοῖς θελήμασιν ὑποτασσόμενος, πρὸς τὸ ἐπισωρεῦσαι πλοῦτον σπουδαίως ἀγωνιζόμενος, καὶ τῇ κνιπείᾳ ὑπερβολικῶς ἐκκαιόμενος. Τῶν οὖν τοσούτων αὐτοῦ κακῶν τέλος ἐπιθεῖναι εὐδοκήσας ὁ Κύριος, θανατηφόρῳ αὐτὸν ἀρρωστίᾳ περιπεσεῖν συνεχώρησεν.

Εἰς τὴν ὥραν δὲ ἐλθὼν τοῦ θανάτου, ἀνεῳγμένους ἔχων τοὺς ὀφθαλμούς, εἶδε φοβερὰ καὶ ζοφώδη πνεύματα ἐνώπιον αὐτοῦ παρεστῶτα βιαίως αὐτὸν κατεπείγοντα, ὅπως εἰς τὰ τοῦ ᾅδου κλεῖθρα αὐτὸν ἀπενέγκωσιν· ἤρξατο οὖν τρέμειν καὶ ὠχριᾶν, καὶ ἱδρῶτι περιρρεόμενος, φωνῇ μεγάλῃ κράζειν καὶ διορίαν αἰτεῖσθαι καὶ τὸν αὐτοῦ δὲ υἱὸν ὀνόματι Μάξιμον, ὃν ἐγὼ ὕστερον Μοναχὸς ὑπάρχων καὶ αὐτὸν Μοναχὸν ὄντα ἐγνώρισα, τοῦτον σφοδροτάτῃ καὶ πεφυρμένῃ κραυγῇ καλῶν, ἔλεγε· Μάξιμε, δράμε, οὐδέποτέ σοι κακὸν ἐποίησα· ἐν τῇ πίστει σοῦ με ὑπόδεξαι.

Ὁ οὖν Μάξιμος τεθορυβημένος καὶ κλαίων, εὐθὺς παρεγένετο, σὺν αὐτῷ δὲ καὶ πᾶς ὁ τοῦ οἴκου λαός· ἀλλὰ τὰ πονηρὰ πνεύματα τὰ τοῦτον σφοδρῶς κατεπείγοντα, οὗτοι θεωρῆσαι οὐκ ἠδύναντο· τὴν δὲ παρουσίαν αὐτῶν ὑπενόουν διὰ τῆς ἐκείνου ἐξομολογήσεως, καὶ τῆς ὠχριάσεως, καὶ τοῦ τρόμου οὗ ὑπέμενεν· ἐκ γὰρ τοῦ φόβου καὶ τῆς ζοφερᾶς αὐτῶν θέας, ὧδε κἀκεῖσε ἐν τῇ κλίνῃ περιεστρέφετο· καὶ ποτὲ μὲν ἐν τῷ εὐωνύμῳ μέρει κείμενος, ἔμπροσθεν αὐτοῦ ἑστῶτας ἐκείνους ἔβλεπεν· ὧν τὴν

θέαν ὑπενεγκεῖν οὐκ ἠδύνατο· ποτὲ δὲ ἐπὶ τὸν τοῖχον στρεφόμενος, καὶ ἐκεῖσε παρόντας τοὺς αὐτοὺς ἔβλεπεν.

Ἀπελπίσας οὖν τὸ ἐξ αὐτῶν λυτρωθῆναι, στενωθείς, μεγάλῃ τῇ φωνῇ κράζων ἤρξατο· κἂν ἕως πρωῒ διορίαν· κἂν ἕως πρωῒ διορίαν· καὶ ἐν ταῖς φωναῖς ταύταις ἐκ τοῦ σώματος ἐξῆλθεν. Ἐκ τούτου οὖν φανερῶς δείκνυται, ὅτι οὐχὶ δι' ἑαυτόν, ἀλλὰ δι' ἡμᾶς ταῦτα ἐθεάσατο, ἵνα ἡμεῖς ταῦτα μαθόντες, φοβηθῶμεν καὶ διορθωσώμεθα· τί γὰρ ἐκεῖνον ὠφέλησεν ἡ τῶν πονηρῶν πνευμάτων πρὸ τοῦ θανάτου θέα, καὶ τὸ διορίαν αἰτήσασθαι, ἣν καὶ αἰτήσας οὐκ ἔλαβεν;

3. Καὶ Ἀθανάσιος δὲ ὁ παρ' ἡμῖν ὢν πρεσβύτερος, διηγήσατό μοι, ὅτι ἐν τῷ Ἰκονίῳ, ὅθεν καὶ αὐτὸς ὥρμηται, Μοναστήριόν ἐστι τῶν Γαλατῶν λεγόμενον· ἐν ᾧ τὶς Μοναχὸς ἐν μεγίστῃ διαγωγῇ καὶ σεμνότητος ἤθεσι παρὰ πᾶσιν ὑπάρχειν ἐνομίζετο· ὡς δὲ τὸ τέλος ἔδειξε, μακρὰν ὑπῆρχεν οὗ περ ἐφαίνετο· ἑαυτὸν μὲν γὰρ σὺν τοῖς ἀδελφοῖς νηστεύοντα ἐπεδείκνυε, κρυφῇ δὲ τούτων ἤσθιεν· ἐπελθούσης οὖν αὐτῷ ἀρρωστίας, ἐν τοῖς ἐσχάτοις τῆς ζωῆς ἀπηνέχθη· γνοὺς οὖν ἑαυτὸν τῷ τέλει προσεγγίζοντα, πάντας τοὺς ἐν τῷ Μοναστηρίῳ ἀδελφοὺς πρὸς ἑαυτὸν συνεκάλεσεν· οἱ δὲ προθύμως συνῆλθον, μέγα τι καὶ ἐπιθυμητικὸν προσδοκῶντες ἀκοῦσαι παρὰ τοιούτου τὴν ἀρετὴν ἀνδρὸς ὡς ὑπελάμβανον τελευτῶντος· ἐκεῖνος δὲ πενθῶν καὶ τρέμων, πρὸς αὐτοὺς εἶπεν.

Ὅτι μεθ' ὑμῶν νηστεύειν με ἐπιστεύετε, ἐγὼ δὲ κρυφῇ ὑμῶν ἤσθιον· καὶ νῦν ἰδοὺ εἰς βρῶσιν τῷ δράκοντι παρεδόθην· ὃς τοὺς πόδας μου καὶ τὰ γόνατα τῇ κέρκῳ αὐτοῦ συνέδησε, τὴν δὲ κεφαλὴν ἔνδον τοῦ στόματός μου βαλών, τὸ πνεῦμά μου ἐκπιπίζων ἀνασπᾷ· καὶ ταῦτα εἰπὼν εὐθέως ἀπέθανε, μὴ συγχωρηθεὶς ὑπομεῖναι ἵνα διὰ μετανοίας ἐκ τοῦ δράκοντος ἐκείνου ἐλευθερωθῆναι δυνηθῇ. Φανερῶς οὖν καὶ ἐν τούτῳ δείκνυται, ὅτι εἰς ἡμετέραν καὶ μόνον τῶν ἀκουόντων ὠφέλειαν τοῦτο ἐθεάσατο, ὃς τὸν πολέμιον ᾧ παρεδόθη δηλοποιήσας, τοῦτον διαφυγεῖν οὐκ ἠδυνήθη.

Ἑρμηνεία

ΕΖΗ, ΚΑΠΟΤΕ, ἕνας νέος ὀνομαζόμενος Θεόδωρος. Οὗτος ἦτο πάρα πολὺ ἀκατάστατος καὶ ἠκολούθησε τὸν ἀδελφόν του, Μοναχὸν ὄντα, εἰς τὸ Μοναστήριον ἀπὸ ἀνάγκην καὶ ὄχι ἀπὸ προσωπικήν του κλίσιν καὶ θέλησιν. Ἐὰν κανεὶς τοῦ ἔλεγε κανένα καλὸν λόγον διὰ τὴν σωτηρίαν του, αὐτός, ἐπειδὴ ἦτο πάρα πολὺ ἀπείθαρχος, ὄχι μόνον δὲν ἦτο διατεθειμένος νὰ ἐκτελέσῃ τὴν συμβουλήν, ἀλλ' οὔτε κἂν νὰ τὴν ἀκούσῃ· πολὺ περισσότερον δὲν ἐδέχετο ποτὲ νὰ γίνῃ Μοναχός.

Συνέβη λοιπὸν ὁ νέος αὐτὸς νὰ προσβληθῇ καὶ αὐτὸς εἰς τὸν μηρὸν ἀπὸ θανατηφόρον ἀσθένειαν* καὶ νὰ φθάσῃ εἰς τὸ τέλος τῆς ζωῆς του. Κοντά του συνεκεντρώθησαν ὅλοι οἱ ἀδελφοὶ τοῦ Μοναστηρίου· καθὼς δὲ τὸν ἔβλεπαν νὰ τελειώνῃ σιγὰ-σιγὰ (τὸ σῶμα του πλέον εἶχε παγώσει καὶ εἶχεν ἐναπομείνει εἰς τὸ στῆθος του μονάχα ὀλίγη θερμότης ζωῆς) ἤρχισαν νὰ προσεύχωνται μετ' ἐπιμονῆς χάριν αὐτοῦ καὶ νὰ παρα-

---

* Ἴσως νὰ ἦτο ἡ λεγομένη βουβωνικὴ πανώλης.

καλοῦν τὸν φιλάνθρωπον Θεὸν νὰ τὸν εὐσπλαγχνισθῇ κατὰ τὴν ὥραν τῆς ἐξόδου τῆς ψυχῆς ἐκ τοῦ σώματός του.

Ἔξαφνα, ἐνῷ οἱ ἀδελφοὶ προσηύχοντο, ὁ Θεόδωρος ἤρχισε νὰ κραυγάζῃ μὲ μεγάλην φωνὴν καὶ νὰ διακόπτῃ τὰς προσευχὰς τῶν Μοναχῶν καὶ νὰ λέγῃ· φύγετε ἀπὸ κοντά μου, ἀπομακρυνθῆτε, διότι ἐγὼ παρεδόθην πλέον εἰς τὸν δράκοντα νὰ μὲ κατασπαράξῃ. Αὐτὸς ὁ δράκων δὲν ἠμπορεῖ νὰ μὲ φάγῃ τελείως, ἐξ αἰτίας τῆς παρουσίας σας. Ἤδη ὁλόκληρος ἡ κεφαλή μου εὑρίσκεται μέσα εἰς τὸ στόμα του. Δώσατε λοιπὸν τόπον εἰς τὴν ὀργὴν αὐτὴν διὰ νὰ μὴ μὲ βασανίζῃ περισσότερον καὶ αὐτὸ ποὺ ἔχει νὰ κάνῃ, νὰ τὸ κάνῃ μίαν ὥραν ἐνωρίτερα. Ἀφοῦ εἶναι ἀποφασισμένον νὰ μὲ φάγῃ αὐτὸς ὁ δράκων, πρὸς τί νὰ ὑπομένω καὶ τὸ μαρτύριον τῆς ἀργοπορίας;

Μόλις ἤκουσαν τὰ λόγια αὐτὰ κατετρόμαξαν οἱ ἀδελφοὶ καὶ τοῦ εἶπαν:

— Σφράγισε, ἀδελφέ, τὸν ἑαυτόν σου μὲ τὸ σημεῖον τοῦ Τιμίου Σταυροῦ.

Ὁ Θεόδωρος μὲ σπαρακτικὴν κραυγὴν ἀπήντησε:

— Θέλω νὰ σφραγισθῶ μὲ τὸ σημεῖον τοῦ Τιμίου Σταυροῦ, ἀλλὰ δὲν ἠμπορῶ, διότι ὁ σίελος τοῦ δράκοντος αὐτοῦ μοῦ βαραίνει τὸ χέρι.

Μετὰ τὴν ἀπάντησιν αὐτὴν ὁ μὲν Θεόδωρος περιέπεσεν εἰς λήθαργον, οἱ δὲ Μοναχοὶ ἐγονάτισαν εἰς τὸ ἔδαφος καὶ ἤρχισαν μὲ θερμὰ δάκρυα νὰ προσεύχωνται ἐντονώτερον διὰ τὴν λύτρωσιν τοῦ Θεοδώρου ἀπὸ τὸν φοβερὸν δράκοντα.

Ἀφοῦ ἐπέρασεν ἕνα διάστημα ἐπιμόνου προσευχῆς καὶ δεήσεως τῶν ἀδελφῶν, ἔξαφνα ὁ ἄρρωστος Θεόδωρος ἐτινάχθη ἐπάνω καὶ ἀνέκραξε μὲ ὅλην τὴν δύναμιν τῶν πνευμόνων του:

— Ἀδελφοί μου, εὐχαριστήσατε τὸν Θεόν, διότι ὁ δράκων ποὺ μὲ εἶχεν ἁρπάσει διὰ νὰ μὲ κατασπαράξῃ, ἔφυγε μὲ τὰς προσευχάς Σας καὶ καθόλου δὲν ἠμπόρεσε νὰ σταθῇ ἐδῶ. Τώρα λοιπόν, σᾶς παρακαλῶ, μὲ θερμότητα προσευχηθῆτε νὰ μὲ συγχωρήσῃ ὁ Θεὸς διὰ τὰς ἁμαρτίας μου. Κατόπιν αὐτοῦ τοῦ φοβεροῦ ποὺ μοῦ συνέβη, εἶμαι ἕτοιμος νὰ μετανοήσω καὶ νὰ ἐγκαταλείψω τελείως τὴν κοσμικὴν ζωήν.

Πράγματι ἀφοῦ συνῆλθε καὶ ἀνέκτησε τὰς δυνάμεις του, ἐπέστρεψε μὲ ὅλην του τὴν καρδίαν πρὸς τὸν Θεὸν καὶ ἤλλαξε τελείως γνώμην, διότι ἐνουθετήθη ἀποτελεσματικὰ μὲ τὴν σωφρονιστικὴν μάστιγα ποὺ τοῦ ἔστειλεν ὁ Θεός. Εὐαρεστήσας δὲ ἐπ' ἀρκετὸν τὸν Θεὸν ἐξῆλθεν ἡ ψυχή του ἀπὸ τὸ σῶμα.

2. Καὶ ὁ μὲν Θεόδωρος εἶδε τὴν μετὰ θάνατον τιμωρίαν, πρὸς ὠφέλειάν του· ἄλλοι ὅμως, ὅπως ἀνέφερα προηγουμένως, βλέπουν τὰς μετὰ θάνατον τιμωρίας ἀπὸ τὰ πονηρὰ πνεύματα, ἐνῷ ἀκόμη ἀναπνέουν, καὶ τὰς διηγοῦνται χάριν τῆς ἰδικῆς μας πνευματικῆς οἰκοδομῆς, δι' αὐτὸ καὶ ἐκπνέουν ἀμέσως μετὰ τὴν διήγησιν τῶν φοβερῶν ποὺ εἶδον. Πρὸς ἀπόδειξιν αὐτοῦ θὰ διηγηθῶ μίαν ἱστορίαν.

Κάποτε ἔζη ἕνας ἄνθρωπος, ποὺ ἐλέγετο Χρυσαώριος, ἀπὸ τοὺς πολὺ σπουδαίους αὐτοῦ τοῦ κόσμου. Ὅσον ὅμως ἐπολλαπλασιάζοντο τὰ πλούτη του, ἐπὶ τοσοῦτον ἐπλούτιζε καὶ εἰς τὰ πάθη· ἐφούσκωνεν ἀπὸ ὑπερηφάνειαν, ὑπετάσσετο χωρὶς ἀντίστασιν εἰς τὰ πάθη τῆς σαρκός, ἠγωνίζετο νὰ ἐπισωρεύσῃ πολλὰ πλούτη, καὶ κατεφλογίζετο ἀπὸ τὸ πάθος τῆς φιλαργυρίας.

Ὅταν ὅμως ηὐδόκησεν ὁ Κύριος νὰ θέσῃ τέρμα εἰς τὰ τόσα κακὰ αὐτοῦ, ἐπέτρεψε νὰ περιπέσῃ ὁ Χρυσαώριος εἰς θανατηφόρον ἀσθένειαν.

Ὅταν δὲ ἦλθεν εἰς τὴν τελευταίαν στιγμὴν τῆς ζωῆς του, καὶ ἐνῷ εἶχε τὰ μάτια του ὀρθάνοικτα, εἶδε νὰ παραστέκουν ἔμπροσθέν του πνεύματα φοβερὰ καὶ σκοτεινόμορφα καὶ νὰ τὸν μεταφέρουν εἰς τὰς πύλας τοῦ Ἅδου. Ἤρχισε λοιπὸν νὰ τρέμῃ καὶ νὰ κιτρινίζῃ καὶ νὰ περιλούεται μὲ ἱδρῶτα· ἐκραύγαζε δὲ μὲ ἀπόγνωσιν καί, κατατρομαγμένος, ἐζήτει προθεσμίαν (διὰ νὰ μετανοήσῃ).

Ἐφώναζε δὲ μὲ κραυγὰς ἐντόνους καὶ ταραγμένας, τὸν υἱόν του Μάξιμον, τὸν ὁποῖον ἐγὼ ἐγνώρισα ἀργότερα ὡς Μοναχὸν ὅταν καὶ ἐγὼ ἤμουν Μοναχὸς καὶ τοῦ ἔλεγε: «Μάξιμέ μου, τρέξε, ποτὲ δὲν σοῦ ἔκανα κακόν, σῶσε με μὲ τὴν δύναμιν τῆς πίστεώς σου».

Τότε ὁ Μάξιμος ταραγμένος καὶ κλαίων ἀμέσως ἦλθε κοντά του· μαζὶ δὲ μὲ αὐτὸν καὶ ὅλοι ὅσοι παρέμενον εἰς τὴν οἰκίαν τοῦ Χρυσαωρίου. Ὡστόσον κανεὶς ἀπὸ αὐτοὺς δὲν ἠμποροῦσε νὰ ἰδῇ τὰ πονηρὰ πνεύματα ποὺ ἐξεβίαζον τὸν Χρυσαώριον· τὴν παρουσίαν των ὅμως συνεπέραινον ἀπὸ ὅσα ἔλεγεν ὁ πάσχων, ἀπὸ τὴν ὠχρότητά του, ἀπὸ τὸν τρόμον, ποὺ εἶχε, διότι ἀπὸ τὴν σκοτεινὴν μορφὴν τῶν ἐνοχλούντων πονηρῶν πνευμάτων καὶ τὸν φόβον των ἐστριφογύριζεν ἐδῶ καὶ ἐκεῖ εἰς τὸ κρεββάτι του. Καὶ ἄλλοτε στρέφων πρὸς τὰ ἀριστερὰ ἔβλεπεν ἔμπροσθέν του ἐκείνους τοὺς ὁποίους δὲν ἠμποροῦσεν οὔτε νὰ ἀντικρύσῃ. Ἄλλοτε ἐστρέφετο πρὸς τὸν τοῖχον, ἀλλὰ καὶ ἐκεῖ τοὺς ἔβλεπε νὰ ἵστανται ἔμπροσθέν του.

Ἀφοῦ λοιπὸν ἀπηλπίσθη ὅτι ἦτο δυνατὸν νὰ γλυτώσῃ ἀπὸ αὐτούς, ἤρχισε νὰ κραυγάζῃ· τοὐλάχιστον δώσατέ μου διορίαν ὡς τὸ πρωΐ· μίαν διορίαν ὡς τὸ πρωΐ. Μὲ αὐτὰς δὲ τὰς κραυγὰς ἐξῆλθεν ἡ ψυχή του ἀπὸ τὸ σῶμα.

Ἀπὸ αὐτὰ γίνεται φανερὸν ὅτι ὅλα αὐτὰ τὰ εἶδεν ὁ Χρυσαώριος ὄχι διὰ τὸν ἑαυτόν του, ἀλλὰ δι' ἡμᾶς, διὰ νὰ τὰ μάθωμεν, νὰ φοβηθῶμεν καὶ νὰ διορθωθῶμεν. Διότι εἰς τί ὠφέλησε τὸν Χρυσαώριον ἡ πρὸ τοῦ θανάτου θέα τῶν πονηρῶν πνευμάτων, καὶ ἡ προθεσμία ποὺ ἐζήτησε καὶ δὲν ἔλαβεν;

3. Παρόμοιον περιστατικὸν διηγήθη εἰς ἐμὲ καὶ ὁ πρεσβύτερος τῆς ἀδελφότητός μας, ὁ Ἀθανάσιος. Εἰς τὸ Ἰκόνιον, ἀπ' ὅπου καὶ αὐτὸς κατάγεται, ὑπῆρχεν ἕνα Μοναστήριον, τῶν Γαλατῶν ὅπως ὠνομάζετο. Εἰς αὐτὸ ἐμόναζε κάποιος Μοναχός, ὁ ὁποῖος ἐθεωρεῖτο ἀπὸ ὅλους ὅτι εὑρίσκετο εἰς ὑψηλὰ μέτρα ἀρετῆς καὶ σεμνότητος. Ὅπως ὅμως ἔδειξε

τὸ τέλος του, ἡ ζωή του εὑρίσκετο πολὺ μακρὰν ἀπὸ τὴν φαινομενικὴν ἀρετὴν ποὺ παρουσίαζεν. Ἐνῷ δηλαδὴ εἰς τὸ φανερὸν ἐδείκνυεν ὅτι νηστεύει μαζὶ μὲ τοὺς ἀδελφούς, κρυφὰ ἀπὸ αὐτοὺς ἔτρωγεν. Ὁ Μοναχὸς αὐτὸς κάποτε ἀρρώστησε καὶ ἔφθασεν εἰς τὰ τελευταῖα του.

Μίαν ἡμέραν διαισθανόμενος, ὅτι πλησιάζει τὸ τέλος του, ἐφώναξε κοντά του ὅλους τοὺς ἀδελφοὺς τοῦ Μοναστηρίου. Οἱ ἀδελφοὶ συνεκεντρώθησαν μὲ μεγάλην προθυμίαν, περιμένοντες νὰ ἀκούσουν ἀπὸ ἕνα τέτοιον ἐνάρετον ἀσκητήν, ὅπως τὸν ἐνόμιζον, κάτι τὸ μεγάλον καὶ ἀξιοθαύμαστον, τώρα ποὺ ἀπέθνῃσκε. Τότε ἐκεῖνος δὲ πενθῶν καὶ τρέμων ἀπὸ τὸν φόβον του εἶπεν:

—Ἐπιστεύετε ὅτι ἐγὼ ἐνήστευον μαζί σας, ἐνῷ κρυφὰ ἀπὸ σᾶς ἔτρωγα. Καὶ νὰ τώρα· παρεδόθην εἰς τὸν φοβερὸν δράκοντα, διὰ νὰ μὲ φάγῃ. Αὐτὸς δὲ ὁ φοβερὸς δράκων ἔδεσε μὲ τὴν οὐράν του τὰ πόδια μου καὶ τὰ γόνατά μου, τὴν δὲ κεφαλήν μου τὴν ἔχει βάλει μέσα εἰς τὸ στόμα του, ἐνῷ μὲ πιπιλίζει καὶ ξεριζώνει ἀπὸ μέσα τὴν ψυχήν μου.

Ἀφοῦ δὲ εἶπεν αὐτὰ ἀμέσως ἀπέθανε, χωρὶς νὰ τοῦ ἐπιτραπῇ νὰ ζήσῃ ὀλίγον, ὥστε νὰ ἠμπορέσῃ, διὰ τῆς μετανοίας, νὰ ἐλευθερωθῇ ἀπὸ ἐκεῖνον τὸν δράκοντα. Καὶ ἀπὸ τὸ περιστατικὸν αὐτὸ γίνεται ὁλοφάνερον, ὅτι εἶδε τὸ φρικτὸν αὐτὸ ὅραμα πρὸς ψυχικὴν μόνον ὠφέλειαν αὐτῶν ποὺ ἤκουσαν, ἐφ' ὅσον ὁ ἴδιος, ἂν καὶ ἐφανέρωσε τὸν ἐχθρὸν εἰς τὸν ὁποῖον παρεδόθη, ἐν τούτοις δὲν ἠμπόρεσε νὰ τὸν ἀποφύγῃ.

Γ'. Ἐν τῇ διηγήσει τῶν περιόδων τοῦ Ἁγίου Ἀποστόλου Θωμᾶ.

ΘΩΜΑΣ ὁ Μέγας Ἀπόστολος, ὑπὸ τοῦ Κυρίου πραθεὶς Ἀμβάνῃ τῷ ἐμπόρῳ, οἷα δοῦλος τὴν τεκτονικὴν ἄκρος, καὶ σὺν αὐτῷ τὴν Ἰνδίαν καταλαβών, εἰσαχθείς τε πρὸς τὸν βασιλέα, καὶ περὶ τῆς ἐπιστήμης ἐρωτηθείς, ἄκρος εἶναι τὴν τεκτονικὴν διεβεβαιώσατο, περὶ αὐτῆς πλεῖστα διεξελθών. Καὶ τῷ ὄντι πολὺς εἶναι ταύτην ὅσον ἐκ τῶν λόγων ὑποληφθεὶς τοῖς ἀκούουσι, διὸ καὶ χρήματα ὅτι πλεῖστα ὑπὸ τοῦ βασιλέως πιστεύεται εἰς τὸ οἰκοδομῆσαι αὐτῷ ἔν τινι τόπῳ παλάτια. Ὁ δὲ λαβὼν τὰ χρήματα ὅτι πλεῖστα, εἰς τοὺς δεομένους πάντα ἐκένωσε· μετὰ οὖν χρόνον τινὰ ἀποστείλας ὁ βασιλεὺς ἐπὶ τῷ ἐπισκέψασθαι τὰ οἰκοδομούμενα, ὡς ἔμαθε παρὰ τῶν ἀποσταλέντων ὅτι οὐδὲ τὴν ἀρχὴν οἰκοδομίας ὅλως ὁ Θωμᾶς ἥψατο, ἀλλὰ τὰ ἐμπιστευθέντα χρήματα πάντα εἰς πένητας κατεκένωσε, πρὸς ὀργὴν εὐθὺς ἐκκαυθείς, ἐκέλευσε παραχρῆμα τὸν Ἀπόστολον ἐξαγκωνισθέντα ἀχθῆναι· τούτου δὲ θᾶττον ἢ λόγος παραστάντος, λέγει ὁ βασιλεὺς τῷ Θωμᾷ· ἔκτισάς μοι τὸ παλάτιον; ὁ δέ, ναί, ἔφη, καὶ πάνυ τερπνόν. Καὶ ὁ βασιλεύς· ἀπελθών, θεάσωμαι αὐτό· καὶ ὁ Ἀπόστολος· ἐν τῷ νῦν αἰῶνι, οὐχ οἷόν τε ἐστὶ τοῦτό σε ἰδεῖν· μετὰ δὲ τὴν ἐνθένδε μετάστασιν, κατόψει καὶ ἀπολήψει αὐτό, πάνυ εὐκταίως καὶ ἀσπασίως.

Ταῦτα φαινακισμὸν καὶ οὐκ ἀλήθειαν ἡγησάμενος Γουνδαφόρος ὁ βασιλεύς, (τοῦτο γὰρ ὠνομάζετο), τό τε ἄσκευον καὶ ἀπέριττον καταμαθὼν τοῦ Θωμᾶ, κἀντεῦθεν ἀπογνοὺς τὴν τῶν χρημάτων ἀνάδοσιν, τῷ βάρει τῆς ὀργῆς ἰσόρροπον αὐτῷ καὶ

τὸν θάνατον διεσκέψατο, τῆς δορᾶς ἀποδαρέντα, παραπεμφθῆναι πυρί. Ἀλλ' ὁ ποιῶν πάντα καὶ μετασκευάζων πρὸς τὸ αὐτοῦ θέλημα φθάνει τῇ θανατηφόρῳ τοῦ Γὰδ πληγῇ, ὃς ἦν ἀδελφὸς Γουνδαφόρου τοῦ βασιλέως· βληθεὶς γὰρ οὗτος ὁ Γὰδ πλέον ἢ ὁ ἀδελφὸς καὶ βασιλεὺς τῇ ἀθυμίᾳ τῆς ἀποτυχίας τῶν παλατίων, αὐτός τε σφαδάζων κατὰ τοῦ δῆθεν ἐμπαίξαντος, καὶ τὸν ἀδελφὸν ἐπισπεύδων πρὸς τὴν τιμωρίαν αὐτοῦ διαπεφώνηκε· καὶ ὁ τούτου θάνατος, λύσις τοῦ Ἀποστολικοῦ θανάτου γεγένηται· ἐκλαθόμενοι γὰρ τούτου τῷ ἐκείνου μεγέθει, περὶ τὴν ἐκκομιδὴν τοῦ λειψάνου ἠσχόληντο· ἀλλὰ γὰρ οἷον κἀνταῦθα θαυματουργεῖ Θεός, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν!

Ἀναλαβόντες γὰρ τότε τὴν ψυχὴν τοῦ Γὰδ Ἄγγελοι, τὰς ἐκεῖθεν αἰωνίους τῶν σῳζομένων μονὰς ὑπεδείκνυον· ἡ δέ, μιᾶς τῶν ἄλλων ἁλοῦσα τῷ κάλλει καὶ μεγέθει καὶ τῇ ὑπερφερεῖ δόξῃ, ἐδεῖτο τοῖς περιάγουσιν εἰς ἕν τι τῶν βραχυτέρων ἐγκατοικῆσαι ταύτης κελλίων· οἳ δ' οὐχ ὑπήκουον φάμενοι Γουνδαφόρῳ διαφέρειν τῷ σφῶν ἀδελφῷ ᾧ ὁ Θωμᾶς ὁ ξένος αὐτῷ ᾠκοδόμησεν. Ὁ δέ, ταῦτα ἀκούσας, θερμότερον ἱκέτευεν, ἐφεῖναι αὐτῷ ἀπελθεῖν καὶ πρὸς τοῦ ἀδελφοῦ ἐξωνήσασθαι· τί οὖν τὰ ἑξῆς; εὐδόκησεν οὗ τῷ νεύματι τὸ πᾶν περιάγεται, ὑποστρέψαι πάλιν εἰς τὸ σῶμα τὴν τοῦ ἀνθρώπου ψυχήν, ἵνα πρὸς τῇ τοῦ Ἀποστόλου λυτρώσει καὶ πολλαῖς ψυχαῖς σωτηρίαν διὰ τῆς ἀναστάσεως τούτου χαρίσηται· τῶν ἐνταφίων οὖν περιβαλλομένων τῷ τοῦ Γὰδ σώματι, τὸ ἄπνουν σῶμα, ἔμπνουν ἀθρόως διεγινώσκετο τοῖς ἐνταφιάζουσιν· οἳ καὶ καταπλαγέντες ἔδραμον καὶ τῷ βασιλεῖ Γουνδαφόρῳ ἀπήγγειλαν τὸ γενόμενον· θαμβηθεὶς δὲ αὐτός, δρομαῖος παρέστη τῷ ἀδελφῷ· ὁ δέ, ὢ τοῦ θαύματος· τὰ μεμυκότα ἤδη τῷ θανάτῳ χείλη, ὥς περ ἐξ ὕπνου διάρας, κατεδέετο αὐτοῦ λέγων· διαπώλησαί μοι ἀξιῶ, ἀδελφέ, ὃ ἐν τοῖς οὐρανοῖς ἔχεις παλάτιον, ἐκεῖνο ὅπερ ὁ Χριστιανὸς Θωμᾶς ᾠκοδόμησέ σοι.

Ἐπιστήσας τοίνυν τὸν νοῦν ὁ βασιλεὺς τοῖς ὑπ' αὐτοῦ λεγομένοις καὶ συνεὶς ὡς Θεοῦ τε εἴη Ἀπόστολος ὁ Θωμᾶς, καὶ αὐτὸς Θεὸς ἀληθὴς καὶ φιλάνθρωπος ὁ ὑπ' αὐτοῦ κηρυττόμενος, αὐτός τε τῇ τῆς πίστεως αἴγλῃ κατεφωτίσθη, καὶ τῷ ἀδελφῷ ἀπεκρίνατο· οὐ δυνατός εἰμι, ἀδελφέ, ἐκεῖνό σοι προσαποδοῦναι τὸ κτῆμα, οὗπερ τὴν κτῆσιν οὐ ῥάδιόν ἐστιν αὖθις εὑρεῖν· ἔρχομαι δὲ μᾶλλον, αὐτὸς ἀπολήψεσθαι, ἐκείνου δέ σοι τὸν τεχνίτην παρέξω, θείᾳ ἔτι περιόντα προνοίᾳ, κἀκεῖνός σοι παραπλήσιον ἐργάσεται. Καὶ εὐθέως παρέστησεν αὐτῷ τὸν Θωμᾶν, τῆς φρουρᾶς καὶ τῶν δεσμῶν ἐξελών· ἀμφότεροί τε πρὸ πάντων δεόμενοι, προσέπεσον τοῖς ποσὶν αὐτοῦ, ἀφεθῆναι αὐτοῖς τὸ ἐξ ἀγνοίας ἀνόμημα, καταγγεῖλαί τε τὸν αὐτοῖς Θεὸν ἀγνοούμενον καὶ τὰ προστάγματα αὐτοῦ, ὡς ἂν τοῦ λοιποῦ κατὰ τὸ ἐκείνου ζήσαντες θέλημα, τῶν ἀοράτων καὶ αἰωνίων ἐπιτύχωσιν ἀγαθῶν· ὧν δὴ τὰς εἰκόνας καὶ τοὺς τύπους ὁ Γὰδ προϊδεῖν κατηξίωται.

Τούτων ἀκούσας ὁ Ἀπόστολος, καὶ τὸ βάθος τῆς προνοίας καταπλαγείς, καὶ τῷ Θεῷ τὰ εἰκότα εὐχαριστήσας, εἶτα ἐπευξάμενος αὐτοὺς καὶ κατηχήσας, ἐβάπτισεν εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· καὶ τοὺς λοιποὺς δὲ Ἰνδοὺς ἐκ τούτου πιστεύσαντας, ἐβάπτισεν ἀναρίθμητα πλήθη.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Ἀπόστολος Θωμᾶς ἐπωλήθη ἀπὸ τὸν Κύριον εἰς τὸν ἔμπορον Ἀμβάνην ὡς δοῦλος πάρα πολὺ ἱκανὸς εἰς τὴν τέχνην τοῦ οἰκοδόμου. Μαζὶ δὲ μὲ τὸν ἔμπορον Ἀμβάνην ἔφθασεν εἰς τὴν χώραν τῶν Ἰνδιῶν. Ἐκεῖ τὸν ὡδήγησαν ἐνώπιον τοῦ βασιλέως τῆς χώρας. Ὁ Βασιλεὺς τὸν ἠρώτησε, μὲ ἐνδιαφέρον, διὰ τὴν τέχνην του καὶ ὁ Ἀπόστολος Θωμᾶς τὸν διεβεβαίωσεν, ὅτι εἶναι ἐκ τῶν ἀρίστων οἰκοδόμων καὶ τοῦ ἐξέθεσεν ἀρκετὰ διὰ τὴν τέχνην του αὐτήν.

Πράγματι ἐκ τῶν ὅσων εἶπε περὶ τέχνης, ἐθεωρήθη ἀπὸ τοὺς ἀκούοντας ὡς ἀξιόλογος ἀρχιτέκτων, δι' αὐτὸ καὶ ὁ Βασιλεὺς τοῦ ἐμπιστεύεται ἄφθονα χρήματα, διὰ νὰ τοῦ κτίσῃ λαμπρὰ παλάτια εἰς κάποιον τόπον τῆς ἐξουσίας του.

Ὁ Ἀπόστολος Θωμᾶς, μόλις ἔλαβε τὰ χρήματα τοῦ Βασιλέως, ἔτσι ὅπως ἦσαν ἄφθονα, τὰ ἐμοίρασεν ὅλα εἰς τοὺς πτωχοὺς καὶ εἰς ὅσους εἶχον ἀνάγκην.

Μετ' ὀλίγον χρόνον ὁ Βασιλεὺς ἔστειλεν ἀντιπροσώπους εἰς τὸ μέρος ὅπου ὥρισε νὰ κτισθοῦν τὰ παλάτια, διὰ νὰ ἰδοῦν τὴν οἰκοδομήν. Κατάπληκτος ὅμως ἔμαθεν ἀπὸ τοὺς ἀντιπροσώπους του, ὅταν ἐπέστρεψαν, ὅτι ὁ Θωμᾶς οὔτε τὰ θεμέλια δὲν εἶχε βάλει εἰς τὴν οἰκοδομήν, καὶ ὅτι ὅλα τὰ χρήματα, ποὺ τοῦ ἐνεπιστεύθη ὁ Βασιλεύς, τὰ διεμοίρασεν εἰς τοὺς πτωχούς. Ἄναψε τότε ἀπὸ τὸν θυμόν του ὁ Βασιλεὺς καὶ διέταξε νὰ δέσουν ἀμέσως ὀπισθάγκωνα τὸν Ἀπόστολον καὶ νὰ τὸν ὁδηγήσουν ἐνώπιόν του.

Μόλις ἡ διαταγὴ τοῦ Βασιλέως ἐξετελέσθη γρηγορώτερα καὶ ἀπὸ τὸν λόγον καὶ ἐνεφανίσθη ἐνώπιόν του ὁ Ἀπόστολος Θωμᾶς, τοῦ λέγει μὲ ἀσυγκράτητον θυμόν:

— Μοῦ ἔκτισες τὸ παλάτι;

— Ναί, ἀπήντησε μὲ ἠρεμίαν ὁ Ἀπόστολος Θωμᾶς, καὶ μάλιστα πάρα πολὺ ὡραῖον.

— Ἐμπρὸς λοιπόν, εἶπεν αὐστηρὰ ὁ Βασιλεύς· πᾶμε, νὰ τὸ ἴδω.

— Δὲν εἶναι δυνατόν, Βασιλεῦ, εἰς αὐτὴν ἐδῶ τὴν ζωὴν νὰ ἴδῃς τὸ ἀνάκτορον, ποὺ σοῦ ἑτοιμάζω· μετὰ τὴν ἀναχώρησίν σου ὅμως ἀπὸ τὸν κόσμον τοῦτον θὰ τὸ ἴδῃς καὶ θὰ τὸ ἀπολαύσῃς μὲ μεγάλην χαρὰν καὶ ἀγαλλίασιν, ἀπήντησεν ὁ Ἀπόστολος.

Τὰ λόγια αὐτὰ τοῦ Ἀποστόλου Θωμᾶ ὁ Βασιλεὺς Γουνδαφόρος (αὐτὸ ἦτο τὸ ὄνομά του) τὰ ἐθεώρησεν ὡς ἐμπαιγμὸν καὶ δὲν ἐπίστευσεν, ὅτι εἶναι ἀληθινά.

Ἐν τῷ μεταξὺ ἐπληροφορήθη, ὅτι ὁ Ἀπόστολος Θωμᾶς ἦτο πτωχὸς καὶ δὲν εἶχε τίποτε, διὰ νὰ τοῦ κατασχέσῃ· ἀφοῦ λοιπὸν ἔχασε τὰς ἐλπίδας του, ὅτι θὰ ἠμπορέσῃ νὰ τοῦ ἐπιστρέψῃ τὰ χρήματα, ἐσκέφθη, ὑπὸ τὸ κράτος τῆς ὀργῆς, ὅτι μόνον ὁ θάνατος τοῦ Ἀποστόλου

Θωμᾶ θὰ ἱκανοποιοῦσε τὸν θυμόν του. Δι' αὐτὸ διέταξε νὰ τὸν γδάρουν ζωντανὸν καὶ ὕστερα νὰ τὸν ρίψουν εἰς τὸ πῦρ διὰ νὰ καῇ.

'Αλλ' 'Εκεῖνος ὅστις πραγματοποιεῖ τὰ πάντα, διὰ τῆς παντοδυναμίας Του, καὶ τὰ ἐναρμονίζει πρὸς τὸ θεῖον Αὐτοῦ θέλημα, προφθάνει ἐπικαίρως καὶ μεταβάλλει τὸν ρυθμὸν τῶν γεγονότων δι' ἑνὸς θανατηφόρου ἀτυχήματος τοῦ Γάδ, ὁ ὁποῖος ἦτο ἀδελφὸς τοῦ βασιλέως Γουνδαφόρου. Καὶ ἰδοὺ πῶς συνέβη. Ὁ Γὰδ αὐτὸς ἐλυπήθη περισσότερον ἀπὸ τὸν ἀδελφόν του τὸν Βασιλέα ἐκ τῆς ἀποτυχίας τῆς ἀνοικοδομήσεως τῶν παλατίων· καὶ ὠργισμένος περισσότερον αὐτὸς ἐναντίον τοῦ 'Αποστόλου, ὁ ὁποῖος δῆθεν τοὺς ἐνέπαιξεν, ἐξεβίαζε τὸν Βασιλέα νὰ τιμωρήσῃ τὸν Θωμᾶν· ἐν τῷ μεταξὺ ὅμως ἀπέθανεν.

Ὁ θάνατος ὅμως τοῦ Γὰδ ἔγινεν αἰτία νὰ ματαιωθῇ ὁ θάνατος τοῦ 'Αποστόλου Θωμᾶ. 'Απὸ τὸ μέγεθος τῆς ἐκ τοῦ θανάτου τοῦ Γὰδ συμφορᾶς ἐλησμόνησαν τὸν κατάδικον, καὶ ἠσχολοῦντο μὲ τὴν ἐκφορὰν τοῦ νεκροῦ Γάδ.

'Αλλ' ὁποῖον καταπληκτικὸν θαῦμα θαυματουργεῖ καὶ ἐδῶ ὁ Θεός, ὅστις δὲν ἐπιθυμεῖ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἕως ὅτου νὰ ἐπιστρέψῃ ἐκ τῆς ἁμαρτίας του καὶ νὰ ζήσῃ τὴν ζωὴν τῆς ἀρετῆς.

Μόλις ἀπέθανεν ὁ Γάδ, παρέλαβον τὴν ψυχήν του Ἄγγελοι καὶ ἐδείκνυον εἰς αὐτὴν τὰς αἰωνίους καὶ ἀφθάρτους διαμονάς, ποὺ ὑπάρχουν εἰς τὸν ἄλλον κόσμον, δι' ὅσους σώζονται ἀπὸ τὴν ἁμαρτίαν. Ἡ ψυχὴ τότε τοῦ Γὰδ ἐκυριεύθη ἀπὸ τὴν ὡραιότητα, τὸ μέγεθος καὶ τὴν ἐξαιρετικὴν λαμπρότητα μιᾶς τοιαύτης οὐρανίου ἐπαύλεως, ποὺ ἐξεχώριζεν ἀπὸ ὅλας τὰς ἄλλας, καὶ ἤρχισεν ἐπιμόνως νὰ παρακαλῇ τοὺς ὁδηγοὺς 'Αγγέλους νὰ τὴν ἀφήσουν νὰ κατοικήσῃ εἰς ἕνα ἀπὸ τὰ μικρότερα δωμάτιά της.

Οἱ συνοδοὶ ὅμως Ἄγγελοι δὲν συγκατένευον εἰς αὐτὴν τὴν παράκλησιν, ἰσχυριζόμενοι, ὅτι ἡ ἔπαυλις αὐτὴ ἀνήκει εἰς τὸν ἀδελφόν του Γουνδαφόρον, καὶ ὅτι τὴν ἔκτισε πρὸς χάριν του κάποιος ξενομερίτης Θωμᾶς ὀνομαζόμενος.

Μόλις ἐπληροφορήθη αὐτὸ ὁ Γάδ, ἤρχισε μετὰ μεγαλυτέρας θερμότητος νὰ ἱκετεύῃ τοὺς συνοδοὺς 'Αγγέλους νὰ τοῦ ἐπιτρέψουν νὰ ξαναγυρίσῃ εἰς τὸν κόσμον, διὰ νὰ ἀγοράσῃ τὴν λαμπρὰν αὐτὴν ἔπαυλιν ἀπὸ τὸν ἀδελφόν του.

Τί ἔγινε λοιπὸν μετὰ ταῦτα;

'Εκεῖνος, μὲ τὸ νεῦμα μόνον τοῦ ὁποίου κινοῦνται τὰ πάντα, εὐδόκησε νὰ ἐπιστρέψῃ καὶ πάλιν ἡ ψυχὴ τοῦ Γὰδ εἰς τὸ νεκρὸν σῶμα, διὰ νὰ λυτρωθῇ καὶ ὁ 'Απόστολος ἀπὸ τὸν θάνατον, ἀλλὰ καὶ πολλαὶ ψυχαὶ νὰ σωθοῦν μὲ τὸ θαῦμα τῆς ἀναστάσεως τοῦ νεκροῦ Γάδ.

'Ενῷ λοιπὸν ἐσαβάνωναν τὸν νεκρὸν Γὰδ ἔξαφνα βλέπουν, αὐτοὶ ποὺ εἶχον τὴν φροντίδα τοῦ ἐνταφιασμοῦ, ὅτι τὸ ἄψυχον σῶμα ἤρχισε

σιγὰ - σιγὰ νὰ ζωογονῆται. Ἀμέσως, κατάπληκτοι, ἔτρεξαν καὶ ἀνέφεραν εἰς τὸν βασιλέα Γουνδαφόρον αὐτὸ τὸ πρωτάκουστον γεγονός.

Κατάπληκτος ὁ Βασιλεὺς ἔτρεξε δρομαίως πλησίον τοῦ νεκροῦ ἀδελφοῦ του. Καὶ ὢ τοῦ θαύματος· ὁ μέχρι τῆς στιγμῆς ἐκείνης νεκρὸς Γάδ, ὡς νὰ ἐξυπνοῦσεν ἀπὸ ὕπνον, ἀνοίγει τὰ ἐσφραγισμένα, ἀπὸ τὸν θάνατον, χείλη του καὶ ἤρχισεν ἐπιμόνως νὰ παρακαλῇ τὸν ἀδελφόν του, λέγων:

—Ἂν μὲ ἀγαπᾷς, ἀδελφέ μου, ἔχω τὴν ἀξίωσιν ἀπὸ ἐσέ, νὰ μοῦ πωλήσῃς τὸ ὡραῖον παλάτιον, ποὺ σοῦ ἔκτισεν εἰς τὸν οὐρανὸν ὁ Χριστιανὸς Θωμᾶς.

Ἀκούσας μετὰ προσοχῆς τοὺς λόγους αὐτοὺς ὁ Βασιλεὺς ἀντελήφθη καλῶς τὴν σημασίαν των καὶ ἀνεγνώρισεν ὅτι ὁ Ἀπόστολος Θωμᾶς ἦτο πράγματι Ἀπόστολος τοῦ Θεοῦ καὶ ὅτι ὁ Θεός, τὸν ὁποῖον ἐκήρυσσεν ὁ Ἀπόστολος Θωμᾶς, ἦτο πράγματι ἀληθινὸς καὶ φιλάνθρωπος· ἀμέσως ἡ ψυχή του ἐφωτίσθη ἀπὸ τὴν λαμπρότητα τῆς πίστεως καὶ ἀπήντησεν εἰς τὸν ἀδελφόν του:

—Ἀδελφέ μου, δὲν ἠμπορῶ νὰ σοῦ πωλήσω ἐκεῖνο τὸ κτῆμα, τοῦ ὁποίου ἡ ἀπόκτησις δὲν ἐπιτυγχάνεται τόσον εὐκόλως. Ἀπ' ἐναντίας· θεωρῶ εὐκολώτερον νὰ ἔλθω νὰ τὸ παραλάβω, νὰ συστήσω δὲ εἰς ἐσὲ τὸν τεχνίτην του, ὁ ὁποῖος κατὰ Θείαν Πρόνοιαν ζῇ ἀκόμη, καὶ ἐκεῖνος θὰ ἀνοικοδομήσῃ πρὸς χάριν σου παρόμοιον ἀνάκτορον.

Ἀμέσως δὲ διέταξε νὰ παρουσιάσουν ἐνώπιόν του τὸν Θωμᾶν, τὸν ὁποῖον ἐν τῷ μεταξὺ ἀπηλευθέρωσεν ἀπὸ τὴν φυλακὴν καὶ τὰ δεσμά. Εἰς τὴν ἐμφάνισιν τοῦ Ἀποστόλου καὶ οἱ δύο ἀδελφοὶ ἔπεσαν εἰς τὰ πόδια του καὶ τὸν παρεκάλουν νὰ συγχωρήσῃ εἰς αὐτοὺς τὸ ἀνόμημα, ποὺ διέπραξαν εἰς βάρος του, ἐν ἀγνοίᾳ των ὅμως, καὶ νὰ κηρύξῃ εἰς τὴν χώραν των τὸν ὑπ' αὐτῶν ἀγνοούμενον Θεὸν καὶ τὰ προστάγματά Του, διὰ νὰ ζήσουν τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς των συμφώνως πρὸς τὸ θέλημά Του, καὶ οὕτω νὰ ἐπιτύχουν τὰ αἰώνια καὶ ἀόρατα ἀγαθά, τῶν ὁποίων βεβαίως τὰς εἰκόνας καὶ τοὺς τύπους ἠξιώθη νὰ προΐδῃ ὁ Γάδ.

Μὲ κατάπληξιν ἤκουσεν ὅλα αὐτὰ ὁ Ἀπόστολος Θωμᾶς καὶ ἐθαύμασε τὸ βάθος τῆς Θείας Προνοίας· ἀμέσως δὲ ηὐχαρίστησε πρεπόντως τὸν Θεόν, καὶ τοὺς κατήχησεν· ἐν συνεχείᾳ τοὺς ἐβάπτισεν ὅλους εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Ἐβάπτισε δὲ καὶ ἄλλα ἀναρίθμητα πλήθη Ἰνδῶν, οἱ ὁποῖοι ἐπίστευσαν εἰς τὸν Θεὸν ἐκ τοῦ θαύματος τὸ ὁποῖον ἔγινε.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΓΕΡΩΝ ΤΙΣ ἀπῆλθέ ποτε εἴς τινα πόλιν πωλῆσαι τὰ σκεύη αὐτοῦ· καὶ κατ' εὐκαιρίαν, ἐκαθέσθη εἰς πυλῶνα τινὸς πλουσίου μέλλοντος τελευτᾶν· καθήμενος οὖν προσέσχε· καὶ ὁρᾷ τινας ἄνδρας μελανούς, καὶ φόβου μεστούς, ἐπιβεβηκότας ἵππων καὶ αὐτῶν μελανῶν, καὶ ἔχοντας βάκλα πύρινα ἐν ταῖς χερσὶν αὐτῶν, οἳ φθάσαντες

εἰς τὸν πυλῶνα, ἔστησαν τοὺς ἵππους ἔξω· αὐτοὶ δὲ εἰσῆλθον· καὶ ἰδὼν αὐτοὺς ὁ ἄρρωστος, ἐκραύγασε μεγάλῃ τῇ φωνῇ· Κ ύ ρ ι ε, ἐ λ έ η σ ό ν μ ε κ α ὶ β ο ή θ η σ ό ν μ ο ι· λέγουσιν αὐτῷ ἐκεῖνοι· ἄρτι ὅτε ὁ ἥλιος ἔδυ ἐμνήσθης τοῦ Θεοῦ; διατί αὐγαζούσης τῆς ἡμέρας οὐκ ἐζήτησας αὐτόν; νῦν οὐκ ἔστι σοι σωτηρίας ἐλπίς, οὐδὲ παράκλησις· καὶ οὕτω βιαίως ἀνασπάσαντες αὐτοῦ τὴν ψυχὴν ἀπῆλθον.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ ἕνας Γέρων Ἀσκητὴς ἔφυγεν ἀπὸ τὴν ἔρημον καὶ μετέβη εἰς μίαν πόλιν, διὰ νὰ πωλήσῃ τὰ ἐργόχειρά του. Κατὰ σύμπτωσιν δὲ ἐκάθισεν εἰς τὴν θύραν ἑνὸς πλουσίου, ὁ ὁποῖος ἐψυχορραγοῦσε. Καθὼς λοιπὸν ἐκάθητο, ἐκοίταξε μὲ προσοχὴν καὶ βλέπει μερικοὺς μαύρους ἀνθρώπους, οἱ ὁποῖοι ἐπροκαλοῦσαν φόβον μὲ τὴν θέαν των, διότι ἐπέβαινον ἐπάνω εἰς μαῦρα ἄλογα καὶ ἐκρατοῦσαν εἰς τὰ χέρια των φλογισμένα τύμπανα. Αὐτοὶ λοιπὸν οἱ μαῦροι ἄνθρωποι ἔφθασαν μὲ τὰ μαῦρα ἄλογά των ἔξω ἀπὸ τὴν θύραν τῆς οἰκίας τοῦ πλουσίου. Ἄφησαν ἐκεῖ τὰ ἄλογά των καὶ οἱ ἴδιοι εἰσῆλθον εἰς τὴν οἰκίαν. Μόλις τοὺς εἶδεν ὁ ἄρρωστος καὶ ψυχορραγῶν πλούσιος, ἤρχισε νὰ κραυγάζῃ ἀπεγνωσμένα· Κύριε, ἐλέησέ με καὶ βοήθησέ με.

Τότε λέγουν εἰς αὐτὸν ἐκεῖνοι.

Τώρα, ποὺ ἐβασίλευσεν ὁ ἥλιος, ἐθυμήθηκες τὸν Θεόν; Διατί, ὅταν ἔλαμπεν ἡ ἡμέρα, δὲν τὸν ἀνεζήτησες; Τώρα πλέον δὲν ὑπάρχει διὰ σὲ οὔτε ἐλπὶς σωτηρίας, οὔτε παρηγορία. Καὶ ἀμέσως ἀπέσπασαν βιαίως τὴν ψυχήν του καὶ ἀνεχώρησαν.

Ε'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΟΙ, μέγας φόβος ἐστὶν ἐν τῇ ὥρᾳ τοῦ θανάτου· παρίστανται γὰρ τῇ ψυχῇ ἐν τῇ ὥρᾳ τοῦ χωρισμοῦ πάντα τὰ ἔργα αὐτῆς, ἃ ἔπραξεν ἐν ἡμέρᾳ καὶ νυκτί, ἀγαθά τε καὶ πονηρά· καὶ Ἄγγελοι σπουδάζοντες ἐπείγονται τοῦ ἐξῶσαι αὐτὴν τοῦ σώματος· ἡ οὖν τοῦ ἁμαρτωλοῦ ψυχή, θεωροῦσα τὰ ἔργα αὐτῆς, δειλιᾷ ἐξελθεῖν· βιαζομένη ὑπὸ τῶν Ἀγγέλων καὶ τρέμουσα διὰ τὰ ἔργα αὐτῆς, λέγει πρὸς αὐτὰ μετὰ φόβου· δ ό τ ε τ ό π ο ν μ ί α ν ὥ ρ α ν ἵ ν α ἐ ξ έ λ θ ω· ἀποκρίνεται δὲ τῇ ψυχῇ τὰ ἔργα αὐτῆς ἅμα πάντα καὶ λέγει· ἡμᾶς σὺ ἔπραξας· σὺν σοὶ οὖν ὑπάγομεν πρὸς τὸν Θεόν· καὶ οὕτω τρέμουσα καὶ ὀδυρομένη χωρίζεται τοῦ σώματος· καὶ ἀπέρχεται παραστῆναι κριτηρίῳ ἀθανάτῳ.

Ἑ ρ μ η ν ε ί α

ΑΔΕΛΦΟΙ ΜΟΥ, μεγάλος εἶναι ὁ φόβος κατὰ τὴν ὥραν τοῦ θανάτου· διότι κατὰ τὴν στιγμὴν τοῦ χωρισμοῦ τῆς ψυχῆς ἀπὸ τὸ σῶμα παρουσιάζονται ἐνώπιον αὐτῆς ὅλα τὰ ἔργα ποὺ διέπραξε κατὰ τὴν ἡμέραν καὶ τὴν νύκτα, καὶ τὰ καλὰ καὶ τὰ πονηρά, ἐνῷ, συγχρόνως, οἱ Ἄγγελοι βιάζονται διὰ νὰ ἐκβάλουν τὴν ψυχὴν ἀπὸ τὸ σῶμα. Ἡ ψυχὴ λοιπὸν τοῦ ἁμαρτωλοῦ βλέπουσα τὰ πονηρὰ ἔργα της δειλιάζει νὰ ἐξέλθῃ.

Ἐκβιαζομένη ὅμως ἀπὸ τοὺς Ἀγγέλους καὶ τρέμουσα διὰ τὰ πονηρὰ ἔργα της λέγει καὶ παρακαλεῖ φοβισμένη: ἀφήσατέ με μίαν ὥραν ἀκόμη καὶ κατόπιν νὰ ἐξέλθω. Τὴν ἀπάντησιν ὅμως εἰς τὴν ψυχὴν δίδουν ὅλα μαζὶ τὰ ἔργα, ὅσα διέπραξε καὶ τῆς λέγουν: Σὺ μᾶς ἔκανες· μαζί σου λοιπὸν πρέπει νὰ παρουσιασθῶμεν ἐνώπιον τοῦ Θεοῦ. Τρέμουσα τότε καὶ ὀδυρομένη χωρίζεται ἀπὸ τὸ σῶμα καὶ φεύγει διὰ νὰ παρουσιασθῇ ἐνώπιον τοῦ ἀθανάτου κριτηρίου τῆς θείας Δικαιοσύνης.

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΤΟ γέρων· ὅτι ἀδελφός τις ἀναχωρῆσαι θέλων, ἐκωλύετο ὑπὸ τῆς ἰδίας μητρός· ὁ δὲ οὐκ ἐπαύετο τοῦ ἰδίου σκοποῦ λέγων· σῶσαι θέλω τὴν ψυχήν μου· ὡς οὖν πολλὰ σπουδάσασα, οὐκ ἴσχυσεν αὐτὸν κατασχεῖν, παρεχώρησεν αὐτὸν ἀπελθεῖν· ὁ δέ, ἀναχωρήσας καὶ μονάσας, ἐν ἀμελείᾳ τὴν ἑαυτοῦ ζωὴν κατηνάλωσεν· ἐγένετο οὖν τὴν μητέρα αὐτοῦ ἀποθανεῖν· μετὰ δὲ χρόνον ἀσθενῆσαι καὶ αὐτὸν βαρεῖαν ἀσθένειαν καὶ θάνατον ἀπειλοῦσαν· ἐν ᾗ καὶ ὡς ἐν λιποθυμίᾳ γενόμενος, ἐξεδήμησε τοῦ σώματος καὶ ἡρπάγη εἰς τὴν κρίσιν· καὶ εὗρε τὴν μητέρα αὐτοῦ μετὰ τῶν κρινομένων, ἤτοι τῶν κολαζομένων· ἐκείνη οὖν, ὡς εἶδεν αὐτόν, καταπλαγεῖσα εἶπε· τέκνον, καὶ σὺ εἰς τὸν τόπον τοῦτον κατεκρίθης; καὶ ποῦ οἱ λόγοι οὓς ἔλεγες, ὅτι σῶσαι θέλω τὴν ψυχήν μου; ὁ δέ, σφόδρα αἰσχυνθεὶς ἐφ' οἷς ἤκουσε, κατώδυνος ἵστατο, μὴ ἔχων τί πρὸς αὐτὴν ἀπολογήσασθαι· εἶτα ἀκούει φωνῆς λεγούσης· ἄ ρ α τ ε α ὐ τ ὸ ν ἐ ν τ ε ῦ θ ε ν· καὶ παραχρῆμα ἐπανελθὼν εἰς ἑαυτὸν ἀπὸ τῆς ἐκστάσεως, διηγεῖτο τοῖς παροῦσι πάντα ὅσα εἶδε καὶ ἤκουσε καὶ δόξαν μεγάλην ἀνέπεμπε τῷ Θεῷ τῷ παντὶ τρόπῳ ζητοῦντι τὴν σωτηρίαν τῶν ἁμαρτωλῶν.

Ὅτε οὖν ἀνέλαβεν ἑαυτὸν ἐκ τῆς ἀσθενείας, ἐγκλεισάμενος ἐκάθισε φροντίζων τῆς ἑαυτοῦ σωτηρίας, μετανοῶν τε καὶ πενθῶν ἐφ' οἷς ἔπραξεν ἐν ἀμελείᾳ τὸ πρότερον· τοσαύτη δὲ ἦν αὐτῷ ἡ κατάνυξις καὶ τὸ δάκρυον, ὥς τε πολλοὺς τῶν ὁρώντων δυσωπεῖν αὐτὸν ἐνδοῦναι μικρόν, μή ποτε καὶ βλάβην τινὰ ὑποστῇ, ἐκ τῆς τοῦ κλαυθμοῦ ἀμετρίας· ὁ δὲ οὐκ ἤθελε παρακληθῆναι, λέγων· εἰ τὸν ὀνειδισμὸν τῆς μητρός μου οὐκ ἤνεγκα, πῶς τὴν ἐπὶ Χριστοῦ, καὶ τῶν Ἁγίων Ἀγγέλων, καὶ πάσης τῆς κτίσεως ἐνέγκω αἰσχύνην ἐν ἡμέρᾳ τῆς κρίσεως;

Πρόσχωμεν καὶ ἡμεῖς, ἀδελφοί, καὶ ἀγωνιζώμεθα πολιτεύεσθαι κατὰ τὸ ἐπάγγελμα καὶ τὴν τῶν συγγενῶν ἡμῖν κατὰ σάρκα καὶ λοιπῶν ἀνθρώπων περὶ ἡμῶν ὑπόληψιν, ὧν ἀπέστημεν ὁμολογουμένως διὰ τὴν πρὸς Θεὸν εὐαρέστησιν· εἰ δὲ ἄλλως βιώσομεν (ὃ μὴ γένοιτο), πῶς τὴν ἐν τῷ φοβερῷ κριτηρίῳ αἰσχύνην ἐνέγκωμεν, οὐ μόνον τὴν ἐπὶ πάσης τῆς ἄνω καὶ κάτω κτίσεως, ἀλλὰ καὶ αὐτῶν ἐκείνων τῶν ποτε οἰκείων ἡμῶν καὶ γνωστῶν; οὓς ἐφύγομεν, ἵνα Θεῷ προσχωρήσωμεν; τότε οὖν εἰ καὶ αὐτοῖς συγκατακριθείημεν, πρὸς τοῖς ἄλλοις ἡμῶν κακοῖς ἅπασι, καὶ τούτους κατηγόρους, καὶ ὀνειδιστὰς ἕξομεν, εἰ καὶ τὸν συγκλητικὸν ἀπολέσαντες, ὡς ἔφη τις τῶν Ἁγίων, οὐδὲ τὸ τοῦ Μοναχοῦ κατωρθώσαμεν, διὸ καὶ τοῦ κόσμου ἐξήλθομεν.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ΓΕΡΩΝ Ἀσκητὴς διηγήθη τὰ ἑξῆς:
—Ἕνας ἀδελφὸς ἐπεθύμει νὰ ἀναχωρήσῃ ἀπὸ τὸν κόσμον διὰ νὰ γί-

νη μοναχός, ἠμποδίζετο ὅμως ἀπὸ τὴν μητέρα του. Ὁ ἀδελφὸς παρὰ ταῦτα δὲν παρῃτεῖτο ἀπὸ τὸν σκοπόν του λέγων πρὸς τὴν μητέρα του· θέλω νὰ σώσω τὴν ψυχήν μου. Ἀφοῦ λοιπὸν ἡ μητέρα τοῦ ἀδελφοῦ παρὰ τὰς προσπαθείας της δὲν ἠμπόρεσε νὰ τὸν μεταπείσῃ καὶ νὰ τὸν κρατήσῃ κοντά της, τοῦ ἐπέτρεψε νὰ ἀναχωρήσῃ. Ὁ ἀδελφός, πράγματι, ἀνεχώρησεν ἐκ τοῦ κόσμου καὶ ἔγινε μοναχός· ὡστόσον ὅμως ἐπέρασε τὴν ζωήν του μὲ ἀμέλειαν. Ἐν τῷ μεταξὺ ἀπέθανε καὶ ἡ μητέρα του.

Μετὰ ἀπὸ ἀρκετὸν χρόνον ὁ ἀδελφὸς ἠσθένησεν ἀπὸ βαρεῖαν ἀσθένειαν καὶ ἔφθασεν εἰς τὸν θάνατον. Κατὰ τὴν ἀσθένειάν του αὐτὴν περιέπεσεν εἰς λιποθυμίαν, ὁπότε ἡ ψυχή του ἐξῆλθε τοῦ σώματος καὶ ἀνηρπάγη διὰ νὰ κριθῇ. Ἐκεῖ δὲ μεταξὺ τῶν κολαζομένων εὗρῆκε καὶ τὴν μητέρα του. Ἐκείνη. μόλις τὸν εἶδεν, εἶπε μὲ κατάπληξιν· παιδί μου, καὶ σὺ κατεδικάσθης εἰς αὐτὸν ἐδῶ τὸν τόπον τῶν κολασμένων; ποῦ εἶναι τὰ λόγια, ποὺ μοῦ ἔλεγες, ὅτι θέλω νὰ σώσω τὴν ψυχήν μου; Ἐκεῖνος τότε κατεντροπιασμένος δι' ὅσα ἤκουσε, ἐστέκετο περίλυπος, χωρὶς νὰ ἠμπορῇ νὰ ἀπολογηθῇ τίποτε πρὸς τὴν μητέρα του. Κατόπιν ἤκουσε μίαν φωνὴν ἡ ὁποία ἔλεγε· «πάρετέ τον αὐτὸν ἀπὸ ἐδῶ». Ἀμέσως τότε συνῆλθεν ἀπὸ τὴν ἔκστασιν καὶ τὴν λιποθυμίαν καὶ διηγεῖτο, μὲ φόβον, εἰς τοὺς εὑρισκομένους πλησίον του ὅλα ὅσα εἶδε καὶ ἤκουσε καὶ ἐδοξολόγει τὸν Θεόν, ὁ ὁποῖος μὲ κάθε τρόπον ἐπιζητεῖ τὴν σωτηρίαν τῶν ἁμαρτωλῶν.

Ὅταν λοιπὸν ἔγινε καλὰ ἀπὸ τὴν ἀσθένειαν, ἀφοῦ ἐκλείσθη εἰς τὸ κελλί του, ἐκάθισε μόνος του φροντίζων ἀγρύπνως διὰ τὴν σωτηρίαν του, μετανοῶν καὶ κλαίων δι' ὅσα διέπραξε προηγουμένως ἀπὸ ἀμέλειαν καὶ ῥαθυμίαν.


Τόσον δὲ βαθεῖα ἦτο ἡ κατάνυξίς του καὶ τόσον ἄφθονα τὰ δάκρυά του, ὥστε πολλοὶ ἀπὸ ἐκείνους ποὺ τὸν ἔβλεπον τὸν ἐλυποῦντο καὶ τὸν παρεκάλουν νὰ μετριάσῃ ὀλίγον τὸν κόπον καὶ τὴν ἄσκησίν του, μὴ τυχὸν ἀπὸ τοὺς θρήνους του πάθῃ καμμίαν βλάβην ἡ ὑγεία του. Ἐκεῖνος ὅμως δὲν ἐννοοῦσε νὰ παρηγορηθῇ, ἀπαντῶν εἰς τὰς συμβουλάς: ἂν τὸν ὀνειδισμὸν τῆς μητέρας μου δὲν ἠμπόρεσα νὰ ὑποφέρω, πῶς θὰ βαστάσω τὴν ἐντροπήν, κατὰ τὴν ἡμέραν τῆς Κρίσεως, ἐνώπιον τοῦ Χριστοῦ, τῶν Ἁγίων Ἀγγέλων καὶ ὁλοκλήρου τῆς Κτίσεως;


Ἂς προσέξωμεν καὶ ἡμεῖς, ἀδελφοί, καὶ ἂς ἀγωνισθῶμεν διὰ νὰ ζήσωμεν συμφώνως μὲ τὴν ὑπόσχεσιν, ποὺ ἐδώσαμεν ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ καὶ μὲ τὴν ἐκτίμησιν ποὺ τρέφουν πρὸς ἡμᾶς οἱ κατὰ σάρκα συγγενεῖς μας καὶ οἱ ἄλλοι ἄνθρωποι, τοὺς ὁποίους ἐγκατελείψαμεν διὰ τὸν πόθον τῆς τελειότητος καὶ διὰ νὰ εὐαρεστήσωμεν τὸν Θεόν. Ἐὰν δὲ ζήσωμεν, κατ' ἄλλον τρόπον, μὲ ἀμέλειαν καὶ ῥαθυμίαν (πρᾶγμα ποὺ εὔχομαι νὰ μὴ συμβῇ εἰς ἡμᾶς), πῶς τότε θὰ ὑποφέρωμεν, ἐνώπιον τοῦ φοβεροῦ Κριτηρίου, τὴν ἐντροπήν, ὄχι μόνον ἐνώπιον τῆς ἄνω καὶ κάτω Κτίσεως, ἀλλὰ καὶ ἐκείνων, ποὺ εἴχομεν συγγενεῖς ἐπάνω εἰς τὴν γῆν καὶ τῶν

ἄλλων γνωστῶν, ἀπὸ τοὺς ὁποίους ἐφύγομεν, διὰ νὰ πλησιάσωμεν τὸν Θεόν.

Τότε ἀλλοίμονον εἰς ἡμᾶς· ἂν δὲ καὶ μὲ αὐτοὺς μαζὶ κολασθῶμεν, μαζὶ μὲ ὅλας τὰς ἄλλας συμφορὰς καὶ τιμωρίας τῆς Κολάσεως θὰ ἔχωμεν καὶ αὐτοὺς κατηγόρους, θὰ μᾶς εἰρωνεύωνται καὶ αὐτοί, διότι, ὅπως εἶπε καὶ ἕνας Ἅγιος, ἂν καὶ ἐχάσαμεν τὰς ἀπολαύσεις τῆς κοσμικῆς ζωῆς, ἐν τούτοις οὔτε καὶ Μοναχοὶ κατωρθώσαμεν νὰ γίνωμεν, διὰ τὸ ὁποῖον ἐξήλθομεν ἀπὸ τὸν κόσμον.




Ὁ ἍΓΙΟΣ ΠΑΥΛΟΣ
ὁ Θηβαῖος
Δημ. Ρίτσος



ΥΠΟΘΕΣΙΣ Θ΄

Ἀπόδειξις περὶ τοῦ ποῦ αἱ τῶν τελευτώντων ψυχαὶ ἀπέρχονται, καὶ πῶς εἰσὶ μετὰ τὴν διάζευξιν.

Ἀπόδειξις περὶ τοῦ ποῦ πηγαίνουν αἱ ψυχαὶ τῶν ἀποθνησκόντων καὶ πῶς εἶναι μετὰ τὸν χωρισμόν τους ἀπὸ τὸ σῶμα.



Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παύλου τοῦ Θηβαίου



ΑΓΙΟΣ ΑΝΤΩΝΙΟΣ, ὑποστρέφων πρὸς τὸν Ἅγιον Παῦλον τὸν Θηβαῖον, καὶ τὴν στολὴν τοῦ Ἁγίου Ἀθανασίου κομίζων αὐτῷ (καθὼς παρ᾽ ἐκείνου ἀποσταλεὶς ἐπετράπη) καὶ ὁδεύων κατὰ τὴν ἔρημον, ἤδη οὐ πολὺ τοῦ σπηλαίου ἀπέχων, περὶ τρίτην ὥραν τῆς ἡμέρας ὁρᾷ κατὰ τὴν ὁδὸν ὀφθαλμοῖς, οἷς ὁρῶσιν οἱ ταῦτα βλέπειν ἠξιωμένοι, Ἀγγέλων τάγματα, Ἀποστόλων στίφη, Προφητῶν χορούς, Μαρτύρων τάξεις καὶ μέσην αὐτῶν τὴν Παύλου ψυχήν, χιόνος λαμπρότητα νικῶσαν, καὶ φαιδρότερον αὐτῆς ἀπολάμπουσαν, εἰς οὐρανούς τε μετὰ πολλῆς ἀνιοῦσαν τῆς εὐφροσύνης.

Ἑ ρ μ η ν ε ί α

Ο ΑΓΙΟΣ ΑΝΤΩΝΙΟΣ, ὅταν ἐγύριζεν ὀπίσω πρὸς τὸν Ἅγιον Παῦλον τὸν Θηβαῖον καὶ τοῦ μετέφερε τὴν στολὴν τοῦ Ἁγίου Ἀθανασίου (σύμφωνα μὲ τὴν διαταγήν, ποὺ εἶχε πάρει ἀπὸ τὸν ἴδιον), καθὼς ἐπροχωροῦσεν εἰς τὴν ἔρημον καὶ ἐπλησίαζε τὸ σπήλαιον, βλέπει ἐνῷ ἦτο ἡ τρίτη ὥρα (9 π. μ.) τῆς ἡμέρας, μὲ τὰ μάτια τῆς ψυχῆς, μὲ τὰ ὁποῖα βλέπουν μόνον οἱ ἄξιοι, τάγματα Ἀγγέλων, ὁμάδας Ἀποστόλων. χοροὺς Προφητῶν, φάλαγγας Μαρτύρων καὶ εἰς τὸ μέσον ὅλης αὐτῆς τῆς ἱερᾶς παρατάξεως τὴν ψυχὴν τοῦ Παύλου, ὑπερβάλλουσαν εἰς λαμπρότητα καὶ αὐτὴν τὴν λευκότητα τῆς χιόνος, νὰ λάμπῃ φωτεινότερον ἀπὸ αὐτήν, καὶ νὰ ἀνέρχεται μὲ πολλὴν εὐφροσύνην εἰς τοὺς οὐρανούς.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

ΤΩι ΜΕΓΑΛΩι Παχωμίῳ ἔν τινι τῶν Μοναστηρίων αὐτοῦ διατρίβοντι ἀπηγγέλη ὅτι περ ἀδελφός τις ἐν τῇ Χηνοβοσκιῶν μονῇ ἀρρωστίᾳ περιπεσὼν καὶ συνεχόμενος, τῆς παρατιθεμένης αὐτὸν εὐλογίας ἀπολαῦσαι αἰτεῖ· ταῦτα ἀκούσας ὁ τοῦ Θεοῦ ἄνθρωπος, ἀναστὰς πρὸς αὐτὸν ἀπῄει· γενόμενος δὲ ὡς ἀπὸ σημείων δύο ἢ τριῶν τοῦ τόπου ἔνθα ἦν ὁ ἀσθενῶν ἀδελφός, ἤκουσε φωνῆς ἱερᾶς καὶ θαυμαστῆς ψαλμῳδίας ἐν τῷ ἀέρι· καὶ ἀτενίσας, εἶδε τὴν ψυχὴν τοῦ ἀδελφοῦ, φαιδρῷ τῷ δρόμῳ ὑπ' Ἀγγέλων ᾀδόντων εἰς τὴν μακαρίαν ζωὴν ἀπαγομένην, τῶν δὲ ἑπομένων αὐτῷ ἀδελφῶν μήτε τῆς φωνῆς αἰσθομένων, μήτε τι ἕτερον θεασαμένων, αὐτὸν δὲ ἐπὶ πολὺ κατὰ ἀνατολῆς ἀτενίζοντα ὁρώντων, φασὶ πρὸς αὐτόν· ἔστης, ὦ Πάτερ; δράμωμεν ἵνα καταλάβωμεν· ὁ δὲ πρὸς αὐτούς· εἰκῇ τρέχομεν· αὐτῷ γὰρ ἔκτοτε προσατενίζω εἰς τὴν αἰώνιον ἀπαγομένῳ ζωήν· καὶ παρακαλούντων εἰπεῖν αὐτοῖς πῶς ἐθεάσατο τὴν ψυχήν, διηγήσατο αὐτοῖς πάντα ὡς ἐνῆν· τινὲς δὲ ἐξ αὐτῶν πορευθέντες εἰς τὴν Μονήν, καὶ ἀκριβέστερον τὴν ὥραν πυθόμενοι, ἐν ᾗ ἐκοιμήθη ὁ ἀδελφός, ἔγνων ὡς αὐτὴ ἡ στιγμὴ ἦν, ἐν ᾗ αὐτὸν ὁ Πατὴρ εἶδεν ἐνδόξως εἰς οὐρανοὺς ἀναγόμενον.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Μέγας Παχώμιος ἐπληροφορήθη, ὅτι κάποιος ἀδελφός, ποὺ διέμενεν εἰς ἕνα ἀπὸ τὰ πολλὰ Μοναστήρια, ποὺ ἵδρυσεν εἰς τὴν Μονὴν τῶν Χηνοβοσκιῶν, ὅπως ἐλέγετο, ἠσθένησε καὶ ὑπέφερεν· ὑπὸ τὸ κράτος δὲ τῆς ἀσθενείας εὑρισκόμενος ἐζήτει νὰ ἀπολαύσῃ τὴν εὐλογίαν, ποὺ ὡς Γέροντας διένειμεν εἰς τοὺς Μοναχούς του ὁ Μέγας Παχώμιος.

Μόλις ἐπληροφορήθη τὴν ἐπιθυμίαν τοῦ ἀσθενοῦντος ἀδελφοῦ ὁ ἄνθρωπος τοῦ Θεοῦ, ἀμέσως ἐξεκίνησε διὰ νὰ τὸν ἐπισκεφθῇ. Ὅταν ὅμως ἀπεῖχε δύο ἢ τρία σημεῖα ἀπὸ τὸν τόπον ὅπου διέμενεν ὁ ἀσθενὴς ἀδελφός, ἤκουσεν, εἰς τὸν ἀέρα, μίαν φωνὴν ἱεράν, ποὺ συνωδεύετο ἀπὸ θαυμαστὴν ψαλμῳδίαν. Ὁ Μέγας Παχώμιος ὕψωσε τοὺς ὀφθαλμούς του πρὸς τὸν οὐρανὸν καὶ εἶδε τὴν ψυχὴν τοῦ ἀδελφοῦ νὰ ὁδηγῆται, χαρούμενα εἰς τὴν πορείαν της, πρὸς τὴν μακαρίαν ζωὴν ἀπὸ Ἀγγέλους ποὺ ἔψαλλαν. Οἱ Μοναχοὶ ποὺ συνώδευον τὸν Μέγαν Παχώμιον οὔτε τὴν φωνὴν ἤκουσαν, ἀλλ' οὔτε καὶ εἶδον τίποτε ἄλλο ἀπὸ ὅσα παρετήρει ὁ Ἅγιος ἄνθρωπος· δι' αὐτό, καθὼς τὸν ἔβλεπον νὰ στέκεται πολλὴν ὥραν μὲ ὑψωμένον τὸ βλέμμα πρὸς Ἀνατολάς, εἶπον εἰς τὸν Γέροντά των:

—Ἐσταμάτησες, Πάτερ; Ἂς τρέξωμεν, διὰ νὰ προφθάσωμεν.

Τότε ὁ Μέγας Παχώμιος τοὺς ἀπήντησεν:

—Ἀδίκως τρέχομεν, τέκνα μου· διότι τὴν ψυχὴν τοῦ ἀδελφοῦ παρακολουθῶ τόσην ὥραν, καθὼς ὁδηγεῖται εἰς τὴν αἰώνιον ζωήν. Οἱ ἀδελφοὶ παρεκάλεσαν τὸν Ἀββᾶν Παχώμιον, νὰ τοὺς εἰπῇ πῶς εἶδε τὴν μακαρίαν αὐτὴν ψυχήν, καὶ ἐκεῖνος διηγήθη εἰς αὐτούς, ὅλα ὅσα εἶδε καὶ ἤκουσεν.

Μερικοὶ δὲ ἀπὸ τοὺς ἀδελφούς, οἱ ὁποῖοι συνώδευον τὸν Παχώμιον, ἔτρεξαν εἰς τὸ Μοναστήριον τῶν Χηνοβοσκιῶν καὶ ἠρώτησαν νὰ μάθουν ἀκριβέστερον τὴν ὥραν, κατὰ τὴν ὁποίαν ἐκοιμήθη ὁ ἀδελφός. Μὲ κατάπληξιν δὲ ἔμαθαν, ὅτι ἐκοιμήθη τὴν ἰδίαν ἀκριβῶς στιγμήν, ποὺ εἶδε τὴν ψυχήν του ὁ Πατὴρ νὰ ἀνέρχεται μὲ δόξαν εἰς τοὺς οὐρανούς.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΤΟ ΤΙΣ γέρων· ὅτι ἦν τις παρθένος πρεσβῦτις, πάνυ προκόψασα ἐν τῷ φόβῳ τοῦ Θεοῦ· ἥτις καὶ ἐρωτηθεῖσα παρ' ἐμοῦ τὴν αἰτίαν τῆς ἀναχωρήσεως αὐτῆς, διηγήσατο οὕτως εἰποῦσα· ἐμοί, ὦ θαυμάσιε, ἔτι παιδὶ τυγχανούσῃ, πατὴρ ἦν ἐπιεικὴς καὶ πρᾶος τὸν τρόπον, ἀσθενὴς δὲ καὶ νοσερὸς τῷ σώματι, ὡς σχεδὸν τὸν πλείονα χρόνον τῆς ζωῆς αὐτοῦ τῇ κλίνῃ προσηλῶσθαι· τοσαύτη δὲ συνέζη ἰδιοπραγμοσύνη, ὡς μόλις ποτὲ καὶ διὰ χρόνου εἰς συντυχίαν ἔρχεσθαι· τῇ δὲ γῇ προσκαρτερῶν εἴποτε ὑγίαινε· κἀκεῖ τὸν βίον ἀπασχολῶν, τοὺς καρποὺς ἐκόμιζεν οἴκοι· τοσαύτην δὲ εἶχε σιωπήν, ὡς δοκεῖν τοὺς ἀγνοοῦντας αὐτὸν ἄφωνον εἶναι.

Προσῆν δέ μοι καὶ μήτηρ, παντάπασιν ἐναντίως ἔχουσα τῷ πατρί· περιειργάζετο γὰρ καὶ τὰ ὑπὲρ τὴν πατρίδα. Οὕτω πρὸς ἅπαντας πολυλογίᾳ ἐχρῆτο, ὡς μηδέ ποτε ἰδεῖν αὐτὴν μηδὲ πρὸς βραχὺ σιωπῶσαν, ἀλλὰ ποτὲ μὲν μαχομένην καὶ φιλονεικοῦσαν, ποτὲ δὲ ἄσεμνα καὶ ἄτακτα λέγουσαν· καὶ τῇ μέθῃ δὲ τοῦ οἴνου σὺν ἀκολάστοις ἀνδράσι τὸ πλεῖον διέτριβε· καὶ ὡς πόρνη πολυδάπανος ἦν, καὶ κακῶς διώκει τὰ ἔνδον ὥς τε τὰ ὑπάρχοντα, καί τοι οὐκ ὀλίγα ὄντα, μηδὲ δύνασθαι ἡμῖν ἐπαρκεῖν· ταύτῃ γὰρ ὑπὸ τοῦ πατρὸς ἡ τῶν κατὰ τὸν οἶκον διοίκησις ἐπετέτραπτο. Οὕτω δὲ αὐτῇ βιούσῃ, οὐ νόσος σωματικὴ ἀπήντησε πώποτε, οὐ πόνου κἂν τοῦ τυχόντος ᾔσθετο, ἀλλὰ παρὰ πᾶσαν τὴν ζωὴν ὑγιὲς τὸ σῶμα καὶ ὁλόκληρον εἶχε.

Συνέβη οὖν τὸν πατέρα ταῖς πολυχρονίαις νόσοις δαπανηθέντα ἀποθανεῖν· καὶ εὐθέως συνεκινεῖτο ὁ ἀήρ, βρονταί τε καὶ ἀστραπαὶ συνεχεῖς ἐγίνοντο, καὶ ὑετὸς τοσοῦτος καὶ οὕτως ἀδιάλειπτος κατεφέρετο, ὥς τε μηδὲ μικρόν τι προκύψαι ἡμᾶς τοῦ δωματίου δύνασθαι μέχρι τριῶν ἡμερῶν, ἐν αἷς καὶ ὁ πατὴρ ἐπὶ τῆς οἰκίας ἄταφος ἔκειτο· οἱ δὲ τοῦ χωρίου ταῦτα ὁρῶντες, μυρία κατελάλουν τοῦ τεθνεῶτος λέγοντες· βαβαί, οἷον κακὸν σὺν ἡμῖν ὄν, ἐλάνθανεν ἡμᾶς· πάντως γὰρ τοῦ Θεοῦ ἐχθρός ἐστιν ὁ τοιοῦτος· διὸ καὶ οὐδὲ συγχωρεῖται ταφῆναι· ὅμως ἡμεῖς ἵνα μὴ ἔνδον τὸ σῶμα διαλυθὲν ἄβατον ἡμῖν ἀπεργάσηται τὴν οἰκίαν, ἐξενεγκόντες αὐτὸν καί τοι τοῦ ὑετοῦ ἔτι ἐπικειμένου σφοδρῶς, ὁπωσδήποτε ταφῇ τοῦτον παραδιδόαμεν. Ἡ οὖν μήτηρ ἀδείας πλείονος λαβομένη ἀναιδέστερον τῇ ἀσωτίᾳ ἐκέχρητο· καὶ πορνεῖον τὸν οἶκον σχεδὸν ἀποδείξασα, ταῖς διηνεκέσι τρυφαῖς κατεδαπάνα τὸν βίον, ὡς μικροῦ πάντα ἡμῖν ἐκλιπεῖν. Μετὰ δὲ χρόνον πολύν, μόλις τοῦ θανάτου αὐτῇ ἐπελθόντος, τοιαύτης κηδείας ἔτυχεν, ὡς νομίζειν καὶ τὸν ἀέρα συνεργεῖν εἰς τὴν κηδείαν αὐτῆς.

Μετὰ οὖν τὴν τελευτὴν τῆς μητρός, ἐμοῦ ἤδη τὴν παιδικὴν ἡλικίαν ὑπερβάσης, καὶ τῶν τοῦ σώματος ἐπιθυμιῶν ἐπανισταμένων ἤδη καὶ γαργαλιζουσῶν, ἐν ἑσπέρᾳ μιᾷ ἔννοιά τις ἐπῆλθε· ποῖόν τινα βίον ἕλωμαι; καὶ ἔλεγον ἐν ἐμαυτῇ· ἆρα τὸν τοῦ πατρὸς αἱρετίσωμαι βίον καὶ ἐν ἐπιεικείᾳ καὶ σεμνότητι ζήσω καὶ σω-

φροσύνῃ; ἀλλ᾽ ἐκεῖνος οὐδενὸς τετύχηκεν ἀγαθοῦ οὕτω πολιτευσάμενος, ἀλλὰ πάντοτε νόσοις καὶ θλίψεσι δαπανώμενος, οὕτως ἀπῆλθε μηδὲ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων ταφῆναι συγχωρηθείς· εἰ τοίνυν ἤρεσκε τῷ Θεῷ ἡ τοιαύτη διαγωγή, τίνος ἕνεκεν τοσούτων ἐπειράθη κακῶν; τίς δὲ ὁ τῆς μητρὸς βίος; οὐχὶ ἀεὶ τρυφαῖς καὶ ἡδυπαθείαις ἐκέχρητο καὶ ἐν ὑγείᾳ καὶ ἀπαθείᾳ ὑπεξῆλθε τὸν βίον; οὗ οὖν χρὴ ζῆσαι κἀμέ· βέλτιον γὰρ τοῖς ἰδίοις ὀφθαλμοῖς ἢ τοῖς τῶν ἄλλων λόγοις πιστεῦσαι.

Ὡς οὖν ἐδέδοκτό μοι τῇ ἀθλίᾳ τοῖς μητρικοῖς ἴχνεσιν ἀκολουθῆσαι, ἐπελάβετο ἤδη ἡ νύξ· κἀμοὶ εἰς ὕπνον κατενεχθείσῃ, ἐφίσταταί τις ἀνήρ, εὐμεγέθης μὲν τῷ σώματι, φοβερὸς δὲ τῇ ὄψει· καὶ ὀργίλον εἰς ἐμὲ καὶ ἄγριον ἀπιδών, ἤρετο τραχείᾳ τῇ φωνῇ λέγων· εἰπέ μοι, τίνες οἱ διαλογισμοὶ τῆς καρδίας σου; ἐγὼ δὲ ὅλη ἔντρομος γενομένη, οὐδὲ ἐμβλέπειν αὐτῷ ἐτόλμων· ἐκεῖνος δὲ πάλιν οὕτως αὐστηρᾷ τῇ φωνῇ κεχρημένος, ἀπάγγειλόν μοι, φησί, τίνα τὰ δόξαντά σοι. Ὡς δὲ εἶδέ με ἀπὸ τοῦ φόβου παρεθεῖσαν ὅλως, καὶ τῶν οἰκείων ἐκστᾶσαν φρενῶν, ἀνεμίμνησκεν αὐτὸς πάντα ἃ ἐν τῇ διανοίᾳ μου ἐμελέτησα· κἀγὼ μικρὸν ἀναλαβεῖν ἑαυτὴν δυνηθεῖσα, ὡς οὐκ ἴσχυον ἀρνεῖσθαι, ἐπὶ παράκλησιν ἐτράπην· καὶ ἱκέτευον συγγνώμης ἀξιωθῆναι· ὁ δέ, λαβόμενός μου τῆς χειρός, ἧκε, φησίν, ὀψομένη τόν τε πατέρα τὸν σόν, καὶ τὴν μητέρα καὶ τὸ μετὰ ταῦτα, οὗ τινος βούλει βίου ἐπίλεξαι σεαυτῇ.

Ἐξαγαγὼν οὖν με ἀπήγαγεν εἰς μεγίστην τινὰ πεδιάδα παραδείσου· ἔνθα ἦσαν δένδρα ποικίλα τῷ κάλλει, τὴν διήγησιν ἐκνικῶντα, παντοδαποῖς καρποῖς βρίθοντα· ἐκεῖσε οὖν σὺν αὐτῷ πορευομένης μου, ὑπήντησεν ὁ πατήρ· καὶ περιλαβὼν κατεφίλει, τέκνον ἀποκαλῶν ποθεινόν· ἐγὼ δὲ περιπλακεῖσα αὐτῷ, παρεκάλουν συνεῖναι αὐτῷ· ὁ δὲ ἔφη· νῦν μὲν οὐ δυνατὸν τοῦτο γενέσθαι· εἰ δὲ τοῖς ἐμοῖς ἴχνεσιν ἀκολουθῆσαι θελήσῃς, οὐ μετὰ πολὺ ἥξεις ἐνταῦθα. Ὡς δὲ καὶ ἔτι ἐδεόμην συμμένειν αὐτῷ, ἑλκύσας με τῆς χειρὸς ὁ Ἄγγελος, ἧκε, ἔφη, καὶ τὴν μητέρα ὀψομένη τὴν σήν, ἵνα γνῷς ἀπὸ τῶν πραγμάτων, πρὸς τίνα βίον ἀποκλῖναι συμφέρον.

Ἐπιστήσας οὖν με εἰς οἶκον τινὰ ζοφερὸν λίαν, βρυγμοῦ τε καὶ ταραχῆς πεπληρωμένον, δείκνυσί μοι κάμινον πυρὸς ἀναφλεγομένην καὶ δεινῶς ἀναπαφλάζουσαν καί τινας φοβεροὺς τῇ καμίνῳ ἐφεστῶτας· ἐγὼ δὲ ἐμβλέψασα τῇ καμίνῳ, ὁρῶ ἐν αὐτῇ τὴν μητέρα μέχρι τραχήλου βεβαπτισμένην τῷ πυρί, καὶ σκωλήκων ἄπειρον πλῆθος πάντοθεν αὐτὴν κατεσθίον, ἐκείνην δὲ ἐκ τῆς ὀδύνης τοὺς ὀδόντας τρίζουσαν καὶ συγκρούουσαν· ἰδοῦσα δέ με κἀκείνη μετὰ θρήνων ἀνεκαλεῖτο λέγουσα· οἴμοι, τέκνον, τῶν ἀφορήτων ὀδυνῶν! οἴμοι τῶν ἀτελευτήτων κολάσεων! φεῦ μοι τῇ ἀθλίᾳ! ὅτι διὰ μικρὰν ἡδονήν, οἵας κολάσεις ἐμαυτῇ προεξένησα· φεῦ μοι τῇ δυστυχεῖ! ὅτι ἀντὶ προσκαίρων ἀπολαύσεων, αἰώνια βασανίζομαι· ἀλλ᾽ ἐλέησόν με, τέκνον, τὴν σὴν μητέρα, τὴν οὕτω φλεγομένην καὶ δαπανωμένην· μνήσθητι τῶν τροφείων ὧν παρ᾽ ἐμοῦ ἔτυχες καὶ ἐλέησόν με, καὶ δὸς χεῖρα, καὶ ἀνάγαγέ με ἐντεῦθεν.

Ἐμοῦ δὲ παραιτουμένης διὰ τοὺς ἐφεστῶτας καὶ μηδὲ προσεγγίσαι τολμώσης, ἐκείνη πάλιν μετὰ δακρύων ἐβόα· τέκνον ἐμόν, βοήθησόν μοι καὶ μὴ παρίδῃς οἰκείας μητρὸς ὀδυρμούς· μὴ παρίδῃς τὴν οὕτω δεινῶς ἐν γεέννῃ πυρὸς βασανιζομένην καὶ ὑπὸ τοῦ ἀκοιμήτου βιβρωσκομένην σκώληκος· ἐγὼ δὲ παθοῦσα τὴν ψυχὴν πρὸς αὐτήν, ἐξέτεινα τὴν χεῖρά μου ἀνασπᾶσαι αὐτήν· τοῦ δὲ πυρὸς ἁψαμένου

μου μικρὸν τῆς χειρός, σφόδρα ὀδυνηθεῖσα, οἰμώζειν ἠρξάμην, καὶ στενάζειν μετὰ κλαυθμοῦ· ὑπὸ δὲ τῶν οἰμωγῶν οἱ ἐν τῇ οἰκίᾳ ἐξυπνισθέντες, ἀναστάντες καὶ ἅψαντες πῦρ, συνέτρεχον πρός με, καὶ τῶν κλαυθμῶν τὴν αἰτίαν πυκνῶς ἀνηρώτων με.

Ἐγὼ δὲ ἐν ἐμαυτῇ γενομένη, ἃ εἶδον διηγησάμην αὐτοῖς· καὶ τοῦ λοιποῦ τὸν τοῦ πατρὸς ἐζήλωσα βίον καὶ εὔχομαι τούτου τυχεῖν καὶ τῆς σὺν αὐτῷ γενέσθαι μερίδος, ἐξ ἔργων αὐτῶν πληροφορηθεῖσα, Θεοῦ χάριτι, οἷαι τιμαὶ καὶ δόξαι ἀπόκεινται τοῖς δικαίως καὶ εὐσεβῶς ζῆν ἑλομένοις καὶ πάλιν ὁποῖαι κολάσεις ἐκδέχονται τοὺς τὴν ἑαυτῶν ζωὴν ἐν ἡδυπαθείας καταναλίσκοντας.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ΓΕΡΩΝ Ἀσκητὴς διηγήθη τὰ ἑξῆς· Ἔζη κάποτε μία ἡλικιωμένη καλογραία, ἡ ὁποία ἐπρόκοψε πάρα πολὺ εἰς τὴν ἀρετὴν καὶ τὴν εὐσέβειαν. Ὅταν τὴν ἠρώτησα διὰ ποῖον λόγον ἀνεχώρησεν ἐκ τοῦ κόσμου, μοῦ διηγήθη τὸν βίον της. Ὅταν ἤμουν ἀκόμη παιδί, σεβαστέ μου πάτερ, —ἤρχισε νὰ λέγῃ— ἐνθυμοῦμαι, ὅτι ὁ πατέρας μου ἦτο πάρα πολὺ μαλακὸς καὶ καλὸς ἄνθρωπος· κατὰ τὸ σῶμα ἦτο ἀδύνατος καὶ ἀρρωστιάρης, ὥστε τὸν περισσότερον καιρόν του ἐπερνοῦσε καθηλωμένος εἰς τὸ κρεββάτι. Τὸν διέκρινε δὲ τόση ἁπλότης, ὥστε μόλις καὶ μετὰ βίας ὡμίλει. Ὅταν ἦτο καλὰ ἀφωσιώνετο εἰς τὴν καλλιέργειαν τῆς γῆς καὶ ἐκεῖ ἀπησχολεῖτο, μεταφέρων εἰς τὸ σπίτι μας τὰ προϊόντα τῆς καλλιεργείας του. Τόσον δὲ ὀλιγομίλητος ἦτο, ὥστε ὅσοι δὲν τὸν ἐγνώριζον, τὸν ἐνόμιζον διὰ μουγγόν.

Ἐντελῶς ἀντίθετος πρὸς τὸν πατέρα μου ἦτο ἡ μητέρα μου. Ἦτο τόσον φιλοπερίεργος καὶ ἀργόσχολος, ὥστε ἤθελε νὰ μανθάνῃ καὶ πράγματα ἔξω ἀπὸ τὸ χωριό μας. Ἦτο τόσον φλύαρος πρὸς ὅλους, ὥστε κανεὶς ποτὲ δὲν τὴν εἶδεν, ἔστω καὶ δι' ὀλίγον, νὰ σιωπᾷ, ἀλλ' ἄλλοτε μὲν τὴν ἔβλεπαν νὰ λογομαχῇ καὶ νὰ φιλονικῇ, ἄλλοτε πάλιν νὰ λέγῃ ἄσεμνα καὶ ἀπρεπῆ λόγια, χάριν ἀστεϊσμοῦ. Τὸν περισσότερον δὲ χρόνον τῆς ζωῆς της τὸν ἐδαπανοῦσε νὰ μεθᾷ καὶ νὰ κάνῃ συντροφιὰ μὲ διεφθαρμένους ἄνδρας. Ἦτο δὲ πολυέξοδος καὶ διεφθαρμένη, ὡς πόρνη καὶ ἐκυβέρνα πολὺ κακῶς τὸ σπίτι μας, ὥστε νὰ μὴ ἠμποροῦμεν νὰ ζήσωμεν, ἂν καὶ τὰ ὑπάρχοντά μας δὲν ἦσαν ὀλίγα· διότι εἰς αὐτὴν ὁ πατέρας μου εἶχε παραχωρήσει τὴν οἰκονομικὴν διαχείρισιν τοῦ σπιτιοῦ. Μολονότι δὲ ἔζοῦσε κατ' αὐτὸν τὸν τρόπον, ἐν τούτοις ποτέ της δὲν ἀρρώστησεν, ἀλλ' οὔτε καὶ ἔνιωσε τὸν παραμικρότερον πόνον· παρ' ὅλην δὲ τὴν ἀθλίαν ζωήν, ποὺ ἔζη, διετήρησε τὸ σῶμα της ὑγιές.

Κάποτε λοιπὸν ὁ πατέρας μου ἀπέθανε, κατεξαντληθεὶς ἀπὸ τὰς πολυχρονίους νόσους. Τί ἦτο ὅμως ἐκεῖνο ποὺ συνέβη εἰς τὸν θάνατόν του; Ἀμέσως ἐσηκώθη ἕνας φοβερὸς ἀέρας, ὥστε νὰ σείεται ὁ τόπος, ἀστραπαὶ καὶ βρονταὶ ἐγίνοντο συνεχῶς, καὶ ἔπιπτε βροχὴ τόσον ραγδαία, ὥστε δὲν ἐτολμούσαμεν οὔτε δι' ὀλίγον νὰ ξεμυτίσωμεν ἔξω ἀπὸ τὸ δωμάτιον. Τὸ κακὸν αὐτὸ διήρκεσε τρεῖς ἡμέρας, καὶ κατ' ἀνάγκην ἐκρατούσαμεν ἄταφον τὸν πατέρα μας μέσα εἰς τὸ δωμάτιον.

Οἱ συγχωριανοί μας, βλέποντες ὅλα αὐτὰ τὰ ἐμπόδια καὶ κατηγοροῦντες διὰ πολλὰ τὸν νεκρόν, ἔλεγον: πώ, πώ, τί μεγάλο κακὸ ἐζοῦσεν ἀνάμεσά μας, καὶ δὲν τὸ εἴχομεν ἀντιληφθῆ! Φαίνεται, ὅτι ὁ νεκρὸς θὰ ἦτο ἐχθρὸς τοῦ Θεοῦ, δι' αὐτὸ καὶ ὁ Θεὸς δὲν ἐπιτρέπει οὔτε καὶ τὸν ἐνταφιασμόν του ἀκόμη.

Ἡμεῖς ὅμως, διὰ νὰ μὴ ἀρχίση ἡ ἀποσύνθεσις τοῦ πτώματος μέσα εἰς τὴν οἰκίαν, καὶ ἀπὸ τὴν δυσοσμίαν καταστῆ ἀκατοίκητος, ἀπετολμήσαμεν, παρὰ τὴν ραγδαιοτάτην βροχήν, νὰ συνοδεύσωμεν τὸν νεκρὸν εἰς τὸ νεκροταφεῖον καὶ νὰ τὸν ἐνταφιάσωμεν.

Ἔκτοτε ἡ μητέρα μου, ἔχουσα περισσοτέραν ἐλευθερίαν, ἐπεδόθη μὲ περισσοτέραν ἀναίδειαν εἰς τὰ ὄργια καὶ τὴν ἀσωτίαν. Τόσον μάλιστα ἀπεθρασύνθη, ὥστε μετέβαλε τὸ σπίτι μας εἰς πορνεῖον καὶ μὲ τὰς ἀδιακόπους ἀπολαύσεις της κατεσπατάλησε ὅλην μας τὴν περιουσίαν, καὶ ἐντὸς ὀλίγου δὲν μᾶς ἔμεινε πλέον τίποτε. Μετὰ ἀρκετὸν χρόνον ἀπὸ τὸν θάνατον τοῦ πατέρα μου, ἀπέθανε καὶ ἡ μητέρα μου. Τῆς ἐγένετο δὲ τόσον λαμπρὰ καὶ ἐπιβλητικὴ κηδεία, ὥστε θὰ ἔλεγε κανείς, ὅτι καὶ αὐτὴ ἡ φύσις ἐβοηθοῦσεν.

Ἀφοῦ λοιπὸν ἀπέθανε καὶ ἡ μητέρα μου, καὶ ἐγὼ εἶχον πλέον περάσει τὴν παιδικὴν ἡλικίαν, αἱ δὲ σωματικαὶ ὁρμαὶ ἐξηγείροντο καὶ μὲ ἐγαργάλιζον, ἕνα βράδυ μοῦ ἦλθε μία σκέψις εἰς τὸν νοῦν: ποῖον δρόμον νὰ ἐκλέξω εἰς τὴν ζωήν μου; Ἀπησχολημένη δὲ μὲ τὴν σκέψιν αὐτὴν ἔλεγον μόνη μου, συνομιλοῦσα μὲ τὸν ἑαυτόν μου: Νὰ προτιμήσω, ἄραγε, τὸν βίον τοῦ πατέρα μου καὶ νὰ ζήσω μὲ καλωσύνην, μὲ σεμνότητα καὶ μὲ σωφροσύνην;

Ἀλλ' ἐκεῖνος, ἂν καὶ ἔζησεν ἐνάρετα, ἐν τούτοις κανένα ἀγαθὸν δὲν ἀπήλαυσε ποτέ, ἀλλὰ πάντοτε τὸν ἔτρωγαν αἱ ἀσθένειαι καὶ αἱ θλίψεις· τόσον μάλιστα κακότυχος ὑπῆρξεν, ὥστε ὁ κατατρεγμὸς δὲν τὸν ἄφησε οὔτε καὶ ὅταν ἀπέθανε, νὰ ἐνταφιασθῆ ὅπως ὅλοι οἱ ἄνθρωποι. Ἐὰν λοιπὸν ἦτο εἰς τὸν Θεὸν ἀρεστὴ ἡ διαγωγὴ καὶ ἡ συμπεριφορὰ τοῦ πατέρα μου, διατί νὰ δοκιμάση τόσας συμφοράς; Καὶ ποῖος ὑπῆρξεν ὁ βίος τῆς μητέρας μου; Μήπως δὲν ἔζησεν ὑγιής, ἂν καὶ εἶχε ριφθῆ εἰς τὰς ἀπολαύσεις καὶ τὰς ἡδονάς; Αὐτὸν λοιπὸν τὸν βίον, τῆς μητέρας μου, πρέπει νὰ ζήσω καὶ ἐγώ· διότι εἶναι προτιμότερον νὰ πιστεύσω εἰς τὰ μάτια μου, παρὰ εἰς τοὺς λόγους τῶν ἄλλων.

Μὲ τὴν ἀπόφασιν λοιπὸν νὰ ἀκολουθήσω τὰ ἴχνη τῆς μητέρας μου μὲ εὑρῆκεν ἡ νύκτα. Καὶ ὅταν ἔπεσα νὰ κοιμηθῶ, παρουσιάζεται ἐνώπιόν μου ἕνας ἄνθρωπος μὲ τεραστίας σωματικὰς διαστάσεις καὶ μὲ ἀγριεμένον πρόσωπον. Ἀφοῦ μὲ ἐκοίταξε μὲ ὀργὴν καὶ ἄγριον βλέμμα, μὲ ἠρώτησε μὲ τρομακτικὴν φωνήν· εἰπέ μου, ποῖος εἶναι ὁ διαλογισμὸς τῆς καρδίας σου; Ἐγὼ τόσον πολὺ ἐτρόμαξα, ὥστε οὔτε εἰς τὸ πρόσωπον δὲν ἐτολμοῦσα νὰ τὸν κοιτάξω.

Ὁ φοβερὸς ἐκεῖνος ἄνθρωπος, μὲ τὴν ἰδίαν αὐστηρότητα, μὲ ἐρωτᾷ ἐκ νέου:

— Εἰπέ μου λοιπόν, τί ἀποφασίζεις;

Καθὼς δὲ μὲ εἶδεν νὰ ἔχω παραλύσει ἀπὸ τὸν φόβον μου καὶ νὰ κινδυνεύω νὰ τρελλαθῶ, τότε ὁ ἴδιος μοῦ ὑπενθύμισε λεπτομερῶς ὅσα προηγουμένως ἐγὼ ἡ ἰδία εἶχα σκεφθῆ.

Ἐγὼ μόλις συνῆλθα ὀλίγον ἀπὸ τὸν φόβον καὶ τὴν κατάπληξιν, ἐπειδὴ δὲν ἠμποροῦσα νὰ ἀρνηθῶ τὰ ὅσα μοῦ ἔλεγεν, ἤρχισα νὰ τὸν παρακαλῶ καὶ νὰ τὸν ἱκετεύω νὰ μὲ συγχωρήσῃ.

Τότε ἐκεῖνος, ὡς νὰ ἡμέρωσεν ὀλίγον, μὲ ἐπῆρεν ἀπὸ τὸ χέρι καὶ μοῦ εἶπεν:

—Ἔλα, νὰ ἴδῃς ποῦ εὑρίσκονται ὁ πατέρας σου καὶ ἡ μητέρα σου· ἀπὸ ἐκεῖ καὶ πέρα διάλεξε ὁποῖον τρόπον ζωῆς θέλεις διὰ τὸν ἑαυτόν σου.

Ἀφοῦ λοιπὸν μὲ ἔβγαλεν ἀπὸ ἐκεῖ ποὺ ἤμουν, μὲ ὡδήγησεν εἰς ἕνα ἀπέραντον κῆπον, ὅπου ἦσαν φυτευμένα διάφορα ὡραῖα δένδρα, ἀνώτερα, κατὰ τὸ κάλλος, ἀπὸ κάθε περιγραφὴν καὶ γεμᾶτα ἀπὸ διαφόρους καρπούς. Ἐκεῖ δέ, καθὼς ἐβάδιζα μαζὶ μὲ τὸν φοβερὸν ἐκεῖνον ἄνθρωπον, μὲ συναντᾷ ὁ πατέρας μου, μὲ ἀγκαλιάζει καὶ μοῦ λέγει, καταφιλῶν με τρυφερά· ἀγαπημένον μου παιδί.

Ἐγὼ τότε, ἐναγκαλισθεῖσα μὲ χαρὰν τὸν πατέρα μου, παρακαλοῦσα νὰ μείνω κοντά του. Ὁ πατέρας μου μὲ γλυκύτητα μοῦ ἀπαντᾷ:

— Τώρα, παιδί μου, δὲν εἶναι δυνατὸν νὰ γίνῃ αὐτό· ἐὰν ὅμως θελήσῃς νὰ ἀκολουθήσῃς τὸν ἰδικόν μου τρόπον ζωῆς, δὲν θὰ περάσῃ πολὺς καιρὸς καὶ θὰ ἔλθῃς καὶ σὺ ἐδῶ.

Καθὼς δὲ ἐγὼ ἐξηκολούθουν νὰ παρακαλῶ νὰ μείνω μαζί του, μὲ ἔσυρεν ἀπὸ τὸ χέρι ὁ Ἄγγελος, ποὺ μὲ συνώδευε καὶ μοῦ λέγει·

—Ἔλα τώρα νὰ ἴδῃς καὶ τὴν μητέρα σου, διὰ νὰ πληροφορηθῇς ἀπὸ τὰ ἴδια τὰ πράγματα, ποῖον δρόμον ἔχεις συμφέρον νὰ ἀκολουθήσῃς εἰς τὴν ζωήν σου.

Ἀφοῦ λοιπὸν μὲ ὡδήγησεν εἰς ἕνα κατασκότεινον τόπον, ἀπὸ ὅπου ἠκούετο μεγάλη ταραχὴ καὶ βογγητά, μοῦ δείχνει ἕνα καμίνι ἀναμμένον, τοῦ ὁποίου κάθε τόσον ἐδυνάμωνεν ἡ φωτιά του καὶ ἔβραζεν, ἔξω δὲ ἀπὸ αὐτὸ τὸ καμίνι ἐστέκοντο μερικοὶ ἀπαίσιοι καὶ φοβεροὶ τὴν ὄψιν.

Καθὼς ἐκοιτοῦσα καταφοβισμένη τὸν φοβερὸν ἐκεῖνον τόπον τῶν βασάνων, βλέπω τὴν μητέρα μου, βυθισμένην μέχρι τοῦ λαιμοῦ μέσα εἰς τὴν φλογισμένην κάμινον καὶ ἀναριθμήτους σκώληκας νὰ τὴν κατατρώγουν ἀπὸ παντοῦ, ἀπὸ τὸν πόνον δὲ καὶ τὴν φρίκην ἔτρεμεν, ἐνῷ τὰ δόντια της ἐκτυποῦσαν καὶ ἔτριζαν.

Μόλις ἐσήκωσε τὰ μάτια της καὶ μὲ εἶδε καὶ ἐκείνη, ἤρχισε νὰ κλαίῃ σπαρακτικὰ καὶ νὰ μοῦ λέγῃ:

—Ἀλλοίμονον, παιδί μου! Οἱ πόνοι μου εἶναι ἀνυπόφοροι! ἀτελείωτα εἶναι τὰ βασανιστήριά μου! Ἀλλοίμονον εἰς ἐμὲ τὴν δυστυχισμένην! Δι' ὀλιγοχρόνιον ἡδονὴν καὶ ἁμαρτωλὴν ἀπόλαυσιν, πόσον φοβερὰς τιμωρίας ἐπροκάλεσα εἰς τὸν ἑαυτόν μου! Ἀλλοίμονον εἰς ἐμὲ τὴν ἀθλίαν! ἀντὶ τῶν προσκαίρων ἀπολαύσεων τῆς προσωρινῆς ζωῆς, βα-

σανίζομαι τώρα αἰωνίως. 'Αλλά, παιδί μου, ἐλέησον τὴν μητέρα σου, ἡ ὁποία, ὅπως μὲ βλέπεις, φλέγομαι καὶ ὑπὸ τοῦ πυρὸς κατατρώγομαι. Θυμήσου, παιδί μου, πῶς σὲ ἐθήλασα καὶ σὲ ἐμεγάλωσα καὶ ἐλέησέ με· δός μου τὸ χέρι σου καὶ βγάλε με ἀπ' ἐδῶ.

'Ενῷ δὲ ἐγὼ παρέμενα ἄπρακτος καὶ δὲν ἐτολμοῦσα οὔτε καὶ νὰ πλησιάσω πρὸς τὴν μητέρα μου, ἀπὸ ἐντροπὴν δι' αὐτοὺς ποὺ ἦσαν κοντά, ἐκείνη πάλιν μὲ δάκρυα ἐκραύγαζε δυνατά:

— Παιδί μου, βοήθησέ με καὶ μὴ περιφρονήσῃς τὴν μητέρα σου καὶ τοὺς θρήνους της. Μὴ παραβλέψῃς τὴν δυστυχισμένην, ποὺ τόσον φοβερὰ βασανίζεται εἰς τὴν γέενναν τοῦ πυρὸς καὶ κατατρώγεται συνεχῶς ἀπὸ τὸν ἀκοίμητον σκώληκα.

'Εγὼ τότε παρακινηθεῖσα ἀπὸ συμπάθειαν ἥπλωσα πρὸς αὐτὴν τὸ χέρι μου, διὰ νὰ τὴν βγάλω ἀπὸ τὴν φοβερὰν ἐκείνην κόλασιν. Μόλις ὅμως ἡ φλόγα τῆς φωτιᾶς ἤγγισεν ὀλίγον τὸ χέρι μου, ἐπόνεσα πάρα πολὺ καὶ ἤρχισα νὰ κραυγάζω ὀδυνηρὰ καὶ νὰ κλαίω μὲ στεναγμούς. 'Απὸ τοὺς θρήνους καὶ τὰς οἰμωγὰς ἐξύπνησαν ὅσοι ἐκοιμῶντο εἰς τὸ σπίτι, ἐσηκώθηκαν, ἄναψαν φῶς, ἔτρεξαν κοντὰ εἰς τὸ κρεββάτι μου καὶ μὲ ἐπανειλημμένας ἐρωτήσεις ἐζητοῦσαν νὰ μάθουν διατί ἔκλαιον, εἰς τὸν ὕπνον μου, καὶ ἀναστέναζα.

Τότε ἐγώ, ἀφοῦ συνῆλθα ὀλίγον, ἤρχισα νὰ διηγοῦμαι εἰς αὐτοὺς ὅσα εἶδον εἰς τὸ ὅραμά μου.

'Απὸ ἐκείνην τὴν ἡμέραν ἀπεφάσισα πλέον ὁριστικῶς νὰ ζήσω, ὅπως ὁ πατέρας μου, τοῦ ὁποίου τὸν βίον ἐζήλωσα· εὔχομαι δὲ νὰ μὲ ἀξιώσῃ ὁ Θεὸς νὰ τὸ ἐπιτύχω καὶ νὰ συναντηθῶ μαζί του, διὰ νὰ ζήσωμεν μαζί, διότι, μὲ τὴν Χάριν τοῦ Θεοῦ, ἀπὸ τὰ ἴδια τὰ πράγματα ἐπληροφορήθην ποῖαι δόξαι καὶ τιμαὶ ἔχουν ἑτοιμασθῆ δι' ὅσους προετίμησαν νὰ ζήσουν μὲ εὐσέβειαν καὶ ἀρετήν, καί, ἀντιθέτως, πάλιν, ποῖαι φοβεραὶ τιμωρίαι καὶ κολάσεις περιμένουν ὅσους δαπανοῦν τὴν ζωήν των εἰς τὰ πάθη καὶ τὰς ἡδονάς.

Δ'. Γρηγορίου τοῦ Διαλόγου

Ο ΤΟΥ ΘΕΟΥ ΑΝΘΡΩΠΟΣ Βενέδικτος, ἐν μιᾷ ἑστὼς ἐν τῷ ἑαυτοῦ κελλίῳ, ἐπάρας εἰς τὸν ἀέρα τοὺς ὀφθαλμούς, εἶδε τῆς ὁσίας αὐτοῦ ἀδελφῆς τὴν ψυχήν, ὡς ἐν εἴδει περιστερᾶς ἀστραπτούσης ἀναγομένην εἰς οὐρανόν· καὶ πνευματικῆς πληρωθεὶς εὐφροσύνης, μεγάλως τῷ Θεῷ εὐχαρίστησεν· εἶτα τοῖς μετ' αὐτοῦ ἀδελφοῖς τὴν αὐτῆς τελείωσιν ἐμήνυσεν, οὓς καὶ ἀπέστειλεν εὐθέως, ἵνα τὸ σεμνὸν αὐτῆς καὶ τίμιον σῶμα εἰς τὸ Μοναστήριον ἀγάγωσιν· ὁ γὰρ τόπος ἐν ᾧ ἡ Παρθένος αὕτη ἠσκεῖτο, οὐ πολὺ τοῦ κατὰ τὸν Ὅσιον Μοναστηρίου ἀπεῖχε· πορευθέντες οὖν οἱ ἀδελφοί, καὶ εὑρόντες αὐτὴν τελειωθεῖσαν, ἤνεγκαν τὸ ἅγιον σῶμα αὐτῆς· καὶ ἔθαψεν ἐν τῷ μνήματι, ὃ ἦν ἑαυτῷ ἑτοιμάσας ὁ θεῖος Βενέδικτος· ὧν γὰρ ὁ νοῦς ἐν Ἁγίῳ Πνεύματι ἡνωμένος ἦν ἐν ἀλλήλοις, τούτων καὶ τὰ πανίερα σώματα οὐδὲ τῇ ταφῇ ἐχωρίσθησαν.

2. Καὶ ἄλλοτε δὲ οὗτος ὁ τοῦ Θεοῦ ἄνθρωπος ἐν νυκτὶ πρὸς τῇ ἑαυτοῦ θυ-

ρίδι ἑστώς, καὶ τὸν παντοδύναμον Θεὸν δυσωπῶν, αἰφνίδιον ἀναβλέψας εἶδε· καὶ ἰδοὺ φωτοχυσία ἐφάνη οὐρανόθεν τοσαύτη, ὡς ἅπαν τὸ τῆς νυκτὸς σκότος φυγαδευθῆναι, καὶ τὸν ἀέρα οὕτω καταυγασθῆναι, ὡς πλεῖον καταλάμπειν τοῦ τῆς ἡμέρας φωτός· καὶ ἄλλο δὲ θαύματος πλῆρες μυστήριον ἐν τῇ τῆς ὀπτασίας ἐκείνης ὥρᾳ ἐξηκολούθησε, καθὼς ὁ Ὅσιος οὗτος μετέπειτα διηγήσατο· εἶδον γάρ φησι, καὶ ἰδοὺ ὅλος ὁ κόσμος ὡς ὑπὸ μίαν τοῦ ἡλίου ἀκτῖνα συναθροισθεὶς ἦν· ταύτῃ δὲ τῇ λαμπρότητι τοῦ οὐρανίου φωτὸς προσέχων, εἶδε Γερμανοῦ τοῦ Καπούης Ἐπισκόπου τὴν ἁγίαν ψυχήν, ὡς ἐν πυρίνῃ σφαίρᾳ ὑπὸ Ἀγγέλων ἐν οὐρανῷ ἀναλαμβανομένην· τῇ οὖν ἐπαύριον πέμψας εἰς Καπούην ὁ δίκαιος οὗτος ἀνήρ, ἔμαθεν ὅτι ἐν αὐτῇ τῇ ριπῇ ἡ τοῦ Ἁγίου Γερμανοῦ τελείωσις γέγονεν· ἐν ᾗ αὐτὸς τὴν πρὸς οὐρανὸν ἄνοδον τῆς ψυχῆς αὐτοῦ ἐθεάσατο.

Ἑ ρ μ η ν ε ί α

ΜΙΑΝ ΗΜΕΡΑΝ ὁ ἄνθρωπος τοῦ Θεοῦ Βενέδικτος, καθὼς ἐστέκετο εἰς τὸ κελλίον του, ὕψωσε τὰ μάτια του πρὸς τὸν οὐρανὸν καὶ εἶδε τὴν ψυχὴν τῆς ὁσίας ἀδελφῆς του νὰ ἀνέρχεται εἰς τὸν οὐρανόν, ὡς μία ὁλόλαμπρος λευκὴ περιστερά. Ἡ ψυχή του τότε ἐγέμισεν ἀπὸ πνευματικὴν χαρὰν καὶ ἀγαλλίασιν, καὶ ηὐχαρίστησε τὸν Θεόν. Κατόπιν ἀνήγγειλεν εἰς τοὺς ὑποτακτικούς του τὸν θάνατόν της καὶ τοὺς ἔστειλεν ἀμέσως εἰς τὸ μέρος, ὅπου ἠσκήτευε, διὰ νὰ παραλάβουν τὸ τίμιον καὶ σεμνὸν σῶμα της καὶ νὰ τὸ φέρουν εἰς τὸ Μοναστήριον· διότι τὸ μέρος εἰς τὸ ὁποῖον ἠσκήτευεν ἡ Παρθένος αὐτή, δὲν εὑρίσκετο μακρὰν ἀπὸ τὸ Μοναστήριον τοῦ ὁσίου Βενεδίκτου.

Πράγματι λοιπὸν μετέβησαν οἱ ἀδελφοί, τὴν εὗρον νεκρὰν καὶ ἔφεραν τὸ ἅγιον σῶμα της· τότε ὁ ὅσιος Βενέδικτος τὴν ἔθαψεν εἰς τὸ μνῆμα, ποὺ εἶχεν ἑτοιμάσει διὰ τὸν ἑαυτόν του. Διότι ἐκείνων τῶν ὁποίων ὁ νοῦς ἦτο ἡνωμένος μὲ τὸν σύνδεσμον τοῦ Ἁγίου Πνεύματος, αὐτῶν καὶ τὰ πανίερα σώματα οὔτε κατὰ τὸν ἐνταφιασμὸν δὲν ἐχωρίσθησαν.

2. Καὶ ἄλλοτε πάλιν ὁ ἄνθρωπος αὐτὸς τοῦ Θεοῦ, ἐστάθη μίαν νύκτα εἰς τὸ παράθυρον τοῦ κελλίου του καὶ παρεκάλει τὸν παντοδύναμον Θεόν· ἔξαφνα ὕψωσε τοὺς ὀφθαλμούς του πρὸς τὸν οὐρανὸν καὶ εἶδε κάτι παράδοξον· ἐντελῶς ἀπροσδοκήτως ἐφάνη ἀπὸ τὸν οὐρανὸν μία τόσον ἔντονος φωτοχυσία, ὥστε, διὰ μιᾶς, ἐξηφανίσθη τὸ νυκτερινὸν σκοτάδι, καὶ ἔλαμψε τόσον πολὺ ὁ ἀέρας, ὥστε ἐφωτίσθη ἡ περιοχὴ περισσότερον καὶ ἀπὸ τὸ φῶς τῆς ἡμέρας· ἐν συνεχείᾳ πρὸς τὴν θαυμαστὴν αὐτὴν φωτοπλημμύραν, — καθὼς διηγεῖτο μετέπειτα ὁ ἴδιος ὁ Ὅσιος — ἐπηκολούθησε καὶ ἄλλο θαῦμα, τὴν ἰδίαν ἀκριβῶς ὥραν τοῦ ὁράματος, θαῦμα πλῆρες μυστηρίου.

Εἶδον — διηγεῖτο — ὡσὰν ὅλος ὁ κόσμος νὰ συνεκεντρώθη κάτω ἀπὸ μίαν ἡλιακὴν ἀκτῖνα· ἐνῷ δὲ ἡ προσοχή μου ἦτο ἐστραμμένη πρὸς τὴν λαμπρότητα τοῦ οὐρανίου αὐτοῦ φωτός, βλέπω τὴν ἁγίαν ψυχὴν

τοῦ Ἐπισκόπου Καπούης* Γερμανοῦ ὡς πυρίνην σφαῖραν νὰ ἀνυψώνεται ἀπὸ τοὺς Ἀγγέλους εἰς τὸν Οὐρανόν. Ἀμέσως τὴν ἄλλην ἡμέραν ἔστειλεν αὐτὸς ὁ δίκαιος ἄνθρωπος ὑποτακτικόν του εἰς Καπούην καὶ ἐπληροφορήθη, ὅτι τὴν ἰδίαν ἀκριβῶς στιγμήν, ποὺ εἶδε τὸ ὅραμα, συνέβη ἡ τελείωσις τοῦ Ἁγίου Γερμανοῦ, τοῦ ὁποίου τὴν ψυχὴν εἶδε νὰ ἀνέρχεται πρὸς τὸν οὐρανόν.

Πέτρος

ΚΑΙ πῶς ἐνδέχεται ἅπαντα τὸν κόσμον συναχθῆναι ὡς ὑπὸ μίαν τοῦ ἡλίου ἀκτῖνα πρὸ τῆς κοινῆς ἀναστάσεως; ἢ πῶς δυνατὸν ἅπαντα τὸν κόσμον ὑπὸ ἑνὸς ἀνθρώπου ὁραθῆναι;

Ἑρμηνεία

Πέτρος

ΕΙΠΕ ΜΟΙ, πάτερ, πῶς εἶναι δυνατὸν ὅλος ὁ κόσμος νὰ συγκεντρωθῇ κάτω ἀπὸ μίαν ἡλιακὴν ἀκτῖνα, πρὶν ἀπὸ τὴν κοινὴν ἀνάστασιν ὅλων τῶν νεκρῶν; ἢ πῶς εἶναι δυνατὸν ὁλόκληρος ὁ κόσμος νὰ γίνῃ ὁρατὸς ἀπὸ ἕνα ἄνθρωπον;

Γρηγόριος

ΑΣΦΑΛΩΣ πρόσεχε, Πέτρε, ὃ λέγω· ψυχῇ τῇ θεωμένῃ τὸν κτίστην ἅπας ὁ κόσμος στενός ἐστιν· ὅτι αὐτὴ ἡ τοῦ θείου φωτὸς θεωρία, ἐν τῷ νοῒ ἔνδοθεν ἐμπλατύνεται καὶ τοσοῦτον ὁ νοῦς ὑπ' αὐτῆς ἄνω πρὸς τὸν Θεὸν ἐφαπλοῦται καὶ ἐπεκτείνεται, ὡς ἀνώτερος πάσης τῆς κτίσεως γίνεται· ἐκεῖ δὲ γενόμενος, καὶ τοσοῦτον ἑαυτὸν πλατυνθέντα θεώμενος, ἐπιγινώσκει ὅσον βραχύ ἐστιν, ὅπερ ἐν τῇ ταπεινώσει τοῦ σώματος ὢν κατασχεῖν ἢ ἰδεῖν οὐκ ἠδύνατο. Τί οὖν θαυμαστόν, εἰ καὶ ὁ ἀνὴρ οὗτος ἐν τῷ φωτὶ τοῦ Θεοῦ ὑπάρχων, καὶ ὑπ' αὐτοῦ τοσοῦτον ὑψωθείς τε καὶ πλατυνθείς, ὅλον τὸν κόσμον ὡς συναχθέντα ἐνώπιον αὐτοῦ ἐθεάσατο; οὐχὶ ἐπὶ τὸ αὐτὸ παραστάντος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἀλλὰ τοῦ νοὸς αὐτοῦ τῷ νοερῷ ἐκείνῳ φω. πρὸς Θεὸν ἁρπαγέντος καὶ πλατυνθέντος καὶ ἐν αὐτῷ εὐχερῶς ἃ εἶδε θεωρήσαντος· ἕκαστον γὰρ τῶν ὄντων ἔνδον ἐστὶ τοῦ Θεοῦ· ἐν αὐτῷ οὖν τῷ φωτὶ τῷ τοῖς ἔξωθεν ὀφθαλμοῖς ἐξαστράψαντι, φῶς ἐνδότερον τοὺς νοεροὺς αὐτοῦ κατηύγασεν ὀφθαλμούς, δι' οὗ ἥ τε ψυχὴ ἐν ὑψίστοις ἁρπαγεῖσα ἐδείχθη αὐτῷ, καὶ πάντα τὰ κατώτερα μέσῃ πόσον στενά εἰσι.

---

* Ἡ Κάπουα ἢ Καπύη (Capua) ὑπῆρξεν ἀρχαία πόλις τῆς Ἰταλίας, πρωτεύουσα τῆς ἐπαρχίας Καμπανίας, γνωστὴ εἰς τὴν Ἱστορίαν ἀπὸ τὴν νίκην τοῦ Ἀννίβα ἐναντίον τῶν Ρωμαίων κατὰ τὸ 216 π.Χ. Εἰς αὐτὴν εἰσήχθη ἐνωρὶς ὁ Χριστιανισμός, ἀναφέρεται δὲ ὅτι ἐπὶ Μ. Κωνσταντίνου ὑπῆρχεν εἰς αὐτὴν ναὸς (βασιλική) τῶν Ἁγίων Ἀποστόλων. Ἡ πόλις κατεστράφη τὸ 840 μ.Χ. ὑπὸ τῶν Σαρακηνῶν, ἀπὸ τὰ ὑλικὰ δὲ αὐτῆς ἐκτίσθη 4 χλμ. πρὸς τὰ ΒΔ ἡ σημερινὴ Ἰταλικὴ πόλις Κάπουα.

Ἑ ρ μ η ν ε ί α

Γ ρ η γ ό ρ ι ο ς

ΠΡΟΣΕΞΕ ΚΑΛΑ, Πέτρε, εἰς αὐτὸ ποὺ θὰ σοῦ εἴπω. Διὰ τὴν ψυχὴν ποὺ ἠξιώθη νὰ βλέπῃ τὸν Κτίστην, ὅλος ὁ κόσμος εἶναι στενός· διότι αὕτη ἡ θεωρία τοῦ θείου φωτὸς μεγαλώνει τόσον πολὺ μέσα εἰς τὸν νοῦν καὶ τόσον πολὺ ὁ νοῦς ἁπλώνεται καὶ διευρύνει τὰ ὅρια τῆς ὑπάρξεώς του ἀπὸ τὴν μυστικὴν αὐτὴν θεωρίαν, ὥστε γίνεται ἀνώτερος ἀπὸ ὅλην τὴν κτίσιν. Ὅταν δὲ φθάσῃ εἰς τὴν κατάστασιν αὐτὴν καὶ ἴδῃ ἑαυτὸν πόσον ἔχει πλατυνθῇ, τότε ἐννοεῖ πόσον μικρὸν εἶναι ἐκεῖνο τὸ ὁποῖον, ὅταν εὑρίσκετο μέσα εἰς τὸ ταπεινὸν σῶμα του, δὲν ἠδύνατο νὰ ἐννοήσῃ ἢ νὰ ἴδῃ.

Ποῦ λοιπὸν βλέπεις τὸ παράξενον, ἐὰν καὶ αὐτὸς ὁ ἅγιος ἄνθρωπος, εὑρισκόμενος ὑπὸ τὸν φωτισμὸν τοῦ φωτὸς τοῦ Θεοῦ, καὶ ὑπὸ τοῦ θείου αὐτοῦ φωτισμοῦ ὑψωθεὶς καὶ πλατυνθεὶς τόσον πολύ, εἶδεν ὅλον τὸν κόσμον ὡς νὰ εἶχε συγκεντρωθῇ ἐνώπιόν του; Αὐτὸ βεβαίως συνέβη ὄχι διότι ὁ οὐρανὸς καὶ ἡ γῆ συνεκεντρώθησαν εἰς τὸ ἴδιον μέρος, ἀλλὰ διότι ὁ νοῦς αὐτοῦ ἀνηρπάγη ἀπὸ τὸ νοερὸν ἐκεῖνο φῶς καὶ ἀνυψώθη πρὸς τὸν Θεόν, ὁπόταν ἐπλατύνθη τόσον πολύ, ὥστε νὰ θεωρήσῃ μὲ εὐκολίαν αὐτὰ ποὺ εἶδε, διότι κάθε ἕνα ἀπὸ τὰ ὄντα εὑρίσκεται μέσα εἰς τὴν περιοχὴν τοῦ Θεοῦ! Μὲ αὐτὸ λοιπὸν τὸ θαυμαστὸν φῶς, ποὺ ἐθάμπωσε τοὺς ἐξωτερικούς του ὀφθαλμούς, φῶς ἐσωτερικὸν ἐφώτισε τοὺς νοεροὺς ὀφθαλμούς του, διὰ τοῦ ὁποίου ἐφανερώθη εἰς αὐτὸν πῶς ἡ ψυχὴ τοῦ Ἁγίου Γερμανοῦ Καπούης ἀνηρπάγη ἀπὸ τοὺς Ἀγγέλους πρὸς τὰ ὕψη, ἀλλὰ καὶ πόσον στενὰ καὶ περιωρισμένα εἶναι ὅλα τὰ κατώτερα μέρη.

Π έ τ ρ ο ς

Συντίθεμαι.

Ἑ ρ μ η ν ε ί α

Π έ τ ρ ο ς

Εἶμαι σύμφωνος μὲ ὅσα λέγεις.

Γ ρ η γ ό ρ ι ο ς

ΕΝ ΤΩι ΚΑΙΡΩι ἐν ᾧ ἔμελλεν ὁ ἀοίδιμος οὗτος ἀνὴρ ἐκ τῆς παρούσης ζωῆς ἐκδημῆσαι καὶ ἐνδημῆσαι πρὸς τὸν Θεόν, προλαβὼν ἐμήνυσε τὴν ἡμέραν τῆς τελευτῆς αὐτοῦ τοῖς τε συνοῦσιν αὐτῷ μαθηταῖς, καὶ τοῖς ἐκ μήκους οὖσιν· οἷς ἐδήλωσεν, ὅτι καί τι σημεῖον αὐτοῖς γενήσεται, δι' οὗ γνώσονται ὅτε αὐτὸς χωρίζεται ἐκ τοῦ σώματος. Πρὸ οὖν ἓξ ἡμερῶν τῆς ὁσίας αὐτοῦ κοιμήσεως, ἀνοιγῆναι τὸ ἑαυτοῦ μνημεῖον ἐκέλευσε· καὶ εὐθέως λαβροτάτῳ πυρετῷ κατεσχέθη· ὑφ' οὗ ἐπὶ ἓξ ἡμέραις τὸ σῶμα αὐτοῦ κατεφρύσσετο, ἐν δὲ τῇ ἕκτῃ ἡμέρᾳ ἐκέλευσε τοῖς ἑαυτοῦ μαθηταῖς ἆραι αὐτόν, καὶ ἀπενεγκεῖν εἰς τὸ εὐκτήριον. Ἀπενεχθεὶς οὖν ἐκεῖ, καὶ τῶν ἀχράντων μετα-

λαβὼν μυστηρίων, ἐν μέσῳ τῶν μαθητῶν ἑστὼς καὶ ὑπ' αὐτῶν διαβασταζόμενός τε καὶ στηριζόμενος, ὕψωσε τὰς χεῖρας εἰς οὐρανὸν καὶ οὕτως ἄνω ἀτενίζων καὶ προσευχόμενος, τὴν ἡγιασμένην ἀφῆκε ψυχήν. Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ δυσὶν ἀδελφοῖς, τῷ μὲν ἑνὶ ἐν τῷ ἑαυτοῦ ἡσυχάζοντι κελλίῳ, τῷ δὲ ἑτέρῳ μήκοθεν οἰκοῦντι, ὅρασις ὁμοία ἐφάνη. Εἶδον τοίνυν ἑκάτεροι· καὶ ἰδοὺ ὁδός τις θαυμαστὴ ἀπὸ τοῦ κελλίου τοῦ ὁσίου μέχρι τοῦ οὐρανοῦ πρὸς ἀνατολὰς ἀνετείνετο ἐκ λαμπρῶν τινων ἱματίων καὶ σηρικῶν ἐστρωμένη ὅλη· ἐν αὐτῇ δὲ καί τινες ἄνδρες ἐξαίσιοι λαμπάδας κατέχοντες, ἐνορδίνως βαδίζοντες ἀνήρχοντο. Ἀνὴρ δέ τις ἕτερος λευχείμων καὶ αὐτὸς καὶ φωτοειδὴς πλησίον αὐτῶν ἑστηκώς, ἠρώτα τούτους, εἰ τὴν ὁδὸν ταύτην ἣν κατανοοῦσι θαυμάζοντες ἐπίστανται τίνος ἐστί· τῶν δὲ ἀγνοεῖν εἰπόντων, ἔφη ὁ φανείς· αὕτη ἐστὶν ἡ ὁδός, δι' ἧς ὁ τοῦ Θεοῦ ἀγαπητὸς Βενέδικτος εἰς οὐρανὸν ἀνέρχεται· ἐν ἑαυτοῖς οὖν γενόμενοι τῶν ὁρώντων ἑκάτερος, συνῆκαν τὴν τοῦ ἁγίου ἀνδρὸς τελείωσιν, καθάπερ παρόντες καὶ ὁρῶντες αὐτὸν τελειούμενον.

Ἑρμηνεία

Γρηγόριος

ΚΑΤΑ ΤΗΝ ΕΠΟΧΗΝ ποὺ ἐπρόκειτο ὁ Ἅγιος αὐτὸς ἄνθρωπος, δηλαδὴ ὁ Ὅσιος Βενέδικτος, νὰ ἀπέλθῃ ἀπὸ τὴν πρόσκαιρον αὐτὴν ζωὴν καὶ νὰ διαμείνῃ πλέον αἰωνίως πλησίον τοῦ Θεοῦ, προέβλεψε τὴν ἡμέραν τοῦ θανάτου του καὶ τὴν προανήγγειλεν εἰς τοὺς ὑποτακτικούς του, καθὼς καὶ εἰς τοὺς μαθητὰς ποὺ εὑρίσκοντο μακράν του. Εἰς ὅλους αὐτοὺς ἐφανέρωσεν, ὅτι κατὰ τὴν ἡμέραν τοῦ θανάτου του θὰ γίνῃ κάποιο σημεῖον, μὲ τὸ ὁποῖον θὰ ἀντιληφθοῦν ὅλοι, ὅτι χωρίζεται ἡ ψυχή του ἀπὸ τὸ σῶμα.

Ἕξ ἡμέρας λοιπὸν πρὶν ἀπὸ τὴν ὁσίαν του κοίμησιν διέταξε τοὺς ὑποτακτικούς του νὰ ἀνοίξουν τὸν τάφον του· ἀμέσως δὲ κατελήφθη ἀπὸ ἰσχυρότατον πυρετόν, ἀπὸ τὸν ὁποῖον, ἐπὶ ἓξ ἡμέρας, ἐψήνετο κυριολεκτικῶς τὸ σῶμα του. Τὴν ἕκτην ἡμέραν διέταξε πάλιν τοὺς ὑποτακτικούς του νὰ τὸν σηκώσουν καὶ νὰ τὸν ὁδηγήσουν εἰς τὸν Ναόν.

Ἀφοῦ λοιπὸν τὸν μετέφεραν εἰς τὸν Ναὸν καὶ μετέλαβε τῶν Ἀχράντων Μυστηρίων, ἐστάθη εἰς τὸ μέσον τῶν ὑποτακτικῶν του, οἱ ὁποῖοι τὸν ὑπεβάσταζον καὶ τὸν συνεκράτουν, διὰ νὰ παραμείνῃ ὄρθιος, ὕψωσε τὰ μάτια του πρὸς τὸν οὐρανὸν καὶ ἤρχισε μετὰ θερμότητος νὰ προσεύχεται. Οὕτως εἰς αὐτὴν τὴν κατανυκτικὴν στάσιν, μὲ ὑψωμένα τὰ βλέμματα πρὸς τὸν οὐρανὸν καὶ προσευχόμενος μετὰ θερμότητος, παρέδωκεν εἰς τὸν Θεὸν τὴν ἁγιασμένην ψυχήν του.

Τὴν στιγμὴν ἀκριβῶς ἐκείνην δύο ἀδελφοί, ἐκ τῶν ὁποίων ὁ ἕνας ἡσύχαζεν εἰς τὸ κελλίον του ὁ δὲ ἄλλος κατοικοῦσε πολὺ μακράν, εἶδον ἀκριβῶς τὸ ἴδιον ὅραμα. Εἶδον λοιπὸν καὶ οἱ δύο, ἀλλὰ καθένας χωριστά, ἕνα δρόμον θαυμαστόν, ποὺ ὡδήγει ἀπὸ τὸ κελλὶ τοῦ Ὁσίου πρὸς Ἀνατολὰς μέχρι τοῦ Οὐρανοῦ. Ὁ δρόμος αὐτὸς ἦτο ὁλόκληρος στρωμένος ἀπὸ λαμπρὰ ἐνδύματα καὶ μεταξωτά. Εἰς αὐτὸν τὸν δρόμον ἀνέβαινον καὶ

μερικοὶ ἐξαίσιοι ἄνδρες, οἱ ὁποῖοι ἐκρατοῦσαν λαμπάδας καὶ ἐβάδιζαν μὲ τάξιν. Ἔξαφνα εἰς αὐτὴν τὴν ὡραίαν καὶ ἐπιβλητικὴν σκηνὴν παρουσιάζεται ἕνας ἄλλος λευκοφορεμένος ἄνδρας, ὁ ὁποῖος ἀστραποβολοῦσε καὶ αὐτὸς καὶ ἐστάθηκε κοντὰ εἰς ἐκείνους, ποὺ ἐβάδιζαν καὶ τοὺς ἐρωτᾷ:

— Γνωρίζετε, ἄραγε, διὰ ποῖον ἔχει στρωθῆ ὁ δρόμος αὐτός, ποὺ βλέπετε μὲ τόσον θαυμασμόν;

—Ὄχι, δὲν γνωρίζομεν, ἀπήντησαν ἐκεῖνοι.

—Ὁ δρόμος αὐτὸς — εἶπε τότε πρὸς αὐτοὺς ὁ λευκοφόρος — εἶναι αὐτός, τὸν ὁποῖον θὰ βαδίσῃ ὁ ἀγαπημένος τοῦ Θεοῦ Βενέδικτος καὶ θὰ ἀναβῇ εἰς τὸν οὐρανόν.

Μόλις συνῆλθον καὶ οἱ δύο ἀπὸ τὸ καταπληκτικὸν αὐτὸ ὅραμα, ἀντελήφθησαν ἀμέσως, ὅτι ἀνεφέρετο εἰς τὴν κοίμησιν τοῦ Ἁγίου ἀνθρώπου· ἦσαν δὲ τόσον βέβαιοι δι' αὐτό, ὡς νὰ ἦσαν παρόντες καὶ νὰ τὸν ἔβλεπον εἰς τὰς τελευταίας στιγμάς του.

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΤΟ ὁ Ἀββᾶς Μακάριος ὁ Αἰγύπτιος, ὅτι περιπατῶν ποτε εἰς τὴν ἔρημον, εὗρον κρανίον νεκροῦ κείμενον ἐν τῷ ἐδάφει· καὶ σαλεύσας αὐτὸ τῇ βαΐνῃ ῥάβδῳ, ἤκουσα φωνῆς ἐξ αὐτοῦ· καὶ λέγω αὐτῷ· σὺ τίς εἶ; τὸ δὲ ἀπεκρίθη μοι· ἐγὼ ἀρχιερεὺς ἤμην τῶν εἰδώλων καὶ τῶν μεινάντων Ἑλλήνων ἐν τῷ τόπῳ τούτῳ· σὺ δὲ εἶ Μακάριος ὁ πνευματοφόρος· ἴσθι οὖν ὅτι καθ' οἵαν ὥραν σπλαγχνισθῇς τοῖς ἐν κολάσει καὶ εὔχῃ ὑπὲρ αὐτῶν, παραμυθοῦνται ὀλίγον.

Ἠρώτησεν ὁ γέρων· ποία ἐστὶν ἡ παραμυθία; καὶ τίς ἡ κόλασις; ἀπεκρίθη τὸ κρανίον· ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτόν ἐστι τὸ ὑποκάτωθεν πῦρ ἡμῶν, ἀπὸ ποδῶν ἕως κεφαλῆς ἑστηκότων ἡμῶν ἐν μέσῳ τοῦ πυρός· καὶ οὐκ ἔστι τινὰ πρόσωπον πρὸς πρόσωπον θεάσασθαι τὸν ἕτερον, ἀλλὰ τὸ πρόσωπον ἑκάστου πρὸς τὸν ἑτέρου νῶτον κεκόλληται· ὡς οὖν εὔχῃ ὑπὲρ ἡμῶν, ἐκ μέρους τις θεωρεῖ τὸ πρόσωπον τοῦ ἑτέρου· αὕτη ἐστὶν ἡ παραμυθία.

Ὁ δὲ γέρων ἀκούσας, καὶ βαρὺ στενάξας εἶπεν· οὐαὶ τῇ ἡμέρᾳ ἐν ᾗ ἐγεννήθη ὁ ἄνθρωπος, ἤγουν ὁ ἁμαρτωλός· τούτῳ γὰρ καλὸν ἦν εἰ μὴ ἐγεννήθη, ὡς περὶ τοῦ Ἰούδα ὁ Κύριος ἔφησε. Λέγει πάλιν τῷ κρανίῳ ὁ γέρων· ἔστιν ἄλλη χείρων βάσανος; τὸ δὲ ἀπεκρίθη· ἔστι μείζων κόλασις ὑποκάτωθεν ἡμῶν· ἔφη ὁ γέρων· καὶ τίνες εἰσὶν ἐκεῖ; τὸ δὲ εἶπεν· ἡμεῖς, ὡς μὴ εἰδότες τὸν Θεόν, κἂν ὀλίγον ἐλεούμεθα· οἱ δὲ ἐπιγνόντες τὸν Θεὸν καὶ ἀρνησάμενοι αὐτόν, ὑποκάτωθεν ἡμῶν εἰσι, καὶ χεῖρον κολάζονται· λαβὼν οὖν ὁ γέρων τὸ κρανίον, ἔχωσεν αὐτὸ καὶ παρῆλθεν.

Ἀκούσωμεν καὶ φοβηθῶμεν οἱ τῷ διηγήματι ἐντυγχάνοντες· εἰ γὰρ οἱ τὸν Θεὸν ἀρνησάμενοι χεῖρον καὶ τῶν ἀπίστων κολάζονται, σπουδάσωμεν μὴ τοῖς ἔργοις τοῦ σκότους αὐτὸν ἀρνήσασθαι, ἵνα τὴν δεινὴν ταύτην τιμωρίαν ἐκφύγωμεν· ἀρνησίθεος γάρ ἐστι οὐχὶ μόνον ὁ ἐν ἔργῳ ἢ λόγῳ, ἀλλὰ καὶ ὁ ἐν τοῖς ἀθέσμοις ἔργοις αὐτὸν ἀρνούμενος, κἂν τῷ λόγῳ ὁμολογῶν φαίνηται· καὶ μάρτυς ὁ Ἀπόστολος λέγων· «Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται».

2. Καὶ ὁ ἀδελφόθεος Ἰάκωβος φάσκων· εἴς τις δοκεῖ θρῆσκος εἶναι, ἤτοι πιστός, μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλὰ ἀπατῶν καρδίαν αὐτοῦ, ἤγουν τῷ

θαρρεῖν εἰς τὴν πίστιν, τούτου μάταιος ἡ θρησκεία· ἡ γὰρ πίστις χωρὶς τῶν ἔργων, νεκρά ἐστιν». Ἔχει δὲ ὁ λόγος φανερῶς καὶ τὸ δίκαιον· φησὶ γὰρ ὁ Θεὸς διὰ τοῦ Προφήτου· «οὐαί, δι' οὓς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν»· εἰ οὖν ἡμεῖς ὁ λαὸς Θεοῦ καὶ κλῆρος Ἅγιος, καὶ τὰ τοιαῦτα ὀνομαζόμενοι, διὰ τῶν τῆς ἀτιμίας ἔργων τὸν Θεὸν ἐξυβρίζομεν καὶ τὸ καλὸν ὄνομα, ὃ ἡμῖν ἐπικέκληται βλασφημεῖσθαι ἐν τοῖς ἀπίστοις, δι' ὧν ποιοῦμεν, παρασκευάζομεν, πῶς οὐ δίκαιον ἡμᾶς τοὺς αἰτίους τῆς βλασφημίας ταύτης καὶ ὕβρεως κολασθῆναι καὶ τῶν ἀπίστων βαρύτερον; ἄλλως τε «καὶ ὁ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, ὡς αὐτός φησιν ὁ Σωτὴρ ὁ δίκαιος κριτὴς καὶ ἀπαραλόγιστος, καὶ μὴ ποιήσας αὐτὸ δαρήσεται πολλάς· ὁ δὲ μὴ εἰδὼς μηδὲ ποιήσας, δαρήσεται ὀλίγας».

Διὸ φρίξωμεν, ἀδελφοί, καὶ ἀγωνισώμεθα κατὰ τὴν ἐπιχορηγουμένην ἡμῖν ἐκ Θεοῦ δύναμιν, πιστοὶ ἐκ τῶν ἔργων μάλιστα φαίνεσθαι καὶ πάντα ποιεῖν εἰς δόξαν Θεοῦ, ἵνα καὶ δι' ἡμῶν ἐκ τῶν ὁρώντων ἀνθρώπων ὁ ὑπερδεδοξασμένος δοξάζηται.

3. Καθεζόμενός ποτε ὁ Ἀββᾶς Σιλουανὸς μετὰ ἀδελφῶν ἐγένετο ἐν ἐκστάσει καὶ πίπτει ἐπὶ πρόσωπον· εἶτα μετὰ βραχὺ ἀναστάς, ἔκλαιεν· οἱ δὲ ἀδελφοὶ παρεκάλουν αὐτὸν λέγοντες· εἰπὲ ἡμῖν τί ἔχεις, Πάτερ; ὁ δὲ ἐσιώπα καὶ ἔκλαιεν· ὡς δὲ ἐπὶ πλεῖον αὐτὸν ἠνάγκαζον, εἶπεν· ἐγὼ εἰς τὴν κρίσιν ἡρπάγην· καὶ εἶδον πολλοὺς τῶν Μοναχῶν ἀπαγομένους εἰς κόλασιν καὶ πολλοὺς τῶν κοσμικῶν ἀπερχομένους εἰς Βασιλείαν· διὸ καὶ ἐπένθει ἀεὶ ὁ Γέρων καὶ οὐδέποτε ἤθελεν ἐξελθεῖν ἐκ τοῦ κελλίου αὐτοῦ· εἰ δὲ καὶ συνέβη αὐτὸν ἀναγκασθέντα διά τινα χρείαν ἐξελθεῖν, ἔσκεπε τῷ κουκουλίῳ τὸ πρόσωπον.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΜΑΚΑΡΙΟΣ ὁ Αἰγύπτιος διηγήθη εἰς τοὺς ὑποτακτικούς του τὸ ἑξῆς περιστατικόν. Κάποτε, καθὼς ἐβάδιζα εἰς τὴν ἔρημον, εὑρῆκα ἕνα κρανίον ἀποθαμένου, κάτω εἰς τὸ ἔδαφος· τὸ μετεκίνησα ἐλαφρὰ μὲ τὸ ραβδί μου καί, κατάπληκτος, ἀκούω φωνὴν ἀπὸ τὸ κρανίον αὐτό. Τότε μὲ θάρρος καὶ χωρὶς φόβον ἐρωτῶ τὸ κρανίον:

— Σύ, ποῖος εἶσαι;

Τὸ κρανίον μοῦ ἀπαντᾷ, ὡς νὰ ἦτο ἄνθρωπος ζωντανός:

—Ἐγὼ ἤμην Ἀρχιερεὺς τῶν εἰδώλων καὶ τῶν Ἑλλήνων, ποὺ ἔμεναν κάποτε εἰς αὐτὸν τὸν τόπον· σὺ δὲ εἶσαι ὁ πνευματοφόρος Μακάριος· μάθε λοιπὸν ὅτι ὁποιανδήποτε ὥραν λυπηθῇς τοὺς κολασμένους καὶ προσευχηθῇς χάριν αὐτῶν, παρηγοροῦνται ὀλίγον.

Ὁ Ἀββᾶς Μακάριος ἐρωτᾷ πάλιν τὸ κρανίον:

— Ποία εἶναι ἡ παρηγορία; Καὶ ποία εἶναι ἡ κόλασις;

—Ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τὴν γῆν, τόσον βάθος ἔχει καὶ ἡ φωτιά, ποὺ εὑρίσκεται ἀπὸ κάτω μας· εἰς αὐτὴν λοιπὸν τὴν φωτιὰν στεκόμεθα ὄρθιοι καὶ γωμένοι ὁλόκληροι. Εἴμεθα δὲ ἔτσι τοποθετημένοι, ὥστε ὁ ἕνας κολασμένος νὰ μὴ βλέπῃ τὸ πρόσωπον τοῦ ἄλλου, ἀλλὰ τὰ ὀπίσθια. Ὅταν λοιπὸν προσεύχεσαι δι' ἡμᾶς, βλέπει ὀλίγον ὁ ἕνας τὸ πρόσωπον τοῦ ἄλλου. Αὐτὴ δὲ εἶναι ἡ παρηγορία, ποὺ δοκιμάζομεν.

Ὁ Ἀββᾶς Μακάριος μόλις ἤκουσεν αὐτὰ βαριανεστέναξε καὶ εἶπεν· Ἀλλοίμονον, πόσην δυστυχίαν ἔφερεν εἰς τὸν ἄνθρωπον, δηλαδὴ τὸν ἁμαρτωλόν, ἡ ἡμέρα τῆς γεννήσεώς του· προτιμότερον νὰ μὴ εἶχε γεννηθῆ, ὅπως εἶπε καὶ διὰ τὸν Ἰούδαν τὸν προδότην ὁ Κύριος! Μετὰ τὸν μονόλογον αὐτὸν ἐρωτᾷ πάλιν τὸ κρανίον ὁ Γέρων:

—Ὑπάρχουν εἰς τὴν κόλασιν ἄλλα χειρότερα βάσανα ἀπὸ αὐτά, ποὺ μοῦ περιγράφεις;

—Ἀπὸ κάτω μας εὑρίσκεται φοβερωτέρα κόλασις, ἀπήντησε τὸ κρανίον.

—Καὶ ποῖοι τιμωροῦνται ἐκεῖ; ἠρώτησεν ὁ Γέρων.

—Ἡμεῖς, ἐπὶ τέλους — ἀπήντησε τὸ κρανίον — ἐλεούμεθα ὀλίγον ἀπὸ τὸν Θεόν, διότι δὲν τὸν ἐγνωρίσαμεν· ἐκεῖνοι ὅμως ποὺ ἐγνώρισαν καλὰ τὸν Θεὸν καὶ μετὰ ταῦτα τὸν ἠρνήθησαν, εἶναι κάτω ἀπὸ ἡμᾶς καὶ κολάζονται πολὺ χειρότερα.

Ἀφοῦ ἐτελείωσεν ὁ διάλογος, ἐπῆρεν ὁ Γέρων τὸ κρανίον, τὸ ἔχωσε κάτω ἀπὸ τὸ ἔδαφος καὶ συνέχισε τὸν δρόμον του.

Ἂς ἀκούσωμεν καὶ ἂς φοβηθῶμεν ὅσοι μάθωμεν αὐτὴν τὴν διήγησιν· διότι ἐφ' ὅσον αὐτοὶ ποὺ ἀρνοῦνται τὸν Θεὸν κολάζονται χειρότερα καὶ ἀπὸ τοὺς ἀπίστους, πρέπει νὰ φροντίσωμεν νὰ μὴ ἀρνηθῶμεν Αὐτὸν μὲ τὰ ἔργα τοῦ σκότους, διὰ νὰ ἀποφύγωμεν τὴν φοβερὰν αὐτὴν τιμωρίαν. Διότι ἀρνητὴς τοῦ Θεοῦ δὲν εἶναι μόνον ἐκεῖνος ποὺ Τὸν ἀρνεῖται μὲ λόγια ἢ ἔργα, ἀλλὰ καὶ ἐκεῖνος ποὺ διαπράττει ἁμαρτωλὰς πράξεις, ἔστω καὶ ἐὰν φαινομενικῶς μὲ τὰ λόγια φαίνεται νὰ ὁμολογῇ πίστιν πρὸς τὸν Θεόν. Μάρτυς δέ, ὅτι αὐτὰ ποὺ λέγω εἶναι ἀληθῆ, ὑπάρχει ὁ Ἀπόστολος, ὅστις διακηρύττει «Ὁμολογοῦν ὅτι γνωρίζουν τὸν Θεόν, μὲ τὰ ἁμαρτωλά τους ὅμως ἔργα τὸν ἀρνοῦνται» (Τίτ. α΄, 16).

2. Ἀκόμη καὶ ὁ ἀδελφόθεος Ἰάκωβος λέγει· «ἐὰν κανεὶς νομίζῃ ὅτι εἶναι θρῆσκος, δηλαδὴ πιστός, καὶ δὲν χαλιναγωγῇ τὴν γλῶσσαν του, ἀλλὰ ἐξαπατᾷ τὴν καρδίαν του μὲ τὸ νὰ στηρίζῃ τὸ θάρρος του εἰς τὴν τοιαύτην πίστιν, αὐτὸς δὲν σκέπτεται καλὰ καὶ δι' αὐτὸ καὶ δὲν ὠφελεῖται ἀπὸ τὴν θρησκείαν· διότι ἡ πίστις χωρὶς τὰ ἔργα εἶναι νεκρὰ» (Ἰακώβου β΄, 17).

Ὁ λόγος οὗτος ἔχει καὶ τὸ δίκαιον μὲ τὸ μέρος του. Διότι ὁ Θεός, μὲ τὸ στόμα τοῦ Προφήτου, λέγει· «ἀλλοίμονον εἰς αὐτούς, ποὺ γίνονται αἰτία νὰ βλασφημῆται τὸ ὄνομά μου εἰς τὰ ἔθνη»! Ἐὰν λοιπὸν ἡμεῖς, ὁ λαὸς τοῦ Θεοῦ, καὶ κλῆρος Ἅγιος καὶ οἱ μὲ ἄλλα τοιαῦτα ἔντιμα ὀνόματα ὀνομαζόμενοι, ἐξυβρίζομεν, μὲ τὰ ἔργα τῆς ἁμαρτίας, τὸν Θεὸν καὶ γινόμεθα τοιουτοτρόπως αἴτιοι νὰ βλασφημοῦν οἱ ἄπιστοι τὸ καλὸν ὄνομα τοῦ Χριστιανοῦ, μὲ τὸ ὁποῖον μᾶς χαρακτηρίζει ὁ κόσμος, πῶς δὲν θὰ εἶναι δίκαιον νὰ κολασθῶμεν βαρύτερα ἀπὸ τοὺς ἀπίστους ἡμεῖς οἱ αἴτιοι αὐτῆς τῆς βλασφημίας καὶ ὕβρεως; Ἄλλωστε, ὅπως λέγει καὶ ὁ Σωτήρ, ὁ δίκαιος Κριτής, ποὺ δὲν λογαριάζει πρόσωπον ἀνθρώπου, «ἐκεῖνος ποὺ γνωρίζει τὸ θέλημα τοῦ Κυρίου καὶ δὲν τὸ ἐκτελεῖ

θὰ δαρῇ πολλὰς φοράς (δηλαδὴ θὰ τιμωρηθῇ περισσότερον)· ἐκεῖνος ὅμως ποὺ δὲν γνωρίζει τὸ θέλημα τοῦ Θεοῦ, καὶ δι' αὐτὸ δὲν τὸ ἐφαρμόζει, θὰ δαρῇ ὀλίγας φοράς» (δηλαδὴ θὰ τιμωρηθῇ ὀλιγώτερον) (Λουκ. ιϐ΄ 47—48).

Δι' αὐτὸν τὸν λόγον, ἀδελφοί μου, ἀναλογιζόμενοι τὰς φρικτὰς τιμωρίας τῆς κολάσεως, ἂς φρίξωμεν καὶ ἂς ἀγωνισθῶμεν, κατὰ τὸ μέτρον τῆς παρεχομένης εἰς ἡμᾶς ἐκ Θεοῦ δυνάμεως, καὶ νὰ φαινώμεθα πιστοὶ πρὸ παντὸς ἀπὸ τὰ καλὰ καὶ ἐνάρετα ἔργα, καὶ νὰ ἐργαζώμεθα τὰ πάντα πρὸς δόξαν Θεοῦ, ὥστε νὰ δοξάζεται τὸ ὄνομα τοῦ Θεοῦ ὑπὸ τῶν ἀνθρώπων οἱ ὁποῖοι βλέπουν τὰ καλὰ ἡμῶν ἔργα.

3. Κάποτε ὁ 'Αββᾶς Σιλουανὸς ἐκάθητο μὲ μερικοὺς ἀδελφούς· ἔξαφνα περιέπεσεν εἰς ἔκστασιν καὶ ἔπεσε κάτω μὲ τὸ πρόσωπον πρὸς τὸ ἔδαφος· μετ' ὀλίγον ἐσηκώθη καὶ ἔκλαιεν. Οἱ ἀδελφοὶ τὸν παρεκάλουν ἐπιμόνως καὶ τοῦ ἔλεγον:

— Εἰπὲ εἰς ἡμᾶς, Πάτερ, τί ἔχεις;

'Εκεῖνος ὅμως ἐσιώπα καὶ ἐξηκολούθει νὰ κλαίῃ· ἀλλὰ καὶ οἱ ἀδελφοὶ μετὰ περισσοτέρας ἐπιμονῆς τὸν παρεκάλουν καὶ τὸν ἐπίεζον νὰ τοὺς εἴπῃ.

Τότε ὁ 'Αββᾶς Σιλουανὸς μὲ συγκίνησιν τοὺς ἀπήντησεν:

—'Εγὼ ἀνηρπάγην εἰς τὸ φοβερὸν Κριτήριον τοῦ Θεοῦ καὶ εἶδον πολλοὺς Μοναχοὺς νὰ ὁδηγοῦνται εἰς τὴν Κόλασιν καὶ πολλοὺς κοσμικοὺς νὰ ἀπέρχωνται εἰς τὸν Παράδεισον.

Δι' αὐτὸ καὶ ὁ 'Αββᾶς Σιλουανὸς ἐπενθοῦσε πάντοτε καὶ ποτὲ δὲν ἤθελε νὰ ἐξέλθῃ ἀπὸ τὸ κελλίον του. 'Εὰν δὲ ἠναγκάζετο νὰ ἐξέλθῃ, βιαζόμενος ἀπὸ κάποιαν ἀναγκαίαν ὑπόθεσιν, ἐσκέπαζε τὸ πρόσωπόν του μὲ τὸ κουκούλιον.






ΥΠΟΘΕΣΙΣ Ι΄

Περὶ τοῦ ὅτι μετὰ τὴν ἔξοδον ἡ ψυχὴ φοβερὰν ἐν τῷ ἀέρι τὴν ἐξέτασιν δέχεται, τῶν πονηρῶν πνευμάτων ἀπαντώντων αὐτῇ καὶ κωλυόντων τὴν ἄνοδον.

Ἡ ψυχὴ μετὰ τὴν ἔξοδόν της ἐκ τοῦ σώματος δέχεται φοβερὰν ἐξέτασιν εἰς τὸν ἀέρα, ἀπὸ τὰ πονηρὰ πνεύματα ποὺ τὴν συναντοῦν καὶ τῆς ἐμποδίζουν τὴν ἄνοδον.



Α΄. Ἐν τῷ βίῳ τοῦ Μεγάλου Ἀντωνίου



ΕΛΛΩΝ ἐσθίειν ποτὲ ὁ Ἅγιος Ἀντώνιος, καὶ ἀναστὰς εὔξασθαι περὶ τὴν ἐνάτην ὥραν, ᾔσθετο ἑαυτὸν ἁρπαγέντα τῇ διανοίᾳ· καὶ τὸ παράδοξον, ἑστὼς ἔβλεπεν ἑαυτὸν ὥσπερ ἔξωθεν ἑαυτοῦ γινόμενον καὶ εἰς τὸν ἀέρα ὑπό τινων ὁδηγούμενον· εἶτα πικρούς τινας καὶ δεινοὺς ἑστῶτας ἐν τῷ ἀέρι καὶ θέλοντας αὐτὸν κωλύειν, ὥστε μὴ διαβῆναι. Τῶν δὲ ὁδηγούντων αὐτὸν ἀντιμαχομένων, ἀπῄτουν ἐκεῖνοι λόγον, εἰ μὴ ὑπεύθυνος αὐτοῖς εἴη. Θελόντων τοίνυν συνάραι λόγον ἀπὸ τῆς γεννήσεως, ἐκώλυον οἱ τὸν Ἀντώνιον ὁδηγοῦντες, λέγοντες ἐκείνοις· τὰ μὲν (ἀπὸ) τῆς γεννήσεως, ὁ Κύριος ἀπήλειψεν· ἐξ οὗ δὲ γέγονε Μοναχός, καὶ ἐπηγγείλατο τῷ Θεῷ, ἔξεστι λόγον ποιῆσαι. Τότε κατηγορούντων καὶ μὴ ἐλεγχόντων, ἐλευθέρα γέγονεν αὐτῷ καὶ ἀκώλυτος ἡ ὁδός· καὶ εὐθὺς εἶδεν ἑαυτὸν ὥσπερ ἐρχόμενον καὶ πρὸς ἑαυτὸν ἑστῶτα· καὶ πάλιν ἦν ὅλος Ἀντώνιος. Τότε τοῦ μὲν φαγεῖν αὐτὸς ἐπιλαθόμενος, ἔμεινε τὸ λοιπὸν τῆς ἡμέρας καὶ δι᾽ ὅλης τῆς νυκτὸς στενάζων καὶ εὐχόμενος· ἐθαύμαζε γὰρ λογιζόμενος πρὸς πόσους ἡμῖν ἐστιν ἡ πάλη καὶ διὰ πόσων πόνων ἔχει τις διαβῆναι τὸν ἀέρα· καὶ ἐμνημόνευεν ὅτι τοῦτό ἐστιν ὃ ἔλεγεν ὁ Ἀπόστολος Παῦλος· «κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος»· ἐν τούτῳ γὰρ ἔχει ὁ ἐχθρὸς τὴν ἐξουσίαν, ἐν τῷ μάχεσθαι καὶ πειράζειν διακωλύειν τοὺς διερχομένους· διὸ καὶ μάλιστα παρῄνει· ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, ἵνα μηδὲν ἔχων λέγειν φαῦλον περὶ ἡμῶν ὁ ἐχθρὸς καταισχυνθῇ.

2. Μετὰ ταῦτα διαλέξεως αὐτῷ ποτε γενομένης πρός τινας εἰσελθόντας πρὸς αὐτὸν περὶ τῆς διαγωγῆς τῆς ψυχῆς καὶ ποῖος μετὰ ταῦτα τόπος αὐτῆς ἐστι,

τῇ ἑξῆς νυκτὶ καλεῖ τις αὐτὸν ἄνωθεν λέγων· Ἀντώνιε, ἀναστὰς ἔξελθε καὶ βλέπε. Ἐξελθὼν τοίνυν (ᾔδει γὰρ τίσιν ὀφείλει ἐπακούειν) καὶ ἀναβλέψας, εἶδέ τινα μακρὸν καὶ ἀειδῆ καὶ φοβερὸν ἑστῶτα καὶ φθάνοντα μέχρι τῶν νεφελῶν, ἀναβαίνοντάς τέ τινας ὥς περ ἐπτερωμένους, κἀκεῖνον ἐκτείνοντα τὰς χεῖρας καὶ τοὺς μὲν κωλυομένους παρ' αὐτοῦ, τοὺς δὲ ὑπεριπταμένους καὶ διελθόντας, λοιπὸν ἀμερίμνως ἄγεσθαι. Ἐπὶ μὲν οὖν τοῖς τοιούτοις ἔτριζε τοὺς ὀδόντας ὁ μακρὸς ἐκεῖνος, ἐπὶ δὲ τοῖς ἀποπίπτουσιν ἔχαιρε· καὶ εὐθὺς πρὸς τὸν Ἀντώνιον γέγονε φωνή· ν ό ε ι τ ὸ β λ ε π ό μ ε ν ο ν· καὶ διανοιχθείσης αὐτοῦ τῆς διανοίας, ἐνόει τῶν ψυχῶν εἶναι τὴν πάροδον καὶ τὸν ἑστῶτα μακρὸν εἶναι τὸν διάβολον, τὸν φθονοῦντα τοῖς πιστοῖς· καὶ τοὺς μὲν ὑπευθύνους αὐτοῦ κρατοῦντα καὶ κωλύοντα διελθεῖν, τοὺς δὲ μὴ πεισθέντας αὐτῷ μὴ δυνάμενον κρατεῖν, ἀλλ' ὑπεραναβαίνοντας. Τοῦτο πάλιν ἑωρακὼς καὶ ὥς περ ὑπομιμνησκόμενος, μᾶλλον ἠγωνίζετο προκόπτειν τοῖς ἔμπροσθεν καθημέραν.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ ὁ Μέγας Ἀντώνιος ἡτοιμάζετο νὰ φάγῃ, κατὰ τὴν κανονισμένην ὥραν· συμφώνως λοιπὸν πρὸς τὴν συνήθειαν ἐσηκώθη διὰ νὰ προσευχηθῇ· ἦτο δὲ τότε ἡ ἐνάτη ὥρα. Ἐκείνην ὅμως ἀκριβῶς τὴν στιγμὴν ᾐσθάνθη τὸν ἑαυτόν του νὰ ἔχῃ ἁρπαγῇ νοερῶς. Τὸ δὲ παράδοξον ὑπῆρξε τοῦτο· καθὼς ἐστέκετο, ἔβλεπε τὸν ἑαυτόν του, ὡς νὰ εἶχεν ἐξέλθει τοῦ σώματος καὶ νὰ ὡδηγεῖτο ἡ ψυχή του ἀπὸ μερικοὺς εἰς τὸν ἀέρα. Ἔπειτα βλέπει μερικοὺς ἀσχημοπροσώπους καὶ φοβεροὺς νὰ στέκουν ἔμπροσθέν του εἰς τὸν ἀέρα καὶ νὰ θέλουν νὰ τὸν ἐμποδίσουν, διὰ νὰ μὴ περάσῃ.

Οἱ ὁδηγοὶ τῆς ψυχῆς του τότε ἤρχισαν νὰ φιλονεικοῦν μὲ τοὺς φοβεροὺς ἐκείνους, οἱ ὁποῖοι ἐζήτουν λογαριασμόν, μήπως ἡ ψυχή, ποὺ συνώδευον, ἦτο ὑπεύθυνος ἀπέναντί των διὰ κάποιο χρέος. Ἐπειδὴ λοιπὸν οἱ τελευταῖοι ἤθελον νὰ ἀρχίσουν τὸν ἔλεγχον ἀπὸ τῆς γεννήσεως τοῦ Ἀντωνίου, οἱ συνοδεύοντες τὸν Ἀντώνιον τοὺς ἠμπόδιζον λέγοντες. Ὅσα σφάλματα διέπραξεν ὁ Ἀντώνιος ἀπὸ τῆς γεννήσεως, τὰ διέγραψεν ὁ Κύριος· ἀπὸ τότε ὅμως ποὺ ἔγινεν Μοναχὸς καὶ ἀφιέρωσε τὸν ἑαυτόν του εἰς τὸν Θεόν, ἐπιτρέπεται νὰ ἐξετάσωμεν τὰ ἔργα του.

Ἐπειδὴ δὲ οἱ δαίμονες κατηγόρουν τὸν Ἀντώνιον ἀλλὰ δὲν ἠμποροῦσαν νὰ ἀποδείξουν τὰς κατηγορίας των, ὁ δρόμος ἔμεινεν ἐλεύθερος ἀπὸ ἐμπόδια· καὶ ἀμέσως εἶδε τὸν ἑαυτόν του νὰ ἐπιστρέφῃ πρὸς τὸ σῶμα καὶ νὰ συνέρχεται· καὶ ἔγινε πάλιν ὁ Ἀντώνιος ὅπως ἦτο πρίν.

Τόση ὅμως ἦτο ἡ ταραχή του, ὥστε ἐλησμόνησε νὰ φάγῃ καὶ παρέμεινε τὴν ὑπόλοιπον ἡμέραν καὶ ὁλόκληρον τὴν νύκτα ἀναστενάζων καὶ προσευχόμενος.

Κατεπλήσσετο, διότι ἐσκέπτετο μὲ πόσους πειρασμοὺς ἔχομεν νὰ παλαίσωμεν καὶ μὲ πόσους κόπους πρέπει κανεὶς νὰ περάσῃ τὰ ἐναέρια δαιμόνια. Καὶ ἔλεγεν ὅτι αὐτὸ τὸ νόημα ἔχει τὸ ρητὸν τοῦ Ἀποστόλου

Παύλου. «κατὰ τὸν ἄρχοντα ποὺ ἐξουσιάζει εἰς τὸν ἀέρα» (Ἐφεσ. β´, 2).

Διότι αὐτὴν μόνον τὴν ἐξουσίαν ἔχει ὁ ἐχθρὸς τῆς ψυχῆς ἡμῶν, νὰ πολεμᾶ δηλαδή, καὶ νὰ προσπαθῇ νὰ ἐμποδίζῃ τὰς ἀνερχομένας πρὸς τὸν οὐρανὸν ψυχάς. Ὡς ἐκ τούτου συνεβούλευε μετὰ περισσοτέρας ἐπιμονῆς λέγων· φορέσατε τὴν πανοπλίαν τοῦ Θεοῦ, ὥστε νὰ ἠμπορέσετε νὰ ἀντισταθῆτε πρὸς τὸν διάβολον κατὰ τὴν πονηρὰν ἡμέραν καὶ νὰ ἐξευτελισθῇ ὁ ἐχθρός, ἐπειδὴ δὲν θὰ ἔχῃ νὰ εἴπῃ διὰ σᾶς τίποτε αἰσχρὸν (Ἐφεσ. στ´, 13).

2. Μετὰ τὴν ὀπτασίαν αὐτήν, τὸν ἐπεσκέφθησαν κάποτε μερικοὶ ἄνθρωποι καὶ ἤρχισαν νὰ συζητοῦν μαζί του περὶ τῆς ψυχῆς καὶ ποῖος, μετὰ τὴν ἔξοδόν της ἐκ τοῦ σώματος, εἶναι ὁ τόπος ποὺ μεταβαίνει. Τὴν ἑπομένην ἀκριβῶς νύκτα ἤκουσε νὰ τὸν καλῇ μία φωνὴ λέγουσα·

—Ἀντώνιε, σήκω, ἔξελθε ἀπὸ τὸ κελλίον σου καὶ βλέπε.

Πράγματι λοιπὸν ὁ Μέγας Ἀντώνιος ἐξῆλθε (διότι ἐγνώριζεν εἰς ποίας φωνὰς ἔπρεπε νὰ ὑπακούῃ) καὶ ἀφοῦ ὕψωσε τὸ βλέμμα του πρὸς τὸν οὐρανὸν εἶδε τὸ ἑξῆς ὅραμα.

Κάποιος πανύψηλος καὶ φοβερός, ἀπαίσιος εἰς τὴν μορφήν, ἐστέκετο ὄρθιος· τὸ ὕψος του ἔφθανεν ἕως τὰ σύννεφα, ἐνῷ πολλοὶ ἐπετοῦσαν ἔμπροσθέν του, ὡς ἐὰν εἶχον πτερά· τότε ἐκεῖνος ὁ φοβερὸς ἥπλωνε τὰς χεῖρας του καὶ ἄλλους μὲν ἠμπόδιζε νὰ πετοῦν, ἐνῷ ἄλλοι κατώρθωναν νὰ τὸν προσπερνοῦν καὶ νὰ πετοῦν ὑψηλότερα καὶ νὰ συνεχίζουν τὸν δρόμον των χωρὶς ἐμπόδια.

Δι' αὐτούς, ποὺ ἐξέφευγον, ὁ πανύψηλος ἐκεῖνος δαίμων ἔτριζε τοὺς ὀδόντας· ἀντιθέτως ἔχαιρε δι' ὅσους ἠμποδίζοντο ἀπὸ αὐτὸν νὰ ἀνέλθουν καὶ ἔπιπτον.

Ἀμέσως τότε ἠκούσθη μία φωνή:

—Ἀντώνιε, προσπάθησε νὰ ἐννοήσῃς καλὰ αὐτὸ ποὺ βλέπεις. Καὶ ἀμέσως ἐκαθάρισεν ἡ διάνοιά του καὶ ἀντελήφθη ὅτι αὐτὸ ποὺ ἔβλεπε, ἦτο τὸ πέρασμα τῶν ψυχῶν πρὸς τὸν οὐρανὸν καὶ ὅτι ὁ πανύψηλος καὶ φοβερὸς ἀγριάνθρωπος, ποὺ ἐστέκετο ὄρθιος, ἦτο ὁ διάβολος, ὁ ὁποῖος φθονεῖ τοὺς πιστούς. Ὅσοι ἀπὸ αὐτοὺς εἶναι ὑπεύθυνοι δι' ἁμαρτίας, τοὺς κρατεῖ καὶ τοὺς ἐμποδίζει νὰ περάσουν· ὅσοι ὅμως δὲν ἐδέχθησαν τὰς συμβουλάς του, δὲν ἠμπορεῖ νὰ τοὺς κρατήσῃ καὶ δι' αὐτὸ οἱ τοιοῦτοι κατορθώνουν νὰ ἀναβοῦν ὑψηλότερα ἀπὸ αὐτὸν καὶ νὰ πορευθοῦν πρὸς τὸν οὐρανόν. Ὅταν ὁ Μέγας Ἀντώνιος εἶδε τὸ ὅραμα αὐτό, ἐνεθυμήθη καὶ τὸ προηγούμενον καὶ ἠγωνίζετο καθημερινῶς νὰ προκόπτῃ εἰς τὸν ἐνάρετον βίον.

Β´. Ἐν τῷ Γεροντικῷ

ΠΟΤΕ δύο ἀδελφοὶ συνεφώνησαν καὶ ἐγένοντο Μοναχοί· καὶ ὡς κατώρθωσαν, ἔδοξεν αὐτοῖς οἰκοδομῆσαι δύο κελλία ἀπὸ διαστήματος· καὶ ἕκαστος αὐτῶν

ἀνεχώρησε καθ' ἑαυτὸν ἡσυχίας χάριν· καὶ ἐπὶ πολλὰ ἔτη οὐκ εἶδον ἀλλήλους, διὰ τὸ μὴ ἐκβαίνειν ἕκαστον ἐκ τοῦ κελλίου αὐτοῦ. Συνέβη δὲ τὸν ἕνα αὐτῶν ἀσθενῆσαι· καὶ ἦλθον οἱ πατέρες ἐπισκέψασθαι αὐτόν· καὶ εἶδον αὐτόν, ὅτι ποτὲ μὲν οἷον ἐξίστατο, ποτὲ δὲ ἀνένηπτε· καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· τί ἑώρακας; ὁ δὲ εἶπεν· Ἀγγέλους τοῦ Θεοῦ εἶδον ἐλθόντας, οἳ ἔλαβόν με, καὶ τὸν ἀδελφόν μου, καὶ ἀπήγαγον ἡμᾶς εἰς τὸν οὐρανόν· καὶ ἀπήντησαν ἡμῖν αἱ ἀντικείμεναι δυνάμεις, ἄπειροι τῷ πλήθει καὶ φοβεραὶ τῷ εἴδει· καὶ πολλὰ καμοῦσαι, οὐκ ἴσχυσαν καθ' ἡμῶν· καὶ ἐγένετο ὡς παρήλθομεν αὐτάς, ἤρξαντο λέγειν· μ ε γ ά λ η π α ρ ρ η σ ί α ἡ ἁ γ ν ε ί α· καὶ ταῦτα εἰπὼν ὁ ἀδελφὸς ἐκοιμήθη· ἰδόντες δὲ οἱ πατέρες ἀπέστειλαν ἀδελφὸν δηλῶσαι τῷ ἀδελφῷ αὐτοῦ ὅτι ἐκοιμήθη· καὶ ἀπελθὼν εὗρε καὶ αὐτὸν κοιμηθέντα· καὶ ἐθαύμασαν δοξάζοντες τὸν Θεόν.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ δύο ἀδελφοὶ συνεφώνησαν καὶ ἔγιναν καὶ οἱ δύο Μοναχοί. Μετὰ τὴν χειροτονίαν των ἔκριναν καλὸν νὰ κτίσουν δύο κελλία, τὸ ἕνα μακριὰ ἀπὸ τὸ ἄλλο. Καθένας λοιπὸν ἀνεχώρησε καὶ ἐκλείσθη μόνος του εἰς τὸ κελλίον χάριν ἡσυχίας. Ἐπέρασαν ἀρκετὰ χρόνια καὶ δὲν εἶδεν ὁ ἕνας τὸν ἄλλον, διότι κανεὶς ἀπὸ τοὺς δύο δὲν ἔβγαινεν ἀπὸ τὸ κελλίον του.

Κάποτε ὅμως ἠσθένησεν ὁ ἕνας καὶ τὸν ἐπεσκέφθησαν οἱ Πατέρες. Καὶ εἶδον, ὅτι ὁ Μοναχὸς ἐκεῖνος ἄλλοτε μὲν περιέπιπτεν εἰς ἔκστασιν, καὶ ἄλλοτε πάλιν συνήρχετο. Τότε μὲ κάποιαν περιέργειαν τὸν ἠρώτησαν· Τί εἶδες, Πάτερ; Τοὺς Ἀγγέλους τοῦ Θεοῦ — ἀπήντησεν ὁ ἀσθενὴς Μοναχὸς — ὅτι ἦλθον καὶ παρέλαβον ἐμένα καὶ τὸν ἀδελφόν μου καὶ μᾶς ὡδήγουν πρὸς τὸν οὐρανόν. Καθὼς δὲ ἀνηρχόμεθα, μᾶς συνήντησαν αἱ ἐχθρικαὶ δυνάμεις, ἀναρίθμητοι κατὰ τὸ πλῆθος καὶ τρομεραὶ κατὰ τὴν μορφήν. Μολονότι δὲ ἐκοπίασαν πάρα πολύ, ἐν τούτοις τίποτε δὲν ἠμπόρεσαν νὰ ἐπιτύχουν ἐναντίον μας. Μόλις δὲ ἐπροσπεράσαμεν τὰς δυνάμεις αὐτὰς τοῦ Σατανᾶ, ἤρχισε νὰ λέγῃ· Μεγάλην παρρησίαν δίδει εἰς τὴν ψυχὴν ἡ ἁγνεία.

Μόλις εἶπεν αὐτοὺς τοὺς λόγους ὁ Μοναχὸς ἐκοιμήθη. Ὅταν οἱ παρευρισκόμενοι Πατέρες διεπίστωσαν τὸν θάνατον, ἀπέστειλαν ἕνα Μοναχὸν νὰ ἀναγγείλῃ τοῦτο εἰς τὸν ἀδελφόν του. Ὁ Μοναχὸς ἐκεῖνος εὗρε καὶ τὸν ἀδελφὸν ἀποθαμένον. Τότε οἱ Πατέρες ἐθαύμασαν καὶ ἐδόξασαν τὸν Θεόν.

Γ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΓΑΠΗΤΕ ΑΔΕΛΦΕ· οἱ ποιοῦντες τὰ ἔργα τοῦ κόσμου τούτου τοῦ ἀπολλυμένου, εἰ προκόψουσιν ἐν αὐτοῖς ἢ κερδήσουσιν, οὐ λογίζονται τοὺς κόπους οὓς ὑπέμειναν, ἀλλὰ χαίρουσι διὰ τὴν προκοπήν, ἣν ἔσχον ὕστερον. Πόσην οὖν χαρὰν νομίζεις ἐγγίνεσθαι τῇ ψυχῇ τοῦ ἀρξαμένου κατὰ Θεόν, καὶ τελειώσαντος αὐτοῦ τὸ ἔργον; καὶ γὰρ ἐν τῇ ἐξόδῳ αὐτοῦ, τὰ οἰκεῖα ἔργα προάξει αὐτοῦ· καὶ χαρήσον-

ται μετ' αὐτοῦ οἱ Ἄγγελοι, ὅταν ἴδωσιν αὐτὸν ἀπαλλαγέντα τῶν ἐξουσιῶν τοῦ σκότους. Ὅταν γὰρ ἐξέλθῃ ἡ ψυχὴ ἀπὸ τοῦ σώματος, πορεύονται μετ' αὐτῆς οἱ Ἄγγελοι· καὶ τότε ἐξέρχονται εἰς συνάντησιν αὐτῆς πᾶσαι αἱ δυνάμεις τοῦ σκότους, θέλουσαι αὐτὴν κατασχεῖν, ἐξερευνῶσαι εἰ ἄρα ἔχουσί τι τῶν ἑαυτῶν ἐν αὐτῇ· τότε οὐχ οἱ Ἄγγελοι πολεμοῦσι μετ' αὐτῶν, ἀλλὰ τὰ ἔργα ἃ ἔπραξε περιτειχίζει καὶ φυλάττει αὐτὴν ἀπ' αὐτῶν, ἵνα μὴ ἅψωνται αὐτῆς· καὶ ἐὰν νικήσῃ τὰ ἔργα αὐτῆς, ᾄδουσι πρὸ αὐτῆς οἱ Ἄγγελοι, ἕως οὗ ἀπαντήσῃ τῷ Θεῷ ἐν εὐφροσύνῃ. Ἐν τῇ ὥρᾳ ἐκείνῃ ἐπιλανθάνεται παντὸς ἔργου τοῦ κόσμου τούτου καὶ παντὸς κόπου αὐτῆς.

Μακάριος οὖν ἐστιν, ἐν ᾧ οὐχ εὑρεθήσεταί τι τῶν ἀρχόντων τοῦ σκότους· ὅτι ἡ χαρὰ αὐτοῦ καὶ ἡ τιμὴ καὶ ἡ ἀνάπαυσις ὑπὲρ μέτρον ἐστί· ποιήσωμεν οὖν τὴν δύναμιν ἡμῶν ἐν δάκρυσιν ἐνώπιον τοῦ Θεοῦ, ἴσως ἐλεήσῃ ἡμᾶς ἡ ἀγαθότης αὐτοῦ καὶ ἐξαποστείλῃ ἡμῖν βοήθειαν, δι' ἧς πρᾶξαι δυνησόμεθα τὰ καταπαλαίοντα τοὺς ἄρχοντας τῆς πονηρίας τοὺς πρὸ ἡμῶν ἀπαντῶντας. Φροντίσωμεν τοίνυν ἐν στρυφνότητι καρδίας καὶ κτησώμεθα ἑαυτοῖς ἐπιθυμίαν εἰς Θεὸν ἐν ἁπλότητι, ἥτις σώσει ἡμᾶς ἀπὸ τῶν χειρῶν τῆς πονηρίας, ὅταν ἐξέλθῃ ἐκεῖ εἰς συνάντησιν ἡμῶν. Ἀγαπήσωμεν τὸ ἀγαπᾶν τοὺς πτωχούς, ἵνα σώσῃ ἡμᾶς ἀπὸ τῆς φιλαργυρίας, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Ἀγαπήσωμεν τὸ εἰρηνεύειν μετὰ πάντων μικρῶν τε καὶ μεγάλων, ὅτι φυλάξει ἡμᾶς ἀπὸ τοῦ μίσους, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Κτησώμεθα τὴν μακροθυμίαν ἐν πᾶσιν, ἥτις φυλάξει ἡμᾶς ἀπὸ τῆς ὀλιγωρίας, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν.

Ἀγαπήσωμεν πάντας τοὺς ἀδελφοὺς ἡμῶν, μηδένα μισοῦντες ἢ ἀνταποδιδόντες τινὶ κακόν, ὃ φυλάξει ἡμᾶς ἀπὸ τοῦ ζήλου, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Ἀγαπήσωμεν τὴν ταπεινοφροσύνην ἐν ἅπασι βαστάζοντες τὸν λόγον τοῦ πλησίον, κἂν πλήξῃ ἡμᾶς ἢ ὀνειδίσῃ, ἥτις φυλάξει ἡμᾶς ἀπὸ τῆς ὑπερηφανείας, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Ἐκζητήσωμεν τὴν τιμὴν τοῦ πλησίον, μηδένα ψέγοντες ἢ ἐξουθενοῦντες, ἥτις φυλάξει ἡμᾶς ἀπὸ τῆς καταλαλιᾶς, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Παρίδωμεν τὴν χρείαν τοῦ κόσμου, καὶ τὴν τιμὴν αὐτοῦ, ἵνα σωθῶμεν ἀπὸ τῆς βασκανίας, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Διδάξωμεν τὴν γλῶσσαν τὴν μελέτην τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην καὶ τὴν εὐχήν, ἵνα φυλάξῃ ἡμᾶς ἀπὸ τοῦ ψεύδους, ὅταν ἐξέλθῃ εἰς συνάντησιν ἡμῶν. Ταῦτα γὰρ πάντα κατέχει τὴν ψυχὴν ὅταν ἐξέλθῃ ἀπὸ τοῦ σώματος, αἱ ἀρεταὶ δὲ βοηθοῦσιν αὐτῇ, ἐὰν ἐκτήσατο αὐτάς. Ποῖος οὖν σοφὸς θέλει δοῦναι τὴν ψυχὴν αὐτοῦ εἰς θάνατον, ἵνα ρυσθῇ ἀπὸ τούτων πάντων; ποιήσωμεν οὖν τὴν δύναμιν ἡμῶν, καὶ ἡ δύναμις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεγάλη ἐστίν, εἰς τὸ βοηθῆσαι τῇ ταπεινώσει ἡμῶν· οἶδε γὰρ ὅτι ὁ ἄνθρωπος ταλαίπωρός ἐστι, καὶ ἔδωκεν αὐτῷ μετάνοιαν ἕως ἐστὶν ἐν τῷ σώματι μέχρις ἐσχάτης ἀναπνοῆς.

Ἑρμηνεία

ΑΓΑΠΗΤΕ ΜΟΥ ἀδελφέ· ὅσοι ἀσχολοῦνται μὲ ὑποθέσεις το προσωρινοῦ καὶ ματαίου αὐτοῦ κόσμου, ἐὰν προοδεύσουν ἢ κερδήσουν, δὲν ὑπολογίζουν, μετὰ ταῦτα, τοὺς κόπους τοὺς ὁποίους ὑπέμειναν, ἀλλὰ χαίρουν διὰ τὴν πρόοδον τὴν ὁποίαν ἀπέκτησαν. Ὑπολογίζεις λοιπὸν τώ-

ρα, ἀδελφέ μου, ποίαν χαρὰν δοκιμάζει ἡ ψυχὴ τοῦ ἀνθρώπου, ποὺ ἤρχισε τὸ κατὰ Θεὸν πνευματικόν του ἔργον καὶ τὸ ὡλοκλήρωσεν ἐπιτυχῶς; Ἑπόμενον εἶναι νὰ αἰσθάνεται ἡ ψυχὴ ἀπέραντον χαράν, διότι κατὰ τὴν στιγμὴν τῆς ἐξόδου της ἀπὸ τὸ σῶμα, τὰ καλὰ ἔργα, ποὺ ἐξετέλεσε, θὰ προπορεύωνται αὐτῆς ὅταν θὰ ἀνέρχεται πρὸς τὸν οὐρανόν· τότε καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ θὰ χαροῦν μαζί της, ὅταν θὰ τὴν ἴδουν νὰ ἀπαλλάσσεται ἀπὸ τὰς δυνάμεις τοῦ σκότους.

Συμβαίνει δὲ αὐτό, διότι ὅταν ἡ ψυχὴ τοῦ ἀνθρώπου ἐξέλθῃ ἀπὸ τὸ σῶμα, πορεύονται μαζί της οἱ Ἄγγελοι· τότε ὅμως καὶ ὅλαι αἱ δυνάμεις τοῦ σκότους σπεύδουν νὰ τὴν συναντήσουν, ἐπιδιώκουσαι νὰ τὴν κρατήσουν καὶ δι' αὐτὸ ἐξετάζουν μετὰ προσοχῆς μὴ τυχὸν ἡ ψυχὴ ἔχει διαπράξει κάποιο ἀπὸ τὰ ἰδικά των ἔργα. Τότε δὲν πολεμοῦν οἱ Ἄγγελοι πρὸς τοὺς δαίμονας διὰ νὰ προστατεύσουν τὴν ψυχήν, ἀλλὰ τὰ ἔργα, ποὺ διέπραξε τὴν περιτριγυρίζουν καὶ τὴν περιφρουροῦν, διὰ νὰ μὴ τὴν ἐγγίσουν οἱ δαίμονες· ἐὰν δὲ τὰ ἔργα, ποὺ διέπραξε, νικήσουν τοὺς δαίμονας, τότε οἱ Ἅγιοι Ἄγγελοι ψάλλουν πρὸ αὐτῆς, μέχρις ὅτου ἡ ψυχὴ συναντήσῃ μὲ χαρὰν καὶ εὐφροσύνην τὸν Θεόν. Κατ' ἐκείνην τὴν ὥραν λησμονεῖ πλέον ἡ ψυχὴ ὅλα τὰ ἔργα τοῦ ματαίου αὐτοῦ κόσμου, ὅπως καὶ ὅλους τοὺς κόπους, ποὺ κατέβαλεν.

Εἶναι λοιπὸν μακάριος ἐκεῖνος, ἐναντίον τοῦ ὁποίου δὲν θὰ εὕρουν τίποτε οἱ ἄρχοντες τοῦ σκότους. Ἡ χαρά, ἡ τιμὴ καὶ ἡ ἀνάπαυσις εὑρίσκονται ὑπεράνω παντὸς μέτρου. Ἄς κλαύσωμεν λοιπὸν μὲ ὅλην τὴν δύναμιν τῆς ψυχῆς μας ἐνώπιον τοῦ Θεοῦ, ἴσως μᾶς ἐλεήσῃ ἡ ἀγαθότης του καὶ μᾶς ἀποστείλῃ τὴν ἐξ ὕψους βοήθειαν, μὲ τὴν ὁποίαν θὰ ἠμπορέσωμεν νὰ πράξωμεν ὅλα, ὅσα κατανικοῦν τοὺς ἄρχοντας τῆς πονηρίας, ποὺ μᾶς ἐμποδίζουν εἰς τὸν δρόμον μας. Ἄς φροντίσωμεν λοιπὸν μὲ αὐστηρότητα καρδίας νὰ ἀποκτήσωμεν τὴν πρὸς τὸν Θεὸν ἐπιθυμίαν, χωρὶς πολυπραγμοσύνην, ἡ ὁποία θὰ μᾶς σώσῃ ἀπὸ τὰ χέρια τῶν πονηρῶν δαιμόνων, ὅταν θὰ ἐξέλθουν ἐκεῖ ἐπάνω διὰ νὰ μᾶς συναντήσουν.

Ἄς ἐπιθυμήσωμεν τὴν ἀγάπην πρὸς τοὺς πτωχούς, διὰ νὰ μᾶς σώσῃ ἡ ἀγάπη αὐτὴ ἀπὸ τὴν φιλαργυρίαν, ὅταν θὰ ἐξέλθῃ ἐκεῖ διὰ νὰ μᾶς συναντήσῃ.

Ἄς ἀγαπήσωμεν τὴν εἰρήνην μὲ ὅλους, μικροὺς καὶ μεγάλους, διότι αὐτὴ θὰ μᾶς φυλάξῃ ἀπὸ τὸ μῖσος, ὅταν θὰ ἐξέλθῃ διὰ νὰ μᾶς συναντήσῃ.

Ἄς ἀποκτήσωμεν δι' ὅλους καὶ δι' ὅλα μακροθυμίαν, ἡ ὁποία θὰ μᾶς προφυλάξῃ ἀπὸ τὴν ἀμέλειαν, ὅταν θὰ ἐξέλθῃ διὰ νὰ μᾶς συναντήσῃ.

Ἄς ἀγαπήσωμεν ὅλους τοὺς ἀδελφούς μας, χωρὶς νὰ μισήσωμεν κανένα ἢ νὰ τοῦ ἀνταποδώσωμεν τὸ κακὸν ποὺ μᾶς ἔκαμε· διότι αὐτὸ θὰ μᾶς φυλάξῃ ἀπὸ τὴν ζηλοφθονίαν, ὅταν, καὶ αὐτή, θὰ ἐξέλθῃ διὰ νὰ μᾶς συναντήσῃ.

Ἂς ἀγαπήσωμεν τὴν ταπεινοφροσύνην ὑπομένοντες, εἰς ὅλας τὰς περιπτώσεις, τὸν λόγον τοῦ πλησίον, ἔστω καὶ ἐὰν ὁ λόγος αὐτὸς μᾶς προσβάλῃ ἢ μᾶς εἰρωνευθῇ· ἡ ταπεινοφροσύνη θὰ μᾶς προφυλάξῃ ἀπὸ τὴν ὑπερηφάνειαν, ὅταν θὰ ἐξέλθῃ καὶ αὐτὴ διὰ νὰ μᾶς συναντήσῃ.

Ἂς ἐπιζητήσωμεν τὴν τιμὴν τοῦ πλησίον μας καὶ νὰ μὴ κατηγορῶμεν ἢ νὰ προσβάλωμεν κανένα· αὐτὸ θὰ μᾶς προστατεύσῃ ἀπὸ τὴν καταλαλιάν, ὅταν θὰ ἐξέλθῃ διὰ νὰ μᾶς συναντήσῃ.

Ἂς περιφρονήσωμεν τὴν μέριμναν τοῦ κόσμου, καὶ τὴν ἐκτίμησίν του, διὰ νὰ σωθῶμεν ἀπὸ τὴν βασκανίαν, ὅταν θὰ ἐξέλθῃ διὰ νὰ μᾶς συναντήσῃ.

Ἂς διδάξωμεν τὴν γλῶσσαν μας νὰ μελετᾷ ἀδιαλείπτως τὰς ἐντολὰς τοῦ Θεοῦ, τὴν δικαιοσύνην καὶ τὴν προσευχήν, διὰ νὰ μᾶς προφυλάξουν ἀπὸ τὸ ψεῦδος, ὅταν θὰ ἐξέλθῃ καὶ αὐτὸ διὰ νὰ μᾶς συναντήσῃ.

Ὅλα αὐτὰ ἐμποδίζουν τὴν ψυχήν, αἱ δὲ ἀρεταί, ἐφ' ὅσον τὰς ἀπέκτησε, τὴν βοηθοῦν νὰ τὰ ἀντιμετωπίσῃ ἐπιτυχῶς. Ποῖος λοιπὸν φρόνιμος ἄνθρωπος θέλει νὰ παραδώσῃ τὴν ψυχήν του εἰς τὸν αἰώνιον θάνατον, διὰ νὰ ἀπαλλαγῇ ἀπὸ τοὺς κόπους τῶν ἀρετῶν αὐτῶν;

Ἂς πράξωμεν λοιπὸν ὅ,τι μᾶς ἐπιτρέπουν αἱ δυνάμεις μας, καὶ ἡ δύναμις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἶναι μεγάλη, διὰ νὰ βοηθήσῃ τὴν ταπείνωσίν μας· διότι γνωρίζει ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὅτι ὁ ἄνθρωπος εἶναι ταλαίπωρος καὶ δι' αὐτὸ παρεχώρησεν εἰς αὐτὸν τὴν μετάνοιαν, ἕως ὅτου ἡ ψυχὴ ὑπάρχει εἰς τὸ φθαρτὸν αὐτὸ σῶμα, διὰ νὰ δύναται, μέχρι τῆς τελευταίας του ἀναπνοῆς, νὰ διορθώνεται καὶ νὰ ἀποφεύγῃ ἀπὸ τὴν ἁμαρτίαν.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΕΝ ὁ μακάριος Θεόφιλος ὁ Ἀρχιεπίσκοπος· ἀδελφοί, οἷον φόβον καὶ τρόμον καὶ ἀνάγκην ὑφίσταται ἡ ψυχή, ὅτε χωρίζεται ἐκ τοῦ σώματος ἢ μετὰ τὸ χωρισθῆναι· παραγίνονται γὰρ πρὸς αὐτὴν πᾶσαι αἱ ἀρχαὶ καὶ δυνάμεις τοῦ σκότους καὶ ἐπιφέρουσιν αὐτῇ πάντα τὰ ἐν γνώσει καὶ ἀγνοίᾳ ἁμαρτήματα τὰ ἀπὸ γενέσεως μέχρι τῆς τελευταίας ὥρας αὐτῆς, ἐν ᾗ διεζεύχθη τοῦ σώματος καὶ ἵστανται κατηγοροῦσαι σφοδρῶς. Ἵστανται δὲ καὶ αἱ ἅγιαι δυνάμεις κατὰ πρόσωπον τῶν ἐναντίων, ἀνθυποφέρουσαι εἴ τινα ἀγαθὰ ἔργα εἰργάσατο ἡ ψυχή· ταύτην δὲ ποῖον τρόμον καὶ ἀγωνίαν τότε ἔχειν δοκεῖς ἐν τοιαύτῃ φοβερᾷ ἐξετάσει καὶ ἀπαραλογίστῳ λογοθεσίῳ μέσον ἀπειλημμένην; οὐκ ἔστι λόγῳ ἐκδιηγήσασθαι ἢ διανοίᾳ· καταλαβεῖν τὸν φόβον ἐκεῖνον τὸν τὴν ψυχὴν τότε συνέχοντα, ἕως οὗ ἡ ἀπόφασις ἐξέλθοι καὶ ἐλευθερωθῇ ἀπὸ τῶν κωλυόντων αὐτήν. Ἐκείνη ἐστὶν ἡ ὥρα τῆς ἀνάγκης αὐτῆς, ἕως ἡ κρίσις αὐτῆς ἀπόφασιν λάβῃ παρὰ τοῦ δικαίου κριτοῦ.

Εἰ μὲν οὖν δοθῇ αὐτῇ ἐλευθερίᾳ, εὐθὺς οἱ ἀντικείμενοι λαμβάνουσιν αἰσχύνην καὶ αὐτὴ ἁρπάζεται ἀπ' αὐτῶν καὶ ἀνεμποδίστως ἀπάγεται εἰς τὴν ἀνεκλάλητον χαρὰν ἐκείνην καὶ δόξαν, εἰς ἣν καταστήσεται. Εἰ δὲ ἐν ἀμελείᾳ ζήσασα εὑρεθῇ ἀναξία τῆς ἐλευθερίας, ἀκούειν τὴν φρικωδεστάτην ἐκείνην φωνήν· ἀ ρ θ ή τ ω ὁ

ἀ σ ε β ή ς, ἵ ν α μ ὴ ἴ δ ῃ τ ὴ ν δ ό ξ α ν Κ υ ρ ί ο υ. Τότε καταλαμβάνει αὐτὴν ἡμέρα ὀργῆς, ἡμέρα θλίψεως καὶ ὀδύνης ἀτελευτήτου, παραδίδοται εἰς τὸ ἐξώτερον σκότος, εἰς ᾅδην κατενεχθεῖσα καὶ τὸ αἰώνιον πῦρ κατακριθεῖσα, ἐν αὐτῷ εἰς ἀπεράντους αἰῶνας ἔσται κολαζομένη. Τότε ποῦ ἡ τοῦ κόσμου φαντασία καὶ καύχησις; ποῦ ἡ κενοδοξία καὶ ἡ τρυφὴ καὶ ἡ ἀπόλαυσις τοῦ ματαίου τούτου καὶ ἀστάτου βίου; ποῦ τὰ χρήματα; ποῦ ἡ εὐγένεια; ποῦ ὁ πατήρ, ἢ μήτηρ, ἢ ἀδελφοί, ἢ φίλοι; τίς τούτων τὴν ὑπὸ πυρὸς φλεγομένην ψυχὴν καὶ ὑπὸ ἑτέρων ἀνεκδιηγήτων τιμωριῶν δεινῶς βασανιζομένην, ἐξελέσθαι δυνήσεται;

Ἑ ρ μ η ν ε ί α

Ο ΜΑΚΑΡΙΟΣ Θεόφιλος ὁ Ἀρχιεπίσκοπος ἔλεγε· Πόσον, πράγματι, φόβον καὶ τρόμον καὶ ὁποίαν ἀνάγκην δοκιμάζει ἡ ψυχή, ὅταν ἀποχωρίζεται ἐκ τοῦ σώματος ἢ καὶ κατόπιν, ἀφοῦ πλέον ἀποχωρισθῇ! Διότι τότε καταφθάνουν ὅλαι αἱ ἀρχαὶ καὶ αἱ δυνάμεις τοῦ σκότους καὶ τῆς παρουσιάζουν ὅλα τὰ ἁμαρτήματα, ποὺ διέπραξεν, ἐν γνώσει ἢ ἐν ἀγνοίᾳ, ἀπὸ τότε ποὺ ἐγεννήθη ὁ ἄνθρωπος μέχρι τῆς τελευταίας ὥρας, ποὺ ἀπεχωρίσθη ἡ ψυχὴ ἀπὸ τὸ σῶμα· αἱ δυνάμεις αὐταὶ παραστέκουν μὲ ἀναίδειαν κοντά της καὶ τὴν κατηγοροῦν μὲ σφοδρότητα.

Ἀντιμέτωποι πρὸς τὰς ἐχθρικὰς αὐτὰς δυνάμεις τοῦ σκότους στέκουν αἱ ἅγιαι δυνάμεις, οἱ Ἄγγελοι, ἐκθέτουσαι καὶ ἀναφέρουσαι ὅσα καλὰ ἔργα ἐπετέλεσε τυχὸν ἡ ψυχή.

Πόσην λοιπὸν ἀγωνίαν καὶ τρόμον νομίζεις, ὅτι θὰ δοκιμάζῃ ἡ ψυχή, ὅταν εὑρεθῇ πρὸ μιᾶς τοιαύτης ἐξετάσεως καὶ ἀντιμετωπίζῃ ἕνα τόσον φοβερὸν καὶ ἀδέκαστον κριτήριον;

Δὲν εἶναι δυνατὸν νὰ ἐκφράσῃ κανεὶς μὲ λόγους ἢ καὶ ἀκόμη νὰ συλλάβῃ εἰς τὴν διάνοιάν του τὸν φόβον ἐκεῖνον, ποὺ κυριεύει τότε τὴν ψυχήν, μέχρις ὅτου ἐκδοθῇ ἡ ἀπόφασις τοῦ Κριτηρίου καὶ ἐλευθερωθῇ ἀπὸ αὐτοὺς ποὺ τὴν ἐμποδίζουν. Ἐκείνη ἀκριβῶς ἡ ὥρα εἶναι ἡ στιγμὴ τῆς μεγαλυτέρας δοκιμασίας τῆς ψυχῆς, ἕως ὅτου τελειώσῃ ἡ κρίσις της καὶ ἀκούσῃ τὴν ἀπόφασιν ἀπὸ τὸν Δίκαιον Κριτήν.

Ἂν λοιπόν, διὰ τῆς ἀποφάσεως τοῦ Δικαίου Κριτοῦ, δοθῇ εἰς τὴν ψυχὴν ἐλευθερία, ἀμέσως τότε καταισχύνονται οἱ ἐχθροί, οἱ φωτεινοὶ Ἄγγελοι τὴν ἁρπάζουν ἀπὸ αὐτούς, καὶ χωρὶς ἐμπόδια πλέον ὁδηγεῖται ὑπὸ τῶν Ἀγγέλων εἰς τὴν ἀνεκλάλητον ἐκείνην χαρὰν καὶ δόξαν, εἰς τὴν ὁποίαν καὶ τελικῶς θὰ ἀποκατασταθῇ.

Ἄν, ὅμως, ἔζησεν ἡ ψυχὴ μὲ ἀμέλειαν καὶ οὕτως εὑρεθῇ ἀναξία τῆς ἐλευθερίας, τότε θὰ ἀκούσῃ ἐκείνην τὴν φρικωδεστάτην φωνήν· π ά ρ ε τ ε ἀ π᾿ ἐ δ ῶ α ὐ τ ὸ ν τ ὸ ν ἀ σ ε β ῆ, δ ι ὰ ν ὰ μ ὴ ἴ δ ῃ τ ὴ ν δ ό ξ α ν Κ υ ρ ί ο υ (Ἠσ. κστ΄, 10).

Τότε ἀρχίζει πλέον διὰ τὴν ψυχὴν αὐτὴν ἡμέρα ὀργῆς, ἡμέρα θλίψεως καὶ ἀτελευτήτου ὀδύνης· παραδίδεται εἰς τὸ σκότος τὸ ἐξώτερον, κατακρημνίζεται εἰς τὸν Ἅδην καὶ καταδικάζεται εἰς τὸ αἰώνιον πῦρ,

εἰς τὸ ὁποῖον καὶ θὰ παραμείνῃ κολαζομένη εἰς τοὺς ἀπεράντους αἰῶνας.

Τότε, εἰς τί θὰ ὠφελήσουν τὴν ψυχὴν ἡ πολυτέλεια καὶ αἱ καυχησιολογίαι τοῦ κόσμου τούτου; Ποῦ εἶναι τότε ἡ κενοδοξία καὶ ἡ τρυφὴ καὶ ἡ ἀπόλαυσις αὐτῆς τῆς ματαίας καὶ ἀστάτου ζωῆς; Ποῦ εἶναι τὰ χρήματα; Τί ὠφελεῖ ἡ σπουδαιότης τῆς καταγωγῆς; Ποῦ εἶναι ὁ πατέρας, ἢ ἡ μητέρα, ἢ οἱ ἀδελφοί, ἢ οἱ φίλοι;

Ποῖος ἀπὸ ὅλους αὐτοὺς θὰ ἠμπορέσῃ νὰ ἐλευθερώσῃ τὴν δυστυχισμένην ψυχήν, ἡ ὁποία φλέγεται ἀπὸ τὸ πῦρ τῆς κολάσεως καὶ βασανίζεται ἀπὸ ἀνεκδιηγήτους τιμωρίας;





ΥΠΟΘΕΣΙΣ ΙΑ'

Ὅτι μετὰ τῶν ὁμοίων οἱ ὅμοιοι κατατάττονται μετὰ θάνατον.

Περὶ τοῦ ὅτι μετὰ θάνατον αἱ ψυχαὶ κατατάσσονται εἰς τὸ ἴδιον μέρος μὲ τὰς ψυχὰς ὅσων ἔζησαν καθ' ὅμοιον τρόπον ἐπάνω εἰς τὴν Γῆν.



Α'. Γρηγορίου τοῦ Διαλόγου



ΠΕΡΙ ΜΕΝ ΤΩΝ ΕΚΛΕΚΤΩΝ ἐν τῷ Εὐαγγελίῳ λέγει· «ἐν τῷ οἴκῳ τοῦ Πατρός μου μοναὶ πολλαὶ εἰσιν». Εἰ γὰρ πάντες οἱ δίκαιοι ἐν ἐκείνῃ τῇ αἰωνίᾳ μακαριότητι ὁμοίως τὰ τῆς ἀνταποδόσεως ἐλάμβανον, μία μονὴ εἶχεν εἶναι, ἤπερ πολλαί· πολλαὶ δέ εἰσιν, ἐν αἷς καὶ κατ' ἀξίαν οἱ ἐκλεκτοὶ διανεμηθέντες ὑπὲρ τῆς δικαιοσύνης αὐτῶν κοινοτέρως ἀγαλλιάσονται. Τὸ δὲ καὶ ἀνὰ δηνάριον πάντας λαβεῖν τοὺς ἐν ταῖς πολλαῖς μοναῖς διανεμηθέντας, δηλοῖ, ὅτι μία ἐστὶν ἡ μακαριότης, ἣν ἐκεῖσε πάντες λαμβάνουσι· παρηλλαγμένη δὲ τῆς ἀνταποδόσεως ἡ ἰσότης, ἧς δι' ἔργων διαφόρων ἐντυγχάνουσιν.

Περὶ δὲ τῶν ἁμαρτωλῶν, τὴν τῆς κρίσεως ἡμέραν δηλῶν ὁ Κύριος εἶπε· «τότε ἐρῶ τοῖς θερισταῖς· συνάξατε πρῶτον τὰ ζιζάνια καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ κατακαῦσαι». Οἱ οὖν θερισταί, οἱ Ἄγγελοι, τοὺς ὁμοίους ἁμαρτωλοὺς μετὰ τῶν ὁμοίων ζευγνύουσιν ἐν ταῖς βασάνοις, ἵνα οἱ ὑπερήφανοι μετὰ τῶν ὑπερηφάνων, οἱ πόρνοι μετὰ τῶν πόρνων, οἱ φιλάργυροι μετὰ τῶν φιλαργύρων, οἱ ψεῦσται μετὰ τῶν ψευστῶν, οἱ φθονεροὶ μετὰ τῶν φθονερῶν, οἱ ἄπιστοι μετὰ τῶν ἀπίστων κατακαῶσιν ἐν τοῖς τῶν βασάνων τόποις ὑπὸ τῶν Ἀγγέλων ῥιφέντες.

Ἑ ρ μ η ν ε ί α

ΤΟ ΙΕΡΟΝ ΕΥΑΓΓΕΛΙΟΝ λέγει περὶ τῶν ἐκλεκτῶν· «Εἰς τὸν οἶκον τοῦ Πατρός μου ὑπάρχουν πολλαὶ μοναί». Ἐὰν λοιπὸν οἱ δίκαιοι εἰς ἐκείνην τὴν αἰωνίαν μακαριότητα ἀπελάμβανον κατὰ τὸν ἴδιον τρόπον τὰ ἀγαθὰ αὐτῆς, τότε θὰ ἐγίνετο λόγος ὅτι ὑπάρχει μία μόνον μονὴ καὶ ὄχι πολλαί. Ὑπάρχουν ὅμως πολλαί, εἰς τὰς ὁποίας θὰ διαμοιρασθοῦν κατὰ

τὴν ἀξίαν των οἱ ἐκλεκτοί, διὰ νὰ εὐφραίνωνται καὶ νὰ ἀγάλλωνται αἰωνίως ἀπὸ κοινοῦ.

Τὸ γεγονὸς δὲ ὅτι ὅλοι οἱ ἐκλεκτοί, ποὺ διαμοιράζονται εἰς τὰς διαφόρους μονάς, λαμβάνουν καὶ ἀπὸ ἕνα δηνάριον,* φανερώνει ὅτι μία εἶναι ἡ μακαριότης, τὴν ὁποίαν ἀπολαμβάνουν ἐκεῖ ὅλοι οἱ σῳζόμενοι· διαφέρει ὅμως τὸ μέτρον τῆς ἀνταποδόσεως πρὸς ἕνα ἕκαστον τῶν ἐκλεκτῶν, ποὺ εἶναι ἀνάλογον πρὸς τὰ διάφορα ἔργα τῆς ἀρετῆς τὰ ὁποῖα ἐξετέλεσαν.

Ὅσον διὰ τοὺς ἁμαρτωλούς, ὁ Κύριος, ἀναφερόμενος εἰς τὴν ἡμέραν τῆς κρίσεώς των, εἶπε· «Τότε θὰ εἴπω εἰς τοὺς θεριστάς· μαζεύσατε πρῶτον τὰ ζιζάνια καὶ δέσατε σὲ δεμάτια, διὰ νὰ τὰ καύσετε». Οἱ θερισταὶ λοιπόν, δηλαδὴ οἱ Ἄγγελοι, δένουν μαζὶ τοὺς ἁμαρτωλούς, ποὺ διέπραξαν τὰς ἰδίας ἁμαρτίας, διὰ νὰ κολάζωνται ἀπὸ κοινοῦ, ὥστε οἱ ὑπερήφανοι νὰ βασανίζωνται μαζὶ μὲ τοὺς ὑπερηφάνους, οἱ πόρνοι μαζὶ μὲ τοὺς πόρνους, οἱ φιλάργυροι μαζὶ μὲ τοὺς φιλαργύρους, οἱ ψεῦσται μαζὶ μὲ τοὺς ψεύστας, οἱ φθονεροὶ μαζὶ μὲ τοὺς φθονερούς, οἱ ἄπιστοι μαζὶ μὲ τοὺς ἀπίστους. Ὅλοι αὐτοί, ἑνωμένοι μεταξύ των, κατὰ τὸ εἶδος τῆς ἁμαρτίας, θὰ κατακαοῦν εἰς τοὺς τόπους τῶν διαφόρων βασάνων, εἰς τοὺς ὁποίους θὰ ριφθοῦν ὑπὸ τῶν Ἀγγέλων.

Πέτρος

2. ΤΙ ΤΟΥΤΟ αἰτῶ σε, ὅτι ἐν τοῖς ἐσχάτοις καιροῖς τούτοις, τοσαῦτα περὶ ψυχῶν φανεροῦνται, ἅπερ πρότερον ἐλάνθανον; ἢ πάντως, ἵνα φανεραῖς ἀποκαλύψεσι τὸν μέλλοντα Κόσμον ἐπιδεικνύμενον ἡμῖν θεασώμεθα.

Ἑρμηνεία

Πέτρος

2. ΤΟΥΤΟ ΖΗΤΩ νὰ μάθω ἀπὸ σέ· πῶς κατὰ τὰ τελευταῖα αὐτὰ ἔτη φανερώνονται τόσα πολλὰ περὶ ψυχῶν, τὰ ὁποῖα προηγουμένως διέφευγον τὴν προσοχήν; Μήπως συμβαίνει αὐτὸ διὰ νὰ ἴδωμεν τὸν μέλλοντα Κόσμον, παρουσιαζόμενον εἰς ἡμᾶς μὲ φανερὰς ἀποκαλύψεις;

Γρηγόριος

ΟΥΤΩΣ ΕΣΤΙΝ, ὡς ὑπέλαβες· ὅσον γὰρ τοῦ παρόντος Κόσμου τὸ τέλος πλησιάζει, τοσοῦτον τοῦ μέλλοντος ἡ παρουσία σημείοις φανεροῖς ἐπιγινώσκεται. Ἐπειδὴ γὰρ ἐν τῷ παρόντι κόσμῳ τοὺς διαλογισμοὺς ἀλλήλων οὐδαμῶς θεωροῦμεν, ἐν δὲ τῷ μέλλοντι ἅπαντα τὰ ἡμέτερα ἐν ταῖς ἀλλήλων καρδίαις ὁρῶμεν, ἔοικεν οὗτος ὁ Κόσμος νυκτί, ὁ δὲ μέλλων ἡμέρᾳ.

Ὥσπερ οὖν τῆς νυκτὸς τελειουμένης ἡ ἡμέρα ἄρχεται αὐγάζειν, πρὸ δὲ τῆς τοῦ ἡλίου ἀνατολῆς τρόπῳ τινὶ τὸ σκότος μετὰ τοῦ φωτὸς μέμικται ἕως οὗ τὸ μὲν σκότος τελείως παρέλθῃ τῆς νυκτός, τὸ δὲ φῶς τῆς ἐπακολουθούσης ἡμέρας

---

* Τὸ δηνάριον ἦτο ρωμαϊκὸν νόμισμα τῆς ἐποχῆς τοῦ Κυρίου.

ὁλοκλήρως ἐπανέλθῃ, οὕτω δὴ τοῦ παρόντος κόσμου τὸ τέλος, τῇ ἀνατολῇ τοῦ μέλλοντος ἤδη συμμιγέν, ἐκ τῶν σκοτεινῶν τούτου πραγμάτων τινά, τῇ τῶν πνευματικῶν συμμιξίᾳ διαφαίνει· διὸ καὶ πολλὰ ἐκ τῶν τοῦ κόσμου ἐκείνου κατανοοῦμεν· πλὴν οὐχὶ πάντα ὁλοκλήρως γινώσκομεν, ἀλλὰ καθάπερ ἔν τινι τοῦ νοὸς διαυγείᾳ, ταῦτα ὥς περ πρὸ τοῦ ἡλίου ὁρῶμεν.

Ἑ ρ μ η ν ε ί α

Γ ρ η γ ό ρ ι ο ς

ΕΤΣΙ ΕΙΝΑΙ ὅπως ἀκριβῶς εἶπες· διότι ὅσον πλησιάζει τὸ τέλος τοῦ παρόντος Κόσμου, τόσον καὶ ἡ παρουσία τοῦ μέλλοντος φανερώνεται σιγὰ - σιγὰ μὲ ὁλοφάνερα σημεῖα. Ἐπειδὴ δηλαδή, εἰς τὴν παροῦσαν ζωήν, δὲν δυνάμεθα νὰ διακρίνωμεν ὁ ἕνας τοὺς διαλογισμοὺς τοῦ ἄλλου, ἐνῷ εἰς τὴν μέλλουσαν ζωὴν θὰ βλέπωμεν ὅλα. ὅσα ἔχομεν εἰς τὴν καρδίαν μας νὰ εἶναι καὶ εἰς τὰς καρδίας τῶν ἄλλων. Δι' αὐτὸ ὁ προσωρινὸς αὐτὸς κόσμος ὁμοιάζει μὲ νύκτα, ἐνῷ ὁ μελλοντικὸς ὁμοιάζει μὲ ἡμέραν.

Ὅπως λοιπὸν ὅταν τελειώνῃ ἡ νύκτα ἀρχίζει νὰ σιγοφέγγῃ ἡ ἡμέρα, προτοῦ δὲ ἀκόμη καλὰ - καλὰ νὰ ἀνατείλῃ ὁ ἥλιος, τὸ σκοτάδι ἀναμιγνύεται κατὰ κάποιον τρόπον μὲ τὸ φῶς, ἕως ὅτου νὰ ὑποχωρήσῃ μὲν τελείως τὸ σκοτάδι τῆς νυκτὸς καὶ νὰ ἐπικρατήσῃ ὁλοκληρωτικὰ τὸ φῶς τῆς ἐπερχομένης ἡμέρας. ἔτσι ἀκριβῶς συμβαίνει ἐδῶ· τὸ τέλος τοῦ παρόντος κόσμου ἀναμιγνύεται μὲ τὴν ἀνατολὴν τοῦ μέλλοντος, ὁπότε μερικὰ σκοτεινὰ πράγματα τοῦ κόσμου τούτου διακρίνονται, ἐξ ἀφορμῆς τῆς ἀναμίξεώς των μὲ τὰ πνευματικά· διὰ τοῦτον ἀκριβῶς τὸν λόγον καὶ κατανοοῦμεν πολλὰ ἐκ τοῦ κόσμου ἐκείνου.


Πάντως ὅμως δὲν τὰ γνωρίζομεν ἀμέσως ὅλα καὶ καθαρὰ ἀλλ' ἀμυδρῶς τὰ διακρίνομεν, ὡσὰν ὁ νοῦς ἡμῶν νὰ φωτίζεται κατὰ κάποιον τρόπον, ὅπως ἀκριβῶς διακρίνομεν τὰ διάφορα ἀντικείμενα τοῦ ὑλικοῦ κόσμου, ὀλίγον πρὸ τῆς ἀνατολῆς τοῦ ἡλίου.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου

ΗΔΗ ΤΟΥ ΟΣΙΟΥ Πατρὸς ἡμῶν Εὐθυμίου κοιμηθέντος καὶ τοῦ ἀθλητικοῦ καὶ πολυπαθοῦς αὐτοῦ σώματος, μετὰ τῶν προσηκόντων ὕμνων τῇ πολυπλούτῳ κατατεθέντος σορῷ, Δομετιανὸς ὁ τοῦ μεγάλου μέγας ὄντως καὶ γνήσιος μαθητής, ἅτε δὴ καὶ τοῦ βίου μιμητὴς ἀκριβέστατος, ὑπὲρ τὰ πεντήκοντα τῷ ἁγίῳ διακονησάμενος ἔτη, οὐκ ἀπέστη τοῦ τόπου, ἀλλὰ παρέμεινε τῇ σορῷ μέχρι λοιπὸν ἕκτης ἐξ ἐκείνου ἡμέρας, ὥς περ οὐ βιωτὸν αὐτῷ τὸ λοιπὸν κρίνας, οὐδὲ τοῦτο δὴ τὸ φῶς ὁρᾶν ἀνεκτὸν ὅλως.

Διαγενομένης δὲ ἤδη τῆς ἑβδόμης, ἐπιφαίνεται αὐτῷ φαιδρὸς τὴν ὄψιν νυκτὸς ὁ Εὐθύμιος, δεῦρο, λέγων, ἀπολαύσων τῆς ἡτοιμασμένης σοι δόξης· ἰδοὺ γὰρ ἐχαρίσατό φησιν ὁ Θεὸς κοινὴν ἡμῖν εἶναι καὶ τὴν ἐνταῦθα διαγωγήν. Ταῦτα ὁ Δο-

Ο ΑΓΙΟΣ ΕΥΘΥΜΙΟΣ



ΧΕΙΡ ΔΗΜ. ΓΡΙΤΣΟΥ

μετιανὸς εἰς τὴν σύναξιν ἐλθὼν ἀπαγγέλλει καὶ οὕτως ἐν χαρᾷ καὶ αὐτός, καὶ τῇ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι, καταλείπει τὸν βίον.

Ἑρμηνεία

ΟΤΑΝ ΕΚΟΙΜΗΘΗ ὁ ὅσιος πατὴρ ἡμῶν Εὐθύμιος καὶ τὸ ἀθλητικὸν καὶ πολυβασανισμένον σῶμα του κατετέθη μὲ τοὺς ἁρμόζοντας ὕμνους εἰς τὸν πλουσιοστολισμένον τάφον, τότε ὁ γνήσιος καὶ πραγματικὰ μεγάλος μαθητὴς τοῦ μεγάλου Πατρός, Δομετιανός, ὁ ὁποῖος καὶ τὴν ζωὴν τοῦ Ἁγίου Εὐθυμίου μὲ μεγάλην ἀκρίβειαν εἶχε μιμηθῆ καὶ ὑπηρέτησε τὸν Ἅγιον περισσότερα ἀπὸ πεντήκοντα ἔτη, δὲν ἔφυγεν ἀπὸ τὸν τάφον, ἀλλὰ παρέμεινε πλησίον τοῦ μνήματος ἐπὶ ἓξ ἡμέρας, νομίζων ὅτι δὲν θὰ ἠμποροῦσε νὰ ζήσῃ πλέον, μετὰ τὸν θάνατον τοῦ Ἁγίου Εὐθυμίου, οὔτε καὶ νὰ βλέπῃ ἀκόμη καὶ τὸ φῶς χωρὶς ἐκεῖνον. Ὅταν ὅμως ἐπέρασε πλέον καὶ ἡ ἑβδόμη ἡμέρα παρουσιάζεται εἰς τὸν Δομετιανὸν ὁ Εὐθύμιος, κατὰ τὴν νύκτα, μὲ φαιδρὸν πρόσωπον καὶ τοῦ λέγει:

—Ἔλα, νὰ ἀπολαύσῃς τὴν δόξαν, ποὺ ἔχει ἑτοιμασθῆ διὰ σέ. Διότι ὁ Θεὸς μᾶς ἐχάρισε τὸ προνόμιον νὰ ζῶμεν μαζὶ καὶ ἐδῶ εἰς τοῦτον τὸν τόπον.

Ἀμέσως ὁ Δομετιανὸς τρέχει καὶ φανερώνει ὅλα αὐτὰ εἰς τὴν σύναξιν τῶν ἀδελφῶν. Καὶ ἔτσι, χαρούμενος καὶ αὐτὸς καὶ μὲ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν, ἐγκαταλείπει τὸν βίον.

Γ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΠΟΛΛΑΣ μονὰς τοῦ Πατρός, ὁ Σωτὴρ καλεῖ τὰ μέτρα τῆς διανοίας, τῶν ἐν τῇ χώρᾳ ἐκείνῃ αὐλιζομένων· λέγω δὴ τὰς διαφοράς, ὧν κατὰ διάνοιαν ἐντρυφῶσιν· οὐ γὰρ διαφορὰς τόπων, ἀλλὰ τάξεις χαρισμάτων πολλὰς μονὰς εἴρηκε. Καθάπερ ἕκαστος γὰρ ἡμῶν τοῦ αἰσθητοῦ ἡλίου κατὰ τὴν καθαρότητα τῆς ὀπτικῆς ἀντιλήψεως κατατρυφᾷ, μὴ μεριζομένου ἐκείνου εἰς πολλὰς λαμπηδόνας ἀλλὰ πᾶσιν ὁμοίως ἐπιλάμποντος, οὕτω καὶ ἐν τῷ μέλλοντι αἰῶνι οἱ δίκαιοι· πάντες μὲν ἐν μιᾷ χώρᾳ αὐλίζονται, ἕκαστος δὲ κατὰ τὸ μέτρον τῆς οἰκείας καθάρσεως, τὴν τοῦ νοητοῦ ἡλίου λαμπρότητα καὶ εὐφροσύνην ἐν ἑαυτῷ ἕλξει καὶ ἕξει· ὅσην δηλαδὴ οἷός τε ἐστὶ χωρῆσαι καὶ δέξασθαι.

Ἑρμηνεία

Ο ΣΩΤΗΡ ΗΜΩΝ πολλὰς μονὰς τοῦ Πατρὸς ὀνομάζει τὰ μέτρα τῆς διανοίας ἐκείνων οἱ ὁποῖοι διαμένουν εἰς ἐκείνην τὴν χώραν. Ἐννοῶ δὲ ὡς μέτρα διανοίας τὸν διαφορετικὸν τρόπον, κατὰ τὸν ὁποῖον ἡ διάνοια ἑκάστου ἐκ τῶν σῳζομένων ἐντρυφᾷ καὶ ἀπολαμβάνει τὴν μακαριότητα τοῦ Παραδείσου. Διότι ὁ Κύριος δὲν ἐχαρακτήρισεν ὡς μονὰς διαφορετικοὺς τόπους, ἀλλὰ τὰς τάξεις τῶν χαρισμάτων ἐκάλεσε πολλὰς μονάς.

Ὅπως δηλαδὴ καθένας ἀπὸ ἡμᾶς ἀπολαμβάνει τὸν αἰσθητὸν ἥλιον ἀνάλογα μὲ τὴν δύναμιν τῆς ὁράσεώς του, χωρὶς ὁ ἕνας αὐτὸς ἥλιος νὰ

διαμοιράζεται εἰς πολλὰς λάμψεις, ἀλλὰ δι' ὅλους τοὺς ἀνθρώπους ἔχει τὴν ἰδίαν λαμπρότητα, τὸ ἴδιον ἀκριβῶς συμβαίνει καὶ μὲ τοὺς δικαίους εἰς τὴν μέλλουσαν ζωήν. Ὅλοι, δηλαδή, οἱ δίκαιοι διαμένουν εἰς μίαν περιοχήν· καθένας ὅμως ἐξ αὐτῶν θὰ σύρῃ πρὸς τὸν ἑαυτόν του καὶ θὰ ἀπολαμβάνῃ τὴν λαμπρότητα καὶ εὐφροσύνην τοῦ νοητοῦ Ἡλίου, ἀνάλογα μὲ τὸ μέτρον τῆς ἰδικῆς του καθαρότητος. Τόσην, δηλαδή, λαμπρότητα καὶ εὐφροσύνην θὰ ἀπολαμβάνῃ ὁ κάθε δίκαιος, ὅσην εἶναι δυνατὸν νὰ δεχθῇ καὶ νὰ χωρέσῃ.

Δ'. Γρηγορίου τοῦ Διαλόγου

Πέτρος

ΥΠΟΛΑΜΒΑΝΩ, τίμιε δέσποτα, ἐν τῷ πολλοῖς καὶ ἀμετρήτοις πάθεσι τὸ τῶν ἀνθρώπων γένος ὑποταγῆναι, τῆς ἐπουρανίου Ἱερουσαλὴμ πλεῖστον μέρος ἐκ νηπίων μέλλειν πληροῦσθαι.

Ἑρμηνεία

Πέτρος

ΕΧΩ ΤΗΝ ΓΝΩΜΗΝ, τίμιε Δέσποτα, ὅτι ἐπειδὴ τὸ ἀνθρώπινον γένος ὑπετάγη εἰς πολλὰ καὶ ἀμέτρητα πάθη, δι' αὐτὸ τὸ μεγαλύτερον μέρος τῆς ἐπουρανίου Ἱερουσαλὴμ θὰ γεμίσῃ ἀπὸ νήπια.

Γρηγόριος

ΠΑΝΤΑ μὲν τὰ βαπτιζόμενα νήπια καὶ ἐν τῇ νηπιότητι ἀποθνήσκοντα εἰσελθεῖν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν οὐκ ἀπιστοῦμεν· οὐχὶ δὲ καὶ τὰ λαλεῖν ἀρχόμενα πάντα εἰς αὐτὴν εἰσελθεῖν πιστευτέον· πολλοῖς γὰρ τῶν νηπίων ἡ τῆς οὐρανίου Βασιλείας εἴσοδος καὶ παρὰ τῶν γονέων ἀποκλείεται, ἐὰν κακῶς αὐτὰ ἀνατρέφωσιν. Ἐν ταύτῃ γὰρ τῇ πόλει ἀνήρ τις πᾶσι γνώριμος ὑπάρχων, πρὸ τριῶν ἐτῶν υἱὸν εἶχεν, ὡς ὑπολαμβάνω ὄντα ἐτῶν πέντε, ὃν λίαν ἀγαπῶν κατὰ τὴν σάρκα, ἀπαιδεύτως αὐτὸν ἀνέτρεφεν· ὅθεν ὁ αὐτὸς παῖς ἡνίκα τὸ οἱονοῦν ἐνθύμιον τῇ ψυχῇ αὐτοῦ ὑπεισῆλθεν, ἔθος ἔλαβεν, ὅπερ καὶ εἰπεῖν κίνδυνος ὑπάρχει, τὴν τοῦ Θεοῦ βλασφημεῖν μεγαλωσύνην.

Οὗτος οὖν ὁ παῖς ἐν τῷ θανατικῷ τῷ πρὸ τριῶν ἐτῶν ἐνταῦθα γενομένῳ κρουσθείς, ἐπὶ τὸ ἀποθανεῖν ἦλθεν. Ἐν ὅσῳ δὲ ὁ πατὴρ ἐν τῷ κόλπῳ αὐτοῦ τοῦτον ἐκράτει, καθὼς οἱ αὐτόθι παρόντες μαρτυροῦσι, τὰ τῆς πονηρίας πνεύματα πρὸς αὐτὸν ἐλθόντα ὁ παῖς θεασάμενος, τρέμων καὶ τοὺς ὀφθαλμοὺς καμμύων, ἤρξατο κράζειν· ἐκδίκησόν με, πάτερ, ἐκδίκησον· τὰς δὲ φωνὰς ταύτας κράζων ἔκλινε τὸ πρόσωπον εἰς τὸν κόλπον τοῦ πατρὸς αὐτοῦ, θέλων ἑαυτὸν κρύψαι.

Τοῦτον δὲ τρέμοντα ὁ πατὴρ θεασάμενος, ἐπηρώτησεν αὐτὸν τί θεωρεῖ· ὁ δὲ παῖς ἀπεκρίθη λέγων· μαῦροι ἄνθρωποι ἦλθον θέλοντές με λαβεῖν· τοῦτο δὲ εἰπών, παρευθὺς τὸ τῆς μεγαλωσύνης ὄνομα ἐβλασφήμησε καὶ ἐπὶ τούτοις τὴν ψυχὴν ἀπέδωκε· πρὸς γὰρ τὸ δεῖξαι τὸν παντοδύναμον Θεὸν διὰ ποῖον ἁμάρτημα τοιού-

τοις ὑπηρέταις παρεδόθη, ὅπερ ζῶντος ὁ πατὴρ αὐτοῦ κωλῦσαι αὐτὸν οὐκ ἠθέλησε, τούτῳ ἀποθνήσκοντι συναπελθεῖν παρεχώρησε· καὶ ὃν θείᾳ εὐσπλαγχνίᾳ βλασφήμως ζῆν ἠνέσχετο, τῇ δικαίᾳ κρίσει, καὶ ἀποθνήσκοντα βλασφημῆσαι αὐτὸν παρεχώρησεν, ἵνα τὴν τούτου ἁμαρτίαν ὁ πατὴρ διαγνῷ· ὃς ἀμελῶν τῆς ψυχῆς τοῦ μικροῦ αὐτοῦ υἱοῦ, οὐχὶ μικρὸν ἁμαρτωλόν, ἀλλὰ μέγαν τῇ γεέννῃ τοῦ πυρὸς ἀνέθρεψεν.

Ἑ ρ μ η ν ε ί α

Γ ρ η γ ό ρ ι ο ς

ΔΕΝ ΑΜΦΙΒΑΛΛΟΜΕΝ, ὅτι τὰ βαπτιζόμενα νήπια ποὺ ἀποθνήσκουν κατὰ τὴν νηπιακήν των ἡλικίαν, θὰ εἰσέλθουν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν. Δὲν πρέπει ὅμως νὰ πιστεύωμεν, ὅτι θὰ εἰσέλθουν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν, καὶ ὅλα ἐκεῖνα τὰ νήπια, ποὺ εἶχον ἀρχίσει νὰ ὁμιλοῦν. Διότι ἡ εἴσοδος τῆς Βασιλείας τῶν οὐρανῶν θὰ ἀποκλεισθῇ ἀπὸ πολλὰ νήπια, ἐξ αἰτίας τῶν γονέων των, ἐὰν ἔδωσαν εἰς αὐτὰ κακὴν ἀνατροφήν. Εἰς αὐτὴν ἐδῶ τὴν πόλιν ζῇ κάποιος ἄνθρωπος, ποὺ εἶναι εἰς ὅλους γνωστός· αὐτὸς λοιπόν, πρὸ τριῶν ἐτῶν, εἶχεν ἕνα υἱόν, ὁ ὁποῖος ὅπως ὑποθέτω θὰ ἦτο τότε πέντε ἐτῶν, τὸν ὁποῖον ἐπειδὴ ὑπεραγαποῦσε σωματικῶς, δὲν ἐπροσπάθει καθόλου νὰ τοῦ δώσῃ καλὴν ἀνατροφήν.

Ἐξ αἰτίας αὐτοῦ, τὸ παιδί, ὅταν κάποιος τὸ ἐνοχλοῦσε, συνήθισε — πρᾶγμα, πού, καὶ νὰ τὸ εἴπω ἀκόμη, εἶναι ἐπικίνδυνον — νὰ βλασφημῇ τὴν μεγαλωσύνην τοῦ Θεοῦ.

Τὸ παιδὶ λοιπὸν αὐτό, ὅταν, πρὸ τριῶν ἐτῶν, ἔπεσεν εἰς τὴν περιοχὴν αὐτὴν μία θανατηφόρος ἐπιδημία, προσεβλήθη ἀπὸ αὐτὴν καὶ ἦλθεν εἰς τὸν θάνατον. Ὅπως δὲ ἐξιστοροῦν οἱ αὐτόπται μάρτυρες, καθὼς ἐκράτει ὁ πατέρας εἰς τὴν ἀγκαλιάν του τὸ παιδί, εἶδε τὸ ἴδιον τὸ παιδὶ τὰ πονηρὰ πνεύματα νὰ ἔρχωνται κοντά του. Τότε τὸ παιδὶ ἤρχισε νὰ τρέμῃ καὶ νὰ ἀνοιγοκλείνῃ τὰ μάτια του ἀπὸ φόβον, καὶ μὲ ἀπόγνωσιν νὰ κραυγάζῃ πρὸς τὸν πατέρα του. Πατέρα, σῶσε με, προφύλαξέ με. Συγχρόνως δὲ μὲ τὰς κραυγὰς αὐτάς, ἔστρεφε τὸ πρόσωπόν του πρὸς τὸ στῆθος τοῦ πατρός του, ὡς νὰ ἤθελε νὰ κρυφθῇ.

Ὅταν ὁ πατὴρ εἶδε τὸν υἱόν του νὰ τρέμῃ, τὸν ἠρώτησε μὲ ἀγωνίαν, τί βλέπει. Ὁ υἱὸς ἀπήντησεν· Ἦλθον κοντά μου μαῦροι ἄνθρωποι καὶ θέλουν νὰ μὲ πάρουν μαζί των. Μόλις ἐτελείωσε τὴν φράσιν του αὐτήν, ἀμέσως ἐβλασφήμησε τὸ ὄνομα τῆς Θείας Μεγαλωσύνης καὶ μὲ τὴν βλασφημίαν αὐτὴν ἐξεψύχησεν.

Διὰ νὰ δείξῃ δηλαδὴ ὁ παντοδύναμος Θεὸς διὰ ποῖον ἁμάρτημα παρεδόθη τὸ παιδὶ εἰς τοιούτους ὑπηρέτας, παρεχώρησε νὰ ἀποθάνῃ μὲ αὐτὸ τὸ ἁμάρτημα, ἀπὸ τὸ ὁποῖον δὲν προσεπάθησεν ὁ πατήρ του νὰ τὸ ἐμποδίσῃ ὅταν ἔζη. Καὶ αὐτὸ τὸ παιδί, ποὺ ἀπὸ εὐσπλαγχνίαν ἠνείχετο ὁ Θεὸς νὰ ζῇ ὡς βλάσφημος ἐπέτρεψε κατὰ τὴν δικαίαν Του κρίσιν, νὰ βλασφημήσῃ ὅταν ἀπέθνησκε, διὰ νὰ ἐννοήσῃ καλῶς ὁ ἀμελὴς πατέρας

τὴν ἁμαρτίαν του. Διότι ἀδιαφορῶν αὐτὸς ὁ πατέρας διὰ τὴν ψυχὴν τοῦ μικροῦ παιδιοῦ του, ἀνέθρεψε διὰ τὴν γέενναν τοῦ πυρὸς ὄχι ἕνα μικρὸν ἀλλὰ ἕνα μεγάλον ἁμαρτωλόν.


Ε'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΟΝ οἱ Γέροντες· παιδεύσατε τὰ παιδία, ἀδελφοί, ἵνα μὴ παιδεύσωσιν ὑμᾶς αὐτά.

Ἑρμηνεία

ΟΙ ΓΕΡΟΝΤΕΣ ἔλεγον· ἀδελφοί, παιδεύσατε ἐσεῖς τὰ παιδία, διὰ νὰ μὴ σᾶς παιδεύσουν αὐτά.





ΥΠΟΘΕΣΙΣ ΙΒ΄

Περὶ τοῦ ὅτι δεῖ τοὺς θεοφιλεῖς τῶν γονέων χαίρειν καὶ εὐχαριστεῖν ἐπὶ τοῖς πειρασμοῖς τῶν τέκνων τοῖς διὰ τὸν Κύριον· ἔτι δὲ καὶ προτρέπειν τοὺς τούτων παῖδας ἐπὶ τοὺς δι' ἀρετὴν ἀγῶνας καὶ τοὺς κινδύνους.

Οἱ θεοφιλεῖς γονεῖς πρέπει νὰ χαίρωνται καὶ νὰ εὐχαριστοῦνται διὰ τοὺς πειρασμούς, ποὺ ὑφίστανται τὰ τέκνα των χάριν τοῦ Κυρίου. Ἀκόμη δὲ πρέπει οἱ ἀγαπῶντες τὸν Θεὸν γονεῖς νὰ προτρέπουν τὰ τέκνα των νὰ ἀγωνίζωνται καὶ νὰ κινδυνεύουν διὰ τὴν ἀρετήν.



Α΄. Ἐν τῇ διηγήσει τῆς ἀναιρέσεως τῶν Ἁγίων Πατέρων τῶν ἐν τῷ Σινᾷ καὶ τῇ Ῥαϊθῷ



ΑΘΟΥΣΑ ἡ μήτηρ τοῦ μειρακίου ἐκείνου, ὃν ἐν ἄλλοις ὁ λόγος διαβόητον τῇ μεγαλοψυχίᾳ ἐγνώρισεν, ὅτι οὕτω πρὸς τοὺς βαρβάρους γενναίως ἠγωνίσατο, καὶ ἐν αὐτῇ τῇ κέλλῃ, ᾗ καὶ ἠσκεῖτο ἐσφάγη, τὰς ἀναριθμήτους ἐκείνας πληγὰς δεξάμενος καὶ οὐδὲ κἂν προελθεῖν τῆς κέλλης, ἢ τὸ ἱμάτιον ἀποδύσασθαι τοῖς βαρβάροις ἐπείσθη, ὑπισχνουμένοις μὴ φονεῦσαι αὐτὸν εἰ τούτων τι διαπράξεται, ἀλλ' οὕτως ἀνδρείως πρὸς τοὺς βαρβάρους ἀντέστη καὶ τὸν θάνατον γενναίως ὑπήνεγκε.

Ταῦτα μαθοῦσα ἡ μήτηρ, τῇ πράξει τὴν πρὸς αὐτὸν ἐπεδείξατο καὶ αὐτὴ συγγένειαν, μήτηρ ἀληθῶς ἐκείνου φανεῖσα γνησία καὶ λαμπρὰν αὐτίκα περιθεμένη ἐσθῆτα καὶ τὸ σχῆμα πᾶν εἰς τὸ φαιδρότερον διαμείψασα, τὰς χεῖράς τε πρὸς οὐρανὸν ἀνέτεινε καὶ φωνὰς εἰς τὸν Σωτῆρα Χριστὸν ἠφίει τοιάς δε· σοὶ παρεθέμην, δέσποτα, τὸν παῖδα καὶ σέσωσταί μοι καὶ νῦν καὶ ἕως αἰῶνος· παρὰ σοὶ πεπίστευκα τὸ μειράκιον καὶ φύλακά σε τούτου παρεστησάμην, καὶ πεφύλακταί μοι σῶον ἐπ' ἀληθείας καὶ ἄτρωτον· οὐ γὰρ ὅτι τέθνηκεν, οὐδὲ ὅπως κατέλυσε τὸν βίον λογίζομαι, ἀλλ' ὅτι πάσης ἁμαρτίας διέφυγε πεῖραν σκοπῶ· οὐχ ὅτι κατετρώθη τὸ σῶμα καὶ πικρὰν ὑπέμεινε τελευτήν, ἀλλ' ὅτι τὴν ψυχὴν καθαρὰν καὶ ἄμωμον ἤνεγκεν ἐκεῖ καὶ τὸ πνεῦμα ταῖς σαῖς ἄσπιλον παρέθετο χερσίν.

Ἐγὼ βραβεῖα τὰς σφαγὰς ἀριθμῶ· ἐγὼ τὰς πληγὰς στεφάνους μετρῶ· εἴθε καὶ πλείονας ἐχώρει τὸ σῶμα τὸ σόν, ὦ παῖ, ἵνα σοι πλείονες γένωνται οἱ μισθοί. Ἔνθεν μοι τῆς κυοφορίας ἀπέδωκας τοὺς μισθούς· ἔνθεν τῶν ὠδίνων παρέσχου τὰς ἀμοιβάς· ἔνθεν τῆς τιθηνίας ὤρεξας τὰς τιμάς· τί οὖν; οὐ λήψῃ με καὶ τῶν ἄθλων συμμεριστήν; κἀγὼ τοῦ ἀγῶνος συμμέτοχός σοι καθίσταμαι.

Σὺ ἤθλησας; κἀγὼ τῇ ἀθλήσει συνήδομαι· σὺ πρὸς βαρβαρικὸν ἔστης θυμόν; ἐγὼ δὲ πρὸς φύσεως ἀνθίσταμαι τυραννίδα· σὺ θανάτου δηλαδὴ κατεφρόνησας; ἐγὼ δὲ σπλάγχνων ὑπερφρονῶ· σὺ τὴν ὀδύνην τῆς σφαγῆς ἤνεγκας ἀνεκτῶς; ἐγὼ σπαρασσομένων μοι τῶν σπλάγχνων ὑποφέρω τὴν βάσανον· ἴσα καὶ οὐ καταδεέστερα τῶν σῶν τὰ ἐμά· σὺ τῷ πικρῷ τῆς ὀδύνης νικᾷς; ἐγὼ τῷ μήκει τοῦ χρόνου πλεονεκτῶ· κἂν γάρ σοι λίαν ἀλγεινός, ἀλλά πρὸς ὥραν πάντως ὁ θάνατος γέγονεν, ἐγὼ δὲ μακρὸν ἕλκω τὸ ἄλγημα καὶ ἐπιεικῶς τοῦτο φέρω φιλοσοφοῦσα· ζῆν σε παρὰ Θεῷ τὴν ἀκήρατον πεπληροφορημένη ζωήν, καὶ ἕξειν μετ' οὐ πολὺ γηροκόμον ἐκεῖ πιστεύουσα, ὅταν μοι περιθραυσθῇ ὅ,τι δήποτε τρόπῳ τὸ ὀστράκινον τοῦτο σκεῦος, καὶ πρὸς τὸν ἐκεῖθεν αἰῶνα πορεύσομαι.

Μακαρία ἐν μητράσιν ἐγὼ τοιοῦτον ἀγωνιστὴν Θεῷ παραστήσασα· μακαρία καὶ πάλιν ἐγώ· τεθάρρηκα γὰρ ἀληθῶς καυχήσασθαι λοιπὸν εἰς Χριστὸν ἀναλύσαντός σου, καὶ ἀϊδίως τούτῳ συνεσομένου, καὶ τρυφῆς ἀλήκτου μεταλαμβάνοντος.

Ἑρμηνεία

ΟΤΑΝ Η ΜΗΤΗΡ τοῦ παιδιοῦ ἐκείνου, τὸ ὁποῖον ἔγινεν ὀνομαστὸν εἰς ὅλους διὰ τὴν μεγαλοψυχίαν του, ἔμαθεν ὅτι τόσον γενναίως ἠγωνίσθη τὸ τέκνον της πρὸς τοὺς βαρβάρους καὶ ὅτι ἐφονεύθη ὑπ' αὐτῶν μέσα εἰς τὸ κελλίον, εἰς τὸ ὁποῖον ἠσκεῖτο, ὅπου ἔλαβεν ἀναριθμήτους πληγὰς εἰς τὸ σῶμα, καὶ ὅτι δὲν ἐδέχθη οὔτε κἂν νὰ ἐξέλθῃ ἀπὸ τὸ κελλίον του, οὔτε νὰ βγάλῃ τὸ καλογηρικὸν ἔνδυμά του, οὔτε ὑπήκουσεν εἰς τοὺς βαρβάρους οἱ ὁποῖοι ὑπέσχοντο εἰς αὐτὸ νὰ μὴ τὸ φονεύσουν, ἐὰν ἐδέχετο νὰ ἐκτελέσῃ κάτι ἀπὸ ἐκεῖνα τὰ ὁποῖα ἐζήτουν παρ' αὐτοῦ, καὶ ὅτι ὄχι μόνον γενναίως ἠγωνίσθη ἀλλὰ καὶ γενναίως ἐδέχθη τὸν θάνατον.

Ὅταν, λέγω, ἡ μήτηρ ἔμαθεν ὅλα αὐτά, τότε καὶ αὐτὴ ἀπέδειξεν ἐμπράκτως τὴν συγγένειάν της πρὸς ἐκεῖνο. Καὶ ἔτσι ἀπεδείχθη γνησία μήτηρ τοῦ γενναίου ἐκείνου παιδιοῦ. Μόλις ἐπληροφορήθη τὸν θάνατον τοῦ τέκνου της, ἐφόρεσε λαμπρὰ ἐνδύματα καὶ παρουσίασε πρόσωπον χαρούμενον καὶ ἀφοῦ ὕψωσε τὰς χεῖρας της εἰς τὸν οὐρανὸν ἔλεγε τὰ ἑξῆς περίπου πρὸς τὸν Σωτῆρα Χριστόν: Εἰς Σὲ ἐνεπιστεύθην, Δέσποτα, τὸ τέκνον μου, καὶ χαίρω ὅτι καὶ τώρα καὶ διὰ τὸν μέλλοντα αἰῶνα ἔχει σωθῇ. Εἰς Σὲ παρέδωσα τὸ παιδί μου καὶ Σὲ ἐθεώρησα φύλακά του, καὶ χαίρω πραγματικὰ διότι διεφυλάχθη σῶον καὶ ἄτρωτον ἀπὸ τὸν διάβολον. Διότι δὲν σκέπτομαι τὸ ὅτι ἀπέθανεν οὔτε κατὰ ποῖον τρόπον ἐτελειώθη, ἀλλ' ἐξετάζω ὅτι διέφυγε τὸν κίνδυνον πάσης ἁμαρτίας. Δὲν σκέπτομαι ὅτι ἐκαταπληγώθη τὸ σῶμα του καὶ ὅτι ὑπέστη πικρὸν θάνατον, ἀλλ' ὅτι ἔφερε τὴν ψυχήν του καθαρὰν καὶ ἄμωμον ἐκεῖ καὶ παρέδωσε τὸ πνεῦμα του ἀμόλυντον εἰς τὰς χεῖρας Σου.

Ἐγὼ μετρῶ τὰς σφαγὰς ὡς βραβεῖα· καὶ τὰς πληγὰς ὡς στεφάνους. Εἴθε, παιδάκι μου, τὸ σῶμα σου νὰ ἐχωροῦσε περισσοτέρας πληγάς, διὰ νὰ εἶναι περισσότεραι καὶ αἱ ἀνταμοιβαί σου. Τοιουτοτρόπως, παιδί μου, ἐπλήρωσες εἰς ἐμὲ τοὺς μισθούς μου, διότι σὲ ἐκράτησα εἰς τὴν κοιλίαν μου· παρέσχες εἰς ἐμὲ τὰς ἀμοιβὰς διὰ τοὺς πόνους τοῦ τοκετοῦ· μὲ ἐτίμησες διὰ τὴν ἀνατροφὴν ποὺ σοῦ ἔδωσα. Τί λοιπόν; Δὲν θὰ μὲ καταστήσῃς συνεταῖρον καὶ τῶν κατορθωμάτων σου; γίνομαι καὶ ἐγὼ συμμέτοχος τοῦ ἀγῶνος σου. Σὺ ἤθλησας; Ἀλλὰ καὶ ἐγὼ εὐφραίνομαι μὲ τὴν ἄθλησιν τὴν ἰδικήν σου. Σὺ ἀντεστάθης γενναίως πρὸς τὸν βαρβαρικὸν θυμόν; Ἀλλὰ καὶ ἐγὼ ἀντιστέκομαι πρὸς τὸν φυσικὸν πόνον τῆς μητέρας. Σύ, δηλαδή, κατεφρόνησες τὸν θάνατον; καὶ ἐγὼ ἀδιαφορῶ διὰ τὰ μητρικά μου σπλάγχνα. Σὺ ὑπέμεινες ἀγόγγυστα τὴν ὀδύνην τῆς σφαγῆς; καὶ ἐγὼ ἀντιστέκομαι εἰς τὸν σπαραγμὸν τῶν σπλάγχνων μου, διὰ τὸν χαμόν σου. Ἴσα καὶ ὄχι κατώτερα τὰ βάσανά μου, ἀπὸ τὰ βάσανά σου. Σὺ νικᾷς τὴν πίκραν τῆς ὀδύνης; ἐγὼ ὅμως σὲ περνῶ κατὰ τὸ μῆκος τοῦ χρόνου. Διότι ὅσον φοβερὸς καὶ ἂν ὑπῆρξεν ὁ θάνατός σου, πάντως ὅμως ἔγινεν εἰς μίαν ὥραν καὶ ἐτελείωσεν· ἐνῷ ἐμὲ θὰ συνοδεύῃ εἰς ὅλην μου τὴν ζωὴν ὁ πόνος καὶ μόνον διότι φιλοσοφῶ τὸν ἀντέχω· ὑποφέρω δὲ τὸν πόνον αὐτόν, διότι πιστεύω, ὅτι ζῇς πλησίον τοῦ Θεοῦ καὶ ὅτι μετ' ὀλίγον θὰ ἔχω ἐκεῖνον, ποὺ θὰ μὲ γηροκομήσῃ, ὅταν συντριβῇ μὲ ὁποιονδήποτε τρόπον τὸ ὀστράκινον αὐτὸ κατασκεύασμα, τὸ σῶμα μου, καὶ οὕτως ὡς ἐλευθέρα καὶ ἀδέσμευτος πλέον ψυχὴ θὰ πορευθῶ πρὸς τὴν αἰωνίαν ζωήν.

Ἐγὼ εἶμαι ἡ πλέον εὐτυχισμένη ἀπὸ ὅλας τὰς μητέρας, διότι παρουσίασα εἰς τὸν Θεὸν ἕνα τοιοῦτον ἀγωνιστήν· μακαρία πάλιν καὶ εὐτυχισμένη πρέπει νὰ θεωροῦμαι ἐγώ, διότι ἔχω στηρίξει τὸ θάρρος μου εἰς τὴν πίστιν καὶ καυχῶμαι, διότι ἐθυσίασες τὸ σῶμα σου διὰ τὸν Χριστόν, μὲ τὸν Ὁποῖον θὰ ζῇ πλέον ἡ ψυχή σου αἰωνίως καὶ θὰ ἀπολαμβάνῃ τὴν ἀτελείωτον ἀπόλαυσιν.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Κλήμεντος Ἐπισκόπου Ἀγκύρας τοῦ καὶ Μάρτυρος

ΕΤΙ ΚΟΜΙΔΗι νηπίου ὄντος τοῦ Ἁγίου Κλήμεντος, ὁ πατὴρ αὐτοῦ ἐτελεύτησεν· ἡ οὖν μήτηρ ἔρημος οὕτως ἀνδρὸς γενομένη καὶ τὰς ἐλπίδας ἐπὶ τῷ παιδὶ μόνῳ μετὰ Θεὸν σαλεύουσα, οὕτω δή τι καὶ προσέκειτο φιλοπόνως, ὥς τε πάντα εἶναι αὐτῷ καὶ πατὴρ καὶ παιδαγωγὸς καὶ μήτηρ. Ἐν τούτοις οὖν ὄντος τοῦ Κλήμεντος καὶ οὕτως ὑπὸ μητρὶ φιλοστόργῳ τρεφομένου καλῶς καὶ ἀναγομένου, ἐγγίζουσαν ἐκείνη προαισθομένη τὴν τελευτήν, τὸν παῖδα προσηνῶς καὶ γνησίως περιλαβοῦσα, οὔπω δέκατον ἀνύσαντα ἔτος, οὐ μᾶλλον διάδοχον τοῦ οἰκείου πλούτου, ὅσον δὴ κληρονόμον αὐτὸν τῶν ἐν οὐρανοῖς θησαυρῶν ἔσπευδε ποιεῖν, τοιαῦτα μετὰ γλυκυτάτων αὐτῷ ἀσπασμῶν ἐπισκήπτουσα.

Τέκνον ἐμόν, τέκνον φίλτατον, τέκνον, πρὶν μὲν ἰδεῖν τὸν σὸν πατέρα ὀρφανίαν ἰδόν, Θεὸν δὲ πατέρα πλουτῆσαν καὶ εἰς εὐτυχίαν τῇ ὀρφανίᾳ χρησάμενον· ἐγὼ μέν σε προήγαγον σώματι, Χριστὸς δέ σε διὰ πνεύματος ἀπεγέννησε· γνῶθι τὸν

σαυτοῦ πατέρα· μὴ ψεύσῃ τὸ τοῦ υἱοῦ ὄνομα· Χριστῷ λάτρευε μόνῳ· Χριστῷ πεποιθὼς ἔσο· οὗτος ἀληθῶς ἡ ἀθανασία· οὗτος ἡ σωτηρία· οὗτος ὁ δι' ἡμᾶς ἐξ οὐρανοῦ κατελθών, καὶ συνανυψώσας ἑαυτῷ καὶ ἡμᾶς καὶ υἱοὺς αὐτοῦ καὶ Θεοὺς ἐργασάμενος· ὁ οὖν ὑπὸ τούτῳ δεσπότῃ ταττόμενος, πάντων περίεσται τῶν χαλεπῶν, οὐ τοὺς εἴδωλα μόνον τιμῶντας τυράννους καὶ βασιλεῖς καταβάλλων, ἀλλὰ καὶ αὐτοὺς τοὺς ὑπ' αὐτῶν τιμωμένους δαίμονας καταισχύνων, καὶ τὸν ἀρχηγὸν αὐτῶν καὶ προστάτην διάβολον.

Εἶτα μεταξὺ τῶν λόγων ὑποπλησθεῖσα δακρύων τοὺς ὀφθαλμούς, καὶ θεωρίας θείας ὑπὸ τῆς χάριτος πληρωθεῖσα καὶ τὰ μέλλοντα αὐτῷ συμβῆναι προφητικώτατα διεξῄει· καὶ δέομαί σου, ἔλεγε, φίλτατε παῖ, δέομαί σου, μίαν ἀντὶ πάντων δοῦναι μοι χάριν· ἐπειδὴ καιρὸς ἐφέστηκε χαλεπός, καὶ δεινὸν ὁ τῆς ἀσεβείας πνεῖ διωγμός, μέλλεις δὲ καὶ αὐτὸς οἶδ' ὅτι, καθὼς ὁ ἡμέτερος δεσπότης φησίν, ἐπὶ βασιλεῖς δι' αὐτὸν καὶ ἡγεμόνας ἀχθῆναι, ταύτην, ὦ τέκνον, ἐμοὶ δὸς τὴν τιμήν, ὥς τε γενναίως ὑπὲρ αὐτοῦ στῆναι, καὶ ἀσφαλῆ διὰ τέλους τηρῆσαί μοι τὴν ὁμολογίαν· καὶ πέποιθα ἐπὶ τῷ ἐμῷ Χριστῷ, μέλος ἐμόν, πέποιθα, ὅτι καὶ τῇ σῇ κεφαλῇ ταχέως ὁ μαρτυρικὸς ἐπανθήσει στέφανος.

Ἑτοίμαζε οὖν σεαυτόν, καὶ πρὸς ἀνδρείαν ἐρέθιζε τὴν ψυχήν, ὅπως μὴ ἀπαράσκευος πρὸς τοὺς ἀγῶνας ληφθῇς· οὐ γὰρ πρὸς τοὺς τυχόντας οὐδὲ ὑπὲρ τῶν τυχόντων ἡ πάλη, ἀλλὰ πρὸς μὲν ἀνταγωνιστάς, τὸν πονηρὸν αὐτὸν καὶ τοὺς ὑπασπιστὰς ἐκείνου καὶ ὑπηρέτας, ὑπὲρ αἰωνίου δὲ ζωῆς καὶ τιμῆς ἢ αἰσχύνης ἀτελευτήτου καὶ κολάσεως ὁ ἀγών· ἢ τοίνυν τὰ χρηστὰ προτρεπέτω, ἢ πτοείτω σε τὰ δεινά.

Αἰσχρόν, ὦ παῖ, στρατιώτας μὲν ὑπὲρ ὁμοδούλου καὶ θνητοῦ βασιλέως ἐθελοντὰς ἀποθνήσκειν, ἡμᾶς δὲ ὑπὲρ ἀθανάτου Βασιλέως ὁμοίως ἐκείνοις μὴ ὑφίστασθαι τὸν θάνατον· καί τοι αὐτοὶ μὲν οὐδὲν παρ' ἐκείνου τοιαύτης εὐνοίας ἀντιλαμβάνουσιν ἄξιον· τίς γὰρ δωρεὰ ζωῆς ἀντίρροπος; ἢ ποία τῶν δεδομένων αἴσθησις μετὰ θάνατον; ἂν δὲ ὑπὲρ τοῦ κοινοῦ δεσπότου πάντων Χριστοῦ ἀποθάνῃς, ἀντὶ προσκαίρου ζωῆς, ἀθάνατον ἕξεις· ἀντὶ τρυφῆς καὶ δόξης καὶ πλούτου ῥέοντος, αἰωνίου κατατρυφήσεις μακαριότητος· τί δέ; εἰ καὶ μὴ νῦν ἀποθάνομεν, οὐ μετ' ὀλίγον πάντως ἀποθανούμεθα, καὶ τὴν κοινὴν πᾶσιν ὀφειλὴν ἀποτίσομεν; ἄλλως τε δὲ καὶ ἡ διὰ Χριστὸν τελευτή, οὐ θάνατος ἂν εἰκότως νομίζοιτο· τῇ χρηστοτέρᾳ γὰρ ἀεὶ τῶν μελλόντων ἐλπίδι, κλεπτομένην ἔχει τὴν αἴσθησιν.

Πρὸ δὲ πάντων, ὦ τέκνον, ἐκεῖνα λογίσασθαι χρή, ὅπως αὐτὸς ὁ πάσης τῆς κτίσεως ποιητὴς καὶ δημιουργὸς τοῦ γένους ἡμῶν, ἄνθρωπος ἐγένετο δι' ἡμᾶς καὶ ἐπὶ γῆς ἐλθών, τοῖς ἀνθρώποις συνανεστρέφετο· τί μὴ λέγω τὸ μεῖζον; ὅτι καὶ ὑπὲρ ἡμῶν τῶν ἀγνωμόνων οἰκετῶν, ὁ δεσπότης θάνατον κατεκρίθη· καὶ ἐρραπίσθη· καὶ τέλος ἔθνησκε· καὶ ταῦτα πάντα δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν αὐτὸς ἔπασχεν· ὅπως λυθῇ τῆς ἁμαρτίας ἡ τυραννίς· ὅπως ἡ προτέρα καταδίκη ἀναιρεθῇ· ὅπως ἀνοιγῶσι καὶ πάλιν ἡμῖν οὐρανοῦ αἱ πύλαι.

Πῶς οὖν οὐκ ἀσύγγνωστον, ὦ τέκνον, αὐτὸν μὲν ὑπὲρ ἡμῶν τῶν τὰ ἀνήκεστα τετολμηκότων, καὶ ταῦτα δεσπότην ὄντα, τοιαῦτα παθεῖν· ἡμᾶς δὲ μηδὲ ὀλίγα δι' ἐκεῖνον ὑπενεγκεῖν; Ταῦτα, ὦ παῖ, λογίζου καὶ μηδέν σε τῆς ἀγάπης χωρίσοι τῆς τοῦ Χριστοῦ· μὴ ἀπειλαὶ ἡγεμόνων· μὴ αἰκισμοί· μὴ φόβοι τῶν προσκαίρων τουτωνὶ βασιλέων· ὧν ὁ θυμὸς μετὰ τῆς ὀφρύος ταχὺ ἀποπίπτει, καὶ τὸ πῦρ σβέννυται, καὶ

τὸ ξίφος ἰοῦται· ἀλλὰ σὲ τὰ ἡτοιμασμένα τοῖς Μάρτυσι μᾶλλον παρακαλείτω καλά· καὶ οὐρανὸς αὐτός, ἆθλόν σοι καὶ οὗτος τῆς μαρτυρίας προκείμενος.

Ταῦτα διὰ πάσης ἡμέρας ἡ μήτηρ αὐτὸν ὑπήλειφε τὸ τῆς ὄντως σοφίας πνεῦμα δι' αὐτῆς φθεγγόμενον ἔχουσα· ἤδη δὲ καὶ τοῦ παιδὸς καὶ πρὸ τῆς ἡλικίας πολιοῦ ὄντος τὴν σύνεσιν καὶ βαθυτέρας δεομένου τῆς παραινέσεως. Ἐπὶ τέλει δὲ προσετίθει καὶ ταῦτα· τοιαῦτα μοι τῇ σῇ μητρὶ τὰ τροφεῖα, τέκνον, ἀπόδος· οὗτός μοι τῶν ἐπὶ σοὶ ὠδίνων, γλυκύτατε παῖ, γενέσθω μισθός, ἵνα καὶ ἡ μήτηρ κατὰ Παῦλον σωθῶ διὰ τῆς τεκνογονίας, καὶ ἐν τοῖς τοῦ παιδὸς δοξασθῶ μέλεσιν· ἰδοὺ γάρ, ὦ τέκνον, ἐγὼ μὲν ἄπειμι ἤδη (ᾔσθετο γὰρ ἑαυτῆς θνησκούσης) δυνάμει χάριτος καὶ τὸ αἰσθητὸν τοῦτο φῶς οὐκ ἐπιφαύσει μοι τὸ πρωΐ· σὺ δέ μοι φῶς ἐν Χριστῷ καὶ ζωὴ καὶ σοῦ τῶν ἐμῶν δέομαι σπλάγχνων, μὴ τῶν ἐπὶ σοὶ ψευσθείην ἐλπίδων.

Μία γυνὴ Ἑβραία ποτέ, υἱοὺς ἑπτὰ προσήγαγε Μάρτυρας· καὶ ἡ αὐτὴ ἐν ἑπτὰ τοῖς ἐκείνων ἠγωνίσατο σώμασι· σὺ δέ μοι καὶ μόνος αὐτὸς ἀρκέσεις πρὸς δόξαν· καὶ μακαρία ἐν μητράσιν ἐγώ, ὅτι περ διὰ σοῦ ἐπίδοξος ἔσομαι· ἰδοὺ προπορεύσομαί σου, ὦ παῖ· καὶ κατὰ μὲν τὸ σῶμα λοιπὸν ἤδη σου τῶν ποθεινῶν ὀμμάτων χωρίζομαι σήμερον· τὴν δὲ ἐμὴν ψυχὴν ἐπειδ' ἂν τελευτήσω, τῆς σῆς ἀεὶ ψυχῆς ἐκκρέμασθαι νόμιζε, μεθ' ἧς ἐν παρρησίᾳ προσκυνήσω τῷ βήματι τοῦ Χριστοῦ, τοῖς σοῖς πόνοις ἐγκαυχωμένη· τοῖς σοῖς στίγμασιν ὡραϊζομένη· καὶ κοινωνός σοι τῶν πολυτελῶν ἐκείνων ἄθλων γινομένη καὶ τῆς φαιδρότητος.

Ταῦτα πρὸ τὸν παῖδα ἡ μήτηρ ἔλεγε· καὶ ὁμοῦ πάντα ἐκείνου κατεφίλει τὰ μέλη, ἡ μακαρία πάλιν λέγουσα, ὅτι Μάρτυρος μέλη φιλῶ· μέλη, Χριστῷ θυσία προσαχθησόμενα. Οὕτως οὖν αὐτὸν περιπτυσσομένη καὶ ὡς ἥδιστα διαλεγομένη, τὴν μακαρίαν ὄντως ἀνάπαυσιν ἀνεπαύσατο, τὸ πνεῦμα μὲν τῷ Θεῷ, τὸ δὲ σῶμα ταῖς γλυκυτάταις χερσὶ τοῦ παιδὸς ἐκείνη παραθεμένη.

Ὁ δέ, ὅσα φιλομήτωρ παῖς ἐπὶ μητρὶ φιλοστόργῳ διατελέσας, ἐκεῖνο μὲν τῇ γῇ παραδίδωσιν, αὐτὸς δὲ τὸν μονήρη βίον ἐπαναιρεῖται, τούτῳ εὐθὺς πρώτῳ μητρὸς ἐντολαῖς χαριζόμενος, τῷ ἀποστῆναι κόσμου διὰ Χριστόν, ὑπὲρ οὗ μετὰ ταῦτα καὶ τῆς ζωῆς ἤμελλεν. Ἔκτοτε οὖν παρὰ πάντα τὸν βίον αὐτοῦ ὀσπρίοις μόνοις εἰς τροφὴν ἐχρῆτο, τῶν τριῶν ἀεὶ μεμνημένος παίδων, ὧν τὰ σώματα ἡ νηστεία στομώσασα, ἀνάλωτα μὲν τῷ πυρὶ τῶν παθῶν, ἀχώνευτα δὲ τῇ φλογὶ τῆς αἰσθητῆς καμίνου εἰργάσατο.

Ἑρμηνεία

ΟΤΑΝ Ο ΑΓΙΟΣ ΚΛΗΜΗΣ ἦτο ἀκόμη νήπιον, ἀπέθανεν ὁ πατήρ του. Ἡ μητέρα του λοιπὸν παραμείνασα ἔρημη ἀπὸ ἄνδρα, ἐστήριξε τὰς ἐλπίδας της, μετὰ τὸν Θεόν, μόνον εἰς τὸ μονάκριβον παιδί της. Τόσον πολὺ δὲ ἀφιερώθη εἰς αὐτό, ὥστε ἔγινε διὰ τὸ παιδί της τὰ πάντα, καὶ πατέρας καὶ παιδαγωγὸς καὶ μητέρα.

Ἐνῷ δὲ ὁ Κλήμης ἐμεγάλωνε καὶ ἐτρέφετο καὶ διεπαιδαγωγεῖτο ἄριστα ἀπὸ τὴν φιλόστοργον μητέρα του, ἐκείνη προῃσθάνθη νὰ ἐγγίζῃ ὁ θάνατός της. Τότε λοιπὸν ἀγκαλιάζει μὲ τρυφερότητα καὶ μητρικὴν λαχτάρα τὸ παιδί της, ποὺ δὲν εἶχεν ἀκόμη συμπληρώσει τὸ δέκατον ἔτος

τῆς ἡλικίας του, καὶ τὸ ὁποῖον ἐπεδίωκε νὰ καταστήσῃ κληρονόμον καὶ διάδοχον ὄχι τοῦ ἰδικοῦ της πλούτου, ἀλλὰ τῶν οὐρανίων θησαυρῶν καὶ ἤρχισεν, ἐνῷ τὸ ἠσπάζετο μὲ πολλὴν ἀγάπην, νὰ τοῦ παραγγέλλῃ:

— Παιδί μου, παιδί μου ἀγαπημένον, παιδί μου τὸ ὁποῖον προτοῦ μὲν γνωρίσῃς τὸν πατέρα σου ἔμεινες ὀρφανόν, ἀλλ' ἐπλούτησες, διότι ἀπέκτησες πατέρα τὸν Θεόν, ὁ ὁποῖος μετέβαλε τὴν ὀρφανίαν σου εἰς εὐτυχίαν· ἐγὼ βεβαίως σὲ ἐγέννησα σωματικῶς, ὁ Χριστός μας ὅμως μὲ τὴν δύναμιν τοῦ πνεύματος σὲ ἐμεγάλωσε· γνώρισε τὸν Πατέρα σου· μὴ διαψεύσῃς τὴν ἰδιότητα τοῦ υἱοῦ τοῦ Σωτῆρος· μόνον τὸν Χριστὸν νὰ λατρεύῃς· μόνον εἰς τὸν Χριστὸν νὰ ἔχῃς πεποίθησιν· Αὐτὸς εἶναι ἡ πραγματικὴ ἀθανασία· Αὐτὸς εἶναι ἡ σωτηρία μας· Αὐτὸς εἶναι ἐκεῖνος ὁ ὁποῖος κατέβηκε ἀπὸ τὸν οὐρανὸν δι' ἡμᾶς καί, μὲ τὴν Ἀνάστασίν Του, συνανύψωσε καὶ ἡμᾶς πρὸς τὸν οὐρανὸν καὶ μᾶς κατέστησε καὶ πάλιν τέκνα τοῦ Θεοῦ.

Ἐκεῖνος λοιπὸν ποὺ θὰ ὑποταχθῇ εἰς Αὐτὸν τὸν Δεσπότην, θὰ ἀποφύγῃ ὅλας τὰς δυσκολίας· ὄχι μόνον θὰ νικήσῃ τοὺς βασιλεῖς καὶ τυράννους, ποὺ τιμοῦν τὰ εἴδωλα, ἀλλὰ θὰ ἐντροπιάσῃ ἀκόμη καὶ τοὺς ὑπὸ τῶν εἰδωλολατρῶν τιμωμένους δαίμονας, καὶ αὐτὸν τοῦτον τὸν ἀρχηγὸν καὶ προστάτην των, τὸν Διάβολον.

Κατόπιν, ἐνῷ ἔλεγεν αὐτά, οἱ ὀφθαλμοί της ἐγέμισαν δάκρυα, ἡ ψυχή της κατελήφθη ἀπὸ τὴν θείαν χάριν καὶ εἶδε, μὲ τοὺς ὀφθαλμούς τῆς διανοίας θεωρίαν, ἀναφερομένην εἰς ὅσα ἐπρόκειτο νὰ συμβοῦν εἰς τὸ παιδί της, τὰ ὁποῖα καὶ προφητικώτατα τοῦ διηγεῖτο. Τοῦ ἔλεγε· Σὲ παρακαλῶ, πολυαγαπημένε υἱέ μου, νὰ μοῦ κάνῃς, ἀντὶ ὅλων αὐτῶν, μίαν χάριν· ἐπειδὴ ἐφθάσαμεν εἰς δύσκολα χρόνια, καὶ πνέει, μὲ σφοδρότητα, ὁ διωγμὸς τῆς ἀσεβείας, γνωρίζω καλὰ ὅτι καὶ σὺ θὰ ὁδηγηθῇς ὅπως προεῖπεν ὁ Δεσπότης μας Χριστός, πρὸς χάριν Του, ἐνώπιον βασιλέων καὶ ἡγεμόνων. Αὐτὴν λοιπὸν τὴν τιμὴν ἐπιθυμῶ, παιδί μου, νὰ μοῦ δώσῃς, νὰ ἀντισταθῇς μὲ γενναιότητα, χάριν τοῦ Σωτῆρος, πρὸς τοὺς τυράννους, καὶ νὰ διατηρήσῃς, πρὸς χάριν μου, τὴν ὁμολογίαν σοῦ ἀσφαλῆ μέχρι τέλους τῆς ζωῆς σου. Καὶ ἔχω ἐμπιστοσύνην εἰς τὸν Χριστόν μου, ὅτι γρήγορα θὰ ἀνθήσῃ καὶ εἰς τὴν κεφαλήν σου ὁ μαρτυρικὸς στέφανος.

Νὰ ἑτοιμάζεσαι λοιπόν, καὶ νὰ παρακινῇς πρὸς ἀνδρείαν τὴν ψυχήν σου, ὥστε νὰ μὴ εὑρεθῇς ἀνέτοιμος, κατὰ τὴν ὥραν τῶν ἀγώνων. Διότι ἡ πάλη εἰς τὴν ὁποίαν καλεῖσαι, δὲν διεξάγεται ἐναντίον συνηθισμένων ἐχθρῶν, οὔτε χάριν τῶν κοινῶν ἀγαθῶν, ἀλλά, καθ' ὅσον μὲν ἀφορᾷ τοὺς ἀνταγωνιστὰς τῆς πάλης αὐτῆς, πρόκειται περὶ τοῦ ἰδίου τοῦ πονηροῦ, τῶν ὑπασπιστῶν του καὶ τῶν ὑπηρετῶν του. Καθ' ὅσον δ' ἀφορᾷ τὸν σκοπὸν τῆς πάλης, ὁ ἀγὼν διεξάγεται διὰ τὴν αἰώνιον ζωὴν καὶ τιμήν, ἤ, εἰς περίπτωσιν ἀποτυχίας τοῦ ἀγῶνος, ἡ ζημία θὰ εἶναι ἐντροπὴ ἀτελείωτη καὶ αἰώνιος κόλασις. Εἰς τὴν πάλην λοιπὸν αὐτήν, ἂς σὲ παρακινοῦν τὰ καλὰ καὶ τὰ ὠφέλιμα, παρὰ νὰ σὲ φοβίζουν τὰ δεινά, τὰ ὁποῖα θὰ δοκιμάσῃς.

Εἶναι, παιδί μου, αἰσχρὸν πρᾶγμα οἱ μὲν στρατιῶται νὰ ἀποθνή-

σκουν θεληματικὰ πρὸς χάριν βασιλέως ἐπιγείου, ὁ ὁποῖος καὶ αὐτὸς εἶναι θνητὸς καὶ δοῦλος, ὅπως αὐτοί, ἡμεῖς δὲ νὰ μὴ ὑπομένωμεν τὸν θάνατον, ὅπως ἐκεῖνοι, χάριν τοῦ ἀθανάτου Βασιλέως. Λάβε δὲ ὑπ' ὄψιν σου, ὅτι οἱ στρατιῶται τοῦ ἐπιγείου βασιλέως δὲν λαμβάνουν, ἀπὸ αὐτόν, τίποτε ἄξιον τῆς ἀφοσιώσεώς των· διότι ποία δωρεὰ εἶναι ἀξία τῆς προσφορᾶς τῆς ζωῆς; ἢ τί μπορεῖ νὰ καταλάβῃ ὁ σκοτωμένος, μετὰ θάνατον, ἀπὸ τὰς τιμὰς ποὺ τοῦ ἀποδίδουν;

Ἂν ὅμως ἀποθάνῃς, χάριν τοῦ κοινοῦ Δεσπότου ὅλων, τοῦ Σωτῆρος Χριστοῦ, τότε θὰ ἔχῃς κερδίσει ἀντὶ τῆς προσκαίρου τὴν αἰώνιον ζωήν· ἀντὶ δὲ τῆς παρερχομένης ἀπολαύσεως καὶ δόξης καὶ πλούτου, ποὺ φεύγει ἀπὸ τὰ χέρια τῶν κατεχόντων, θὰ ἀπολαύσῃς τὴν χαρὰν τῆς αἰωνίου μακαριότητος.

Μήπως ἂν δὲν ἀποθάνωμεν τώρα, δὲν θὰ ἀποθάνωμεν ἐντὸς ὀλίγου ὁπωσδήποτε, διὰ νὰ πληρώσωμεν αὐτὴν τὴν κοινὴν εἰς ὅλους τοὺς ἀνθρώπους ὑποχρέωσιν τῆς φθορᾶς; Ἄλλωστε ὁ θάνατος χάριν τοῦ Χριστοῦ δὲν εἶναι ὀρθὸν καὶ δίκαιον νὰ θεωρῆται θάνατος· διότι μὲ τὴν δύναμιν τῆς καλυτέρας ἐλπίδος διὰ τὰ μέλλοντα ἀγαθά, ἐξαφανίζεται καὶ αὐτὴ ἀκόμη ἡ αἴσθησις τοῦ θανάτου.

Πρὸ πάντων δέ, παιδί μου, ἐκεῖνα πρέπει νὰ σκεφθῇς· ὅτι, δηλαδή, ὁ ποιητὴς ὅλης τῆς κτίσεως καὶ δημιουργὸς τοῦ γένους μας, ἔγινε δι' ἡμᾶς ἄνθρωπος, καὶ ἀφοῦ ἦλθεν ἐπάνω εἰς τὴν γῆν συνανεστρέφετο μὲ τοὺς ἀνθρώπους. Διατί δὲ νὰ μὴ εἴπω τὸ σπουδαιότερον; Ὅτι ὁ Δεσπότης ἡμῶν, τῶν ἀχαρίστων ὑπηρετῶν, καὶ εἰς θάνατον κατεδικάσθη· καὶ ἐρραπίσθη· καὶ τέλος εἰς τὸν Σταυρὸν ἀπέθανε.

Καὶ ὅλα αὐτὰ τὰ ἔπαθε δι' ἡμᾶς καὶ τὴν σωτηρίαν ἡμῶν, διὰ νὰ καταργηθῇ ἡ τυραννία τῆς ἁμαρτίας, διὰ νὰ παύσῃ νὰ ἔχῃ κῦρος ἡ προηγουμένη καταδίκη· διὰ νὰ ἀνοιγῶσι καὶ πάλιν εἰς ἡμᾶς αἱ πύλαι τοῦ οὐρανοῦ.

Πῶς λοιπὸν νὰ μὴ εἶναι ἀσυγχώρητον, παιδί μου, Αὐτὸς μέν, ἂν καὶ εἶναι Δεσπότης ὅλων μας, νὰ ὑποστῇ τοιαῦτα φοβερὰ πάθη χάριν ἡμῶν, ποὺ εἴχομεν τολμήσει νὰ διαπράξωμεν τὰ ὀλεθριώτατα, ἡμεῖς δὲ νὰ μὴ θέλωμεν νὰ ὑποφέρωμεν, χάριν Ἐκείνου, οὔτε τὰ πλέον ἐλάχιστα;

Αὐτά, παιδί μου, νὰ σκέπτεσαι καὶ τίποτε νὰ μὴ σὲ χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ· οὔτε ἀπειλαὶ ἡγεμόνων, οὔτε σωματικὰ βασανιστήρια, οὔτε φόβοι τῶν ἐπιγείων βασιλέων, τῶν ὁποίων ὁ θυμός, μαζὶ μὲ τὴν ὑπερηφάνειάν των, γρήγορα περνοῦν, καὶ ἡ φωτιὰ σβύνει, καὶ τὸ ξίφος σκουριάζει. Ἀλλὰ πρέπει νὰ σὲ προσελκύουν πρὸ παντὸς τὰ καλά, ποὺ ἔχουν ἑτοιμασθῆ διὰ τοὺς Μάρτυρας· καὶ αὐτὸς ἀκόμη ὁ οὐρανὸς εἶναι βραβεῖον διὰ σέ, προκείμενον διὰ τὸ μαρτύριον.

Αὐτὰ τὸν συνεβούλευε καθημερινῶς ἡ μητέρα, ἔχουσα πραγματικῶς μέσα της αὐτὸ τοῦτο τὸ πνεῦμα τῆς σοφίας, τὸ ὁποῖον ὡμίλει δι' αὐτῆς· καὶ τὸ παιδὶ ὅμως ἦτο τόσον συνετὸν ὡς ἐὰν ἦτο ἀσπρομάλλης γέρων καὶ διὰ τοῦτο εἶχεν ἀνάγκην ἀπὸ τοιαύτας βαθυτέρας προτροπάς. Εἰς τὸ

τέλος δὲ ἡ εὐσεβὴς μητέρα προσέθεσε καὶ τὰ ἑξῆς: Τοιούτου εἴδους τροφεῖα, παιδί μου, ἀπόδωσε εἰς ἐμὲ τὴν μητέρα σου· αὐτός, τέκνον μου, ἂς εἶναι δι' ἐμὲ ὁ μισθὸς διὰ τοὺς πόνους ποὺ ἐδοκίμασα, ὅταν σὲ ἐγεννοῦσα, διὰ νὰ σωθῶ καὶ ἐγὼ διὰ τῆς τεκνογονίας, ὅπως λέγει ὁ Ἀπόστολος Παῦλος, καὶ νὰ δοξασθῶ διὰ τῶν μελῶν τοῦ παιδιοῦ μου. Ἐγώ, παιδί μου, ἐντὸς ὀλίγου θὰ φύγω πλέον ἀπὸ τὸν κόσμον αὐτὸν (τοῦτο εἶπε διότι προῃσθάνετο πλέον τὸν θάνατόν της) μὲ τὴν δύναμιν τῆς Χάριτος καὶ δὲν θὰ μὲ φωτίσῃ πλέον τὸ αἰσθητὸν αὐτὸ φῶς, κατὰ τὸ πρωΐ· σὺ θὰ εἶσαι λοιπὸν δι' ἐμὲ φῶς, μὲ τὴν δύναμιν τοῦ Χριστοῦ, καὶ ζωὴ καὶ σὲ παρακαλῶ, τὰ σπλάγχνα μου, νὰ μὴ διαψευσθοῦν αἱ ἐλπίδες, ποὺ ἐστήριξα ἐπάνω σου.

Κάποτε μία Ἑβραία ὡδήγησεν ὡς Μάρτυρας διὰ τὸν Χριστὸν ἑπτὰ παιδιά· καὶ ἡ ἰδία ἠγωνίσθη μαρτυρικῶς ἑπτὰ φοράς,* σὺ ὅμως θὰ εἶσαι δι' ἐμὲ καὶ μόνος σου ἀρκετὸς διὰ τὴν δόξαν μου· καὶ θὰ εἶμαι τρισευτυχισμένη μεταξὺ τῶν μητέρων ἐγώ, ἐφ' ὅσον, ἐξ αἰτίας σου, θὰ δοξασθῶ πολύ. Παιδί μου, ἰδοὺ θὰ πορευθῶ ἐνωρίτερα ἀπὸ σὲ πρὸς τὴν αἰωνιότητα. Σήμερα σὲ ἀποχωρίζομαι πλέον σωματικῶς καὶ δὲν θὰ ἀντικρύσω εἰς τὸ ἑξῆς τοὺς ποθητοὺς δι' ἐμὲ ὀφθαλμούς σου. Νὰ πιστεύῃς δὲ ὅτι μόλις θὰ ἀποθάνω, ἡ ψυχή μου θὰ εἶναι κρεμασμένη ἐπάνω εἰς τὴν ψυχήν σου, μετὰ τῆς ὁποίας θὰ προσκυνήσω, μὲ παρρησίαν, εἰς τὸ βῆμα τοῦ Χριστοῦ, καυχωμένη διὰ τοὺς μαρτυρικούς σου πόνους, καθισταμένη ὡραιοτέρα ἀπὸ τὰ μαρτυρικά σου στίγματα, ἀποβαίνουσα οὕτω καὶ ἐγὼ κοινωνὸς τῶν σπανίων καὶ πολυτελῶν βραβείων σου καὶ τῆς χαρᾶς σου.

Αὐτὰ ἔλεγεν ἡ μητέρα πρὸς τὸ παιδί της, ἐνῷ συγχρόνως ἐφιλοῦσεν ἀχόρταγα τὰ μέλη του, ἐπαναλαμβάνουσα πάλιν ἡ μακαρία· Μάρτυρος μέλη φιλῶ· μέλη τὰ ὁποῖα, ἐντὸς ὀλίγου, θὰ προσαχθοῦν ὡς θυσία εἰς τὸν Χριστόν.

Ἔτσι λοιπὸν τρυφερὰ ἐναγκαλιζομένη τὸ παιδί της καὶ γλυκὰ - γλυκὰ συνομιλοῦσα μαζί του ἀνεπαύθη πράγματι τὴν τρισευτυχισμένην ἀνάπαυσιν, παραδώσασα τὸ μὲν πνεῦμα της εἰς τὸν Θεόν, τὸ δὲ σῶμα της εἰς τὰς γλυκυτάτας χεῖρας τοῦ παιδιοῦ της.

Ὁ υἱὸς πάλιν ἐξεπλήρωσεν ὅσα ἐπεβάλλετο εἰς παιδί, ποὺ ἀγαποῦσε φιλόστοργον μητέρα· ἀμέσως παρέδωσε τὸ σῶμα τῆς μητρός του, διὰ τοῦ ἐνταφιασμοῦ, εἰς τὴν γῆν· αὐτὸς δὲ ἀμέσως καὶ χωρὶς ἀναβολὴν ἐκλέγει τὸν Μοναχικὸν βίον, ἀφιερώνων εἰς αὐτὸν πρῶτον τὸν ἑαυτόν του σύμφωνα μὲ τὴν μητρικὴν ἐντολήν, νὰ ἀπομακρυνθῇ δηλαδὴ ἀπὸ τὸν κόσμον διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ, χάριν τοῦ Ὁποίου ἐπρόκειτο, μετ' ὀλίγον, καὶ αὐτὴν τὴν ζωήν του νὰ θυσιάσῃ. Ἀπὸ τότε λοιπόν, καθ' ὅλον τὸν μοναχικὸν βίον του, ἐτρέφετο μὲ ὄσπρια μόνον, ἐνθυμούμενος πάντοτε τοὺς τρεῖς παῖδας, τῶν ὁποίων τὰ σώματα ἀνέδειξεν ἡ νηστεία ἀκατάβλητα,

---

* Πρόκειται διὰ τὴν ἁγίαν Σολομονὴν καὶ τοὺς ἑπτὰ υἱούς της, ποὺ τιμῶνται ὑπὸ τῆς Ἐκκλησίας τὴν 1ην Αὐγούστου.

ὥστε νὰ μὴ καοῦν ἀπὸ τὴν φωτιὰν τῶν παθῶν, ἀλλὰ καὶ νὰ μὴ καοῦν ἀκόμη καὶ ἀπὸ αὐτὰς τὰς φλόγας τῆς αἰσθητῆς καμίνου!

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀλυπίου

Ο ΜΕΓΑΣ ΑΛΥΠΙΟΣ, τῷ πρὸς τὸν Θεὸν φίλτρῳ τὴν καρδίαν πυρούμενος καὶ ζητῶν τί ἂν διαπραξάμενος ἐν τῷ παρόντι βίῳ, ὅλος δυνατὸς γένοιτο συνεῖναι τῷ ποθουμένῳ διὰ παντός, καὶ ὅλῳ νοΐ τρανῶς αὐτὸν βλέπειν καὶ καθαρωτάτως συνάπτεσθαι, ἔγνω πᾶσιν ἀποταξάμενος καὶ μακρὰν δήπου γενόμενος φίλων, συγγενῶν, γνωρίμων καὶ τῆς τεκούσης αὐτῆς, τὸ τῆς ἡσυχίας ἑλέσθαι καλόν. Μόνῃ δὲ τῇ μητρὶ τὸ πρᾶγμα πιστεύων, ἐπὶ τὴν ἀνατολήν, ἔφη, μῆτερ, ἀφικέσθαι με πόθος εἷλε θερμός, ἔνθα πολλοὶ τὸν ἡσύχιον βίον ἑλόμενοι, θεοφιλῶς τε καὶ μακαρίως ἔζησαν· πρὸς ταύτην οὖν με πρόπεμψον τὴν ὁδόν, οἷόν τι φυλακτήριον τὰς εὐχάς μοι δωρησαμένη.

Τούτων ἐκείνη ἀκούσασα, πάσχει γυναικεῖον οὐδέν, οὐ χηρείαν, οὐ μόνωσιν προβαλλομένη, οὐ παιδὸς στέρησιν οὕτω καλοῦ, πράγματος ἀφορήτου μητράσι, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν φθεγξαμένη, οὐ δράσασα εἰς χαύνωσιν τῆς τοῦ φιλουμένου προθέσεως (ἐφίλει γὰρ ὄντως ἐκείνη οὐ τὸ ἴδιον, τὸ τοῦ παιδὸς δὲ μᾶλλον συμφέρον), ἀλλ᾽ ὑψοῦ καὶ ὄμματα καὶ χεῖρας διάρασα, ὅλην εἰς προσευχὴν συνέσφιγξε τὴν διάνοιαν· καὶ ἄπιθι, τέκνον ἐμόν, ἄπιθι ἔνθα ἂν τὸ κινοῦν ἰθύνησε πνεῦμα.

Ἰδοὺ γὰρ ὁ Θεὸς ᾧ ζῶμεν, καὶ ᾧ παρατίθημί σε, αὐτὸς ἐξαποστελεῖ τὸν Ἄγγελον αὐτοῦ ἀπὸ προσώπου σου, καὶ ὁδηγήσοι σε κατὰ τὸ αὐτοῦ θέλημα, ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου, ἐνδύσαι σε θώρακα δικαιοσύνης καὶ περικεφαλαίαν σωτηρίου σοι περιβάλοι· ἐκλάμψοι ὡς μεσημβρία ἡ δικαιοσύνη τῶν ἔργων σου, ἀνθ᾽ ὧν ὑπὲρ γονεῖς, ὑπὲρ πατρίδα, τὸν δεσπότην ἠγάπησας. Μήτηρ ὄντως ἐκείνη τοιοῦδε παιδός, καὶ διὰ τοῦτο στερροτέραν τῆς φύσεως θεμένη τὴν ἀρετήν, οὐδὲν ἀνάξιον δρᾶσαι ἢ εἰπεῖν ἰσχυρίσατο.

Εἶτα μετὰ τὴν εὐχὴν ὁ παῖς τῷ τραχήλῳ τῆς μητρὸς περιφύς, ἡ μήτηρ τε τὸν παῖδα ποθεινῶς ἀγκαλισαμένη, θερμὸν δάκρυον ἐπ᾽ ἀλλήλους σταλάξαντες καὶ κατασπασάμενοι, ἀπηλλάττοντο, τῆς μητρὸς μὲν ἐπ᾽ οἶκον, τοῦ παιδὸς δὲ τῆς ποθουμένης ἁψαμένου πορείας. Ἐπεὶ δὲ μετ᾽ οὐ πολλὰς ἡμέρας δήλη τούτου ἡ ἀναχώρησις γέγονεν, ἀθυμία ὡς τὸ εἰκὸς ἐλάμβανε πάντας. Ὁ μέντοι τῆς Ἐκκλησίας πρόεδρος, οὐδὲ πρὸς βραχὺ μελήσας μετὰ τὴν ἀκοήν, ἐπεχείρει καταδιώκειν καὶ δὴ καταλαμβάνει τοῦτον ἐν Εὐχαΐτοις ἤδη τῆς πανηγύρεως τελουμένης τοῦ Μάρτυρος Θεοδώρου· καὶ πείθει ταῖς δεήσεσι, προσθεὶς καὶ δάκρυα, πρὸ τὴν ἐνεγκοῦσαν ἐπανελθεῖν· ἀμέλει καὶ θείας ὄναρ ἤκουσεν ἀγγελίας μηδὲν ἀθυμεῖν κελευούσης, ὡς τοῦ σκοποῦ διημαρτηκότα· ἐκεῖσε γὰρ εἶναι τοὺς ἁγίους τόπους ὁ φανεὶς ἔλεγεν, ἔνθα ἄν τις ζῆν εὐσεβῶς ἕλοιτο.

Οὕτω Χριστοῦ εὐδοκίᾳ τῇ οἰκείᾳ πατρίδι καὶ γῇ πάλιν ὁ γλυκὺς ἐκείνης ἀπεδόθη καρπός. Ἐπεὶ δὲ ἐπανῆλθεν, ἐφ᾽ ἓν τῶν ὀρέων κατὰ μεσημβρίαν τῆς πόλεως ἀνελθών, καὶ ἐν οἰκίσκῳ τινὶ χαμαιζήλῳ πρότερον ἐγκλείσας ἑαυτόν, πρὸς ἀσκητικοὺς ἀποδύεται πόνους· καὶ χρόνον τινὰ οὕτω διαγαγών, καὶ ἱκανῶς τοῖς τῆς ἀρετῆς πόνοις ἐγγυμναζόμενος, ἐπεὶ τὴν ταπεινὴν καὶ πρόσγειον ἀποδοκιμάζων οἴκησιν, ὑψηλοτέρας ἐφίετο, ὁ τῶν ὑψηλῶν καὶ θείων διὰ παντὸς ὀρεγόμενος.

Ἰδὼν οὖν ἔν τινι τῶν ἐκεῖσε τάφων κίονα βραχύν, τῇ κεφαλίδι τούτου ὀλίγαις σανίσι περιλαμβάνει· εἶτα ἐν τούτῳ περιγράφει τὸ σῶμα καὶ ἦν οὕτω πρὸς τὰς ἐναντίας ἐκτροπὰς τοῦ ἀέρος διαμιλλώμενος οὐχ ἥκιστα πρὸς τοῦτο συνεργοῦσαν ἔχων καὶ τὴν μητέρα, ἣ ὅλως αὐτοῦ οὐκ ἀφίστατο. Ποτὲ οὖν τὰ τῆς πονηρίας πνεύματα φθονοῦντα τῷ Ἁγίῳ τῆς ἀγγελικῆς ἐκείνης διαγωγῆς, ἑαυτοὺς εἰς φάλαγγα τάξαντες τοσούτους κατ' αὐτοῦ λίθους ἀφῆκαν, ὡς τὰς κύκλῳ σανίδας, αἷς περιείληπτο, ταῖς τῶν λίθων βολίσι διαλυθῆναι καὶ τῆς ἰδίας ἁρμονίας ἔκστασιν ὑποστῆναι, ἕνα τε τῶν τοιούτων λίθων (μέγας δὲ ἦν) τὸν τοῦ Ἁγίου ὦμον ἰσχυρῶς ἐπιτρίψαι. Ὁ δὲ δεῖξαι θελήσας τοῖς δαίμοσιν ὅτι βέλος νηπίων τὰς παρ' αὐτῶν ἡγεῖται πληγάς, μετὰ τὴν ἑωθινὴν προσευχήν, σκέπαρνον λαβὼν παρὰ τῆς μητρός, τὸ πᾶν διαλύει τῆς στέγης, καὶ ἐπὶ γῆς καθαιρεῖ, ἵνα μὴ εἴργῃ, φησί, πολλάκις τὰς ἐκ τῶν λίθων βολάς.

Ἡ δὲ μήτηρ ὡς τοῦ ψόφου ᾔσθετο τῶν σανίδων καὶ ταύτας διαθραυσθείσας εἶδεν ἐπὶ γῆς, τῇ δεξιᾷ τὸ μέτωπον τύπτουσα. τί τοῦτο ἔλεγε, τέκνον; τί τὴν μικρὰν ταύτην σου φυλακὴν κατέστρεψας; πῶς ὥρας οἴσεις χειμῶνος; πῶς ἀερίων ὄμβρων τοὺς λάβρους κατακλυσμούς; πῶς τὰς θερίους ἀκτῖνας, ἴσα καὶ πυρὶ φλεγούσας; Εἶτα πρὸς ταῦτα ὁ Ὅσιος, τί δέ; οὐ ῥιγήσομεν, ὦ μῆτερ, ἵν' ἐκεῖ θαλφθῶμεν; οὐ τὸν καύσωνα τῆς ἡμέρας οἴσομεν, ἵνα τῆς αἰωνίου φλογὸς τὴν τιμωρίαν ἐκκλίνωμεν; πρὸς δὲ καὶ τὸν τῆς ἐργασίας μισθὸν ἐπάξιον κομισώμεθα; Ταῦτα καὶ ἄλλα τούτοις παραπλήσια ἐπειπὼν πείθει τὴν μητέρα ἐπιτρέψαι μικροῦ, μηδὲ τὰς σανίδας μόνον ἀποβαλεῖν, ἀλλὰ καὶ τὸν χιτῶνα προσαποδύσασθαι· ἐλεεῖν γὰρ οὐκ ᾔδει τὸν παῖδα, εἰ καὶ λίαν ὑπῆν αὐτῇ τὸ φιλότεκνον, ἔνθα διὰ Χριστὸν ἑώρα πάσχοντα· ἠρνεῖτο τὴν φύσιν, ἵνα τοῦ γεννηθέντος προκρίνῃ Θεόν.

Ἦν οὖν ἰδεῖν τις ἀληθῶς μητέρα ἐπὶ φιλτάτῳ παιδὶ καὶ παῖδα ἐπὶ φιλοθέῳ μητρὶ εὐφραινόμενον, εἶτα καὶ Θεὸν ὑπ' αὐτοῖς οἰκειότατα δοξαζόμενον. Τίς γὰρ τῆς σεμνῆς ἐκείνης οὐκ εὐλόγησε τὸν καρπόν; ἢ τίς πάλιν τοῦ τοιοῦδε τὴν ῥίζαν οὐκ ἐμακάρισε; πρὸς γὰρ τοῖς ἄλλοις, οἷς εἶχε καλοῖς, καὶ συμπαρέμεινε τῷ παιδί, ὡς ἔφην, ταῖς αὐτοῦ χρείαις διακονοῦσα πρὸς τῷ στύλῳ τὴν σκηνὴν πηξαμένη καὶ τερπνοῖς μὲν πᾶσι τοῖς κατὰ τὸν βίον ἀπειπαμένη, ὡς ἐν παραδείσῳ δὲ παρεδρεύουσα καὶ τρυφῶσα, ταῖς ἰδίαις τε κοπιῶσα χερσὶ καὶ ποριζομένη τὰ ἐπιτήδεια, διόλου τε ἐλέους καὶ πενήτων φροντίζουσα· ὅθεν καί τινος τρίτον ποτὲ νομίσματος φιλευσεβεῖ τρόπῳ παρασχομένου, τοῦτο λαβοῦσα γνώμῃ τοῦ παιδὸς ἐπὶ τὴν πόλιν ἀπῄει, ὥς τε τὰ ἀναγκαῖα πρίασθαι πρὸς δαπάνην.

Ἐπεὶ δὲ τοῦτο ποιήσασα ἐπανῄει, ὅρκοις ἐπικλασθεῖσα πενήτων, τὸ πᾶν διέδωκεν. Ὡς δὲ ταύτην ἴδοι ὁ παῖς μηδὲν μετὰ χεῖρας ἔχουσαν, ποῦ τὰ ἐωνημένα, μῆτερ, φησί, δεόμεθα γὰρ εἰς δαπάνην· ἡ δέ, εἰς Θεόν, ἔφη, τέκνον, καὶ πένητας· ἀλλὰ καὶ εἰς ἡμᾶς ὡς ἐπίστευσα· οὐδὲ γὰρ ἔκρινα, περὶ ἐλάττονος τῆς ἡμετέρας τροφῆς τοὺς ὅρκους θέσθαι τῶν δεομένων καὶ ταύτῃ ζῶντα ἐπιορκῆσαι Θεόν, ἐπίστευσα δὲ μᾶλλον ὅτι καὶ ἡμεῖς, εὐχαῖς ἐκείνων, ἐλέους τευξόμεθα. Ἐπὶ τούτοις εὐλόγησε τὴν μητέρα ὁ θεῖος ἀνήρ, ἅτε παῖς ἐκείνης, καὶ ἡδέως τὸ γεγονὸς ἐδέξατο.

2. Καὶ ἡ θαυμαστὴ δὲ Σοφία τὰς ἰδίας τρεῖς θυγατέρας, Πίστιν, Ἐλπίδα καὶ Ἀγάπην, καὶ πρὸ τοῦ μαρτυρίου, λόγοις παραινετικοῖς καὶ τῷ ὄντι θεοφιλέσι, πρὸς τοὺς ἀγῶνας ἐστόμωσε καὶ τὸν θάνατον· καὶ ἐν αὐτῷ δὲ τῷ μαρτυρίῳ παροῦσα


ὁ ἅγιος
Ἀλύπιος
ὁ Στυλίτης
χεὶρ Δημητρίου

τε καὶ δρῶσα ἑκάστην ἐν τῷ πάσχειν παρακλητικοῖς λόγοις ἐθαρσοποίει ἕως εἶδε πάσας τελειωθείσας· καὶ λίαν εὐφρανθεῖσα καὶ τῷ Θεῷ μεγάλως εὐχαριστήσασα, μετὰ τρεῖς ἡμέρας ταῖς θυγατράσι καὶ αὐτὴ συναπῆλθε, ταῖς ἐκείνων προσφῦσα σώμασι καὶ συγκληρονόμος αὐταῖς τῆς οὐρανίου δόξης ἐγένετο.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ ΑΛΥΠΙΟΣ φλογιζόμενος ἀπὸ τὴν ἀκατανίκητον πρὸς τὸν Θεὸν ἀγάπην καὶ ἐξετάζων, μετὰ προσοχῆς, τί θὰ ἠμποροῦσε νὰ πράξῃ κατὰ τὴν παροῦσαν ζωήν, ὥστε νὰ καταστῇ δυνατὸν νὰ παραμείνῃ συνεχῶς ἡνωμένος μὲ τὸ ἀντικείμενον τῶν πόθων του καὶ εὐδιακρίτως νὰ βλέπῃ μὲ ὅλον τὸν νοῦν του τὸν Θεὸν καὶ νὰ εἶναι πραγματικῶς ἡνωμένος μαζί Του, κατέληξεν εἰς τὴν ἀπόφασιν, νὰ ἀρνηθῇ ὅλα τὰ ἐγκόσμια καὶ νὰ ἀπομακρυνθῇ ἀπὸ συγγενεῖς, φίλους, γνωστοὺς καὶ ἀπὸ αὐτήν, ἀκόμη, τὴν μητέρα ποὺ τὸν ἐγέννησε καὶ νὰ διαλέξῃ, ὡς τρόπον ζωῆς, τὸ καλὸν τῆς ἡσυχίας.

Τὴν ἀπόφασίν του αὐτὴν ἐμπιστεύεται μόνον εἰς τὴν μητέρα του.

— Μητέρα, — τῆς εἶπε — μὲ κατέλαβε φλογερὸς πόθος νὰ μεταβῶ πρὸς τὰ μέρη τῆς Ἀνατολῆς, ὅπου πολλοί, ἀφοῦ ἐξέλεξαν τὸν ἡσυχαστικὸν βίον, ἔζησαν τὴν ζωήν των εὐτυχισμένοι, μὲ πνευματικὴν μακαριότητα καὶ μὲ ἰσχυρὰν πρὸς τὸν Θεὸν ἀγάπην. Πρὸς αὐτὴν λοιπὸν τὴν ὁδὸν σὲ παρακαλῶ νὰ μὲ κατευοδώσῃς καὶ νὰ μοῦ δωρήσῃς, ὡς φυλακτόν, τὰς εὐχάς σου.

Μόλις ἡ μητέρα ἐκείνη ἤκουσε τὴν ἀπόφασιν τοῦ υἱοῦ της, δὲν ἐδοκίμασε τίποτε, ἀπὸ ὅσα συνήθως παθαίνουν αἱ γυναῖκες, ὅταν πληροφορηθοῦν τοιαύτας ἀποφάσεις ἀπὸ τὰ παιδιά των· καὶ δὲν προέβαλεν ὡς ἀντίρρησιν οὔτε τὴν χηρείαν της, οὔτε τὴν μοναξιάν της, οὔτε τὴν στέρησιν καλοῦ παιδιοῦ, ποὺ εἶναι τόσον ἀνυπόφορος διὰ τὰς μητέρας, οὔτε τίποτε σχετικὸν μὲ αὐτὰ εἶπε, οὔτε, ἐν πάσῃ περιπτώσει, ἔκαμε τίποτε διὰ νὰ ἐξασθενήσῃ εἰς τὴν ψυχὴν τοῦ παιδιοῦ της τὸν ἅγιον πόθον του· (διότι καὶ ἐκείνη ἡ εὐλογημένη δὲν ἠγάπα τόσον τὸ ἰδικόν της συμφέρον, ὅσον τὸ πνευματικὸν συμφέρον τοῦ παιδιοῦ της). Ὕψωσε λοιπὸν τὸ βλέμμα της πρὸς τὸν Θεόν, ἐξέτεινε τὰ χέρια της καὶ ἐπεδόθη, μὲ ὅλην της τὴν διάνοιαν, εἰς θερμὴν προσευχήν. Ἀφοῦ δὲ ἐτελείωσε, συγκεκινημένη, εἶπε πρὸς τὸν Μέγαν Ἀλύπιον:

— Πήγαινε, παιδί μου, πήγαινε ἐκεῖ ποὺ σὲ παρεκίνησε τὸ πνεῦμα. Ἰδοὺ ὁ Θεός, μὲ τὴν δύναμιν τοῦ Ὁποίου ζῶμεν· εἰς Αὐτὸν λοιπὸν σὲ παραδίδω καὶ σὲ ἐμπιστεύομαι. Αὐτὸς θὰ στείλῃ τὸν Ἄγγελόν Του ἔμπροσθέν Σου, διὰ νὰ σὲ ὁδηγήσῃ ὅπου εἶναι τὸ θέλημά Του· Αὐτὸς θὰ σοῦ στείλῃ τὴν βοήθειάν Του ἀπὸ τὸ ἅγιον κατοικητήριόν Του καὶ θὰ σοῦ συμπαρασταθῇ ἀπὸ τὴν ἄνω Σιών, θὰ σὲ ἐνδύσῃ μὲ θώρακα δικαιοσύνης καὶ θὰ σὲ περιβάλῃ μὲ τὴν περικεφαλαίαν τῆς σωτηρίας σου. Εὔχομαι, παιδί μου, ἡ δικαιοσύνη τῶν ἔργων σου, ἕνεκα τῶν ὁποίων ἠγάπησας τὸν Δεσπότην μας περισσότερον καὶ ἀπὸ πατρίδα καὶ ἀπὸ γονεῖς, νὰ λάμψῃ

ὅπως ἡ μεσημβρία. Πραγματικὴ μητέρα, ἀξία ἑνὸς τοιούτου παιδιοῦ! Καὶ δι' αὐτὸν ἀκριβῶς τὸν λόγον ἐθεμελίωσε μέσα της τὴν ἀρετὴν στερεώτερον ἀπὸ τὴν γυναικείαν φύσιν, ὥστε νὰ μὴ ἐπιδιώξῃ νὰ διαπράξῃ ἢ νὰ εἰπῇ τίποτε ἀνάξιον.

Ὕστερα ἀπὸ τὰ ὅσα εἶπε καὶ ηὐχήθη ἡ μητέρα, τὸ παιδὶ ἐτυλίχθη εἰς τὸν λαιμὸν τῆς μητέρας του καὶ ἡ μητέρα ἐνηγκαλίσθη μὲ λαχτάραν τὸ παιδί της, ἐνῷ οἱ ὀφθαλμοὶ καὶ τῶν δύο εἶχον πλημμυρίσει ἀπὸ θερμὰ δάκρυα, καὶ ἐφιλοῦντο μεταξύ των στοργικά. Ἀφοῦ δὲ ἀπεχωρίσθησαν ἀπὸ τὸν ἀμοιβαῖον αὐτὸν ἐναγκαλισμόν, ὁ καθένας ἐτράβηξε τὸν δρόμον του· ἡ μὲν μητέρα ἐπέστρεψεν εἰς τὴν οἰκίαν της, ἐνῷ ὁ υἱός της ἤρχισε τὴν ποθητὴν πορείαν του.

Ὅταν ἔπειτα ἀπὸ ὀλίγας ἡμέρας ἔγινε φανερὰ ἡ ἀποχώρησις τοῦ Ἀλυπίου, ὅλοι, ὅπως ἦτο ἑπόμενον, ἐλυπήθησαν. Ἀμέσως λοιπὸν ὁ Ἐπίσκοπος, χωρὶς καθόλου νὰ ἀμελήσῃ, μόλις ἐπληροφορήθη τὴν εἴδησιν, ἤρχισε νὰ τὸν καταδιώκῃ, ἕως ὅτου τὸν ἐπρόφθασεν εἰς τὰ Εὐχάϊτα,* ὅπου ἐτελεῖτο ἡ πανήγυρις τοῦ μάρτυρος Θεοδώρου. Τότε ὁ Ἐπίσκοπος ἤρχισε νὰ τὸν παρακαλῇ θερμῶς νὰ ἐπιστρέψῃ ὀπίσω. Τοὺς λόγους του ἀνεμείγνυε μὲ δάκρυα, ἕως ὅτου τὸν ἔπεισε νὰ ἐπιστρέψῃ πρὸς τὴν μητέρα του. Ἐπρόσθεσε μάλιστα, ὅτι εἰς τὸ ὄνειρόν του ἤκουσε θεϊκὴν φωνήν, ἡ ὁποία παρήγγελλε νὰ μὴ λυπῆται, ἐὰν δὲν ἐπέτυχεν εἰς τὸν σκοπόν του, διότι οἱ ἅγιοι τόποι εὑρίσκονται ἐκεῖ — ἐξηκολούθει νὰ λέγῃ ὁ φανεὶς εἰς τὴν ὀπτασίαν — ὅπου θὰ ἐξέλεγε κανεὶς νὰ ζῇ εὐσεβῶς.

Οὕτω, κατ' εὐδοκίαν Χριστοῦ, ἀπεδόθη καὶ πάλιν εἰς τὴν πατρίδα του καὶ εἰς τὴν γῆν του ὁ γλυκύς των καρπός. Ἀφοῦ δὲ ἐπέστρεψεν, ἀνέβηκεν εἰς ἕνα ἀπὸ τὰ βουνά, ποὺ εὑρίσκετο πρὸς νότον τῆς πόλεως καὶ ἐκεῖ, ἀφοῦ ἀρχικῶς ἐνεκλείσθη εἰς ἕνα ταπεινὸν οἰκίσκον, ἀπεδύθη εἰς τοὺς ἀσκητικοὺς κόπους καὶ ἀγῶνας. Ἀφοῦ ἐπέρασεν ἀρκετὸς καιρός, κατὰ τὸν ὁποῖον ἐγυμνάζετο μετ' ἐπιμονῆς καὶ ἀποφασιστικότητος εἰς τοὺς κόπους τῆς ἀρετῆς, ἤρχισε νὰ ἐπιθυμῇ νὰ κατοικήσῃ εἰς ὑψηλότερον σημεῖον, ἀφοῦ ἄλλωστε ἐπεθύμει παντοτεινῶς τὰ θεῖα καὶ ὑψηλά.

Βλέπει λοιπὸν ἐπάνω εἰς ἕνα τάφον, ποὺ ἦτο ἐκεῖ πλησίον, ἕνα χαμηλὸν στῦλον· μαζεύει ἀμέσως μερικὰ σανίδια καὶ μὲ αὐτὰ περιτριγυρίζει τὸ ἐπάνω μέρος τοῦ στύλου. Εἰς αὐτὸ δὲ τὸ πρόχειρον κατασκεύασμα περιορίζει τὸ σῶμα του καὶ παρέμεινεν ἐκεῖ ἀγωνιζόμενος πρὸς τὰς καιρικὰς μεταβολάς. Εἰς τὴν σκληρὰν καὶ δύσκολον αὐτὴν προσπάθειαν εἶχε συνεργὸν καὶ τὴν μητέρα του, ἡ ὁποία δὲν ἀπεμακρύνετο καθόλου ἀπὸ κοντά του καὶ τὸν ἐβοήθει μὲ τὸν ἴδιον ζῆλον.

Κάποτε λοιπὸν τὰ πονηρὰ πνεύματα, φθονοῦντα τὸν ἀγγελικὸν τρό-

---

* Τὰ Εὐχάϊτα ἦσαν μικρὰ πόλις τῆς Μ. Ἀσίας, ΝΔ τῆς Ἀμασείας, οὖσα κατὰ τοὺς Βυζαντινοὺς χρόνους ἕδρα Μητροπόλεως. Ἦσαν ἐπίσης ἡ πατρὶς τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου. Σήμερον ἡ πόλις αὐτὴ καλεῖται Τουρκιστὶ Μετζήτ - Οὐζοῦ.

πον ζωῆς τοῦ Ἁγίου Ἀλυπίου, παρετάχθησαν εἰς ἀναρίθμητον φάλαγγα, καὶ ἔρριψαν τόσους λίθους ἐναντίον του, ὥστε, ἀπὸ τοὺς λιθοβολισμούς, νὰ διαλυθοῦν γύρω - γύρω τὰ σανίδια, μὲ τὰ ὁποῖα εἶχε περικλεισθῆ καὶ νὰ φύγουν τελείως ἀπὸ τοὺς ἁρμούς των· ἕνας μάλιστα ἀπὸ τοὺς λίθους αὐτούς, ἀρκετὰ μεγάλος, ἐτραυμάτισε τὸν ὦμον τοῦ Ἁγίου. Ὁ Ἅγιος ὅμως, χωρὶς καθόλου νὰ πτοηθῇ, καὶ ἐπιθυμῶν νὰ δείξῃ εἰς τοὺς δαίμονας, ὅτι θεωρεῖ τὰς πληγάς των, ὡς βέλη νηπίων, ἔκανε τὴν πρωϊνὴν προσευχήν του, ἐπῆρεν ἕνα σκερπάνι ἀπὸ τὴν μητέρα του, διέλυσε ὅλην τὴν στέγην καὶ τὴν ἔρριψε κατὰ γῆς, διὰ νὰ μὴ ἐμποδίζῃ τὸν λιθοβολισμόν των, ὅπως ἔλεγε.

Ἡ μητέρα τοῦ Ἁγίου Ἀλυπίου μόλις ἀντελήφθη τὸν θόρυβον τῶν σανιδιῶν καὶ τὰ εἶδε σπασμένα κάτω εἰς τὴν γῆν, ἐκτύπησεν, ἀπὸ ἀμηχανίαν, τὸ μέτωπον μὲ τὸ δεξί της χέρι, καὶ εἶπε εἰς τὸν Ἅγιον:

— Τί εἶναι αὐτά, παιδί μου; Διατί κατέστρεψες τὴν μικράν σου αὐτὴν φυλακήν; Πῶς θὰ ὑποφέρῃς τὸ ψῦχος τοῦ χειμῶνος; Πῶς θὰ προστατευθῇς ἀπὸ τοὺς φοβεροὺς κατακλυσμοὺς τῶν βροχῶν; Πῶς θὰ σκιασθῇς ἀπὸ τὰς ἀκτῖνας τοῦ ἡλίου τοῦ καλοκαιριοῦ, ποὺ φλογίζουν, ὅπως ἡ φωτιά;

Ἀφοῦ τὴν ἤκουσεν ὁ Ὅσιος, τῆς ἀπήντησε:

— Τί λοιπόν, μητέρα μου; νὰ μὴ κρυώσωμεν ἐδῶ διὰ νὰ ζεσταθῶμεν ἐκεῖ; νὰ μὴ ὑποφέρωμεν ἐδῶ τὴν ζέστην τῆς ἡμέρας, διὰ νὰ ἀποφύγωμεν τὴν τιμωρίαν τῆς αἰωνίου καὶ ἀσβέστου φλογός; Ἐκτὸς ὅμως ἀπὸ αὐτά, πῶς θὰ λάβωμεν ἐπαξίως τὸν μισθὸν τῆς ἐργασίας μας;

Μὲ αὐτὰ τὰ λόγια καὶ μὲ ἄλλα παρόμοια πείθει τὴν μητέρα του νὰ ἐπιτρέψῃ ὄχι μόνον τὰ σανίδια νὰ βγάλῃ, ἀλλ' ἐπὶ πλέον νὰ ἐκδυθῇ καὶ τὸν χιτῶνα του. Ἡ δὲ εὐσεβὴς καὶ ἁγία ἐκείνη μητέρα δὲν εἶχε μάθει νὰ εὐσπλαγχνίζεται τὸ παιδί της ἂν καὶ μέσα της ὑπῆρχε ἰσχυρὰ ἡ στοργὴ πρὸς τὸ τέκνον της, ὁσάκις τὸ ἔβλεπε νὰ πάσχῃ διὰ τὸν Χριστόν· ἀπηρνεῖτο τὴν μητρικὴν φύσιν, διὰ νὰ προτιμήσῃ, ἀπὸ τὸ γέννημά της, περισσότερον τὸν Θεόν.

Ἦτο λοιπὸν δυνατὸν νὰ ἴδῃ πράγματι κανεὶς μητέρα νὰ εὐφραίνεται διὰ τὸ φίλτατον παιδί της, ἀλλὰ καὶ παιδὶ διὰ τὴν φιλόθεον μητέρα του, τὸν δὲ Θεὸν νὰ δοξάζεται ἀπὸ τὰ ἔργα καὶ τῶν δύο. Διότι ποῖος ἄνθρωπος δὲν εὐλογεῖ τὸν καρπὸν τῆς σεμνῆς ἐκείνης γυναικός; Ἀλλὰ καὶ ποῖος πάλιν δὲν ἐμακάρισε τὴν ρίζαν ἑνὸς τοιούτου θαυμαστοῦ Ὁσίου; Διότι ἡ Ἁγία ἐκείνη μητέρα, ἐκτὸς ἀπὸ τὰ ἄλλα καλὰ τὰ ὁποῖα εἶχε, εἶχε καὶ τὰ ἑξῆς: Ἔμεινε πλησίον τοῦ τέκνου της, ὅπως εἶπον προηγουμένως, καὶ τὸ ἐξυπηρέτει, ἔστησε τὴν σκηνήν της, κοντὰ εἰς τὸν στῦλον του καὶ ἀπηρνήθη κάθε χαρὰν τῆς ζωῆς, τόσην δὲ εὐτυχίαν ᾐσθάνετο, ὡς νὰ παρέμενεν εἰς παράδεισον καὶ νὰ ἀπελάμβανε τὰ κάλλη του. Προσεπορίζετο μὲ τὸν κόπον τῶν χειρῶν της τὰ ἀπαραίτητα διὰ τὴν συντήρησίν των καὶ συγχρόνως ἐφρόντιζε διὰ τὴν ἐλεημοσύνην καὶ τοὺς πτωχούς.

Κάποτε μάλιστα συνέβη τὸ ἑξῆς χαρακτηριστικὸν περιστατικόν.

Ἕνας ἄνθρωπος, μὲ εὐσεβῆ καὶ διακριτικὸν τρόπον, τῆς προσέφερε τὸ τρίτον τῆς ἀξίας ἑνὸς νομίσματος· αὐτὴ τὸ ἐκράτησε καὶ μὲ τὴν συγκατάθεσιν τοῦ παιδιοῦ της μετέβη εἰς τὴν πόλιν, διὰ νὰ ἀγοράσῃ ἀναγκαῖα, διὰ τὴν συντήρησίν τω΄, πράγματα. Ἐνῷ δὲ ἐπέστρεφεν εἰς τὸ ἐρημητήριον, μεταφέρουσα αὐτὰ ποὺ ἠγόρασε, συγκινηθεῖσα ἀπὸ τὰς παρακλήσεις τῶν πτωχῶν, ποὺ τῆς ἐζήτουν ἐλεημοσύνην, τοὺς ἐμοίρασεν ὅσα μετέφερε. Μόλις ἔφθασεν εἰς τὸ ἐρημητήριον καὶ τὴν εἶδεν ὁ υἱός της μὲ ἄδεια χέρια, τῆς λέγει:

— Μητέρα, ποῦ εἶναι τὰ ψώνια; διότι ἔχομεν ἀνάγκην ἀμέσως νὰ τὰ χρησιμοποιήσωμεν.

Τότε ἐκείνη μὲ τὸν φυσικώτερον τρόπον ἀπαντᾷ:

— Παιδί μου, τὰ ἔδωσα εἰς τὸν Θεὸν καὶ τοὺς πτωχούς· ὅπως πιστεύω ὅμως, καὶ ἡμεῖς τὰ ἔχομεν. Δὲν ἐνόμισα δίκαιον νὰ θέσω τὰς ἱκεσίας τῶν πτωχῶν διὰ τὴν πεῖναν των, εἰς κατωτέραν μοῖραν ἀπὸ τὴν τροφήν μας καὶ τοιουτοτρόπως νὰ ἐπιορκήσω ἐνώπιον τοῦ ζῶντος Θεοῦ. Εἶμαι δὲ βεβαία, ὅτι μὲ τὰς εὐχὰς τῶν πτωχῶν καὶ πεινασμένων ἐκείνων, θὰ τύχωμεν καὶ ἡμεῖς τοῦ ἐλέους τοῦ Θεοῦ.

Ὅταν ἤκουσεν αὐτὰ ὁ θεῖος ἀνήρ, ὡς γνήσιον τέκνον της, τὴν ηὐλόγησε καὶ ἐδέχθη μὲ εὐχαρίστησιν τὸ γεγονός.

2. Καὶ ἡ ἀξιοθαύμαστος Ἁγία Σοφία τὰς τρεῖς θυγατέρας της, τὴν Πίστιν, Ἐλπίδα καὶ Ἀγάπην καὶ προτοῦ νὰ ὑποστοῦν τὸ μαρτύριον τὰς ἐνεθάρρυνε μὲ λόγους παραινετικοὺς καὶ πραγματικῶς θεοφιλεῖς καὶ τὰς ἔκαμε γενναίας πρὸς τοὺς μαρτυρικοὺς ἀγῶνας καὶ τὸν θάνατον, ἀλλὰ καὶ κατὰ τὸ μαρτύριον μιᾶς ἑκάστης παρευρίσκετο καὶ ἔβλεπε τὰ βασανιστήριά των δίδουσα θάρρος μὲ παρηγορητικοὺς λόγους. Παρέμεινε δὲ εἰς τὸν τόπον τοῦ Μαρτυρίου μέχρις ὅτου εἶδεν ὅλας νὰ ὑφίστανται τὸ μαρτυρικὸν τέλος· ἀπὸ δὲ τὸν ἔνδοξον θάνατον τῶν θυγατέρων της ἐχάρη πάρα πολὺ καὶ ηὐχαρίστησεν ὁλόθερμα τὸν Θεόν. Μετὰ τρεῖς ἡμέρας δὲ ἀνεχώρησε καὶ ἐκείνη πρὸς τὴν αἰωνιότητα μαζὶ μὲ τὰς θυγατέρας της συνενώσασα τὸ σωμα της μὲ τὰ σώματά των, ἀναδειχθεῖσα καὶ αὐτὴ μαζὶ μὲ ἐκείνας συγκληρονόμος τῆς οὐρανίου δόξης.

Δ'. Ἐν τῷ μαρτυρίῳ τῶν Ἁγίων Τεσσαράκοντα Μαρτύρων

ΤΩΝ ΑΓΙΩΝ Τεσσαράκοντα Μαρτύρων διανυόντων τὸ τῆς ἀθλήσεως στάδιον καὶ μετὰ τὴν ἐν τῇ λίμνῃ ὁλόνυκτον στάσιν καὶ πρὸς τὸν κρημνὸν ἀδάμαστον καρτερίαν, ἅμα πρωῒ ἐπὶ τὸν αἰγιαλὸν ἑλκομένων, ἵνα τὰ σκέλη συντριβῶσι ῥοπάλοις, ἑνὸς ἡ μήτηρ παρέμενεν αὐτοῖς πάσχουσι, τὸν παῖδα τὸν ἑαυτῆς βλέπουσα· καὶ γὰρ ἦν οὗτος ὑπὲρ πάντας τὴν ἡλικίαν νεώτερος καὶ ἐδεδοίκει μήποτε δειλίαν αὐτῷ ἐμποιήσῃ τὸ νεαρὸν καὶ φιλόζωον καὶ ἀνάξιος τῆς τῶν στρατιωτῶν τάξεώς τε καὶ τιμῆς εὑρεθῇ. Ἵστατο οὖν ἀτενὲς ὁρῶσα, σχήματί τε καὶ βλέμματι ὅπως εἶχε, θάρσος αὐτῷ ἐμβάλλουσα, χεῖράς τε εἰς αὐτὸν ἐκτείνουσα, καὶ τέκνον ἐμοὶ γλυκύ-

τατον λέγουσα· τέκνον ἤδη Πατρὸς οὐρανίου, μικρὸν ὑπόμεινον, ἵνα τέλειος καταστῇς· μὴ φοβηθῇς τὰς βασάνους· ἰδοὺ γὰρ παρίσταταί σοι βοηθὸς ὁ Χριστός· οὐδὲν τὸ λοιπὸν ἀηδές, οὐδὲν ἐπίπονον ἀπαντήσει· πάντα ἐκεῖνα παρῆλθε, πάντα ταῦτα τῇ σῇ νενίκηκας γενναιότητι· χαρὰ τὸ μετὰ ταῦτα, ἡδονή, ἄνεσις, εὐφροσύνη, ὧν μεθέξεις συμβασιλεύων Χριστῷ καὶ πρέσβυς ἐμοὶ τῇ τεκούσῃ τὰ πρὸς αὐτὸν γινόμενος.

Οἱ οὖν Ἅγιοι συντριβέντες τὰ σκέλη, τῷ Θεῷ παρέθεντο τὰς ψυχάς· οἱ δὲ στρατιῶται, ἁμάξας ἐνεγκόντες καὶ ταύταις τὰ ἱερὰ σώματα ἐπιθέντες, παρὰ τὸ χεῖλος τοῦ ἐκ γειτόνων ποταμοῦ ἄγουσι. Τὸν μέντοι νέον ἐκεῖνον, ᾧ Μελίτων ὄνομα, ἐμπνέοντα ἔτι κατιδόντες, καταλείπουσιν οὕτως, ἐν ἐλπίσιν ὄντα τοῦ ζήσεσθαι, ὃν ἡ μήτηρ μόνον ὑπολειφθέντα θεασαμένη, καὶ τοῦτο μᾶλλον θάνατον αὐτῆς καὶ τοῦ παιδὸς εἶναι λογισαμένη, ὑπεριδοῦσα γυναικὸς ἀσθενείας καὶ σπλάγχνων μητρικῶν ἐπιλαθομένη, τὸν υἱὸν ἐπ᾽ ὤμων ἀραμένη, ταῖς ἁμάξαις ἠκολούθει μεγαλοψύχως, τότε ζήσειν αὐτὸν οἰομένη, ὅταν νεκρὸν μᾶλλον καὶ ἐκλελοιπότα θεάσαιτο.

Ἐπεὶ οὖν οὗτος ὑπ᾽ αὐτῆς φερόμενος ἀφῆκε τὸ πνεῦμα, τότε δὴ τῶν φροντίδων ἡ μήτηρ ἑαυτὴν λύσασα, μέγα τι καὶ ὑπερήδιστον ἐπὶ τῷ τέλει τοῦ υἱοῦ σκιρτήσασα, μέχρι τοῦ τόπου οὗ τὰ σώματα τῶν Ἁγίων ἦν ἀπενέγκασα τὸν τοῦ φιλτάτου νεκρὸν ἐπάνω αὐτῶν τίθησι καὶ τοῖς ἄλλοις συναριθμεῖ, ἵνα μηδὲ σῶμα σωμάτων ἀπολειφθῇ, οὗ τὴν ψυχὴν ἔσπευδε ταῖς ψυχαῖς ἐκείνων συναριθμεῖσθαι. Μέγα δὲ πῦρ ἀνάψαντες οἱ τῷ ἀντικειμένῳ ὑπηρετούμενοι, τὰ τῶν Ἁγίων σώματα κατακαίουσιν· εἶτα τῶν Λειψάνων Χριστιανοῖς φθονοῦντες, εἰς τὸν ποταμὸν αὐτὰ ἀφιᾶσιν· ἀλλ᾽ ἐκεῖνα θείᾳ πάντως οἰκονομίᾳ, ἐχόμενα κρημνοῦ συνήχθη τινός, καὶ χριστιανῶν ταῦτα χεῖρες ἐπανελόμεναι, πλοῦτον ἡμῖν ἄσυλον ἐδωρήσαντο.

Ἑρμηνεία

ΟΙ ΑΓΙΟΙ ΤΕΣΣΑΡΑΚΟΝΤΑ Μάρτυρες, διανύοντες τὸ στάδιον τῆς ἀθλήσεως, παρέμειναν ὁλόκληρον τὴν νύκτα ὄρθιοι μέσα εἰς τὴν λίμνην καὶ ὑπέμειναν μὲ ἀδάμαστον καρτερικότητα τὴν παγωνιάν. Πρωῒ-πρωῒ τοὺς ἔσυραν εἰς τὴν παραλίαν, διὰ νὰ τοὺς συντρίψουν τὰ σκέλη μὲ ρόπαλα. Καθ᾽ ὅλον αὐτὸ τὸ διάστημα ἡ μητέρα ἑνὸς ἐκ τῶν τεσσαράκοντα Μαρτύρων παρέμεινε πλησίον των καὶ παρηκολούθει τὸ βασανιζόμενον τέκνον της. Τὸ παιδί της ἦτο ὁ νεώτερος ἀπὸ τοὺς τεσσαράκοντα μάρτυρας καὶ ἐφοβεῖτο ἡ εὐσεβὴς μητέρα μήπως ἡ νεαρὰ ἡλικία του καὶ ἡ ἀγάπη πρὸς τὴν ζωὴν φέρουν εἰς τὴν ψυχήν του δειλίαν καὶ τοιουτοτρόπως φανῇ ἀνάξιος τῆς τάξεως καὶ τῆς τιμῆς τῶν στρατιωτῶν. Παρέστεκε λοιπὸν ἡ εὐλογημένη μητέρα καὶ παρηκολούθει τὸ παιδί της μὲ προσοχήν, ὡς νὰ μὴ συνέβαινε τίποτε.

Τοῦ ἔδιδε θάρρος, ἥπλωνε πρὸς αὐτὸ τὰ χέρια της καὶ τοῦ ἔλεγε μὲ γλυκύτητα, ἀλλὰ καὶ πίστιν:

— Παιδί μου γλυκύτατον, τέκνον πλέον τοῦ ἐπουρανίου Πατρός, ὑπόμεινε ὀλίγον, διὰ νὰ καταστῇς τέλειος· μὴ φοβηθῇς τὰ βασανιστήρια. Νά! ἀοράτως παραμένει πλησίον σου ὁ Χριστός μας καὶ σὲ βοηθεῖ· τίποτε λοιπὸν πικρὸν καὶ πολὺ κουραστικὸν δὲν θὰ συναντήσῃς. Ὅλα τὰ φοβερὰ

μαρτύρια ἐτελείωσαν· ὅλα τὰ ἔχεις νικήσει μὲ τὴν γενναιότητά σου. Ἀπὸ ἐδῶ καὶ ἐμπρὸς ὑπάρχει ἡ χαρά, ἡ ἡδονή, ἡ ἄνεσις, ἡ εὐφροσύνη, τὰ ὁποῖα θὰ ἀπολαύσῃς συμβασιλεύων μετὰ τοῦ Χριστοῦ καὶ πρεσβεύων πλησίον Του καὶ δι' ἐμὲ ποὺ σὲ ἐγέννησα.

Ἀφοῦ λοιπὸν οἱ δήμιοι συνέτριψαν τὰ σκέλη τῶν Ἁγίων, αἱ ψυχαί των ἀνεχώρησαν πλησίον τοῦ Θεοῦ. Οἱ στρατιῶται, ἀφοῦ ἔφεραν ἁμάξας, ἐτοποθέτησαν εἰς αὐτὰς τὰ ἱερὰ σώματα τῶν μαρτύρων διὰ νὰ τὰ μεταφέρουν καὶ νὰ τὰ ρίψουν εἰς τὴν ὄχθην ἑνὸς γειτονικοῦ ποταμοῦ. Ἐπειδὴ ὅμως εἶδαν ὅτι ὁ νέος ἐκεῖνος, ὁ ὁποῖος ἐλέγετο Μελίτων, ἀκόμη ἀνέπνεε, τὸν ἄφησαν εἰς τὸν τόπον τοῦ μαρτυρίου, μὲ τὴν ἐλπίδα ὅτι θὰ ζήσῃ. Ὅταν ὅμως ἡ μητέρα του εἶδεν ὅτι μόνον αὐτὸν ἄφησαν ὀπίσω, ἐστενοχωρήθη καὶ ἐθεώρησεν αὐτὸ τὸ πρᾶγμα ὡς θάνατον τοῦ παιδιοῦ της καὶ ἰδικόν της. Παραβλέψασα λοιπὸν τὴν ἀδυναμίαν τῆς γυναικὸς καὶ λησμονήσασα τὰ μητρικὰ σπλάγχνα, σηκώνει τὸ παιδί της εἰς τοὺς ὤμους της, καὶ ἀκολουθεῖ, μὲ μεγαλοψυχίαν, τὰς νεκροφόρους ἁμάξας τῶν μαρτύρων, πιστεύουσα ὅτι τότε καὶ μόνον θὰ ζήσῃ τὸ παιδί της, ὅταν τὸ ἰδῇ νὰ ἀποθνήσκῃ ὡς μάρτυς, μαζὶ μὲ τοὺς ἄλλους μάρτυρας.

Ὅταν λοιπὸν καὶ ὁ νέος ἐκεῖνος, καθὼς μετεφέρετο ἐπὶ τῶν ὤμων τῆς μητρός του, ἐξεψύχησεν, τότε πλέον καὶ ἐκείνη ἀπηλλάγη ἀπὸ τὰς μητρικὰς εὐθύνας. Ἐθεώρησε τὸν θάνατον τοῦ παιδιοῦ της ὡς μέγα καὶ γλυκύτατον περιστατικόν, διὰ τὸ ὁποῖον εἶχε τὴν διάθεσιν νὰ σκιρτήσῃ ἀπὸ χαράν. Τρέχει λοιπὸν μὲ προθυμίαν καὶ μεταφέρει τὸ πτῶμα τοῦ παιδιοῦ της μέχρι τοῦ τόπου, ὅπου ἦσαν καὶ τὰ τίμια λείψανα τῶν ἄλλων μαρτύρων καὶ τοποθετεῖ τὸν ἀγαπημένον της νεκρὸν ἐπάνω εἰς αὐτὰ καὶ τὸν συναριθμεῖ μαζί τους, ὥστε οὔτε τὸ νεκρὸν σῶμα του νὰ μὴ χωρισθῇ ἀπὸ τὰ ἄλλα σώματα, ἐφ' ὅσον ἡ ψυχή του εἶχε συναριθμηθῇ ἤδη μὲ τὰς ψυχὰς τῶν Μαρτύρων.

Μετὰ ταῦτα τὰ ὄργανα καὶ οἱ ὑπηρέται τοῦ διαβόλου ἀνάπτουν μεγάλην φωτιὰν καὶ κατακαίουν τὰ σώματα τῶν Ἁγίων· ἀπὸ φθόνον δὲ πρὸς τοὺς Χριστιανοὺς διὰ νὰ μὴ πάρουν οὔτε αὐτὰ τὰ τίμια λείψανα τῶν Μαρτύρων, τὰ ἔρριψαν εἰς τὸν ποταμόν. Ἀπὸ θείαν ὅμως οἰκονομίαν τὰ τίμια αὐτὰ λείψανα συνεκρατήθησαν εἰς κάποιον κρημνόν, ἀπ' ὅπου τὰ ἀνέσυραν χριστιανικὰ χέρια καὶ μᾶς ἐδώρησαν τοιουτοτρόπως τὸν μέγαν αὐτὸν καὶ ἀπαραβίαστον πλοῦτον.






ΥΠΟΘΕΣΙΣ ΙΓ΄

Περὶ τοῦ ὅτι δεῖ τὸν ἀποτασσόμενον ξενιτεῦσαι, καὶ τίς ἡ ἐν λόγῳ ξενιτεία καὶ ἡ ἐκ ταύτης ὠφέλεια· καὶ ποῖοι τῶν τόπων πρὸς ἄσκησιν ἐπιτήδειοι.

Ὁ ἀποτασσόμενος πρέπει νὰ ξενιτεύῃ· περὶ ποίας ξενιτείας πρόκειται καὶ ποία ὠφέλεια προέρχεται ἐξ αὐτῆς· καὶ ποῖοι εἶναι οἱ καταλληλότεροι τόποι πρὸς ἄσκησιν.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΙΠΕΝ Ο ΑΒΒΑΣ Ἰάκωβος, ὅτι παρὰ τὸ ξενοδοχεῖν, μεῖζόν ἐστι τὸ διὰ Θεὸν ξενιτεῦσαι.

2. Ἠρώτησεν ὁ Ἀββᾶς Λογγῖνος τὸν Ἀββᾶν Λούκιόν ποτε· καὶ εἶπεν αὐτῷ· ἡ ψυχή μου ἐπιθυμεῖ ξενιτεῦσαι· ἀπεκρίθη αὐτῷ ὁ γέρων· ἐὰν μὴ κρατήσῃς τῆς γλώσσης σου, οὐκ εἶ ξένος ὅπου ἐὰν ἀπέλθῃς· καὶ ὧδε οὖν κράτησον τῆς γλώσσης σου καὶ ξένος εἶ.

3. Εἶπε γέρων· ἐὰν οἶδε Μοναχὸς τόπον ἔχοντα προκοπὴν καὶ διὰ τὰς χρείας τοῦ σώματος οὐχ ὑπάγει ἐκεῖ, ὁ τοιοῦτος οὐ πιστεύει, ὅτι ἔστι Θεός.

4. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· πῶς, Πάτερ, ἡ γενεὰ ἡμῶν οὐ δύναται κρατῆσαι τὴν ἄσκησιν τῶν Πατέρων; καὶ ἀπεκρίθη ὁ γέρων· ὅτι οὐκ ἀγαπᾷ τὸν Θεὸν οὐδὲ φεύγει τοὺς ἀνθρώπους, οὐδὲ μισεῖ τὴν ὕλην τοῦ κόσμου· ἀνθρώπῳ γὰρ φεύγοντι τοὺς ἀνθρώπους καὶ τὴν ὕλην, ἀφ᾽ ἑαυτοῦ ἄρχεται αὐτῷ ἡ κατάνυξις καὶ ἡ ἄσκησις· ὥς περ γὰρ ὁ θέλων σβέσαι πῦρ ἅπτον ἐν τῷ ἀγρῷ αὐτοῦ, ἐὰν μὴ προλάβῃ καὶ κόψῃ τὴν ὕλην τὴν ἔμπροσθεν τοῦ πυρός, οὐ δύναται σβέσαι αὐτό, οὕτω καὶ ἄνθρωπος, ἐὰν μὴ ἀπέλθῃ εἰς τόπον ὅπου μετὰ κόπου εὑρίσκει καὶ αὐτὸν τὸν ψωμὸν αὐτοῦ, οὐ δύναται κτήσασθαι τὴν ἄσκησιν· ψυχὴ γὰρ ἐὰν μὴ βλέπῃ, οὐδὲ ταχὺ ἐπιθυμεῖ.

5. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σισώην λέγων· τί ἐστι ξενιτεία, Πάτερ; καὶ ἀπεκρίθη ὁ γέρων· τὸ σιωπᾶν καὶ τὸ μὴ ἔχειν πρᾶγμα ὅπου ἐὰν ἀπέλθῃ ὁ ξενιτεύων· αὕτη ἐστὶν ἡ ἀληθὴς ξενιτεία.

6. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· τί ἐστι τὸ ἔργον τῆς ξενιτείας; καὶ εἶπεν

ὁ γέρων· οἶδα ἀδελφὸν ξενιτεύσαντα καὶ εὑρέθη εἰς τὴν Ἐκκλησίαν· καὶ κατ᾿ εὐκαιρίαν ὑπήντησεν ἀγάπη καὶ ἐκάθισεν ἐπὶ τραπέζης μετὰ τῶν ἀδελφῶν φαγεῖν· εἶπον δέ τινες· τίς καὶ τοῦτον κατέσχε; καὶ εἶπον αὐτῷ· ἔγειραι, ὕπαγε ἔξω· καὶ ἀναστὰς ἐξῆλθεν· ἕτεροι δὲ λυπηθέντες, ἀναστάντες εἰσήγαγον αὐτὸν καὶ μετὰ τοῦτο ἠρώτησαν αὐτόν· ἄρα τί ἐστιν ἐν τῇ καρδίᾳ σου, ὅτι ἐξεβλήθης καὶ πάλιν εἰσήχθης; ὁ δὲ εἶπεν· ἐθέμην ἐν τῇ καρδίᾳ μου, ὅτι ἐν ἴσῳ κυνός εἰμι, ὃς ὅταν ἐκβληθῇ πορεύεται καὶ ὅταν κληθῇ ἔρχεται.

7. Διηγήσατό τις τῶν πατέρων, ὅτι δύο ἀδελφοὶ ἦσαν γειτνιῶντες αὐτῷ, ὁ εἷς ξένος καὶ ὁ εἷς ἐγχώριος· ἦν δὲ ὁ ξένος μικρὸν ἀμελέστερος, ὁ δὲ ἐγχώριος σπουδαῖος πάνυ. Συνέβη δὲ πρότερον κοιμηθῆναι τὸν ξένον· ὁ δὲ γέρων, διορατικὸς ὤν, εἶδε πλῆθος Ἀγγέλων ὁδηγούντων τὴν ψυχὴν αὐτοῦ· καὶ ὡς ἔφθασεν εἰς τὸν οὐρανὸν καὶ ἐγγὺς γέγονε τοῦ εἰσελθεῖν, ἐγένετο περὶ αὐτοῦ ζήτησις καὶ ἦλθε φωνὴ ἄνωθεν λέγουσα· φανερὸν μὲν ὅτι ἀμελὴς ἦν μικρόν, διὰ δὲ τὴν ξενιτείαν αὐτοῦ ἀνοίξατε αὐτῷ· εἶτα ἐκοιμήθη καὶ ὁ ἐντόπιος· ἐν δὲ τῷ καιρῷ τοῦ θανάτου ἦλθε πᾶσα ἡ συγγένεια αὐτοῦ· καὶ εἶδεν ὁ γέρων ὅτι οὐδαμοῦ Ἄγγελος, καὶ ἐθαύμασε· καὶ ἔπεσεν ἐπὶ πρόσωπον ἐνώπιον τοῦ Θεοῦ λέγων· Κύριε, πῶς ὁ ξένος, ἀμελὴς ὤν, τοιαύτης δόξης ἔτυχεν, οὗτος δὲ ὁ σπουδαῖος οὐδενὸς τοιούτου ἠξιώθη; καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· οὗτος ὁ σπουδαῖος, ὅτε ἦλθε κοιμηθῆναι, ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε τοὺς τοῦ γένους αὐτοῦ κλαίοντας καὶ παρεκλήθη ἡ ψυχὴ αὐτοῦ· ὁ δὲ ξένος, εἰ καὶ ἀμελὴς ἦν, ἀλλ᾿ οὐδένα τῶν ἰδίων αὐτοῦ εἶδε· καὶ στενάξας ἔκλαυσε· καὶ ὁ Θεὸς παρεκάλεσεν αὐτόν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΙΑΚΩΒΟΣ εἶπεν, ὅτι ἀπὸ τὸ νὰ δέχεσαι ξένους, μεγαλυτέραν ἀξίαν ἔχει τὸ νὰ γίνῃς ὁ ἴδιος ξένος διὰ τὸν Θεόν.

2. Κάποτε ὁ Ἀββᾶς Λογγῖνος ἠρώτησε τὸν Ἀββᾶν Λούκιον:

—Ἀββᾶ, ἡ ψυχή μου ἐπιθυμεῖ τὴν ξενιτείαν.

—Ἐὰν δὲν κατορθώσῃς—τοῦ ἀπήντησεν ὁ Γέρων—νὰ περιορίσῃς τὴν γλῶσσαν σου, δὲν εἶσαι ξένος, ὁπουδήποτε καὶ ἐὰν μεταβῇς· καὶ ἐδῶ λοιπὸν συγκράτησε τὴν γλῶσσαν σου καὶ θὰ εἶσαι ξένος.

3. Ἕνας γέρων ἀσκητὴς εἶπεν· ἐὰν ἕνας Μοναχὸς γνωρίζῃ ὅτι ὑπάρχει ἕνας τόπος, ὅπου δύναται νὰ προκόψῃ πνευματικῶς, καὶ δὲν πηγαίνει ἐκεῖ διὰ νὰ μὴ στερηθῇ τὰ ἀναγκαῖα, ὁ Μοναχὸς αὐτὸς δὲν πιστεύει ὅτι ὑπάρχει Θεός.

4. Ἕνας ἀδελφὸς ἠρώτησε κάποιον Γέροντα:

— Διατί, Πάτερ, ἡ γενεά μας δὲν ἔχει τὴν δύναμιν νὰ κρατήσῃ τὴν ἄσκησιν τῶν Πατέρων;

— Διότι—ἀπήντησεν ὁ Γέρων—δὲν ἀγαπᾷ τὸν Θεόν, οὔτε φεύγει ἀπὸ τοὺς ἀνθρώπους, οὔτε μισεῖ τὰ ὑλικὰ ἀγαθὰ τοῦ κόσμου· διότι εἰς ἄνθρωπον, ὁ ὁποῖος φεύγει τοὺς ἀνθρώπους καὶ τὴν ὕλην, ἀρχίζει εἰς τὴν ψυχήν του νὰ γεννᾶται αὐθορμήτως ἡ κατάνυξις καὶ ὁ πόθος τῆς ἀσκήσεως. Ὅπως δηλαδὴ ἐκεῖνος, ὁ ὁποῖος θέλει νὰ σβήσῃ τὴν φωτιάν, ποὺ ἤναψεν εἰς τὸ χωράφι του, ἐὰν δὲν προλάβῃ νὰ κόψῃ τὴν ὕλην ποὺ εὑρί-

σκεται έμπρός άπό τήν καιομένην έκτασιν, δέν είναι δυνατόν νά σβύση τήν φωτιάν, τοιουτοτρόπως καί ό άνθρωπος, έάν δέν φύγη είς τόπον όπου μέ μεγάλον κόπον θά έξευρίσκη τόν άρτον του, δέν δύναται νά εύδοκιμήση είς τήν άσκησιν· διότι ή ψυχή κάτι πού δέν τό βλέπει, δέν δύναται καί νά τό έπιθυμήση γρήγορα.

5. Ένας άδελφός ήρώτησε τόν Άββάν Σισώην·

— Πάτερ, τί είναι ή ξενιτεία;

— Τό νά σιωπᾶ — άπήντησεν ό Γέρων — καί νά μή έχη ίδικά του πράγματα όπουδήποτε μεταβῆ ό ξενιτεύων· αὐτή είναι ή πραγματική ξενιτεία.

6. Ένας άδελφός ήρώτησε Γέροντα:

— Πάτερ, ποῖον είναι τό έργον τῆς ξενιτείας;

Ό Γέρων είς άπάντησιν διηγήθη είς αὐτόν τό έξῆς:

— Γνωρίζω άδελφόν ό όποῖος περιεφέρετο ώς ξένος. Οὗτος λοιπόν εὑρέθη είς τήν Έκκλησίαν· κατά σύμπτωσιν παρετέθη γεῦμα καί έκάθισε νά φάγη μαζί μέ τούς άδελφούς είς τήν τράπεζαν. Μόλις τόν είδον μερικοί άδελφοί είπον· Ποῖος τόν έκράτησεν αὐτόν διά νά φάγη; καί άπευθυνόμενοι πρός αὐτόν είπον· σήκω, πήγαινε έξω. Άμέσως έσηκώθη άπό τήν θέσιν του ό ξένος καί έβγῆκεν άπό τήν τράπεζαν.

Μερικοί όμως άλλοι έκ τῶν άδελφῶν έλυπήθησαν διά τήν πρός τόν ξένον περιφρόνησιν καί τόν έκάλεσαν έκ νέου είς τήν τράπεζαν. Άφοῦ έκάθισεν είς τήν τράπεζαν, τόν ήρώτησαν: Άραγε ποῖα αίσθήματα έδοκίμασες όταν έξεδιώχθης περιφρονητικῶς καί έκ νέου πάλιν ώδηγήθης είς τήν τράπεζαν; Ό ξένος άπήντησε μέ ήρεμίαν· Έκείνη τήν στιγμήν έσκέφθην, ότι είμαι όπως ένας σκύλος, ό όποῖος όταν διωχθῆ φεύγει καί έπανέρχεται πάλιν όταν τόν καλέσουν.

7. Ένας έκ τῶν Πατέρων διηγήθη τό έξῆς. Κάποτε είχα δύο γείτονας· ό ένας ἦτο ξένος καί ό άλλος έντόπιος. Ό ξένος ἦτο όλίγον άμελής, ένῷ, άντιθέτως, ό έντόπιος ἦτο πάρα πολύ έπιμελής. Συνέβη δέ ό ξένος νά άποθάνη ένωρίτερον. Ό Γέρων, έπειδή είχε διορατικόν χάρισμα, είδε πλῆθος Άγγέλων νά όδηγοῦν τήν ψυχήν του πρός τόν οὐρανόν. Μόλις όμως έφθασεν είς τόν οὐρανόν καί έπλησίαζε νά είσέλθη, έγινεν έξέτασις έάν ἦτο άξιος νά είσέλθη. Τότε ήκούσθη μία φωνή άπό άνω νά λέγη· Είναι πράγματι φανερόν, ότι ύπῆρξεν όλίγον άμελής, άνοίξατέ του όμως, διά τήν ξενιτείαν του.

Μετ' όλίγον έκοιμήθη καί ό έντόπιος. Προσῆλθον δέ διά τήν κηδείαν του όλοι οί συγγενεῖς του. Ό διορατικός Γέρων είδεν, ότι πουθενά δέν έφαίνετο Άγγελος καί έθαύμασε. Τότε προσέπεσε μετά δακρύων ένώπιον τοῦ Θεοῦ καί έλεγε· Πῶς ό ξένος, άν καί ἦτο άμελής, άπήλαυσε τοιαύτην δόξαν, αὐτός δέ άν καί έπιμελής δέν έπέτυχε τίποτε παρόμοιον; Άμέσως φωνή έκ τοῦ οὐρανοῦ τόν έπληροφόρησε τά έξῆς. Αὐτός έδῶ ό έπιμελής, όταν έφθασεν ή στιγμή νά άποθάνη, ήνοιξε τά μάτια του, είδε τούς συγγενεῖς του νά κλαίουν καί παρηγορήθη ή ψυχή του. Ό ξένος

ὅμως, ἂν καὶ ἦτο ἀμελής, ἐν τούτοις ὅμως κανένα ἰδικόν του δὲν εἶδε, κατὰ τὴν ὥραν τοῦ θανάτου του· ἡ μοναξιά του αὐτὴ τὸν ἔκαμε νὰ ἀναστενάξῃ καὶ νὰ κλαύσῃ. Δι' αὐτὸ καὶ ὁ Θεὸς τὸν παρηγόρησεν.

Β΄. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ΞΕΝΙΤΕΥΣΗΣ διὰ τὸν Θεόν, μὴ θελήσῃς συμμῖξαι ἑαυτὸν μετὰ τῶν ἐν τῷ τόπῳ, μηδὲ τὸν λόγον σου συμμίξῃς μετ' αὐτῶν· ἐπεὶ συμφέρει σοι σχεδὸν εἶναι μετὰ τῶν κατὰ σάρκα συγγενῶν σου μᾶλλον. Ἐὰν λάβῃς κελλίον εἰς τόπον ὃν γινώσκεις, μὴ ἐάσῃς σεαυτῷ πολλοὺς φίλους· ἀρκεῖ σοι εἷς διὰ πρόφασιν ἀσθενείας· καὶ μὴ ἀπολέσῃς τὴν δύναμιν τῆς ξενιτείας σου. Ἐὰν ἀπέλθῃς εἰς τόπον οἰκῆσαι, μὴ θελήσῃς ταχέως λαβεῖν σεαυτῷ κελλίον εἰς οἴκησιν, ἕως οὗ μάθῃς τὴν διαγωγὴν τοῦ τόπου, μήπως πρόσκομμά σοί ἐστιν ἐκεῖ, ἢ διὰ φροντίδα, ἢ διὰ ἀνάπαυσιν, ἢ διὰ πρόσκομμα τῶν φίλων. Ἐὰν γὰρ ᾖς σοφός, συνήσεις πάντα ἐν ὀλίγαις ἡμέραις, τὸν θάνατόν σου, καὶ τὴν ζωήν σου.

Πρὸ πάντων οὖν ὁ πρῶτος ἀγών ἐστιν ὁ τῆς ξενιτείας, μάλιστα εἰ καὶ κατὰ μόνας φυγὼν τὰ ἴδια καταλείψῃς καὶ εἰς ἕτερον τόπον ἀπέλθῃς, πίστιν τελείαν ἐπιφερόμενος καὶ ἐλπίδα, ἑδραίαν τε καρδίαν κατὰ τῶν σαυτοῦ θελημάτων· κυκλώσουσι γάρ σε ἐν πολλοῖς κύκλοις οἱ δαίμονες, φοβερίζοντές σε περὶ πειρασμῶν, καὶ σκληρᾶς πτωχείας καὶ νοσημάτων χαλεπῶν, ὑποβάλλοντές σοι ὅτι εἰ ἐν τούτοις περιπέσεις, τί ποιήσεις, μὴ ἔχων τὸν φροντίζοντά σου, ἢ γινώσκοντά σε, καὶ ἡ ἀγαθότης τοῦ Θεοῦ δοκιμάζει σε, ἵνα φανερωθῇ σου ἡ σπουδὴ καὶ ἡ πρὸς Αὐτὸν ἀγάπη.

Λοιπὸν ἐὰν καταλειφθῇς μόνος εἰς τὸ κελλίον, σπείρουσί σοι καὶ ἑτέρους λογισμοὺς βαρυτάτους δειλίας, λέγοντες· οὐχὶ ἡ ξενιτεία μόνη σώζει τὸν ἄνθρωπον, ἀλλὰ τὸ φυλάξαι τὰς ἐντολάς· φέρουσι δέ σοι καὶ μνήμην τῶν ἐγγιζόντων τῷ κόσμῳ, καὶ τοῖς κατὰ σάρκα καὶ λέγουσι· τί οὖν; οἱ τοιοῦτοι οὐκ εἰσὶ δοῦλοι τοῦ Θεοῦ; εἶτα καὶ περὶ δυσκρασίας ἀέρων ὑποβάλλουσι, καὶ βάρους σώματος, καὶ ἄλλα τινὰ τοιαῦτα τῇ καρδίᾳ ὑποτίθενται, φέροντες αὐτὴν εἰς ὀλιγωρίαν.

Ἐὰν δὲ ἡ ἀγάπη καὶ ἡ ἐλπὶς ἐν αὐτῇ ὦσιν, οὐκ ἐνεργεῖ ἡ κακία αὐτῶν· τότε γὰρ φανεροῦταί σου ὁ πόθος ὃν ἔχεις πρὸς τὸν Θεόν, ἐὰν ἀγαπᾷς Αὐτὸν ὑπὲρ τὴν ἀνάπαυσιν τῆς σαρκός· οὐ γὰρ ἁπλῶς ἐξενίτευσας, ἀλλ' ἵνα ἑτοιμάσῃς σεαυτόν, καὶ σχολάσῃς πολεμεῖν πρὸς τοὺς ἐχθρούς, καὶ γνωρίσῃς ἕκαστον ἀπορρίψαι ἐν καιρῷ αὐτοῦ, ἕως οὗ ἐλευθερωθῇς ἀπ' αὐτῶν, φθάσας εἰς τὴν τῆς ἀπαθείας ἀνάπαυσιν.

Ἀδελφέ, εἰ κατέλιπες πᾶσαν τὴν φαινομένην ὕλην, νῆφε ἀπὸ τοῦ δαίμονος τῆς λύπης, μήποτε διὰ τὴν μεγάλην πτωχείαν καὶ θλῖψιν μὴ δυνηθῇς ἐλθεῖν ἐπὶ τὰς μεγάλας ἀρετάς, αἵ τινες εἰσὶ τὸ μὴ μετρεῖν ἑαυτόν· τὸ φέρειν ὕβριν· τὸ μὴ ὀνομασθῆναί σε ἐν πάσῃ διαταγῇ τοῦ κόσμου τούτου. Ἐὰν γὰρ ἀγωνίσῃ ταῦτα κτήσασθαι, αὐτά σοι τοὺς στεφάνους τῆς ψυχῆς σου ἑτοιμάσουσιν. Οὐ γὰρ οἱ ἀποταξάμενοι καὶ πτωχεύσαντες ἐν τῷ φαινομένῳ μόνῳ εἰσὶ πτωχοί, ἀλλ' οἱ πτωχεύσαντες ἀπὸ πάσης κακίας καὶ πεινῶντες ἀεὶ τὴν μνήμην τοῦ Θεοῦ, οὐδὲ οἱ τὴν φαινομένην θλῖψιν ἔχοντες κτῶνται τὴν ἀπάθειαν, ἀλλ' οἱ μεριμνῶντες περὶ τοῦ ἔσω ἀνθρώπου καὶ τὰ ἑαυτῶν θελήματα κόπτοντες, οὗτοι λήψονται τὸν στέφανον τῶν ἀρετῶν.

Κατανόει δὲ καὶ τοὺς ταράσσοντάς σε ἐκ ποίας προφάσεως θορυβοῦσι· πολλάκις γὰρ φέρουσί σοι ὀλιγωρίαν, ἐκλέξασθαι τόπον αἰτίαν μὴ ἔχοντα καὶ πάλιν μετα-

μελόμενος κάθῃ· τοῦτο δὲ ποιοῦσιν, ὅπως γένηται ὁ νοῦς μετέωρος καὶ ἀργός. Οἱ δὲ ἐπιγνόντες τὴν κακουργίαν αὐτῶν, ἀτάραχοι μένουσιν, εὐχαριστοῦντες τῷ Κυρίῳ ἐπὶ τῷ τόπῳ, ἐν ᾧ ὑπομεῖναι ἔδωκεν αὐτοῖς. Ἡ γὰρ ὑπομονή, καὶ ἡ μακροθυμία, καὶ ἡ ἀγάπη ἐπὶ τοῖς κόποις καὶ μόχθοις εὐχαριστεῖ· ἡ δὲ ἀκηδία καὶ ἡ ὀλιγωρία, καὶ τὸ ἀγαπᾶν τὴν ἀνάπαυσιν, ζητοῦσι τόπον ἐν ᾧ δοξάζονται· καὶ λοιπὸν ἐκ τῆς τῶν πολλῶν δόξης ἐξασθενοῦσιν αἱ αἰσθήσεις καὶ ἀναγκαίως καὶ ἡ αἰχμαλωσία τῶν παθῶν καταδυναστεύει αὐτῶν, καὶ ἀπόλλυσι τὴν ἐγκράτειαν τὴν κρυπτὴν διὰ τοῦ μετεωρισμοῦ καὶ τοῦ κόρου.

Ἑρμηνεία

ΕΑΝ ΑΠΟΦΑΣΙΣΗΣ νὰ ζήσῃς ὡς ξένος διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, μὴ θελήσῃς νὰ συνάψῃς γνωριμίας μὲ τοὺς κατοίκους τῆς περιοχῆς, οὔτε καὶ νὰ ἔχῃς μαζί των πολλὰς σχέσεις· διότι τότε εἶναι προτιμότερον νὰ παραμείνῃς μὲ τοὺς κατὰ σάρκα συγγενεῖς σου. Ἐὰν πάρῃς κελλίον εἰς γνώριμόν σου τόπον, μὴ ἐπιτρέψῃς εἰς τὸν ἑαυτόν σου νὰ ἀποκτήσῃ πολλοὺς φίλους· εἶναι ἀρκετὸς ἕνας, διὰ νὰ τὸν ἔχῃς συμπαραστάτην, ὅταν ἀσθενήσῃς· καὶ πρόσεξε μὴ χάσῃς τὴν ὠφέλειαν ἀπὸ τὴν ξενιτείαν. Ἐὰν φύγῃς εἰς τόπον, διὰ νὰ κατοικήσῃς ἐκεῖ, μὴ βιασθῇς νὰ πάρῃς γρήγορα κελλίον διὰ κατοικίαν σου, μέχρις ὅτου μάθῃς πῶς ζοῦν εἰς ἐκεῖνον τὸν τόπον, μὴ τυχὸν σοῦ συμβῇ κανένα ἐμπόδιον, ἢ διὰ φροντίδα ἢ διὰ ἀνάπαυσιν ἢ ἄλλο πρόσκομμα ἀπὸ φίλους. Διότι ἐὰν εἶσαι σοφός, θὰ ἐννοήσῃς ὅλα αὐτὰ ἐντὸς ὀλίγων ἡμερῶν, καὶ τὸν θάνατόν σου, καὶ τὴν ζωήν σου.

Ὑπεράνω ὅλων λοιπὸν ὁ πρῶτος ἀγὼν εἶναι ἡ ξενιτεία, ἐὰν μάλιστα φύγῃς κατὰ μόνας ὡς ἄγνωστος, ἀφήσῃς τὰ πράγματά σου καὶ ἀπέλθῃς εἰς ἄλλον τόπον, φέρων ὡς ἐφόδια πίστιν τελείαν, καὶ ἐλπίδα καὶ σταθερὰν καρδίαν κατὰ τῶν θελημάτων σου. Οἱ δαίμονες βεβαίως θὰ σὲ περικυκλώσουν μὲ πολλοὺς κύκλους, θὰ σὲ φοβερίζουν πὼς θὰ σοῦ συμβοῦν πειρασμοί, καὶ σκληρὰ πτωχεία, καὶ φοβεραὶ ἀσθένειαι. Θὰ ἐμβάλλουν εἰς τὸν νοῦν σου ἀνησυχητικὰς σκέψεις, ὅτι τάχα ἐὰν περιπέσῃς εἰς αὐτάς, τί θὰ κάνῃς, ἐὰν δὲν ἔχῃς κανένα νὰ σὲ φροντίζῃ, ἢ νὰ σὲ γνωρίζῃ; Ἀλλὰ καὶ ἡ ἀγαθότης τοῦ Θεοῦ σὲ δοκιμάζει, διὰ νὰ φανερωθῇ ὁ ζῆλος σου καὶ ἡ ἀγάπη σου πρὸς Αὐτόν.

Ἐὰν λοιπὸν ἐγκλεισθῇς μόνος εἰς τὸ κελλίον σου, τότε σπείρουν εἰς τὸν νοῦν σου καὶ ἄλλους βαρυτάτους λογισμοὺς δειλίας, καὶ συνεχῶς σοῦ ψιθυρίζουν. Μόνη ἡ ξενιτεία δὲν σώζει τὸν ἄνθρωπον, ἀλλὰ ἡ τήρησις τῶν ἐντολῶν· φέρουν δὲ εἰς σὲ καὶ τὴν ἐνθύμησιν ὅσων εὑρίσκονται εἰς τὸν κόσμον καὶ τῶν σαρκικῶν συγγενῶν καὶ σοῦ λέγουν· τί λοιπὸν ὅλοι αὐτοὶ δὲν εἶναι δοῦλοι τοῦ Θεοῦ; Μετὰ ταῦτα σὲ κάμνουν νὰ σκέπτεσαι τὰς καιρικὰς ἀνωμαλίας, τὸ βάρος τοῦ σώματος καὶ ἄλλα παρόμοια ἐμφυτεύουν εἰς τὴν καρδίαν σου, διὰ νὰ τὴν φέρουν εἰς ἀμέλειαν.

Ἐὰν ὅμως ἡ ἀγάπη καὶ ἡ ἐλπὶς ὑπάρχουν μέσα εἰς αὐτήν, δὲν φέρει κανὲν ἀποτέλεσμα ἡ κακία αὐτῶν· διότι τότε φανερώνεται ὁ πόθος σου,

τὸν ὁποῖον ἔχεις πρὸς τὸν Θεόν, ἐὰν βεβαίως ἀγαπᾷς Αὐτὸν περισσότερον ἀπὸ τὴν σωματικήν σου ἀνάπαυσιν. Διότι δὲν ἐξενιτεύθης χωρὶς λόγον, ἀλλὰ διὰ νὰ ἑτοιμασθῇς εἰς τὸν πόλεμον ἐναντίον τῶν ἐχθρῶν σου, καὶ νὰ γνωρίσης πῶς τὸν καθένα ἀπὸ αὐτοὺς θὰ συντρίψῃς εἰς τὴν κατάλληλον περίστασιν, ἕως ὅτου ἐλευθερωθῇς ἀπὸ αὐτοὺς καὶ φθάσῃς εἰς τὴν ἀνάπαυσιν τῆς ἀπαθείας.

Ἀδελφέ, ἐὰν ἐγκατέλειψες τὸν ὑλικὸν κόσμον καὶ τὰς ἀνέσεις του, πρόσεχε ἀπὸ τὸν δαίμονα τῆς λύπης, μὴ τυχόν, ἐξ αἰτίας τῆς μεγάλης πτωχείας καὶ τῆς θλίψεως, δὲν κατορθώσῃς νὰ φθάσῃς εἰς τὸ μέτρον τῶν μεγάλων ἀρετῶν, αἱ ὁποῖαι εἶναι τὸ νὰ μὴ ὑπολογίζῃς τὸν ἑαυτόν σου, νὰ ὑποφέρῃς τὴν περιφρόνησιν καὶ τὴν ὕβριν, καὶ τὸ νὰ μὴ ἀναφερθῇ τὸ ὄνομά σου πουθενὰ εἰς αὐτὸν τὸν κόσμον. Διότι ἐὰν ἀγωνισθῇς νὰ ἀποκτήσῃς αὐτὰς τὰς ἀρετάς, αὐταὶ θὰ ἑτοιμάσουν τοὺς στεφάνους τῆς ψυχῆς σου. Ἐπειδὴ δὲν θεωροῦνται πτωχοὶ ἁπλῶς οἱ ἀρνηθέντες τὸν κόσμον καὶ πτωχεύοντες μόνον κατὰ τὸ φαινόμενον, ἀλλὰ ἐκεῖνοι ποὺ ἐπτώχευσαν ἀπὸ κάθε κακίαν καὶ συνεχῶς, ὡς οἱ πεινασμένοι τὴν τροφήν, ἐνθυμοῦνται καὶ αὐτοὶ τὸν Θεόν. Οὔτε πάλιν ἀποκτοῦν τὴν ἀπάθειαν οἱ ἔχοντες ἐξωτερικὴν μόνον θλῖψιν, ἀλλ' ἐκεῖνοι ποὺ φροντίζουν διὰ τὴν διόρθωσιν τοῦ ἐσωτερικοῦ ἀνθρώπου καὶ κόπτουν τὰ θελήματά των, αὐτοὶ θὰ λάβουν τὸν στέφανον τῶν ἀρετῶν.

Νὰ προσπαθῇς ἐπίσης νὰ ἀντιληφθῇς καλῶς μὲ ποίαν πρόφασιν θορυβοῦν οἱ λογισμοί, ποὺ σὲ ταράσσουν· διότι πολλὰς φορὰς σοῦ φέρουν ἀμέλειαν, ἐπειδὴ σὲ ἀπασχολοῦν μὲ τὴν σκέψιν νὰ ἀλλάξῃς τόπον χωρὶς αἰτίαν, καὶ πάλιν σύ, μετανοημένος, παραμένεις· τὸ κάνουν δὲ αὐτὸ (οἱ δαίμονες), ὥστε ὁ νοῦς σου νὰ παραμένῃ ἀργὸς καὶ μετέωρος. Ὅσοι ἔχουν ἀντιληφθῆ τὴν κακουργίαν αὐτῶν τῶν λογισμῶν, παραμένουν ἀτάραχοι, εὐχαριστοῦντες τὸν Κύριον διὰ τὸν τόπον, τὸν ὁποῖον ἔδωκεν εἰς αὐτοὺς διὰ νὰ ὑπομένουν. Διότι ἡ ὑπομονὴ καὶ ἡ μακροθυμία καὶ ἡ ἀγάπη καθιστοῦν τὸν ἄνθρωπον ἱκανὸν νὰ εὐχαριστῆται εἰς τοὺς κόπους καὶ τὰς ταλαιπωρίας. Ἀντιθέτως ἡ ἀμέλεια καὶ ἡ ἀπροσεξία καὶ ἡ ἀγάπη τῆς ἀναπαύσεως ἀναζητοῦν τόπον εἰς τὸν ὁποῖον δοξάζονται· ὁπόταν ἀπὸ τὴν δόξαν τῶν πολλῶν ἐξασθενοῦν αἱ αἰσθήσεις καί, κατ' ἀνάγκην πλέον, τὰ πάθη τοὺς αἰχμαλωτίζουν, τοὺς καταδυναστεύουν καὶ καταστρέφουν, διὰ τοῦ μετεωρισμοῦ καὶ τῆς πλησμοσύνης, τὴν ἐσωτερικὴν ἐγκράτειαν.

Γ'. Τοῦ Ἁγίου Διαδόχου

ΟΥΚ ΑΝ ΕΠΙΘΥΜΗΣΗι ἡ ψυχὴ χωρισθῆναι τοῦ σώματος, εἰ μὴ ἄποιος αὐτῇ ἡ πρὸς τὸν ἀέρα τοῦτον διάθεσις γένοιτο. Πᾶσαι γὰρ αἱ αἰσθήσεις τοῦ σώματος τῇ πίστει ἀντίκεινται, ἐπειδὴ αἱ μὲν τῶν παρόντων γίνονται, ἡ δὲ τὴν τῶν μελλόντων μόνον ἀγαθῶν ἐπαγγέλλεται πολυτέλειαν. Προσήκει οὖν τὸν ξενιτεύοντα καὶ ἀγωνιζόμενον μὴ περὶ δένδρων τινῶν εὐκλώνων καὶ συσκίων, ἢ πηγῶν καλλιρρόων, ἢ λειμώνων ποικίλων ἢ οἴκων εὐπρεπῶν, ἢ καὶ περὶ συγγενικῶν διατριβῶν ἐνθυμεῖσθαι πώποτε, μήτε δὲ τῶν πανηγυρικῶν, εἰ τύχοι, μεμνῆσθαι φιλοτιμιῶν, ἀλλὰ κεχρῆσθαι

μὲν τοῖς ἀναγκαίοις εὐχαρίστως, ὁδὸν δέ τινα ξένην ἡγεῖσθαι τὸν βίον πάσης σαρκικῆς διαθέσεως ἔρημον. Οὕτω γὰρ ἂν μόνον στενώσαντες ἡμῶν τὴν διάνοιαν, εἰς τὸ ἴχνος αὐτὴν ὅλην τῆς αἰωνίου ζωῆς ἐπιστρέψωμεν. Ὅτι ἡ βλέψις, καὶ ἡ γεῦσις, καὶ αἱ λοιπαὶ αἰσθήσεις διαφοροῦσι τὴν μνήμην τῆς καρδίας, ὅταν αὐταῖς ὑπὲρ τὸ μέτρον κεχρήμεθα.

Πρώτη Εὔα ἡμῖν ὁμιλεῖ τὸ τοιοῦτον· ἕως γὰρ ὅτε οὐκ ἀπεῖδεν ἐκείνη εἰς τὸ δένδρον τῆς παραγγελίας, ἐμέμνητο ἐπιμελῶς τοῦ θείου προστάγματος· διό περ καὶ ταῖς πτέρυξιν ἔτι τοῦ θείου ὥς περ ἐσκέπετο ἔρωτος, ἐντεῦθεν τὴν ἑαυτῆς ἀγνοοῦσα γυμνότητα. Ἐπειδὴ δὲ εἶδε τὸ ξύλον ἡδέως καὶ μετὰ πολλῆς αὐτοῦ ἐπιθυμίας ἥψατο· καὶ λοιπὸν τοῦ ἐξ αὐτοῦ καρποῦ μετὰ ἐνεργοῦς τινος ἐγεύσατο ἡδονῆς, εὐθὺς μὲν διηδύνθη πρὸς σωματικὴν συμπλοκὴν ὡς γυνή, τῷ δὲ πάθει συνάψασα ὅλην αὐτῆς τὴν ἐπιθυμίαν, εἰς τὴν τῶν παρόντων ἀπόλαυσιν ἔδωκε, μίξασα διὰ τὸ τοῦ καρποῦ ἡδυφανὲς τῷ ἑαυτῆς καὶ τὸν Ἀδὰμ πταίσματι. Ὅθεν δυσχερῶς λοιπὸν ὁ ἀνθρώπινος νοῦς μεμνῆσθαι τοῦ Θεοῦ δύναται, ἢ τῶν αὐτοῦ ἐντολῶν. Ἡμεῖς οὖν εἰς τὸ βάθος ἀεὶ τῆς καρδίας ἡμῶν ἀφορῶντες μετὰ μνήμης ἀπαύστου τοῦ Θεοῦ, ὡς πηροὶ τὰς ὄψεις τῷ φιλαπατεῶνι τούτῳ ἐνδιάγωμεν βίῳ· φιλοσοφίας γὰρ ὄντως πνευματικῆς ἴδιον, ἄπτερον ἀεὶ τὸν ἔρωτα διαφυλάττειν τῶν ὄψεων· τοῦτο δὲ καὶ ὁ πολυπειρότατος Ἰὼβ διδάσκει ἡμᾶς λέγων· εἰ δὲ καὶ τῷ ὀφθαλμῷ μου ἐπηκολούθησεν ἡ καρδία μου· τοῦτο δὲ ἀκροτάτης ὑπάρχει ἐγκρατείας γνώρισμα καὶ ὑπόθεσις.

Ἑρμηνεία

ΔΕΝ ΗΜΠΟΡΕΙ ἡ ψυχὴ νὰ ἐπιθυμήσῃ νὰ χωρισθῇ ἀπὸ τὸ σῶμα, ἐὰν ἡ διάθεσίς της δὲν γίνῃ τελείως ἀδιάφορος διὰ τὸν κόσμον τοῦτον. Διότι ὅλαι αἱ αἰσθήσεις τοῦ σώματος ἀντιστρατεύονται πρὸς τὴν πίστιν, ἐπειδὴ αἱ μὲν αἰσθήσεις συνδέουν τὸν ἄνθρωπον μὲ τὰ παρόντα, ἐνῷ ἡ πίστις ὑπόσχεται εἰς τὸν ἄνθρωπον τὴν ὑπερτάτην τελειότητα τῶν μελλόντων ἀγαθῶν. Πρέπει λοιπὸν ὁ ξενιτεύων καὶ ἀγωνιζόμενος νὰ μὴ ἐνθυμῆται ποτὲ ὡραιόκλαδα καὶ σκιερὰ δένδρα ἢ δροσερὰς πηγάς, ἢ κήπους μὲ διάφορα ἄνθη ἢ οἰκίας πολυτελεῖς, ἢ νὰ ἐνθυμῆται τὰς σχέσεις του μετὰ τῶν συγγενῶν του οὔτε νὰ σκέπτεται, ἐὰν τύχῃ, πανηγυρικὰς τιμάς, ἀλλὰ νὰ χρησιμοποιῇ, μετ' εὐχαριστήσεως τὰ ἀναγκαῖα, νὰ θεωρῇ δὲ τὸν παρόντα βίον ὡς μίαν ὁδὸν ξένην, ἐστερημένον ἀπὸ πᾶσαν σαρκικὴν ἐπιθυμίαν. Διότι μόνον ἐὰν περιορίσωμεν τοιουτοτρόπως τὴν διάνοιαν ἡμῶν, θὰ καταστῇ δυνατὸν νὰ τὴν ἐπαναφέρωμεν ὁλόκληρον εἰς τὰ ἴχνη τῆς αἰωνίου ζωῆς. Ἐπειδὴ ἡ ὅρασις καὶ ἡ γεῦσις, ὡς καὶ αἱ ὑπόλοιποι αἰσθήσεις, ὅταν τὰς μεταχειριζώμεθα ὑπὲρ τὸ μέτρον, διασκορπίζουν τὴν μνήμην τῆς καρδίας.

Πρώτη ἡ Εὔα ἐπαληθεύει, μὲ τὴν συμπεριφοράν της, αὐτὸ τὸ πρᾶγμα· διότι ἕως τὴν στιγμὴν ποὺ δὲν ἐπρόσεξε τὸ δένδρον τῆς παραγγελίας, ἐνεθυμεῖτο μετὰ προσοχῆς τὸ θεϊκὸν πρόσταγμα· δι' αὐτὸ ἀκριβῶς, ὡς νὰ ἐσκεπάζετο μὲ τὰς πτέρυγας τοῦ θείου ἔρωτος, ἠγνόει ἀκόμη καὶ τὴν γυμνότητά της. Ἐπειδὴ ὅμως εἶδε τὸ δένδρον εὐχαρίστως καὶ τὸ ἤγγισε μετὰ πολλῆς τῆς πρὸς αὐτὸ ἐπιθυμίας, καὶ ἐν συνεχείᾳ ἐγεύθη τὸν

καρπόν του μὲ κάποιαν ἐνεργὸν ἡδονήν, ἀμέσως κατελήφθη, ὡς γυμνή, ἀπὸ φιλόσαρκον διάθεσιν πρὸς σωματικὴν σχέσιν· ἀφοῦ δὲ κατέστησε ἐμπαθῆ ὁλόκληρον τὴν ἐπιθυμίαν της, παρεδόθη εἰς τὴν ἀπόλαυσιν τῶν παρόντων; περιπλέξασα καὶ τὸν Ἀδὰμ εἰς τὸ πταῖσμα της ἐξ αἰτίας τῆς εὐχαρίστου γεύσεως καὶ ὄψεως τοῦ καρποῦ. Ἀπὸ τότε λοιπὸν μετὰ δυσκολίας ὁ ἀνθρώπινος νοῦς δύναται νὰ ἐνθυμῆται τὸν Θεὸν ἢ τὰς ἐντολάς Του.

Ἡμεῖς λοιπὸν ἀποβλέποντες συνεχῶς εἰς τὸ βάθος τῆς καρδίας ἡμῶν, καὶ ἐνθυμούμενοι ἀκαταπαύστως τὸν Θεὸν ἂς διερχώμεθα ὡς τυφλοὶ τὴν εὐκόλως ἐξαπατῶσαν παροῦσαν ζωήν· διότι χαρακτηριστικὸν γνώρισμα τῆς πραγματικῆς πνευματικῆς φιλοσοφίας εἶναι τὸ νὰ συγκρατῇς πάντοτε τὰ μάτια σου νὰ μὴ ἀγαποῦν τίποτα. Αὐτὴν τὴν ἀλήθειαν διδάσκει εἰς ἡμᾶς καὶ ὁ πολύπειρος Ἰώβ· ἐὰν δὲ ἡ καρδία μου ἠκολούθησε πιστὰ τὸν ὀφθαλμόν μου. Τοῦτο εἶναι γνώρισμα καὶ κατάστασις τελειοτάτης ἐγκρατείας.

Δ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

Ο ΚΟΣΜΟΣ πόρνῃ ἔοικεν, ἥτις τῇ ἐπιθυμίᾳ τοῦ κάλλους αὐτῆς ἕλκει τοὺς ὁρῶντας εἰς τὸν πόθον αὐτῆς, καὶ ὁ κρατηθεὶς μερικῶς τῷ πόθῳ αὐτοῦ, καὶ περιπλακείς, οὐ δύναται ἐξειλῆσαι ἐκ τῶν χειρῶν αὐτοῦ, ἕως οὗ ἀποδύσῃ αὐτὸν τὴν ζωὴν αὐτοῦ· καὶ ὅτε γυμνώσει αὐτὸν ἐκ πάντων, ἐκφέρει αὐτὸν ἐκ τοῦ οἴκου αὐτοῦ ἐν τῇ ἡμέρᾳ τοῦ θανάτου· καὶ τότε γνωρίζει αὐτὸν ὁ ἄνθρωπος ὅτι πλάνος καὶ ἀπατεὼν ἦν· εἰ δέ τις θέλει ἐξελθεῖν ἐκ τοῦ κόσμου τούτου, καὶ ἰδεῖν τὰς περιπλοκὰς αὐτοῦ, μακρὰν ἀπ᾽ αὐτοῦ γενέσθω· καὶ τότε δυνατὸς ἔσται ἰδεῖν τὴν ἀσχημοσύνην αὐτοῦ.

Ἑρμηνεία

Ο ΚΟΣΜΟΣ αὐτὸς ὁμοιάζει μὲ μίαν διεφθαρμένην γυναῖκα, ἡ ὁποία, μὲ τὴν ἐπιθυμίαν τοῦ κάλλους, σύρει ὅσους τὴν βλέπουν εἰς τὸν πόθον πρὸς αὐτήν· καὶ ἐκεῖνος, ὁ ὁποῖος, ἔστω καὶ ὀλίγον, θὰ αἰχμαλωτισθῇ ἀπὸ τὸν πόθον αὐτοῦ τοῦ κόσμου, καὶ θὰ περιπλακῇ μὲ αὐτόν, δὲν δύναται νὰ ἐλευθερωθῇ ἀπὸ τὰ χέρια του, μέχρις ὅτου τελειώσῃ τὴν ζωήν του. Καὶ τότε, ὅταν τὸν ἀπογυμνώσῃ ἀπὸ ὅλα, τὸν πετᾷ ἔξω ἀπὸ τὸν οἶκον του κατὰ τὴν ἡμέραν τοῦ θανάτου του· καὶ τότε μόλις ἀντιλαμβάνεται ὁ ἄνθρωπος, ὅτι ὁ κόσμος αὐτὸς ἦτο πλάνος καὶ ἀπατεών. Ἐὰν λοιπὸν κανεὶς θέλῃ νὰ ἐξέλθῃ ἀπὸ τὸν κόσμον αὐτὸν καὶ νὰ ἴδῃ τὰς παγίδας του, ἂς μείνῃ μακρὰν αὐτοῦ· καὶ τότε θὰ ἠμπορέσῃ νὰ ἀντιληφθῇ τὴν ἀσχημίαν του.

Ε'. Ἐν τῷ Γεροντικῷ

ΗΝ ΤΙΣ ΤΑΞΕΩΤΗΣ ἐν Σκυθοπόλει πάμπολα δεινὰ διαπραξάμενος, καὶ παντοίῳ τρόπῳ μολύνας τὸ σῶμα αὐτοῦ· κατανυγεὶς δὲ ὑπὸ τοῦ Θεοῦ, ἀπετάξατο· καὶ κτίσας ἑαυτῷ κελλίον εἰς ἔρημον τόπον, ἐκάθητο φροντίζων τῆς ἰδίας ψυχῆς. Μαθόντες οὖν τινες τῶν γνωρίμων αὐτοῦ, ἤρξαντο πέμπειν αὐτῷ ἄρτους καὶ φοίνικας καὶ

πᾶσαν τὴν χρείαν αὐτοῦ ἀνελλιπῶς. Ὡς δὲ εἶδεν ἑαυτὸν ἐν ἀναπαύσει μηδὲν λειπόμενον, λέγει ἐν ἑαυτῷ· ὄντως ἡ τοιαύτη ἀνάπαυσις, τῆς ἐκεῖ ἀναπαύσεως ἐκβάλλει ἡμᾶς· ταύτης δὲ ἐγὼ ἄξιος οὐκ εἰμί. Καταλιπὼν οὖν τὸ κελλίον ἑαυτοῦ, ἀνεχώρησε λέγων· ἄγωμεν ψυχὴ εἰς θλῖψιν· ἐμοὶ γὰρ ἄρτος, ἡ τροφὴ τῶν ἀλόγων, τουτέστι χόρτος ὁ πρέπων τοῖς ἀλόγοις, ὡς ἔργα μοι πράξαντι τὰ τῶν ἀλόγων.

2. Ποίῳ τρόπῳ κόπτει ἄνθρωπος τὴν πρώτην συνήθειαν, καὶ συνηθίζει ἑαυτὸν ἐν τῇ ζωῇ τῆς ἐνδείας καὶ τῆς ἀσκήσεως; Ζῆσαι τὸ σῶμα ἐκτὸς τῆς χρείας αὐτοῦ, ἀδύνατον· ὅσον δὲ δυνατὸν κατέχει αὐτὸ ὁ νοῦς ἀπὸ τῆς τρυφῆς καὶ τῆς χαυνώσεως, ὅταν πόρρω τῶν ποιούντων τὴν χαύνωσιν ᾖ, ἐπεὶ ὅταν βλέπῃ τὰ αἴτια τῆς τρυφῆς καὶ τῆς χαυνώσεως, ἐξυπνίζεται ἐν αὐτῷ ἡ ἐπιθυμία διάπυρος· καὶ ἢ πάλιν στρέφεται εἰς αὐτά, ἢ ἀγῶνα πολέμων κραταιῶν δέχεται. Διὸ καὶ ὁ Λυτρωτὴς ἡμῶν τῷ θέλοντι αὐτῷ ἀκολουθῆσαι, ἐνετείλατο γυμνωθῆναι πρότερον, καὶ ρίψαι τὰ αἴτια τῆς χαυνώσεως ἐξ αὐτοῦ, καὶ οὕτως αὐτῷ ἀκολουθῆσαι· καὶ αὐτὸς δὲ ἐκεῖνος ὅτε ἤρξατο πολεμεῖν μετὰ τοῦ διαβόλου, ἐν ἐρήμῳ ξηροτάτῃ ἐπολέμησεν αὐτόν.

3. Καὶ ὁ Παῦλος δὲ παραινεῖ ἐξελθεῖν ἐκ τῆς πόλεως, αἴροντας τὸν Σταυρὸν τοῦ Χριστοῦ, φάσκων· συνεξέλθωμεν τῷ Χριστῷ, καὶ λάβωμεν τὸν ὀνειδισμὸν αὐτοῦ· ὅτι ἔξωθεν τῆς πόλεως ἔπαθεν· ἐκ τοῦ γὰρ ἀφορίσαι ἄνθρωπος ἑαυτὸν τοῦ κόσμου καὶ τῶν αὐτοῦ, ταχέως ἐπιλανθάνεται τῆς πρώτης αὐτοῦ συνηθείας, καὶ οὐ κοπιᾷ χρόνον πολὺν ἐν τῇ τούτων μνήμῃ· μεγάλα δὲ βοηθεῖ ἐν τῷ ἀγῶνι τούτῳ καὶ τὸ εἶναι ἐν ἐνδείᾳ καὶ ὑστερήσει τὴν κατάστασιν τοῦ κελλίου τοῦ Μοναχοῦ καὶ ἵνα γένηται τὸ κελλίον αὐτοῦ κενὸν καὶ ἀργὸν ἀπὸ πάντων τῶν κινούντων ἐν αὐτῷ τὴν ἐπιθυμίαν τῆς ἀναπαύσεως.

Ὅταν γὰρ αἱ αἰτίαι τῆς χαυνώσεως ἀπέχωσιν ἐκ τοῦ ἀνθρώπου, οὐ κινδυνεύει ἐν τῷ διπλῷ πολέμῳ, τῷ τε ἐκτός, καὶ τῷ ἔσοθεν, ἤτοι τῷ διὰ τῶν αἰσθήσεων, καὶ τῷ διὰ τῶν λογισμῶν· καὶ οὕτως ἀκόπως νικᾷ ὁ ἄνθρωπος ὁ μακρόθεν ἔχων τὰ πρὸς ἡδονήν, παρὰ τὸν ἐκ τοῦ σήνεγγυς ἔχοντα τὴν ἐπιθυμίαν αὐτοῦ ἐρεθίζοντα· εἰς ἕκαστον γὰρ τῶν τοῦ σώματος μελῶν ἔχει πόλεμον ὁ ἄνθρωπος· διὸ ὀφείλει φυλάττειν ἑαυτὸν καὶ σμικρύνειν τὸν καθ' ἑαυτοῦ πόλεμον.

4. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· φεύγειν δεῖ τὰ σωματικά, ἤγουν τὰς ὕλας τὰς τὰ πάθη ἐρεθιζούσας· ὅταν γὰρ ᾖ ἄνθρωπος ἐγγὺς τοῦ σωματικοῦ πολέμου, ἔοικεν ἀνδρὶ ἱσταμένῳ ἐπάνω λάκκου βαθυτάτου· ᾧ προσβαλὼν ὁ ἐχθρὸς ὅτε θέλει, εὐκόλως αὐτὸν κατασπᾷ εἰς τὸν βόθρον· εἰ δὲ τις μακρὰν ᾖ τῶν σωματικῶν, ὅμοιός ἐστιν ἀνδρὶ μακρὰν ἀπέχοντι τοῦ λάκκου· ὃς κἂν ὑπὸ τοῦ ἐχθροῦ ληφθεὶς ἕλκηται πρὸς τὸν βόθρον εἰς τὸ κατασπασθῆναι κάτω, δύναται ἀντιβαίνειν ἑλκόμενος, ἅμα δὲ καὶ τὴν τοῦ Θεοῦ αἰτεῖσθαι βοήθειαν· ἣ καὶ συντόμως αὐτῷ παραβᾶσα, τῶν τοῦ ἐχθροῦ χειρῶν ἀφαρπάζει τὸν ἄνθρωπον.

5. Διηγήσατό τις, ὅτι τρεῖς φιλόπονοι ἐγένοντο ἀγαπητοί· εἵλοντο δὲ διαφόρους βίους· καὶ ὁ μὲν εἷς αὐτῶν ἠρετίσατο τοὺς μαχομένους εἰρηνεύειν, κατὰ τὸ εἰρημένον· μακάριοι οἱ εἰρηνοποιοί· ὁ δὲ ἕτερος, ἐπισκέπτεσθαι τοὺς ἀσθενοῦντας· ὁ δὲ ἄλλος ἀπῆλθεν εἰς τὴν ἔρημον ἡσυχάζειν καὶ ἀσκεῖν μετὰ τῶν Πατέρων. Ὁ οὖν πρῶτος πάνυ κοπιάσας διὰ τὰς συνεχεῖς μάχας τῶν ἀνθρώπων καὶ μὴ δυνάμενος θεραπεύειν πάντας, ἀπαγορεύσας παραγέγονε πρὸς τὸν ὑπηρετοῦντα τοῖς ἀσθενέσι·

καὶ εὗρε καὶ αὐτὸν ὀλιγωροῦντα καὶ μὴ εὐτονοῦντα τελειῶσαι τὴν ἐντολήν· συμφωνήσαντες οὖν ἀμφότεροι, ἀπῆλθον πρὸς τὸν ἀσκητήν, μαθεῖν θέλοντες τί κἀκεῖνος ἐκ τῆς καθ' ἡσυχίαν ἀσκήσεως εὗρε· καὶ ἰδόντες αὐτόν, πρότερον μὲν διηγήσαντο αὐτῷ τὰ καθ' ἑαυτούς, πῶς μυρίας ὑποστὰς ἑκάτερος αὐτῶν θλίψεις, οὐκ ἠδυνήθη ὃ προέθετο ἔργον εἰς τέλος ἀγαγεῖν· ἔπειτα δὲ παρεκάλεσαν κἀκεῖνον εἰπεῖν αὐτοῖς τί ἐκ τῆς ἡσυχίας ἀπώνατο.

Ὁ δὲ βάλλει ὕδωρ εἰς κρατῆρα, καὶ λέγει αὐτοῖς· προσέχετε εἰς τὸ ὕδωρ· ἦν δὲ τεταραγμένον· μετὰ δὲ βραχείας ὥρας διάστημα, πάλιν φησὶ πρὸς αὐτούς· προσέχετε καὶ ἄρτι εἰς τὸ ὕδωρ· ἦν δὲ καταστὰν ἤδη. Ὡς οὖν προσέσχον, θεωροῦσιν ἐν τῷ ὕδατι ὡς ἐν ἐσόπτρῳ τὰ ἑαυτῶν πρόσωπα· καὶ λέγει αὐτοῖς· οὕτως ἐστὶ καὶ ὁ ἐν μέσῳ ἀνθρώπων· ἀπὸ τῆς ταραχῆς, οὐ βλέπει τὰς ἑαυτοῦ ἁμαρτίας· ὅταν δὲ μακρὰν τοῦ κόσμου γενόμενος ἐν ἐρημικῷ γένηται τόπῳ, καὶ ἡσυχάσῃ τὰ αἰσθητήρια, τότε βλέπει τὰ ἴδια ἐλαττώματα· καὶ ἑαυτὸν διορθοῦται εἰ βούλεται, συνεργείᾳ τῆς τοῦ Θεοῦ χάριτος.

6. Εἶπε γέρων· ὥς περ εἰς λεωφόρον ὁδόν, ἤτοι τετριμμένην καὶ συνεχῶς καταπατουμένην, οὐκ ἀνέρχεται χλωρὸν τίποτε οὐδ ἐκφύει κἂν σπείρῃς, ἀλλ' εἰς τὴν μὴ πατουμένην καὶ ἄτριπτον, οὕτω καὶ ἐφ' ἡμῶν· ἕως ἐν μέσῳ ἐσμὲν τῶν τοῦ κόσμου ὑλῶν, ὑπὸ τῶν ἔξωθεν μεριμνῶν ὀχλούμενος ὁ νοῦς συνεχῶς καὶ καταπατούμενος, οὐ δύναται γνῶναι τὰ ἐν αὐτῷ κεκρυμμένα πάθη· εἰ δὲ μακρὰν περισπασμοῦ καὶ τῶν φροντίδων γενόμενος ἡσυχάσῃ, τότε βλέπει τὰ ἐν αὐτῷ πάθη φυόμενα καὶ φαινόμενα, ἃ πρότερον ἐλάνθανεν αὐτὸν ἔνδοθεν αὐτοῦ ὄντα, κἂν εἰς αὐτὰ διηνεκῶς περιεπάτει καὶ ἀνεστρέφετο.

7. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· καλόν ἐστιν, ἀββᾶ, οἰκῆσαι ἐν τῇ ἐρήμῳ; καὶ ἀπεκρίθη ὁ γέρων· οἱ υἱοὶ Ἰσραήλ, ὅταν ἐπαύσαντο τοῦ ἐν τῇ Αἰγύπτῳ περισπασμοῦ καὶ ᾤκησαν ἐν σκηναῖς, τότε ἐγνώσθη αὐτοῖς πῶς δεῖ φοβεῖσθαι τὸν Θεόν. Καὶ τὰ πλοῖα δὲ ἕως μὲν ἐν τῷ πελάγει χειμάζωνται, ἄπρακτα μένουσιν· ὅταν δὲ ἔλθωσιν εἰς τὸν λιμένα, τότε τὴν ἐμπορίαν ποιοῦνται. Οὕτω καὶ ὁ ἄνθρωπος· ἐὰν μὴ τῆς ταραχῆς ἐκ μέσου γενόμενος καρτερήσῃ εἰς ἕνα τόπον ἡσύχιον, οὐ μὴ λάβοι ποτὲ τὴν τῆς ἀληθείας ἐπίγνωσιν. Ἠρώτησε πάλιν ὁ ἀδελφός· καὶ τί ποιήσει τις, πάτερ, ἵνα λάβῃ τὸ χάρισμα τῶν ἀρετῶν; καὶ ἀπεκρίθη ὁ γέρων. Ἐάν τις θέλῃ μαθεῖν τέχνην, πᾶσαν μέριμναν καταλιμπάνει καὶ αὐτῇ μόνῃ σχολάζει καὶ παραμένει τῷ διδασκάλῳ ταπεινούμενος, καὶ κατευτελίζων ἑαυτὸν καὶ οὕτω μανθάνει τὴν τέχνην· ὁμοίως καὶ ὁ Μοναχός· ἐὰν μὴ παύσῃ πᾶσαν ἀσχολίαν ἀνθρωπίνην, καὶ ἡγησάμενος αὐτὸν χείρονα παντὸς ἀνθρώπου, καὶ παραδῷ τὸ ἀφρονέστερον πνευματικῷ διδασκάλῳ, οὐ μὴ κτήσηται τὸ σύνολον ἀρετήν.

8. Διηγήσατό τις γέρων· ὅτι νεώτερος ὤν, εἶχον, φησίν, ἐπιστάτην, ὃς ἠγάπα ἀεὶ εἰς τὰς μακροτέρας ἐρήμους ὑπάγειν, κἀκεῖ ἡσυχάζειν· ἐν μιᾷ οὖν λέγω αὐτῷ· διατί, Ἀββᾶ, πάντοτε φεύγεις ἐν ταῖς ἐρήμοις; οἶμαι γὰρ ὅτι ὁ μένων πλησίον τοῦ κόσμου, καὶ βλέπων καὶ παραβλέπων διὰ τὸν Θεόν, πλείονα μισθὸν ἔχει τοῦ μηδόλως βλέποντος. Καὶ ἀπεκρίθη μοι ὁ γέρων· πίστευσόν μοι, τέκνον, ὅτι ἕως οὗ ἔλθῃ ἄνθρωπος εἰς τὰ μέτρα Μωϋσέως καὶ γένηται σχεδὸν υἱὸς Θεοῦ, οὐκ ὠφελεῖται ἐκ

τοῦ κόσμου· ἐγὼ δὲ ἔτι τοῦ Ἀδὰμ υἱὸς ὑπάρχω· καὶ ὡς ὁ πατήρ μου, ἐπὰν ἴδω τὸν καρπὸν τῆς ἁμαρτίας, εὐθέως ἐπιθυμῶ αὐτοῦ καὶ λαμβάνω, καὶ ἐσθίω, καὶ ἀποθνήσκω· διὰ τοῦτο καὶ οἱ Πατέρες ἡμῶν ἐν ταῖς ἐρήμοις ἔφευγον, ἐν αἷς μὴ εὑρίσκοντες τὰς τῶν παθῶν ὕλας, εὐχερῶς ταῦτα ἀπέκτεινον.

9. Εἶπεν ὁ Ἀββᾶς Τιθόης· ὅτι ξενιτεία ἐστὶ τὸ κρατῆσαι τὸν ἄνθρωπον τὸ ἑαυτοῦ στόμα, ἐν ᾧ ἂν τόπῳ ἐστίν.

Ἑρμηνεία

ΚΑΠΟΤΕ, εἰς τὴν Σκυθόπολιν,* ὑπῆρχεν ἕνας ἀριστοκράτης, ὁ ὁποῖος διέπραξε πάρα πολλὰ ἁμαρτήματα καὶ παντοιοτρόπως ἐμόλυνε τὸ σῶμα του. Αἰσθανθεὶς ὅμως, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, συντριβὴν ἀπηρνήθη τὸν κόσμον· ἀφοῦ δὲ ἔκτισεν ἕνα κελλίον εἰς ἐρημικὸν μέρος, ἠσκήτευεν εἰς αὐτὸ φροντίζων διὰ τὴν ψυχήν του.

Ὅταν τὸ ἔμαθαν μερικοὶ ἀπὸ τοὺς γνωστούς του, ἤρχισαν νὰ τοῦ ἀποστέλλουν τακτικῶς ἄρτους, φοίνικας καὶ ὅλα τὰ ἀναγκαῖα. Μόλις εἶδεν—ὁ ἀναχωρητὴς—ὅτι εὑρίσκεται εἰς ἀνάπαυσιν, χωρὶς νὰ τοῦ λείπῃ τίποτε, λέγει εἰς τὸν ἑαυτόν του. Πράγματι ἡ ἀνάπαυσις αὐτὴ θὰ μὲ ἐκδιώξῃ ἀπὸ τὴν ἐκεῖ ἀνάπαυσιν· ἐγὼ δὲ δὲν εἶμαι ἄξιος νὰ ἔχω τοιαύτην ἀνάπαυσιν. Ἀμέσως λοιπὸν ἐγκατέλειψε τὸ κελλίον του λέγων· Ἐμπρός, ψυχή μου, ἂς πορευθῶμεν πρὸς τὴν θλῖψιν· διότι τὸ ψωμί μου πρέπει νὰ εἶναι ἡ τροφὴ τῶν ἀλόγων· δηλαδὴ τὸ χορτάρι, μὲ τὸ ὁποῖον τρέφονται τὰ ἄλογα ζῶα, ἐπειδὴ διέπραξα καὶ τὰ ἔργα τῶν ἀλόγων ζώων.

2. Μὲ ποῖον τρόπον ἀποκόπτει ὁ ἄνθρωπος τὴν πρώτην συνήθειαν καὶ συνηθίζει νὰ ζῇ εἰς τὴν ζωὴν τῆς στερήσεως καὶ τῆς ἀσκήσεως; Νὰ ζήσῃ τὸ σῶμα χωρὶς τὴν ἱκανοποίησιν τῶν στοιχειωδῶν ἀναγκῶν του εἶναι ἀδύνατον· ὅσον ὅμως εἶναι δυνατὸν συγκρατεῖ αὐτὸ ὁ νοῦς ἀπὸ τὰς ἀπολαύσεις καὶ τὴν μαλθακότητα, ἐφ' ὅσον βεβαίως ὁ ἄνθρωπος παραμένει μακρὰν τῶν περιστάσεων, αἱ ὁποῖαι προκαλοῦν μαλθακότητα, ἐπειδὴ ὅταν βλέπῃ τὰ αἴτια τῶν ἀπολαύσεων καὶ τῆς μαλθακότητος, ἐξυπνᾷ μέσα του φλογερὰ ἡ δι' αὐτὰ ἐπιθυμία· καὶ τότε ἢ ἐπιστρέφει πάλιν πρὸς αὐτὰ τὰ αἴτια, ἢ ἀναλαμβάνει ἀγῶνα ἰσχυροτάτων πολέμων. Δι' αὐτὸ καὶ ὁ Λυτρωτὴς ἡμῶν παρήγγειλεν εἰς ἐκεῖνον, ὁ ὁποῖος θέλει νὰ τὸν ἀκολουθήσῃ, νὰ γυμνωθῇ προηγουμένως καὶ νὰ ρίψῃ ἀπὸ ἐπάνω του τὰ αἴτια τῆς μαλθακότητος, καὶ τοιουτοτρόπως νὰ τὸν ἀκολουθήσῃ. Ἄλλωστε καὶ ὁ ἴδιος, ὅταν (ὡς ἄνθρωπος) ἤρχισε νὰ πολεμῇ ἐναντίον τοῦ Διαβόλου, τὸν ἐπολέμησεν εἰς ξηροτάτην ἔρημον.

3. Καὶ ὁ ἀπόστολος Παῦλος συμβουλεύει νὰ ἐξέλθωμεν ἐκ τῆς πό-

---

* Ἡ Σκυθόπολις ἦτο πόλις τῆς Παλαιστίνης, καλουμένη ἑβραϊστὶ Βεθσεὰν ἢ Βεθσάν. Οἱ Ἕλληνες ὠνόμαζον αὐτὴν Σκυθόπολιν, διότι εἶχεν, ὡς ἐπίστευον, ἱδρυθῆ ὑπὸ τῶν Σκυθῶν. Κατὰ τὴν χριστιανικὴν ἐποχὴν ἦτο ἕδρα ἐπισκόπου. Εἰς τὴν θέσιν ταύτης ὑπάρχει σήμερον μικρὸν ἀραβικὸν χωρίον, πλησίον τοῦ ὁποίου ὑπάρχουν ἄφθονα τὰ ἐρείπια τῆς ἀρχαίας πόλεως.

λεως, ἀφοῦ σηκώσωμεν τὸν Σταυρὸν τοῦ Χριστοῦ. Ἰδοὺ δὲ τί ἀκριβῶς λέγει· ἄς ἐξέλθωμεν μαζὶ μὲ τὸν Χριστόν, καὶ ἄς δεχθῶμεν ἐπάνω μας τοὺς ἐξευτελισμοὺς τοὺς ὁποίους ὑπέμεινε δι' ἡμᾶς· διότι διὰ νὰ μᾶς λυτρώση ἔπαθεν ἔξω ἀπὸ τὴν πόλιν. Ἐπειδὴ μόλις ὁ ἄνθρωπος ἀποχωρισθῇ ἀπὸ τὸν κόσμον καὶ τὰ κοσμικὰ πράγματα, γρήγορα λησμονεῖ τὴν πρώτην του συνήθειαν, καὶ δὲν βασανίζεται ἐπὶ πολὺν χρόνον μὲ τὴν ἐνθύμησιν τῶν ἀπολαύσεων τοῦ κόσμου. Πάρα πολὺ δὲ βοηθεῖ εἰς τὸν ἀγῶνα αὐτὸν τὸ νὰ ζῇ εἰς τὸ κελλίον του μὲ πτωχείαν καὶ στερήσεις ὁ Μοναχός, καὶ νὰ εἶναι τὸ κελλίον του ἄδειο καὶ γυμνὸν ἀπὸ κάθε τι ποὺ θὰ ἦτο δυνατὸν νὰ κινήση μέσα του τὴν ἐπιθυμίαν τῆς ἀπολαύσεως.

Διότι ὅταν αἱ αἰτίαι τῆς μαλθακότητος εὑρίσκωνται μακρὰν τοῦ ἀνθρώπου, δὲν κινδυνεύει νὰ περιπέση εἰς τὸν διπλοῦν πόλεμον, τὸν ἐξωτερικὸν καὶ τὸν ἐσωτερικόν, δηλαδὴ τὸν πόλεμον τῶν αἰσθήσεων καὶ τὸν πόλεμον τῶν λογισμῶν. Τοιουτοτρόπως ὁ ἄνθρωπος, ὁ ὁποῖος κρατεῖ μακρὰν αὐτοῦ ὅσα προκαλοῦν ἀπόλαυσιν, νικᾷ χωρὶς κόπον καὶ εὐκολώτερον ἀπὸ ἐκεῖνον, ποὺ ἔχει κοντά του ὅσα διεγείρουν τὴν ἐπιθυμίαν του. Διότι ὁ ἄνθρωπος εἰς κάθε μέλος τοῦ σώματός του ἔχει καὶ τὸν ἀντίστοιχον πόλεμον· δι' αὐτὸ πρέπει νὰ προφυλάσσεται καὶ νὰ περιορίζη τὸν ἐναντίον του πόλεμον.

4. Ὁ Ἀββᾶς Ποιμὴν εἶπε· πρέπει νὰ ἀποφεύγωμεν τὰ σωματικά, δηλαδὴ τὰς ὕλας, αἱ ὁποῖαι ἐρεθίζουν τὰ πάθη· διότι ὅταν ὁ ἄνθρωπος εὑρίσκεται κοντὰ εἰς τὸν σωματικὸν πόλεμον, ὁμοιάζει μὲ ἄνδρα, ὁ ὁποῖος στέκει ἐπάνω ἀπὸ βαθύτατον λάκκον· αὐτὸν ὁπόταν θέλη νὰ τοῦ ἐπιτεθῇ ὁ ἐχθρὸς τὸν ρίπτει εὐκόλως εἰς τὸν λάκκον. Ἐὰν ὅμως κανεὶς εὑρίσκεται μακρὰν ἀπὸ τὰ σωματικά, ὁμοιάζει μὲ ἄνδρα, ὁ ὁποῖος ἀπέχει ἀπὸ τὸν λάκκον. Αὐτὸς καὶ ἐὰν ἀκόμη συλληφθῇ ἀπὸ τὸν ἐχθρὸν καὶ σύρεται πρὸς τὸν βόθρον, διὰ νὰ καταρριφθῇ μέσα, δύναται νὰ ἀντισταθῇ καθὼς θὰ σύρεται, συγχρόνως δὲ νὰ ζητήση καὶ τὴν βοήθειαν τοῦ Θεοῦ, ἡ ὁποία καὶ συντόμως καταφθάνει πλησίον του, τὸν βοηθεῖ καὶ ἀφαρπάζει τὸν ἄνθρωπον ἀπὸ τὰ χέρια τοῦ ἐχθροῦ.

+ 5. Κάποιος διηγήθη τὴν ἑξῆς ἱστορίαν. Τρεῖς ἐργατικοί ἀδελφοὶ ἠγαπήθησαν μεταξύ των. Ἐξέλεξαν δὲ διαφόρους τρόπους πνευματικῆς ζωῆς. Ὁ ἕνας ἐξ αὐτῶν προετίμησε νὰ συμφιλιώνη ὅσους ἐχθρεύονται καὶ πολεμοῦν μεταξύ των, συμφώνως πρὸς τὸ λεγόμενον εἰς τὸ Εὐαγγέλιον· μακάριοι οἱ εἰρηνοποιοί. Ὁ δεύτερος ἀπεφάσισε νὰ ἐπισκέπτεται τοὺς ἀσθενεῖς, ὁ δὲ τρίτος ἀνεχώρησεν εἰς τὴν ἔρημον διὰ νὰ ἐπιδοθῇ εἰς τὴν ἡσυχίαν καὶ τὴν ἄσκησιν μαζὶ μὲ τοὺς Πατέρας. Ὁ πρῶτος λοιπόν, ἀφοῦ ἐκοπίασε πάρα πολὺ ἀπὸ τὰς ἔριδας καὶ φιλονικίας τῶν ἀνθρώπων καὶ μὴ δυνάμενος νὰ ἱκανοποιῇ ὅλους, ἀπελπισθεὶς ἦλθε πρὸς ἐκεῖνον, ποὺ ἐφρόντιζε τοὺς ἀσθενεῖς. Εὗρεν ὅμως καὶ αὐτὸν νὰ εἶναι λυπημένος καὶ νὰ μὴ ἔχη τὴν δύναμιν νὰ τελειώση τὴν ἐντολήν. Ἀφοῦ λοιπὸν συνεφώνησαν καὶ οἱ δύο, ἔφυγαν πρὸς συνάντησιν τοῦ ἀσκητοῦ, θέλοντες νὰ μάθουν τί ἐπέτυχεν ἐκεῖνος ἐκ τῆς ἀσκήσεως εἰς τὴν ἡσυχίαν. Μόλις τὸν εἶδον, τοῦ διηγή-

θησαν προηγουμένως τὰ ἰδικά των, πώς, δηλαδή, ὁ καθένας ὑπέστη ἀναριθμήτους θλίψεις καὶ δὲν ἠδυνήθη νὰ ἀποτελειώσῃ τὸ ἔργον, τὸ ὁποῖον ἑκουσίως ἀνέλαβαν· ἐν συνεχείᾳ δὲ παρεκάλεσαν καὶ ἐκεῖνον νὰ τοὺς εἴπῃ τί ἀπεκόμισεν ἐκ τῆς ἡσυχίας.

Ὁ Ἀσκητὴς βάζει τότε νερὸν εἰς ἕνα δοχεῖον καὶ τοὺς λέγει:

— Προσέξετε τὸ νερό· ἦτο δὲ ἀκόμη τὸ νερὸ εἰς τὸ δοχεῖον ταραγμένον. Μετ' ὀλίγα λεπτὰ τῆς ὥρας, πάλιν λέγει πρὸς αὐτούς:

— Προσέξατε καὶ τώρα τὸ νερό· ἐν τῷ μεταξὺ τὸ νερὸ εἶχεν ἠρεμήσει πλέον.

Καθὼς λοιπὸν παρετήρησαν, βλέπουν εἰς τὸ νερό, ὡς νὰ ἔβλεπον εἰς καθρέπτην, τὰ πρόσωπά των. Τότε ὁ ἀσκητὴς τοὺς λέγει χαρακτηριστικῶς:

—Ἔτσι, ἀδελφοί μου, εἶναι καὶ αὐτός, ποὺ εὑρίσκεται μεταξύ τῶν ἀνθρώπων· ἀπὸ τὴν ταραχὴν δὲν βλέπει τὰς ἁμαρτίας του· ὅταν ὅμως ἀπομακρυνθῇ ἀπὸ τὸν κόσμον καὶ ἐγκατασταθῇ εἰς ἐρημικὸν τόπον, καὶ ἡσυχάσουν αἱ αἰσθήσεις του, τότε βλέπει τὰ ἐλαττώματά του καὶ διορθώνεται, ἐὰν θέλῃ, μὲ τὴν βοήθειαν τῆς Χάριτος τοῦ Θεοῦ.

† 6. Ἕνας γέρων εἶπεν· ὅπως ἀκριβῶς εἰς δημόσιον δρόμον, ὁ ὁποῖος δηλαδὴ εἶναι στρωμένος καὶ καταπατεῖται συνεχῶς, δὲν ἀναπτύσσεται χλωρὸν χόρτον, οὔτε φυτρώνει ὅ,τι καὶ ἂν σπείρῃς, παρὰ μόνον εἰς τὸ ἀπάτητον ἔδαφος φυτρώνουν μὲ εὐκολίαν τὰ φυτά, ἔτσι γίνεται καὶ μὲ τοὺς ἀνθρώπους. Ἕως ὅτου εὑρισκόμεθα εἰς τὸ μέσον τῶν ὑλικῶν ἀπολαύσεων τοῦ κόσμου, ὁ νοῦς συνεχῶς ἐνοχλεῖται ἀπὸ τὰς ἐξωτερικὰς μερίμνας καὶ καταπατεῖται καὶ ὡς ἐκ τούτου δὲν δύναται νὰ γνωρίσῃ τὰ πάθη, τὰ ὁποῖα ὑπάρχουν κρυμμένα μέσα εἰς τὴν ψυχήν του. Ἐὰν ὅμως ἡσυχάσῃ ἀπερχόμενος μακρὰν παντὸς περισπασμοῦ καὶ τῶν φροντίδων, τότε βλέπει τὰ πάθη, τὰ ὁποῖα φυτρώνουν μέσα του καὶ φαίνονται καθαρὰ πλέον, ἐνῷ προηγουμένως αὐτὰ διέφευγον τὴν προσοχήν του, ἂν καὶ ἦσαν μέσα του καὶ διαρκῶς εἰς αὐτὰ περιεπάτει καὶ κατεγίνετο.

† 7. Ἕνας ἀδελφὸς ἠρώτησε Γέροντα:

— Εἶναι καλόν, ἀββᾶ, νὰ κατοικήσω εἰς τὴν ἔρημον;

— Οἱ Ἰσραηλῖται—τοῦ ἀπήντησεν ὁ Γέρων— ὅταν ἀπηλλάγησαν ἀπὸ τοὺς περισπασμοὺς εἰς τὴν Αἴγυπτον, καὶ κατῴκησαν εἰς σκηνάς, τότε ἀπεκαλύφθη εἰς αὐτούς, πῶς πρέπει νὰ σέβωνται τὸν Θεόν. Ἐπίσης καὶ τὰ πλοῖα, ὅταν εὑρίσκωνται ἀνοικτὰ εἰς τὸ πέλαγος καὶ ὑποφέρουν ἀπὸ τὴν τρικυμίαν, δὲν ἠμποροῦν τίποτε νὰ κάνουν· ὅταν ὅμως ἔλθουν εἰς λιμένα, τότε ἐπιδίδονται εἰς τὸ ἐμπόριον. Τοιουτοτρόπως συμβαίνει καὶ μὲ τὸν ἄνθρωπον· ἐὰν δὲν φύγῃ ἀπὸ τὴν ταραχὴν καὶ δὲν παραμείνῃ καρτερικῶς εἰς ἕνα ἡσυχαστικὸν τόπον, ποτὲ δὲν εἶναι δυνατὸν νὰ λάβῃ ἐπίγνωσιν τῆς ἀληθείας.

— Καὶ τί πρέπει νὰ κάνῃ, πάτερ μου, διὰ νὰ λάβῃ τὸ χάρισμα τῶν ἀρετῶν; ἠρώτησε πάλιν ὁ ἀδελφός.

Ὁ Γέρων ἀπήντησεν:

—Ἐὰν θελήσῃ κανεὶς νὰ μάθῃ μίαν τέχνην, ἀφήνει κάθε ἄλλην φροντίδα, καὶ ἀφιερώνεται εἰς αὐτὴν μόνον, καὶ παραμένει πλησίον τοῦ διδασκάλου ταπεινούμενος καὶ δεχόμενος προσβολάς· καὶ τοιουτοτρόπως μανθάνει τὴν τέχνην. Ἀκριβῶς τὸ ἴδιον συμβαίνει καὶ μὲ τὸν Μοναχόν· ἐὰν δὲν σταματήσῃ ἀπὸ κάθε κοσμικὴν ἀσχολίαν, καὶ ἐὰν δὲν θεωρήσῃ τὸν ἑαυτόν του χειρότερον ἀπὸ κάθε ἄνθρωπον, καὶ ἐάν, τέλος, δὲν ἐμπιστευθῇ τὸν ἑαυτόν του εἰς πνευματικὸν διδάσκαλον, ποτὲ δὲν θὰ ἀποκτήσῃ τὴν ἀρετήν.

8. Ἕνας Γέρων διηγήθη τὰ ἑξῆς· ὅταν ἤμουν νεώτερος, εἶχον ἕνα Ἡγούμενον, ὁ ὁποῖος ηὐχαριστεῖτο νὰ πηγαίνῃ πάντοτε εἰς ἀπομεμακρυσμένας ἐρήμους καὶ ἐκεῖ νὰ ἡσυχάζῃ· μίαν ἡμέραν λοιπὸν τοῦ λέγω. Διατί, Ἀββᾶ, φεύγεις πάντοτε εἰς τὰς ἐρήμους; ἔχω τὴν γνώμην, ὅτι αὐτός, ὁ ὁποῖος μένει κοντὰ εἰς τὸν κόσμον καὶ βλέπει καὶ παραβλέπει πρὸς χάριν τοῦ Θεοῦ, ἔχει περισσότερον μισθὸν ἀπὸ αὐτόν, ποὺ δὲν βλέπει τίποτε. Ὁ Γέρων μοῦ ἀπεκρίθη· πίστευσέ με, τέκνον μου, ὅτι μέχρις ὅτου φθάσῃ ὁ ἄνθρωπος εἰς τὰ μέτρα τοῦ Μωϋσέως καὶ γίνῃ σχεδὸν υἱὸς τοῦ Θεοῦ, δὲν ὠφελεῖται ἀπὸ τὸν κόσμον· ἐγὼ εἶμαι ἀκόμη υἱὸς τοῦ Ἀδάμ· καὶ ὅπως ὁ πατήρ μου, ἔτσι καὶ ἐγὼ μόλις ἴδω τὸν καρπὸν τῆς ἁμαρτίας, ἀμέσως τὸν ἐπιθυμῶ καὶ τὸν λαμβάνω, τὸν τρώγω καὶ ἀποθνήσκω. Δι' αὐτὸ καὶ οἱ Πατέρες μας ἔφευγαν εἰς τὰς ἐρήμους, εἰς τὰς ὁποίας δὲν εὕρισκον τὰ ἀντικείμενα, ποὺ παρασύρουν τὸν ἄνθρωπον εἰς τὰ πάθη, καὶ δι' αὐτὸ μὲ εὐκολίαν τὰ ἐφόνευον.

9. Ὁ Ἀββᾶς Τιθόης εἶπεν, ὅτι ξενιτεία εἶναι τὸ νὰ κρατῇ ὁ ἄνθρωπος κλειστὸν τὸ στόμα του, ὁπουδήποτε καὶ ἐὰν εὑρίσκεται.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραίμ

ΛΙΜΗΝ εὔδιός ἐστιν εὐκανόνιστος τόπος· οἷς δὲ μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν ὥς περ φύλλα.

Ἑρμηνεία

ΛΙΜΗΝ γαλήνιος εἶναι κάθε τόπος, εἰς τὸν ὁποῖον ὁ ἄνθρωπος εὐκόλως ρυθμίζει τὴν ζωήν του· ἐκεῖνοι δὲ οἱ ὁποῖοι δὲν κυβερνοῦν τὴν ζωήν των, πίπτουν ὅπως τὰ φύλλα ἀπὸ τὰ δένδρα.





ΥΠΟΘΕΣΙΣ ΙΔ'

Πόθεν ὁ εἰς Θεὸν φόβος καὶ ἡ ἀγάπη τῷ ἀνθρώπῳ κατ' ἀρχὰς γίνεται καὶ ἐπὶ πόσον ὀφείλεται.

Ἀπὸ ποῦ γεννᾶται κατ' ἀρχὰς εἰς τὸν ἄνθρωπον ὁ φόβος πρὸς τὸν Θεὸν καὶ ἡ ἀγάπη καὶ ἐπὶ πόσον καιρὸν ὁ ἄνθρωπος χρεωστεῖ νὰ φοβῆται καὶ νὰ ἀγαπᾷ τὸν Θεόν.



Ἐν τῷ Γεροντικῷ



ΔΕΛΦΟΣ ἠρώτησε τὸν Ἀββᾶν Εὐπρέπιον λέγων· πῶς ἔρχεται ὁ φόβος τοῦ Θεοῦ κατ' ἀρχὰς εἰς τὴν ψυχήν; καὶ ἀπεκρίθη ὁ γέρων· ἐὰν ἕληται ἄνθρωπος τὴν ταπείνωσιν καὶ τὴν ἀκτημοσύνην συντόμως ἔρχεται εἰς αὐτὸν ὁ φόβος τοῦ Θεοῦ.

2. Εἶπεν ὁ Ἀββᾶς Ἰάκωβος· ὥσπερ λύχνος ἐν σκοτεινῷ τόπῳ φωτίζει, οὕτω καὶ ὁ φόβος τοῦ Θεοῦ, ὅταν ἔλθῃ εἰς τὴν καρδίαν αὐτοῦ φωτίζει αὐτὸν καὶ διδάσκει πάσας τὰς ἀρετὰς καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ.

3. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· πῶς ἔρχεται ὁ φόβος τοῦ Θεοῦ εἰς τὴν ψυχήν; Καὶ εἶπεν ὁ γέρων· ἐὰν ἕληται ἄνθρωπος τὴν ταπείνωσιν καὶ τὴν ἀκτημοσύνην καὶ τὸ μὴ κρίνειν καὶ ἐν παντὶ πράγματι ἐλέγχῃ τὴν ἑαυτοῦ ψυχὴν εἰς τὸ μνημονεύειν ὅτι δεῖ αὐτὴν τῷ Θεῷ ὑπαντῆσαι, ἔρχεται αὐτῷ ὁ φόβος τοῦ Θεοῦ.

Ἑ ρ μ η ν ε ί α

✝ ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἠρώτησε τὸν Ἀββᾶν Εὐπρέπιον:

— Πῶς ἔρχεται, κατ' ἀρχάς, ὁ φόβος τοῦ Θεοῦ εἰς τὴν ψυχήν;

—Ἐὰν ἐκλέξῃ—ἀπήντησεν ὁ Γέρων—ὁ ἄνθρωπος τὴν ταπείνωσιν καὶ τὴν ἀκτημοσύνην, συντόμως ἔρχεται εἰς αὐτὸν καὶ ὁ φόβος τοῦ Θεοῦ.

2. Ὁ Ἀββᾶς Ἰάκωβος εἶπεν· ὅπως ἀκριβῶς ὁ λύχνος φωτίζει εἰς τόπον σκοτεινόν, τοιουτοτρόπως καὶ ὁ φόβος τοῦ Θεοῦ, ὅταν ἔλθῃ εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου, τὸν φωτίζει καὶ τὸν διδάσκει ὅλας τὰς ἀρετὰς καὶ τὰς ἐντολὰς τοῦ Θεοῦ.

† 3. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

— Πῶς ἔρχεται ὁ φόβος τοῦ Θεοῦ εἰς τὴν ψυχήν;

— Ἐὰν ἐκλέξῃ ὁ ἄνθρωπος — ἀπήντησεν ὁ Γέρων — τὴν ταπείνωσιν καὶ τὴν ἀκτημοσύνην, καὶ ἐὰν δὲν κατακρίνῃ οὐδένα· καὶ εἰς κάθε πρᾶγμα ἐλέγχει τὴν ψυχήν του διὰ νὰ ἐνθυμῆται, ὅτι ἔχει κάποτε νὰ συναντήσῃ τὸν Θεόν· τότε ἔρχεται εἰς αὐτὸν ὁ φόβος τοῦ Θεοῦ.






ΥΠΟΘΕΣΙΣ ΙΕ΄

Περὶ τοῦ ὅτι τοῖς ἀποταξαμένοις ἀναγκαῖον τὸ μὴ συμμίγνυσθαι τοῖς κατὰ σάρκα συγγενέσιν ἢ προσπαθῶς εἰς αὐτοὺς ἔχειν.

Εἶναι ἀνάγκη αὐτοί, οἱ ὁποῖοι ἐγκαταλείπουν τὸν κόσμον, νὰ μὴ ἐπικοινωνοῦν μὲ τοὺς κατὰ σάρκα συγγενεῖς των οὔτε νὰ τρέφουν ἀπέναντί των τὴν ἐλαχίστην συμπάθειαν.



Α΄. Παλλαδίου



ΙΩΡ ΤΙΣ ΟΝΟΜΑΤΙ, Αἰγύπτιος τῷ γένει, νέος τῇ ἡλικίᾳ, ἀποταξάμενος ἐξῆλθε τοῦ πατρικοῦ αὐτοῦ οἴκου δι᾽ ὑπερβολὴν θείου ἔρωτος, καὶ λόγον ἔδωκε τῷ Θεῷ τοῦ μηκέτι ἰδεῖν τινα τῶν ἰδίων. Μετὰ οὖν πεντήκοντα ἔτη ἡ τούτου ἀδελφὴ γηράσασα, καὶ μαθοῦσα παρά τινος ὅτι ὁ ἀδελφὸς αὐτῆς ζῇ, εἰς ἔκστασιν ἤρχετο, γλιχομένη τῆς τούτου θέας· μὴ δυναμένη οὖν ἀπελθεῖν εἰς τὴν πανέρημον, ἱκέτευσε τὸν κατὰ τόπον ἐπίσκοπον γράψαι τοῖς ἐν τῇ ἐρήμῳ Ἁγίοις πατράσιν, ἵνα αὐτὸν ἀποστείλωσι καὶ ἴδῃ αὐτόν. Βίας οὖν αὐτῷ πολλῆς περιτεθείσης, ὑπακούσας τῶν Πατέρων, συμπαραλαβὼν ἄλλον ἕνα ἀπῆλθε· καὶ γενόμενος ἐν τῇ οἰκίᾳ, ἐμήνυσεν ὅτι Πίωρ ὁ ἀδελφός σου παρεγένετο· αἰσθόμενος δὲ ὅτι ἐξήρχετο πρὸς αὐτὸν ἡ ἀδελφὴ αὐτοῦ, καμμύσας τοὺς ὀφθαλμούς, ἐβόησε πρὸς αὐτήν· ἀ δ ε λ φ ὴ ἡ δεῖνα· ἐ γ ώ ε ἰ μ ι Π ί ω ρ ὁ ἀ δ ε λ φ ό ς σ ο υ· ἐ γ ώ ε ἰ μ ι· ἴ δ ε, κ α ὶ β λ έ π ε ὅ σ ο ν θ έ λ ε ι ς· πληροφορηθεῖσα δὲ ἐκείνη ἐδόξασε τὸν Θεόν· καὶ πολλὰ ποιήσασα, οὐκ ἔπεισεν αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον, ἀλλ᾽ εὐχὴν ποιήσας ἐπὶ τῆς φλοιᾶς, ἀπεδήμησε πάλιν εἰς τὴν ἔρημον.

2. Ἐμηνύθη ποτὲ τῷ μακαρίῳ Εὐαγρίῳ τῷ Διακόνῳ ἡ τελευτὴ τοῦ πατρὸς αὐτοῦ· καὶ λέγει τῷ ἀπαγγείλαντι· π α ῦ σ α ι β λ α σ φ η μ ῶ ν, ὁ γ ὰ ρ ἐ μ ὸ ς π α τ ὴ ρ ἀ θ ά ν α τ ό ς ἐ σ τ ι ν.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ΑΝΘΡΩΠΟΣ ὀνομαζόμενος Πίωρ, ἀπὸ τὴν Αἴγυπτον, νέος κατὰ τὴν ἡλικίαν, ἠρνήθη τὸν κόσμον καὶ ἔφυγεν ἀπὸ τὴν πατρικήν

.του οἰκίαν ἀπὸ ὑπερβολικὴν πρὸς τὸν Θεὸν ἀγάπην· ἔδωσε δὲ ὑπόσχεσιν εἰς τὸν Θεὸν νὰ μὴ ἴδῃ πλέον κανένα ἀπὸ τοὺς συγγενεῖς καὶ φίλους του.

Μετὰ πενῆντα λοιπὸν ἔτη, ἡ ἀδελφή του, ὅτε πλέον ἐγήρασεν, ἔμαθεν ἀπὸ κάποιον, ὅτι ὁ ἀδελφός της ζῇ· κατελήφθη δὲ ἀπὸ σφοδροτάτην ἐπιθυμίαν νὰ τὸν ἴδῃ. Ἐπειδὴ ὅμως δὲν ἠδύνατο νὰ μεταβῇ εἰς τὴν βαθυτάτην ἔρημον, παρεκάλεσε θερμῶς τὸν ἐπίσκοπον τῆς περιοχῆς νὰ γράψῃ εἰς τοὺς Ἁγίους τῆς ἐρήμου, νὰ τὸν στείλουν εἰς τὴν πόλιν νὰ τὸν ἴδῃ. Ἀφοῦ λοιπὸν τὸν ἐβίασαν πολύ, ὑπήκουσεν εἰς τοὺς πατέρας καὶ λαβὼν μαζί του, ὡς σύντροφον, ἕνα ἀσκητήν, ἀνεχώρησε διὰ τὴν πόλιν.

Μόλις ἔφθασεν εἰς τὴν οἰκίαν εἰδοποίησεν, ὅτι ἔφθασεν ὁ ἀδελφός σου ὁ Πίωρ. Ἀντιληφθεὶς δὲ ὅτι ἐξήρχετο πρὸς συνάντησιν ἡ ἀδελφή του, ἔκλεισε τοὺς ὀφθαλμούς του, καὶ ἐφώναξε πρὸς αὐτήν· ἀδελφή μου, ἐγὼ εἶμαι Πίωρ ὁ ἀδελφός σου· ἐγὼ εἶμαι· ἴδε με καὶ βλέπε ὅσον θέλεις. Βεβαιωθεῖσα δὲ ἐκείνη ὅτι πράγματι ὁ ἀδελφός της ἦτο ἐδόξασε τὸν Θεόν· καὶ μολονότι μετεχειρίσθη κάθε τρόπον, δὲν κατώρθωσε νὰ τὸν πείσῃ νὰ εἰσέλθῃ μέσα εἰς τὴν οἰκίαν, ἀλλ' ἀφοῦ τὴν ηὐχήθη ἀπὸ τὸ κατώφλι, ἀνεχώρησε πάλιν εἰς τὴν ἔρημον.

2. Ἦλθε κάποτε ἡ εἴδησις εἰς τὸν μακάριον Εὐάγριον τὸν Διάκονον, ὅτι ἀπέθανεν ὁ πατέρας του. Ἐκεῖνος τότε ἀπήντησεν εἰς τὸν ἀγγελιαφόρον· παῦσε νὰ βλασφημῇς, διότι ὁ ἰδικός μου πατέρας εἶναι ἀθάνατος.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

ΑΚΟΥΣΑΣΑ ἡ κατὰ σάρκα ἀδελφὴ τοῦ Ὁσίου Παχωμίου περὶ τῆς ἐναρέτου πολιτείας αὐτοῦ, ἦλθεν εἰς τὸ Μοναστήριον, ἐπιθυμοῦσα τοῦτον ἰδεῖν. Μαθὼν δὲ ὁ μέγας τὴν παρουσίαν αὐτῆς, ἀπέστειλε τὸν θυρωρὸν εἰπεῖν αὐτῇ· ἰδοὺ ἤκουσας περὶ ἐμοῦ ὅτι ζῶ· ἄπελθε οὖν καὶ μὴ λυπηθῇς, ὅτι οὐχ ὁρῶ σε· εἰ δὲ βούλει καὶ σὺ τοῦτόν μου ζηλῶσαι τὸν βίον πρὸς τὸ εὑρεῖν ἡμᾶς ἔλεος παρὰ Κυρίου, σκέψαι· καὶ ἐὰν ἔστι σοι ἀρεστόν, ποιοῦσι κελλίον οἱ ἀδελφοὶ πρὸς τὸ δύνασθαί σε καθ' ἑαυτὴν ἡσυχάζειν· ἴσως δὲ καλέσει Κύριος καὶ ἄλλας σύν σοι καὶ σωθήσονται κἀκεῖναι διὰ σοῦ· οὐδεμίαν γὰρ ἄλλην ἄνεσιν ἔχει ἄνθρωπος ἐπὶ τῆς γῆς, πλὴν τοῦ ποιεῖν τὸ ἀγαθὸν καὶ εὐάρεστον τῷ Θεῷ. Ταύτην τὴν ἀπόκρισιν δεξαμένη ἐδάκρυσε, καὶ κατανυγεῖσα, ἐπέδωκε τὴν καρδίαν αὐτῆς πρὸς τὸ σωθῆναι.

Μαθὼν δὲ ὁ Παχώμιος τὴν προθυμίαν αὐτῆς, καὶ δοξάσας τὸν Θεόν, διετάξατο τοῖς εὐλαβεστέροις τῶν ἀδελφῶν ποιῆσαι αὐτῇ ἀπὸ διαστήματος τῆς μονῆς μικρὸν ἀσκητήριον. Ταύτης δὲ κατὰ Θεὸν ἀγωνιζομένης, συνῆλθον καὶ ἄλλαι· καὶ πληθυνομένων αὐτῶν, μήτηρ ὑπῆρχεν αὐτῶν, διδάσκουσα ταύτας καὶ δεικνύουσα αὐταῖς πάσας τὰς πρὸς σωτηρίαν ὁδούς. Πέτρον δέ τινα εὐλαβῆ καὶ σφόδρα πρεσβύτην τῇ ἡλικίᾳ ἔταξεν εἰς τὸ ἐπισκέπτεσθαι αὐτάς, καὶ κανόνας δὲ γράψας ἀπέστειλεν αὐταῖς, ὅπως κατ' αὐτοὺς στοιχειωθεῖσαι, τῆς κατὰ Θεὸν ἔχωνται πολιτείας.

Ἔπειτα δὲ καὶ Θεοδώρου τοῦ ὑπ' αὐτὸν ὄντος (ὃν σφόδρα ἠγάπα ὁ Παχώ-

μιος, ὁρῶν τὴν ὑπακοὴν αὐτοῦ μεγάλην οὖσαν καὶ θαυμαστὴν καὶ τὴν ἄσκησιν διαλάμπουσαν), τούτου ἡ μήτηρ ζητοῦσα αὐτὸν πανταχοῦ καὶ μαθοῦσα ὅτι ἐκεῖσε διάγει, καταλαμβάνει τὸ Μοναστήριον, ἐπιφερομένη ἐπιστολὰς ἐπισκόπων, κελευόντων ἀποδοθῆναι αὐτῇ τὸν ἑαυτῆς παῖδα· ἥτις ξενισθεῖσα παρὰ τῷ ἀσκητηρίῳ τῶν γυναικῶν, ἀπέστειλε τὰς ἐπιστολὰς τῷ Παχωμίῳ, δεομένη ἐπιτρέψαι θεάσασθαι τὸν υἱὸν αὐτῆς.

Τότε προσκαλεσάμενος αὐτὸς τὸν Θεόδωρον, λέγει αὐτῷ· τέκνον, ὅτι ἡ μήτηρ σου παρεγένετο ἐνταῦθα, ἰδεῖν σε θέλουσα· καὶ ἰδοὺ ἐπιστολὰς ἡμῖν ἐνήνοχεν ἐπισκόπων· ἄπελθε οὖν, καὶ πληροφόρησον αὐτήν, καὶ μάλιστα διὰ τοὺς ἐπιστείλαντας ἡμῖν ἁγίους ἄνδρας. Ἔφη αὐτῷ ὁ Θεόδωρος· πληροφόρησόν με, πάτερ, ἐὰν αὐτὴν ἴδω μετὰ τὴν τοσαύτην γνῶσιν οὐκ ἀπαιτηθήσομαι παρὰ τοῦ Κυρίου λόγον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, διὰ τὸ μετὰ τὸ καταλιπεῖν με αὐτήν, πάλιν εἰς πρόσκομμα τῶν ἀδελφῶν συντυγχάνειν αὐτῇ; εἰ γὰρ οἱ πρὸ τῆς χάριτος υἱοὶ Λευΐ, τοὺς ἑαυτῶν γονεῖς καὶ ἀδελφοὺς ἠγνόησαν, ἵνα τὰ δικαιώματα τοῦ Θεοῦ φυλάξωσι, πολλῷ μᾶλλον ἐγὼ ὁ χάριτος ἀξιωθεὶς τοσαύτης, γονεῖς ἢ συγγενεῖς τῆς ἀγάπης τοῦ Θεοῦ προτιμῆσαι οὐκ ὀφείλω· λέγει γὰρ ὁ Κύριος· «ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος». Ἔφη αὐτῷ ὁ Παχώμιος· εἰ ἐδοκίμασας, τέκνον, μὴ συμφέρειν σοι, οὐκ ἀναγκάζω ἐγώ· τοῦτο δὲ τῶν τελείως ἀποταξαμένων τῷ κόσμῳ καὶ ἀπαρνησαμένων ἑαυτοὺς παντελῶς. Δεῖ γὰρ τοὺς Μοναχοὺς τὰς μὲν ἀνωφελεῖς κοσμικὰς συντυχίας φεύγειν, τοὺς δὲ μέλη ὑπάρχοντας τοῦ Χριστοῦ καὶ ὁλοκλήρως αὐτῷ δουλεύοντας, πάντας ἐπίσης ἀγαπᾶν· εἰ δέ τις προσπαθείᾳ τινὶ κατεχόμενος λέγει, ὅτι σάρξ μού εἰσι καὶ ἀγαπῶ αὐτούς, ἀκουέτω τῆς γραφῆς λεγούσης· «ᾧ τις ἥττηται, τούτῳ καὶ δεδούλωται».

Μὴ βουληθέντος οὖν ὀφθῆναι αὐτοῦ τῇ μητρί, ἔκρινε κἀκείνη μεῖναι ἐν τῷ Μοναστηρίῳ, παρὰ ταῖς ἐν Χριστῷ παρθένοις ἀδελφαῖς, λογισαμένη ὅτι πάντως, εἰ βουληθείη ὁ Θεός, ὄψομαι αὐτὸν μετὰ τῶν ἀδελφῶν καὶ τὴν ἑαυτῆς ψυχὴν κερδανῶ ἕνεκεν αὐτοῦ. Οὕτω δύναται καὶ τὸ κατὰ Θεὸν αὐστηρόν, εἰς δόξαν Θεοῦ γινόμενον, ὠφελείας πρόξενον τοῖς προστυγχάνουσι γίνεσθαι, εἰ καὶ πρὸς βραχὺ δοκεῖ λυπηρὸν εἶναι.

Ἑρμηνεία

ΠΛΗΡΟΦΟΡΗΘΕΙΣΑ ἡ κατὰ σάρκα ἀδελφὴ τοῦ Ὁσίου Παχωμίου διὰ τὴν ἐνάρετον πολιτείαν του, ἦλθεν εἰς τὸ Μοναστήριόν του ἐπιθυμοῦσα νὰ τὸν ἴδῃ. Μόλις τὸ ἔμαθεν αὐτὸ ὁ Μέγας Παχώμιος, ἔστειλε τὸν θυρωρὸν νὰ τῆς εἴπῃ. Ἰδοὺ ἐπληροφορήθης δι' ἐμὲ ὅτι ζῶ· πήγαινε λοιπὸν καὶ μὴ λυπηθῇς, διότι δὲν σὲ βλέπω· ἐὰν δὲ θέλῃς καὶ σὺ νὰ μιμηθῇς τὴν ζωήν μου αὐτήν, διὰ νὰ εὕρωμεν ἔλεος ἀπὸ τὸν Κύριον, σκέψου το· καὶ ἐὰν σοῦ ἀρέσῃ, οἱ ἀδελφοὶ θὰ σοῦ κατασκευάσουν ἕνα κελλί, διὰ νὰ ἠμπορέσῃς μόνη σου νὰ ἡσυχάσῃς· ἴσως δὲ ὁ Κύριος καλέσῃ καὶ ἄλλας πλησίον σου, καὶ θὰ σωθοῦν καὶ ἐκεῖναι ἐξ αἰτίας σου. Διότι ὁ ἄνθρωπος καμμίαν ἄλλην εὐχαρίστησιν δὲν δοκιμάζει ἐπάνω εἰς τὴν γῆν, ἐκτὸς ἀπὸ τοῦ νὰ κάνῃ τὸ καλὸν καὶ αὐτὸ ποὺ εἶναι ἀρεστὸν εἰς τὸν Κύριον. Ἡ ἀδελφὴ λοιπὸν τοῦ Ἁγίου Παχωμίου, μόλις ἔλαβεν αὐ-

τὴν τὴν ἀπάντησιν, ἐδάκρυσε καὶ συγκινηθεῖσα, ἀφιέρωσε τὴν καρδίαν της διὰ τὴν σωτηρίαν της.

Ὅταν ἔμαθεν ὁ Ἅγιος Παχώμιος τὴν προθυμίαν της, ἐδόξασε τὸν Θεὸν καὶ ἔδωσεν ἐντολὴν εἰς τοὺς εὐλαβεστέρους ἐκ τῶν ἀδελφῶν νὰ κτίσουν δι' αὐτήν, μακρὰν ἀπὸ τὸ Μοναστήρι, ἕνα μικρὸν κελλίον. Οὕτως ἠγωνίζετο, πλέον, κατὰ Θεόν· ἐν τῷ μεταξὺ δὲ συνεκεντρώθησαν καὶ ἄλλαι πλησίον της. Καθημερινῶς ἐπληθύνοντο αἱ προσερχόμεναι, διὰ τὰς ὁποίας κατέστη πνευματικὴ μήτηρ, ἐδίδασκεν αὐτὰς καὶ ὑπεδείκνυεν ὅλους τοὺς δρόμους τῆς σωτηρίας. Ἐν συνεχείᾳ ὁ Μέγας Παχώμιος διώρισεν ἕνα πολὺ γέροντα καὶ εὐλαβῆ, ὀνομαζόμενον Πέτρον, διὰ νὰ τὰς ἐπισκέπτεται· συνέταξε δὲ καὶ μοναχικοὺς κανόνας, διὰ νὰ προσαρμόσουν τὴν ζωήν των πρὸς αὐτοὺς καὶ νὰ ἀκολουθοῦν τὴν κατὰ Θεὸν πολιτείαν.

Ἔπειτα ἀπὸ καιρὸν εἰς τὸ Μοναστήριον αὐτό, τῆς ἀδελφῆς τοῦ Ἁγ. Παχωμίου, ἦλθε καὶ ἡ μητέρα τοῦ ἀδελφοῦ Θεοδώρου. Τὸν Θεόδωρον αὐτὸν ἠγάπα πάρα πολὺ ὁ Μέγας Παχώμιος, διότι ἔβλεπε τὴν μεγάλην καὶ θαυμαστὴν ὑπακοήν του καὶ τὴν λαμπράν του ἄσκησιν. Τοῦ Θεοδώρου λοιπὸν ἡ μητέρα, ἀφοῦ τὸν ἀνεζήτησε παντοῦ καὶ ἔμαθεν ὅτι εὑρίσκεται ἐκεῖ, φθάνει εἰς τὸ Μοναστήριον, φέρουσα μαζί της ἐπιστολὰς ἐπισκόπων, οἱ ὁποῖοι παρήγγελλον νὰ ἀποδοθῇ εἰς αὐτὴν τὸ παιδί της. Ἐφιλοξενήθη δὲ εἰς τὸ Ἀσκητήριον τῶν γυναικῶν, καὶ ἀπὸ ἐκεῖ ἔστειλε τὰς ἐπιστολάς της πρὸς τὸν Παχώμιον, παρακαλοῦσα θερμῶς νὰ τῆς ἐπιτραπῇ νὰ ἴδῃ τὸν υἱόν της.

Τότε ὁ Μέγας Παχώμιος ἐκάλεσε τὸν Θεόδωρον καὶ τοῦ λέγει:

— Τέκνον μου, ἦλθεν ἡ μητέρα σου καὶ θέλει νὰ σὲ ἴδῃ. Μάλιστα μᾶς ἔχει φέρει καὶ ἐπιστολὰς τῶν ἐπισκόπων. Πήγαινε λοιπὸν καὶ πληροφόρησέ την, πρὸ παντὸς μάλιστα πρὸς χάριν τῶν ἁγίων ἀνδρῶν, οἱ ὁποῖοι μᾶς τὸ ζητοῦν διὰ τῶν ἐπιστολῶν των.

Ὁ Θεόδωρος ἀπήντησεν εἰς τὸν Μέγαν Παχώμιον:

— Διαβεβαίωσέ με, πάτερ μου, ὅτι ἐὰν τὴν ἴδω, ἔπειτα ἀπὸ ὅσα ἔμαθον, δὲν θὰ μοῦ ζητήσῃ ὁ Κύριος λόγον, κατὰ τὴν Δευτέραν Παρουσίαν, ἐπειδὴ θὰ γίνω σκάνδαλον εἰς τοὺς ἀδελφοὺς μὲ τὸ νὰ συναντήσω τὴν μητέρα μου καὶ πάλιν, ἀφοῦ ἐπὶ τόσα ἔτη τὴν ἐγκατέλειψα. Διότι ἐὰν οἱ υἱοὶ τοῦ Λευΐ, οἱ ὁποῖοι ἔζησαν πρὸ τῆς Χάριτος, ἠγνόησαν τοὺς γονεῖς των καὶ τοὺς ἀδελφούς των, διὰ νὰ φυλάξουν τοὺς νόμους τοῦ Θεοῦ, ἐγώ, ποὺ μὲ ἠξίωσεν ὁ Θεὸς τόσον μεγάλης Χάριτος, δὲν πρέπει νὰ προτιμήσω τοὺς γονεῖς ἢ συγγενεῖς ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ· διότι ὁ Κύριος λέγει· ἐκεῖνος ποὺ ἀγαπᾷ τὸν πατέρα του ἢ τὴν μητέρα του περισσότερον ἀπὸ ἐμὲ δὲν εἶναι ἄξιός μου.

— Ἐὰν σὲ πληροφορῇ ἡ συνείδησίς σου, τέκνον μου, ὅτι τοῦτο δὲν εἶναι συμφέρον σου, δὲν σὲ ἀναγκάζω, ἀπήντησεν ὁ Μέγας Παχώμιος· αὐτὸ εἶναι πράγματι τὸ καθῆκον ὅσων ἐγκατέλειψαν ὁλοκληρωτικὰ τὸν κόσμον καὶ ἀπηρνήθησαν τοὺς ἑαυτούς των παντελῶς. Πρέπει δηλαδὴ

οἱ Μοναχοὶ τὰς μὲν ἀνωφελεῖς κοσμικὰς συναντήσεις νὰ ἀποφεύγουν, αὐτοὺς δὲ ποὺ εἶναι μέλη τοῦ Χριστοῦ καὶ Τὸν ὑπηρετοῦν μὲ τελείαν αὐταπάρνησιν, ὅλους ἐξ ἴσου νὰ ἀγαποῦν. Ἐὰν δὲ κάποιος προσπαθῇ νὰ πείσῃ τὸν ἑαυτόν του περὶ τοῦ ἀντιθέτου καί, δικαιολογούμενος, λέγει, ὅτι οἱ συγγενεῖς μου εἶναι σάρκα μου καὶ τοὺς ἀγαπῶ, ἂς ἀκούσῃ τὴν Ἁγίαν Γραφὴν ποὺ λέγει· Ἐκεῖ ποὺ ὁ ἄνθρωπος νικᾶται, ἐκεῖ καὶ ὑποδουλώνεται.

Ὁ Θεόδωρος λοιπὸν δὲν ἠθέλησε νὰ παρουσιασθῇ εἰς τὴν μητέρα του· τότε καὶ ἐκείνη ἀπεφάσισε νὰ παραμείνῃ εἰς τὸ Μοναστήριον, πλησίον τῶν ἐν Χριστῷ παρθένων ἀδελφῶν, σκεπτομένη, ὅτι ἐὰν θέλῃ ὁ Θεὸς θὰ τὸν ἴδω κάποτε μαζὶ μὲ τοὺς ἀδελφοὺς καί, ἐξ ἀφορμῆς αὐτοῦ, θὰ σώσω καὶ τὴν ψυχήν μου. Τοιουτοτρόπως εἶναι δυνατὸν καὶ ἡ κατὰ Θεὸν αὐστηρότης, ὅταν γίνεται πρὸς δόξαν Θεοῦ, νὰ ὠφελήσῃ αὐτούς, ποὺ τὴν δοκιμάζουν, ἔστω καὶ ἐάν, πρὸς στιγμήν, φαίνεται, ὅτι τοὺς στενοχωρεῖ.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Συμεὼν τοῦ ἐν τῇ Μάνδρᾳ

ΕΠΤΑ ΚΑΙ ΕΙΚΟΣΙ ἐτῶν διαγεγονότων, ἀφ' οὗ δὴ φύσεώς τε θεσμοὺς καὶ τὰ ἐν τῷ κόσμῳ πάντα ὁ ὑπερκόσμιος οὗτος ἀνὴρ ὁ Μέγας Συμεὼν ἠρνήσατο, τὸ ἔμφυτον ἡ μήτηρ τῆς φιλοστοργίας πῦρ καὶ ἐγκάρδιον ἔτι ἐν τοῖς σπλάγχνοις φέρουσα καὶ μὴ ἄλλως κατασβέσαι δυναμένη τὴν φλόγα, παρὰ τὸν ἐν τῇ σαρκὶ τοῦτον ἄσαρκον υἱὸν ἄπεισιν· οὕτω γὰρ καλεῖν ὁ λόγος βιάζεται γλιχομένη καὶ ὄψιν ἰδεῖν τοῦ παιδὸς καὶ ὁμιλίας ἀκοῦσαι, ἧς ἐπὶ τοσοῦτον ἀπεστέρητο χρόνον. Ὁ δὲ τῆς μητρὸς μαθὼν τὴν ἐπιδημίαν, ὅρα πῶς μερίζει καὶ τὴν τιμὴν τῇ μητρί, καὶ τῷ τὴν ἐντολὴν ὑπερβάλλοντι νόμῳ τὸ ἄλυτον· οὐ παραδέχεται μὲν τὴν συντυχίαν, διαπέμπεται δὲ πρὸς αὐτὴν λέγων· εἴ σοι, ὦ μῆτερ, δοκεῖ, τὴν ἀλλήλων θέαν τῷ ἐκεῖθεν αἰῶνι ταμιευσώμεθα· καὶ εἴπερ εὐάρεστος Θεῷ πάντως ἡ πολιτεία ἡμῶν, μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν ἐν Χριστῷ ἀλλήλους ὀψόμεθα, πολλῷ οἰκειότερόν τε καὶ γνωριμώτερον.

Καὶ ὁ μὲν ἐμήνυε ταῦτα καὶ ὑπετίθει· ἐπεὶ δὲ τὴν μητέρα ἡ τὴν ψυχὴν ἐκκαίουσα φλὸξ αἰσθέσθαι τῶν λεγομένων οὐκ εἴα, ἀλλ' ἐπέμενε καὶ ἔτι τὴν ἐπιθυμίαν προβαλλομένη τῆς θέας, ἐγὼ μέν, ὦ μῆτερ, τὸ δεύτερον αὐτῇ μηνύει, καὶ σὲ τὸ κοινῇ συμφέρον ἑκατέροις ἡμῖν ἀποδέξασθαι μᾶλλον ἡγούμην, καὶ οὐκ ἂν οὕτω κατεπεῖξαι τὴν συντυχίαν· ἐπειδὴ δὲ τῆς σῆς ὁρῶ δεύτερα πάντα ἐφέσεως, τέως μὲν ἡσυχίαν ἄγειν προσήκει, ὄψομαι δέ σε μετ' ὀλίγον· τοῦτο γὰρ ἔδοξε τῷ Θεῷ. Ἡ οὖν μήτηρ, ὡς ἥδιστά τε καὶ εὐκταιότατα τὴν ὑπόσχεσιν δεξαμένη, μετεώριστο ὑπ' αὐτῆς τὴν ψυχήν, καὶ ταῖς ἐλπίσιν εὐθύμει καὶ ἔχαιρεν, ὅλη τε τοῦ μέλλοντος ἦν καὶ μονονουχὶ παρόντα τὸν παῖδα ὁρᾶν καὶ περιβάλλειν καὶ περιπτύσσεσθαι καὶ τῆς αὐτοῦ φωνῆς ἀκούειν ἐδόκει. Ἐν ὅσῳ δὲ ταῦτα τοῦτον εἶχε τὸν τρόπον, καταστρέφει μὲν ἄφνω τὸν βίον ἐκείνη, καὶ τὴν ψυχὴν τῷ Θεῷ παρατίθεται, μακαρία τὸν βίον ὡς ἀληθῶς, πολλῷ

τοῦ τέλους μακαριωτέρα, ὅτι τε τοιούτου παιδὸς ἤκουσε μήτηρ, καὶ εἰς τοῦτο ἀρετῆς ἐλθόντα τὸν υἱὸν καταλέλοιπεν. Ὁ θεῖος δὲ Συμεὼν τὸν ταύτης νεκρὸν ἐντὸς τῆς μάνδρας (τοῦτο γὰρ ὁ τοῦ στύλου περίβολος ἐκαλεῖτο) εἰσενεχθῆναι προστάττει· περιῳκοδόμητο γάρ τι πάντοθεν τειχίῳ τῷ κίονι, ὥστε μὴ γυναιξὶν εἰσιτητὸν εἶναι. Εἰσαχθείσης τοιγαροῦν αὐτῷ τῆς μητρὸς τεθνηκυίας, ἐθεάσατο αὐτὴν κατὰ τὰ ἐπηγγελμένα· καὶ αὐτῇ ἐπευξάμενος, αὐτοῦ που θάπτει παρὰ τῷ στύλῳ. Οὕτω καὶ τῇ μητρὶ τὴν τιμὴν ἀπεδίδου καὶ τὴν δεσποτικὴν ἐντολὴν οὐ μόνον ἐπλήρου, ἀλλὰ καὶ ἰδίαις αὔξων ἐδείκνυτο προκοπαῖς.

Ἑρμηνεία

ΕΙΧΟΝ ΠΑΡΕΛΘΕΙ εἴκοσι ἑπτὰ ἔτη ἀπὸ τότε ποὺ οὗτος ὁ ὑπερκόσμιος ἀνήρ, ὁ Μέγας Συμεών, ἠρνήθη τοὺς νόμους τῆς φύσεως καὶ ὅλα τὰ πράγματα τοῦ κόσμου. Τότε λοιπὸν ἡ μητέρα του, μὴ ἠμποροῦσα μὲ ἄλλον τρόπον νὰ κατασβέσῃ τὴν φλόγα τῆς φιλοστοργίας, τὴν ὁποίαν διετήρει ἀκόμη εἰς τὰ σπλάγχνα της καὶ τὴν καρδίαν της, ἀπέρχεται πλησίον τοῦ ἐν σαρκὶ ἀσάρκου τούτου υἱοῦ της· διότι ἐβιάζετο ἀπὸ τὴν ἐπιθυμίαν νὰ ἴδῃ τὸ πρόσωπον τοῦ παιδίου της καὶ νὰ ἀκούσῃ τὴν ὁμιλίαν του, τὴν ὁποίαν εἶχε στερηθῇ ἐπὶ τόσον χρόνον.

Ὅταν ὁ μέγας Σιμεὼν ἔμαθε τὸν ἐρχομὸν τῆς μητρός του, πρόσεξε νὰ ἴδῃς πῶς διαμοιράζει καὶ τὴν τιμὴν πρὸς τὴν μητέρα του, ἀλλὰ καὶ τὴν ἀπαγορευτικὴν ἐντολήν, πρὸς χάριν τοῦ νόμου ὁ ὁποῖος ἦτο ἰσχυρότερος. Ἀρνεῖται μὲν νὰ συναντηθῇ μαζί της, συγχρόνως ὅμως τῆς διαμηνύει: Μητέρα μου, ἐὰν τὸ νομίζῃς ὀρθόν, ἂς φυλάξωμεν τὴν χαρὰν νὰ ἴδῃ ὁ ἕνας τὸν ἄλλον εἰς τὸν μέλλοντα αἰῶνα· καὶ ἐὰν βεβαίως ζήσωμεν εἰς τὸν κόσμον αὐτόν, ὅπως θέλει ὁ Θεός, θὰ ἰδωθῶμεν μεταξύ μας, ὅταν θὰ φύγωμεν ἀπὸ αὐτὸν ἐδῶ τὸν κόσμον, μὲ περισσοτέραν οἰκειότητα καὶ βαθυτέραν γνωριμίαν.

Καὶ ὁ μὲν μέγας Συμεὼν αὐτὰ διεμήνυε καὶ συνεβούλευεν εἰς τὴν μητέρα του· ἐπειδὴ ὅμως ἡ κατακαίουσα τὴν ψυχὴν φλόγα δὲν ἄφηνε τὴν μητέρα νὰ ἀντιληφθῇ τὴν βαθυτέραν σημασίαν τῶν λεγομένων, ἀλλ' ἐπέμενε καὶ ἐξηκολούθει νὰ ἐπιθυμῇ νὰ τὸν ἴδῃ, τῆς παραγγέλλει ὁ εὐλογημένος υἱός: Μητέρα μου, ἐγὼ ἐνόμιζον, ὅτι καὶ σὺ θὰ παραδεχθῇς τὸ κοινὸν καὶ διὰ τοὺς δυό μας συμφέρον, καὶ δὲν θὰ ἐβιάζεσο τόσον πολὺ διὰ τὴν ἐδῶ συνάντησίν μας. Ἐπειδὴ ὅμως βλέπω κατωτέραν τὴν ἐπιθυμίαν σου, σὲ πληροφορῶ, ὅτι ἐπὶ τοῦ παρόντος πρέπει νὰ ἡσυχάζω, θὰ σὲ ἴδω δὲ μετ' ὀλίγον· διότι αὐτὸ εἶναι τὸ θέλημα τοῦ Θεοῦ.

Ἡ μητέρα λοιπὸν ἐδέχθη μὲ πολλὴν εὐχαρίστησιν τὴν ὑπόσχεσιν, ἐπετοῦσε δὲ ἀπὸ τὴν χαρὰν ἡ ψυχή της· ἡ ἐλπὶς τῆς συναντήσεως τὴν ἔκανε νὰ χαίρεται καὶ νὰ εὐθυμῇ. Ἡ προσδοκία τῆς μελλοντικῆς εὐτυχίας τὴν εἶχεν ἐξ ὁλοκλήρου ἀπορροφήσει καὶ σχεδὸν ἔβλεπεν ἐμπρός της τὸ παιδί της καὶ ἐνόμιζεν, ὅτι τὸ ἀγκαλιάζει, τὸ φιλεῖ καὶ ὅτι ἀκούει τὴν φωνήν του. Ἐν ὅσῳ δὲ συνέβαινον αὐτά, ἀποθνήσκει αἰφνιδίως ἐκείνη καὶ ἡ ψυχή της μεταβαίνει πλησίον τοῦ Θεοῦ, διότι ἦτο πράγματι μακα-

ρία· καὶ ἠξιώθη μακαριωτέρου τέλους. διότι καίτοι μητέρα ὑπήκουσεν εἰς τοιοῦτον υἱόν, τὸν ὁποῖον, ἐν τέλει, ἄφησε φθασμένον εἰς τόσον θαυμαστὸν ὕψος ἀρετῆς. Ὁ δὲ θεῖος Συμεὼν διατάσσει νὰ εἰσαχθῇ τὸ νεκρὸν σῶμα τῆς μητέρας του μέσα εἰς τὴν μάνδραν (ἔτσι ὠνομάζετο τὸ περίφραγμα, ποὺ ὑπῆρχε γύρω ἀπὸ τὸν στῦλον), διότι εἶχε κτίσει τεῖχος γύρω ἀπὸ τὸν στῦλον, ὥστε νὰ μὴ ἐπιτρέπεται ἡ εἴσοδος εἰς γυναῖκας. Ἀφοῦ λοιπὸν εἰσήχθη μέσα εἰς τὴν μικρὰν αὐτὴν αὐλὴν ἡ νεκρά, τὴν εἶδε πλέον ἀποθαμένην, συμφώνως πρὸς τὰς ὑποσχέσεις ποὺ εἶχε δώσει· προσευχηθεὶς δὲ ὑπὲρ αὐτῆς, τὴν θάπτει ἐκεῖ πλησίον τοῦ στύλου.

Τοιουτοτρόπως καὶ εἰς τὴν μητέρα ἀπέδωσε τὴν τιμήν, καὶ τὴν Δεσποτικὴν ἐντολὴν ὄχι ἁπλῶς μόνον ἐξεπλήρωσεν, ἀλλά, καὶ μὲ τὰς σκληρὰς προσπαθείας του, τὴν ηὔξησε.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ξενιτεύσας, ἠρώτησε γέροντα λέγων· θέλω ἀπελθεῖν εἰς τὰ ἴδια· καὶ λέγει αὐτῷ ὁ γέρων· τοῦτο γίνωσκε, ἀδελφέ· ὅτι ἐρχόμενος ἀπὸ τῆς χώρας ἐπὶ τὰ ὧδε, τὸν Κύριον εἶχες ὁδηγοῦντά σε· εἰ δὲ ὑποστρέψεις, οὐκέτι αὐτὸν ἔχεις.

2. Ἀδελφὸς ᾐτεῖτο γέροντος εὐχήν, σπεύδων ἐπὶ τὴν πόλιν· ὁ δὲ γέρων πρὸς αὐτὸν ἔφη· μὴ σπεῦδε ἐπὶ τὴν πόλιν, ἀλλὰ σπεῦσον τοῦ φυγεῖν τὴν πόλιν καὶ σώζῃ.

3. Ἀδελφός τις εὐλαβὴς πάνυ, εἶχε μητέρα πτωχήν· μεγάλου οὖν λιμοῦ γενομένου, λαβὼν ἄρτους, ἐπορεύετο ἀπενεγκεῖν τῇ μητρὶ αὐτοῦ· καὶ ἰδοὺ φωνὴ ἐγένετο πρὸς αὐτὸν λέγουσα· σὺ φροντίζεις τῆς μητρός σου ἢ φροντίζω ἐγώ; Ὁ δὲ ἀδελφός, διακρίνας τὴν δύναμιν τῆς φωνῆς, ἔρριψεν ἑαυτὸν ἐπὶ πρόσωπον εἰς τὴν γῆν παρακαλῶν καὶ λέγων· σύ, Κύριε, φρόντισον ἡμῶν· καὶ ἀναστὰς ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ. Τῇ δὲ τρίτῃ ἡμέρᾳ ἦλθεν ἡ μήτηρ αὐτοῦ πρὸς αὐτὸν λέγουσα· ὁ δεῖνα Μοναχὸς ἔδωκέ μοι μικρὸν σῖτον· λάβε αὐτόν, καὶ ποίησον ἡμῖν μικρὰ ψωμία, ἵνα τραφῶμεν· ὁ δὲ ἀδελφὸς ἀκούσας ταῦτα ἐδόξασε τὸν Θεόν, καὶ εὔελπις γενόμενος προέκοπτε διὰ τῆς χάριτος τοῦ Θεοῦ εἰς πᾶσαν ἀρετήν.

4. Μοναχός τις οἰκῶν ἐν σκήτει, εἶχεν υἱὸν ἐν τῇ κώμῃ· προσβληθεὶς οὖν ὁ υἱὸς αὐτοῦ ἀρχέπους κατεσχέθη· ἐδήλωσε δὲ ἡ μήτηρ τοῦ παιδὸς τῷ Μοναχῷ ἵνα γράψῃ τῷ ἄρχοντι ἀπολῦσαι τὸν παῖδα· λέγει οὖν ὁ Μοναχὸς πρὸς τὸν ἀποσταλέντα· καὶ ἐὰν οὗτος ἀπολυθῇ, οὐ κρατοῦσιν ἄλλον ἀντ' αὐτοῦ; ἀπεκρίθη ἐκεῖνος· ναί· ὁ δὲ γέρων· καὶ τί μοι τὸ ὄφελος, ἐὰν ἀπολύσας αὐτὸν βάλω χαρὰν εἰς τὴν καρδίαν τῆς μητρὸς αὐτοῦ, καὶ λαβὼν τὴν λύπην αὐτῆς εἰς ἄλλης καρδίαν γυναικὸς ἐπενέγκω;

5. Ὁ αὐτὸς γέρων ἦν ἐργαζόμενος πολὺ ἐργόχειρον· καὶ ἠφίει τὸ ἀρκοῦν εἰς τὴν χρείαν αὐτοῦ, τὸ δὲ λοιπὸν ἐδίδου πτωχοῖς. Λιμοῦ οὖν γενομένου, ἔπεμψεν ἡ μήτηρ τὸν υἱὸν αὐτοῦ πρὸς αὐτόν, παρακαλοῦσα δοῦναι αὐτοῖς μικρὰ ψωμία· ὁ δὲ γέρων ἀκούσας λέγει τῷ υἱῷ· εἰσὶν ἄλλοι ἐν τῷ τόπῳ χρήζοντες ὡς ὑμεῖς; ἀπεκρίθη ἐκεῖνος· ναί, εἰσὶ πολλοί· καὶ ὁ γέρων κλείσας τὴν

θύραν εἰς τὸ πρόσωπον αὐτοῦ, δακρύσας εἶπεν· ἄπελθε, τέκνον μου· ὁ τὴν φροντίδα ποιῶν ἐκείνων καὶ τὴν ὑμῶν ποιήσει. Ἀδελφὸς δέ τις παρὼν τότε ἐκεῖ, καὶ ἰδὼν ὃ ἐποίησεν ὁ γέρων, ἠρώτησεν αὐτὸν λέγων· ἄρτι οὐκ ἔκαμες τῷ λογισμῷ τὸν υἱόν σου οὕτως ἀποστρέψας κενόν; ἔφη δὲ ὁ γέρων· ὅτι εἰ μὴ εἰς ἕκαστον πρᾶγμα διάσηται ἄνθρωπος ἑαυτόν, μισθὸν οὐκ ἔχει.

6. Ἦν τις Μοναχὸς ἔχων ἀδελφὸν κοσμικὸν πτωχόν, καὶ εἴ τι εἰργάζετο, παρεῖχεν αὐτῷ· ὅσον δὲ παρεῖχεν αὐτῷ, πλέον ἐπτώχευεν ὁ λαμβάνων· ὁ δὲ Μοναχὸς ἀπελθών, ἀπήγγειλε γέροντί τινι τὸ πρᾶγμα· εἶπε δὲ αὐτῷ ὁ γέρων· εἰ θέλεις μου ἀκοῦσαι, μηκέτι δώσεις αὐτῷ, ἀλλ᾿ εἰπὲ αὐτῷ· ἀδελφέ, ὅτε εἶχον παρεῖχόν σοι· καὶ σὺ οὖν, ὃ εὐοδοῦσαι ἐξ ὧν ἐργάζῃ, φέρε μοι· καὶ εἴ τι ἂν ἐνέγκοι, λάμβανε παρ᾿ αὐτοῦ· καὶ ὅπου οἶδας ξένον ἢ γέροντα πτωχόν, δὸς αὐτά· καὶ παρακάλεσον ἵνα εὐχὴν ποιήσωσιν ὑπὲρ αὐτοῦ. Ἀπελθὼν δὲ ὁ ἀδελφός, ἐποίησεν οὕτως· καὶ ὡς ἦλθεν ὁ κοσμικὸς ἀδελφὸς αὐτοῦ, ἐλάλησεν αὐτῷ κατὰ τὰ ρήματα τοῦ γέροντος· καὶ ἀκούσας ἐκεῖνος ἀπῆλθε λυπούμενος. Ὅμως ἐν τῇ πρώτῃ ἡμέρᾳ λαβὼν ἐκ τοῦ κόπου αὐτοῦ λεπτολάχανα, ἤνεγκε τῷ Μοναχῷ· ὁ δέ, ταῦτα λαβών, ἔδωκε τοῖς γέρουσι καὶ παρεκάλεσεν αὐτοὺς εὔξασθαι ὑπὲρ αὐτοῦ· καὶ εὐλογηθείς, ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ.

Μετὰ δὲ μικρὸν πάλιν ἦλθε πρὸς τὸν Μοναχὸν καὶ ἤνεγκε λάχανα καὶ ἄρτους τρεῖς· λαβὼν δὲ καὶ ταῦτα ὁ Μοναχός, ἐποίησε κατὰ τὸ πρῶτον· καὶ εὐλογηθεὶς παρὰ τῶν γερόντων ὁ κοσμικὸς ἀπῆλθεν. Εἶτα ἔρχεται τὸ τρίτον καὶ ἤνεγκε πολλὰ ἀναλώματα, καὶ οἶνον, καὶ ἰχθύας· καὶ ἰδὼν ὁ Μοναχὸς ἐθαύμασε· καὶ ἐκάλεσε τοὺς πτωχοὺς καὶ ἀνέπαυσεν αὐτούς· εἶπε δὲ τῷ κοσμικῷ· μὴ χρείαν ἔχεις ὀλίγου ἄρτου; ὁ δὲ ἔφη· οὐχὶ κύριε· ἡνίκα γὰρ ἐλάμβανον παρὰ σοῦ τίποτε, ὡς πῦρ εἰσήρχετο εἰς τὸν οἶκόν μου, καὶ ἀνήλισκε καὶ αὐτὸ τὸ μικρὸν ὃ εἶχον· ἐξότου δὲ οὐ λαμβάνω παρὰ σοῦ, ὁ Θεὸς εὐλογεῖ με. Ἀπελθὼν οὖν ὁ ἀδελφός, ἀνήγγειλε τῷ γέροντι πάντα τὰ συμβάντα· καὶ λέγει αὐτῷ ὁ γέρων· οὐκ οἶδας ὅτι τὸ ἔργον τοῦ Μοναχοῦ πῦρ ἐστι, καὶ ὅπου δ᾿ ἂν εἰσέλθῃ καίει; τοῦτο δὲ μᾶλλον ὠφελεῖ αὐτόν· τὸ ποιεῖν ἐκ τοῦ κόπου αὐτοῦ ἐλεημοσύνην καὶ λαμβάνειν εὐχὴν παρὰ τῶν ἁγίων· καὶ οὕτως εὐλογεῖται.

7. Ἦλθέ ποτε ἡ μήτηρ τοῦ Ἀββᾶ Μάρκου τοῦ μαθητοῦ τοῦ Ἀββᾶ Σιλουανοῦ ἰδεῖν αὐτόν, καὶ εἶχε πολλὴν φαντασίαν· καὶ ἐξῆλθεν ὁ γέρων πρὸς αὐτήν, καὶ ἶπεν αὐτῷ· Ἀββᾶ, εἰπὲ τὸν υἱόν μου ἐξελθεῖν, ἵνα ἴδω αὐτόν· εἰσελθὼν δὲ ὁ γέρων ἶπεν αὐτῷ· ἔξελθε, ἵνα σε ἴδῃ ἡ μήτηρ σου· (ἦν δὲ φορῶν ιντωνάριον καὶ ἠσβολωμένος ἀπὸ τοῦ μαγειρείου)· καὶ ἐξελθὼν διὰ τὴν ὑπακοήν, ἐκάμμυσε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶπεν αὐτοῖς· σωθείητε*· καὶ οὐκ εἶδεν

---

* Σωθείης καὶ σωθείητε ἦτο χαιρετισμὸς τὸν ὁποῖον ἐσυνήθιζον κατὰ τὴν ἐποχὴν ἐκείνην νὰ ἀπευθύνουν οἱ Μοναχοὶ καὶ ὁ εὐσεβὴς λαὸς πρὸς ἀλλήλους, σημαίνει δὲ ἐπίκλησιν εὐχῆς πρὸς τὸν χαιρετιζόμενον ὅπως σωθῇ — εἴθε νὰ σωθῇς, εἴθε νὰ σωθῆτε—. Καὶ πράγματι ποία ἐκφραστικωτέρα ταύτης εὐχὴ διὰ τῆς ὁποίας εὔχεταί τις ὑπὲρ τῆς ψυχικῆς σωτηρίας τοῦ συνομιλητοῦ του; Κατὰ τί ἀντιπαραβάλλεται πρὸς τὸν χαιρετισμὸν τοῦτον τὸ σημερινὸν «καλημέρα» ἢ ἔστω καὶ αὐτὸ τὸ «χαίρετε», τὸ

αὐτούς· ἡ δὲ μήτηρ αὐτοῦ οὐκ ἐγνώρισεν αὐτόν. Πάλιν οὖν πέμπει πρὸς τὸν γέροντα λέγουσα· Ἀββᾶ, πέμψον μοι τὸν υἱόν μου, ἵνα αὐτὸν ἴδω· καλέσας οὖν αὐτὸν ὁ γέρων, εἶπεν· οὐκ εἶπόν σοι ἔξελθε, ἵνα σε ἴδῃ ἡ μήτηρ σου; ἀπεκρίθη ἐκεῖνος· ἐξῆλθον κατὰ τὸν λόγον σου, Ἀββᾶ, καὶ εἶπον αὐτοῖς, σωθείητε· πλὴν παρακαλῶ σε, μὴ εἴπῃς μοι ἔτι ἅπαξ ἐξελθεῖν, ἵνα μὴ παρακούσω σου· καὶ ἐξελθὼν ὁ γέρων εἶπεν αὐτῇ· αὐτός ἐστιν ὁ ὑπαντήσας ὑμῖν, καὶ εἰπὼν σωθείητε· καὶ παρακαλέσας αὐτὴν ἀπέλυσεν.

8. Παρέβαλόν ποτε γέροντες πολλοὶ τῷ Ἀββᾷ Ποιμένι· καὶ ἰδού τις τῶν συγγενῶν τοῦ Ἀββᾶ Ποιμένος ἦλθεν, ἔχων τὸ παιδίον αὐτοῦ μεθ' ἑαυτοῦ, οὗ τινος παιδίου τὸ πρόσωπον κατ' ἐνέργειαν τοῦ σατανᾶ ἐστράφη ὀπίσω· καὶ ἐκάθισε μετὰ τοῦ παιδίου ἔξω τοῦ Μοναστηρίου κλαίων. Εὐκαίρησε δέ τινι γέροντι ἐξελθεῖν· καὶ ἰδὼν αὐτὸν κλαίοντα, εἶπεν· ἄνθρωπε, τί κλαίεις; ὁ δὲ ἔφη· συγγενής εἰμι τοῦ Ἀββᾶ Ποιμένος, καὶ ἰδοὺ συνέβη τῷ παιδίῳ μου ὁ πειρασμὸς οὗτος· καὶ θέλων τῷ γέροντι προσενεγκεῖν αὐτό, ἐφοβήθην· οὐ γὰρ θέλει ἰδεῖν ἡμᾶς· καὶ νῦν ἐὰν μάθῃ, ὅτι ὧδε εἰμί, πέμπει καὶ διώκει με· ἐγὼ δὲ βλέπων τὴν παρουσίαν ὑμῶν, ἐτόλμησα ἐλθεῖν· ὡς θέλεις οὖν, Ἀββᾶ, ἐλέησόν με καὶ λάβε τὸ παιδίον ἔσω καὶ εὔξασθε περὶ αὐτοῦ· καὶ λαβὼν ὁ γέρων αὐτό, εἰσῆλθε· καὶ ἐχρήσατο φρονίμως· καὶ οὐ προσήνεγκεν αὐτὸ εὐθέως τῷ Ἀββᾷ Ποιμένι, ἀλλ' ἀρξάμενος ἀπὸ τῶν μικροτέρων ἀδελφῶν, ἔλεγε· σφραγίσατε* τὸ παιδίον· ποιήσας δὲ πάντας κατ' ἀκολουθίαν σφραγίσαι αὐτό, ὕστερον ἤνεγκε καὶ τῷ Ἀββᾷ Ποιμένι· ὁ δὲ οὐκ ἤθελεν αὐτῷ ἐγγίσαι· οἱ δὲ παρεκάλουν αὐτὸν λέγοντες· ὥς περ πάντες, καὶ σὺ Πάτερ· καὶ στενάξας, ἀναστὰς ηὔξατο λέγων· ὁ Θεὸς ἴασαι τὸ πλάσμα σου, ἵνα μὴ κατακυριευθῇ ὑπὸ τοῦ ἐχθροῦ· καὶ σφραγίσας αὐτό, εὐθέως ἐθεράπευσε· καὶ ἀπεδόθη τῷ πατρὶ αὐτοῦ ὑγιές.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ, ποὺ ἔφυγεν ἀπὸ τὸν τόπον του, διὰ νὰ ζήσῃ ὡς ξένος καὶ ἄγνωστος, ἠρώτησεν ἕνα Γέροντα:

— Πάτερ μου—τοῦ εἶπε—θέλω νὰ ἐπιστρέψω εἰς τὸν τόπον μου.

— Τοῦτο νὰ γνωρίζῃς, ἀδελφέ μου—ἀπήντησεν ὁ Γέρων—πὼς ὅταν ἤρχεσο ἀπὸ τὸ χωρίον σου ἐδῶ (εἰς τὴν ἔρημον), εἶχες ὡς ὁδηγόν σου τὸν Κύριον· ἐὰν ὅμως γυρίσῃς ὀπίσω δὲν θὰ τὸν ἔχῃς πλέον.

2. Ἕνας Μοναχός, ποὺ ἐβιάζετο νὰ ἐπιστρέψῃ εἰς τὴν πόλιν, ἐζήτει τὴν εὐχὴν τοῦ Γέροντος:

— Μὴ βιάζεσαι, νὰ ὑπάγῃς εἰς τὴν πόλιν — τοῦ ἀπήντησεν ὁ Γέρων· ἀλλὰ προσπάθησε νὰ ἀποφύγῃς μετὰ σπουδῆς τὴν πόλιν καὶ θὰ σωθῇς.

3. Ἕνας πάρα πολὺ εὐλαβὴς Μοναχὸς εἶχεν εἰς τὴν πόλιν πτωχὴν

ὁποῖον εἶναι εὐχὴ πρόσκαιρος, πρὸς ταύτην τὴν εὐχὴν τῆς αἰωνίου σωτηρίας; Εἴθε ἡ εὐχὴ αὕτη νὰ ἐπανήρχετο ἐν χρήσει καὶ σήμερον.

* Σφραγίσατε τὸ παιδίον, σημαίνει ποιήσατε τὴν σφραγῖδα (τὸν τύπον) τοῦ Τιμίου Σταυροῦ ἐπὶ τοῦ παιδίου, ἤτοι ὅπως λέγομεν σήμερον, σταυρώσατε τὸ παιδίον.

μητέρα. Εἰς μίαν λοιπὸν περίοδον μεγάλης πείνης, ἐπῆρε μαζί του ἄρτους καὶ ἐξεκίνησε νὰ τοὺς φέρῃ εἰς τὴν μητέρα του. Καθὼς ὅμως ἐπορεύετο, ἤκουσε μίαν φωνὴν νὰ τοῦ λέγῃ· σὺ φροντίζεις διὰ τὴν μητέρα σου ἢ φροντίζω ἐγώ; Ὁ Μοναχὸς τότε διέκρινε τὴν θεϊκὴν δύναμιν τῆς φωνῆς καὶ ἔπεσε μὲ τὸ πρόσωπον κατὰ γῆς παρακαλῶν τὸν Θεὸν καὶ λέγων· Σύ, Κύριε, φρόντισε δι' ἡμᾶς. Ἀμέσως δὲ ἐσηκώθη καὶ ἐπέστρεψεν εἰς τὸ κελλίον του.

Μετὰ τρεῖς ἡμέρας τὸν ἐπεσκέφθη ἡ μητέρα του καὶ τοῦ εἶπε:

—Ἐκεῖνος ὁ γνωστός μας Μοναχὸς μοῦ ἔδωσεν ὀλίγον σιτάρι. Πάρε το καὶ κάμε μου ὀλίγα ψωμάκια, διὰ νὰ τραφῶμεν.

Μόλις ἤκουσε τοὺς μητρικοὺς αὐτοὺς λόγους ὁ Μοναχὸς ἐδόξασε τὸν Θεὸν καὶ πλουτίσας τὴν καρδίαν του μὲ καλὰς ἐλπίδας προέκοπτε, μὲ τὴν Χάριν τοῦ Θεοῦ, εἰς κάθε ἀρετήν.

4. Ἕνας Μοναχός, κατοικῶν εἰς σκῆτιν, εἶχεν υἱὸν εἰς τὸ χωρίον· κάποτε λοιπὸν ὁ υἱός του συνελήφθη ἀπὸ τὰς ἀρχάς. Ἡ μητέρα τοῦ παιδίου εἰδοποίησε περὶ τούτου τὸν Μοναχὸν καὶ τὸν παρεκάλεσε νὰ γράψῃ εἰς τὸν Ἄρχοντα διὰ νὰ τὸν ἀπολύσῃ. Μόλις ἔλαβε τὴν εἴδησιν αὐτὴν ὁ Μοναχὸς λέγει πρὸς τὸν ἀγγελιαφόρον:

—Ἐὰν ὁ υἱός μου ἀπολυθῇ, δὲν θὰ φυλακίσουν ἄλλον εἰς τὴν θέσιν του;

— Βεβαίως, ἀπήντησεν ἐκεῖνος.

— Καὶ ποία ἡ ὠφέλεια — ἀπανέλαβεν ἐκ δευτέρου ὁ Μοναχὸς — ἐὰν μὲ τὴν ἀπόλυσίν του βάλω τὴν χαρὰν εἰς τὴν καρδίαν τῆς μητέρας του, καὶ πάρω τὴν λύπην της, διὰ νὰ τὴν μεταφέρω εἰς ἄλλην καρδίαν;

5. Ὁ ἴδιος Γέρων εἰργάζετο πολὺ καὶ ἡτοίμαζεν ἀρκετὰ ἐργόχειρα· ἐκράτει λοιπὸν ὅσα ἦσαν ἀρκετὰ διὰ τὰς ἀνάγκας του, τὰ δὲ ὑπόλοιπα τὰ διεμοίραζεν εἰς τοὺς πτωχούς. Κάποτε εἰς τὴν περιοχὴν ἔπεσε πεῖνα καὶ ἡ μητέρα του ἔστειλεν εἰς τὸν Μοναχὸν τὸν υἱόν του καὶ τὸν παρεκάλεσε νὰ τοὺς δώσῃ ὀλίγα ψωμιά. Ὁ Γέρων, μόλις ἤκουσε τὴν παράκλησιν, λέγει εἰς τὸν υἱόν:

— Ὑπάρχουν ἄλλοι εἰς τὸ χωρίον νὰ ὑποφέρουν τόσον πολύ, ὅπως σεῖς;

—Βεβαίως εἶναι πολλοί, ἀπήντησεν ὁ υἱός.

Τότε ὁ Γέρων, ἀφοῦ ἔκλεισε τὴν θύραν, μὲ δάκρυα εἰς τὰ μάτια τοῦ εἶπε:

— Πήγαινε, παιδί μου· Ἐκεῖνος ὁ ὁποῖος φροντίζει διὰ τοὺς ἄλλους θὰ φροντίσῃ καὶ διὰ σᾶς.

Κάποιος Μοναχός, ποὺ ἐστάθη αὐτόπτης μάρτυς τοῦ περιστατικοῦ, ἠρώτησε τὸν Γέροντα:

— Πάτερ μου, δὲν ἐστενοχωρήθης τώρα μὲ τὴν σκέψιν, ὅτι ἔδιωξες τὸ παιδί σου μὲ ἄδεια τὰ χέρια;

—Ἐὰν εἰς κάθε πρᾶγμα, δὲν στενοχωρηθῇ καὶ δὲν βιάσῃ τὸν

ἑαυτόν του ὁ ἄνθρωπος, δὲν ἔχει μισθὸν ἀπὸ τὸν Θεόν, ἀπήντησεν ὁ Γέρων.

6. Κάποτε ἔζη ἕνας Μοναχός, ποὺ εἶχεν ἕνα κοσμικὸν ἀδελφὸν πολὺ πτωχόν· ὅσα λοιπὸν ἐκέρδιζεν ἐκ τῆς ἐργασίας του ὁ Μοναχὸς τὰ προσέφερεν εἰς τὸν κοσμικόν. Ὅσον ὅμως ὁ Μοναχὸς ἔδιδεν εἰς τὸν κοσμικόν, τόσον περισσότερον ἐπτώχευεν ἐκεῖνος ποὺ τὰ ἐλάμβανεν. Ὁ Μοναχὸς ἐπῆγε καὶ διηγήθη εἰς ἕνα Γέροντα τὸ περιστατικόν. Ἀφοῦ μετὰ προσοχῆς τὸν ἤκουσεν ὁ Γέρων, τοῦ λέγει:

—Ἀδελφέ μου, ἐὰν θέλῃς νὰ μὲ ἀκούσῃς, ποτὲ πλέον νὰ μὴν τοῦ δώσῃς τίποτε. Ὅταν δὲ ἔλθῃ νὰ σοῦ ζητήσῃ, νὰ τοῦ εἰπῇς· ἀδελφέ μου, ὅταν εἶχα σοῦ ἔδιδα· καὶ σὺ λοιπὸν τώρα ὅ,τι ἠμπορεῖς νὰ ἐξοικονομήσῃς ἀπὸ τὴν ἐργασίαν σου, νὰ μοῦ φέρῃς. Ὁ,τιδήποτε καὶ ἐὰν σοῦ φέρῃ, νὰ τὸ πάρῃς, καὶ ὅπου γνωρίζεις ξένον ἢ πτωχὸν Γέροντα νὰ τὰ δίδῃς καὶ νὰ τοὺς παρακαλῇς νὰ εὔχωνται ὑπὲρ τοῦ κοσμικοῦ ἀδελφοῦ σου.

Ὁ Μοναχὸς ἀνεχώρησε μὲ τὴν ἀπόφασιν νὰ ἐφαρμόσῃ τὴν συμβουλὴν τοῦ Γέροντος. Πράγματι, μόλις ἦλθεν ὁ κοσμικὸς ἀδελφός του, εἶπεν εἰς αὐτὸν ὅσα τὸν συνεβούλευσεν ὁ Γέρων. Ὁ κοσμικὸς τὰ ἤκουσε καὶ ἀνεχώρησε λυπημένος. Παρὰ ταῦτα ὅμως εἰργάσθη τὴν πρώτην ἡμέραν καὶ ἔφερεν εἰς τὸν Μοναχόν, ἀπὸ τὸν κόπον του, μερικὰ χορταρικά· ὁ Μοναχός, μόλις τὰ ἐπῆρε, τὰ ἔδωσεν εἰς τοὺς Γέροντας καὶ τοὺς παρεκάλεσε νὰ κάμουν προσευχὴν διὰ τὸν κοσμικὸν ἀδελφόν του· οὗτος, πράγματι, δεχθεὶς τὰς εὐλογίας τῶν Μοναχῶν ἀνεχώρησε διὰ τὴν οἰκίαν του.

Μετ' ὀλίγας ἡμέρας ἦλθε πάλιν ὁ κοσμικὸς πρὸς τὸν Μοναχὸν καὶ τοῦ ἔφερε λάχανα καὶ τρία ψωμιά· μόλις τὰ ἐπῆρεν ὁ Μοναχός, ἔκαμεν ὅπως καὶ προηγουμένως· δεχθεὶς δὲ ὁ κοσμικὸς τὰς εὐλογίας τῶν Γερόντων, ἀνεχώρησε. Ἔπειτα ἔρχεται καὶ διὰ τρίτην φορὰν καὶ ἔφερε πολλὰ τρόφιμα, καὶ οἶνον καὶ ψάρια! Ὅταν τὰ εἶδεν αὐτὰ ὁ Μοναχὸς ἐθαύμασε· ἐφώναξε δὲ τοὺς πτωχοὺς καὶ ἀνεκούφισε, μὲ τὴν ἐλεημοσύνην, τὴν δυστυχίαν των, καὶ πρὸς τὸν κοσμικὸν ἀδελφόν του εἶπε:

—Μήπως ἔχεις ἀνάγκην ἀπὸ ὀλίγον ἄρτον;

—Ὄχι, κύριε, — ἀπήντησεν ἐκεῖνος· διότι ὅσας φορὰς ἔπαιρνα καὶ τὸ ἐλάχιστον ἀπὸ σέ, ὡς φωτιὰ ἔμπαινεν εἰς τὸ σπίτι μου ἡ προσφορά σου καὶ ἐξηφάνιζε τελείως καὶ αὐτὸ τὸ ἐλάχιστον, ποὺ εἶχα· ἀπὸ τότε δὲ ποὺ δὲν παίρνω τίποτε ἀπὸ σέ, ὁ Θεὸς μὲ εὐλογεῖ.

Μετὰ τὰ λόγια αὐτὰ τοῦ κοσμικοῦ, μετέβη ὁ Μοναχὸς εἰς τὸν Γέροντα, καὶ τοῦ ἐξιστόρησεν ὅλα αὐτὰ τὰ συμβάντα. Τότε ὁ Γέρων τοῦ λέγει:

— Δὲν γνωρίζεις, ὅτι ἡ ἐργασία τοῦ Μοναχοῦ εἶναι φωτιὰ καὶ ὅπου εἰσέρχεται, καίει; Αὐτὸ δέ, πρὸ παντός, ὠφελεῖ τὸν κοσμικὸν ἀδελφόν σου, τὸ νὰ προσφέρῃ ἐλεημοσύνην ἀπὸ τὸν κόπον του καὶ νὰ παίρνῃ εὐχὰς ἀπὸ τοὺς ἁγίους. Ἔτσι θὰ εὐλογεῖται ἀπὸ τὸν Θεόν.

7. Κάποτε ἡ μητέρα τοῦ Ἀββᾶ Μάρκου, μαθητοῦ τοῦ Ἀββᾶ Σιλουανοῦ, ἦλθε νὰ τὸν ἴδῃ, συνοδευομένη ἀπὸ πολλὴν συνοδείαν· ὁ Γέρων

Σιλουανὸς ἐβγῆκεν ἀπὸ τὸ κελλί του, πρὸς συνάντησίν της καὶ ἐκείνη τότε τοῦ εἶπε:

—'Αββᾶ, εἰπὲ εἰς τὸν υἱόν μου νὰ ἐξέλθη ἀπὸ τὸ κελλί του, διὰ νὰ τὸν ἴδω.

'Ο 'Αββᾶς Σιλουανὸς εἰσῆλθεν εἰς τὸ κελλὶ καὶ λέγει εἰς τὸν μαθητήν του:

—"Εβγα, διὰ νὰ σὲ ἴδη ἡ μητέρα σου. ('Εκείνην τὴν στιγμὴν ὁ 'Αββᾶς Μᾶρκος ἐφόρει τὴν ποδιὰ καὶ ἦτο μουντζουρωμένος ἀπὸ τὴν κάπνα τοῦ μαγειρείου). Πράγματι, διὰ νὰ κάμη ὑπακοὴν ἐξῆλθε, ἔκλεισεν ὅμως τοὺς ὀφθαλμούς του καὶ εἶπε πρὸς τοὺς ἐπισκέπτας του· εἴθε νὰ εἶσθε σωσμένοι, χωρὶς νὰ τοὺς ἴδη· ἡ μητέρα του ὅμως δὲν τὸν ἀνεγνώρισε. Στέλλει λοιπὸν ἐκ δευτέρου πρὸς τὸν Γέροντα καὶ τὸν παρακαλεῖ:

—'Αββᾶ, στεῖλε μου τὸ παιδί μου, διὰ νὰ τὸ ἴδω.

'Ο 'Αββᾶς Σιλουανὸς καλεῖ τὸν μαθητήν του, τὸν 'Αββᾶν Μᾶρκον, καὶ τοῦ λέγει:

— Δὲν σοῦ εἶπον, πρὸ ὀλίγου, νὰ ἐξέλθης, διὰ νὰ σὲ ἰδῇ ἡ μητέρα σου;

— Γέροντά μου, — ἀπήντησεν ἐκεῖνος — ὅπως μοῦ εἶπες, ἔκανα· ἐβγῆκα καὶ τοὺς εἶπα· εἴθε νὰ εἶσθε σωσμένοι· πλὴν σὲ παρακαλῶ, μὴ μοῦ εἴπης νὰ ἐξέλθω ἀκόμη μίαν φοράν, διότι θὰ ἀναγκασθῶ νὰ μὴ ὑπακούσω.

Τότε ὁ Γέρων ἐβγῆκεν ὁ ἴδιος καὶ εἶπε πρὸς τὴν μητέρα. 'Ο υἱός σου εἶναι αὐτός, ποὺ μόλις πρὸ ὀλίγου ἐβγῆκε, σᾶς ἀντάμωσε καὶ σᾶς εἶπε· εἴθε νὰ εἶσθε σωσμένοι. 'Αφοῦ δὲ τὴν συνεβούλευσε, τὴν ἄφησε νὰ φύγη.

8. Κάποτε ἦλθον πρὸς τὸν 'Αββᾶν Ποιμένα ἀσκηταὶ πολλοί· συγχρόνως μὲ τοὺς ἀσκητὰς προσῆλθε καὶ ἕνας συγγενὴς τοῦ 'Αββᾶ Ποιμένος, ποὺ εἶχε καὶ τὸ παιδὶ μαζί του. Τὸ παιδὶ ἐκεῖνο, κατὰ σατανικὴν ἐνέργειαν, εἶχε γυρισμένην τὴν κεφαλήν του πρὸς τὰ ὀπίσω. 'Εκάθισε λοιπόν, μαζὶ μὲ τὸ τέκνον του, ἔξω ἀπὸ τὸ Μοναστήρι καὶ ἔκλαιε.

Κατὰ σύμπτωσιν ἕνας ἐκ τῶν Γερόντων ἐβγῆκεν ἔξω ἀπὸ τὸ Μοναστήρι καὶ μόλις εἶδε τὸν ἄνθρωπον αὐτὸν νὰ κλαίῃ, τοῦ εἶπεν·

—"Ανθρωπε, διατί κλαίεις;

— Εἶμαι συγγενὴς τοῦ 'Αββᾶ Ποιμένος — ἀπήντησεν ἐκεῖνος — καὶ εἰς τὸ παιδί μου συνέβη αὐτὸς ὁ πειρασμός, ποὺ βλέπετε· θέλω λοιπὸν νὰ τὸ ὁδηγήσω εἰς τὸν Γέροντα, ἀλλὰ ἐφοβήθην, διότι δὲν θέλει νὰ μᾶς ἰδῇ. Καὶ τώρα ἀκόμη, ἐὰν μάθῃ ὅτι εἴμεθα ἐδῶ, θὰ στείλῃ νὰ μᾶς διώξῃ. Πλὴν ὅμως ἐγώ, μόλις σᾶς εἶδον ἐδῶ, ἐπῆρα θάρρος ἀπὸ τὴν παρουσίαν Σας καὶ ἐτόλμησα νὰ ἔλθω. "Αν θέλῃς λοιπόν, 'Αββᾶ, ἐλέησόν με, πάρε μέσα τὸ παιδί μου, καὶ κάνετε προσευχὴν δι' αὐτό.

Πράγματι ὁ Γέρων συνεκινήθη, ἐπῆρε τὸ παιδὶ καὶ εἰσῆλθεν εἰς τὸ Μοναστήρι. 'Ενήργησε δὲ μετὰ συνέσεως· δὲν τὸ ὡδήγησεν ἀμέσως εἰς τὸν 'Αββᾶν Ποιμένα, ἀλλὰ ἤρχισεν ἀπὸ τοὺς νεωτέρους Μοναχούς·

«σταυρώσατε αὐτὸ τὸ ἄρρωστο παιδάκι», τοὺς ἔλεγε. Ἀφοῦ δὲ τὸ ἐσταύρωσαν ὅλοι μὲ τὴν σειράν των, τὸ ἔφερεν ὕστερα καὶ εἰς τὸν Ἀββᾶν Ποιμένα· ἐκεῖνος ὅμως οὔτε νὰ τὸ ἐγγίσῃ δὲν ἤθελε. Τότε ὅλοι οἱ Πατέρες τὸν παρεκάλουν θερμῶς λέγοντες:

—Ἀββᾶ, ὅπως ἔκαμαν ὅλοι οἱ Πατέρες, σταύρωσέ το καὶ σύ.

Ὁ Ἀββᾶς Ποιμὴν ἀνεστέναξε καὶ εἶπε· «Θεέ μου, θεράπευσε τὸ πλάσμα σου, διὰ νὰ μὴν αἰχμαλωτισθῇ τελείως ἀπὸ τὸν ἐχθρόν»· καὶ ἀφοῦ τὸ ἐσταύρωσεν ἀμέσως ἐθεραπεύθη. Ἀμέσως δὲ μὲ χαράν, τὸ ἔδωσαν ὑγιὲς εἰς τὸν πατέρα του.

Ε'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ΕΧΩΡΙΣΑΣ ἐκ τῶν κατὰ σάρκα συγγενῶν ξένος γενέσθαι διὰ τὸν Θεόν, μὴ ἐάσῃς τὴν ἡδονὴν αὐτῶν εἰσελθεῖν ἐν σοὶ καθημένῳ ἐν τῷ κελλίῳ, οἰκτείρων πατέρα ἢ μητέρα ἢ μεμνημένος ἀδελφοῦ ἢ ἀδελφῆς ἢ εὐσπλαγχνίας τέκνων ἢ θελήματος γυναικὸς ἐν τῇ καρδίᾳ σου, ἃ κατέλιπες. Μνήσθητι δὲ καὶ τῆς ἐξόδου σου καὶ τῆς ἀνάγκης τοῦ θανάτου, ὅτι οὐδεὶς αὐτῶν τότε βοηθεῖ σοι· καὶ διατί μὴ καταλείψῃς αὐτοὺς διὰ τὴν ἀρετήν; ἐὰν ἀνάγκη γένηταί σοι παραβαλεῖν εἰς τὴν κώμην σου διὰ πρᾶγμα, φύλαξον σεαυτὸν ἀπὸ τῶν κατὰ σάρκα συγγενῶν, μὴ παρρησιάσασθαι μετ' αὐτῶν, μήτε συμμίξαι σεαυτὸν μετὰ τῶν λόγων αὐτῶν.

Ἑρμηνεία

ΕΑΝ ΑΠΕΜΑΚΡΥΝΘΗΣ ἀπὸ τοὺς σαρκικοὺς συγγενεῖς σου, διὰ νὰ γίνῃς ξένος πρὸς χάριν τοῦ Θεοῦ, μὴ ἀφήσῃς τὴν ψυχήν σου νὰ αἰσθανθῇ γλυκεῖαν εὐχαρίστησιν ἐκ τῆς ἀναμνήσεώς των, ὅταν θὰ κάθεσαι εἰς τὸ κελλίον σου. Μὴ λυπηθῇς διὰ τὸν πατέρα σου ἢ τὴν μητέρα σου· ἢ νὰ μὴν ἐνθυμηθῇς τὸν ἀδελφὸν ἢ τὴν ἀδελφήν σου· μὴ πονέσῃς τὰ παιδιά σου καὶ μὴ θελήσῃς τὴν γυναῖκα σου, ἐφ' ὅσον ὅλα αὐτὰ τὰ ἄφησες. Νὰ ἐνθυμῆσαι τὴν στιγμήν, ποὺ θὰ φύγῃς ἀπὸ τὸν κόσμον αὐτόν, καὶ τὴν φοβερὰν ἀγωνίαν τοῦ θανάτου, κατὰ τὴν ὁποίαν κανεὶς ἐξ αὐτῶν δὲν θὰ εἶναι δυνατὸν νὰ σὲ βοηθήσῃ τότε. Διατί λοιπὸν νὰ μὴ τοὺς ἐγκαταλείψῃς διὰ τὴν ἀρετήν; Ἐὰν δὲ παραστῇ ἀνάγκη νὰ ἐπισκεφθῇς τὸ χωρίον σου διὰ μίαν ὑπόθεσιν, νὰ φυλαχθῇς ἀπὸ τοὺς σαρκικοὺς συγγενεῖς σου, νὰ μὴ ξεθαρρευθῇς μαζί των, οὔτε καὶ νὰ συνομιλήσῃς μαζί των.

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΤΟ ΤΙΣ τῶν Πατέρων περὶ τοῦ Ἀββᾶ Ποιμένος, καὶ τῶν ἀδελφῶν αὐτοῦ, ὅτι ᾤκουν ἐν Αἰγύπτῳ· καὶ ἐπιθυμοῦσα ἡ μήτηρ αὐτῶν ἰδεῖν αὐτούς, οὐκ ἠδύνατο. Παρετηρήσατο οὖν καὶ ὡς ἀπήρχοντο εἰς τὴν Ἐκκλησίαν, ὑπήντησεν αὐτοῖς· οἱ δὲ θεασάμενοι αὐτὴν ὑπέστρεψαν καὶ ἔκλεισαν τὴν θύραν εἰς τὸ πρόσωπον αὐτῆς. Ἡ δέ, ἔξωθεν τῆς θύρας ἑστῶσα, ἐκραύγαζε μετὰ κλαυθμοῦ καὶ οἴκτου πολλοῦ λέγουσα· ἴ δ ω ὑ μ ᾶ ς, τ έ κ ν α μ ο υ ἠ γ α π η μ έ ν α. Ὄντων οὖν αὐτῶν ἔνδοθεν καὶ ἀκουόντων αὐτῆς, εἶπεν ὁ Ἀββᾶς Ἀνοὺβ πρὸς τὸν Ἀββᾶν Ποιμένα· τί ποιήσωμεν τῇ γραΐδι ταύτῃ οὕτω πρὸς τῇ θύρᾳ κλαιούσῃ σφοδρῶς; Ἀπελ-

θὼν δὲ ὁ Ἀββᾶς Ποιμὴν καὶ στὰς ἔνδοθεν τῆς θύρας λέγει αὐτῇ· τί οὕτω κράζεις, γραῦ;

Ἡ δὲ τῆς φωνῆς αὐτοῦ ἀκούσασα, πολλῷ μᾶλλον ἐκραύγαζε κλαίουσα καὶ λέγουσα· θέλω ὑμᾶς ἰδεῖν, τέκνα· τί γὰρ ἐὰν ἴδω ὑμᾶς; μὴ οὐκ εἰμὶ μήτηρ ὑμῶν; οὐκ ἐγὼ ὑμᾶς ἐθήλασα; ὅλη εἰμὶ πολιά· οἰκτείρατε οὖν μου τὸ γῆρας καὶ δότε βραχὺ μόνον ἰδεῖν ὑμᾶς, καὶ καταπαῦσαι ποσῶς τὴν πυρὰν τῆς καρδίας· λίαν γὰρ φλέγομαι τῷ πόθῳ ὑμῶν, καὶ μᾶλλον νῦν τῆς φωνῆς σου, τέκνον, ἀκούσασα. Λέγει αὐτῇ ὁ Ἀββᾶς Ποιμήν· ὧδε θέλεις ἰδεῖν ἡμᾶς ἢ εἰς τὸν ἐκεῖ κόσμον; ἀπεκρίθη ἐκείνη· καὶ ἐὰν μὴ ἴδω ὑμᾶς ὧδε, βλέπω ὑμᾶς εἰς τὸν ἐκεῖ κόσμον; ὁ δὲ ἔφη αὐτῇ· ἐὰν σεαυτὴν βιάσῃ μὴ ἰδεῖν ἡμᾶς ὧδε, ὁρᾷς ἡμᾶς ἐκεῖ. Ἐκείνη οὖν, ὡς τοῦτο ἤκουσεν, ἀπῆλθε χαίρουσα, καὶ λέγει· εἰ ὅλως ὁρῶ ὑμᾶς ἐκεῖ, οὐ θέλω ὑμᾶς ὧδε ἰδεῖν.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ ἀπὸ τοὺς πατέρας διηγήθη διὰ τὸν Ἀββᾶν Ποιμένα καὶ τοὺς ἀδελφούς του, ὅτι ἐκατοικοῦσαν εἰς τὴν Αἴγυπτον καὶ ἐπιθυμοῦσα ἡ μητέρα του νὰ τοὺς ἰδῇ, δὲν ἠδύνατο. Μίαν ἡμέραν λοιπὸν παρεφύλαξε καὶ καθὼς μετέβαινον εἰς τὴν Ἐκκλησίαν τοὺς συνήντησε. Μόλις τὴν ἀντελήφθησαν, ἐγύρισαν ἀμέσως ὀπίσω καὶ τῆς ἔκλεισαν κατὰ πρόσωπον τὴν θύραν. Ἐκείνη τότε ἐστάθη ἔξω ἀπὸ τὴν θύραν καὶ μὲ δάκρυα καὶ πολὺν πόνον ἐκραύγαζε πρὸς αὐτά:

— Παιδιά μου ἀγαπημένα,—τοὺς ἔλεγε—θέλω νὰ σᾶς ἰδῶ.

Ἐνῷ λοιπὸν αὐτοὶ ἦσαν μέσα εἰς τὸ κελλὶ καὶ τὴν ἤκουον, λέγει, εἰς μίαν στιγμήν, ὁ Ἀββᾶς Ἀνοὺβ πρὸς τὸν Ἀββᾶν Ποιμένα:

— Τί θὰ κάμωμεν μὲ αὐτὴν τὴν γραῖαν, ἔτσι ποὺ κλαίει τόσον πολὺ ἔξω ἀπὸ τὴν θύραν;

Τότε ὁ Ἀββᾶς Ποιμὴν πηγαίνει καὶ ἀφοῦ ἐστάθη ἀπὸ μέσα ἀπὸ τὴν θύραν τῆς λέγει:

— Διατί κραυγάζεις ἔτσι, γερόντισσα;

Ἐκείνη μόλις ἤκουσε τὴν φωνὴν τοῦ παιδιοῦ της, πολὺ περισσότερον ἐκραύγαζε καὶ ἔλεγε μὲ κλάματα:

— Παιδιά μου, θέλω νὰ σᾶς ἰδῶ· τί θὰ πάθετε, ἐὰν σᾶς ἰδῶ; μήπως δὲν εἶμαι ἡ μητέρα σας; δὲν σᾶς ἐθήλασα; εἶμαι κατάλευκη· λυπηθῆτε λοιπὸν τὰ γηρατεῖα μου καὶ ἀφήσατέ με νὰ σᾶς ἴδω, δι' ὀλίγον μόνον, διὰ νὰ σβύσῃ ὀλίγον ἡ φλόγα τῆς καρδιᾶς μου· διότι καίγομαι πάρα πολὺ ἀπὸ τὸν πόθον νὰ σᾶς ἴδω καὶ πρὸ παντὸς τώρα, ποὺ ἤκουσα, παιδί μου, τὴν φωνήν σου.

Τότε ὁ Ἀββᾶς Ποιμὴν τὴν ἐρωτᾷ:

—Ἐδῶ θέλεις νὰ μᾶς ἰδῇς, ἢ εἰς τὸν ἄλλον κόσμον;

—Ἐὰν δὲν σᾶς ἴδω ἐδῶ — ἀπήντησεν ἡ μητέρα — θὰ σᾶς ἴδω, τοὐλάχιστον, εἰς τὸν ἄλλον κόσμον;

—Ἐὰν βιάσῃς τὸν ἑαυτόν σου καὶ δὲν μᾶς ἰδῇς ἐδῶ, ἀσφαλῶς θὰ μᾶς ἰδῇς εἰς τὸν ἄλλον κόσμον.

Μόλις ἤκουσεν αὐτὸ ἡ μητέρα τῶν ἀββάδων, ἔφυγεν ἀμέσως μὲ χαράν, καὶ εἶπεν· Ἐὰν πρόκειται νὰ σᾶς βλέπω παντοτεινὰ ἐκεῖ, δὲν θέλω νὰ σᾶς ἰδῶ ἐδῶ.

Ζ'. Τοῦ Ἁγίου Γρηγορίου τοῦ Διαλόγου

ΜΟΝΑΧΟΣ ΤΙΣ τῶν ἐν τῇ μονῇ τοῦ Ἁγίου Βενεδίκτου τῷ τῶν λογισμῶν ρεμβασμῷ ὑπὸ τοῦ τῆς ἀκηδίας δαίμονος κυριευθείς, τῇ τοῦ κανόνος ἀκριβεστάτῃ παραδόσει στοιχῆσαι οὐδαμῶς ἤθελεν· ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος, τοῦτον νουθετῶν οὐ διέλιπε, καὶ συνεχῶς παιδεύων οὐκ ἠμέλησεν. Ἐκεῖνος δὲ οὐκ ἠθέλησε τῆς τοῦ Πατρὸς ὑπακοῦσαι παραινέσεως, ἀλλὰ καὶ ἀναιδῶς τῷ ἁγίῳ προσπίπτων οὐκ ἐπαύετο, ἵνα ἐαθῇ ὑπ' αὐτοῦ πρὸς τοὺς ἑαυτοῦ γονεῖς πορευθῆναι.

Ἐν μιᾷ οὖν ὁ σεβάσμιος Πατὴρ ὑπὸ τῆς αὐτοῦ παρακλήσεως λίαν ὀχληθείς, ἐν θυμῷ ἐκέλευσεν, ἵνα τῆς μονῆς ὑποχωρήσῃ. Ὁ δὲ ἐξελθὼν ἐκ τοῦ Μοναστηρίου ἐπὶ τῷ εἰς τοὺς γονεῖς ἀπελθεῖν, εὗρε κατενώπιον αὐτοῦ εὐθὺς ἐν τῇ ὁδῷ δράκοντα παμμεγέθη, ἀνεῳγμένον τὸ στόμα ἔχοντα, καὶ καταπιεῖν τοῦτον θέλοντα· ἤρξατο οὖν ὁ ἀδελφὸς τρέμειν καὶ ψηλαφᾶν ἐκ τῆς ἀγωνίας καὶ μεγίσταις κράζειν φωναῖς· δράμετε, ὅτι ὁ δράκων οὗτος καταφαγεῖν με θέλει. Δραμόντες δὲ οἱ ἀδελφοί, τὸν μὲν δράκοντα οὐδαμῶς ἐθεάσαντο, τρέμοντα δὲ καὶ ψηλαφῶντα τὸν ἀδελφὸν εὑρόντες, τοῦτον εἰς τὸ Μοναστήριον ὑπέστρεψαν· ὃς εὐθὺς ὑπέσχετο μηδέποτε τῷ οἰκείῳ θελήματι ἀπὸ τῆς μονῆς ἐξελθεῖν ἢ ἀποστῆναι μέχρι θανάτου· καὶ ἐν τῇ τοιαύτῃ ὑποσχέσει ἕως τέλους διέμεινε, ταῖς τοῦ Ἁγίου Πατρὸς εὐχαῖς τειχισθείς, καὶ μηκέτι τὸν κατέναντι αὐτοῦ πρώην ἑστῶτα δράκοντα τοῦ λοιποῦ θεασάμενος.

Ἑρμηνεία


ΕΝΑΣ ΜΟΝΑΧΟΣ ἀπὸ τὸ Μοναστήριον τοῦ Ἁγίου Βενεδίκτου ἐκυριεύθη ὑπὸ τοῦ δαίμονος τῆς ἀμελείας, διότι ἄφηνεν ἐλευθέρους τοὺς λογισμούς του, καὶ δὲν ἤθελε καθόλου νὰ ἀκολουθήσῃ τὴν ἀκριβεστάτην παράδοσιν τοῦ μοναχικοῦ κανόνος. Ὁ δὲ ἄνθρωπος τοῦ Θεοῦ Ἅγιος Βενέδικτος δὲν ἔπαυε νὰ τὸν νουθετῇ καὶ δὲν παρέλειπε νὰ τὸν συμβουλεύῃ συνεχῶς. Ὁ Μοναχὸς ὅμως ἐκεῖνος ὄχι μόνον δὲν ἤθελε νὰ ὑπακούσῃ εἰς τὰς παραινέσεις τοῦ Πατρός, ἀλλὰ καὶ δὲν ἔπαυε νὰ παρακαλῇ μὲ ἀναίδειαν τὸν Ἅγιον, διὰ νὰ τὸν ἀφήσῃ νὰ φύγῃ καὶ νὰ ἐπιστρέψῃ πρὸς τοὺς γονεῖς του.

Μίαν ἡμέραν λοιπὸν τόσον πολὺ ἠνωχλήθη ὁ σεβάσμιος Πατὴρ ἀπὸ τὰς ἐπιμόνους παρακλήσεις του, ὥστε, μὲ θυμόν, διέταξε νὰ φύγῃ ἀπὸ τὸ Μοναστήρι. Μόλις ὅμως ὁ Μοναχὸς ἐξῆλθεν ἀπὸ τὸ Μοναστήριον διὰ νὰ ἀπέλθῃ πρὸς τοὺς γονεῖς του, ἀμέσως συναντᾷ ἔμπροσθέν του εἰς τὸν δρόμον ἕνα πελώριον δράκοντα, ποὺ εἶχε τὸ στόμα του ἀνοιγμένον καὶ ἤθελε νὰ τὸν καταπιῇ. Ἤρχισε λοιπὸν ὁ ἀδελφὸς νὰ τρέμῃ ἀπὸ τὴν ἀγωνίαν του, νὰ κινῇ τὰ χέρια του καὶ νὰ κραυγάζῃ μὲ ἀπόγνωσιν· «τρέξατε, διότι ἕνας δράκων θέλει νὰ μὲ καταπιῇ».

Οἱ ἀδελφοὶ ἔτρεξαν, πράγματι, ἀλλὰ τὸν μὲν δράκοντα δὲν εἶδον

πουθενά, εὗρον μόνον τὸν ἀδελφὸν νὰ τρέμῃ καὶ νὰ κινῇ ἀπεγνωσμένα τὰ χέρια του· εἰς τὴν ἀθλίαν αὐτὴν κατάστασιν τὸν ὡδήγησαν καὶ πάλιν εἰς τὸ Μοναστήριον. Μόλις οὗτος συνῆλθεν ἀπὸ τὴν ταραχήν, ὑπεσχέθη ἀμέσως ποτὲ πλέον, μὲ τὸ θέλημά του, νὰ μὴ ἐξέλθῃ ἀπὸ τὸ Μοναστήρι, ἀλλὰ καὶ διόλου νὰ μὴ ἀπομακρυνθῇ ἐξ αὐτοῦ μέχρι θανάτου. Πράγματι δὲ ἐτήρησε μέχρι τέλους τὰς ὑποσχέσεις του, καὶ ἐνισχυμένος ἀπὸ τὰς εὐχὰς τοῦ Ἁγίου Πατρός, οὐδέποτε πλέον ξαναεῖδε τὸν φοβερὸν ἐκεῖνον δράκοντα, ποὺ κάποτε ἐστάθη ἀπέναντί του.






ΥΠΟΘΕΣΙΣ ΙΣΤ'

Περὶ τοῦ ὅτι δεῖ ἐπίσης τῶν λοιπῶν ἀδελφῶν ἀγαπᾶν καὶ τοὺς σαρκικοὺς συγγενεῖς, εἰ τὴν αὐτὴν κἀκεῖνοι πολιτείαν μετέρχονται· εἰ δὲ τὴν ἐναντίαν, ὡς βλαπτικοὺς αὐτοὺς ἀποστρέφεσθαι.

Πρέπει ἐξ ἴσου μὲ τοὺς ἄλλους ἀδελφοὺς νὰ ἀγαπῶμεν τοὺς σαρκικοὺς συγγενεῖς μας, ἐφ' ὅσον βεβαίως καὶ ἐκεῖνοι ἀκολουθοῦν τὸν ἴδιον τρόπον ζωῆς· ἐὰν ὅμως ἔχουν ἀντίθετον διαγωγήν, τότε πρέπει νὰ τοὺς ἀποφεύγωμεν ὡς ἐπιβλαβεῖς.



Α'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου




ΜΕΤΑ ΧΡΟΝΟΥΣ συχνοὺς τῆς τοῦ Θεοδώρου ἀποταγῆς, ὃς μαθητὴς ἦν τοῦ Ἁγίου Παχωμίου καὶ λίαν ἐπιμελέστατος, ἦλθε πρὸς τὸ Μοναστήριον καὶ Παφνούτιος ὁ ἀδελφὸς Θεοδώρου ἐξαιτῶν καὶ αὐτὸς γενέσθαι Μοναχός· μὴ βουλομένου δὲ τοῦ Θεοδώρου, ὡς ἀδελφῷ αὐτοῦ χρήσασθαι (ἀπεκδέδυτο γὰρ τὸν παλαιὸν ἄνθρωπον), ἀνιώμενος σφόδρα καὶ δακρύων ὁ Παφνούτιος διετέλει. Μαθὼν δὲ ὁ μέγας, λέγει αὐτῷ· καλὴ ἡ συγκατάβασις πρὸς τοὺς τοιούτους ἐν ταῖς ἀρχαῖς, ἀδελφέ· ὡς γὰρ νεοφύτῳ δένδρῳ πολλὴ ἁρμόζει φιλοκαλία, οὕτω καὶ τῷ τῆς ἀσκήσεως ἀρχομένῳ, ἕως ἂν καὶ αὐτὸς τῇ τοῦ Κυρίου χάριτι ριζωθείς, τῇ πίστει στηριχθῇ. Ταῦτα ἀκούσας ὁ Θεόδωρος, εἶξε τῷ Πατρί, κατὰ τὸ διατεταγμένον αὐτῷ ἐν ἅπασι στηρίζων τὸν ἀδελφόν· ἦν γὰρ συνιῶν τὰ λεγόμενα.

Ἑ ρ μ η ν ε ί α

ΜΕΤΑ ἀπὸ πολλοὺς χρόνους, ἀπὸ τότε ποὺ ὁ Θεόδωρος ἐγκατέλειψε τὸν κόσμον διὰ νὰ γίνῃ Μοναχός, καὶ ἀνεδείχθη ὁ πλέον ἐπιμελὴς μαθητὴς τοῦ Ἁγίου Παχωμίου, ἦλθεν εἰς τὸ Μοναστήριον καὶ ὁ ἀδελφὸς τοῦ Θεοδώρου ὁ Παφνούτιος, παρακαλῶν νὰ γίνῃ καὶ αὐτὸς Μοναχός. Ὁ Θεόδωρος ὅμως δὲν ἤθελε νὰ τοῦ συμπεριφερθῇ ὡς ἀδελφός του (διότι

Ὁ Ἅγιος Παχώμιος



εἶχε πλέον ἀποβάλει ἀπὸ ἐπάνω του τὸν παλαιὸν ἄνθρωπον) καὶ δι' αὐτὸ ὁ Παφνούτιος ἦτο πολὺ στενοχωρημένος καὶ συνεχῶς ἔκλαιε. Μόλις ἐπληροφορήθη αὐτὸ τὸ πρᾶγμα ὁ Μέγας Παχώμιος, συναντᾷ τὸν Θεόδωρον καὶ τοῦ λέγει:

—Ἀδελφέ μου, δὲν βλάπτει, εἰς τὰς ἀρχάς, ἡ συγκατάβασις πρὸς τοὺς νεοπροσερχομένους· διότι ὅπως διὰ τὸ νεοφύτευτον δένδρον χρειάζεται πολλὴ περιποίησις, ἔτσι χρειάζεται ἡ συγκατάβασις πρὸς ἐκεῖνον, ποὺ ἀρχίζει τὴν ἄσκησιν, μέχρις ὅτου ριζώσῃ καὶ αὐτὸς μὲ τὴν χάριν τοῦ Κυρίου καὶ στηριχθῇ εἰς τὴν πίστιν.

Ἀφοῦ ἤκουσεν αὐτὰ ὁ Θεόδωρος, ὑπήκουσε προθύμως εἰς τὸν Πατέρα, ὅπως ἄλλωστε εἶχεν ὡς ἀρχὴν νὰ τὸν ὑπακούῃ πάντοτε, καὶ ἐστήριζε πλέον εἰς ὅλα τὰ ζητήματα τὸν ἀδελφόν του· διότι ἀντελήφθη καλῶς ὅσα τοῦ εἶπεν ὁ Μέγας Παχώμιος.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωαννικίου

ΤΙΝΙ ΤΩΝ ΣΥΓΚΛΗΤΙΚΩΝ θυγάτηρ ἐνόσει, καὶ τὰ μέλη παρεῖτο, εὐσεβής τε οὖσα καὶ τὰ Χριστιανῶν πρεσβεύουσα. Ὁ δ' ἐπ' ἀδελφῇ τῷ ἁγίῳ γαμβρός, δεινῶς κατὰ τῶν τοῦ Χριστοῦ εἰκόνων ἐλύττα τε καὶ ἐμαίνετο. Φθάσας οὖν ὁ μακάριος, τὴν μὲν εὐχῇ καὶ τύπῳ σταυροῦ τῆς χαλεπῆς ἐξείλετο νόσου· τὸν δέ, ἐπεὶ μὴ πείθειν οἷός τε ἦν νουθετῶν τῆς δεινῆς ἀποσχέσθαι μανίας, ἐπὶ τὴν παιδείαν ἧκε· καὶ σπλάγχνων συγγενείας ὑπεριδών, οἰκείου τε διὰ τὴν εὐσέβειαν ἐπιλαθόμενος αἵματος, πηροῖ τούτῳ τοὺς ὀφθαλμοὺς δι' εὐχῆς. Οὕτω ζῆλος θεοσεβείας κατακαυχᾶται καὶ φύσεως, καὶ πόθος ἀληθὴς πρὸς τὸν Θεὸν καὶ συγγενικῆς ἀνάγκης ἐπικρατέστερος· τὴν μὲν γάρ, εἰ καὶ μὴ κατὰ γένος αὐτῷ προσῆκεν, ἀλλ' ὅτι τὰ τῶν Χριστιανῶν ἐτίμα, τοῦ πάθους ἀπήλλαξε· τὸν δέ, καίτοι γαμβρὸν αὐτοῦ ὄντα, ὅτι ταῖς θείαις εἰκόσιν ἐμάχετο, τὸ βλέπειν ἀφείλετο καὶ παιδείαν ἔχειν τῶν ἀφανῶν ὀφθαλμῶν, τοὺς φανεροὺς ἐδικαίωσεν.

Ἑρμηνεία

ΕΝΟΣ ΣΥΓΚΛΗΤΙΚΟΥ ἡ θυγάτηρ ἦτο ἄρρωστη καὶ τὰ μέλη της παρέλυον· ἡ νέα αὐτὴ ἦτο εὐσεβὴς καὶ ἠσπάζετο τὸν Χριστιανισμόν. Ὁ δὲ ἐπ' ἀδελφῇ γαμβρὸς τοῦ ἁγίου ἐλυσσομανοῦσε μὲ πεῖσμα ἐναντίον τῶν ἁγίων εἰκόνων τοῦ Χριστοῦ.

Μόλις λοιπὸν ἔφθασεν ὁ μακάριος, τὴν μὲν θυγατέρα τοῦ Συγκλητικοῦ ἐθεράπευσεν ἀπὸ τὴν φοβερὰν νόσον, μὲ τὴν προσευχὴν καὶ τὸ σημεῖον τοῦ Σταυροῦ. Τὸν δὲ γαμβρόν του, ἐπειδὴ δὲν ἠδύνατο νὰ τὸν πείσῃ καὶ διὰ τῶν συμβουλῶν του νὰ τὸν ἀπαλλάξῃ ἀπὸ τὴν φοβερὰν μανίαν του, ἔφθασεν εἰς τὴν ἀνάγκην τῆς τιμωρίας· παραβλέψας λοιπὸν τὰ συναισθήματά του, ὡς συγγενοῦς καὶ λησμονήσας, χάριν τῆς εὐσεβείας, τὸ ἴδιον του τὸ αἷμα, τυφλώνει, διὰ τῆς προσευχῆς του, τὸν ἀσεβῆ γαμβρόν του. Οὕτως ἡ ἰσχυρὰ ἀγάπη τῆς θεοσεβείας ὑπερνικᾷ καὶ αὐτὴν ἀκόμη τὴν φύσιν, καὶ ὁ ἀληθινὸς πρὸς τὸν Θεὸν πόθος γίνεται ἰσχυρότερος καὶ ἀπὸ τὴν συγγενικὴν ἀνάγκην.

Αὐτὸ βλέπομεν εἰς τὸν Ἅγιον Ἰωαννίκιον, ὅστις τὴν μὲν θυγατέρα τοῦ Συγκλητικοῦ, ἂν καὶ δὲν ἦτο συγγενής του, τὴν ἐθεράπευσε, διότι ἐσέβετο τὴν Χριστιανικὴν πίστιν· τὸν ἄλλον ὅμως, καίτοι ἦτο γαμβρός του, ἐπειδὴ ἐπολεμοῦσε τὰς ἁγίας εἰκόνας, τοῦ ἀφήρεσε τὴν ὅρασιν, καὶ μὲ τὴν τιμωρίαν τῶν τυφλῶν ὀφθαλμῶν, ἀπέδειξε πόσον ὀρθῶς βλέπουν οἱ ὀφθαλμοὶ τῆς ψυχῆς.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΑΝΘΡΩΠΟΣ ΤΙΣ εὐλαβής, καὶ τῆς κατὰ Θεὸν ζωῆς ἐραστής, ὥπερ Καρίων ἡ κλῆσις ἐτύγχανεν, ἀκούων τε καὶ θαυμάζων τὴν τῶν ἀσκητῶν μακαρίαν ζωήν, καὶ ἔρωτι ταύτης συσχεθείς, γέγονεν αὐτόμολος ἐν τῇ Σκήτει· ὅς τις καὶ υἱὸν σαρκικὸν ἐσχηκώς, ἔλαβεν αὐτὸν μεθ' ἑαυτοῦ, καὶ ἀνέτρεφεν αὐτὸν ἐκεῖ, πάντων εἰδότων ὅτι τέκνον αὐτοῦ καθέστηκε σαρκικόν· ἦν δὲ ὄνομα τῷ παιδὶ Ζαχαρίας. Ὡς οὖν ἡλικίας ἐν ἀκμῇ γέγονε, καὶ σκανδαλίζειν ἤρξατο πολλοὺς τῶν ἀδελφῶν, γογγυσμὸς ἐγένετο οὐ μικρὸς ἐν αὐτοῖς περὶ αὐτοῦ· καὶ ἀκούσας ὁ Ἀββᾶς Καρίων εἶπε τῷ παιδὶ αὐτοῦ· Ζαχαρία, ἔγειραι, ἄγωμεν ἐντεῦθεν, ὅτι γογγύζουσιν οἱ πατέρες. Ἔφη αὐτῷ ὁ παῖς· Ἀββᾶ, πάντες οἴδασιν ἐνταῦθα ὅτι υἱός σου εἰμί· ἐὰν δὲ ἀλλαχοῦ ἀπέλθωμεν, οὐκ ἔχουσι λέγειν ὅτι υἱός σου εἰμί. Καὶ λέγει αὐτῷ ὁ γέρων· ἔγειραι, ἄγωμεν ἐν τῇ Θηβαΐδι· καὶ ἀπῆλθον ἐκεῖ. Ὡς δὲ λαβόντες κελλίον ἐκάθισαν ὀλίγας ἡμέρας, κἀκεῖ ὁ αὐτὸς γογγυσμὸς γέγονε περὶ τοῦ παιδίου. Εἶπεν οὖν πάλιν ὁ Ἀββᾶς Καρίων· Ζαχαρία, ἔγειραι, ἄγωμεν ἐν τῇ σκήτει· καὶ ἀπελθόντων, οὐ πολλαὶ παρῆλθον ἡμέραι, καὶ πάλιν γογγυσμὸς γέγονε περὶ αὐτοῦ.

Τότε Ζαχαρίας ὁ παῖς, ἐλθὼν εἰς τὴν λίμνην τοῦ Νίτρου καὶ ἀποδυσάμενος, κατῆλθε μέχρι τῆς ῥινὸς αὐτοῦ καταβαπτίσας ἑαυτόν· καὶ μείνας ἐφ' ὥραν ἱκανὴν ὅσην ἠδύνατο, ἠχρείωσε τὸ ἑαυτοῦ σῶμα (γέγονε γὰρ ὡς λελωβημένος) καὶ ἀνελθών, ἐφόρεσε τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπῆλθε πρὸς τὸν ἴδιον πατέρα· ὁ δέ, μόλις ἐπέγνω αὐτόν. Ἀπελθόντος δὲ αὐτοῦ εἰς τὴν ἁγίαν κοινωνίαν κατὰ τὸ ἔθος, ἀπεκαλύφθη τῷ Ἁγίῳ Ἰσιδώρῳ τῷ Πρεσβυτέρῳ τῆς σκήτεως, ὅπερ ἐποίησε· καὶ ἰδὼν αὐτὸν καὶ θαυμάσας, εἶπε· Ζαχαρίας ὁ παῖς, τῇ Κυριακῇ τῇ παρελθούσῃ ἦλθε καὶ ἐκοινώνησεν ὡς ἄνθρωπος· νῦν δὲ Ἄγγελος ἐγένετο.

Ἑρμηνεία

ΕΝΑΣ ΑΝΘΡΩΠΟΣ εὐλαβής, ὁ ὁποῖος ἠγάπα τὴν κατὰ Θεὸν ζωὴν καὶ ὠνομάζετο Καρίων, ἐπειδὴ ἤκουε καὶ ἐθαύμαζεν τὴν μακαρίαν ζωὴν τῶν ἀσκητῶν, ἐκυριεύθη ἀπὸ ἔρωτα πρὸς τὴν ζωὴν αὐτὴν καὶ ἦλθε μόνος του εἰς τὴν Σκήτην. Αὐτὸς ὁ Καρίων εἶχε καὶ ἕνα κατὰ σάρκα υἱόν, ὀνομαζόμενον Ζαχαρίαν, τὸν ὁποῖον παρέλαβε μαζί του εἰς τὴν Σκήτην καὶ τὸν ἀνέτρεφεν ἐκεῖ· ὅλοι βεβαίως ἐγνώριζον ὅτι ἦτο πραγματικὸν τέκνον του.

Ὅταν λοιπὸν τὸ παιδὶ τοῦ Καρίωνος, ὁ Ζαχαρίας, ἔφθασεν εἰς τὴν ἐφηβικὴν ἡλικίαν, ἤρχισε νὰ σκανδαλίζῃ πολλοὺς ἐκ τῶν Μοναχῶν,

οἱ ὁποῖοι μεταξύ των ἐγόγγυζον ἀρκετὰ διὰ τὸν Ζαχαρίαν. Μόλις τὸ ἐπληροφορήθη αὐτὸ ὁ Ἀββᾶς Καρίων, λέγει εἰς τὸ παιδί του·

— Σήκω, Ζαχαρία, νὰ φύγωμεν ἀπ' ἐδῶ, διότι γογγύζουν οἱ Πατέρες.

—Ἀββᾶ, ἐδῶ ὅλοι γνωρίζουν, ὅτι εἶμαι υἱός σου, εἶπεν ὁ Ζαχαρίας. Ἐὰν ὅμως μεταβῶμεν ἀλλοῦ δὲν θὰ ἠξεύρουν, ὅτι εἶμαι υἱός σου.

Ὁ Γέρων ὅμως ἐπέμενε καὶ τοῦ λέγει:

— Σήκω, νὰ πᾶμε εἰς τὴν Θηβαΐδα.*

Πράγματι μετέβησαν ἐκεῖ. Ὀλίγας ὅμως ἡμέρας μετὰ τὴν ἐγκατάστασίν των εἰς τὸ κελλίον, ἔγινε καὶ ἐκεῖ γογγυσμὸς μεταξὺ τῶν πατέρων, διὰ τὸ παιδί.

Τότε πάλιν ὁ Ἀββᾶς Καρίων εἶπεν εἰς τὸν υἱόν του:

— Σήκω, Ζαχαρία, ἂς ὑπάγωμεν εἰς τὴν Σκήτην.

Ἀλλὰ καὶ ἐκεῖ μόλις μετέβησαν, ἤρχισαν πάλιν νὰ γογγύζουν περὶ αὐτοῦ οἱ Πατέρες.

Τότε ὁ Ζαχαρίας ἦλθεν εἰς τὴν λίμνην τοῦ Νίτρου** καὶ ἀφοῦ ἀπέβαλε τὰ ἐνδύματά του, ἐβυθίσθη εἰς τὸ νερὸν τῆς λίμνης μέχρι τῆς ρινός του. Ἔμεινε δὲ μέσα εἰς τὸ νερὸν τῆς λίμνης ὅσην ὥραν ἠμποροῦσε, ἕως ὅτου τὸ σῶμα του ἔγινεν ἄσχημον (διότι ἀπὸ τὸ νίτρον τῆς λίμνης ἔγινεν ὡς λεπρός).*** Ἀνελθὼν δὲ ἀπὸ τὴν λίμνην, ἐφόρεσε τὰ ἐνδύματά του καὶ ἦλθε πρὸς τὸν πατέρα του. Τόση δὲ ἦτο ἡ ἀλλοίωσις, ποὺ ὑπέστη, ὥστε καὶ ὁ πατήρ του ἀκόμη μετὰ δυσκολίας τὸν ἀνεγνώρισε.

Ὅταν δέ, κατὰ τὴν μοναχικὴν συνήθειαν, μετέβη ὁ Ζαχαρίας εἰς τὸν Ναὸν τῆς Σκήτης, διὰ νὰ μεταλάβῃ τῶν Ἀχράντων Μυστηρίων, ἀπεκαλύφθη εἰς τὸν Ἅγιον Ἰσίδωρον, τὸν πρεσβύτερον τῆς Σκήτης, τί συνέβη. Μόλις λοιπὸν τὸν εἶδεν, ἐθαύμασε καὶ εἶπε:

—Ὁ ἔφηβος Ζαχαρίας, τὴν περασμένην Κυριακὴν ἦλθε καὶ ἐκοινώνησεν ὡς ἄνθρωπος· τώρα ὅμως ἔγινεν Ἄγγελος.

---

* Θηβαῒς ἐκαλεῖτο ἡ ἀνωτέρα Αἴγυπτος· ἀπεκλήθη δὲ οὕτως ἐκ τοῦ ὀνόματος τῆς παλαιᾶς πόλεως Θῆβαι, ἥτις ἔκειτο εἰς τὴν ἀνωτέραν Αἴγυπτον καὶ ἥτις ὑπῆρξε τὸ πάλαι καθέδρα βασιλέων. Τὰ ἐρείπια τῆς πόλεως ταύτης σώζονται μέχρι σήμερον μὲ τὰ ὀνόματα Λοῦξορ καὶ Κάρνακ.

** Λίμνη τοῦ Νίτρου λέγεται μία λίμνη τῆς ἄνω Αἰγύπτου, ἡ ὁποία γεμίζει μὲν κατὰ τὰς πλημμύρας τοῦ Νείλου, ἀποξηραίνεται δὲ κατὰ τὴν πτῶσιν τῶν ὑδάτων, σχηματιζομένων ἐν αὐτῇ παχέων στρωμάτων ἅλατος καὶ νίτρου. Εἰς τὴν κοιλάδα αὐτὴν ὑπάρχουν καὶ ἄλλαι λίμναι ὅμοιαι, διὰ τοῦτο δὲ ἡ περιοχὴ ἐκαλεῖτο τὸ πάλαι Νιτρία (σήμερον λέγεται Οὐάδι—Νατρούτ), ὑπῆρξε δὲ καταφύγιον πολλῶν ἀναχωρητῶν.

*** Τοῦτο συνέβη διότι τὸ ἅλας καὶ τὸ νίτρον, τὰ ὁποῖα ἦσαν διαλελυμένα εἰς τὸ ὕδωρ τῆς λίμνης, ἔφθειραν, ἤτοι κατέφαγον τὸ δέρμα αὐτοῦ.



ΥΠΟΘΕΣΙΣ ΙΖ΄

Περὶ τοῦ ὅτι δεῖ τὸν ἀποτασσόμενον γυμνωθῆναι πάντων, καὶ πῶς δεῖ διοικεῖν τὰ αὐτῷ ἐπιβάλλοντα καὶ ὅτι τοῖς ἐν τῷ Κοινοβίῳ τὸ ἰδιόκτητον προφανὴς ὄλεθρος.

Ἐκεῖνος ὁ ὁποῖος γίνεται Μοναχὸς πρέπει ἀπὸ ὅλα νὰ γυμνωθῇ· πῶς πρέπει νὰ τακτοποιῇ αὐτὰ ποὺ τοῦ ἀνήκουν. Ἡ ὕπαρξις ἀτομικῆς περιουσίας διὰ τὸν Μοναχὸν μέσα εἰς τὸ Κοινόβιον εἶναι ὁλοφάνερη καταστροφή.





Α΄. Τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ΗΡΩΤΗΣΕ γέροντα λέγων· ἐπειδὴ χρεωστοῦσί μοι οἱ συγγενεῖς μου μικρὸν λογάριον καὶ θέλω αὐτὸ δοῦναι πτωχοῖς, ἐκεῖνοι δὲ τάχα οὐ θέλουσιν αὐτὸ παρασχεῖν, τί ποιήσω; καὶ ἀπεκρίθη ὁ γέρων· ἐὰν μὴ κόψῃς τὸ σαρκικὸν φρόνημα, καὶ λάβῃς μικρὰν ἀναίδειαν κατὰ Θεόν, ἐμπίπτεις καὶ εἰς ἀνθρωπαρέσκειαν.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἐπεσκέφθη ἕνα Γέροντα καὶ τὸν ἠρώτησε:

— Πάτερ μου, οἱ συγγενεῖς μου μοῦ χρεωστοῦν ἕνα μικρὸν ποσὸν καὶ θέλω νὰ τὸ πάρω, διὰ νὰ τὸ δώσω εἰς τοὺς πτωχούς· ἐπειδὴ ὅμως ἐκεῖνοι δὲν προθυμοποιοῦνται νὰ μοῦ τὸ ἐπιστρέψουν συντόμως, τί νὰ κάνω;

Ὁ Γέρων τοῦ ἀπήντησεν:

—Ἐὰν δὲν ἀποκόψῃς τὸ σαρκικὸν φρόνημα, καὶ δὲν ἀποκτήσῃς ὀλίγην ἀναίδειαν ἐναντίον αὐτῶν, τὴν κατὰ Θεὸν ἐπιτρεπομένην, τότε ὑπάρχει κίνδυνος νὰ περιπέσῃς καὶ εἰς ἀνθρωπαρέσκειαν.

Β΄. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἀποταξάμενος τῷ κόσμῳ καὶ διαδοὺς τὰ ὑπάρχοντα αὐτῷ πτωχοῖς, ὀλίγα δέ τινα ἐξ αὐτῶν παρακατασχὼν λόγῳ ἑαυτοῦ, παρέβαλε τῷ Ἀββᾷ

Ἀντωνίῳ αἰτῶν Μοναχὸς γενέσθαι. Ὁ δὲ μαθὼν ὥς τινα τῶν ἑαυτοῦ ὑπεκράτησεν, εἶπεν αὐτῷ· εἰ θέλεις γενέσθαι Μοναχός, ἄπελθε εἰς τὴν δε τὴν κώμην καὶ ἀγόρασον κρέας, καὶ ἀποδυσάμενος τὰ ἱμάτιά σου, περίθες τὸ κρέας τῷ σώματί σου γυμνῷ· καὶ οὕτως ἐλθὲ ἐνταῦθα. Καὶ ποιήσαντος οὕτω τοῦ ἀδελφοῦ, ἐν τῷ ἐπανέρχεσθαι αὐτόν, τὸ κρέας, ὡς εἴρηται, γυμνῷ τῷ σώματι ἐπὶ τοῦ ὤμου βαστάζοντα, οἱ κύνες καὶ τὰ ὄρνεα τὸ σῶμα αὐτοῦ κατέτεμνον, τοῦ κρέατος ἐφιέμενα. Οὕτως οὖν, ὑποστρέψαντος αὐτοῦ πρὸς τὸν γέροντα, καὶ τὸ ἑαυτοῦ σῶμα διεσπαραγμένον ἐπιδεικνύοντος, λέγει πρὸς αὐτὸν ὁ Ἀντώνιος· οὕτω καὶ οἱ ἀποταξάμενοι τῷ κόσμῳ καὶ θέλοντες ἔχειν χρήματα, ὑπὸ τῶν δαιμόνων κατακόπτονται πολεμούμενοι.

2. Ἔλεγεν ὁ Ἀββᾶς Ἰσίδωρος, ὅτι ὁ δεινὸς καὶ πάντολμος τῆς φιλοχρηματίας ἔρως, κόρον οὐκ εἰδώς, ἐπὶ τὸ ἔσχατον τῶν κακῶν τὴν ἁλοῦσαν ἐλαύνει ψυχήν· οὐκοῦν ἐν προοιμίοις μάλιστα αὐτὸν ἐλάσωμεν· κρατήσας γάρ, ἀχείρωτος ἔσται.

3. Ἄνθρωπός τις ἀποτάξασθαι θέλων, ἦλθε πρός τινα γέροντα μέγαν· καὶ εἶπεν αὐτῷ· θέλω Μοναχὸς γενέσθαι· ἀπεκρίθη ὁ γέρων· εἰ θέλεις, ὕπαγε, ἀπόταξαι καὶ ἐλθών, καθέζου εἰς τὸ κελλίον σου. Καὶ ἀπελθών, ἔδωκεν ἃ εἶχε, παρακατασχὼν ἑαυτῷ ἑκατὸν νομίσματα, καὶ ἦλθε πρὸς τὸν γέροντα· καὶ εἶπεν αὐτῷ ὁ γέρων· οὐ δύνῃ γενέσθαι μοναχός· ὁ δὲ ἔφη· ναί, δύναμαι· ἀπεκρίθη ὁ γέρων· ὕπαγε, κάθου εἰς τὸ κελλίον σου. Ἀπῆλθεν οὖν καὶ ἐκαθέσθη. Καθεζομένῳ δὲ αὐτῷ, εἶπον οἱ λογισμοί· ἡ θύρα παλαιά ἐστι, καὶ χρεία ἐστὶν ἀλλαγῆναι· καὶ ἐλθὼν λέγει τῷ γέροντι· Πάτερ, οἱ λογισμοὶ λέγουσί μοι ὅτι ἡ θύρα παλαιά ἐστι, καὶ ὀφείλει ἀλλαγῆναι· ἔφη αὐτῷ ὁ γέρων· οὐκ ἀπετάξω· ἀλλ' ὕπαγε ἀπόταξαι, καὶ τότε ἐλθὼν κάθου ὧδε.

Ὁ δὲ ἀπελθών, ἔδωκε τὰ ἐνενήκοντα νομίσματα· καὶ ὑποστρέψας λέγει τῷ γέροντι· ἰδοὺ ἀπεταξάμην· καὶ πάλιν ἐπιτρέψαντος τοῦ γέροντος, ἀπελθὼν ἐκαθέσθη ἐν τῷ κελλίῳ· καὶ ὡς ἐκαθέσθη, εἶπον αὐτῷ πάλιν οἱ λογισμοί· ὅλα παλαιά εἰσι τὰ ὧδε, ἔρημος δὲ καὶ ὁ τόπος, καὶ ὁ λέων ἔρχεται καὶ τρώγει με· καὶ ἀπελθὼν πρὸς τὸν γέροντα, λέγει αὐτῷ τοὺς λογισμούς. Ὁ δὲ γέρων ἔφη αὐτῷ· εἰπὲ σὺ τοῖς λογισμοῖς· ὅτι ἐγὼ προσδοκῶ ὅλα ἐλθεῖν ἐπάνω μου, ἤτοι καταπεσεῖν, καὶ τὸν λέοντα ἐλθεῖν καὶ φαγεῖν με, ἵνα τάχιον ἀπαλλαγῶ. Ταῦτα οὖν εἰπὲ τοῖς λογισμοῖς καὶ ὕπαγε κάθου εἰς τὸ κελλίον σου, καὶ εὔχου τῷ Θεῷ συνεχῶς, μηδὲν πτοούμενος ἢ μεριμνῶν· καὶ οὕτω ποιήσας ὁ ἀδελφὸς ἀνεπαύθη.

4. Νεώτερός τις ἐζήτει ἀποτάξασθαι· καὶ πολλάκις αὐτὸν ὁρμήσαντα, καὶ ἐξελθόντα τῆς πόλεως ἐπὶ τὸ ἀπελθεῖν εἰς Μοναστήριον, ἀνέτρεπον αὖθις οἱ λογισμοί, πράγμασί τισι καὶ μερίμναις τῷ δοκεῖν ἀναγκαίως συμπλέκοντες· ἦν γὰρ καὶ πλούσιος. Ἐν μιᾷ οὖν ὁρμήσαντι αὐτῷ ὁμοίως καὶ ἐξελθόντι, ὡς ἐκύκλουν αὖθις οἱ λογισμοί, πολὺν κονιορτὸν ἐπεγείροντες, καὶ ἀναγκαίας δή τινας προφάσεις προτείνοντες, ὅπως πάλιν αὐτὸν ἀποστρέψωσιν, ἐκεῖνος, ὡς ᾔσθετο τοῦ πολέμου καὶ τῆς βίας τῶν λογισμῶν, μὴ ἔχων ὅ,τι καὶ δράσοι, ἀποδυσάμενος ἀθρόως καὶ ἃ ἐφόρει ἱμάτια καὶ ῥίψας αὐτά, ἔτρεχε γυμνὸς εἰς ἓν τῶν Μοναστηρίων βουλόμενος ἀπελθεῖν. Τινὶ δὲ γέροντι εἰς ὃν καὶ τὴν ὁρμὴν ἐποιεῖτο ὁ νέος, ἀπεκάλυψεν ὁ Θεός, λέγων· ἀνάστα, δέξαι τὸν ἀθλητήν μου· ὁ δὲ γέρων ἀναστὰς ἐξῆλθε, καὶ ὑπήντησεν αὐτῷ· καὶ μαθὼν τὸ πρᾶ-

γμα ἐθαύμασε· καὶ δεξάμενος αὐτόν, παρευθὺς τοῦ σχήματος ἠξίωσεν. Ὅτε οὖν ἦλθόν τινες πρὸς τὸν γέροντα ἐρωτῆσαι περὶ λογισμῶν, εἰ μὲν περί τινων ἄλλων ἠρώτων, αὐτὸς ἀπεκρίνατο· εἰ δὲ περὶ ἀποταγῆς, πρὸς ἐκεῖνον αὐτοὺς παρέπεμπε λέγων· ἐρωτήσατε τὸν ἀδελφόν.

5. Ἦν τις Μοναχὸς ἀσθενῶν· προσελάβετο δὲ αὐτὸν πατὴρ Κοινοβίου, καὶ ἀνέπαυεν αὐτόν, ὡς ἅτε μὴ ἔχοντα τὰ πρὸς τὴν χρείαν· ἔλεγε δὲ τοῖς ὑπ᾿ αὐτὸν ἀδελφοῖς· βιάσασθε ἑαυτοὺς ὀλίγον ἵνα ἀναπαύσωμεν τὸν ἀσθενῆ. Ὁ δὲ ἀρρωστῶν εἶχε χύτραν πλήρη χρυσίου, καὶ ὀρύξας ὑποκάτωθεν τῆς στιβάδος ἐν ᾗ κατέκειτο, ἔκρυψεν αὐτήν. Οὐ μετὰ πολὺ οὖν συνέβη αὐτὸν ἀποθανεῖν· καὶ ἀποθνήσκων, οὐδὲν ὡμολόγησε περὶ τοῦ χρυσίου. Ὡς οὖν ἔθαψαν αὐτόν, εἶπεν ὁ Ἀββᾶς τοῖς Ἀδελφοῖς· ἄρατε τὴν στιβάδα ταύτην ἔνθεν· οἱ δὲ καταστρέψαντες αὐτήν, εὗρον ὑποκάτωθεν αὐτῆς τὸ χρυσίον κατωρωρυγμένον· ἐδηλοῦτο γὰρ ἐκ τοῦ κατὰ τὸν τόπον ὀρύγματος· καὶ ἤνεγκαν αὐτὸ πρὸς τὸν Ἀββᾶν· ὁ δὲ ἰδὼν τὸ χρυσίον καὶ μαθὼν πῶς εὑρέθη, εἶπεν· ἐπειδὴ οὔτε ζῶν οὔτε ἀποθνήσκων ἐκεῖνος περὶ αὐτοῦ ὡμολόγησεν, ἀλλὰ εἰς αὐτὸ τὴν ἐλπίδα εἶχεν, οὐχ ἅπτομαι αὐτοῦ· ἀλλ᾿ ὑπάγετε ὡς ἔστι θάψατε αὐτὸ εἰς τὸν τάφον· καὶ ὡς ὑπέστρεφον, εἶδον καὶ ἰδοὺ πῦρ κατῆλθεν ἐκ τοῦ οὐρανοῦ, καὶ ἔπεσεν ἐπὶ τὸ μνῆμα καὶ ἔμεινεν ἐπὶ πολλὰς ἡμέρας μὴ σβεσθέν, ἕως κατέφαγε καὶ τοὺς λίθους καὶ τὸν χοῦν, καὶ πάντα τὰ ἐν τῷ μνήματι· καὶ πάντες οἱ ὁρῶντες ἐξεπλήττοντο καὶ ἐθαύμαζον.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ, ἀπαρνηθεὶς τὸν κόσμον διὰ νὰ γίνῃ Μοναχός, διεμοίρασε τὰ ὑπάρχοντά του εἰς τοὺς πτωχούς, ἀφοῦ ἐκράτησεν ἐλάχιστα διὰ τὸν ἑαυτόν του. Οὗτος λοιπὸν ἐπεσκέφθη τὸν Ἀββᾶν Ἀντώνιον καὶ τὸν παρεκάλει νὰ τὸν κάμῃ Μοναχόν.

Μαθὼν ὅμως ὁ Ἅγιος Ἀντώνιος, ὅτι ὁ ὑποψήφιος αὐτὸς Μοναχὸς ἐκράτησε μερικὰ χρήματα ἀπὸ τὴν περιουσίαν του, τοῦ εἶπε:

—Ἐὰν θέλῃς νὰ γίνῃς Μοναχός, πήγαινε εἰς τὸ χωρίον ἐκεῖνο καὶ ἀγόρασε κρέας· μετά, ἀφοῦ ἀποβάλῃς τὰ ἐνδύματά σου, βάλε τὸ κρέας, ὡσὰν φόρεμα, εἰς τὸ γυμνόν σου σῶμα, καὶ ἔτσι νὰ ἔλθῃς ἐδῶ.

Πράγματι ὁ ἀδελφὸς ἔκαμεν, ὅπως τοῦ ὑπέδειξεν ὁ Μέγας Ἀντώνιος· καθὼς ὅμως ἐπέστρεφε γυμνωμένος καὶ βαστάζων ἐπάνω εἰς τὸν ὦμον του τὸ κρέας, τὰ σκυλιὰ καὶ τὰ ὄρνεα κατεξέσχιζαν τὸ σῶμα του, θέλοντα νὰ ἁρπάξουν τὸ κρέας. Εἰς αὐτὴν λοιπὸν τὴν κατάστασιν ἐγύρισε πρὸς τὸν Γέροντα καὶ τοῦ ἐδείκνυε τὸ καταξεσχισμένον ἀπὸ τὰ δαγκώματα καὶ τὰ τσιμπήματα σῶμα του. Μόλις τὸν εἶδεν ὁ Ἀββᾶς Ἀντώνιος τοῦ λέγει:

— Τὸ ἴδιον παθαίνουν καὶ ἐκεῖνοι, ποὺ ἐγκαταλείπουν τὸν κόσμον καὶ θέλουν νὰ ἔχουν χρήματα· οἱ δαίμονες τοὺς πολεμοῦν καὶ τοὺς κατακόπτουν.

2. Ὁ Ἀββᾶς Ἰσίδωρος ἔλεγεν ὅτι ὁ ἔρως τῆς φιλοχρηματίας εἶναι φοβερὸς καὶ ὅλα τὰ τολμᾷ, ποτὲ δὲν ἱκανοποιεῖται ἀπὸ ὅσα καὶ ἂν ἀποκτήσῃ καὶ ὁδηγεῖ τὴν κυριευθεῖσαν ὑπ᾿ αὐτοῦ ψυχὴν εἰς τὸ χειρότερον ἀπὸ

ὅλα τὰ κακά. Ἀπὸ τὴν ἀρχὴν λοιπὸν ἄς τὸν ἀποδιώξωμεν μὲ ὅλην μας τὴν δύναμιν, διότι ὅταν ἐπικρατήσῃ εἰς τὴν ψυχήν μας, καθίσταται ἀνυπότακτος πλέον.

3. Κάποτε ἕνας ἄνθρωπος ἤθελε νὰ ἐγκαταλείψῃ τὸν κόσμον καὶ νὰ γίνῃ Μοναχός. Ἐπεσκέφθη λοιπὸν ἕνα μεγάλον Γέροντα καὶ τοῦ εἶπε:

— Πάτερ μου, θέλω νὰ γίνω Μοναχός.

—Ἐὰν θέλῃς—τοῦ ἀπήντησεν ὁ Γέρων—πήγαινε πρῶτα νὰ ἀπαρνηθῇς ὅλα τὰ στοιχεῖα τοῦ κόσμου, καὶ ὅταν ἔλθῃς, κάθισε εἰς τὸ κελλίον σου καὶ ἡσύχαζε.

Πράγματι ὁ ὑποψήφιος Μοναχὸς μετέβη εἰς τὸ χωρίον του, διεμοίρασεν ὅλα ὅσα εἶχε καὶ ἀφοῦ ἐκράτησε διὰ τὸν ἑαυτόν του ἑκατὸν νομίσματα, ἦλθε πάλιν πρὸς τὸν Γέροντα. Ὁ Γέρων εἶπε:

— Πάτερ μου, θέλω νὰ γίνω Μοναχός.

— Ναί, Γέροντά μου, ἠμπορῶ νὰ γίνω, ἀπήντησε.

— Τότε πήγαινε καὶ κάθισε εἰς τὸ κελλίον σου, τὸν συνεβούλευσεν ὁ Ἀββᾶς.

Πράγματι ἐπῆγε καὶ ἐγκατεστάθη εἰς τὸ κελλίον του. Ἀφοῦ ἡσύχασε, μετ' ὀλίγας ἡμέρας τοῦ λέγουν οἱ λογισμοί του· ἡ θύρα τοῦ κελλίου εἶναι παλαιὰ καὶ πρέπει νὰ ἀλλαχθῇ. Ἦλθε λοιπὸν εἰς τὸν Γέροντα καὶ τοῦ λέγει:

— Πάτερ μου, οἱ λογισμοί μοῦ λέγουν, ὅτι ἡ θύρα τοῦ κελλίου μου εἶναι παλαιὰ καὶ πρέπει νὰ ἀλλαχθῇ.

Ὁ Γέρων τότε τοῦ ἀπαντᾷ:

— Δὲν ἀπηρνήθης ἀκόμη τὸν κόσμον· πήγαινε νὰ τὸν ἀρνηθῇς τελείως, καὶ τότε νὰ ἔλθῃς νὰ καθίσῃς ἐδῶ.

Ἀπῆλθεν ἐκ νέου ὁ ὑποψήφιος Μοναχὸς καὶ ἔδωσε τὰ ἐνενήντα νομίσματα, καὶ ἀφοῦ ἐπέστρεψε, λέγει εἰς τὸν Γέροντα:

—Ἰδοὺ τώρα, Γέροντά μου, ἠρνήθην τὸν κόσμον.

Ὁ Γέρων τοῦ ἔδωσε πάλιν τὴν ἄδειαν καὶ ὁ ἀδελφὸς μετέβη καὶ ἐκάθισεν εἰς τὸ κελλίον. Μόλις ὅμως ἐκάθισεν ἤρχισαν καὶ πάλιν οἱ λογισμοὶ νὰ τὸν πειράζουν καὶ νὰ τοῦ λέγουν. Ὅλα ἐδῶ εἶναι παλαιά· ὁ δὲ τόπος εἶναι ἔρημος καὶ θὰ ἔλθῃ ὁ λέων νὰ μὲ φάγῃ. Ἀμέσως πηγαίνει εἰς τὸν Γέροντα καὶ ἐξομολογεῖται τοὺς λογισμούς του. Τότε ὁ Γέρων τοῦ ἀπήντησε:

— Καὶ σύ, παιδί μου, νὰ εἰπῇς εἰς τοὺς λογισμούς σου· ὅλα περιμένω νὰ ἔλθουν ἐπάνω μου· δηλαδὴ καὶ τὸ κελλίον νὰ κρημνισθῇ, καὶ ὁ λέων νὰ ἔλθῃ νὰ μὲ φάγῃ, διὰ νὰ ἀπαλλαγῶ γρηγορώτερα ἀπὸ τὸν κόσμον αὐτόν. Αὐτὰ λοιπὸν νὰ εἴπῃς εἰς τοὺς λογισμούς σου καὶ πήγαινε νὰ καθίσῃς εἰς τὸ κελλίον σου, χωρὶς νὰ φοβᾶσαι ἢ νὰ φροντίζῃς διὰ τίποτε, ἀλλὰ μόνον νὰ προσεύχεσαι συνεχῶς εἰς τὸν Θεόν.

Πράγματι ὁ ἀδελφὸς ἠκολούθησε τὴν συμβουλὴν τοῦ Γέροντος καὶ ἡ ψυχή του ἀμέσως ἀνεπαύθη.

4. Ἕνας νεαρὸς ἐπεθύμει νὰ ἀρνηθῇ καὶ νὰ ἐγκαταλείψῃ τὸν κό-

σμον· καὶ πολλὰς φορὰς ἐξεκίνησε διὰ νὰ πραγματοποιήσῃ τὴν ἐπιθυμίαν του· μόλις ὅμως ἐξήρχετο ἐκ τῆς πόλεως, διὰ νὰ μεταβῇ εἰς τὸ Μοναστήριον, ἀνέτρεπτον πάλιν οἱ λογισμοὶ τὴν ἀπόφασίν του, ὑποβάλλοντες εἰς αὐτὸν ὅτι, δῆθεν, ἔπρεπε προηγουμένως νὰ τακτοποιήσῃ ὡρισμένα ἀναγκαῖα πράγματα· διότι ὁ νεαρὸς αὐτὸς ἦτο καὶ πλούσιος.

Μίαν ἡμέραν λοιπὸν ἐπεχείρησεν ἐκ νέου νὰ ἐκπληρώσῃ τὴν ἐπιθυμίαν του καὶ ἐξῆλθεν ἀποφασιστικῶς ἐκ τῆς πόλεως· ὡς συνήθως ὅμως τὸν ἐκύκλωσαν καὶ πάλιν οἱ λογισμοί, σκοτίζοντες τὸν νοῦν του μὲ πολλὰς σκέψεις, προκειμένου νὰ τὸν ἐμποδίσουν καὶ νὰ τὸν κάμουν νὰ γυρίσῃ ὀπίσω. Μόλις ὅμως ἐκεῖνος ἀντελήφθη τὸν πόλεμον καὶ τὴν βίαν τῶν λογισμῶν, μὴ δυνάμενος κατ' ἄλλον τρόπον νὰ ἀντιδράσῃ κατ' αὐτῶν, ἀρχίζει νὰ ἐκδύεται καὶ νὰ ἀπορρίπτῃ ἀπ' ἐπάνω του ὅλα του τὰ ἐνδύματα, ἔτρεχε δὲ γυμνὸς διὰ νὰ φθάσῃ σύντομα εἰς ἕνα Μοναστήριον.

Ὁ Θεὸς τότε ἀποκαλύπτει εἰς ἕνα Γέροντα, ὁ ὁποῖος ἐγνώριζε τὸν νέον καὶ πρὸς τὸν ὁποῖον μὲ ὁρμὴν κατηυθύνετο, τὴν πρόθεσιν τοῦ νέου καὶ τοῦ λέγει· «σήκω, νὰ ὑποδεχθῇς τὸν ἀθλητήν μου». Πράγματι ὁ Γέρων ἐβγῆκεν ἀπὸ τὸ κελλί του, διὰ νὰ προϋπαντήσῃ τὸν νέον. Ὅταν δὲ ἔμαθεν ὁλόκληρον τὴν ὑπόθεσιν ἐθαύμασε, ὑπεδέχθη μὲ καλωσύνην τὸν νικητὴν καὶ ἀμέσως τὸν ἠξίωσε τοῦ Μοναχικοῦ σχήματος. Μετὰ ταῦτα ὁσάκις οἱ Μοναχοὶ ἐπεσκέπτοντο τὸν Γέροντα, διὰ νὰ τὸν ἐρωτήσουν διὰ τοὺς λογισμούς των, ἐὰν μὲν οἱ λογισμοὶ ἀνεφέροντο εἰς ἄλλα ζητήματα, τοὺς ἀπήντα ἀναλόγως· ἐὰν δὲ ἀνεφέροντο εἰς ζητήματα ἀποταγῆς τοῦ κόσμου τοὺς παρέπεμπε πρὸς τὸν ὑποτακτικόν του καὶ τοὺς ἔλεγε· τὸν ἀδελφὸν νὰ ἐρωτήσετε διὰ τὰ ζητήματα αὐτά.

5. Κάποτε ἕνας Μοναχὸς ἠσθένησε· τὸν παρέλαβε δὲ ὁ Ἡγούμενος ἑνὸς γειτονικοῦ Κοινοβίου, καὶ τὸν ἐπεριποιεῖτο, ἐπειδὴ ὁ ἄρρωστος δὲν εἶχεν οὔτε καὶ τὰ στοιχειώδη μέσα διὰ τὰς ἀνάγκας του. Ἔλεγε δὲ ὁ Ἡγούμενος πρὸς τοὺς ὑποτακτικούς του· «κουρασθῆτε ὀλίγον, διὰ νὰ περιποιηθῶμεν τὸν ἀσθενῆ». Ὁ ἄρρωστος εἶχε μίαν χύτραν γεμάτην ἀπὸ χρυσᾶ νομίσματα· ἔσκαψε λοιπὸν ἕνα λάκκον κάτω ἀπὸ τὸ ἀχυρόστρωμα, εἰς τὸ ὁποῖον ἦτο ἐξηπλωμένος, καὶ ἔκρυψεν ἐκεῖ τὴν χύτραν. Μετ' ὀλίγον ἀπέθανε, χωρὶς νὰ εἴπῃ, κατὰ τὰς τελευταίας του στιγμάς, τίποτε διὰ τὸν κρυμμένον θησαυρόν.

Μόλις τὸν ἔθαψαν, εἶπεν ὁ Ἡγούμενος εἰς τοὺς Μοναχούς:

— Πάρετε τώρα ἀπ' ἐδῶ τὸ ἀχυρόστρωμα αὐτό.

Καθὼς ὅμως οἱ Μοναχοὶ ἐσυμμάζευαν τὸ στρῶμα, εὗρον τὴν χύτραν μὲ τὰ χρυσᾶ νομίσματα, ποὺ ἦσαν θαμμένα ἐκεῖ. Διότι τὸ πρᾶγμα ἔγινε φανερὸν ἀπὸ τὸν λάκκον ποὺ ὑπῆρχεν ἐκεῖ. Κατάπληκτοι δὲ τὰ ἔφεραν εἰς τὸν Ἡγούμενον.

Ὅταν ὁ Ἡγούμενος εἶδε τὸν μικρὸν ἐκεῖνον θησαυρὸν καὶ ἔμαθε πῶς εὑρέθη, εἶπεν εἰς τοὺς Μοναχούς του:

—Ἐπειδὴ ὁ Μοναχὸς αὐτὸς οὔτε ἐφ' ὅσον ἔζη, οὔτε ὅταν ἀπέθνησκεν, ὡμολόγησε τίποτε διὰ τὸ χρυσίον αὐτό, ἀλλ' εἰς αὐτὸ ἐστήριξεν ὅλας

του τὰς ἐλπίδας, ἐγὼ δὲν τὸ ἐγγίζω καθόλου· πάρετέ το, ὅπως εἶναι, καὶ θάψατέ το εἰς τὸν τάφον, μαζὶ μὲ τὸν νεκρόν.

Οἱ Μοναχοὶ ἐξετέλεσαν τὴν ἐντολὴν τοῦ Ἡγουμένου καὶ καθὼς ἐγύριζαν ἀπὸ τὸν τάφον, εἶδον ὅτι ἐπάνω εἰς τὸ μνῆμα ἔπεσε φωτιὰ ἀπὸ τὸν οὐρανόν, ἡ ὁποία διετηρήθη πολλὰς ἡμέρας, χωρὶς νὰ σβύσῃ, μέχρις ὅτου κατέφαγε καὶ τοὺς λίθους ἀκόμη, καὶ τὸ χῶμα τοῦ τάφου καὶ ὅλα, ὅσα εὑρίσκοντο μέσα εἰς τὸ μνῆμα.

Ὅσοι εἶδον αὐτὸ τὸ φοβερὸν θέαμα ἐξεπλήσσοντο καὶ ἐθαύμαζον.





ΥΠΟΘΕΣΙΣ ΙΗ΄

Περὶ τοῦ ὅτι δεῖ τὸν σωθῆναι βουλόμενον τὰς τῶν ἐναρέτων συντυχίας μεταδιώκειν ὡς πάνυ ὠφελίμους, ἐπερωτᾶν τε αὐτοὺς καὶ μανθάνειν παρ' αὐτῶν τὰ σωτήρια, μετ' ἐπιθυμίας σφοδρᾶς καὶ πόθου ζέοντος.

Πρέπει ἐκεῖνος, ὁ ὁποῖος θέλει νὰ σωθῇ, νὰ ἐπιδιώκῃ τὴν συναναστροφὴν τῶν ἐναρέτων ἀνθρώπων, ὡς πάρα πολὺ ὠφέλιμον, νὰ τοὺς ἐρωτᾷ, μετὰ σφοδρᾶς ἐπιθυμίας καὶ πόθου φλογεροῦ, διὰ νὰ μανθάνῃ ἀπὸ αὐτοὺς ὅσα εἶναι ἀπαραίτητα διὰ τὴν ψυχικὴν σωτηρίαν.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΙΠΕΝ Ο ΑΒΒΑΣ Παλλάδιος· δεῖ τὴν κατὰ Θεὸν ἀσκουμένην ψυχὴν ἢ μανθάνειν πιστῶς ἃ οὐκ οἶδεν, ἢ διδάσκειν σαφῶς ἃ ἔγνω· εἰ δὲ ὁπότερον μὴ βούληται, μανίαν νοσεῖ· ἀρχὴ γὰρ ἀποστασίας, ἀδιδασκαλίας λόγος καὶ ἀνορεξία λόγου, ὃν ἀεὶ πεινᾷ ἡ ψυχὴ τοῦ φιλοθέου.

2. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· Ἀββᾶ, ἰδοὺ παρακαλῶ τοὺς γέροντας καὶ λέγουσί μοι περὶ τῆς ψυχῆς μου, καὶ οὐδὲν κατέχω ἐκ τῶν λόγων αὐτῶν· τί οὖν καὶ παρακαλῶ αὐτούς, μηδὲν ποιῶν; ὅλος γάρ εἰμι ἀκαθαρσία. Ἦσαν δὲ ἐκεῖ ἀγγεῖα δύο κοῦφα· καὶ λέγει αὐτῷ ὁ γέρων· ὕ π α γ ε, φ έ ρ ε ἓ ν τ ῶ ν ἀ γ γ ε ί ω ν κ α ὶ β α λ ὼ ν ἔ λ α ι ο ν, π λ ύ ν ο ν α ὐ τ ὸ καὶ μετάβαλε, καὶ θὲς εἰς τὸν τόπον αὐτοῦ. Ἐποίησεν οὖν ὁ ἀδελφὸς οὕτως ἅπαξ καὶ δίς· καὶ κενώσας τὸ ἔλαιον, ἔθηκε τὸ ἀγγεῖον ὅπου ἦν τὸ πρότερον. Εἶτα λέγει αὐτῷ ὁ γέρων· φέρε ἄρτι τὰ δύο ὁμοῦ καὶ ἴδε ποῖον καθαρώτερόν ἐστι· λέγει ὁ ἀδελφός· εἰς ὅπερ τὸ ἔλαιον ἔβαλον· ἀπεκρίθη ὁ γέρων· οὕτως ἐστὶν ἡ ψυχή· καὶ γὰρ εἰ καὶ οὐδὲν κατέχει ἐξ ὧν ἐρωτᾷ, ὅπερ οὐκ οἶμαι, ὅμως πλέον καθαρίζεται τοῦ μὴ ἐρωτῶντος ὅλως.

3. Εἶπεν ὁ Ἀββᾶς Παλλάδιος· ὑπὲρ θυρίδα φωτεινήν, δεῖ μεταδιώκειν τὰς τῶν ὁσίων ἀνδρῶν συντυχίας, ἵνα διὰ τούτων καθάπερ λεπτόγραφον βιβλίον δυνηθῇ

τις ἰδεῖν καὶ τὴν ἑαυτοῦ καρδίαν, καὶ διὰ τῆς ἀντιπαραθέσεως τὴν ραθυμίαν ἢ τὴν ἐπιμέλειαν ἑαυτοῦ ἐπιγνῷ· πολλὰ γάρ ἐστι καὶ τῶν φαινομένων παρὰ τοῖς ἐναρέτοις, τὰ μαρτυροῦντα τῇ τῆς ψυχῆς καθαρότητι, ἥ τε χροιὰ τῶν προσώπων ἡ ἐπανθοῦσα τῇ πολιτείᾳ· καὶ ὁ στολισμὸς τῆς ἐσθῆτος· καὶ τὸ τοῦ ἤθους ἀπέρπερον· καὶ τὸ ἐν λόγοις ἄτυφον· καὶ τὸ τῶν λέξεων ἀπερίεργον· καὶ τὸ τῶν νοημάτων συνετόν· καὶ ἡ τῶν τρόπων εὐλάβεια, ἃ τοὺς προσέχοντας τὰ μέγιστα ὠφελεῖ καὶ ταῖς ψυχαῖς αὐτῶν τύπους ἀρετῆς ἀναλλοιώτους ἐντίθησιν.

4. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· καλὸν τὸ παραβάλλειν γέρουσιν ἢ τὸ ἡσυχάζειν; καὶ ἀπεκρίθη ὁ γέρων· τὸ παραβάλλειν τοῖς γέρουσιν ἦν ὁ κανὼν τῶν ἀρχαίων Πατέρων.

5. Ἦλθέ ποτε ἀδελφὸς πρὸς τὸν ἀββᾶν Ἰωάννην τὸν Κολοβὸν ὀψὲ καὶ ἐσπούδαζεν ἀπελθεῖν. Ἀρξαμένου δὲ αὐτοῦ λαλεῖν μετὰ τοῦ γέροντος περὶ ὠφελείας, γέγονε πρωΐ, καὶ οὐκ ἔγνωσαν· καὶ ἐξῆλθεν ὁ γέρων προπέμπων αὐτόν· καὶ ἔμειναν λαλοῦντες ἕως ἕκτης ὥρας· καὶ εἰσήνεγκεν αὐτὸν ὁ γέρων· καὶ γευσάμενος, οὕτως ἀπῆλθε.

6. Διηγήσατο ὁ Ἀββᾶς Κασσιανὸς περὶ γέροντος ἐν ἐρήμῳ καθεζομένου, ὅτι παρεκάλεσε τὸν Θεὸν χαρίσασθαι αὐτῷ ὥς τε μηδέποτε νυστάξαι αὐτὸν κινουμένης ὁμιλίας πνευματικῆς· εἰ δέ τις καταλαλιᾶς ἢ ἀργολογίας λόγους ἐπιφέρει, εἰς ὕπνον καταφέρεσθαι, ἵνα μὴ ἰοῦ τοιούτου γεύσωνται αἱ ἀκοαὶ αὐτοῦ καὶ ὃ ἐζήτει, δέδωκεν αὐτῷ ὁ Θεός. Ἔλεγεν οὖν οὗτος τὸν διάβολον σπουδαστὴν εἶναι τῆς ἀργολογίας, πολέμιον δὲ πάσης διδασκαλίας πνευματικῆς· καὶ τοιούτῳ ὑποδείγματι ἐπιστοῦτο τὸν λόγον εἰπών.

Ποτὲ λαλοῦντός μου περὶ ὠφελείας πρός τινας ἀδελφούς, τοσούτῳ ὕπνου βάρει κατεσχέθησαν, ὡς μηδὲ τὰ βλέφαρα αὐτῶν κινεῖν δύνασθαι. Εἶτα θέλων ἐγὼ δεῖξαι τοῦ δαίμονος τὴν ἐνέργειαν φανεράν, λόγον ἀργολογίας παρεισήνεγκα· ἐφ' ᾧ χαρέντες, παραχρῆμα ἀνένηψαν· στενάξας δὲ εἶπον· ἰδοὺ μέχρι μὲν περὶ οὐρανίων πραγμάτων, ἀδελφοί, διελεγόμεθα, πάντων ὑμῶν οἱ ὀφθαλμοὶ τῷ ὕπνῳ κατείχοντο· ἡνίκα δὲ λόγος ἀργὸς ἐρρύη, πάντες μετὰ προθυμίας διανέστητε· παρακαλῶ οὖν, ἀδελφοί, ἐπίγνωτε τοῦ πονηροῦ δαίμονος τὴν ἐνέργειαν καὶ ἑαυτοῖς προσέχετε, φυλαττόμενοι τὸν νυσταγμόν, ἡνίκα τι ποιεῖτε πνευματικὸν ἢ ἀκούετε.

7. Ἀπῆλθέ ποτε ὁ Ἀββᾶς Ποιμήν, ὅτε ἦν νεώτερος, πρός τινα γέροντα, ἐρωτῆσαι αὐτὸν τρεῖς λογισμούς. Ὡς οὖν ἦλθε πρὸς τὸν γέροντα, ἐπελάθετο τοῦ ἑνός, καὶ ἠρώτησε περὶ τῶν δύο· καὶ ἀκούσας τὸν λόγον, ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ· καὶ ὡς ἔθηκε τὴν χεῖρα ἀνοῖξαι τὸ κλειδίον, ἀνεμνήσθη τοῦ λογισμοῦ οὗ ἐπελάθετο· καὶ ἀφῆκε τὸ κλειδίον καὶ ἀνέκαμψε πρὸς τὸν γέροντα. Ἰδὼν δὲ αὐτὸν ὁ γέρων λέγει· ἐτάχυνας τοῦ ἐλθεῖν, ἀδελφέ· ὁ δὲ διηγήσατο αὐτῷ εἰπών, ὅτι ὅτε ἔθηκα τὴν χεῖρά μου λαβεῖν τὸ κλειδίον, ἐμνήσθην τοῦ λογισμοῦ ὃν ἐζήτουν· καὶ οὐκ ἤνοιξα, ἀλλ εὐθέως ἀνέκαμψα· ἦν δὲ τὸ μῆκος τῆς ὁδοῦ πολὺ σφόδρα. Εἶπε δὲ αὐτῷ ὁ γέρων· Ποιμὴν Ἀγγέλων ποιμήν· καὶ λαληθήσεταί σου τὸ ὄνομα ἐν πάσῃ γῇ Αἰγύπτου.

8. Τρεῖς τῶν Πατέρων εἶχον ἔθος κατ' ἐνιαυτὸν ὑπάγειν πρὸς τὸν μακάριον Ἀντώνιον· καὶ οἱ μὲν δύο ἠρώτων αὐτὸν περὶ λογισμῶν καὶ σωτηρίας ψυχῆς, ὁ δὲ εἷς ἐσιώπα πάντοτε, μηδὲν ἐρωτῶν. Πολλάκις οὖν ἐλθόντων, καὶ οὕτω τοῦ ἀδελφοῦ ἐκεί-

νου σιωπῶντος καὶ μηδὲν ἐρωτῶντος, λέγει αὐτῷ ὁ ἀββᾶς Ἀντώνιος· ἰδοὺ τοσοῦτον χρόνον ἔχεις ἐρχόμενος ὧδε, καὶ οὐδὲν ἐρωτᾷς με; ἐκεῖνος δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· ἀρκεῖ μοι μόνον τὸ βλέπειν σε, πάτερ.

9. Ἔλεγεν ὁ Ἀββᾶς Παφνούτιος, ὅτι εἰς πάσας τὰς ἡμέρας τῆς ζωῆς τῶν γερόντων, δὶς τὸν μῆνα παρέβαλλον αὐτοῖς, ἔχων τὸ κελλίον διιστάμενον ἀπ' αὐτῶν μίλια δώδεκα· καὶ πάντα λογισμὸν ἔλεγον αὐτοῖς· καὶ οὐδέν μοι ἕτερον ἔλεγον, ἢ τοῦτο· ὅτι εἰς ὃν τόπον ἀπέλθῃς, μὴ μέτρει σεαυτόν· καὶ ἔσει ἀναπαυόμενος.

10. Διηγήσαντο περί τινος γέροντος, ὅτι ἐποίησεν ἑβδομήκοντα ἑβδομάδας, ἅπαξ τῆς ἑβδομάδος ἐσθίων· ᾐτεῖτο δὲ περί τινος ῥήματος τῆς γραφῆς, καὶ οὐκ ἀπεκάλυψεν αὐτῷ ὁ Θεός· λέγει οὖν ἐν ἑαυτῷ· ἰδοὺ τοσούτους καμάτους ἐποίησα, καὶ οὐδὲν ἤνυσα· ὑπάγω οὖν πρὸς τὸν ἀδελφόν μου καὶ ἐρωτήσω αὐτόν. Καὶ ὡς ἔκλεισε τὴν θύραν αὐτοῦ ἀπελθεῖν, ἀπεστάλη αὐτῷ Ἄγγελος Κυρίου λέγων· αἱ ἑβδομήκοντα ἑβδομάδες ἃς ἐνήστευσας, οὐκ ἤγγισαν πρὸς τὸν Θεόν· ὅτε δὲ ἐταπείνωσας σεαυτὸν ἐξελθεῖν πρὸς τὸν ἀδελφόν σου, ἀπεστάλην τοῦ ἀναγγεῖλαί σοι τὸν λόγον· καὶ πληροφορήσας αὐτὸν περὶ οὗ ἐζήτει λόγου, ἀπῆλθεν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Παλλάδιος εἶπεν: Ἡ ψυχή, ἡ ὁποία ἀσκεῖται κατὰ Θεόν, πρέπει ἢ νὰ μανθάνῃ μὲ εἰλικρίνειαν ὅσα δὲν γνωρίζει, ἢ νὰ διδάσκῃ μὲ σαφήνειαν ὅσα ἔμαθεν. Ἐὰν δὲ δὲν θέλῃ νὰ κάμῃ τίποτε ἀπὸ τὰ δύο, τότε κατέχεται ἀπὸ μανίαν· διότι ἡ ἀρχὴ τῆς ἀποστασίας εὑρίσκεται εἰς τὴν σιγὴν τοῦ διδακτικοῦ λόγου καὶ εἰς τὴν ἔλλειψιν ἐπιθυμίας πρὸς διδασκαλίαν, ἐπειδὴ ἡ φιλόθεος ψυχὴ πεινᾷ πάντοτε λόγον Θεοῦ.

2. Ἕνας ἀδελφὸς ἠρώτησε Γέροντα:

—Ἀββᾶ, παρακαλῶ τοὺς Γέροντας καὶ μὲ διδάσκουν περὶ τῆς ψυχῆς μου· τίποτε ὅμως δὲν ἐφαρμόζω ἀπὸ τοὺς λόγους των· πρὸς τί λοιπὸν νὰ τοὺς παρακαλῶ, ἐφ' ὅσον δὲν κάνω τίποτε; Εἶμαι ὅλος ἀκάθαρτος.

Ἐκεῖ δὲ πλησίον ἦσαν δύο κενὰ δοχεῖα. Ἀφοῦ ἤκουσεν ὁ Γέροντας τὸν Μοναχόν, τοῦ λέγει:

— Πήγαινε, φέρε ἕνα ἀπὸ αὐτὰ τὰ ἀγγεῖα καὶ βάλε λάδι, ὕστερα πλύνε το, ἀναποδογύρισέ το καὶ βάλε το πάλιν εἰς τὴν θέσιν του.

Ὁ ἀδελφός, πράγματι, ἔκαμεν αὐτό, ποὺ τοῦ ὑπέδειξεν ὁ Γέρων καὶ πρώτην καὶ δευτέραν φοράν· ἀφοῦ δὲ ἐκένωσε τὸ ἀγγεῖον ἀπὸ τὸ λάδι, τὸ ἔβαλε καὶ πάλιν ἐκεῖ, ὅπου ἦτο προηγουμένως. Μετὰ ταῦτα τοῦ λέγει πάλιν ὁ Γέρων:

— Φέρε τώρα καὶ τὰ δύο μαζὶ καὶ πρόσεξε νὰ ἴδῃς ποῖον εἶναι τὸ καθαρώτερον.

Ὁ ἀδελφός, ἀφοῦ ἐξήτασεν, εἶπεν:

—Ἐκεῖνο, εἰς τὸ ὁποῖον προηγουμένως ἔβαλα τὸ ἔλαιον.

Τότε, ἐν συμπεράσματι, τοῦ ἀπαντᾷ ὁ Γέρων:

—Ἔτσι συμβαίνει καὶ μὲ τὴν ψυχήν· καὶ ἐὰν ἀκόμη τίποτε δὲν συγκρατῇ καὶ δὲν ἐννοῇ ἐξ ὅσων ἐρωτᾷ, πρᾶγμα τὸ ὁποῖον δὲν πιστεύω,

πάντως καθαρίζεται περισσότερον, ἀπὸ ἐκεῖνον ποὺ καθόλου δὲν ἐρωτᾷ.

3. Ὁ Ἀββᾶς Παλλάδιος εἶπεν· ὁ ἄνθρωπος πρέπει, περισσότερον καὶ ἀπὸ τὸ φωτεινὸν παράθυρον, νὰ ἐπιδιώκῃ τὰς συναναστροφὰς ὁσίων ἀνδρῶν, διὰ νὰ δυνηθῇ νὰ ἴδῃ τὴν καρδίαν του, ὡς νὰ ἀναγιγνώσκῃ καθαρογραμμένον βιβλίον, καὶ νὰ ἀντιληφθῇ, τοιουτοτρόπως, τὴν ὀκνηρίαν ἢ ἐπιμέλειαν διὰ τῆς συγκρίσεως τῆς ζωῆς του πρὸς τὴν ζωὴν ἐκείνων. Διότι ἀρκεταὶ εἶναι αἱ ἐκδηλώσεις τῶν ἐναρέτων, ποὺ μαρτυροῦν τὴν καθαρότητα τῆς ψυχῆς των, ὅπως τὸ χρῶμα, ποὺ σκορπίζει εἰς τὸ πρόσωπον ἡ κατὰ Θεὸν πολιτεία· καὶ ὁ στολισμὸς τοῦ φορέματος· καὶ ἡ ἁπλότης τοῦ χαρακτῆρος· καὶ τὸ ταπεινὸν κατὰ τὰς συζητήσεις· καὶ ἡ ἔλλειψις φιλοπεριέργου διαθέσεως ἀπὸ τὰς λέξεις· καὶ ἡ σύνεσις τῶν νοημάτων· καὶ ἡ εὐλάβεια τῶν τρόπων, ὅλα αὐτὰ ὠφελοῦν πάρα πολὺ αὐτούς, ποὺ τὰ προσέχουν, καὶ ἐγχαράσσουν εἰς τὰς ψυχάς των ἀναλλοίωτα πρότυπα ἀρετῆς.

4. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

— Πάτερ μου, τί εἶναι προτιμότερον· νὰ ἐπισκέπτεται κανεὶς τοὺς Γέροντας ἢ νὰ ἡσυχάζῃ εἰς τὸ κελλί του;

—Ἡ ἐπίσκεψις πρὸς τοὺς Γέροντας—ἀπήντησεν ἐκεῖνος—ἦτο ὁ κανὼν τῶν ἀρχαίων Πατέρων.

5. Κάποτε ἕνας ἀδελφὸς ἐπεσκέφθη, ἀργὰ τὸ ἀπόγευμα, τὸν Ἀββᾶν Ἰωάννην τὸν Κολοβόν, καὶ ἐβιάζετο νὰ φύγῃ. Ὅταν ὅμως ἤρχισε νὰ ὁμιλῇ μὲ τὸν Γέροντα περὶ ψυχικῆς ὠφελείας, τόσον πολὺ ἀπερροφήθη, ὥστε ἐπέρασεν ὅλη ἡ νύκτα καὶ ἐξημέρωσε, χωρὶς νὰ τὸ ἀντιληφθοῦν. Ὁ Ἀββᾶς Ἰωάννης ἐβγῆκε μὲ τὸν ἐπισκέπτην του, διὰ νὰ τὸν κατευοδώσῃ καὶ παρέμειναν, καὶ πάλιν, συνομιλοῦντες μέχρι τῆς ἕκτης ὥρας,* ὁπόταν ὁ Γέρων ὡδήγησεν ἐκ νέου τὸν ἀδελφὸν εἰς τὸ κελλί του, καὶ ἀφοῦ ἐγευμάτισε, τότε μόνον ἀνεχώρησεν.

6. Ὁ Ἀββᾶς Κασσιανὸς διηγήθη τὴν ἀκόλουθον ἱστορίαν. Κάποτε ἕνας Γέρων ἐμόναζεν εἰς τὴν ἔρημον καὶ παρεκάλεσε τὸν Θεὸν νὰ τοῦ δώσῃ τὸ ἑξῆς χάρισμα· ὅταν διεξάγεται πνευματικὴ καὶ ψυχωφελὴς συζήτησις, ποτὲ νὰ μὴ νυστάζῃ· ὅταν ὅμως κάποιος λέγῃ ἀργολογίας ἢ συκοφαντίας, νὰ τοῦ ἔρχεται βαθὺς ὕπνος, διὰ νὰ μὴ δοκιμάσῃ ἡ ἀκοή του τὸ ἐκ τῶν λόγων αὐτῶν δηλητήριον. Πράγματι, αὐτὸ ποὺ ἐζήτησε, τοῦ τὸ ἔδωσεν ὁ Θεός. Ἔλεγε λοιπόν, αὐτὸς ὁ ἐνάρετος Γέρων, ὅτι ὁ διάβολος εἶναι τεχνίτης τῆς ἀργολογίας καὶ ἐχθρὸς κάθε πνευματικῆς διδασκαλίας. Ἐβεβαίωνε δὲ τὴν ἄποψίν του αὐτὴν μὲ τὸ ἑξῆς παράδειγμα.

Μίαν φορὰν ὡμίλουν πρὸς ἀδελφούς, ποὺ μὲ ἐπεσκέφθησαν, περὶ διαφόρων ψυχωφελῶν πνευματικῶν ζητημάτων· οἱ ἀκροαταί μου τόσον πολὺ ἐνύσταξαν, ὥστε οὔτε τὰ βλέφαρά των δὲν ἠδύναντο νὰ κινοῦν. Ὅταν εἶδον αὐτὴν τὴν βαρεῖαν ὑπνηλίαν, καὶ ἐπιθυμῶν νὰ δείξω, ὅτι αὐτὸ ἦτο ὁλοφάνερη ἐνέργεια τοῦ δαίμονος, ἤρχισα νὰ συζητῶ διαφόρους ἀργολο-

* Δωδεκάτη ὥρα κατὰ τὸ βυζαντινὸν ὡρολόγιον εἶναι πάντοτε ἡ ὥρα τῆς δύσεως τοῦ ἡλίου, ἡ δὲ ἕκτη ἓξ ὥρας πρὸ ταύτης ἤτοι ἡ μεσημβρία.

γίας· μόλις οἱ συνομιληταί μου ἤκουσαν τὴν ἀργολογίαν ἐξενύσταξαν ἀμέσως καὶ χαρούμενοι ἤρχισαν νὰ μὲ παρακολουθοῦν. Τότε ἀνεστέναξα — συνέχισεν ὁ Γέρων — καὶ εἶπον πρὸς τοὺς συνομιλητάς μου· ἀδελφοί μου, ὅταν ἐσυζητούσαμεν δι' οὐράνια πράγματα, τὰ μάτια σας κατεκυριεύοντο ἀπὸ τὸν ὕπνον· ὅταν ὅμως ἦλθεν εἰς τὸ μέσον λόγος ἀνωφελὴς καὶ μάταιος, ὅλοι μετὰ προθυμίας ἐξενυστάξατε. Σᾶς παρακαλῶ λοιπόν, ἀδελφοί μου, νὰ ἀντιληφθῆτε καλῶς τὴν ἐνέργειαν τοῦ πονηροῦ δαίμονος καὶ νὰ προσέχετε τὸν ἑαυτόν σας, προφυλασσόμενοι ἀπὸ τὸν νυσταγμόν, ὁσάκις πράττετε ἢ ἀκούετε κάτι τὸ πνευματικόν.

7. Κάποτε ὁ 'Αββᾶς Ποιμήν, ὅταν ἦτο νεώτερος, μετέβη εἰς ἕνα Γέροντα, διὰ νὰ τὸν ἐρωτήσῃ περὶ τριῶν λογισμῶν. Καθὼς λοιπὸν ἦλθεν εἰς τὸν Γέροντα, ἐλησμόνησε τὸν ἕνα καὶ ἠρώτησε μόνον διὰ τοὺς δύο· ἀφοῦ δὲ ἤκουσε τὰς καταλλήλους συμβουλάς, ἐγύρισεν εἰς τὸ κελλίον του. Μόλις ὅμως ἔβαλε τὸ χέρι του εἰς τὸ κλειδί, διὰ νὰ ἀνοίξῃ, ἐνεθυμήθη τὸν λογισμόν, ποὺ εἶχε λησμονήσει καὶ ἐπανῆλθε πάλιν ὀπίσω εἰς τὸν Γέροντα. Ὅταν τὸν εἶδεν ὁ Γέρων τοῦ εἶπε κάπως κατάπληκτος· ἀδελφέ μου, γρήγορα ἐπανῆλθες. Τότε ἐκεῖνος διηγήθη εἰς τὸν Γέροντα, ὅτι μόλις ἔλαβον τὸ κλειδί, διὰ νὰ ἀνοίξω τὴν θύραν τοῦ κελλίου μου, ἐνεθυμήθην τὸν λογισμόν, τὸν ὁποῖον ἀνεζήτουν καὶ χωρὶς νὰ ἀνοίξω τὸ κελλί μου, ἦλθον ἀμέσως ἐδῶ. Ἦτο δὲ ἡ ἀπόστασις μεγάλη. 'Ο Γέρων τοῦ εἶπε· Ποιμήν, 'Αγγέλων Ποιμήν· τὸ ὄνομά σου θὰ διαλαληθῇ εἰς ὅλην τὴν Αἴγυπτον.

8. Τρεῖς Πατέρες εἶχον συνήθειαν κάθε χρόνον νὰ πηγαίνουν πρὸς τὸν μακάριον 'Αντώνιον· καὶ ἀπὸ αὐτοὺς οἱ μὲν δύο ἠρώτων τὸν μέγαν 'Αντώνιον περὶ τῶν διαφόρων λογισμῶν καὶ περὶ τοῦ πῶς θὰ ἐπιτύχουν τὴν σωτηρίαν τῆς ψυχῆς των, ἐνῷ ὁ τρίτος ἐσιώπα, χωρὶς νὰ ἐρωτᾷ τίποτε. 'Αφοῦ, λοιπόν, ἐπεσκέφθησαν πολλὰς φορὰς τὸν μέγαν 'Αντώνιον, κατὰ τὰς ὁποίας ἐκεῖνος ὁ ἀδελφὸς διαρκῶς ἐσιώπα καὶ τίποτε δὲν ἠρώτησε, λέγει πρὸς αὐτὸν μίαν ἡμέραν ὁ Ἅγιος 'Αντώνιος:

— Τόσον καιρὸν ἔρχεσαι ἐδῶ· διατί δὲν μὲ ἐρωτᾷς τίποτε;

— Μοῦ εἶναι ἀρκετόν, τὸ ὅτι σὲ βλέπω, πάτερ μου· ἀπήντησεν ὁ σιωπηλὸς ἀδελφός.

9. 'Ο 'Αββᾶς Παφνούτιος ἔλεγεν, ὅτι ἐφ' ὅσον ἔζων οἱ Γέροντες, τοὺς ἐπεσκέπτετο δύο φορὰς τὸν μῆνα· τὸ κελλί του ἀπεῖχεν ἀπὸ αὐτοὺς δώδεκα μίλια. Κατὰ τὰς ἐπισκέψεις αὐτάς, τοὺς ἐξωμολογεῖτο τοὺς λογισμούς του. 'Εκεῖνοι δὲ μοῦ ἔλεγον εἰς ἀπάντησιν συνεχῶς τὸ ἴδιον πρᾶγμα:

— Ὅπου καὶ ἂν μεταβῇς, Παφνούτιε, νὰ μὴ λογαριάζῃς τὸν ἑαυτόν σου καὶ θὰ εἶσαι ἀναπαυμένος.

10. Διηγήθησαν δι' ἕνα Γέροντα ὅτι ἐπὶ ἑβδομῆντα ἑβδομάδας ἔτρωγε μόνον μίαν φορὰν τὴν ἑβδομάδα. Κατὰ τὸ διάστημα αὐτὸ παρεκάλει τὸν Θεὸν νὰ τοῦ φανερώσῃ τὴν σημασίαν μιᾶς φράσεως ἀπὸ τὴν 'Αγίαν Γραφήν, ἀλλ' ὁ Θεὸς δὲν τοῦ τὴν ἀπεκάλυψεν. Εἶπε λοιπὸν πρὸς τὸν ἑαυτόν του· τόσους κόπους ἔκανα καὶ τίποτε δὲν κατώρθωσα· θὰ ὑπάγω πρὸς τὸν ἀδελφόν μου καὶ θὰ τὸν ἐρωτήσω. Καθὼς δὲ ἔκλειε τὴν θύραν


Ο ΑΓΙΟΣ
ΜΑΡΚΟΣ
ο ασκητής
ΧΕΙΡ
ΔΗΜ. Γ. ΡΙΤΣΟΣ

τοῦ κελλίου του, διὰ νὰ μεταβῇ εἰς τὸν ἀδελφόν, ἀπεστάλη πρὸς αὐτὸν Ἄγγελος Κυρίου καὶ τοῦ εἶπε:

— Αἱ ἑβδομῆντα ἑβδομάδες, κατὰ τὰς ὁποίας ἐνήστευσες, δὲν ἔφθασαν πρὸς τὸν Θεόν· ὅταν δὲ ἐταπεινώθης καὶ ἐσκέφθης νὰ ἐπισκεφθῇς τὸν ἀδελφόν σου, μὲ ἔστειλεν ὁ Θεὸς πρὸς σέ, διὰ νὰ σοῦ φανερώσω τὴν ἔννοιαν τοῦ ρητοῦ, ποὺ ἐζήτεις. Πράγματι δέ, ἀφοῦ τὸν ἐπληροφόρησε δι' ὅσα ἐζήτει, ἀνεχώρησε.

Β'. τοῦ Ἀββᾶ Μάρκου

ΑΝΘΡΩΠΟΣ ὑποτίθεται τῷ πλησίον καθὰ ἐπίσταται· Θεὸς δὲ ἐνεργεῖ τῷ ἀκούοντι καθὰ ἐπίστευσε. Μακρόθυμος ἀνήρ, πολὺς ἐν φρονήσει· ὁμοίως καὶ ὁ λόγοις σοφίας παραβάλλων τὸ οὖς αὐτοῦ. Μὴ ἀπαναίνου μανθάνειν, κἂν λίαν φρόνιμος τυγχάνῃς· ἡ γὰρ οἰκονομία τοῦ Θεοῦ ὠφελιμωτέρα ἐστὶ τῆς ἡμετέρας φρονήσεως. Τῷ βουλομένῳ τὸν σταυρὸν ἆραι καὶ Χριστῷ ἐπακολουθῆσαι, προηγουμένως γνώσεως καὶ μαθήσεως ἐπιμελητέον διὰ τῆς ἀδιαλείπτου ἐν αὐτῷ τῶν λογισμῶν ἐρεύνης καὶ πολλῆς μερίμνης περὶ σωτηρίας, καὶ ἐρωτήσεως τῶν ὁμοφρόνων καὶ συμψύχων δούλων τοῦ Θεοῦ, καὶ τὸν αὐτὸν ἀγῶνα ἀγωνιζομένων, ἵνα μὴ ἀγνοῶν ποῦ καὶ πῶς περιπατεῖ, ἐν σκότει ἄνευ φωτὸς λύχνου ὁδεύῃ. Ὁ γὰρ ἰδιορρύθμως ἄνευ εὐαγγελικῆς γνώσεως καὶ διακρίσεως καὶ ὁδηγίας τινὸς ὁδεύων, πολλὰ προσκόπτει· εἰς πολλοὺς βόθρους καὶ παγίδας τοῦ πονηροῦ ἐμπίπτει· πολλὰ πλανᾶται· πολλὰ κοποῦται καὶ πολλοῖς περιπίπτει κινδύνοις καὶ οὐκ οἶδε ποίου τέλους τεύξεται.

Πολλοὶ γὰρ διὰ πολλῶν κόπων καὶ ἀσκήσεων διῆλθον καὶ κακοπαθείας, καὶ μόχθους πολλοὺς ὡς διὰ Θεὸν ὑπέμειναν· καὶ ἡ ἰδιορρυθμία, καὶ ἡ ἀδιακρισία, καὶ τὸ ἀνεπιδεὲς τῆς παρὰ τοῦ πλησίον ὠφελείας, ἀκύρους αὐτῶν τοὺς τοσούτους πόνους καὶ ματαίους εἰργάσαντο. Διὰ τοῦτο εἰ δυνατὸν συνεῖναι, ἢ γοῦν συνεχῶς συντυγχάνειν γνωστικοῖς ἀνδράσι σπουδαστέον καὶ ἀγωνιστέον, ὅπως κἂν μὴ αὐτὸς ἔχῃ λύχνον ἀληθοῦς γνώσεως, τῷ ἔχοντι συνοδεύων, μὴ περιπατῇ ἐν σκότει· μὴ κινδυνεύῃ βρόχοις καὶ παγίσι καὶ τοῖς νοητοῖς περιπίπτῃ θηρίοις τοῖς ἐν τῷ σκότει νεμομένοις, καὶ τοὺς ἐν αὐτῷ χωρὶς νοητοῦ λύχνου τοῦ θείου λόγου περιπατοῦντας ἁρπάζουσι καὶ διαφθείρουσι.

Ἑρμηνεία

Ο ΑΝΘΡΩΠΟΣ συμβουλεύει τὸν πλησίον του, συμφώνως μὲ ὅσα γνωρίζει· ὁ Θεὸς δὲ ἐνεργεῖ εἰς τὸν ἀκούοντα κατὰ τὸ μέτρον τῆς πίστεώς του. Ὁ μακρόθυμος ἄνθρωπος ἀποβαίνει σπουδαῖος κατὰ τὴν σύνεσιν· ὅπως ἐπίσης καὶ ἐκεῖνος, ποὺ προσέχει νὰ ἀκούῃ σοφὰ λόγια. Νὰ μὴ ἀρνῆσαι νὰ μανθάνῃς, ἔστω καὶ ἐὰν εἶσαι πάρα πολὺ συνετός, διότι ἡ οἰκονομία τοῦ Θεοῦ διὰ τὸν ἄνθρωπον εἶναι ὠφελιμωτέρα ἀπὸ τὴν ἰδικήν μας σύνεσιν.

Ἐκεῖνος, ὁ ὁποῖος θέλει νὰ σηκώσῃ τὸν σταυρὸν καὶ νὰ ἀκολουθήσῃ τὸν Χριστόν, πρὶν ἀπὸ κάθε γνῶσιν καὶ μάθησιν, πρέπει νὰ φροντίσῃ διὰ τὴν συνεχῆ ἔρευναν τῶν λογισμῶν του καὶ νὰ μεριμνήσῃ διὰ τὴν ψυχικήν του σωτηρίαν , ἐρωτῶν μετ' ἐνδιαφέροντος τοὺς ὁμόφρονας καὶ

συμψύχους δούλους τοῦ Θεοῦ, ποὺ ἀγωνίζονται τὸν ἴδιον ἀγῶνα, ὥστε νὰ μὴ κινδυνεύῃ νὰ βαδίζῃ χωρὶς φωτεινὸν λύχνον, μέσα εἰς τὸ σκότος ἀγνοῶν ποῦ καὶ πῶς περιπατεῖ. Διότι ἐκεῖνος ποὺ βαδίζει κατὰ τὰς ἐπιθυμίας του, χωρὶς εὐαγγελικὴν γνῶσιν καὶ διάκρισιν καὶ χωρὶς οὐδενὸς τὴν ὁδηγίαν, συχνὰ σκοντάπτει καὶ πίπτει μέσα εἰς πολλοὺς βόθρους καὶ παγίδας τοῦ πονηροῦ· εἰς πολλὰς πλάνας περιπίπτει, κοπιάζει πολλοὺς κόπους καὶ περιπίπτει εἰς πολλοὺς κινδύνους, καὶ δὲν γνωρίζει ποῖον θὰ εἶναι τὸ τέλος του.

Διότι πολλοὶ ἐπέρασαν ἀπὸ πολλοὺς κόπους καὶ πολλὰς ἀσκήσεις καὶ κακοπαθείας καὶ πολλὰς ταλαιπωρίας ὑπέμειναν διὰ τὸν Θεόν· ἐν τούτοις ὅμως ἡ ἰδιορρυθμία, ἡ ἔλλειψις διακρίσεως, ἡ περιφρόνησις τῆς ἐκ τοῦ πλησίον ὠφελείας κατέστησαν ἄνευ ἀξίας ὅλους αὐτοὺς τοὺς κόπους, οἱ ὁποῖοι, εἰς τὸ τέλος, ἐπῆγαν χαμένοι. Πρὸς ἀποφυγὴν λοιπὸν αὐτοῦ τοῦ κινδύνου καλὸν εἶναι ὁ ἄνθρωπος νὰ μένῃ μαζὶ μὲ ἄλλον, ἤ, τοὐλάχιστον, νὰ φροντίζῃ νὰ συναναστρέφεται μὲ γνωστικοὺς ἀνθρώπους καὶ νὰ ἀγωνίζεται νὰ μὴ περιπατῇ εἰς τὸ σκότος, συνοδεύων, ἐν ἀνάγκῃ, ἐφ' ὅσον ὁ ἴδιος στερεῖται λύχνου ἀληθοῦς γνώσεως, ἐκεῖνον, ποὺ ἔχει. Ὥστε νὰ μὴ κινδυνεύσῃ νὰ περιπέσῃ εἰς παγίδας καὶ βρόχια καὶ εἰς τὰ νοητὰ θηρία, ποὺ ἀναζητοῦν τὴν τροφήν των μέσα εἰς τὸ σκότος καὶ ἁρπάζουν καὶ κατασπαράσσουν αὐτοὺς ποὺ περιπατοῦν μέσα εἰς αὐτὸ τὸ σκότος, χωρὶς τὸν νοητὸν λύχνον τοῦ θείου λόγου.

Γ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ τοῦ Σύρου

ΕΝ ΠΑΝΤΙ πράγματι νόμιζε σεαυτὸν ἐνδεῆ εἶναι διδαχῆς καὶ ἐν πάσῃ τῇ ζωῇ σου σοφὸς εὑρεθήσῃ.

Ἑρμηνεία

ΠΑΝΤΟΤΕ καὶ διὰ κάθε ζήτημα νὰ πιστεύῃς πὼς ἔχεις ἀνάγκην διδασκαλίας καὶ εἰς ὅλην σου τὴν ζωὴν θὰ ἀποδειχθῇς σοφός.

Δ'. Τοῦ Ἁγίου Μαξίμου

ΩΣ ΠΕΡ οἱ γονεῖς τῶν σωμάτων προσπάσχουσι τοῖς ἐξ αὐτῶν γεννωμένοις, οὕτω καὶ ὁ νοῦς φυσικῶς τοῖς ἑαυτοῦ πρόσκειται λόγοις· καὶ ὥς περ τοῖς ἐκείνων ἐμπαθεστέροις, κἂν πάντων κατὰ πάντα ὦσιν οἱ παῖδες καταγελαστότατοι, πάντων φαίνονται ἐπιεικέστατοι καὶ εὐμορφώτατοι, οὕτω καὶ τῷ ἄφρονι οἱ αὐτοῦ λόγοι, κἂν πάντων εἰσὶ μοχθηρότεροι, πάντων φαίνονται φρονιμώτεροι. Τῷ δὲ σοφῷ, οὐχ οὕτως οἱ αὐτοῦ λόγοι· ἀλλ' ὅταν δόξῃ πληροφορεῖσθαι, ὅτι ἀληθεῖς εἰσι καὶ καλοί, τότε μάλιστα οὐ πιστεύει τῇ ἑαυτοῦ κρίσει, ἀλλὰ ἄλλους σοφοὺς τῶν ἑαυτοῦ λόγων καὶ λογισμῶν κριτὰς καθίστησι, μὴ εἰς κενὸν τρέχῃ ἢ ἔδραμεν, καὶ ἐξ αὐτῶν τὴν βεβαίωσιν λαμβάνει.

Ἑρμηνεία

ΟΠΩΣ ΑΚΡΙΒΩΣ οἱ γονεῖς ποθοῦν ἰσχυρῶς καὶ ἀγαποῦν τὰ παιδιά των, τοιουτοτρόπως καὶ ὁ νοῦς, κατὰ φυσικὸν λόγον, θεωρεῖ σπουδαίους τοὺς λόγους του. Καὶ ὅπως ἀκριβῶς οἱ γονεῖς, ποὺ τρέφουν παθολογικὴν ἀγάπην διὰ τὰ παιδιά των, τὰ βλέπουν σὰν τὰ τελειότερα καὶ ὀμορφώτερα ἀπὸ τὰ ἄλλα, ἔστω καὶ ἂν ὅλοι οἱ ἄλλοι τὰ θεωροῦν τὰ πλέον ἀνόητα καὶ γελοῖα, ἔτσι καὶ οἱ ἄφρονες τοὺς λόγους των, καὶ ἐὰν ἀκόμη ὅλοι θεωροῦν τοὺς λόγους τοῦ ἄφρονος ὡς τοὺς ἀνοητοτέρους, ἐν τούτοις ὁ ἴδιος τοὺς βλέπει ὡς τοὺς πλέον συνετωτέρους ἀπὸ ὅλους τοὺς ἄλλους. Διὰ τὸν σοφὸν ὅμως ἄνθρωπον δὲν συμβαίνει τὸ ἴδιον μὲ τοὺς λόγους του· ὅταν νομίσῃ καλὸν νὰ βεβαιωθῇ ἂν οἱ λόγοι του εἶναι ὠφέλιμοι καὶ ἀληθινοί, τότε προπαντός, δὲν πιστεύει εἰς τὴν κρίσιν του, ἀλλὰ ὁρίζει ἄλλους σοφοὺς ὡς κριτὰς τῶν λόγων του καὶ τῶν σκέψεών του, μὴ τυχὸν ἀσκόπως τρέχῃ καὶ κοπιάζῃ· ἀπὸ τοὺς κριτὰς δὲ αὐτοὺς βεβαιώνεται διὰ τοὺς λόγους του.

Ε'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ ΓΕΡΩΝ· ὁ εἰσερχόμενος εἰς μυρεψόν, κἂν μηδὲν ἀγοράσῃ, ἀλλὰ πάντως μεταλαμβάνει τῆς εὐωδίας, οὕτω καὶ ὁ παραβάλλων τοῖς πατράσιν· ἐὰν θελήσῃ ἐργάσασθαι, ὑποδεικνύουσιν αὐτῷ τὴν ὁδὸν τῆς ταπεινώσεως, καὶ τεῖχος αὐτῷ γίνεται ἐν ταῖς ἐπιδρομαῖς τῶν δαιμόνων.

2. Παρέβαλεν ἀδελφὸς πρὸς τὸν Ἀββᾶν Φήλικα, ἔχων μεθ' ἑαυτοῦ κοσμικούς· καὶ παρεκάλεσεν αὐτὸν ἵνα εἴπῃ αὐτοῖς λόγον· ὁ δὲ γέρων ἐσιώπα. Ἐπὶ πολὺ δὲ παρακαλοῦντος αὐτοῦ, εἶπεν αὐτοῖς ὁ γέρων· λόγον θέλετε ἀκοῦσαι; οἱ δὲ εἶπον· ναί, Ἀββᾶ· ὁ δὲ εἶπεν αὐτοῖς· ἄρτι οὐκ ἔνι λόγος· ὅτε γὰρ ἠρώτων οἱ ἀδελφοὶ τοὺς γέροντας καὶ ἐποίουν ἃ ἔλεγον αὐτοῖς οἱ γέροντες, ὁ Θεὸς ἐχορήγει λόγον, διὰ τὴν τῶν ἐρωτώντων ὠφέλειαν· νῦν δέ, ἐπειδὴ ἐρωτῶσι μέν, οὐ ποιοῦσι δὲ ἃ ἀκούουσιν, ἦρεν ὁ Θεὸς τὴν χάριν ἀπὸ τῶν γερόντων, καὶ οὐχ εὑρίσκουσι τί λαλῆσαι· ὅτι οὐκ ἔστι ὁ ἐργαζόμενος· καὶ ἀκούσαντες, ἐστέναξαν καὶ εἶπον· εὖξαι ὑπὲρ ἡμῶν, Ἀββᾶ.

Ἑρμηνεία

ΕΝΑΣ ΓΕΡΩΝ εἶπεν: Ὅποιος εἰσέρχεται εἰς ἀρωματοπωλεῖον, ἔστω καὶ ἐὰν δὲν ἀγοράσῃ τίποτε, ὁπωσδήποτε ὅμως παίρνει ἐπάνω του εὐωδίαν, τοιουτοτρόπως ὠφελεῖται καὶ ὁ ἐπισκεπτόμενος τοὺς Πατέρας. Ἐὰν θελήσῃ νὰ ἐργασθῇ, τοῦ ὑποδεικνύουν τὴν ὁδὸν τῆς ταπεινώσεως, ποὺ γίνεται δι' αὐτὸν προστατευτικὸν τεῖχος πρὸς ἀπόκρουσιν τῶν ἐπιδρομῶν τῶν δαιμόνων.

2. Κάποτε ἕνας ἀδελφὸς ἐπεσκέφθη τὸν Ἀββᾶν Φήλικα, μαζὶ μὲ κοσμικούς. Παρεκάλεσε λοιπὸν τὸν Ἀββᾶν νὰ τοὺς εἴπῃ ψυχωφελῆ λόγον· ὁ Γέρων ὅμως ἐσιώπα. Ἐπειδὴ ὅμως ἐπιμόνως ἐξηκολούθει νὰ τὸν παρακαλῇ, εἶπεν ἐπὶ τέλους ὁ Ἀββᾶς Φῆλιξ:

— Θέλετε νὰ ἀκούσετε λόγον;

— Ναί, Ἀββᾶ, ἀπήντησαν οἱ ἐπισκέπται.

— Τώρα πλέον δὲν ὑπάρχει λόγος — εἶπεν ὁ Ἀββᾶς· διότι ὅταν οἱ ἀδελφοὶ ἠρώτων τοὺς Γέροντας, καὶ ἐφήρμοζον ὅσα ἔλεγον πρὸς αὐτοὺς οἱ Γέροντες, τότε καὶ ὁ Θεὸς ἐχορήγει λόγον, διὰ τὴν ψυχικὴν ὠφέλειαν τῶν ἐρωτώντων. Τώρα ὅμως, ἐπειδὴ ἐρωτοῦν μέν, δὲν ἐφαρμόζουν ὅμως ὅσα ἀκούουν, ἀφήρεσεν ὁ Θεὸς τὴν χάριν τοῦ λόγου ἀπὸ τοὺς Γέροντας, καὶ δὲν εὑρίσκουν λόγους διὰ νὰ λαλήσουν, ἐπειδὴ δὲν ὑπάρχει αὐτός, ποὺ θὰ ἐργασθῇ τὴν ἀρετήν.

Μόλις ἤκουσαν αὐτὰ οἱ ἐπισκέπται ἀνεστέναξαν καὶ εἶπαν:

— Προσευχήσου δι' ἡμᾶς, Ἀββᾶ.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραίμ

ΜΗ ΑΠΑΝΑΙΝΟΥ νουθεσίαν Ἁγίων ἀνδρῶν, κἂν γνωστικὸς τυγχάνῃς· καὶ τοῦτο γὰρ καρπὸς γνώσεως.

Ἑρμηνεία

ΝΑ ΜΗ ἀρνῆσαι τὴν νουθεσίαν Ἁγίων ἀνδρῶν· ἔστω καὶ ἐὰν εἶσαι γνωστικός· διότι καὶ αὐτὸ εἶναι καρπὸς γνώσεως.

Ζ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΜΗ ΖΗΤΗΣΗΣ λαβεῖν βουλὴν παρά τινος μὴ ὄντος ἐν τῇ διαγωγῇ σου, κἂν λίαν σοφὸς ὑπάρχῃ· ἀνάθου δὲ μᾶλλον τὰ σὰ ἰδιώτῃ ἐν πείρᾳ γεγονότι τῶν πραγμάτων, ἤπερ φιλοσόφῳ λόγῳ ὁμιλοῦντι ἐκ τῆς ἐξετάσεως, ἄνευ τῆς πείρας τῶν πραγμάτων. Ἡ πεῖρα δέ ἐστιν, οὐχὶ τὸ εἰσελθεῖν τινα καὶ κατασκοπῆσαι μέρη τινὰ τῶν πραγμάτων, μήπω λαβόντα τὴν γνῶσιν εἰς ἑαυτὸν ἐκ τῆς ἐργασίας, ἀλλὰ τὸ αἰσθανθῆναι τῆς ὠφελείας αὐτῶν, καὶ τῆς ζημίας ἐνεργῶς διὰ τοῦ χρονίσαι ἐν αὐτοῖς. Καὶ γὰρ πολλάκις φαίνεται πρᾶγμα ζημίαν ἔχον, ἔνδον δὲ αὐτοῦ κεκρυμμένην ἔχει μεγάλην ὠφέλειαν· καὶ ἐπὶ τοῦ ἐναντίου ὁμοίως· ἄλλοτε φαίνεταί τι ὠφελείας γέμον, καὶ ἔσωθεν ζημίας μεμέστωται· διὸ καὶ πολλοὶ τῶν ἀνθρώπων ἐκ τῶν φαινομένων ἐπικερδῶν πραγμάτων, οὐ μικρῶς ἐζημιώθησαν. Ἐκείνῳ οὖν συμβούλῳ χρῆσαι, τῷ ἐκ τῆς πείρας ἐπισταμένῳ τὰς φύσεις καὶ τὰς δυνάμεις τῶν πραγμάτων, καὶ ἀπταίστως ταῦτα διακρίνειν εἰδότι. Ὅς τις τὴν ἐλευθερίαν πρῶτον ἐφ' ἑαυτοῦ ἀσφαλῶς ἐκυβέρνησεν, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις ἐπιστημόνως ταύτην παραδιδόναι ἐστὶν ἀξιόπιστος.

Ἑρμηνεία


† ΝΑ ΜΗ ΖΗΤΗΣΗΣ νὰ λάβῃς συμβουλὴν ἀπὸ κάποιον, ποὺ δὲν ἔχει πεῖραν τοῦ τρόπου τῆς ἰδικῆς σου ζωῆς, ἔστω καὶ ἐὰν εἶναι πάρα πολὺ σοφός. Εἶναι προτιμότερον νὰ ἀναθέσῃς τὰ προβλήματά σου εἰς ἕνα ἰδιώτην, ποὺ ἔχει πεῖραν ἀπὸ αὐτὰ τὰ πράγματα, παρὰ εἰς φιλόσοφον, ποὺ ὁμιλεῖ μὲ λογικήν, στηριζομένην εἰς τὴν θεωρητικὴν ἐξέτασιν τῶν πρα-

γμάτων, χωρὶς ὅμως νὰ ἔχῃ καὶ πεῖραν αὐτῶν. Ἡ πεῖρα δὲ εἶναι ὄχι τὸ νὰ εἰσέλθῃ κανεὶς εἰς αὐτὴν τὴν φύσιν τῶν πραγμάτων καὶ νὰ ἐξετάσῃ προσεκτικῶς μερικὰ ἐξ αὐτῶν, χωρὶς ἀκόμη νὰ ἔχῃ λάβει τὴν γνῶσιν ἀπὸ τὴν ἐργασίαν, ἀλλὰ τὸ νὰ αἰσθανθῇ ἐμπράκτως τὴν ὠφέλειαν καὶ τὴν ζημίαν τῶν πραγμάτων αὐτῶν, ἐπειδὴ ἔκαμε πολὺν χρόνον εἰς αὐτά. Διότι εἰς πολλὰς περιπτώσεις φαίνεται ἕνα πρᾶγμα πὼς εἶναι ἐπιζήμιον, ἐνῷ μέσα του ἔχει κρυμμένην μεγάλην ὠφέλειαν. Καὶ ἐξ ἀντιθέτου· ἄλλοτε φαίνεται ἐξωτερικῶς γεμᾶτον ἀπὸ ὠφέλειαν, ἐνῷ ἐσωτερικῶς εἶναι ὅλον ζημία. Δι' αὐτὸ καὶ πολλοὶ ἄνθρωποι ἐζημιώθησαν πάρα πολὺ ἀπὸ πράγματα φαινομενικῶς ἐπικερδῆ.

Δι' αὐτὸ λοιπὸν νὰ χρησιμοποιῇς ὡς συμβουλόν σου ἐκεῖνον, ποὺ ἐκ πείρας γνωρίζει καλῶς τὰς φύσεις καὶ τὰς δυνάμεις τῶν διαφόρων πραγμάτων καὶ εἶναι εἰς θέσιν νὰ διακρίνῃ, χωρὶς νὰ σφάλλῃ, τὴν ἐξ αὐτῶν ὠφέλειαν ἢ ζημίαν.

Ὅποιος ἔκαμειν ὀρθὴν χρῆσιν τῆς ἐλευθερίας πρῶτον εἰς τὸν ἑαυτόν του, εἶναι πλέον ἄξιος ἐμπιστοσύνης διὰ νὰ τὴν ἐμπιστευθῇ καὶ εἰς τοὺς ἄλλους μὲ σύνεσιν.





ΥΠΟΘΕΣΙΣ ΙΘʹ

.ερὶ τοῦ ὅτι ἀναγκαία ἡ ὑποταγή· καὶ τὶς ἡ ἐκ ταύτης ὠφέλεια, καὶ πῶς κατορθοῦται.

Περὶ τοῦ ὅτι εἶναι ἀναγκαία ἡ ὑποταγή· ποία ὠφέλεια προέρχεται ἐξ αὐτῆς καὶ πῶς τὴν κατορθώνει ὁ ἄνθρωπος.



Αʹ. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου




ΑΓΙΟΣ ΘΕΟΔΟΣΙΟΣ, ἤδη φρονούσης ἁπτόμενος ἡλικίας; ἔρωτα φιλοσόφου ζωῆς ὠδινήσας, τῆς πατρίδος ἀπάρας, εἰς Ἱεροσόλυμα ἦλθε. Καὶ ἁγίως τὰ Ἅγια προσκυνήσας, λογισμὸν ἐν ἑαυτῷ στρέφων ἦν, πῶς ἄρα τοῦ φιλοσοφεῖν ἄρξαιτο καὶ ποτέραν τῶν ἀγωγῶν ἕλοιτο, τὴν λίαν μοναδικὴν καὶ ἄμικτον, ἢ μεθ᾽ ἑτέρων εὐλαβῶν καὶ τοῦ ἴσου σκοποῦ μεταποιουμένων; Ἀλλὰ τὸ μὲν κατὰ μόνας ἡσυχάσαι, τό γε νῦν ἔχον οὐχ ἐδοκίμαζε, μὴ ἀσφαλὲς κρίνων ἀπείρῳ αὐτῷ ὄντι τοῖς τῆς πονηρίας καθ᾽ ἑαυτὸν ὅλως διαπαλαίειν πνεύμασιν. Εἰ γὰρ τῶν ἐν κόσμῳ στρατευομένων οὐδεὶς οὕτω, φησί, τὸ θράσος ἄμαχος καὶ τὴν ἄνοιαν περιττός, ὃς παντάπασιν ἀτριβὴς ὢν καὶ ἀνάσκητος τὰ πολέμια, εὐθὺς ἀπὸ γραμμῆς εἰς μέσους δὴ τοὺς πολεμίους ἑαυτὸν εἰσωθήσειε, πῶς ἂν ἐγὼ μήπω τὰς χεῖρας διδαχθεὶς εἰς παράταξιν, μηδὲ τοὺς δακτύλους εἰς πόλεμον, μηδὲ τὴν ἄνωθεν περιεζωσμένος δύναμιν, καὶ ταῦτα τῆς συμπλοκῆς ταύτης κατὰ πολὺ μᾶλλον κινδυνώδους οὔσης καὶ σφαλερᾶς, πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἀντιπαρατάξασθαι δυνηθείην; Λείπεται οὖν ἁγίοις με πρότερον μαθητευθέντα πατράσιν, οἷς ταῦτα καλῶς προησκήθη καὶ ἱκανῶς ὑπ᾽ αὐτοῖς τὰ πρὸς τοὺς νοητοὺς ἐχθροὺς γυμνασάμενον, εἶτα καὶ ἀπὸ τῆς ἡσυχίας φυομένους καρποὺς κατὰ καιρὸν δρέψασθαι.

Ταῦτα σοφώτατα διανοηθεὶς (ἦν γὰρ αὐτῷ μετὰ τῶν ἄλλων καὶ σύνεσις ἀκριβής), πρὸς ζήτησιν τῶν μετὰ πόνων τὰς τοῦ ἀγαθοῦ μελέτας ποιησαμένων εὐ-

Ὁ ἍΓΙΟΣ ΘΕΟΔΌΣΙΟΣ

Ὁ ΚΟΙΝΟΒΙΆΡΧΗΣ



θὺς τρέπεται, εἰδὼς ὡς ἐκ τοῦ ποθεῖν ἀσφαλεστέρα μάθησίς τε καὶ δίδαξις. Λογγίνῳ τοίνυν τῷ μακαρίῳ γέροντι, ὃς καὶ διαφορώτατος τῶν καθ' ἑαυτὸν Πατέρων ἐτύγχανεν ὤν, φέρων ἑαυτὸν δίδωσιν, ὁμοδίαιτός τε αὐτῷ καὶ σύνοικος γίνεται, σφόδρα τοῖς ἐκείνου τρόποις ἡσθείς, καὶ διὰ τοῦτο καὶ ὥς περ ὅλως ἐμφύς, καὶ τὸ τοῦ θείου φάναι Δαβίδ, τὴν ψυχὴν ὀπίσω προσκολληθείς· ἐπεὶ καὶ ᾧ τις συνὼν ἥδεται, τοιοῦτος ἄρα καὶ εἶναι πιστεύεται καὶ καλῶς τοῦτο ὑπὸ τῶν παλαιῶν λέγεται.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ ΘΕΟΔΟΣΙΟΣ, ὅταν ἐπλησίαζε πρὸς τὴν ἀνδρικὴν ἡλικίαν, κατελήφθη ἀπὸ τὸν ἔρωτα τῆς φιλοσόφου ζωῆς καί, ἐγκαταλείψας τὴν πατρίδα του, ἦλθεν εἰς τὰ Ἱεροσόλυμα. Καὶ ἀφοῦ προσεκύνησεν, μὲ ἁγιότητα ψυχῆς, τὰ Ἅγια προσκυνήματα, ἤρχισε πλέον νὰ τὸν ἀπασχολῇ μονίμως ἡ σκέψις πῶς νὰ ἀρχίσῃ τὴν ἔμπρακτον φιλοσοφίαν καὶ ποῖον ἐκ τῶν δύο δρόμων νὰ ἀκολουθήσῃ, τῆς τελείας ἀπομονώσεως καὶ τοῦ αὐστηροῦ ἀναχωρητισμοῦ, ἢ τῆς κοινοβιακῆς ζωῆς, μαζὶ μὲ ἄλλους, ποὺ ἐπιδιώκουν τὸν ἴδιον σκοπόν;

Ἀλλὰ τὴν κατὰ μόνας ἡσυχαστικὴν ζωήν, ἐπὶ τοῦ παρόντος τοὐλάχιστον, δὲν ἀπεφάσιζε νὰ δοκιμάσῃ, διότι δὲν τὴν ἔκρινεν ἀσφαλῆ, ἐπειδὴ ἐθεώρει τὸν ἑαυτόν του τελείως ἄπειρον, διὰ νὰ ἀντιπαλαίῃ μόνος του πρὸς τὰ πνεύματα τῆς πονηρίας.

Διότι — ἔλεγε — ἐὰν ἀπὸ τοὺς στρατιώτας τοῦ κόσμου δὲν εὑρίσκεται κανεὶς τόσον πολὺ θρασὺς καὶ τόσον πολὺ ἀνόητος, ὁ ὁποῖος, ἂν καὶ τελείως ἀπειροπόλεμος καὶ χωρὶς καθόλου νὰ ἔχῃ ἀσκηθῇ εἰς τὰ πολεμικὰ ἔργα, νὰ τολμήσῃ ἀμέσως, ἀπὸ τὸ στρατόπεδόν του, νὰ ριφθῇ εἰς τὸ μέσον τῶν ἐχθρῶν, πῶς θὰ ἦτο δυνατὸν ἐγώ, ὁ ὁποῖος ἀκόμη δὲν ἔχω γυμνάσει τὰς χεῖρας μου εἰς παράταξιν καὶ τὰ δάκτυλά μου εἰς πόλεμον, (ψαλμ. ρμγ΄, 1), ὁ ὁποῖος ἀκόμη δὲν ἔχω ζωσθῇ μὲ τὴν ἐξ ὕψους δύναμιν, νὰ ἠμπορέσω νὰ ἀντιπαραταχθῶ, κατὰ μίαν τοιαύτην συμπλοκήν, πολὺ πλέον ἐπικίνδυνον καὶ γεμάτην ἀπὸ θανασίμους παγίδας, ἐναντίον τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, τοῦ κοσμοκράτορος τοῦ κόσμου τοῦ αἰῶνος τούτου, ἐναντίον τῶν πνευματικῶν τῆς πονηρίας;

Ἀπομένει λοιπὸν νὰ γίνω πρῶτον μαθητὴς ἁγίων πατέρων, οἱ ὁποῖοι ἔχουν καλῶς ἀσκηθῆ ἀπὸ πρὶν εἰς τοὺς ἀγῶνας τούτους, καὶ ἀφοῦ γυμνασθῶ ὑπ' αὐτῶν καλῶς εἰς τὸν κατὰ τῶν νοητῶν ἐχθρῶν πόλεμον, τότε νὰ προσπαθήσω νὰ δρέψω τοὺς καρποὺς τῆς ἡσυχίας. Ἀφοῦ μετὰ πολλῆς σοφίας ἐσκέφθη ὅλα αὐτὰ (διότι μεταξὺ τῶν ἄλλων προσόντων εἶχε καὶ βαθυτάτην σύνεσιν) ἤρχισεν ἀμέσως νὰ ἀναζητῇ ἐκείνους οἱ ὁποῖοι μὲ κόπους πολλοὺς ἐμελέτησαν τὸ ἀγαθόν, γνωρίζων ὅτι ἡ ἀσφαλεστέρα μάθησις καὶ διδασκαλία εἶναι ἐκείνη ἡ ὁποία ἀποκτᾶται ἀπὸ τὴν πεῖραν.

Προσέρχεται λοιπὸν καὶ ἐμπιστεύεται τὸν ἑαυτόν του εἰς τὸν μακάριον Γέροντα Λογγῖνον, ὁ ὁποῖος διέφερε πολὺ ἀπὸ τοὺς πατέρας, ποὺ κατῴκουν μαζί του· γίνεται ὁμοτράπεζος καὶ συγκάτοικός του εὐχαριστηθεὶς πάρα πολὺ ἀπὸ τοὺς τρόπους του καὶ τὴν συμπεριφοράν του· καὶ τό-

σον ἡνώθη ψυχικῶς μὲ τὸν ὅσιον Λογγῖνον, ὥστε θὰ ἠμπορούσαμεν νὰ εἴπωμεν τὸ ρητὸν τοῦ θείου Δαυΐδ, προσεκολλήθη ἡ ψυχή του ὀπίσω αὐτοῦ (ψαλμ. ξβ' 9). Ἐπειδή, ὅπως πολὺ ὀρθῶς λέγουν οἱ παλαιοί, μὲ ἐκεῖνον ποὺ συναναστρέφεται καὶ εὐχαριστεῖται κανείς, πιστεύεται ὅτι εἶναι καὶ ὅμοιός του.

Β'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἀντώνιος· ὅτι ὑπακοὴ μετὰ ἐγκρατείας ὑποτάσσει θηρία.

2. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ὅτι τίς ποτε ἠρώτησε τὸν Ἀββᾶν Παΐσιον λέγων· τί ποιήσω τῇ ψυχῇ μου, ὅτι ἀναισθητεῖ καὶ οὐ φοβεῖται τὸν Θεόν; καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· ἄπελθε, κολλήθητι ἀνθρώπῳ φοβουμένῳ τὸν Θεόν· καὶ ἐν τῷ ἐγγίζειν ἐκείνῳ μανθάνεις καὶ σὺ ἐξ αὐτοῦ φοβεῖσθαι τὸν Θεόν.

3. Ἔλεγεν ὁ Ἀββᾶς Ἡσαΐας πρὸς τοὺς ἀρχομένους καὶ ὑποτασσομένους Πατράσιν Ἁγίοις, ὅτι ἡ πρώτη βαφὴ οὐκ ἀποβάλλει ὡς ἐπὶ πορφύρας· καὶ ὅτι ὥσπερ οἱ κλάδοι οἱ ἁπαλοὶ εὐχερῶς μεταστρέφονται καὶ κάμπτονται, οὕτω καὶ οἱ ἀρχάριοι ὄντες ἐν ὑποταγῇ.

4. Εἶπεν ὁ Ἀββᾶς Μωϋσῆς τινὶ ἀδελφῷ· δεῦρο, ἀδελφέ, εἰς τὴν ὑπακοὴν τῆς ἀληθείας· ὅπου ἔστι ταπείνωσις· ὅπου ἔστιν ἰσχύς· ὅπου ἔστι χαρά· ὅπου ἔστιν ὑπομονή· ὅπου ἔστι μακροθυμία· ὅπου ἔστι φιλαδελφία· ὅπου ἔστι κατάνυξις· ὅπου ἔστιν ἀγάπη· ὁ γὰρ ἔχων ὑπακοὴν ἀγαθήν, πασῶν τῶν ἐντολῶν τοῦ Θεοῦ πεπλήρωται.

5. Παρέβαλόν ποτε τέσσαρες σκητιῶται τῷ Μεγάλῳ Παμβώ, φοροῦντες δέρματα· καὶ ἀνήγγειλεν ἕκαστος τὴν ἀρετὴν τοῦ ἑτέρου· ὁ εἷς ἐνήστευε πολλά· ὁ δεύτερος ἀκτήμων ἦν· ὁ τρίτος ἐκτήσατο πολλὴν ἀγάπην· ὁ δὲ τέταρτος, εἰκοσιδύο ἔτη εἶχεν ἐν ὑπακοῇ γέροντος. Ἀπεκρίθη οὖν αὐτοῖς ὁ Ἀββᾶς Παμβώ· λέγω ὑμῖν, ὅτι ἡ ἀρετὴ τοῦ τετάρτου, μείζων τῶν ἄλλων ἐστίν· ἕκαστος γὰρ ὑμῶν οἵαν ἀρετὴν ἐκτήσατο, θελήματι οἰκείῳ ἐκράτησεν· οὗτος δέ, τὸ θέλημα αὐτοῦ κόψας, ἄλλου ποιεῖ θέλημα, καὶ διὰ τοῦτο μείζων ὑμῶν ἐστιν· οἱ γὰρ τοιοῦτοι ὁμολογηταί εἰσιν, ἐὰν εἰς τέλος φυλάξωσιν.

6. Εἶπεν ὁ Ἀββᾶς Ῥοῦφος, ὅτι ὁ καθήμενος ἐν ὑποταγῇ Πατρὸς Πνευματικοῦ, πλείονα μισθὸν ἔχει παρὰ τὸν ἐν τῇ ἐρήμῳ καθ' ἑαυτὸν ἀναχωροῦντα.

7. Ἔλεγεν ὁ αὐτός, ὅτι διηγήσατό τις τῶν Πατέρων λέγων· ὅτι ἡρπάγην καὶ εἶδον τέσσαρα τάγματα ἐν τῷ οὐρανῷ· τὸ πρῶτον τάγμα, ἄνθρωπος ἀσθενῶν καὶ εὐχαριστῶν τῷ Θεῷ· τὸ δεύτερον, ὁ φιλόξενος καὶ τοὺς ἀδελφοὺς ὑποδεχόμενος, καὶ διακονῶν· τὸ τρίτον, ὁ ἐν ἐρήμῳ διάγων, καὶ μὴ βλέπων τινὰ ἄνθρωπον· τὸ τέταρτον, ὁ ἐν ὑποταγῇ καθήμενος Πατρὸς καὶ ὑποτασσόμενος αὐτῷ εἰς πάντα διὰ τὸν Κύριον. Ἐφόρει δὲ ὁ διὰ τὴν ὑπακοὴν μανιάκην χρυσοῦν καὶ πλείονα τῶν ἄλλων δόξαν εἶχεν· ἐγὼ δὲ ταύτην ἰδών, εἶπον τῷ ὁδηγοῦντί με· πῶς οὗτος ὁ μικρότερος πλείονα δόξαν ἔχει παρὰ τοὺς ἄλλους; ὁ δὲ ἀποκριθεὶς εἶπέ μοι· ἐπειδὴ ὁ φιλόξενος καὶ ὁ ἀναχωρητὴς τῷ ἰδίῳ θελήματι τὰς ἀρετὰς εἵλοντο, ὁ δὲ ὑπήκοος πάντα τὰ θελήμα-

τα αὐτοῦ καταλείψας, κρέμαται τῷ Θεῷ καὶ τῷ ἰδίῳ πατρί, καὶ διὰ τοῦτο πλέον ἐκείνων δεδόξασται.

8. Εἶπεν ὁ Ἀββᾶς Ὑπερέχιος· ἡ ὑπακοή, κειμήλιόν ἐστι τοῦ Μοναχοῦ· ὁ κεκτημένος αὐτὴν εἰσακουσθήσεται ὑπὸ τοῦ Θεοῦ, καὶ μετὰ παρρησίας τῷ σταυρωθέντι παρασταθήσεται· ὁ γὰρ σταυρωθεὶς Κύριος, ὑπήκοος γέγονε μέχρι θανάτου.

9. Δύο ἀδελφοὶ σαρκικοὶ παρεγένοντο οἰκῆσαι ἐν Μοναστηρίῳ τινί· ὧν ὁ μὲν εἷς ἀσκητὴς ἦν· ὁ δὲ ἕτερος τὴν ὑπακοὴν εἵλετο καὶ εἴ τι ἔλεγεν αὐτῷ ὁ πατήρ, ἀδιακρίτως ἐποίει· ἔλεγε γὰρ αὐτῷ πολλάκις· φάγε πρωΐας· καὶ ἤσθιε· καὶ πάλιν· μὴ φάγῃς ἕως ὀψέ· καὶ οὐκ ἤσθιε· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, εἴ τι ἂν προσετάγη, μετὰ χαρᾶς ἐπλήρου· καὶ διὰ τὴν ὑπακοὴν αὐτοῦ ἐδοξάζετο παρὰ πάντων ἐν τῷ Μοναστηρίῳ. Φθονήσας δὲ ὁ ἀδελφὸς αὐτοῦ ὁ ἀσκητής, εἶπεν ἐν ἑαυτῷ· δοκιμάσω αὐτὸν εἰ ἔχει ὑπακοήν· καὶ προσελθὼν τῷ Πατρὶ λέγει· πέμψον μετ' ἐμοῦ τὸν ἀδελφόν, ἵνα παραβάλωμεν εἴς τινα χρείαν· καὶ ἀπέλυσεν αὐτὸν ὁ Ἀββᾶς.

Ὡς οὖν ἦλθον εἰς τὸν ποταμόν, ἐν ᾧ ἦν πλῆθος κροκοδείλων πολύ, λέγει τῷ ἀδελφῷ ὁ ἀσκητής· κατάβηθι εἰς τὸν ποταμὸν καὶ πάρελθε· καὶ κατέβη· καὶ ἦλθον οἱ κροκόδειλοι, καὶ ἔλειχον τὸ σῶμα αὐτοῦ, καὶ οὐκ ἔβλαψαν. Ἰδὼν δὲ ὁ ἀσκητής, εἶπεν αὐτῷ· ἀνάβηθι ἐκ τοῦ ποταμοῦ· καὶ ἀνέβη ἀβλαβής. Ὁδεύοντες οὖν, εὗρον σῶμα ἐρριμμένον ἐν τῇ ὁδῷ· καὶ εἶπεν ὁ ἀσκητής· εἰ εἴχομεν παλαίωμα, ἐβάλομεν ἂν ἐπάνω αὐτοῦ· ἀπεκρίθη ὁ ἀδελφός· μᾶλλον εὐξώμεθα, εἴ πως ἀναστῇ· καὶ ἔστησαν εἰς προσευχήν· καὶ εὐξαμένων αὐτῶν, ἀνέστη ὁ νεκρός· καὶ ἐκαυχᾶτο ὁ ἀσκητὴς λέγων, ὅτι διὰ τὴν ἄσκησίν μου ἀνέστη ὁ νεκρός. Ἀπεκάλυψε δὲ ὁ Θεὸς τῷ Πατρὶ τοῦ Μοναστηρίου πάντα· καὶ ὡς ὑπέστρεψαν, λέγει ὁ Ἀββᾶς τῷ ἀσκητῇ· τί οὕτως ἐπείρασας τὸν ἀδελφόν σου ἐν τῷ ποταμῷ; καὶ ἰδοὺ διὰ τὴν ὑπακοὴν αὐτοῦ ἀνέστη ὁ νεκρός.

10. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· μὴ μέτρει σεαυτόν, ἀλλὰ κολλήθητι τῷ καλῶς ἀναστρεφομένῳ.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΑΝΤΩΝΙΟΣ εἶπεν, ὅτι ἡ ὑπακοὴ μὲ τὴν ἐγκράτειαν ἔχει τὴν δύναμιν νὰ ὑποτάσσῃ καὶ τὰ θηρία.

2. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν, ὅτι κάποτε κάποιος ἠρώτησε τὸν Ἀββᾶν Παΐσιον: τί νὰ κάμω, ποὺ ἡ ψυχή μου εἶναι ἀναίσθητος καὶ δὲν φοβεῖται τὸν Θεόν; ὁ Ἀββᾶς Παΐσιος τοῦ ἀπήντησε· πήγαινε, προσκολλήσου εἰς ἕνα ἄνθρωπον, ποὺ φοβεῖται τὸν Θεόν· μὲ τὴν συναναστροφήν σου δὲ μὲ ἐκεῖνον θὰ μάθῃς καὶ σὺ ἀπὸ αὐτὸν νὰ φοβῆσαι τὸν Θεόν.

3. Ὁ Ἀββᾶς Ἡσαΐας ἔλεγε πρὸς τοὺς ἀρχαρίους, ποὺ ἦσαν ὑποτακτικοὶ Ἁγίων Πατέρων, ὅτι ἡ πρώτη βαφὴ δὲν ξεθωριάζει ὅπως συμβαίνει μὲ τὴν πορφύραν· καὶ ὅπως ἀκριβῶς τὰ τρυφερὰ κλαδιὰ μὲ εὐκολίαν λυγίζουν καὶ γέρνουν, τοιουτοτρόπως καὶ οἱ ἀρχάριοι, ποὺ εὑρίσκονται εἰς ὑποταγήν.

4. Ὁ Ἀββᾶς Μωϋσῆς εἶπεν εἰς κάποιον ἀδελφόν: Ἔλα, ἀδελφέ

μου, εἰς τὴν ὑπακοὴν τῆς ἀληθείας· ὅπου ὑπάρχει ταπείνωσις· ὅπου ὑπάρχει δύναμις· ὅπου ὑπάρχει χαρά· ὅπου ὑπάρχει ὑπομονή· ὅπου ὑπάρχει μακροθυμία· ὅπου ὑπάρχει φιλαδελφία· ὅπου ὑπάρχει κατάνυξις· ὅπου ὑπάρχει ἀγάπη· διότι ἐκεῖνος ποὺ ἔχει τελείαν ὑπακοὴν ἔχει ἐφαρμόσει ὅλας τὰς ἐντολὰς τοῦ Θεοῦ.

Κάποτε τέσσαρες ἀδελφοὶ ἀπὸ κάποιαν σκῆτιν ἦλθον πρὸς τὸν Μεγάλον Παμβώ, φοροῦντες ὡς ἐνδύματα δέρματα ζώων. Καὶ ὁ καθεὶς ἐξ αὐτῶν ἐφανέρωσεν εἰς τὸν Παμβὼ τὴν ἀρετὴν τοῦ ἄλλου· ὁ ἕνας ἐνήστευε πολύ· ὁ δεύτερος ἦτο τελείως ἀκτήμων· ὁ τρίτος ἀπέκτησε πολλὴν ἀγάπην· ὁ δὲ τέταρτος ἐπὶ εἴκοσι δύο ἔτη συνεχῆ εὑρίσκετο εἰς τὴν ὑπακοὴν ἑνὸς Γέροντος. Ἀφοῦ λοιπὸν τοὺς ἤκουσεν ὁ Ἀββᾶς Παμβὼ ἀπήντησεν εἰς αὐτούς:

— Σᾶς διαβεβαιῶ, ὅτι ἡ ἀρετὴ τοῦ τετάρτου εἶναι μεγαλυτέρα ἀπὸ τὰς ἀρετὰς τῶν ἄλλων· διότι ὁ καθεὶς ἀπὸ σᾶς τὴν ὁποιανδήποτε ἀρετὴν ἀπέκτησεν, ἐκράτησε μὲ τὸ θέλημά του. Αὐτὸς ὅμως ἀπέκοψε τὸ θέλημά του καὶ ἐκτελεῖ θέλημα ἄλλου καὶ διὰ τοῦτο εἶναι ἀνώτερος ἀπὸ σᾶς. Αὐτοὶ οἱ ὁποῖοι ὑπακούουν εἶναι ὁμολογηταί, ἐφ᾽ ὅσον φυλάξουν τὴν ὑπακοὴν μέχρι τέλους.

Ὁ Ἀββᾶς Ροῦφος εἶπεν, ὅτι αὐτός, ὁ ὁποῖος κάθηται εἰς τὴν ὑπακοὴν τοῦ πνευματικοῦ Πατρὸς ἔχει περισσότερον μισθὸν ἀπὸ ἐκεῖνον, ποὺ μόνος του παραμένει ὡς ἀναχωρητὴς εἰς τὴν ἔρημον.

Ὁ ἴδιος Ἀββᾶς ἔλεγεν εἰς τοὺς μαθητάς του ὅσα τοῦ διηγήθη ἕνας ἐκ τῶν Πατέρων. Ἀνηρπάγην — ἐξιστόρει ὁ Πατὴρ πρὸς τὸν Ἀββᾶν — εἰς τὸν οὐρανὸν καὶ εἶδον τέσσαρας κατηγορίας ἀνθρώπων. Ἡ πρώτη κατηγορία ἦτο ἕνας ἄρρωστος, ὁ ὁποῖος ὅμως ηὐχαρίστει τὸν Θεόν· ἡ δευτέρα κατηγορία ἦτο ἐκεῖνος ποὺ φιλοξενεῖ τοὺς ἀδελφούς, τοὺς ὑποδέχεται μετὰ προθυμίας καὶ τοὺς περιποιεῖται· ἡ τρίτη κατηγορία ἦτο ἐκεῖνος ποὺ ζῇ εἰς τὴν ἔρημον μόνος του καὶ δὲν βλέπει κανένα ἄνθρωπον. Καὶ ἡ τετάρτη κατηγορία ἦτο ἐκεῖνος ποὺ ὑπακούει θεληματικῶς εἰς πνευματικὸν Πατέρα καὶ ὑποτάσσεται εἰς αὐτὸν εἰς ὅλα χάριν τοῦ Κυρίου.

Ἐκ τῶν τεσσάρων αὐτῶν κατηγοριῶν ἀνθρώπων ὁ τέταρτος, δηλαδὴ ὁ ἄνθρωπος τῆς ὑπακοῆς, ἐφόρει χρυσὸν περιδέραιον καὶ εἶχε περισσοτέραν ἀπὸ τοὺς ἄλλους, δόξαν. Μόλις εἶδον ἐγὼ τὴν δόξαν αὐτὴν — συνέχισεν ὁ Ἀββᾶς — ἠρώτησα τὸν ὁδηγόν μου· πῶς αὐτός, ὁ μικρότερος, ἔχει τὴν περισσοτέραν ἀπὸ τοὺς ἄλλους δόξαν; Ὁ ὁδηγός μου ἀπήντησεν· Ἐπειδὴ ὁ ἀσκῶν τὴν φιλοξενίαν καὶ ὁ ἀναχωρητὴς εἰς τὴν ἔρημον μὲ τὴν θέλησίν των ἐξέλεξαν τὰς ἀρετὰς αὐτάς. Ὁ ὑποτακτικὸς ὅμως ἐγκατέλειψεν ὅλα του τὰ θελήματα καὶ ἐξαρτᾶται πλήρως ἀπὸ τὸν Θεὸν καὶ τὸν πνευματικόν του Πατέρα. Δι᾽ αὐτὴν λοιπὸν τὴν αὐταπάρνησίν του ἔχει δοξασθῆ αὐτὸς περισσότερον ἀπὸ τοὺς ἄλλους.

Ὁ Ἀββᾶς Ὑπερέχιος εἶπεν· ἡ ὑπακοὴ εἶναι ὁ πολύτιμος θησαυρὸς τοῦ Μοναχοῦ· ὁ Μοναχός, ποὺ ἔχει ἀποκτήσει τὴν ὑπακοήν, θὰ εἰσακουσθῇ ἀπὸ τὸν Θεὸν καὶ μετὰ παρρησίας θὰ σταθῇ πλησίον τοῦ Ἐ-

σταυρωμένου, διότι καὶ ὁ Ἐσταυρωμένος Κύριος ὑπήκουσε μέχρι θανάτου.

† ⑨ Δύο σαρκικοὶ ἀδελφοὶ ἦλθον κάποτε νὰ κατοικήσουν εἰς ἕνα Μοναστήριον. Ἐξ αὐτῶν ὁ μὲν ἕνας ἦτο ἀσκητής, ἐνῷ ὁ ἄλλος ἐπροτίμησε τὴν ὑπακοήν. Μετὰ τοσαύτης δὲ προθυμίας ὑπήκουεν εἰς τὸν πνευματικόν του Πατέρα, ὥστε ὅσα τοῦ ἔλεγε τὰ ἐξετέλει ἀδιακρίτως. Πολλὰς φορὰς τοῦ ἔλεγε τὸ πρωΐ· φάγε, καὶ ἔτρωγε· ἄλλοτε πάλιν, μὴ φάγῃς ἕως τὸ βράδυ· καὶ δὲν ἔτρωγε. Καί, ἐν γένει, ὅ,τι διετάσσετο, τὸ ἐξετέλει μετὰ χαρᾶς. Δι' αὐτήν του τὴν ὑπακοὴν ἐδοξάζετο ἀπὸ ὅλους τοὺς Μοναχοὺς τοῦ Μοναστηρίου. Βλέπων αὐτὰ ὁ σαρκικὸς ἀδελφός του, ὁ ἀσκητής, ἐφθόνησε καὶ εἶπε μέσα του. Θὰ τὸν δοκιμάσω ἐὰν ἔχῃ πραγματικὴν ὑπακοήν. Ἦλθε λοιπὸν εἰς τὸν Ἡγούμενον καὶ τοῦ λέγει· στεῖλε τὸν ἀδελφόν μου, μαζί μου, νὰ ὑπάγωμεν κάπου, ὅπου εἶναι ἀνάγκη. Ὁ Ἡγούμενος ἐπέτρεψεν εἰς τὸν ὑποτακτικόν του νὰ φύγῃ.

Μόλις λοιπὸν οἱ δύο ἀδελφοὶ ἔφθασαν εἰς τὸν ποταμόν, ποὺ ἦτο γεμᾶτος κροκοδείλους, λέγει ὁ ἀσκητὴς εἰς τὸν ἀδελφόν του· Κατέβα εἰς τὸν ποταμὸν καὶ πέρασε. Ὁ ὑπήκοος κατέβη. Καὶ ἦλθον οἱ κροκόδειλοι καὶ ἔγλειφαν τὸ σῶμα του, χωρὶς καθόλου νὰ τὸν πειράξουν. Ὅταν εἶδεν αὐτὸ ὁ ἀσκητὴς τοῦ εἶπε· ἀνέβα ἀπὸ τὸν ποταμόν· καὶ ἀνέβη χωρὶς καμμίαν βλάβην. Βαδίζοντες, μετὰ ταῦτα, εὑρίσκουν καθ' ὁδὸν πεσμένον ἕνα νεκρὸν γυμνόν. Καὶ εἶπεν ὁ ἀσκητής. Νὰ εἴχαμεν κανένα παλαιὸν ἔνδυμα, νὰ σκεπάσωμεν τὸν νεκρόν. Καὶ ἀπήντησεν ὁ ἀδελφός· ἂς προσευχηθῶμεν καλύτερα, μήπως μᾶς ἀκούσῃ ὁ Θεὸς καὶ ἀναστηθῇ. Καὶ ἤρχισαν νὰ προσεύχωνται. Καὶ μετὰ τὴν προσευχήν, ἀνεστήθη ὁ νεκρός. Ὁ ἀσκητὴς ἐκαυχᾶτο, καὶ ἔλεγεν ὅτι χάρις εἰς τὴν ἄσκησίν μου ἀνεστήθη ὁ νεκρός.

Ὁ Θεὸς ἐφανέρωσεν ὅλα αὐτὰ τὰ γεγονότα εἰς τὸν Ἡγούμενον τοῦ Μοναστηρίου. Ὅταν λοιπὸν ἐπέστρεψαν εἰς τὸ Μοναστήριον, λέγει ὁ Ἡγούμενος πρὸς τὸν ἀσκητήν. Διατί μὲ τόσον ἐπικίνδυνον τρόπον ἐπεδίωξες νὰ δοκιμάσῃς τὸν ἀδελφόν σου εἰς τὸν ποταμόν; Μάθε λοιπόν, ὅτι διὰ τὴν ὑπακοήν του ἀνεστήθη ὁ νεκρός.

10. Ὁ Ἀββᾶς Ποιμὴν εἶπε· «μὴ μετρᾷς τὰ κατορθώματά σου· προσκολλήσου καλλίτερα εἰς αὐτόν, ποὺ ζῇ ἐναρέτως καὶ παραδειγματικῶς.

Γ'. Τοῦ Ἀββᾶ Μάρκου

Ο ΩΝ ὑπὸ ἁμαρτίαν, οὐ δύναται μόνος περιγενέσθαι τοῦ σαρκικοῦ θελήματος· διότι τὸν ἐρεθισμὸν ἄπαυστον καὶ ἐγκείμενον ἔχει τοῖς πάθεσιν. Ἐμπαθεῖς ὄντας, προσεύχεσθαι δεῖ, καὶ ὑποτάσσεσθαι. Ὁ μεθ' ὑποταγῆς πυκτεύων καὶ προσευχῆς τῷ θελήματι, ἀθλητής ἐστιν εὐμέθοδος, τὴν νοητὴν πάλην διὰ τῆς τῶν αἰσθητῶν ἀποχῆς προφανῶς ἐπιδεικνύμενος.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ ποὺ ζῇ ὑπὸ τὸν ζυγὸν τῆς ἁμαρτίας, δὲν εἶναι δυνατὸν μόνος του νὰ κατανικήσῃ τὸ σαρκικὸν θέλημα, διότι ἔχει μέσα του ἀκατάπαυστον τὸν ἐρεθισμὸν πρὸς τὰ πάθη. Ἐφ' ὅσον λοιπὸν εἴμεθα ἐπιρρεπεῖς εἰς τὰ πάθη, πρέπει νὰ προσευχώμεθα καὶ νὰ ὑποτασσώμεθα. Διότι δυσκόλως δύναται κανεὶς νὰ πολεμήσῃ χωρὶς βοήθειαν τὰς ριζωμένας ἐντὸς ἡμῶν συνηθείας. Ὁ ἀγωνιζόμενος μὲ ὑποταγὴν καὶ προσευχὴν ἐναντίον τοῦ θελήματός του εἶναι ἐπιτήδειος ἀθλητής, παρουσιάζων ὁλοφάνερα τὴν νοητὴν πάλην διὰ τῆς ἀποχῆς του ἀπὸ τὰ αἰσθητά.

Δ'. Τοῦ Ἁγίου Διαδόχου

Η ΥΠΑΚΟΗ πρῶτον ἐν πάσαις ταῖς εἰσαγωγίμοις ἀρεταῖς ὑπάρχειν ἔγνωσται καλόν· ἀθετεῖ γὰρ τὴν οἴησιν, τίκτει δὲ ἡμῖν τὴν ταπεινοφροσύνην· ὅθεν καὶ θύρα γίνεται τοῖς αὐτῆς ἀνεχομένοις ἡδέως τῆς εἰς Θεὸν ἀγάπης. Ταύτην ἀθετήσας ὁ Ἀδάμ, εἰς τὸν βύθιον ἀπωλίσθησε τάρταρον. Ταύτης ἐρασθεὶς ὁ Κύριος, τῷ τῆς οἰκονομίας λόγῳ ἄχρι θανάτου ὑπήκουσε τῷ ἑαυτοῦ Πατρί· καὶ ταῦτα ἐν οὐδενὶ ὢν ἥττων τῆς αὐτοῦ μεγαλωσύνης, ἵνα τὸ τῆς ἀνθρωπίνης παρακοῆς ἔγκλημα, διὰ τῆς ἑαυτοῦ ἐκλύσας ὑπακοῆς, εἰς τὴν μακαρίαν καὶ διαιωνίζουσαν ἐπαναγάγῃ ζωὴν τοὺς ἐν ὑπακοῇ ζήσαντας. Πρῶτον οὖν τούτου ἐπιμελεῖσθαι δεῖ τοὺς πρὸς τὴν οἴησιν τοῦ διαβόλου ἀναδεχομένους τὴν πάλην· δείξει γὰρ ἡμῖν αὕτη προσιοῦσι πάσας ἀπλανῶς τὰς τρίβους τῶν ἀρετῶν.

Ἑρμηνεία

Η ΥΠΑΚΟΗ ἔχει ἀναγνωρισθῇ ὡς τὸ πρῶτον καλὸν ἐκ τῶν ἀρχικῶν ἀρετῶν, ποὺ πρέπει νὰ ἀποκτήσῃ κανείς· διότι ἀποβάλλει τὴν ὑπερηφάνειαν, γεννᾷ δὲ εἰς ἡμᾶς τὴν ταπεινοφροσύνην. Δι' αὐτὸ καὶ γίνεται θύρα εἰς αὐτοὺς ποὺ εὐχαρίστως τὴν ἀνέχονται, ἀπὸ τὴν ὁποίαν εἰσέρχεται ἡ πρὸς τὸν Θεὸν ἀγάπη. Τὴν ὑπακοὴν ἀπέβαλεν ὁ Ἀδὰμ καὶ ἐκατρακύλησεν εἰς τὸν τάρταρον τῆς κολάσεως. Τὴν ὑπακοὴν αὐτὴν ἠγάπησεν ὁ Κύριος, καὶ κατὰ τὴν ἔνσαρκον οἰκονομίαν ὑπήκουσε μέχρι σταυροῦ καὶ θανάτου εἰς τὸν ἐπουράνιον Πατέρα Του. Ὑπήκουσε δέ, ἂν καὶ δὲν ἦτο εἰς τίποτε κατώτερος ἀπὸ τὴν μεγαλωσύνην τοῦ Ἐπουρανίου Πατρός, διὰ νὰ καταργήσῃ μὲ τὴν ὑπακοήν Του, τὸ ἔγκλημα τῆς ἀνθρωπίνης παρακοῆς, καὶ ὁδηγήσῃ πάλιν εἰς τὴν αἰώνιον καὶ μακαρίαν ζωὴν ὅσους θὰ ζήσουν εἰς τὴν ὑπακοήν. Πρῶτα - πρῶτα λοιπὸν διὰ τὴν ὑπακοὴν αὐτὴν πρέπει νὰ φροντίζουν ὅσοι ἀναλαμβάνουν τὴν πάλην πρὸς τὴν ἀλαζονίαν τοῦ διαβόλου· διότι αὐτὴ θὰ ὑποδείξῃ εἰς ἡμᾶς, ποὺ τὴν ἀποδεχόμεθα, ὅλας τὰς ὁδοὺς τῶν ἀρετῶν, χωρὶς νὰ ὑπάρχῃ κίνδυνος νὰ πλανηθῇ κανείς.

Ε'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΟΥ ΔΙ' ΑΛΛΟΥ τινὸς ἐλαττώματος οὕτως ὁ διάβολος εἰς τὸ τῆς ἀπωλείας βάραθρον κατάγει τὸν ἄνθρωπον, ὡς διὰ τοῦ πεῖσαι αὐτὸν μὴ καταδέχεσθαι τῇ διδαχῇ καὶ διατυπώσει τῶν Πατέρων τὸν ἑαυτοῦ βίον ρυθμίζειν, ἀλλ' ἀκολουθεῖν τῷ ἰδίῳ θελήματι. Ὁ γὰρ τῇ οἰκείᾳ κρίσει καὶ γνώμῃ στοιχῶν, οὐδέποτε ἀσφαλῶς ὁδεύσει, ἀλλὰ πολλὰ προσκόψει καὶ πλανηθήσεται, καὶ κινδύνους πολλοὺς καὶ χαλεποὺς ὡς ἐν σκότει βαδίζων ἀεὶ ὑποστήσεται.

Χρὴ δὲ ἡμᾶς τοῦτο μαθεῖν, καὶ ἐκ τῶν ἀνθρωπίνων τεχνῶν καὶ ἐπιστημῶν λαβόντας παραδείγματα· εἰ γὰρ ἐκείνας καὶ χερσὶ ψηλαφῶντες, ἀφ' ἑαυτῶν κατορθῶσαι ἀδυνατοῦμεν καὶ δεόμεθα τοῦ καλῶς διδάσκοντος, καὶ ἕκαστον πρᾶγμα ὑποδεικνύοντος, πῶς οὐ μωρὸν καὶ ἀνόητον τὸ τὴν πνευματικὴν τέχνην, τὴν τῶν πασῶν τεχνῶν καὶ ἐπιστημῶν δυσχερεστέραν καὶ ἐπιπονωτέραν, νομίζειν κατορθοῦν ἄνευ διδασκάλου; ἥτις οὐ σωματική ἐστι καὶ ὁρωμένη, καθὼς αἱ λοιπαὶ τέχναι περὶ τὰ σωματικὰ μόνα καταγινόμεναι, ἀλλὰ κεκρυμμένη τε καὶ ἀόρατος, ἅτε καὶ πρὸς μόνην τὴν ψυχὴν ἀποβλέπουσα, καὶ σκοπὸν τοῦτον ἔχουσα, τοῦ ταύτην θεοειδῆ ἀπεργάσασθαι· ἧς τινος τέχνης ἡ ἀποτυχία οὐ πρόσκαιρον ἐμποιεῖ ζημίαν, ἀλλὰ ψυχῆς ἀπώλειαν προξενεῖ καὶ αἰώνιον θάνατον καὶ κόλασιν.

Ἑρμηνεία

ΜΕ ΚΑΝΕΝΑ ἄλλο ἐλάττωμα δὲν κατακρημνίζει τόσον ἀποτελεσματικῶς ὁ διάβολος τὸν ἄνθρωπον εἰς τὸ βάραθρον τῆς ἀπωλείας, ὅσον μὲ τὸ νὰ τὸν πείσῃ νὰ μὴ καταδέχεται νὰ ρυθμίζῃ τὴν ζωήν του συμφώνως πρὸς τὰς διδασκαλίας καὶ συμβουλὰς τῶν Πατέρων, ἀλλὰ νὰ ἀκολουθῇ τὸ θέλημά του. Διότι ἐκεῖνος ποὺ ἀκολουθεῖ τὴν ἰδικήν του κρίσιν καὶ γνώμην, οὐδέποτε θὰ βαδίσῃ μὲ ἀσφάλειαν, ἀλλὰ θὰ σκοντάψῃ εἰς πολλὰ ἐμπόδια καὶ θὰ πλανηθῇ καὶ θὰ ἀντιμετωπίσῃ πολλοὺς καὶ φοβεροὺς κινδύνους, ὡς νὰ βαδίζῃ συνεχῶς μέσα εἰς σκότος.

Ἡμεῖς δὲ τοῦτο πρέπει νὰ μάθωμεν, παραδειγματιζόμενοι ἀπὸ τὰς τέχνας καὶ ἐπιστήμας τῶν ἀνθρώπων. Ἐὰν δηλαδὴ τὰς τέχνας καὶ τὰς ἐπιστήμας, ἂν καὶ τὰς ψηλαφῶμεν μὲ τὰ χέρια μας, ἐν τούτοις δὲν δυνάμεθα μόνοι μας νὰ τὰς ἐκμάθωμεν, ἀλλ' ἔχομεν ἀνάγκην ἀπὸ καλὸν διδάσκαλον, ποὺ θὰ μᾶς ὑποδεικνύῃ τὸ κάθε πρᾶγμα, πῶς λοιπὸν δὲν θὰ εἶναι μωρὸν καὶ ἀνόητον νὰ νομίζωμεν, ὅτι θὰ κατορθώσωμεν νὰ ἐκμάθωμεν χωρὶς διδάσκαλον τὴν πνευματικὴν τέχνην, ποὺ εἶναι ἡ δυσκολωτέρα καὶ περισσότερον κουραστικὴ ἀπὸ ὅλας τὰς τέχνας καὶ ἐπιστήμας; Ἡ ὁποία πνευματικὴ τέχνη δὲν εἶναι σωματικὴ καὶ ὁρατή, ὅπως ὅλαι αἱ ἄλλαι τέχναι ποὺ καταγίνονται περὶ τὰ σωματικά, ἀλλὰ ἀόρατος καὶ ἀπόκρυφος, ὡς ἀποβλέπουσα πρὸς μόνην τὴν ψυχὴν καὶ ἔχουσα ὡς σκοπὸν νὰ καταστήσῃ αὐτὴν θεοειδῆ. Ἡ ἀποτυχία εἰς τὴν τέχνην αὐτὴν δὲν ἐπιφέρει πρόσκαιρον ζημίαν, ἀλλὰ προξενεῖ ἀπώλειαν ψυχῆς καὶ αἰώνιον θάνατον καὶ κόλασιν.

ΣΤ'. Τοῦ Ἁγίου Μαξίμου

Ο ΜΕΝ τοῦ Θεοῦ καὶ Πατρὸς Θεὸς Λόγος ἑκάστῃ μυστικῶς ἐνυπάρχει τῶν οἰκείων ἐντολῶν· ὁ δὲ Θεὸς καὶ Πατὴρ ὅλος ἐστὶν ἀχώριστος ἐν ὅλῳ τῷ οἰκείῳ Λόγῳ φυσικῶς. Ὁ τοίνυν δεχόμενος τὴν θείαν ἐντολὴν καὶ ποιῶν αὐτήν, τὸν ἐν αὐτῇ τοῦ Θεοῦ δέχεται Λόγον· ὃν διὰ τῶν ἐντολῶν δεξάμενος, δι' Αὐτοῦ καὶ τὸν ἐν Αὐτῷ φυσικῶς ὄντα συνεδέξατο Πατέρα. Ἔτσι δὲ καὶ τὸ Πνεῦμα τὸ ἐν Αὐτῷ φυσικῶς ὄν· ἀμὴν γάρ φησι λέγω ἡμῖν· ὁ λαμβάνων ὅν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνειν τὸν πέμψαντά με· ὁ γοῦν ἐντολὴν δεξάμενος καὶ ποιήσας αὐτήν, λαβὼν ἔχει μυστικῶς τὴν Ἁγίαν Τριάδα.

Ἑρμηνεία

† Ο ΜΕΝ Θεὸς Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς εὑρίσκεται μυστικῶς μέσα εἰς ἑκάστην ἰδικήν του ἐντολήν· ὁ δὲ Θεὸς καὶ Πατὴρ εἶναι, κατὰ φύσιν, ὅλος ἀχώριστος ἀπὸ τὸν ἰδικόν του Λόγον. Αὐτὸς λοιπὸν ποὺ δέχεται τὴν θείαν ἐντολὴν καὶ ἐφαρμόζει αὐτὴν δέχεται καὶ τὸν Λόγον τοῦ Θεοῦ, ποὺ ὑπάρχει μέσα εἰς αὐτήν. Ἀφοῦ δέ, διὰ τῶν ἐντολῶν, ἐδέχθη τὸν Λόγον, ἐδέχθη συγχρόνως καὶ τὸν φυσικῶς μὲ τὸν Θεὸν Λόγον ὑπάρχοντα Πατέρα. Ἀκόμη δὲ καὶ τὸ Ἅγιον Πνεῦμα, ποὺ συνυπάρχει φυσικῶς εἰς Αὐτόν. Λέγει δηλαδὴ τὸ Ἱερὸν Εὐαγγέλιον «Ἀληθῶς σᾶς λέγω, ὅτι ἐκεῖνος ποὺ λαμβάνει αὐτὸν ποὺ θὰ στείλω, ἐμὲ λαμβάνει· ἐκεῖνος δὲ ποὺ λαμβάνει ἐμέ, λαμβάνει τὸν ἀποστείλαντά με» (Ἰωάν. ιγ', 20). Ἐκεῖνος λοιπὸν ποὺ ἐδέχθη ἐντολὴν καὶ τὴν ἐξετέλεσε, ἔλαβε καὶ κρατεῖ μυστικῶς μέσα του τὴν Ἁγίαν Τριάδα.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἰωσὴφ ὁ Θηβαῖος, ὅτι τρία πράγματά ἐστιν ἔντιμα ἐνώπιον Κυρίου· ὅταν ἄνθρωπος ἀσθενῇ, καὶ προστίθενται αὐτῷ πειρασμοί, καὶ μετ' εὐχαριστίας δέχηται αὐτούς· τὸ δὲ δεύτερον, ὅταν τις ποιῇ πάντα τὰ ἔργα αὐτοῦ καθαρὰ ἐνώπιον τοῦ Θεοῦ, καὶ μηδὲν ἔχοντα ἀνθρώπινον· τὸ δὲ τρίτον, ὅταν τις ἐν ὑποταγῇ καθέζηται πατρὸς πνευματικοῦ καὶ πᾶσιν ἀποτάσσηται τοῖς ἰδίοις θελήμασιν· ἔχει δὲ οὗτος ἕνα στέφανον περισσόν.

2. Εἶπε γέρων· γενοῦ ὡς κάμηλος βαστάζων τὰς ἁμαρτίας σου καὶ δεδεμένος ἀκολουθῶν τῷ ἐπισταμένῳ τὴν ὁδὸν τοῦ Θεοῦ.

3. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· ὅτι ποιῶ πάντα τὰ πρέποντα ἐν τῷ κελλίῳ μου καὶ οὐχ εὑρίσκω παράκλησιν παρὰ τοῦ Θεοῦ· καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· τοῦτό σοι συμβαίνει, διὰ τὸ συντρίβειν σε ἀπραγοτέρῳ καὶ βούλεσθαί σε τὸ θέλημά σου προβῆναι· λέγει ὁ ἀδελφὸς τῷ γέροντι· τί οὖν κελεύεις ἵνα ποιήσω, πάτερ; ἔφη ὁ γέρων· ἄπελθε, κολλήθητι ἀνθρώπῳ φοβουμένῳ τὸν Θεόν, καὶ ταπείνωσον σεαυτὸν αὐτῷ ἐκδοὺς τὸ θέλημά σου· καὶ τότε εὑρήσεις παράκλησιν παρὰ τοῦ Θεοῦ.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἰωσὴφ ὁ Θηβαῖος εἶπεν, ὅτι τρία πράγματα εἶναι σπουδαῖα ἐνώπιον τοῦ Κυρίου· ὅταν ὁ ἄνθρωπος ἀσθενῇ καὶ τοῦ προστίθενται πειρασμοί, καὶ αὐτὸς εὐχαρίστως τοὺς δέχεται. Τὸ δεύτερον δὲ εἶναι, ὅταν ὁ ἄνθρωπος ἐκτελῇ ὅλα τὰ ἔργα του καθαρὰ ἐνώπιον τοῦ Θεοῦ, χωρὶς νὰ ἔχουν τίποτε τὸ ἀνθρώπινον. Τὸ δὲ τρίτον εἶναι ὅταν κανεὶς ὑποταχθῇ εἰς πνευματικὸν Πατέρα καὶ ἀπαρνεῖται ὅλα τὰ θελήματά του. Αὐτὸς μάλιστα ἔχει ἕνα στέφανον περισσότερον.

+ 2. Ἕνας Γέρων εἶπε· Νὰ γίνῃς ὅπως ἡ κάμηλος,* νὰ σηκώνῃς τὰς ἁμαρτίας σου καὶ δεμένος μὲ τὴν ὑπακοὴν νὰ ἀκολουθῇς αὐτὸν ποὺ γνωρίζει τὸν δρόμον τοῦ Θεοῦ.

3. Ἕνας ἀδελφὸς ἠρώτησε Γέροντα:

— Κάνω ὅλα τὰ καθήκοντά μου εἰς τὸ κελλί μου καὶ δὲν λαμβάνω καμμίαν παρηγορίαν ἀπὸ τὸν Θεόν.

Ὁ Γέρων τοῦ ἀπήντησε:

— Αὐτὸ σοῦ συμβαίνει, διότι καταπιέζεις τὸν ἑαυτόν σου, ἐνῷ ἀκόμη εἶσαι ἄπραγος (δὲν ἔχεις δοκιμασθῆ) καὶ θέλεις νὰ γίνῃ τὸ θέλημά σου.

Ὁ ἀδελφὸς ἐρωτᾷ ἐκ δευτέρου:

— Τί λοιπόν, Πάτερ, παραγγέλλεις νὰ κάμω;

Ὁ Γέρων ἀπήντησε:

— Πήγαινε, προσκολλήσου εἰς ἄνθρωπον, ποὺ φοβεῖται τὸν Θεὸν καὶ ταπεινώσου εἰς αὐτὸν ἀπορρίπτων τελείως τὸ θέλημά σου· καὶ τότε θὰ δοκιμάσῃς τὴν ἐκ Θεοῦ παρηγορίαν.

Η'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΔΙΑ τὸ μὴ βούλεσθαι ἡμᾶς μικρὰν θλῖψιν ὑπομεῖναι διὰ τὸν Κύριον, περιπίπτομεν ἀκουσίως εἰς πολλὰς καὶ κακὰς θλίψεις· καὶ διὰ τὸ μὴ θέλειν ἡμᾶς καταλιπεῖν τὸ ἴδιον θέλημα διὰ τὸν Κύριον, ἑαυτοῖς προξενοῦμεν ζημίαν ψυχῆς καὶ ὄλεθρον· καὶ διὰ τὸ μὴ ἀνέχεσθαι ἡμᾶς ἐν ὑποταγῇ καὶ ἐξουδενώσει εἶναι ἢ γενέσθαι διὰ τὸν Κύριον, ἑαυτοὺς στερίσκομεν τῆς παρακλήσεως τῶν δικαίων· καὶ διὰ τὸ μὴ πειθαρχεῖν ἡμᾶς τῇ νουθεσίᾳ τῶν νομοθετούντων ἡμᾶς διὰ τὸν Κύριον, ἑαυτοὺς ποιοῦμεν ἐπίχαρμα τοῖς πονηροῖς δαίμοσι· καὶ διὰ τὸ

---

* Ἐπειδὴ ἡ κάμηλος ὡς φορτηγὸν ζῷον σηκώνει μεγάλο βάρος καὶ ἀντέχει εἰς τὴν ὁδοιπορίαν καὶ κακουχίαν, ἀκολουθεῖ δὲ πιστῶς τὸν ὁδηγόν της, ἀλλὰ καὶ διότι διατηρεῖ καλῶς τὴν ἀνάμνησιν ἐκείνων οἱ ὁποῖοι τῆς ἔκαμαν καλὸν καὶ τοὺς ἀγαπᾷ, τοὐναντίον δὲ ἐχθρεύεται αὐτοὺς οἱ ὁποῖοι τὴν ἔβλαψαν, διὰ τοῦτο λέγει ἐνταῦθα ὁ γέρων: γενοῦ ὡς ἡ κάμηλος· ἤτοι ἐνθυμοῦ τὸ βάρος τῶν ἁμαρτιῶν σου καὶ ἀκολούθει πιστῶς τὸν γνωρίζοντα τὸν δρόμον τοῦ Θεοῦ, τὴν ὁδὸν τῆς σωτηρίας, φεῦγε δὲ τὸν παραβλάψαντά σε διάβολον διὰ νὰ σωθῇς.

μὴ καταδέχεσθαι ἡμᾶς τὴν ἐν ράβδῳ παιδείαν, ἡ κάμινος τοῦ ἀσβέστου πυρὸς ἡμᾶς διαδέξεται· ἔνθα οὐκ ἔσται παράκλησις.

Ἑρμηνεία


ΕΠΕΙΔΗ δὲν θέλομεν νὰ ὑπομείνωμεν μικρὰν θλῖψιν χάριν τοῦ Κυρίου, περιπίπτομεν, παρὰ τὴν θέλησίν μας, εἰς πολλὰς καὶ κακὰς θλίψεις. Καὶ διότι δὲν θέλομεν νὰ ἐγκαταλείψωμεν τὸ ἰδικόν μας θέλημα χάριν τοῦ Κυρίου, προξενοῦμεν εἰς τοὺς ἑαυτούς μας ζημίαν ψυχῆς καὶ καταστροφήν. Καὶ ἐπειδὴ δὲν ἀνεχόμεθα νὰ εἴμεθα εἰς ὑποταγὴν καὶ περιφρόνησιν χάριν τοῦ Κυρίου, στεροῦμεν τοὺς ἑαυτούς μας ἀπὸ τὴν παρηγορίαν τῶν δικαίων. Καὶ ἐπειδὴ δὲν πειθαρχοῦμεν εἰς τὴν νουθεσίαν ὅσων θέτουν εἰς ἡμᾶς νόμους χάριν τοῦ Κυρίου, γινόμεθα παίγνιον τῶν πονηρῶν δαιμόνων. Καὶ μὲ τὸ νὰ μὴ ἀνεχώμεθα τὴν αὐστηρὰν ἀνατροφήν, τὴν ὁποίαν συμβολίζει ἡ ράβδος, θὰ μᾶς δεχθῇ ἡ κάμινος τοῦ πυρός, ποὺ δὲν σβύνει ποτέ, ὅπου δὲν ὑπάρχει πλέον καμμία παρηγορία.

Θ'. Τοῦ Ἀββᾶ Μάρκου

ΜΗ γίνου μαθητὴς τοῦ ἐπαινοῦντος ἑαυτόν, ἵνα μή, ἀντὶ ταπεινοφροσύνης, ὑπερηφανίαν μάθῃς.

Ἑρμηνεία

† ΝΑ μὴ γίνῃς μαθητὴς αὐτοῦ ποὺ ἐπαινεῖ τὸν ἑαυτόν του, διὰ νὰ μὴ μάθῃς τὴν ὑπερηφάνειαν ἀντὶ τῆς ταπεινοφροσύνης.





ΥΠΟΘΕΣΙΣ Κ΄

Περὶ τοῦ ὅτι οὐ δεῖ ἑαυτῷ ἔν τινι καταπιστεύειν, ἀλλὰ τῆς τῶν Πατέρων συμβουλίας μετέχειν πάντα καὶ τὰ τῆς καρδίας ἀπόῤῥητα καθαρῶς ἐξαγορεύονται καὶ μηδὲν ἀποκρύπτοντα.

Περὶ τοῦ ὅτι δὲν πρέπει νὰ ἐμπιστεύεται κανεὶς εἰς τὸν ἑαυτόν του διὰ τίποτε, ἀλλὰ νὰ ἀκούῃ τὴν συμβουλὴν τῶν πατέρων εἰς ὅλα καὶ νὰ ἐξομολογῆται καθαρῶς τὰ μυστικὰ τῆς καρδίας του, χωρὶς νὰ ἀποκρύπτῃ τίποτε.



Α΄. Παλλαδίου



ΗΡΩΝ τις γέγονεν Ἀλεξανδρεύς, γειτνιῶν μοι, ἀστεῖος, νεώτερος, εὐφυὴς τὴν διάνοιαν, καθαρὸς τὸν βίον, καθ᾽ ὑπερβολὴν λεπτὸς τῇ ἀρίστῃ πολιτείᾳ, ὡς πολλοὺς τῶν συνήθων αὐτοῦ λέγειν· ὅτι πολλάκις διὰ τριῶν μηνῶν ἐσθίει μόνῃ τῇ κοινωνίᾳ ἀρκούμενος, καὶ εἴ που παραφανείῃ ἀγριολάχανον. Πεῖραν δὲ τούτου ἔσχον κἀγώ, σὺν τῷ μακαρίτῃ Ἀλβίνῳ ἐπὶ τὴν σκῆτιν ἀπιόντες, ἀπεχούσῃ ἀφ᾽ ἡμῶν ἐπὶ τεσσαράκοντα σημείοις· καὶ ἐν τούτοις ὁδεύοντες ἡμεῖς, δεύτερον ἐφάγομεν καὶ ἐπίομεν· ἐκεῖνος δὲ μηδόλως γευσάμενος, πεζεύων ἀπεστήθισε ψαλμούς, τὸν μέγαν καὶ ἄλλους δεκαπέντε· τὴν πρὸς Ἑβραίους Ἐπιστολήν· καὶ Ἡσαΐαν· καὶ μέρος Ἱερεμίου τοῦ προφήτου· καὶ Λουκᾶν τὸν Εὐαγγελιστήν· καὶ τὰς Παροιμίας· καὶ τοῦτον καταλαβεῖν οὐχ ἠδυνήθημεν βαδίζοντα· ὃς μετὰ πόνους μεγάλους καὶ ἱδρῶτας γενναίους. τῷ τύφῳ τῆς ἀπονοίας ἀρθεὶς εἰς ὕψος μετέωρος, κἀκεῖθεν ἐλεεινὸν πτῶμα πᾶσι κατενεχθείς, καὶ τῶν Ἁγίων Πατέρων οἰήσει ματαίᾳ κατεπαρθείς, πάντας αὐτοὺς ἐξύβριζε λέγων· ὅτι οἱ πειθόμενοι ὑμῶν τῇ διδασκαλίᾳ ἀπατῶνται· οὐ χρὴ γὰρ διδασκάλοις ἑτέροις χρῆσθαι, παρεκτὸς τοῦ Χριστοῦ μόνου· ὅτι αὐτὸς ὁ Σωτὴρ εἶπε· μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς.

Ἐπὶ τοσοῦτον οὖν καὶ αὐτὸς ὡς ὁ προγραφεὶς Οὐάλης ἐσκοτίσθη τὴν διάνοιαν τῇ ὀλεθρίᾳ ὑπερηφανίᾳ ἄνωθεν κάτω ἐλθών, ὡς ὕστερον σιδηρωθῆναι καὶ αὐτὸν καὶ μηδὲ τοῖς θείοις μυστηρίοις θέλειν προσέρχεσθαι. Τελευταῖον δὲ ὡς ὑπὸ σφοδροτάτου πυρὸς ὑπὸ τοῦ δαίμονος ἐλαθείς, κατῆλθεν εἰς Ἀλεξάνδρειαν θείᾳ προνοίᾳ, ὥς τε ἥλῳ τὸν ἧλον ἀποκρούσασθαι.

Περιέπεσε γὰρ ἀδιαφορίαις, καὶ ἐν θεατρικοῖς καὶ ἱπποδρομίαις καὶ καπηλείοις τὰς διατριβὰς εἶχε· τέλος καὶ εἰς τὴν ἐπιθυμίαν τῆς γυναικομανίας ληφθείς, ὡς ἐσκέπτετο ἁμαρτῆσαι, μιμάδι τινὶ συνεχῶς τὰ πρὸς τὸ ἕλκος αὐτοῦ διελέγετο. Καὶ ἐν τοῖς τοιούτοις ὄντι γέγονεν αὐτῷ, κατά τινα οἰκονομίαν, ἄνθραξ κατὰ τῆς βαλάνου· καὶ ἐπὶ ἕξ μῆνας τοσοῦτον ἐνόσησεν, ὡς κατασαπῆναι αὐτοῦ τὰ μόρια καὶ αὐτομάτως ἀποπεσεῖν. Ὕστερον δὲ ὑγιάνας, καὶ εἰς συναίσθησιν ἐλθών, ἐπανῆλθεν ἄνευ τῶν μελῶν τούτων· καὶ εἰς μνήμην τῆς οὐρανίου πολιτείας ἐν θείῳ φρονήματι γεγονώς, καὶ ἐξομολογησάμενος τοῖς Πατράσι πάντα τὰ συμβεβηκότα αὐτῷ, ἐνεργῆσαι τῇ πολιτείᾳ μὴ φθάσας, μετ' ὀλίγας ἡμέρας ἐκοιμήθη.

2. Ἄλλος τις πάλιν, Πτολεμαῖος ὀνόματι, δυσδιήγητον ἀρετῆς βίον ἀσκήσας τὸ κατ' ἀρχάς, ᾤκησεν ἐπέκεινα τῆς σκήτεως, εἰς τόπον καλούμενον Κλίμακα, εἰς ὃν οὐδεὶς ἠδυνήθη οἰκῆσαι τῶν Μοναχῶν, διὰ τὸ ἀπέχειν αὐτὸν ἀπὸ τοῦ ὕδατος σημεῖα δεκαοκτώ· ἐκεῖνος δὲ βαστάσας κεράμια καὶ σπόγγον, τὴν ἐν τῷ Δεκεμβρίῳ καὶ Ἰανουαρίῳ μηνὶ κατερχομένην δρόσον συνάγων, καὶ ἐν τοῖς κεραμίοις ἐμβάλλων, διήρκεσεν ἑαυτῷ ἐπὶ δεκαπέντε ἔτη οὕτω ποιῶν καὶ ἐν τοσούτῳ χρόνῳ μὴ συντυχὼν ὅλως τινί· ἀποξενωθεὶς οὖν διδασκαλικῆς ὠφελείας καὶ συντυχίας ἁγίων Πατέρων, καὶ συνεχοῦς κοινωνίας τῶν ἁγίων μυστηρίων τοῦ Χριστοῦ, ἐπὶ τοσοῦτον ἐμάνη ἐκτραπεὶς τῆς εὐθείας ὁδοῦ, ὥς τε εἰς τὸν ἀσεβῆ αὐτοματισμὸν ἐμπεσεῖν. Τούτῳ γὰρ ὁ δυσμενὴς ὑπέθετο λέγειν μηδεμίαν οὐσίαν ἔχειν τὰ πράγματα, ἀλλ' ἁπλῶς εἶναι τὰ πάντα ἐκ τοῦ τὸν κόσμον αὐτομάτως φέρεσθαι.

Τοῦτο οὖν προϋποθέμενος αὐτῷ ὁ πολέμιος τῆς πάντων ζωῆς, ἔπειτα ἐνσκήψας ὅλως εἰς τὴν τούτου ψυχήν, ἔλεγε· τούτων λοιπὸν οὕτως ἐχόντων, τί μάτην σεαυτὸν οὕτω καταδαμάζεις, ἵνα εἰς τί σε ὀνήσῃ μὴ οὔσης ἀντιμισθίας; ποῖος δέ σοι μισθὸς ἐξήρκεσεν ἂν τούτων τῶν πόνων; ἢ τίς ὁ ἀνταποδιδούς σοι; ποία δὲ καὶ κρίσις ἐστὶν ἣν ἀπειλοῦσιν αἱ γραφαὶ ἀπρονοήτων ὑπαρχόντων ἁπάντων;

Τούτοις τοῖς σατανικοῖς λογισμοῖς κυριευθεὶς ὁ ἄθλιος Πτολεμαῖος, ἀποστὰς τῆς ἀσκήσεως, λέγεται φέρεσθαι μετέωρος. ἐξεστηκὼς τῶν κατὰ φύσιν φρενῶν, μέχρι τῆς σήμερον ἀλώμενος ἐν Αἰγύπτῳ, ἔκδοτον ἑαυτὸν γαστριμαργίᾳ καὶ οἰνοφλυγίᾳ δεδωκώς, μηδενὶ μηδὲν ὁμιλῶν, ἀλλ' ἐνεὼς ἀνακάμπτων τὴν ἀγοράν, ἐλεεινὸν θέαμα καὶ πλῆρες δακρύων προκείμενος χριστιανῶν ὀφθαλμοῖς, καὶ εἰς χλεύην τοῖς ἀγνοοῦσι τὸν ἡμέτερον βίον. Αὕτη δὲ ἡ ἀνίατος συμφορὰ κατειλήφει τὸν ἐλεεινὸν Πτολεμαῖον ἐκ τῆς ἀλόγου οἰήσεως, ἐν τῷ νομίζειν αὐτὸν γνῶσιν ἔχειν ὑπὲρ πάντας τοὺς ἁγίους Πατέρας, μηδέποτε αὐτοῖς συντυχών, ὥς τε τῇ τούτων διδασκαλίᾳ κυβερνηθῆναι· ἀλλ' ἀκυβέρνητος εὑρεθείς, εἰς τὸν ἔσχατον πυθμένα τοῦ ψυχικοῦ κατέπεσε θανάτου· οἷς γὰρ μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν ὥς περ φύλλα.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἔζη ἕνας Ἀλεξανδρινὸς ὀνομαζόμενος Ἥρων· μὲ αὐτὸν εἴμεθα γείτονες. Αὐτὸς ὁ Ἥρων ἦτο νεώτερος ἀπὸ ἐμέ, εὐγενής, ἔξυπνος, μὲ βίον καθαρόν, καὶ ὑπερβολικὰ ἀδύνατος ἐξ ἀφορμῆς τῆς ἀρίστης πολιτείας του ὡς μοναχοῦ· ὥστε πολλοὶ ἀπὸ τοὺς γνωστούς του νὰ λέγουν, ὅτι πολλάκις ἔτρωγε κάθε τρεῖς μῆνας ἀρκούμενος μόνον

εἰς τὴν ἁγίαν κοινωνίαν καὶ εἰς κανένα ἀγριολάχανον, ἐὰν κάποτε ἐφύτρωνε εἰς τὸν τόπον ἐκεῖνον.

Τὸν Ἥρωνα ἐγνώρισα καὶ ἐγὼ ἐκ τοῦ πλησίον, ὅταν, κάποτε, ἐπήγαμεν εἰς τὴν σκῆτιν, μαζὶ μὲ τὸν μακαρίτην τὸν Ἀλβῖνον, ἡ ὁποία ἦτο μακρὰν ἀπὸ ἡμᾶς τεσσαράκοντα σημεῖα. Κατὰ τὸ διάστημα αὐτό, ποὺ ἐβαδίζαμεν, ἡμεῖς ἐφάγομεν καὶ ἐπίομεν διὰ δευτέραν φοράν, ἐνῷ ἐκεῖνος δὲν ἔβαλε τίποτε εἰς τὸ στόμα του· καὶ καθὼς ἐπεζοπόρει ἀπήγγελλεν ἀπὸ στήθους ψαλμούς, τὸν μέγαν (τὸν Ἄμωμον) καὶ ἄλλους δέκα πέντε, τὴν πρὸς Ἑβραίους Ἐπιστολήν, καὶ τὸν Ἡσαΐαν, ὡς καὶ μέρος τοῦ προφήτου Ἱερεμίου, καὶ τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον καὶ τὰς Παροιμίας· παρὰ ταῦτα δὲ ἡμεῖς δὲν ἠμπορούσαμεν νὰ τὸν προφθάσωμεν καθὼς ἐβάδιζεν. Αὐτὸς λοιπὸν ὁ τόσον ἐνάρετος καὶ ἀσκητικός, μετὰ τόσον μεγάλους κόπους καὶ πολλοὺς ἱδρῶτας, τόσον πολὺ ἐκυριεύθη ἀπὸ τὴν ὑπερηφάνειαν, καὶ ἀπ' ἐκεῖ κατεκρημνίσθη, εἰς πτῶσιν δι' ὅλους ἀξιοθρήνητον· καταληφθεὶς δὲ ἀπὸ ματαίαν ἀλαζονείαν, καὶ θεωρῶν τὸν ἑαυτόν του ἀνώτερον ἀπὸ τοὺς Ἁγίους Πατέρας, ὅλους τοὺς ἐξύβριζε λέγων· «ὅσοι ὑπακούουν εἰς τὴν διδασκαλίαν σας ἀπατῶνται, διότι δὲν πρέπει νὰ ἔχωμεν ἄλλον διδάσκαλον ἐκτὸς μόνον ἀπὸ τὸν Χριστόν, διότι ὁ ἴδιος ὁ Σωτὴρ εἶπε νὰ μὴ ὀνομάσωμεν ἐπάνω εἰς τὴν γῆν κανένα ἄνθρωπον διδάσκαλον».

Τόσον πολὺ λοιπὸν καὶ αὐτός, ὅπως καὶ ὁ Οὐάλης,* τὸν ὁποῖον περιέγραψα, ἐσκοτίσθη εἰς τὴν διάνοιάν του ἀπὸ τὴν ὀλεθρίαν ὑπερηφάνειαν καὶ κατέπεσεν ἀπὸ τὸ ὕψος τῆς ἀρετῆς, ὥστε μετὰ ἐκλείσθη καὶ αὐτὸς εἰς τὸ κελλίον του, καὶ δὲν ἤθελεν οὔτε εἰς τὰ θεῖα μυστήρια νὰ προσέρχεται. Τελευταῖον δὲ παρασυρθεὶς ὑπὸ τοῦ δαίμονος, ὡς νὰ κατεφλέγετο ἀπὸ σφοδρότατον πῦρ, κατῆλθεν εἰς Ἀλεξάνδρειαν, ὥστε μὲ καρφὶ νὰ ξεκαρφώσῃ τὸ καρφί.** Εἰς τοιαύτην ἀδιαφορίαν περιέπεσεν, ὥστε ἐσύχναζεν εἰς θέατρα, ἱπποδρόμια καὶ καπηλεῖα· τελευταίως δὲ κατελήφθη καὶ ἀπὸ ἀκόλαστον ἐπιθυμίαν διὰ γυναῖκα, ὥστε ἐσκέπτετο νὰ ἁμαρτήσῃ, ἐγνώρισε δὲ καὶ μίαν ἠθοποιὸν πρὸς τὴν ὁποίαν συνεχῶς ὡμίλει διὰ τὸ πάθος του αὐτό.

Ἐνῷ ὅμως εὑρίσκετο εἰς αὐτὴν τὴν κατάστασιν, κατ' οἰκονομίαν Θεοῦ, παρουσιάσθη εἰς τὴν βάλανον τοῦ ἀποκρύφου μέλους του ἄνθραξ. Καὶ ἐπὶ ἓξ μῆνας τόσον πολὺ ἀρρώστησεν, ὥστε νὰ σαπίσουν τελείως τὰ ἀπόκρυφα μέλη του καὶ μόνα των νὰ ἀποπέσουν. Ὅταν ἔγινε καλὰ καὶ συνῆλθε καὶ ἀπὸ τὸν πυρετὸν τῆς ἁμαρτίας, ἐπανῆλθεν εἰς τὴν σκῆτιν χωρὶς τὰ ἀπόκρυφα μέλη του. Ἐκεῖ ἐνεθυμήθη τὴν οὐράνιον πολιτείαν του ἀποκτήσας καὶ πάλιν τὸ θεῖον φρόνημα, ἐξωμολογήθη εἰς τοὺς Πα-

---

* Ὁ Οὐάλης οὗτος ἀναφέρεται ἐν τῷ Λαυσαϊκῷ πρὸ τοῦ Ἥρωνος, ὅστις ἐξέπεσε διὰ τὴν ὑπερηφάνειάν του.

** Ἔκφρασις ἀνάλογος πρὸς τὴν ἀρχαίαν παροιμίαν: «πάσσαλος πασσάλῳ ἐκκρούεται».

τέρας ὅλα ὅσα τοῦ συνέβησαν· μὴ προφθάσας ὅμως διὰ τῆς ἐναρέτου πολιτείας νὰ ἐκδηλώσῃ τὴν μετάνοιάν του μετ' ὀλίγας ἡμέρας ἐκοιμήθη.

2. Ἕνας ἄλλος πάλιν, ὀνομαζόμενος Πτολεμαῖος, τοῦ ὁποίου τὸν ἐνάρετον βίον εἶναι δύσκολον νὰ διηγηθῇ κανείς, κατώκησε κατ' ἀρχάς, ὡς ἀσκητής, μακρὰν ἀπὸ τὴν σκήτην, εἰς μίαν τοποθεσίαν, ποὺ ἐλέγετο Κλῖμαξ, καὶ εἰς τὴν ὁποίαν δὲν ἠδυνήθη, μέχρι τότε, νὰ κατοικήσῃ κανεὶς ἄλλος Μοναχός, ἐπειδὴ ἀπεῖχεν ἀπὸ τὴν πηγὴν τοῦ νεροῦ δεκαοκτὼ σημεῖα. Ὁ Πτολεμαῖος ὅμως ἐπρομηθεύθη πήλινα ἀγγεῖα καὶ μὲ ἕνα σπόγγον ἐμάζευε τὴν δρόσον,* ἡ ὁποία κατέρχεται εἰς τὰ ἔρημα ἐκεῖνα μέρη κατὰ τὰς νύκτας τοῦ Δεκεμβρίου καὶ Ἰανουαρίου καὶ τὴν ἔβαζε μέσα εἰς τὰ ἀγγεῖα.

Ὑπὸ τὰς σκληρὰς αὐτὰς συνθήκας παρέμεινεν εἰς τὸν τόπον ἐκεῖνον ἐπὶ δέκα πέντε ἔτη, κατὰ τὸ διάστημα τῶν ὁποίων δὲν συνήντησε κανένα. Ἀπεξενώθη λοιπὸν ἀπὸ κάθε διδασκαλικὴν ὠφέλειαν καὶ ἀπὸ κάθε συναναστροφὴν μὲ Ἁγίους Πατέρας καὶ ἐστερήθη τῆς συνεχοῦς κοινωνίας τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων. Ἀποτέλεσμα τῆς ἀποξενώσεως αὐτῆς ὑπῆρξε νὰ καταληφθῇ ἀπὸ τόσον μεγάλην μανίαν καὶ νὰ ἐκτραπῇ ἀπὸ τὴν εὐθεῖαν ὁδόν, ὥστε νὰ περιπέσῃ εἰς τὸν ἀσεβῆ αὐτοματισμόν.* Ὁ διάβολος δηλαδὴ τὸν παρεκίνησε νὰ πιστεύῃ καὶ νὰ λέγῃ ὅτι τὰ διάφορα πράγματα τοῦ κόσμου δὲν εἶναι δημιουργήματα τοῦ Θεοῦ, ἀλλὰ πὼς ὑπάρχουν δημιουργηθέντα αὐτομάτως.

Ἀφοῦ λοιπὸν κατ' ἀρχὴν ὁ ἐχθρὸς τῆς ζωῆς ὅλων ἐνέβαλεν εἰς τὸν νοῦν τοῦ Πτολεμαίου αὐτὴν τὴν ἀνόητον πλάνην, μετὰ ταῦτα εἰσῆλθε καὶ ὁλόκληρος μέσα εἰς τὴν ψυχήν του· καὶ τότε τοῦ ἔλεγεν· Ἀφοῦ ὅλα εἶναι τυχαῖα καὶ τίποτε δὲν ὑπάρχει, διατί καταβασανίζεις ἀσκόπως τὸν ἑαυτόν σου; Εἰς τί θὰ ὠφεληθῇς, ἐφ' ὅσον δὲν ὑπάρχει ἀνταμοιβὴ μετὰ θάνατον; Ποῖος δὲ μισθὸς ἀντάξιος τῶν τόσων σκληρῶν κόπων σου θὰ ἦτο δυνατὸν νὰ εὑρεθῇ διὰ σέ; Ἢ ποῖος θὰ ἦτο ὁ ἀνταποδότης σου; Καὶ ἀκόμη ποία εἶναι καὶ ἡ κρίσις, τὴν ὁποίαν ἀπειλοῦν αἱ Γραφαί, ἐφ' ὅσον ὅλα ὑπάρχουν χωρὶς καμμίαν πρόνοιαν;

Ὅταν πλέον ἐκυριεύθη ὁ ἄθλιος Πτολεμαῖος ἀπὸ τοὺς σατανικοὺς λογισμούς, ἐγκατέλειψε τὴν ἄσκησιν καί, καθὼς λέγουν, ἔχασε τὰ λογικά του καὶ παρεφρόνησε· μέχρι σήμερον δὲ περιπλανᾶται ἀσκόπως εἰς τὴν Αἴγυπτον, παραδομένος εἰς τὴν λαιμαργίαν καὶ τὴν οἰνοποσίαν, χωρὶς νὰ ὁμιλῇ εἰς κανένα, ἀλλὰ περιφέρεται τελείως ἄλαλος εἰς τὴν ἀγοράν, ἀξιοθρήνητον καὶ ἀξιοδάκρυτον θέαμα εἰς τὰ μάτια τῶν Χρι-

* Συνῆγε (ἐμάζευε) τὴν δρόσον, διότι εἰς τὰ μέρη ἐκεῖνα σχεδὸν οὐδέποτε βρέχει, ἀλλὰ μόνον ὀλίγη δρόσος κατέρχεται κατὰ τὰς νύκτας τοῦ Δεκεμβρίου καὶ Ἰανουαρίου μηνός.

* Αὐτοματισμὸς εἶναι ἡ μηχανικὴ ἐκτέλεσις πράξεων καλῶν ἢ κακῶν χωρὶς ὁ ἐνεργῶν νὰ ἔχῃ σαφῆ συνείδησιν αὐτῶν, ἀλλὰ καὶ πᾶσα τυχαίως καὶ χωρὶς σκοπὸν γινομένη κίνησις.

στιανῶν, ἀλλὰ καὶ ἀντικείμενον περιφρονητικῶν ὕβρεων καὶ σκωμμάτων εἰς ὅσους δὲν γνωρίζουν τὴν ζωήν μας. Αὐτὴ δὲ ἡ ἀθεράπευτος συμφορὰ εἶχε καταλάβει τὸν ἀξιοδάκρυτον Πτολεμαῖον ἐξ αἰτίας τῆς παραλόγου ὑπερηφανείας του, μὲ τὸ νὰ νομίζῃ ὅτι αὐτὸς εἶχε φρόνησιν ὑπὲρ ὅλους τοὺς ἁγίους Πατέρας καὶ τοὺς ὁποίους, ὡς ἐκ τούτου, ποτὲ δὲν συνανεστράφη ὥστε νὰ ὠφεληθῇ ἀπὸ τὴν διδασκαλίαν των καὶ νὰ ρυθμίσῃ τὴν ζωήν του μὲ αὐτήν. Εὑρέθη ἀκυβέρνητος καὶ δι' αὐτὸ κατεκρημνίσθη εἰς τὸ σκοτεινότερον βάθος τοῦ ψυχικοῦ θανάτου. Διότι ὅσοι δὲν κυβερνοῦν ὅπως πρέπει τὴν ζωήν των πίπτουν ἀκριβῶς ὡσὰν τὰ φύλλα ἀπὸ τὸ δένδρον.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Σάββα

ΤΟΥ ΟΣΙΟΥ Πατρὸς ἡμῶν Σάββα ποτέ, ὡς εἴθιστο, κατὰ τὸν τῆς νηστείας καιρὸν ἐπὶ τὴν ἔρημον ἀναχωρήσαντος κἀκεῖ διάγοντος, Ἰάκωβός τις τῶν μαθητῶν, τὸ γένος Ἱεροσολυμίτης, τὸν τρόπον αὐθάδης, σκαιοτέρᾳ τῇ γνώμῃ χρησάμενος, ἑταιρισάμενος καὶ ἄλλους τῶν Μοναχῶν ὁμοίους αὐτῷ τὴν ἀπόνοιαν παρὰ τὸν οὕτω καλούμενον λάκκον Ἑπτάστομον, Λαύραν ἰδίαν συνιστᾶν ἐπεχείρει, κελλία κτίζων καὶ οἶκον εὐκτήριον ἀνεγείρων, καὶ τἄλλα κατασκευάζων ὅσα τῇ Λαύρᾳ χρήσιμα.

Ἀγανακτούντων δὲ σφόδρα τῶν ἀδελφῶν καὶ περαιτέρω τὴν οἰκοδομὴν χωρεῖν οὐκ ἐώντων, ἐκεῖνος τῷ ἀδίκῳ τοῦ πράγματος καὶ ψεῦδος προσθείς, κατὰ γνώμην, εἶπε, Σάββα τοῦ Πατρὸς ταῦτα γίνεσθαι· ὅπερ τοῖς Μοναχοῖς ἀκουσθέν, τοῦ μὲν εἴργειν αὐτὸν τῆς οἰκοδομῆς ἐπέσχε, τοῦ λυπεῖσθαι δὲ ὅμως αὐτοὺς οὐκ ἀπήλλαξεν, ἐν ὀφθαλμοῖς ὁρῶντας μέρος αὐτὸν οὐκ ὀλίγον τῆς Λαύρας ὑποτεμνόμενον· πλὴν ἀληθῆ τὸν Ἰάκωβον λέγειν οἰόμενοι ἐσιώπων, τὴν τοῦ πατρὸς ἐπάνοδον ἀναμένοντες.

Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν ἡμερῶν τῆς νηστείας, καὶ αὐτὸς ὁ θεῖος Σάββας πρὸς τὴν Λαύραν ἐπανελθών, καὶ ὄψει τὰ γεγονότα παραλαβών, μετακαλεῖται μὲν τὸν Ἰάκωβον εὐθέως, παρακαλεῖ δὲ πατρικῶς ἀποσχέσθαι τοῦ ἐγχειρήματος· οὔτε γὰρ κατὰ Θεὸν εἶναι, οὔτε κατὰ γνώμην τοῖς ἀδελφοῖς, ἀλλὰ καὶ αὐτῷ ἐκείνῳ λίαν ἐπισφαλές, πρὶν ἑαυτὸν παιδαγωγῆσαι καλῶς, ἑτέρων ψυχὰς πιστευθῆναι. Καὶ οὕτω μὲν ὁ θεῖος πατὴρ πράως τὸ πρῶτον ἐνουθέτει καὶ πατρικῶς· ἐπεὶ δὲ τὸν Ἰάκωβον ἀντιλέγοντα ἑώρα καὶ μηδαμῶς εἴκοντα, μικρὸν τῆς συνήθους ἐπιεικείας μεταβαλών, ἐγὼ μέν, ὦ τέκνον, ἔφη, νομίζω συμφέρον εἶναί σοι, ὃ συμβεβούλευκα· ἐπεὶ δὲ ὁ αὐτὸς ἀπειθεῖς, ὅρα μὴ σὺν μεγάλῃ βλάβῃ διδαχθῇς τὸ συμφέρον.

Ταῦτα ὁ μὲν εἰπών, ἐπὶ τὸ πύργιον ἐχώρει· ὁ δὲ Ἰάκωβος, κλόνον παραυτίκα τοῦ σώματος ὑποστάς, καὶ πυρετῷ λαύρῳ καταπόδας συνείχετο, εἶτα κατακλιθείς, παρ' ὅλους ἑπτὰ μῆνας τῇ τοιάδε νόσῳ ἐτρύχετό τε καὶ ἐπιέζετο· ἐν τοσούτῳ δὲ πάσης αὐτοῦ τῆς περὶ τοῦ ζῆν ἐλπίδος ἀπογνωσθείσης, μνήμην ἐλάμβανεν ἧς ποτε πρὸς τὸν Σάββαν ἐπεδείξατο ἀπειθείας· καὶ παραχρῆμα δεῖται τῶν παρόντων συντόμως ἆραί τε αὐτὸν ἐπὶ κλίνης ὡς εἶχε καὶ ἀπαγαγόντας θεῖναι παρὰ

τοὺς ἱεροὺς τοῦ μεγάλου πόδας, ὥς τε συγγνῶναί μοι, φησί, τῆς παρακοῆς καὶ μὴ οὕτω τό γε πρὸς αὐτὸν ἀσύγγνωστον ὄντα με καταστρέψαι τὸν βίον.

Τούτου δὴ γεγονότος καὶ κλινοπετοῦς ἐκεῖ μετακομισθέντος τοῦ Ἰακώβου, πρᾶον αὐτῷ προσβλέψας ὁ πρᾶος ὄντως καὶ συμπαθής, ἔγνως, φησίν, ἀδελφέ, τίς ὁ τῆς αὐθαδείας καρπός; ἔμαθες ἱκανῶς; ἐπαιδεύθης τίνα τῆς ἀπειθείας καὶ τῆς παρακοῆς τὰ ἐπίχειρα; Ὁ δὲ μόλις ποτὲ δυνηθεὶς διάραι τὰ χείλη (πεπέδηντο γὰρ αὐτῷ κἀκεῖνα ὑπὸ τῆς νόσου), σύγγνωθί μοι, τίμιε πάτερ, ἔφη, τὴν τελευταίαν ἤδη ἐκδημοῦντι ἀποδημίαν· κἀκεῖνος εὐθύς, ὁ Θεός, ἀδελφέ, συγχωρῆσαι σοι.

Οὕτως εἰπών, ὤρεξε χεῖρα· καὶ ἡ χεὶρ ἐκείνῳ δύναμις ἦν· καὶ ὢ τοῦ θαύματος, ἐξανίστατο· εἶτα καὶ τῶν ἀχράντων μετεδίδου ἁγιασμάτων καὶ τῇ θείᾳ τροφῇ ἐκείνῃ, τροφὴ πάλιν ἠκολούθει σωματική· καὶ ἐτρέφετο καὶ ἐνίσχυε· καὶ ἐρρωμένος πᾶσιν ὑπερφυῶς ἐδείκνυτο, καὶ τῆς κλίνης ἀνίστατο ῥᾶον ἢ οἱ ὑγιῶς ἔχοντες, ἀμέλει. Καὶ ὁ μέν, ἐπιτίμιον ἑαυτῷ τῆς ἀπειθείας τοιοῦτον ἐνδίδωσι, τὸ μηκέτι πρὸς τὰς νέας ἐκείνας οἰκοδομὰς ἐπιστρέψαι. Ἠλίᾳ δὲ τῷ Πατριάρχῃ πρὸς ἀκοὰς τὸ πρᾶγμα ἐλθόν, οὐδ᾽ ἀνεκτὸν ἔδοξε παραμένειν ἐπὶ πλέον ἐᾶσαι ταύτας, ἀλλὰ πέμψας εὐθύς, ἀνατρέπει πάσας ἐκ βάθρων καὶ εἰς ἔδαφος τίθησιν.

Ὁ μέν τοι θεῖος Σάββας τὸν Ἰάκωβον υἱὸν ὑπακοῆς δεῖξαι βουλόμενος, τὴν τῶν ἐπιξενουμένων τῇ Λαύρᾳ διακονίαν αὐτῷ ἐγχειρίζει. Συμβαίνει γοῦν ποτε κυάμους ἕψοντα καὶ οἷα δὴ ἀπείρως πάντη καὶ ἀγυμνάστως ἔχοντα πρὸς ταῦτα, οὕτω περιττῶς αὐτοὺς παρασκευάσασθαι καὶ ὑπὲρ τὴν χρείαν, ὡς καὶ τοὺς ὑπολειφθέντας, καὶ εἰς τὴν τρίτην ἀρκεῖν ἐξ ἐκείνου τὴν ἡμέραν. Ἀλλ᾽ ἐκεῖνος μὲν τὴν δευτέραν ὅσοι τῶν κυάμων ἦσαν ὑπὲρ τὴν χρείαν, τούτους οἷα δὴ σκύβαλα κατὰ τοῦ παρακειμένου τῇ Λαύρᾳ ῥύακος ἐπαφῆκεν, ὅπερ τὸν μακάριον Σάββαν ἔλαθεν οὐδαμῶς· «τοῦ σοφοῦ γάρ, φησιν, οἱ ὀφθαλμοὶ ἐπὶ κεφαλὴν αὐτοῦ»· ἄπεισι τοιγαροῦν εὐθέως κατὰ τὸ λεληθός, καὶ τοὺς ἐκκεχυμένους συλλέξας κυάμους, καὶ τῷ ἡλίῳ μικρὸν ὑφαπλώσας, ἀναιρεῖται πάλιν αὐτούς.

Εἶτα χρόνου τινὸς μεταξὺ διαγεγονότος, καλεῖ πρὸς ἑστίασιν μονώτατον τὸν Ἰάκωβον· καὶ σκευάσας ἄγαν δεξιῶς ἐκείνους δὴ τοὺς κυάμους, οὓς ἔναγχος αὐτὸς κατὰ τοῦ χειμάρρου ῥίψας ἀφῆκεν, ὄψον ἡδὺν αὐτῷ παρατίθησιν. Ὡς δὲ ἤσθιον, ὁ θεῖος Σάββας ἀποπειρώμενος ὥς περ τοῦ Ἰακώβου, σύγγνωθί μοι, φησίν, ἀδελφέ, ἴσως γὰρ οὐχ ὥς περ ἐμοὶ θέλημα ἐθεράπευσά σε τῷ ὄψῳ· ἐπεὶ μηδὲ πεῖραν ἐγὼ καρυκευμάτων οἶδα καὶ ἀρτυμάτων· τοῦ δὲ καὶ λίαν ἐπ᾽ αὐτοῖς ἡσθῆναι εἰπόντος, καὶ ὅτι χρόνος αὐτῷ πολύς, ἐξ οὗ δὴ τοιούτου μὴ μετάσχοι βρώματος ἡδίστου.

Ὁ Μέγας Σάββας ὑπολαβών, ἴσθι, τέκνον, ἐκείνους εἶναι τοὺς κυάμους, οὓς ὀλίγῳ πρότερον αὐτὸς ὡς ἀχρήστους ἀφῆκας κατὰ τοῦ ῥύακος· ὥρα σοι τοίνυν σκοπεῖν, ὅτι ᾧ μηδὲ χύτραν ὀσπρίου καλῶς οἰκονομήσασθαι δυνατόν, ὡς σύμμετρον εἶναι τῇ χρείᾳ καὶ μὴ παρέλκειν, πῶς ὁ τοιοῦτος ἀδελφῶν προστασίαν εὖ διαθέσθαι εἴη ἂν ἱκανός; ὅθεν οὐδὲ ἀπᾷδον εἰς μαρτυρίαν καὶ τὸ Ἀποστολικὸν ἐκεῖνο φησίν· «εἴ τις τοῦ ἰδίου οἴκου λέγων προστῆναι μὴ οἶδε, πῶς οὗτος Ἐκκλησίας Θεοῦ προστήσεται»; Ταῦτα καὶ τὰ τοιαῦτα τῷ Ἰακώβῳ διαλεχθεὶς καὶ ὁμοῦ μὲν τὴν οἰκονομίαν πατρικῶς διορθώσας, ὁμοῦ δὲ καὶ τὴν προτέραν ἐλέγξας ἐκείνου

προπέτειαν, καὶ ὥς τε μὴ τοιούτῳ πάθει καὶ αὖθις ἁλῶναι ἀσφαλισάμενος, τότε μὲν σὺν εὐχῇ ἀφῆκεν τὸν ἄνδρα καὶ εὐλογίᾳ.


Χρόνῳ δὲ ὕστερον ἡσυχάζων ὁ Ἰάκωβος ἐν τῷ κελλίῳ, δεινῶς ὑπὸ τῶν ἀτόπων τῆς σαρκὸς λογισμῶν διωχλήθη καὶ πολὺ περὶ αὐτὸν ἦν τὸ τῆς ἐπιθυμίας κλυδώνιον. Ὁ δὲ μέχρι πολλοῦ πρὸς ταῦτα γενναίως ἱστάμενος, εἶτα εἰς τὸ πέλαγος τῶν πειρασμῶν ἀπιδών, καὶ ὡς οὐ στήσεταί ποτε τὰ τοῦ κλύδωνος οἰηθείς (τοῦ πονηροῦ δὲ τοῦτο πάντως καὶ τῆς ἐκείνου μηχανῆς καὶ τῶν ἐπιβούλων ἐπιβολῶν) καὶ πληρωθεὶς τὴν διάνοιαν, ἅμα δὲ καὶ τῶν ἱερῶν κανόνων εἰς λήθην ἐλθών, σπασάμενος μάχαιραν, τὰ παιδογόνα μόρια περιεῖλε, κακῷ τὸ κακὸν ἐκεῖνος μάλα κακῶς ἰώμενος· οὐκ ἐνεγκὼν δὲ τὸ ἄλγος καὶ τὴν ῥύσιν τοῦ αἵματος, τοὺς πλησίον ἐπεβοᾶτο καὶ συνεκάλει τοὺς βοηθήσοντας.

Οἱ δὲ συνδραμόντες καὶ τὸ αὐθαίρετον τοῦτο δεινὸν θεασάμενοι, τέχναις ἰατρικαῖς ὡς εἶχον ἐπεβοήθουν, καὶ τὴν ὀδύνην ἐκοίμιζον. Ἀλλὰ τὸ πρᾶγμα καὶ μέχρις αὐτοῦ τοῦ ἱεροῦ Σάββα φοιτᾷ· καὶ ῥαΐσαντος Ἰακώβου τοῦ πόνου, ἐκβάλλει τῆς Λαύρας αὐτόν, ὡς ἐπίβουλον ἑαυτοῦ καὶ αὐτόχειρα πονηρὸν γενόμενον. Ἐντεῦθεν μεταμέλειά τις ὀξέως τὸν Ἰάκωβον εἰσελθοῦσα, ἔπληττεν αὐτοῦ πικρῶς τὴν ψυχήν, δάκρυά τε θερμὰ προχέειν καὶ πικρὸν κάτωθεν στενάζειν ἐποίει, καὶ ὅλως ἐλεεινὸς ἦν ἰδεῖν καὶ τοὺς ὁρῶντας αὐτόθεν εἰς συμπάθειαν ἐκκαλούμενος.

Οὕτως οὖν ἔχων, πρόσεισι τῷ μακαρίτῃ Θεοδοσίῳ, τοὺς χαλεποὺς ἐκείνους πολέμους τῆς σαρκὸς ἀπαγγέλλων, τὴν παρ' ἑαυτοῦ φράζων ἐπιβουλὴν καὶ τὴν τῆς Λαύρας ἀλλοτρίωσιν ὀδυρόμενος. Ἐκεῖνος τοίνυν κατελεήσας αὐτόν, ἀφικνεῖται σὺν αὐτῷ πρὸς τὸν μακάριον Σάββαν καὶ ἱκέτης αὐτοῦ γίνεται, συγγνῶναί τε τῷ ἀδελφῷ, καὶ εἰς τὴν Λαύραν αὖθις αὐτὸν ἐπὶ προσήκουσι ἐπιτιμίοις εἰσδέξασθαι.

Τὰς ἱκετηρίας τοιγαροῦν ὁ Σάββας τοῦ φίλου δυσωπηθείς, πλεῖστον αὐτῷ καὶ τῶν οἰκείων σπλάγχνων εἰς τοῦτο συμβαλλομένων, προσίεται τὸν Ἰάκωβον, ἐντολάς τε ἄλλας αὐτῷ ἐπιθείς, καὶ ὥς τε μηδενὶ τῶν πάντων μήτε λόγου κοινωνεῖν, μήτε ὄψεως, ὅτι μὴ μόνῳ τῷ τὴν ἀναγκαίαν ὑπηρετουμένῳ διακονίαν. Εἶχεν οὖν καὶ αὖθις τὸν Ἰάκωβον ἡσυχάζοντα τὸ κελλίον, καὶ πολλὴν ἐπιδεικνύμενον τὴν μετάνοιαν, δεόμενόν τε συντονώτατα τοῦ Θεοῦ ἕως ἄνωθεν αὐτῷ ἀφείθη τὸ ἔγκλημα· τὸ δὲ πῶς, αὐτίκα ῥηθήσεται.

Ἐδόκει ποτὲ τῷ θείῳ τούτῳ Σάββα λαμπρός τις ἰδεῖν ἀνήρ, καὶ γλυκεῖαν φωτὸς ἀκτῖνα πάντοθεν ἀφιείς, πλησίον ἑστάναι, καὶ πρὸ τῶν ποδῶν τοῦ Ἰακώβου νεκρὸν ἐρριμμένον ὑποδεικνῦναι, τὸν Ἰάκωβον δὲ περὶ τοῦ νεκροῦ τῷ Θεῷ προσευχόμενον· εἶτα φωνή τις ἠκούετο ἄνωθεν, Ἰάκωβε, λέγουσα, εἰσηκούσθη σου ἡ προσευχή· ἅψαι τοιγαροῦν τοῦ νεκροῦ, καὶ αὐτὸς ἀναστήσεται· ἔπειτα τὸν Ἰάκωβον ἁψάμενον, ὡς ἐκελεύσθη, τὸν νεκρὸν ἀναστῆσαι· τὸν φωτοειδῆ δὲ ἄνδρα ἐκεῖνον πρὸς τὸν Σάββαν ἰδόντα, καὶ ὅτι βούλεται τὰ τῆς ὀπτασίας ταχὺ συμβαλόντα, ἐξελθεῖν τε παραχρῆμα τοῦ κελλίου καὶ καλέσαντα τὸν Ἰάκωβον, τῇ θείᾳ συνάξει κελεῦσαι τὸ ἑξῆς προσιέναι. Προσελθὼν τοίνυν ἐκεῖνος τῇ ἐκκλησίᾳ, καὶ τοῖς ἀδελφοῖς τοῦ κατὰ Χριστὸν φιλήματος κοινωνήσας, ἔπειτα δὲ καὶ πρὸς τὸν μακάριον Θεοδόσιον κατελθών, κἀκεῖνον ὁμοίως ἐν Χριστῷ ἀσπασάμενος, ἑβδόμῃ μετὰ τὴν ὀπτασίαν ἡμέρᾳ τοῦ παρόντος βίου χαίρων ἀποδημεῖ.


Ὁ ἍΓΙΟΣ ΣΆΒΒΑΣ
Ὁ ἩΓΙΑΣΜΈΝΟΣ
ΟΣΤΙΣ ΣΩ-
ΜΑ ΕΝΙΚΗ
ΣΕΝ ȣΤΟΣ
ΦΥΣΙΝ ΕΝΙ
ΚΗΣΕΝ Ο ΔΕ
ΦΥΣΙΝ ΝΙ-
ΚΗΣΑΣ ΠΑΝ
ΤΩΣ ΥΠΕΡΦΥ
ΣΙΝ

Ἑρμηνεία

ΟΤΑΝ ΚΑΠΟΤΕ ὁ Ἅγιος Σάββας, κατὰ τὸν χρόνον τῆς νηστείας, ἀνεχώρησεν, ὅπως συνήθιζε, εἰς τὴν ἔρημον καὶ ἔμενεν ἐκεῖ, κάποιος ἀπὸ τοὺς μαθητάς του, ἀπὸ τὰ Ἱεροσόλυμα, ὀνομαζόμενος Ἰάκωβος, γνωστὸς διὰ τὴν αὐθάδειάν του, ἐπέδειξεν ἀκόμη χειροτέραν διαγωγὴν καὶ ἀφοῦ παρέσυρε καὶ ἄλλους μοναχούς, ὁμοίους του, εἰς τὴν ἀνοησίαν, ἔφυγαν ἀπὸ τὴν Λαύραν καὶ ἐπῆγαν εἰς τὴν κοιλάδα, ποὺ ἐλέγετο Ἑπτάστομον. Ἐκεῖ δὲ ἐπεχείρει νὰ ἱδρύσῃ ἰδικήν του Λαύραν, κτίζων κελλία καὶ οἰκοδομῶν Ναόν, καί, ἐν γένει, κατασκευάζων ὅλα ὅσα εἶναι χρήσιμα εἰς τὴν Λαύραν.

Ἐπειδὴ ὅμως οἱ ἀδελφοὶ ἠγανάκτουν σφοδρῶς ἐναντίον τοῦ Ἰακώβου καὶ δὲν ἄφηνον νὰ προχωρήσῃ περισσότερον ἡ οἰκοδομή, ὁ Ἰάκωβος προσθέτων εἰς τὴν ἀδικίαν καὶ τὸ ψεῦδος εἶπεν εἰς τοὺς Μοναχούς, ὅτι τάχα ὅλα αὐτὰ γίνονται σύμφωνα μὲ τὴν γνώμην τοῦ Πατρὸς καὶ Ἡγουμένου των Σάββα. Μόλις ἤκουσαν οἱ Μοναχοὶ τὴν πληροφορίαν αὐτήν, ἐσταμάτησαν μὲν νὰ τὸν ἐμποδίζουν ἀπὸ τὴν οἰκοδόμησιν, δὲν ἀπηλλάγησαν ὅμως ἀπὸ μίαν ἐσωτερικὴν λύπην, ποὺ ἐδοκίμαζον, καθὼς ἔβλεπον μὲ τὰ μάτια των τὸν Ἰάκωβον νὰ ἀποκόπτῃ ἕνα μεγάλο μέρος τῆς Λαύρας. Ὡστόσον ἐπειδὴ ἐνόμιζον, ὅτι ὁ Ἰάκωβος τοὺς ἔλεγε τὴν ἀλήθειαν, ἐσιώπων ἀναμένοντες τὴν ἐπιστροφὴν τοῦ πνευματικοῦ των Πατρὸς Σάββα.

Ἀφοῦ συνεπληρώθη ὁ χρόνος τῆς νηστείας, ἐπανῆλθεν ὁ θεῖος Σάββας εἰς τὴν Λαύραν· ἀντιληφθεὶς δὲ μὲ τοὺς ὀφθαλμούς του τὰ γεγονότα, ἀμέσως προσκαλεῖ τὸν Ἰάκωβον καὶ τὸν παρακαλεῖ πατρικῶς νὰ σταματήσῃ τὰς ἐργασίας, διότι ἡ ὑπόθεσις τὴν ὁποίαν ἀνέλαβεν οὔτε κατὰ Θεὸν εἶναι, οὔτε συμφωνεῖ μὲ τὴν γνώμην τῶν ἀδελφῶν, ἀλλὰ καὶ εἰς αὐτὸν τὸν ἴδιον εἶναι πάρα πολὺ ἐπικίνδυνον, πρὶν ἀκόμη παιδαγωγήσῃ καλὰ - καλὰ τὸν ἑαυτόν του, νὰ ἀναλάβῃ τὴν εὐθύνην, ὡς πνευματικὸς πατήρ, τῶν ψυχῶν ἄλλων. Τοιουτοτρόπως ὁ θεῖος πατὴρ Σάββας ἐνουθέτει πατρικῶς καὶ μὲ πραότητα τὸν Ἰάκωβον. Ἐπειδὴ ὅμως ἔβλεπεν ὅτι ὁ Ἰάκωβος ἀντέλεγε καὶ δὲν ἤθελε νὰ ὑπακούσῃ, ἀφοῦ μετέβαλεν ὀλίγον τὴν συνηθισμένην του ἐπιείκειαν, τοῦ λέγει κάπως αὐστηρότερα:

—Ἐγώ, τέκνον μου, νομίζω ὅτι εἶναι συμφέρον σου ἐκεῖνο, ποὺ σὲ ἔχω συμβουλεύσει· ἐπειδὴ ὅμως δὲν ὑπακούεις, πρόσεξε μὴ τυχὸν διδαχθῇς τὸ συμφέρον, ὅταν θὰ ἔχῃς ὑποστῇ μεγάλην ζημίαν.

Μόλις εἶπεν αὐτὰ ὁ Ἅγιος Σάββας, ἀμέσως ἀνεχώρησε πρὸς τὸ κτίριον τῆς Λαύρας· ὁ δὲ Ἰάκωβος ἤρχισε τὴν ἰδίαν στιγμὴν νὰ τρέμῃ εἰς τὸ σῶμα του καὶ κατελήφθη ἀπὸ ὑψηλὸν πυρετόν· ἔπειτα ἔπεσεν ἄρρωστος εἰς τὸ κρεββάτι καὶ ἐπὶ ἑπτὰ ὁλοκλήρους μῆνας ἐβασανίζετο καὶ ὑπέφερεν ἀπὸ τὴν περίεργον αὐτὴν ἀσθένειαν. Ὅταν λοιπὸν ἔχασε καὶ τὴν τελευταίαν ἐλπίδα ὅτι θὰ θεραπευθῇ καὶ ἐφέρετο πρὸς τὸν θάνατον, ἐνεθυμήθη τὴν ἀπείθειαν, τὴν ὁποίαν κάποτε ἐπέδειξε πρὸς τὸν Ὅσιον

Σάββαν. Ἀμέσως τότε παρακαλεῖ μετ' ἐπιμονῆς τοὺς παρευρισκομένους νὰ τὸν σηκώσουν μὲ τὸ κρεββάτι εἰς τὸ ὁποῖον, λόγῳ τῆς ἀσθενείας του, ἦτο ἐξηπλωμένος, νὰ τὸν μεταφέρουν καὶ νὰ τὸν θέσουν πρὸ τῶν ποδῶν τοῦ μεγάλου Ὁσίου, διὰ νὰ μὲ συγχωρήσῃ — ὅπως ἔλεγεν — διὰ τὴν παρακοήν μου καὶ νὰ μὴ ἀποθάνω ἀσυγχώρητος.

Πράγματι ἐγένετο ἡ ἐπιθυμία του καί, ἐντὸς ὀλίγου, ὁ Ἰάκωβος ἐπάνω εἰς τὸ κρεββάτι ὡς ἀσθενὴς μετεκομίσθη πλησίον τοῦ Ὁσίου Σάββα. Ὁ Ὅσιος, ἀφοῦ τὸν ἐκοίταξε μὲ πραότητα, ὁ πράγματι πρᾶος καὶ συμπαθής, τοῦ εἶπε μὲ γλυκύτητα:

—Ἔμαθες τώρα, ἀδελφέ μου, ποῖος εἶναι ὁ καρπὸς τῆς αὐθαδείας; Τὸ ἔμαθες ἀρκετά; Ἐννόησες ποῖα εἶναι τὰ ἀποτελέσματα τῆς ἀπειθαρχίας καὶ τῆς παρακοῆς;

Ὁ Ἰάκωβος, ἀφοῦ ἠμπόρεσε μόλις καὶ μετὰ βίας νὰ ἀνοίξῃ τὰ χείλη του (διότι καὶ ἐκεῖνα εἶχαν κλεισθῆ ἀπὸ τὴν ἀσθένειαν) ἀπήντησε:

— Συγχώρησόν με, τίμιε Πάτερ, διότι ἑτοιμάζομαι πλέον διὰ τὸ τελευταῖον μου ταξείδι.

Μὲ ἀγάπην, καὶ πάλιν, τοῦ ἀπαντᾷ ὁ Ὅσιος Σάββας:

—Ὁ Θεὸς νὰ σὲ συγχωρήσῃ, ἀδελφέ μου.

Συγχρόνως δὲ μὲ τοὺς λόγους αὐτοὺς ἥπλωσεν ἐπάνω εἰς τὸν ἀσθενῆ καὶ τὸ χέρι του· καὶ τὸ χέρι ἐκεῖνο ἔγινε, διὰ τὸν ἄρρωστον Ἰάκωβον, δύναμις· καὶ ὢ τοῦ θαύματος· ἐνῷ ἦτο ἑτοιμοθάνατος, ἐσηκώθη. Ἔπειτα ἐκοινώνησε καὶ τὴν θείαν ἐκείνην τροφὴν ἠκολούθησεν ἡ σωματική. Τοιουτοτρόπως ἐτρέφετο σιγὰ - σιγὰ καὶ ἐδυνάμωνεν. Πρὸς κατάπληξιν δὲ ὅλων ἔγινε τελείως καλά, καὶ ἐσηκώνετο ἀπὸ τὸ κρεββάτι του εὐκολώτερον καὶ ἀσφαλέστερον παρὰ οἱ ὑγιεῖς.

Ἀφοῦ ἐθεραπεύθη τελείως, ὁ Ὅσιος Σάββας τοῦ ἐπέβαλεν ὡς κανόνα, διὰ τὴν ἀπειθαρχίαν του, νὰ μὴ ξαναγυρίσῃ πλέον εἰς ἐκείνας τὰς νέας οἰκοδομὰς τῆς παρακοῆς. Ὁ Πατριάρχης ὅμως Ἠλίας, μόλις ἐπληροφορήθη τὴν ὅλην ὑπόθεσιν, δὲν ἐθεώρησε καλὸν νὰ παραμένουν ἀκόμη ὄρθια τὰ κτίσματα ἐκεῖνα τῆς παρακοῆς, ἀλλὰ ἔστειλεν ἀμέσως ἀνθρώπους καὶ τὰ κατηδάφισε τελείως.

Κατόπιν αὐτῶν, ἐπιθυμῶν ὁ θεῖος Σάββας νὰ ἀναδείξῃ τὸν Ἰάκωβον τέκνον ὑπακοῆς, τοῦ ἐμπιστεύεται τὴν ὑπηρεσίαν τῆς περιποιήσεως τῶν φιλοξενουμένων. Κάποτε λοιπὸν ὁ Ἰάκωβος ἐμαγείρευσε κουκιὰ καὶ ἐπειδὴ ἦτο τελείως ἄπειρος καὶ ἀγύμναστος εἰς τὴν μαγειρικὴν καὶ τὸν ὑπολογισμὸν τῶν ἀπαιτουμένων μερίδων φαγητοῦ, ἐμαγείρευσε τόσα πολλά, ὥστε τὰ περισσεύοντα ἀπὸ τὸ μαγείρευμα ἐκεῖνο κουκιὰ νὰ εἶναι ἀρκετὰ καὶ διὰ τὴν τρίτην ἡμέραν. Ἀλλ' ὁ Ἰάκωβος, τὴν δευτέραν ἡμέραν ἔρριψεν εἰς τὴν ρεματιά, ποὺ ἦτο κοντὰ εἰς τὴν Λαύραν, ὅσα κουκιὰ ἐπερίσσευσαν, ὡς νὰ ἦσαν ἄχρηστα σκύβαλα. Αὐτὴ ὅμως ἡ ἐνέργεια δὲν διέφυγε τὴν προσοχὴν τοῦ μακαρίου Σάββα, διότι, ὅπως λέγει καὶ τὸ ρητὸν «τοῦ σοφοῦ τὰ μάτια εὑρίσκονται ἐπάνω εἰς τὸ κεφάλι του» (Ἐκκλησιαστὴς β', 14). Ἀμέσως λοιπὸν ἐπῆγε χωρὶς κανεὶς νὰ τὸν ἀντιλη-

φθῆ, ἐμάζευσε τὰ σκορπισμένα κουκιά, τὰ ἥπλωσεν εἰς τὸν ἥλιον, διὰ νὰ ξεραθοῦν καὶ τὰ ἐφύλαξε.

Ἀφοῦ ἐπέρασεν ὀλίγος χρόνος, καλεῖ τὸν Ἰάκωβον νὰ φάγουν μόνοι των, οἱ δύο· ὡς φαγητὸν δέ, εἰς τὴν κοινὴν αὐτὴν συνεστίασιν, παρέθεσεν ἐκεῖνα τὰ κουκιά, πού πρὸ ὀλίγου ἐπέταξεν εἰς τὸν χείμαρρον ὁ Ἰάκωβος, καὶ τὰ ὁποῖα ἡτοίμασε μὲ μεγάλην τέχνην, ὥστε τὸ παρατεθέν, δι' αὐτῶν, γεῦμα, νὰ εἶναι νοστιμώτατον καὶ εὐχάριστον.

Καθὼς ἔτρωγον, ὁ θεῖος Σάββας, διὰ νὰ δοκιμάσῃ τὸν Ἰάκωβον, τοῦ λέγει:

— Συγχώρεσέ με, ἀδελφέ μου, διότι ἴσως δὲν σὲ εὐχαρίστησα μὲ τὸ φαγητόν μου, ὅπως ἐγὼ ἤθελα, ἐπειδὴ δὲν ἔχω μεγάλην πεῖραν ἀπὸ φαγητὰ καὶ καρυκεύματα.

Ὁ Ἰάκωβος τότε ἀπήντησε μὲ ἐνθουσιασμόν:

— Ἀπ' ἐναντίας, Πάτερ μου, τόσον πολὺ εὐχαριστήθηκα μὲ αὐτὰ τὰ κουκιά, πού, σὲ διαβεβαιῶ, πολὺ καιρὸ εἶχα νὰ δοκιμάσω τόσο γλυκὺ καὶ νόστιμον μαγητόν.

Ὁ Ἅγιος Σάββας λαβὼν ἐκ δευτέρου τὸν λόγον τοῦ λέγει:

— Μάθε, τέκνον μου, πὼς τὸ φαγητὸν αὐτὸ ἔγινεν ἀπὸ τὰ κουκιὰ ἐκεῖνα, ποὺ σὺ ὁ ἴδιος, πρὸ ὀλίγου, ἐπέταξες, ὡς ἄχρηστα εἰς τὴν ρεματιάν.

Εἶναι λοιπὸν καιρὸς νὰ ἀντιληφθῇς, ὅτι ἐκεῖνος ποὺ οὔτε μίαν χύτριν ὀσπρίων δὲν καταφέρνει νὰ τακτοποιήσῃ καλά, ὥστε τὸ μαγείρευμα νὰ ἀνταποκρίνεται πρὸς τὴν καθημερινὴν ἀνάγκην καὶ νὰ μὴ ἐνεργῇ ἄσκοπα, πῶς θὰ καταστῇ ἱκανός, ὁ ἄνθρωπος αὐτός, νὰ ἀναλάβῃ ἐπιτυχῶς τὴν διακυβέρνησιν ἀδελφῶν; Ἀξίζει δέ, εἰς ἀπόδειξιν, νὰ ἐνθυμηθῶμεν καὶ τὸ ἀποστολικὸν ρητὸν «ὅποιος δὲν γνωρίζει νὰ κυβερνήσῃ τὸν οἶκον του, πῶς θὰ ἀναλάβῃ τὴν κυβέρνησιν τῆς Ἐκκλησίας τοῦ Θεοῦ»; (Τιμ. Α΄, 5) Αὐτὰ καὶ παρόμοια ἄλλα συνωμίλησεν ὁ μακάριος Σάββας πρὸς τὸν Ἰάκωβον ἐπιτυχών, συγχρόνως, καὶ τὸ πνεῦμα τῆς σπατάλης νὰ διορθώσῃ, ἐμπνεύσας εἰς αὐτὸν τὴν οἰκονομίαν, ἀλλὰ καὶ νὰ τὸν ἐλέγξῃ διὰ τὴν προηγουμένην προπέτειάν του, ἀσφαλίσας αὐτόν, ὥστε νὰ μὴ κυριευθῇ εἰς τὸ μέλλον ἀπὸ τοιοῦτον πάθος· κατόπιν αὐτῶν ἄφησε τὸν Ἰάκωβον νὰ φύγῃ μὲ τὴν εὐχήν του καὶ τὴν εὐλογίαν του.

Ὕστερα ἀπὸ ἀρκετὸν χρόνον, ὅταν κάποτε ἡσύχαζεν εἰς τὸ κελλίον του ὁ Ἰάκωβος, ἠνωχλήθη ὑπὸ ἀτόπων σαρκικῶν λογισμῶν καὶ ἡ τρικυμία ἐκ τῆς αἰσχρᾶς ἐπιθυμίας, ποὺ ἐξεκαύθη μέσα του, ἦτο ἀφόρητος καὶ μεγάλη. Ὁ Ἰάκωβος ἀντεστάθη γενναίως πρὸς αὐτοὺς τοὺς αἰσχροὺς λογισμοὺς ἐπὶ πολὺ διάστημα. Μετὰ ὅμως, τρομοκρατημένος ἀπὸ τὸ πέλαγος τῶν πειρασμῶν καὶ νομίσας, πὼς εἰς τὸ τέλος δὲν θὰ καταπαύσῃ ἡ τρικυμία (αὐτὴ βεβαίως ἡ σκέψις προήρχετο καθ' ὁλοκληρίαν ἀπὸ τὸν πονηρόν, καὶ ἦτο μία ἀπὸ τὰς μηχανάς του καὶ τὰς πανούργους μεθόδους του) καὶ μὲ σκοτισμένην τὴν διάνοιάν του καὶ λησμονήσας τοὺς ἱεροὺς κανόνας, ἐπῆρε μίαν μάχαιραν καὶ κατέκοψε τὰ γεννητικά του ὄρ-

γανα, θεραπεύων, τοιουτοτρόπως, μὲ τὸν χειρότερον τρόπον, διὰ τοῦ κακοῦ, τὸ κακόν. Μὴ δυνάμενος ὅμως νὰ ὑποφέρῃ τὸν πόνον καὶ νὰ σταματήσῃ τὴν αἱμορραγίαν, ἤρχισε νὰ κραυγάζῃ καὶ νὰ καλῇ εἰς βοήθειαν τοὺς πλησίον.

Οἱ Μοναχοὶ ἔτρεξαν ἀμέσως καὶ μόλις εἶδον τὸν φοβερὸν αὐτὸν αὐτοτραυματισμόν, ἤρχισαν ἀμέσως νὰ προσφέρουν εἰς τὸν Ἰάκωβον τὰς πρώτας βοηθείας καὶ νὰ προσπαθοῦν νὰ τοῦ καταπραΰνουν τοὺς πόνους. Τὸ πρᾶγμα ὅμως ἔγινε γνωστὸν καὶ εἰς τὸν ἴδιον τὸν Ἅγιον Σάββαν· δι᾽ αὐτὸ μόλις ὁ Ἰάκωβος συνῆλθεν ὀλίγον ἀπὸ τοὺς πόνους, ὁ Ὅσιος Σάββας τὸν ἐκδιώκει ἀμέσως ἀπὸ τὴν Λαύραν, ὡς ἐχθρὸν τοῦ ἑαυτοῦ του καὶ ὡς πονηρὸν αὐτόχειρα. Κατόπιν αὐτοῦ ὁ Ἰάκωβος ἐδοκίμασεν ὀδυνηρὰν μεταμέλειαν, αἱ τύψεις τῆς συνειδήσεως ἐβασάνιζον πικρῶς τὴν ψυχήν του, ἔχυνε θερμὰ δάκρυα καὶ ἀνεστέναζε θλιβερῶς. Ἦτο τελείως ἐλεεινὸς καὶ ἀξιοδάκρυτος νὰ τὸν βλέπῃ κανεὶς καί, μὲ τὴν ἀθλιότητά του αὐτήν, προεκάλει τὴν συμπάθειαν ὅσων τὸν ἔβλεπον.

Εἰς αὐτὴν λοιπὸν τὴν ἀξιοθρήνητον κατάστασιν εὑρισκόμενος ὁ Ἰάκωβος προσέρχεται εἰς τὸν μακάριον Θεοδόσιον, ἐξομολογούμενος εἰς αὐτὸν τοὺς φοβεροὺς σαρκικοὺς πολέμους, ποὺ τὸν ἐβασάνιζον, ἐξιστορῶν τὸν αὐτοτραυματισμόν του καὶ θρηνῶν διὰ τὴν ἐκδίωξίν του ἀπὸ τὴν Λαύραν. Εἰς τὸ ἄκουσμα τούτου ὁ Θεοδόσιος τὸν εὐσπλαγχνίζεται καὶ ἔρχεται μαζί του πρὸς τὸν μακάριον Σάββαν καὶ τὸν ἱκετεύει θερμότατα ἀφ᾽ ἑνὸς μὲν νὰ τὸν συγχωρήσῃ, ἀφ᾽ ἑτέρου δὲ νὰ τὸν δεχθῇ καὶ πάλιν εἰς τὴν Λαύραν, ἀφοῦ τοῦ ἐπιβάλλει τὰ ἁρμόζοντα ἐπιτίμια.

Ὁ Ὅσιος Σάββας ὑπεχώρησε, πράγματι, εἰς τὰς παρακλήσεις τοῦ φίλου του, ἀλλὰ καὶ ἐνικήθη καὶ ἀπὸ τὴν ἔμφυτον καλωσύνην καὶ εὐσπλαγχνίαν του, δι᾽ αὐτὸ καὶ δέχεται, πάλιν, τὸν Ἰάκωβον εἰς τὴν Λαύραν. Τοῦ ἐπέβαλεν ὅμως διάφορα ἐπιτίμια, μεταξὺ τῶν ὁποίων καὶ τὸ νὰ μὴ ὁμιλῇ καὶ νὰ μὴ βλέπῃ κανένα εἰς τὴν Λαύραν, παρὰ μόνον ὅταν ἦτο ἀπόλυτος ἀνάγκη ἐκ τοῦ διακονήματος. Ὁ Ἰάκωβος λοιπὸν ἀπέκτησε καὶ πάλιν τὸ κελλίον του, εἰς τὸ ὁποῖον ἡσύχαζε καὶ μετενόει σκληρὰ δι᾽ ὅσα ἔκαμε, παρακαλῶν μετὰ θερμότητος τὸν Θεὸν νὰ τὸν συγχωρήσῃ, ἕως ὅτου, ἐπὶ τέλους, ἔλαβεν ἐξ οὐρανοῦ τὴν συγχώρησιν, κατὰ τὸν ἑξῆς τρόπον, τὸν ὁποῖον θὰ ἐκθέσωμεν ἀμέσως.

Ἐφάνη κάποτε εἰς τὸν θεῖον Σάββαν ἕνας λαμπρὸς ἄνδρας, ἀκτινοβολῶν γλυκείας ἀκτῖνας φωτός, ὁ ὁποῖος ἐστάθη κοντά του καὶ τοῦ ἐδείκνυεν ἕνα νεκρόν, ποὺ εἶχε ριφθῇ εἰς τὰ πόδια τοῦ Ἰακώβου, τὸν δὲ Ἰάκωβον νὰ προσεύχεται εἰς τὸν Θεὸν διὰ τὸν νεκρόν. Ἐν τῷ μεταξὺ ἠκούετο μία φωνὴ ἀπὸ τὸν οὐρανόν, ποὺ ἔλεγεν:

—Ἰάκωβε, εἰσηκούσθη ἡ προσευχή σου· ἔγγισε λοιπὸν τὸν νεκρὸν καὶ ἀμέσως θὰ ἀναστηθῇ.

Κατόπιν τῆς προτροπῆς αὐτῆς, ἐγγίζει, πράγματι, τὸν νεκρὸν ὁ Ἰάκωβος, ὅπως διετάχθη, καὶ ὁ νεκρὸς ἀνεστήθη.

Ὁ φωτοειδὴς ἐκεῖνος ἄνδρας ἐστράφη πρὸς τὸν Σάββαν καὶ τοῦ

εἶπε, ὅτι θέλει ἀμέσως νὰ ἐκτελεσθῇ τὸ ὑποσημαινόμενον ὑπὸ τῆς ὀπτασίας· νὰ ἐξέλθη, δηλαδή, ἀμέσως ἀπὸ τὸ κελλίον του καὶ νὰ διατάξη νὰ προσέρχεται εἰς τὸ ἑξῆς ὁ Ἰάκωβος εἰς τὰς συνάξεις τῆς ἀδελφότητος.

Πράγματι ὁ Ἰάκωβος προσῆλθεν εἰς τὴν Ἐκκλησίαν, ἐπεκοινώνησε μὲ τοὺς ἀδελφοὺς καὶ τοὺς ἠσπάσθη· ἔπειτα μετέβη καὶ πρὸς τὸν μακάριον Θεοδόσιον, μετὰ τοῦ ὁποίου ἀντήλλαξε τὸν ἐν Χριστῷ ἀσπασμόν, καὶ τὴν ἑβδόμην, μετὰ τὴν ὀπτασίαν, ἡμέραν ἀπέρχεται μετὰ χαρᾶς ἐκ τοῦ παρόντος βίου.

Γ΄. Ἐν τῷ Γεροντικῷ

ΤΙΝΙ τῶν Πατέρων ποτὲ παρεβάλομεν, καὶ ἠρωτήσαμεν αὐτὸν λέγοντες· ἐάν τις ἔχῃ λογισμόν, καὶ ὁρᾷ ἑαυτὸν ἡττώμενον, καὶ πολλάκις ἀναγινώσκων ἃ εἶπον οἱ Πατέρες περὶ τοῦ τοιούτου λογισμοῦ, πειρᾶται ταῦτα κατορθῶσαι, καὶ τελείως οὐ δύναται, ποῖόν ἐστι κρεῖττον; ἀπαγγεῖλαι τινὶ τῶν Πατέρων τὸν λογισμόν, ἢ σπουδάσαι καθ' ἑαυτὸν χρήσασθαι οἷς ἀνέγνω, καὶ ἀρκεσθῆναι τῇ ἰδίᾳ συνειδήσει; Ἀπεκρίθη ὁ γέρων, ὅτι ὀφείλει ἐξαγγεῖλαι ἀνθρώπῳ δυναμένῳ ὠφελῆσαι αὐτόν, καὶ μὴ θαρρῆσαι ἑαυτῷ· οὐ γὰρ δύναταί τις ἑαυτῷ βοηθεῖν, καὶ μάλιστα ὑπὸ τῶν παθῶν καταπονούμενος. Ἐμοὶ γάρ, φησι, νέῳ ὄντι, τοιοῦτον τι συνέβη.

Εἶχον γὰρ πάθος ψυχικὸν καὶ ἡττώμην εἰς αὐτό· ἀκούων δὲ περὶ τοῦ Ἀββᾶ Ζήνωνος, ὅτι πολλοὺς οὕτως ἔχοντας ἐθεράπευσεν, ἠβουλήθην ἀπελθεῖν καὶ ἀναγγεῖλαι αὐτῷ· ὁ δὲ σατανᾶς ἐνεπόδιζέ μοι ὑποβάλλων ὅτι, ἐπειδὴ οἶδας τί ὀφείλεις ποιῆσαι, χρῆσαι ὡς ἀναγινώσκεις· καὶ τί ὑπάγεις καὶ περικόπτεις τὸν γέροντα; Ὅτε οὖν ἠπειγόμην ἀπελθεῖν καὶ ἀναγγεῖλαι αὐτῷ, ὁ πόλεμος ἐκουφίζετο ἀπ' ἐμοῦ, τέχνῃ τοῦ πονηροῦ, ἵνα μὴ ἀπέλθω· ἐπὰν δὲ ἐπειθόμην τοῦ μὴ ἀπελθεῖν, πάλιν ὑπὸ τοῦ πάθους ἐκυριευόμην· καὶ τοῦτο μοι ἐπὶ χρόνον πολὺν ἐμηχανᾶτο ὁ ἐχθρός, μὴ συγχωρῶν ἐξαγγεῖλαι τῷ γέροντι. Πολλάκις δὲ καὶ ἀπῆλθον πρὸς τὸν γέροντα, βουλόμενος εἰπεῖν αὐτῷ τὸν λογισμόν, καὶ οὐκ ἠφίει με ὁ ἐχθρός, αἰσχύνην φέρων ἐν τῇ καρδίᾳ μου καὶ λέγων· ὅτι ἐπεὶ οἶδας πῶς ὀφείλεις σεαυτὸν θεραπεῦσαι, τὶς χρεία λέγειν τινί; οὐ γὰρ ἀμελεῖς σεαυτοῦ· οἶδας πῶς εἶπον οἱ Πατέρες.

Ταῦτα ὑπετίθει μοι ὁ ἀντίδικος, ἵνα μὴ φανερώσω τὸ πάθος τῷ ἰατρῷ καὶ θεραπευθῶ· καὶ ὁ μὲν γέρων ἐνόει με ἔχοντα λογισμούς, οὐκ ἤλεγχε δέ με, ἀναμένων αὐτὸν ἐμὲ ἀναγγεῖλαι τούτους· ἐδίδασκε δέ με περὶ ὀρθοῦ βίου καὶ ἀπέλυεν. Ὕστερον δὲ πενθῶν ἐγὼ ἐν ἐμαυτῷ εἶπον· ἕως πότε, ἀθλία ψυχή, οὐ θέλεις θεραπευθῆναι; οἱ ἀπὸ μήκοθεν ἔρχονται πρὸς τὸν γέροντα καὶ θεραπεύονται, καὶ σὺ οὐκ αἰσχύνῃ, ἐγγὺς ἔχουσα τὸν ἰατρόν, καὶ μὴ θεραπευομένη; Πυρωθεὶς οὖν τὴν καρδίαν ἀνέστην, καὶ εἶπον ἐν ἑαυτῷ, ὅτι ἀπελθὼν πρὸς τὸν γέροντα, εἰ μὴ εὕρω ἐκεῖ τινά, γνώσομαι ὅτι θέλημα Θεοῦ ἐστιν ἀναγγεῖλαί με αὐτῷ τὸν λογισμόν· καὶ δὴ ἀπελθών, οὐδένα εὗρον.

Ὁ δὲ γέρων κατὰ τὴν συνήθειαν διδάξας με περὶ σωτηρίας ψυχῆς καὶ ὅπως τις καθαρθῇ ἀπὸ ρυπαρῶν λογισμῶν (ἐπεὶ αἰσχυνόμενος οὐδὲν αὐτῷ ἀπεκάλυψα, ἔμελλον δὲ ἀπελθεῖν), ἀναστὰς ἐποίησεν εὐχήν, καὶ προέπεμπέ με περιπατῶν ἔμ-

προσθέν μου, ἕως τῆς ἔξω θύρας· ἐγὼ δὲ βασανιζόμενος ὑπὸ τῶν λογισμῶν εἰπεῖν ἢ μὴ εἰπεῖν τῷ γέροντι, μικρὸν περιεπάτουν ὀπίσω· ἐκεῖνος δὲ ἐπιστρέψας, καὶ ἰδών με βασανιζόμενον ὑπὸ τῶν λογισμῶν, κρούει μου τὸ στῆθος καὶ λέγει μοι· τί ἔχεις; κἀγὼ ἄνθρωπός εἰμι. Τοῦτο δὲ αὐτοῦ εἰπόντος, ἐνόμισα ὅτι ἡ καρδία μου ἠνοίγη· καὶ πίπτω ἐπὶ πρόσωπον εἰς τοὺς πόδας αὐτοῦ, παρακαλῶν αὐτὸν μετὰ δακρύων καὶ λέγων· ἐλέησόν με· ὁ δὲ γέρων λέγει μοι· τί ἔχεις; ἀπεκρίθην ἐγώ· οὐκ οἶδας τί ἔχω; ἔφη ἐκεῖνος· σὲ δεῖ τοῦτο εἰπεῖν.

Τότε οὖν μετ᾽ αἰσχύνης πολλῆς ἐξεῖπον αὐτῷ τὸ πάθος μου· καὶ λέγει μοι· διατί πρὸ πολλοῦ ᾐσχύνθης εἰπεῖν μοι· οὐκ εἰμὶ κἀγὼ ἄνθρωπος; πλὴν θέλεις εἴπω σοι ὃ οἶδα; οὐκ ἔχεις ἤδη τρία ἔτη ἐρχόμενος ὧδε ἔχων τοὺς λογισμοὺς τούτους, καὶ μὴ ἐξαγγέλλων αὐτούς; ἐμοῦ δὲ ὁμολογήσαντος, καὶ προσπεσόντος πάλιν καὶ παρακαλοῦντος καὶ λέγοντος αὐτῷ, ἐλέησόν με διὰ τὸν Κύριον, εἶπέ μοι· ὕπαγε, μὴ ἀμέλει τῆς εὐχῆς σου, καὶ μηδενὸς καταλαλήσεις. Ἀπελθὼν οὖν εἰς τὸ κελλίον μου, καὶ μὴ ἀμελήσας τῆς εὐχῆς μου, χάριτι Χριστοῦ καὶ εὐχαῖς τοῦ γέροντος, οὐκέτι ὠχλήθην ὑπὸ τοῦ πάθους ἐκείνου. Μετὰ δὲ ἐνιαυτὸν ἐπῆλθέ μοι λογισμὸς τοιοῦτος· ὅτι μήποτε ὁ Θεὸς ἐποίησε μετὰ σοῦ τὸ ἔλεος αὐτοῦ καὶ οὐχὶ ἕνεκεν τοῦ γέροντος; τοῦτο δὲ ἐνθυμηθείς, ἀπέρχομαι πειρᾶσαι αὐτόν· καὶ λαβὼν αὐτὸν κατ᾽ ἰδίαν, ἔβαλον αὐτῷ μετάνοιαν, καὶ εἶπον· παρακαλῶ τὴν θεοφίλειάν σου, πάτερ, εὖξαι ὑπὲρ ἐμοῦ περὶ τοῦ λογισμοῦ ἐκείνου οὗ ποτέ σοι ἐξήγγειλα· ὁ δὲ ἀφῆκέ με κείμενον πρὸς τοὺς πόδας αὐτοῦ, καὶ σιωπήσας μικρὸν λέγει μοι· ἀνάστα· ἔχε πίστιν· ἐγὼ δὲ ἀκούσας, ἀπὸ αἰσχύνης ἐβουλόμην εἰ κατέπιέ με ἡ γῆ· καὶ ἀναστὰς οὐκ ἠδυνάμην ἀτενίσαι καὶ ἰδεῖν τὸν γέροντα· καὶ ὑπέστρεψα εἰς τὸ κελλίον θαυμάζων καὶ ἐκπληττόμενος.

2. Εἶπε γέρων· ὃς ἐὰν γένηται μωρὸς διὰ τὸν Κύριον, συνετιεῖ αὐτὸν ὁ Κύριος.

3. Ἠρώτησέ τις ἀδελφὸς τινὰ τῶν γερόντων λέγων· πῶς οὐκ ἀφίεμαι ἐλεύθερος γενέσθαι μετὰ τῶν γερόντων ἐν τοῖς λογισμοῖς μου; καὶ ἀπεκρίθη ὁ γέρων· ὅτι οὐ χαίρει ἐπ᾽ οὐδενὶ ὁ ἐχθρὸς οὕτως, ὡς ἐπὶ τοῖς μὴ ἐκφαίνουσι τοὺς λογισμοὺς ἑαυτῶν.

4. Εἶπεν ὁ Ἀββᾶς Ἀντώνιος· οἶδα Μοναχοὺς μετὰ πολλοὺς κόπους πεσόντας, καὶ εἰς ἔκτασιν φρενῶν ἐλθόντας, διὰ τὸ ἠλπικέναι ἐπὶ τὸ ἔργον αὐτῶν, καὶ παραλογίσασθαι τὴν ἐντολὴν τοῦ εἰπόντος· «ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι».

5. Εἶπε πάλιν· εἰ δυνατὸν ὅσα βήματα βάλλει ὁ μοναχός, ἢ ὅσας σταγόνας πίνει εἰς τὸ κελλίον αὐτοῦ, ὀφείλει θαρρεῖν τοῖς γέρουσι, καὶ ἐρωτᾶν εἰ ἄρα οὐ πταίει ἐν αὐτοῖς. Ἀδελφὸς γὰρ ὢν ὑπὸ πατέρα, εὗρε τόπον ἐν ἐρημίᾳ ἀνακεχωρηκότα καὶ ἡσύχιον, καὶ παρεκάλει τὸν πατέρα αὐτοῦ λέγων· ἐπίτρεψόν μοι οἰκῆσαι ἐν αὐτῷ, καὶ ἐλπίζω εἰς τὸν Θεὸν καὶ εἰς τὰς εὐχάς σου, ὅτι ἔχω κοπιάσαι πάνυ· καὶ εἴασεν αὐτὸν ὁ Ἀββᾶς αὐτοῦ λέγων· οἶδα ἀληθῶς ὅτι πολλὰ ἔχεις κοπιάσαι, ἀλλὰ διὰ τὸ μὴ ἔχειν σε γέροντα θαρρεῖς εἰς τὸ ἔργον σου, ὅτι ἀρέσκεις τῷ Θεῷ· καὶ διὰ τὸ θαρρῆσαι σε ὅλως, ὅτι ἔργον Μοναχοῦ ποιεῖς, ἀπολύεις τὸν κόπον σου καὶ τὰς φρένας.

6. Εἶπεν ὁ Ἀββᾶς Μωϋσῆς· Μοναχὸς ὑπὸ πατέρα ὢν πνευματικόν, καὶ μὴ ἔχων ὑπακοὴν καὶ ταπείνωσιν, ἀλλ᾽ ἀφ᾽ ἑαυτοῦ νηστεύων, ἢ ἄλλο τι ποιῶν, τῷ δοκεῖν ἀγαθόν, ὁ τοιοῦτος οὐδὲ μίαν ἀρετὴν οὐ μὴ κτήσηται οὐδὲ οἶδε τί ἐστι Μοναχός.

7. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ὅτι ἔλεγεν ὁ Ἀββᾶς Θεωνᾶς, ὅτι κἂν κερδήσῃ τις ἀρετὴν ἀφ᾽ ἑαυτοῦ, ὁ Θεὸς οὐ παρέχει αὐτῷ χάριν ὥς τε παραμεῖναι αὐτῷ τὴν ἀρετήν· οἶδε γὰρ ὅτι οὐκ ἔστι πιστὸς εἰς τὸ ἴδιον ἔργον· ἐὰν δὲ ἀπέλθῃ πρὸς τὸν ἑταῖρον αὐτοῦ, τότε παραμένει αὐτῷ.

8. Εἶπε γέρων· ἐὰν ὀχλῶσί σοι ῥυπαροὶ λογισμοί, μὴ κρύψῃς αὐτούς, ἀλλ᾽ εὐθέως εἰπὲ αὐτοὺς τῷ πνευματικῷ σου Πατρὶ καὶ ἔλεγξον αὐτούς· ὅσον γὰρ κρύβει ἄνθρωπος τοὺς λογισμοὺς αὐτοῦ, τοσοῦτον πληθύνονται καὶ λαμβάνουσι δύναμιν· ὥς περ γὰρ ὄφις, ἐὰν ἐξέλθῃ ἀπὸ τοῦ φωλεοῦ, εὐθὺς φεύγει, οὕτω καὶ ὁ πονηρὸς λογισμὸς φανερούμενος, εὐθέως ἀπόλλυται· καὶ ὥς περ σκώληξ ἐν ξύλῳ, οὕτως ὁ πονηρὸς λογισμὸς ἀφανίζει καρδίαν. Ὁ φανερῶν τοὺς λογισμοὺς αὐτοῦ, ταχὺ θεραπεύεται· ὁ δὲ ἀποκρύπτων αὐτοὺς ὑπερηφανίαν νοσεῖ.

9. Ὁ Ἀββᾶς Μακάριος, οἰκῶν ἐν τῇ πανερήμῳ, μόνος ἐν αὐτῇ ἀνεχώρει· ἦν δὲ κάτωθεν αὐτοῦ ἄλλη ἔρημος, ἐν ᾗ πλείονες ἦσαν ἀδελφοί. Ἐν μιᾷ οὖν ἑστὼς ἔξωθεν τοῦ κελλίου αὐτοῦ, ὁρᾷ τὸν σατανᾶν κατὰ τὴν ὁδὸν διερχόμενον ἐν σχήματι ἀνθρώπου· ἐφόρει δὲ ὡς στιχάριον λινοῦν τρωγλωτόν, καὶ κατὰ τρυμαλιὰν ἐκρέματο ληκύθιον· καὶ ἐπιγνοὺς αὐτὸν ὁ γέρων, λέγει· ποῦ πορεύῃ, ὁ μέγας; ὁ δὲ ἔφη· ἀπέρχομαι ὑπομνῆσαι τοὺς ἀδελφούς· καὶ εἶπεν ὁ γέρων· καὶ ἵνα τί σοι τὰ ληκύθια ταῦτα; λέγει ἐκεῖνος· γεύματα ἀποφέρω τοῖς ἀδελφοῖς· ὁ δὲ γέρων· καὶ ταῦτα ὅλα; ὁ δὲ ἀπεκρίθη· ναί· ἐὰν μὴ ἓν ἀρέσῃ τινί, παρέχω ἄλλο· ἐὰν δὲ μηδὲ ἐκεῖνο, δίδωμι ἕτερον· πάντως δὲ ἐκ τούτων πάντων, κἂν ἓν ἀρέσῃ αὐτῷ· καὶ ταῦτα εἰπὼν ἀπῆλθεν.

Ὁ δὲ γέρων ἔμεινε παρατηρούμενος τὰς ὁδούς, ἕως πάλιν ἐκεῖνος ἐπανῆλθε· καὶ ὡς εἶδεν αὐτὸν ὁ γέρων, ἔφη· σωθείης· ὁ δὲ εἶπε· ποῦ ἔνι ἐμοὶ σωθῆναι; λέγει αὐτῷ ὁ γέρων· διὰ τί; ἀπεκρίθη ἐκεῖνος· ὅτι πάντες ἄγριοί μοι ἐγένοντο, καὶ οὐδείς μου ἀνέχεται· καὶ εἶπεν ὁ γέρων· οὐδένα οὖν φίλον ἔχεις ἐκεῖ; ὁ δὲ ἔφη· ναί· ἕνα μόνον ἔχω ἐκεῖ ἀδελφόν· καὶ κἂν αὐτός μοι πείθεται· καὶ ὅτε ὁρᾷ με, στρέφεται ὡς ἀνέμη· ἐρωτᾷ ὁ γέρων· καὶ πῶς καλεῖται ὁ ἀδελφός; ἀπεκρίθη ἐκεῖνος· Θεόπεμπτος· καὶ ταῦτα εἰπὼν ἀπῆλθεν. Ἀναστὰς δὲ ὁ γέρων, ἐπορεύθη πρὸς τοὺς ἀδελφούς· οἱ δὲ γνόντες αὐτὸν ἐρχόμενον, λαβόντες βαΐα ἐξῆλθον εἰς ὑπάντησιν αὐτοῦ· καὶ λοιπὸν εὐτρεπίζετο ἕκαστος εἰς ὑποδοχὴν τοῦ γέροντος, νομίζων ὅτι παρ᾽ αὐτῷ καταλύσει.

Ὁ δὲ ἐζήτει τίς ἐν αὐτοῖς εἴη ὁ καλούμενος Θεόπεμπτος· καὶ εὑρών, εἰσῆλθεν εἰς τὸ κελλίον αὐτοῦ· ὁ δὲ ἀδελφὸς ὑπεδέξατο αὐτὸν χαίρων. Ποιησάντων οὖν αὐτῶν εὐχὴν καὶ καθεσθέντων, λέγει τῷ ἀδελφῷ ὁ γέρων· πῶς τὰ κατὰ σέ, ἀδελφέ; ὁ δὲ εἶπεν· εὐχαῖς σου, καλῶς· καί φησιν ὁ γέρων· μὴ πολεμοῦσί σε λογισμοί; ἀπεκρίθη ὁ ἀδελφός· τέως καλῶς ἔχω· ᾐδεῖτο γὰρ εἰπεῖν· καὶ λέγει αὐτῷ ὁ γέρων· ἰδοὺ τέως ἐγὼ πόσα ἔτη ἀσκῶ, καὶ τιμῶμαι παρὰ πάντων καὶ ἐμοὶ τῷ γέροντι ὀχλεῖ τὸ πνεῦμα τῆς πορνείας· ὁ δὲ ἔφη· πίστευε, Ἀββᾶ, καὶ ἐμοί· ὁ δὲ γέρων προεφασίζετο καὶ ἑτέρους λογισμοὺς πολεμεῖν αὐτῷ, ἕως ποιήσει αὐτὸν ὁμολογῆσαι·

εἶτα λέγει αὐτῷ· πῶς νηστεύεις, ἀδελφέ; ὁ δὲ εἶπε· τὴν ἐνάτην· καὶ ὁ γέρων ἔφη αὐτῷ· νήστευε ἕως ὀψὲ καὶ ἄσκει, καὶ ἀποστήθιζε ἐκ τοῦ Εὐαγγελίου καὶ τῶν ἄλλων ψαλμῶν· καὶ ἐάν σοι ἀναβῇ λογισμός, μηδέποτε πρόσχῃς κάτω, ἀλλὰ πάντοτε ἄνω· καὶ ἀνάγγελλε αὐτὸν ἀνδράσι πνευματικοῖς, καὶ εὐθέως ὁ Κύριος βοηθεῖ· καὶ τυπώσας ὁ γέρων τὸν ἀδελφόν, ὑπέστρεψεν εἰς τὴν ἰδίαν κέλλαν.

Καὶ παρατηρῶν τὰς ὁδούς, ὁρᾷ πάλιν ἐκεῖνον τὸν δαίμονα, ὁμοίως ἠμφιεσμένον· καὶ λέγει αὐτῷ· ποῦ πάλιν ἀπέρχῃ; ὁ δὲ ἀπεκρίθη· ὑπομνῆσαι τοὺς ἀδελφούς· καὶ ἀπῆλθεν· ὁ δὲ γέρων, προσμένων καὶ παρατηρῶν, ὡς εἶδεν αὖθις αὐτὸν ἐπανερχόμενον, λέγει αὐτῷ· πῶς οἱ ἀδελφοί; ὁ δὲ ἔφη· κακῶς· καὶ ὁ γέρων· διατί; ἀπεκρίθη ἐκεῖνος· ἄγριοί εἰσιν ὅλοι· καὶ τὸ μεῖζον κακόν, ὅτι καὶ ὃν εἶχον φίλον ὑπακούοντά μοι, καὶ αὐτὸς οὐκ οἶδα πόθεν διεστράφη, καὶ οὐκέτι μοι πείθεται, ἀλλὰ πάντων ἀγριώτερος ἐγένετο· καὶ ὤμοσα μηκέτι ἐκεῖ πρὸς τὸ παρὸν πατῆσαι, εἰ μὴ μετὰ χρόνον· καὶ ταῦτα εἰπών, ἀπῆλθεν· ὁ δὲ ἅγιος εἰσῆλθεν εἰς τὸ κελλίον αὐτοῦ εὐχαριστῶν τῷ Θεῷ ἐπὶ τῇ σωτηρίᾳ τοῦ ἀδελφοῦ.

Ἑρμηνεία

ΕΠΕΣΚΕΦΘΗΜΕΝ κάποτε ἕνα ἐκ τῶν Πατέρων καὶ τοῦ ἐθέσαμεν τὴν ἑξῆς ἐρώτησιν:

— Πάτερ, ἐὰν ἐνοχλῆται κάποιος ἀπὸ ἕνα λογισμὸν καὶ βλέπῃ ὅτι σιγὰ - σιγὰ νικᾶται ἀπὸ τὸν λογισμὸν αὐτόν, πολλὰς δὲ φορὰς διαβάζει ὅσα εἶπον οἱ Πατέρες διὰ τὴν καταπολέμησιν τοῦ λογισμοῦ καὶ προσπαθῇ νὰ τὰ ἐφαρμόσῃ, χωρὶς ὅμως νὰ τὸ κατορθώνῃ τελείως, τί εἶναι προτιμότερον; Νὰ φανερώσῃ σὲ κάποιον ἐκ τῶν Πατέρων τὸν λογισμόν του, ἢ νὰ φροντίσῃ μόνος του νὰ ἐφαρμόσῃ ὅσα ἐμελέτησε καὶ νὰ ἀρκεσθῇ εἰς τὴν συνείδησίν του;

Ὁ Γέρων ἀπήντησεν:

—Ὁ πολεμούμενος ἀπὸ λογισμὸν ἔχει ὑποχρέωσιν νὰ φανερώσῃ τὸν λογισμόν του αὐτὸν εἰς κάποιον ἄνθρωπον, ὁ ὁποῖος νὰ ἔχῃ τὴν δύναμιν νὰ τὸν ὠφελήσῃ καὶ νὰ μὴ στηριχθῇ μόνον εἰς τὸν ἑαυτόν του. Διότι κανεὶς δὲν ἠμπορεῖ νὰ βοηθήσῃ τὸν ἑαυτόν του, ὅταν μάλιστα ταλαιπωρῆται ἀπὸ τὰ πάθη. Εἰς ἐμὲ — συνέχισεν ὁ Γέρων — συνέβη τὸ ἑξῆς, ὅταν ἤμην νεώτερος· ὑπέφερα ἀπὸ ἕνα ψυχικὸν πάθος καὶ ὑπέκυπτα εἰς αὐτό. Ἐπληροφορήθην λοιπόν, ὅτι ὁ Ἀββᾶς Ζήνων ἐθεράπευσε πολλοὺς εὑρισκομένους εἰς παρομοίαν, πρὸς ἐμέ, κατάστασιν· δι' αὐτὸ ἀπεφάσισα νὰ μεταβῶ καὶ ἐγὼ καὶ νὰ φανερώσω εἰς τὸν Ἀββᾶν Ζήνωνα τὸ πάθος μου. Πλὴν ὁ σατανᾶς μὲ ἠμπόδιζε, ψιθυρίζων ὡς σκέψεις ὀρθὰς εἰς τὴν ψυχήν μου: ἀφοῦ γνωρίζεις τί πρέπει νὰ κάμῃς, κάμε συμφώνως πρὸς ὅσα μελετᾷς εἰς τὰ βιβλία· διατί λοιπὸν νὰ ὑπάγῃς νὰ ἐνοχλήσῃς τὸν Γέροντα; Ὁσάκις λοιπὸν ἀπεφάσιζα νὰ ἐπισκεφθῶ τὸν Γέροντα καὶ νὰ φανερώσω εἰς αὐτὸν τὸν λογισμόν μου, ᾐσθανόμην ἀνακούφισιν ἐκ τοῦ πολέμου τοῦ πάθους. Αὐτὸ ἀσφαλῶς ἦτο τέχνη τοῦ διαβόλου, διὰ νὰ μὴ ὑπάγω, ἀφοῦ, ὅταν ἔπαιρνα τὴν ἀπόφασιν νὰ μὴ μεταβῶ, ἐκυριευόμην πάλιν ἀπὸ τὸ πάθος. Καὶ εἰς αὐτὴν τὴν παγίδα μὲ παρέσυρεν ἐπὶ πολὺν

χρόνον ὁ ἐχθρός, μὴ ἀνεχόμενος νὰ ἐξομολογηθῶ εἰς τὸν Γέροντα τὸν λογισμόν μου. Πολλὰς φορὰς δὲ μετέβην πρὸς τὸν Γέροντα, μὲ τὴν ἀπόφασιν νὰ τοῦ εἴπω τὸν λογισμόν μου, δὲν μὲ ἄφηνεν ὅμως ὁ ἐχθρός, μὲ τὴν ἐντροπήν, τὴν ὁποίαν προεκάλει εἰς τὴν καρδίαν μου. Ἀφοῦ γνωρίζεις — ἔλεγεν εἰς τὴν σκέψιν μου, — πῶς πρέπει νὰ θεραπεύσῃς τὸν ἑαυτόν σου, ποία ἡ ἀνάγκη νὰ φανερώσῃς εἰς κάποιον τὸ πάθος σου; Ἄλλωστε σὺ δὲν ἀμελεῖς διὰ τὸν ἑαυτόν σου· γνωρίζεις τί εἶπον οἱ Πατέρες εἰς παρομοίας περιπτώσεις.

Ὅλα αὐτὰ ἔφερεν εἰς τὸν νοῦν μου ὁ ἀντίδικος, διὰ νὰ μὴ φανερώσω τὸ πάθος μου εἰς τὸν ἰατρὸν καὶ θεραπευθῶ. Ὁ Γέρων, ὅμως, ἀντελαμβάνετο, ὅτι ἐβασανιζόμην ἀπὸ λογισμούς, δὲν μὲ ἤλεγχεν ὅμως, διότι ἀνέμενε νὰ τοὺς φανερώσω ἐγὼ ὁ ἴδιος· μὲ ἐδίδασκεν ὅμως διὰ τὸν ὀρθὸν τρόπον τοῦ βίου καὶ μὲ ἄφηνε νὰ φύγω μὲ τὴν εὐχήν του. Κάποτε ὅμως, μετὰ μίαν τοιαύτην ἐπίσκεψιν, λυπούμενος διὰ τὴν ἀθλιότητά μου, εἶπον εἰς τὸν ἑαυτόν μου· ἕως πότε, ἀθλία ψυχή μου, δὲν θὰ θέλῃς νὰ θεραπευθῇς; Πρὸς τὸν Γέροντα ἔρχονται ἐκεῖνοι ποὺ κατοικοῦν μακρὰν καὶ θεραπεύονται, καὶ σὺ δὲν ἐντρέπεσαι, νὰ ἔχῃς τόσον κοντὰ τὸν ἰατρὸν καὶ νὰ μὴ θεραπεύεσαι; Ἀφοῦ λοιπὸν ἐθερμάνθη ἡ καρδία μου μὲ αὐτὰς τὰς σκέψεις ἀμέσως ἐσηκώθην καὶ εἶπον εἰς τὸν ἑαυτόν μου· θὰ ὑπάγω πρὸς τὸν Γέροντα καὶ ἐὰν δὲν εὕρω ἐκεῖ κανένα ἐπισκέπτην, θὰ καταλάβω ὅτι εἶναι θέλημα Θεοῦ, νὰ ἐξομολογηθῶ εἰς αὐτὸν τὸν λογισμόν μου. Καὶ πράγματι μεταβὰς εἰς τὸ κελλίον τοῦ Γέροντος δὲν εὗρον κανένα.

Ὁ Γέρων, κατὰ τὴν συνήθειάν του, μὲ ἐδίδαξε καὶ πάλιν περὶ σωτηρίας ψυχῆς, καὶ ὅτι ὁ ἄνθρωπος ἐπιβάλλεται νὰ καθαρισθῇ ἀπὸ τοὺς ρυπαροὺς λογισμούς· (ἐγὼ ἀπὸ ἐντροπήν, καὶ πάλιν δὲν τοῦ ἐφανέρωσα τίποτε, ἡτοιμαζόμην δὲ νὰ ἀναχωρήσω) καὶ ἐγερθεὶς ἔκαμεν εὐχήν, καὶ μὲ προέπεμπε νὰ φύγω, βαδίζων ἐμπρός μου, μέχρι τῆς ἐξωθύρας τοῦ κελλίου του. Βασανιζόμενος ὅμως ἀπὸ τὴν σκέψιν νὰ ἐξομολογηθῶ ἢ ὄχι τοὺς λογισμούς μου εἰς τὸν Γέροντα, ἐβάδιζα μὲ διστακτικὰ βήματα ὄπισθέν του. Τότε ὁ Γέρων μὲ ἐπλησίασε καὶ καθὼς μὲ εἶδε νὰ βασανίζωμαι ἀπὸ τοὺς λογισμούς, μὲ κτυπᾷ φιλικὰ εἰς τὸ στῆθος καὶ μοῦ λέγει:

— Τέκνον μου, τί ἔχεις; Καὶ ἐγὼ ἄνθρωπος εἶμαι.

Οἱ λόγοι τοῦ Γέροντος ἐνόμισα ὅτι μοῦ ἤνοιξαν τὴν καρδίαν καὶ πίπτων εἰς τὰ γόνατά του τὸν παρεκάλουν μὲ δάκρυα:

— Πάτερ, ἐλέησόν με.

— Τί ἔχεις, παιδί μου, μὲ ἐρωτᾷ ὁ Γέρων.

— Δὲν γνωρίζεις τί ἔχω;

Ὁ Γέρων, ὡς νὰ ἐγνώριζε τὸ μυστικὸν τῆς καρδίας μου, μοῦ εἶπε:

— Σὺ πρέπει νὰ τὸ εἴπῃς.

Τότε λοιπὸν καὶ ἐγώ, μετὰ μεγάλης ἐντροπῆς, ἐξωμολογήθην εἰς αὐτὸν τὸ πάθος μου.

Ἀφοῦ μὲ ἤκουσεν ὁ Γέρων εἶπε:

— Διατί ἐντράπηκες νὰ μοῦ τὸ ἐμπιστευθῇς ἀπὸ τόσον καιρόν; Μήπως καὶ ἐγὼ δὲν εἶμαι ἄνθρωπος;

Πλὴν θέλεις νὰ σοῦ φανερώσω αὐτό, ποὺ γνωρίζω; Τρία ἔτη ἤδη δὲν ἔρχεσαι ἐδῶ, βασανιζόμενος ἀπὸ τοὺς λογισμοὺς αὐτούς, χωρὶς ὅμως νὰ τοὺς ἐξομολογῆσαι;

Κατόπιν αὐτοῦ, βαθύτατα συγκεκινημένος ἐξ αὐτοῦ, ἔπεσα καὶ πάλιν εἰς τοὺς πόδας του λέγων:

— Ἔχεις δίκαιον, Πάτερ μου· σὲ παρακαλῶ τώρα νὰ μὲ λυπηθῇς, διὰ τὴν ἀγάπην τοῦ Κυρίου.

Καὶ πάλιν ὁ Γέρων μὲ συγκατάβασιν προσέθεσε:

— Πήγαινε, μὴ παραμελῇς τὴν προσευχήν σου καὶ μὴ κατηγορῇς κανένα.

Ἀπελθὼν λοιπὸν εἰς τὸ κελλίον μου καὶ ἀσχολούμενος συνεχῶς μὲ τὴν προσευχήν μου, οὐδέποτε ἠνωχλήθην ἀπὸ ἐκεῖνο τὸ πάθος, μὲ τὴν Χάριν βεβαίως τοῦ Χριστοῦ καὶ τὰς εὐχὰς τοῦ Γέροντος.

Ὕστερα ἀπὸ ἕνα χρόνον προσέβαλε τὸν νοῦν μου ὁ ἑξῆς λογισμός· Μήπως ὁ Θεὸς σὲ εὐσπλαγχνίσθη, κατὰ τὸ ἔλεός Του, καὶ ὄχι ἐξ αἰτίας τοῦ Γέροντος; Μόλις μοῦ ἦλθεν αὐτὴ ἡ σκέψις, πηγαίνω ἀμέσως εἰς τὸ κελλὶ τοῦ Γέροντος, διὰ νὰ τὸν δοκιμάσω. Ἀφοῦ δὲ τὸν ἐπῆρα ἰδιαιτέρως, τοῦ ἔβαλα μετάνοιαν καὶ τοῦ εἶπα:

— Πάτερ μου, παρακαλῶ τὴν θεοφίλειάν σου, νὰ προσευχηθῇς δι᾽ ἐμὲ περὶ τοῦ λογισμοῦ ἐκείνου, ποὺ κάποτε σοῦ ἐξωμολογήθηκα.

Ὁ Γέρων μὲ ἄφησε γονατιστὸν εἰς τοὺς πόδας του καὶ σιωπήσας ὀλίγον, ὕστερα μοῦ λέγει:

— Σήκω ἐπάνω· νὰ ἔχῃς πίστιν.

Ἐγὼ μόλις ἤκουσα τὴν ἀπάντησιν αὐτήν, τόσην ἐντροπὴν ἐδοκίμασα, ὥστε θὰ ἤθελα, ἐκείνην τὴν στιγμήν, νὰ μὲ καταπιῇ ἡ γῆ. Καὶ ἀφοῦ ἐσηκώθηκα, δὲν εἶχα τὴν δύναμιν νὰ ἀντικρύσω τὸν Γέροντα· καὶ ἐπέστρεψα εἰς τὸ κελλίον μου, γεμᾶτος ἀπὸ θαυμασμὸν καὶ ἔκπληξιν.

† ② Ἕνας Γέρων ἀσκητὴς εἶπεν· ὅποιος γίνῃ, χάριν τοῦ Κυρίου, μωρός, ὁ Κύριος θὰ τὸν κάνῃ σοφόν!

† ③ Ἕνας ἀδελφὸς ἠρώτησε κάποιον Γέροντα:

— Διατί ὑποφέρω ἀπὸ τοὺς λογισμούς μου μολονότι συναναστρέφομαι γέροντας;

Ὁ Γέρων ἀπήντησε:

— Διὰ τίποτε ἄλλο δὲν χαίρει τόσον πολὺ ὁ ἐχθρὸς ὅσον μὲ ἐκείνους, ποὺ δὲν φανερώνουν τοὺς λογισμούς των.

† 4. Ὁ Ἀββᾶς Ἀντώνιος εἶπε· Γνωρίζω Μοναχούς, οἱ ὁποῖοι ἔπεσαν, ὕστερα ἀπὸ πολλοὺς ἀσκητικοὺς κόπους, καὶ ἐσάλευσαν τὰ μυαλά των, ἐπειδὴ ἐστήριξαν τὰς ἐλπίδας των εἰς τὴν ἐργασίαν των μόνον καὶ δὲν ἔλαβον ὑπ᾽ ὄψιν των τὴν ἐντολὴν Ἐκείνου, ποὺ εἶπε· «ἐρώτησε μετ᾽ ἐπιμονῆς τὸν πατέρα σου καὶ θὰ σοῦ ἐξηγήσῃ· τοὺς μεγαλυτέρους σου καὶ θὰ σοῦ εἴπουν» (Δευτερ. ΛΒ΄, 7).

† ⑤ Ὁ ἴδιος εἶπε πάλιν· ὁ Μοναχὸς ὀφείλει νὰ ἔχη θάρρος εἰς τοὺς Γέροντας καὶ νὰ τοὺς ἐρωτᾷ μήπως πταίει, ἐὰν εἶναι δυνατόν, ἀκόμη καὶ δι' ὅσα βήματα βαδίζει ἢ δι' ὅσας σταγόνας νεροῦ πίνει εἰς τὸ κελλί του.

Ἕνας ἀδελφὸς ὁ ὁποῖος ἦτο ὑποτακτικὸς εἰς κάποιον Πατέρα ἀνεκάλυψε μέσα εἰς τὴν ἔρημον τόπον ἀπομονωμένον καὶ ἥσυχον· παρεκάλεσε λοιπὸν τὸν Πατέρα του λέγων. Ἐπίτρεψέ μου νὰ κατοικήσω εἰς τὸ μέρος αὐτὸ καὶ ἐλπίζω εἰς τὸν Θεὸν καὶ εἰς τὰς εὐχάς σου ὅτι ἔχω τὴν δύναμιν νὰ κοπιάσω πολύ. Ὁ Ἀββᾶς του τὸν ἄφησε καὶ τοῦ εἶπε· Γνωρίζω ὅτι πράγματι ἔχεις τὴν δύναμιν νὰ ὑποβληθῇς εἰς πολλοὺς κόπους, ἀλλὰ μὲ τὸ νὰ μὴ ἔχῃς Γέροντα, ἐμπιστεύεσαι εἰς τὸ ἔργον σου ὅτι εἶναι ἀρεστὸν εἰς τὸν Θεόν. Καὶ ἐξ αἰτίας αὐτῆς τῆς αὐτοπεποιθήσεως, ὅτι ἐκτελεῖς ὅπως πρέπει τὸ ἔργον τοῦ Μοναχοῦ, θὰ χάσῃς καὶ τὸν κόπον σου καὶ τὰ μυαλά σου.

† ⑥ Ὁ Ἀββᾶς Μωϋσῆς εἶπε· Μοναχός, ὁ ὁποῖος εἶναι ὑποτεταγμένος εἰς πνευματικὸν Πατέρα καὶ δὲν ἔχει ὑπακοὴν καὶ ταπείνωσιν, ἀλλ' αὐτοπροαιρέτως νηστεύει, ἢ κάνει κάτι ἄλλο, τὸ ὁποῖον θεωρεῖ ὡς ἀγαθόν, δὲν θὰ ἀποκτήσῃ ποτὲ καμμίαν ἀρετὴν καὶ οὔτε γνωρίζει τί εἶναι Μοναχός.

† ⑦ Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν, ὅτι ὁ Ἀββᾶς Θεωνᾶς ἔλεγεν, ὅτι καὶ ἂν ἀκόμη ἕνας Μοναχὸς κατορθώσῃ, μὲ τὸ θέλημά του, κάποιαν ἀρετήν, ὁ Θεὸς δὲν παρέχει εἰς αὐτὸν τὴν Χάριν Του ὥστε νὰ παραμείνῃ μετ' αὐτοῦ ἡ ἀρετή· διότι πρέπει νὰ γνωρίζῃ, ὅτι δὲν πρέπει νὰ ἔχῃ ἀπόλυτον ἐμπιστοσύνην εἰς τὸ ἰδικόν του ἔργον· ἐὰν ὅμως μεταβῇ πρὸς τὸν σύντροφόν του, διὰ νὰ τὸν ἐρωτήσῃ, τότε παραμένει εἰς αὐτὸν ἡ ἀρετή.

† ⑧ Ἕνας Γέρων εἶπεν· ἐὰν σὲ ἐνοχλοῦν ρυπαροὶ λογισμοί, μὴ τοὺς ἀποκρύψῃς, ἀλλ' ἀμέσως νὰ τοὺς εἴπῃς εἰς τὸν πνευματικόν σου Πατέρα καὶ νὰ τοὺς ἐλέγξῃς· διότι ὅσον ὁ ἄνθρωπος ἀποκρύπτει τοὺς λογισμούς του, τόσον περισσότερον πληθύνονται καὶ δυναμώνουν. Ὅπως, δηλαδή, ὁ ὄφις μόλις ἐξέλθῃ ἀπὸ τὴν φωλεάν του, ἀμέσως φεύγει, τοιουτοτρόπως καὶ ὁ πονηρὸς λογισμὸς μόλις φανερωθῇ, ἀμέσως χάνεται. Καὶ ὅπως ἀκριβῶς ὁ σκώληξ κατατρώγει τὸ ξύλον, τοιουτοτρόπως καὶ ὁ πονηρὸς λογισμὸς ἐξαφανίζει καρδίαν. Ἐκεῖνος, ποὺ φανερώνει, μὲ τὴν ἐξομολόγησιν, τοὺς λογισμούς του, θεραπεύεται γρήγορα· ἐνῷ ἐκεῖνος ποὺ τοὺς ἀποκρύπτει, πάσχει ἀπὸ ὑπερηφάνειαν.

9. Ὁ Ἀββᾶς Μακάριος, κατοικοῦσεν εἰς τὴν βαθυτέραν ἔρημον μόνος του· χαμηλότερον ὑπῆρχεν ἄλλη ἔρημος, εἰς τὴν ὁποίαν ἠσκήτευον πολλοὶ ἀδελφοί. Μίαν ἡμέραν λοιπόν, καθὼς ἐστέκετο ἔξω ἀπὸ τὸ κελλί του, βλέπει τὸν σατανᾶν νὰ περνᾷ, ὡς ἄνθρωπος, εἰς τὸν δρόμον· ἐφόρει δὲ ὡς ἔνδυμα ἕνα κατατρυπημένον λινὸν φόρεμα· εἰς ἑκάστην δὲ τρύπαν ἦτο κρεμασμένον καὶ ἕνα φιαλίδιον. Ὁ Γέρων τὸν ἀνεγνώρισε καὶ τοῦ λέγει:

—Ἔ! σὺ μεγάλε, ποῦ πηγαίνεις;

— Πηγαίνω νὰ ἐνοχλήσω τοὺς Μοναχοὺς μὲ πονηροὺς λογισμούς· ἀπήντησεν ὁ σατανᾶς.

— Αὐτὰ τὰ φιαλίδια τί τὰ θέλεις; ἐρωτᾷ πάλιν ὁ Γέρων:

— Τὰ πηγαίνω, διὰ νὰ δοκιμάσουν τὸ περιεχόμενόν των οἱ Μοναχοί.

— Καὶ ὅλα αὐτά; ἠρώτησε μὲ κατάπληξιν ὁ Γέρων.

— Ναί· ἐὰν εἰς κάποιον δὲν ἀρέσει ἕνα, τοῦ δίδω ἄλλο· ἐὰν δὲ οὔτε αὐτό, τοῦ προσφέρω τρίτον. Πάντως ἀπὸ ὅλα αὐτά, ἔστω καὶ ἕνα, θὰ τοῦ ἀρέσῃ.

Ἀφοῦ εἶπεν αὐτὰ ὁ σατανᾶς, ἔφυγεν.

Ὁ Γέρων ἔμεινεν εἰς τὴν θέσιν ἐκείνην παρατηρῶν τὸν δρόμον, μέχρις ὅτου ἐπέστρεψεν ὁ σατανᾶς.

Μόλις τὸν εἶδεν ὁ Γέρων, τὸν ἐχαιρέτησε κατὰ τὸν τρόπον τῶν Μοναχῶν.

— Εὔχομαι νὰ σωθῇς.

— Ποῦ εἶναι δυνατὸν νὰ σωθῶ ἐγώ; ἀπήντησε θυμωμένος ὁ σατανᾶς.

— Διατί; τὸν ἐρωτᾷ ὁ Γέρων:

— Διότι ὅλοι ἔχουν ἐξαγριωθῆ ἐναντίον μου, καὶ κανεὶς δὲν μὲ ἀνέχεται.

— Δὲν ἔχεις λοιπὸν κανένα φίλον ἐκεῖ κάτω;

— Ἔ! ἔχω δὰ ἕνα μόνον ἀδελφὸν ἐκεῖ κάτω καὶ αὐτὸς τοὐλάχιστον μὲ ἀκούει καὶ ὅταν μὲ βλέπῃ, στριφογυρίζει ὡς ἀνέμη, ἀπὸ τὴν χαράν του· ἀπήντησεν ὁ Σατανᾶς.

— Καὶ πῶς καλεῖται ὁ Μοναχὸς αὐτός;

— Θεόπεμπτος, ἀπήντησεν ὁ σατανᾶς καὶ ἔφυγεν.

Ἀμέσως ὁ Ἀββᾶς Μακάριος σηκώνεται καὶ πηγαίνει πρὸς τοὺς Μοναχούς· ἐκεῖνοι, μόλις τὸν ἀντελήφθησαν νὰ ἔρχεται, ἐπῆραν εἰς τὰ χέρια των βάϊα καὶ ἐξῆλθον νὰ τὸν προϋπαντήσουν. Κάθε ἕνας δὲ ἀπὸ αὐτοὺς ἐκαθάριζε τὸ κελλί του διὰ νὰ ὑποδεχθῇ τὸν Γέροντα, μὲ τὴν κρυφὴν ἐλπίδα, ὅτι θὰ παραμείνῃ εἰς αὐτόν.

Ὁ Γέρων τοὺς ἠρώτα ποῖος ἦτο ὁ Θεόπεμπτος. Καὶ ἀφοῦ τὸν εὗρεν, εἰσῆλθεν εἰς τὸ κελλίον του. Ὁ Θεόπεμπτος τὸν ὑπεδέχθη μετὰ χαρᾶς.

Ἀφοῦ λοιπὸν ἔκαμαν εὐχὴν καὶ ἐκάθησαν, ἤρχισαν νὰ συζητοῦν περὶ πνευματικῶν ζητημάτων.

— Λοιπὸν πῶς πηγαίνεις; ἐρωτᾷ τὸν ἀδελφὸν ὁ Γέρων.

— Μὲ τὰς εὐχάς σου, καλῶς, ἀπήντησεν ὁ Μοναχός.

— Μήπως, τέκνον μου, πολεμεῖσαι ἀπὸ λογισμούς;

— Μέχρι τώρα εἶμαι καλά, ἀπήντησεν ὁ Μοναχός, διότι ἐντρέπετο νὰ εἴπῃ τὴν ἀλήθειαν.

Ὁ Γέρων μὲ πατρικὴν στοργὴν καὶ συγκατάβασιν λέγει πάλιν πρὸς τὸν Μοναχόν:

—Ἐγώ, τέκνον μου, ὅπως βλέπεις, ἔχω ἀρκετὰ ἔτη εἰς τὴν ἄσκησιν καὶ ὅλοι μὲ τιμοῦν· καὶ ὅμως ἐμὲ τὸν γέροντα ἐνοχλεῖ ὁ λογισμὸς τῆς πορνείας.

— Πίστευσόν με, Ἀββᾶ, καὶ ἐμὲ ἐνοχλεῖ ὁ ἴδιος λογισμός, εἶπεν ὁ Μοναχός.

Ὁ Ἀββᾶς Μακάριος ὑπεκρίνετο ὅτι πολεμεῖται δῆθεν καὶ ἀπὸ ἄλλους λογισμούς, ὥσπου νὰ κάμῃ τὸν Θεόπεμπτον νὰ ὁμολογήσῃ τοὺς λογισμούς του.

Ἀφοῦ τοιουτοτρόπως ἐξωμολογήθη τοὺς λογισμούς του, τὸν ἐρωτᾷ ὁ Ἀββᾶς Μακάριος.

— Πῶς νηστεύεις, ἀδελφέ μου;

—Ἐφαρμόζω τὴν ἐνάτην.

Ὁ Γέρων τότε τὸν συνεβούλευσε:

— Νὰ νηστεύῃς ἕως ἀργὰ τὸ βράδυ, νὰ ἐκτελῇς, μετὰ ζήλου τὰ ἀσκητικά σου καθήκοντα καὶ νὰ ἀποστηθίζῃς περικοπὰς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου καὶ τοῦ βιβλίου τῶν Ψαλμῶν. Ἐὰν δὲ κάποτε ἔλθῃ εἰς τὸν νοῦν σου πονηρὸς λογισμός, ποτέ, ἐξ ἐπιδράσεώς του, νὰ μὴ προσέξῃς τὰ γήϊνα, ἀλλὰ νὰ κατευθύνῃς πάντοτε τὸν νοῦν σου ὑψηλά· νὰ ἐξομολογηθῇς τὸν λογισμὸν αὐτὸν εἰς τοὺς Πνευματικοὺς καὶ ὁ Κύριος θὰ σὲ βοηθήσῃ ἀμέσως. Ἀφοῦ δὲ ὁ Γέρων ἐσφράγισε τὸν Μοναχόν, ἐπέστρεψεν εἰς τὸ κελλίον του.

Παρατηρῶν δὲ ἐκ τοῦ κελλίου του τὸν δρόμον βλέπει πάλιν ἐκεῖνον τὸν δαίμονα, ἐνδεδυμένον κατὰ τὸν ἴδιον, ὅπως καὶ πρῶτα τρόπον. Τότε λέγει λοιπὸν ὁ Ἀββᾶς Μακάριος:

— Ποῦ πηγαίνεις πάλιν;

— Πηγαίνω νὰ βάλω εἰς τὸν νοῦν τῶν Μοναχῶν κακοὺς λογισμούς· ἀπήντησεν ὁ Σατανᾶς καὶ ἔφυγεν.

Ὁ Γέρων παρετήρει πάλιν τὸν δρόμον καὶ τὸν ἐπερίμενεν. Ὅταν τὸν εἶδε νὰ ἐπιστρέφῃ, τὸν ἐρωτᾷ:

— Πῶς εἶναι οἱ ἀδελφοί;

—Ἄσχημα, ἀπαντᾷ μὲ δυσφορίαν ὁ σατανᾶς.

— Διατί;

— Εἶναι ὅλοι ἐξηγριωμένοι ἐναντίον μου· καὶ τὸ χειρότερον εἶναι ὅτι καὶ αὐτὸς τὸν ὁποῖον εἶχα φίλον καὶ ὑπήκουεν εἰς ἐμέ, δὲν γνωρίζω πῶς, ἤλλαξε καὶ δὲν μὲ ὑπακούει πλέον καὶ ἔγινεν ἀπὸ ὅλους ὁ ἀγριώτερος ἐναντίον μου· δι' αὐτὸ καὶ ἐγὼ ὡρκίσθην, πρὸς τὸ παρὸν τοὐλάχιστον νὰ μὴ ξαναπατήσω ἐκεῖ, παρὰ μετὰ ἀπὸ πολὺν καιρόν. Ἀφοῦ εἶπεν αὐτὰ ὁ σατανᾶς ἔφυγεν. Ὁ δὲ Ἅγιος εἰσῆλθεν εἰς τὸ κελλίον του καὶ ηὐχαρίστει τὸν Θεόν, διὰ τὴν σωτηρίαν τοῦ ἀδελφοῦ.

Δ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, πρόσεχε σεαυτῷ, μήποτε γένηται ῥῆμα πονηρὸν ἐν τῇ καρδίᾳ σου, καὶ συνθέμενος τῷ τοιούτῳ λογισμῷ κρύψῃς αὐτὸν ἀπὸ τοῦ κατὰ Πνεῦμα Πα-

τρός σου· οὕτω γὰρ πέπονθέ τις τῶν ἀρχαίων, λαβὼν ἐκ τοῦ ἀναθήματος καὶ κρύψας ἐν τῇ σκηνῇ αὐτοῦ· ὁμοίως καὶ Γιεζὶ ὁ λειτουργὸς τοῦ Προφήτου Ἐλισαιέ, καὶ οὐκ ἔλαθον τὸν Θεόν, ἀλλ' οὐδὲ τοὺς ἀνθρώπους· κρυπτῶς γὰρ δράσαντες τὸ κακόν, ἐμφανῶς τὴν ἀντιμισθίαν ἀπέλαβον· ὁ μέν, πανοικὶ λιθασθεὶς ὑπὸ παντὸς τοῦ λαοῦ· ὁ δὲ τὴν λέπραν κληρωσάμενος ἅμα τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος· ἀψευδὴς γὰρ ὁ εἰπών· «Θεὸς οὐ μυκτηρίζεται· καί, ὃ ἐὰν σπείρῃ τις, τοῦτο καὶ θερίσει».

Ἑ ρ μ η ν ε ί α

ΑΔΕΛΦΕ ΜΟΥ, πρόσεχε τὸν ἑαυτόν σου, μὴ τυχὸν γεννηθῇ σκέψις πονηρὰ εἰς τὴν καρδίαν σου, καὶ σὺ συμφωνήσῃς μὲ αὐτὸν τὸν λογισμόν, καὶ τὸν ἀποκρύψῃς ἀπὸ τὸν Πνευματικόν σου Πατέρα. Διότι κάτι παρόμοιον ἔπαθε κάποιος ἀπὸ τοὺς παλαιούς· ἐπῆρεν ἀπὸ τὰ ἀφιερώματα καὶ τὰ ἔκρυψεν εἰς τὴν σκηνήν του. Τὸ ἴδιον συνέβη καὶ μὲ τὸν Γιεζί, τὸν ὑποτακτικὸν τοῦ Προφήτου Ἐλισαίου. Ἔπραξαν καὶ οἱ δύο κρυφά, ἐν τούτοις δὲν διέφυγον τὸν ὀφθαλμὸν τοῦ Θεοῦ, ἀλλ' οὔτε καὶ τὴν προσοχὴν τῶν ἀνθρώπων. Διαπράξαντες δηλαδὴ ἐν κρυπτῷ τὸ κακόν, ἐκέρδισαν φανερὰ τὴν ἀντιμισθίαν τῆς πράξεώς των. Ὁ πρῶτος ἐξ αὐτῶν ἐλιθοβολήθη μὲ ὅλην τὴν οἰκογένειάν του ὑφ' ὁλοκλήρου τοῦ λαοῦ ('Ιησ. Ναυῆ ΣΤ', 18· Ζ', 1—26)· ὁ δὲ δεύτερος ἔλαβεν ὡς κλῆρον τὴν λέπραν, καθὼς καὶ οἱ ἀπόγονοί του ἕως τοῦ αἰῶνος (Δ' Βασ. 20—27). Διότι δὲν εἶναι ψεύστης αὐτὸς ποὺ εἶπεν· «ὁ Θεὸς δὲν ἐμπαίζεται καὶ αὐτὸ ποὺ θὰ σπείρῃ κανείς, αὐτὸ καὶ θὰ θερίσῃ».

Ε'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΑΔΕΛΦΕ, ἐὰν σφάλῃς ἐν πράγματι, μὴ φεύδου αἰσχυνόμενος, ἀλλὰ βάλε μετάνοιαν λέγων· συγχώρησόν μοι· καὶ τὸ σφάλμα παρέρχεται. Μὴ ἤτω ἄλλο ἐν τῷ στόματί σου, καὶ ἄλλο ἐν τῇ καρδίᾳ σου· ὁ γὰρ Θεὸς οὐ μυκτηρίζεται, ἀλλὰ πάντα θεωρεῖ, καὶ τὰ κρυπτὰ καὶ τὰ φανερά. Πάντα οὖν λογισμὸν καὶ πᾶσαν θλῖψιν, καὶ πᾶν θέλημά σου καὶ πᾶσαν ὑποψίαν μὴ ἀποκρύψῃς, ἀλλ' ἐξάγγειλον μετὰ ἐλευθερίας τῷ Ἀββᾷ σου· καὶ ὃ ἀκούεις παρ' αὐτοῦ, σπούδαζε μετὰ πίστεως ποιεῖν· καὶ κουφίζεται ὁ πόλεμος ἀπὸ σοῦ· χαρὰν γὰρ οὐκ ἔχουσι τὰ πονηρὰ πνεύματα, εἰ μὴ εἰς ἄνθρωπον σιωπῶντα τοὺς λογισμοὺς αὐτοῦ, εἴ τε καλοί εἰσιν, εἴτε κακοί. Δὸς τὴν καρδίαν σου εἰς ὑπακοὴν Πατέρων σου, καὶ ἡ χάρις τοῦ Θεοῦ οἰκήσει ἐν σοί. Μὴ ἔσο παρὰ σεαυτῷ φρόνιμος, ἵνα μὴ ἐμπέσῃς εἰς χεῖρας τῶν ἐχθρῶν σου. Τὸ σιωπᾶν εἰς τὸ μὴ ἐξειπεῖν τοὺς λογισμούς, δῆλόν σε ποιεῖ, ὅτι ἐκζητεῖς τὴν τιμὴν τοῦ κόσμου, καὶ τὴν δόξαν αὐτοῦ τὴν αἰσχράν· ὁ δὲ παρρησιαζόμενος ἐξειπεῖν τοὺς λογισμοὺς αὐτοῦ ἐπὶ τῶν Πατέρων αὐτοῦ, ἐκδιώκει αὐτοὺς ἀφ' ἑαυτοῦ. Συμβουλῆς ἀεὶ μέτεχε τῶν Πατέρων σου, καὶ ποιήσεις τὸν ἅπαντά σου χρόνον ἐν ἀναπαύσει.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, ἐὰν σφάλῃς εἰς ἕνα πρᾶγμα, μὴ λέγῃς ψεύδη ἐπειδὴ ἐντρέπεσαι, ἀλλὰ νὰ βάλῃς μετάνοιαν καὶ νὰ εἴπῃς· συγχώρησόν με· καὶ τὸ σφάλμα σου ἀμέσως συγχωρεῖται. Μὴ ἔχεις ἄλλους λόγους εἰς τὸ στόμα σου καὶ ἄλλας σκέψεις εἰς τὴν καρδίαν σου, διότι ὁ Θεὸς δὲν ἐμπαίζεται, ἀλλὰ τὰ βλέπει ὅλα, καὶ τὰ κρυπτὰ καὶ τὰ φανερά. Κάθε λοιπὸν λογισμόν σου καὶ κάθε στενοχωρίαν σου, καὶ κάθε θέλημά σου, ἀλλὰ καὶ κάθε ἁπλῆν σκέψιν σου, μὴ τὰ ἀποκρύψῃς, ἀλλὰ ἐλεύθερα νὰ τὰ ἐξομολογηθῇς εἰς τὸν Ἀββᾶν σου· ὅ,τι δὲ ἀκούσῃς ἀπὸ αὐτόν, φρόντιζε μὲ εἰλικρίνειαν νὰ τὸ ἐκτελῇς· καὶ τότε ὁ πόλεμος γίνεται ἐλαφρότερος διὰ σέ. Διότι τὰ πονηρὰ πνεύματα δὲν εὑρίσκουν ἄλλου χαράν, παρὰ μόνον εἰς τὸν ἄνθρωπον, ποὺ σιωπᾷ τοὺς λογισμούς του, εἴτε εἶναι καλοί, εἴτε κακοί.

Ἄφησε τὴν καρδίαν σου νὰ ὑπακούῃ τοὺς Πατέρας σου καὶ ἡ Χάρις τοῦ Κυρίου θὰ κατοικήσῃ μέσα εἰς τὴν ψυχήν σου. Μὴ θεωρῇς τὸν ἑαυτόν σου φρόνιμον, διὰ νὰ μὴ πέσῃς εἰς τὰ χέρια τῶν ἐχθρῶν σου. Τὸ νὰ σιωπᾷς καὶ νὰ μὴ φανερώνῃς τοὺς λογισμούς σου φανερώνει ὅτι ἐπιζητεῖς τὴν τιμὴν τοῦ κόσμου καὶ τὴν αἰσχράν του δόξαν. Ἐκεῖνος ὅμως ποὺ ἔχει τὸ θάρρος νὰ εἰπῇ φανερὰ τοὺς λογισμούς του ἐνώπιον τῶν Πατέρων του, τοὺς ἐκδιώκει ἀπὸ τὴν σκέψιν του. Πάντοτε νὰ ζητῇς καὶ νὰ λαμβάνῃς συμβουλὰς παρὰ τῶν Πατέρων σου, καὶ θὰ ἔχῃς πάντοτε, εἰς ὅλην σου τὴν ζωήν, ἀνάπαυσιν.

ΣΤ' Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΔΕΙΓΜΑ ἀληθινῆς ταπεινώσεως τὸ μὴ μόνον ἅπερ πράττομεν, ἀλλὰ καὶ ἅπερ ἐνθυμούμεθα τοῖς Πατράσιν ἀποκαλύπτειν. Αὕτη γὰρ ἡ ἐργασία τὸν Μοναχὸν ἀβλαβῆ καὶ ἀπρόσκοπον διαβαίνειν παρασκευάζει διὰ τῆς εὐθείας ὁδοῦ. Ἀδύνατον γὰρ τὸν κρίσει καὶ γνώμῃ τῶν προβεβηκότων τὸν ἑαυτοῦ βίον ρυθμίζοντα ἀπάτῃ δαιμόνων περιπεσεῖν. Ἄλλως τε καὶ αὐτὸ τοῦτο τὸ φανεροῦν καὶ ἀποκαλύπτειν τοῖς Πατράσι τὰς φαύλας ἐνθυμήσεις, μαραίνει ταύτας καὶ ἀσθενεστέρας ποιεῖ. Ὥς περ γὰρ ὄφις ἀπὸ σκοτεινῆς τρυμαλιᾶς ἐξενεχθεὶς εἰς φῶς, σπουδάζει φυγῇ χρήσασθαι καὶ ἀφανισμῷ, οὕτω καὶ οἱ πονηροὶ λογισμοὶ διὰ τῆς καθαρᾶς ὁμολογίας καὶ ἐξαγορεύσεως φανερωθέντες, φεύγουσιν ἀπὸ τοῦ ἀνθρώπου.

2. Τοιοῦτον δέ μοι καὶ ὁ Ἀββᾶς Σεραπίων περὶ ἑαυτοῦ διηγήσατο λέγων· ὅταν ὑπῆρχον νεώτερος, καὶ συνέμενον τῷ Ἀββᾷ μου, ὡς ἠσθίομεν, ἀνιστάμενος τῆς τραπέζης, κατ' ἐνέργειαν τοῦ δαίμονος, ἔκλεπτον παξαμᾶν, καὶ τοῦτον ἔτρωγον λάθρᾳ τοῦ Ἀββᾶ μου. Ὡς οὖν ἔμεινα τοῦτο ποιῶν ἐπὶ χρόνον, κατακυριευθεὶς, οὐκ ἠδυνάμην ἑαυτοῦ περιγενέσθαι, μόνον δὲ ἐκρινόμην ὑπὸ τῆς ἰδίας συνειδήσεως, τῷ δὲ γέροντι ἠσχυνόμην εἰπεῖν.

Συνέβη δὲ κατ' οἰκονομίαν τοῦ φιλανθρώπου Θεοῦ, ἀδελφούς τινας ἐλθεῖν πρὸς τὸν γέροντα ὠφελείας χάριν· οἳ καὶ ἠρώτων αὐτὸν περὶ τῶν ἰδίων λογισμῶν· ἀπεκρίθη δὲ ὁ γέρων, ὅτι οὐδὲν οὕτω βλάπτει τοὺς Μοναχοὺς καὶ χαροποιεῖ τοὺς

δαίμονας, ὡς τὸ κρύπτειν τοὺς ἰδίους λογισμοὺς ἀπὸ τῶν πνευματικῶν Πατέρων· ἐλάλησε δὲ αὐτοῖς καὶ περὶ ἐγκρατείας. Ἐγὼ δὲ τῶν λεγομένων ἀκούων, καὶ εἰς ἐμαυτὸν ἐλθών, ἐλογισάμην ὅτι ἀπεκάλυψεν ὁ Θεὸς τῷ γέροντι τὰ πταίσματά μου· καὶ κατανυγεὶς ἤρξάμην κλαίειν· καὶ ἐξέβαλον τὸν παξαμᾶν ἐκ τοῦ κόλπου μου, ὃν κακῶς εἰώθειν κλέπτειν· καὶ ῥίψας ἐμαυτὸν εἰς τὸ ἔδαφος, ᾔτουν συγγνώμην ὑπὲρ τῶν γεγονότων μοι πταισμάτων, καὶ εὐχὴν ὑπὲρ τῆς εἰς τὸ μέλλον ἀσφαλείας· καὶ λέγει ὁ γέρων· ὦ τέκνον, ἡ σὴ ἐξομολόγησις, καὶ ἐμοῦ σιωπῶντος ἠλευθέρωσέ σε, καὶ τὸν τιτρώσκοντά σε δαίμονα μέχρι τοῦν νῦν διὰ τῆς σιωπῆς, ἐξειπὼν τὰ κατὰ σεαυτόν, κατέσφαξας· οὐκέτι οὖν ἀπὸ τοῦ νῦν τόπον ἕξει ἐν σοί, ἐκ τῆς καρδίας σου εἰς τὸ φανερὸν ἐξενεχθείς.

Οὔπω δὲ συνετέλεσεν ὁ γέρων λαλῶν, καὶ ἰδοὺ ἡ τοῦ δαίμονος ἐνέργεια ὤφθη ὡς λαμπὰς πυρὸς ἐξερχομένη ἐκ τοῦ κόλπου μου, καὶ ἐπλήρωσε τὸν οἶκον δυσωδίας, ὥς τε νομίζειν τοὺς παρόντας, ὅτι πλῆθος τεαφίου ἐκεῖ ὑποκαίεται. Τότε εἶπεν ὁ γέρων· ἰδοὺ τῶν ἐμῶν λόγων καὶ τῆς σῆς ἐλευθερίας τὴν ἀπόδειξιν, ἐναργῶς ἐγνώρισεν ἡμῖν ὁ Κύριος διὰ τοῦ γεγονότος σημείου. Ἔκτοτε οὖν οὕτως ἀπέστη ἀπ' ἐμοῦ τὸ πάθος τῆς γαστριμαργίας, καὶ ἡ διαβολικὴ ἐκείνη ἐπιθυμία, ὡς μηκέτι μηδὲ εἰς ἔννοιαν ταύτης ἐλθεῖν.

3. Μανθάνομεν τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι οὐκ ἔστιν ἄλλη ὁδὸς σωτηρίας, ἢ τὸ ἐξαγγέλλειν τοὺς λογισμοὺς τοῖς Πατράσι, καὶ μὴ καταφρονεῖν τῆς παραδόσεως τῶν προγόνων· ὅτι γὰρ καὶ αὐτοὶ οὐκ ἀφ' ἑαυτῶν κινούμενοι, ἀλλ' ἐκ Θεοῦ καὶ τῶν θεοπνεύστων γραφῶν παραδεδώκασι τοῖς μεταγενεστέροις τὸ ἐπερωτᾷν τοὺς προοδεύσαντας· ἔξεστι μὲν καὶ ἀπὸ ἄλλων πολλῶν τῶν ἐν τῇ θεοπνεύστῳ γραφῇ κειμένων μαθεῖν, ἐξαιρέτως δὲ καὶ ἐκ τῆς κατὰ τὸν Ἅγιον Σαμουὴλ τὸν Προφήτην ἱστορίας· ὃς ἐκ νηπίου τῷ Θεῷ ὑπὸ τῆς μητρός, καὶ ἀξιωθεὶς θείας ὁμιλίας, οὐκ ἐπίστευσε τῷ ἰδίῳ λογισμῷ, ἀλλὰ ἅπαξ καὶ δὶς κληθεὶς ὑπὸ τοῦ Θεοῦ, ἀνατρέχει πρὸς τὸν γέροντα Ἠλεί, καὶ τῇ τούτου διδαχῇ τυποῦται καὶ κανονίζεται, πῶς δεῖ ἀποκρίνεσθαι Θεῷ· καὶ ὃν τῇ ἰδίᾳ κλήσει ὁ Θεὸς ἄξιον ἑαυτοῦ ἐψηφίσατο, τοῦτον βούλεται τῇ διατυπώσει καὶ διδαχῇ τοῦ γέροντος παιδαγωγεῖσθαι· ὡς ἐκ τούτου δηλαδὴ πρὸς ταπείνωσιν ὁδηγηθησόμενον.

4. Καὶ τὸν Παῦλον δὲ δι' ἑαυτοῦ καλῶν καὶ προσδιαλεγόμενος ὁ Χριστός, δυνάμενος εὐθὺς ἀνοῖξαι τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ τὴν ὁδὸν γνωρίσαι τῆς τελειότητος, πρὸς Ἀνανίαν πέμπει, καὶ παρ' αὐτοῦ μαθεῖν ὑπισχνεῖται τὴν ὁδὸν τῆς ἀληθείας, λέγων· «εἴσελθε εἰς τὴν πόλιν, κἀκεῖ σοι λεχθήσεται τί σε δεῖ ποιεῖν»· διδάσκων ἡμᾶς διὰ τούτων, τῇ ὁδηγίᾳ τῶν προωδευκότων ἀκολουθεῖν· τοῦτο δὲ καὶ αὐτὸς ὁ Ἀπόστολος παιδευθείς, καὶ μετὰ τοῦτο τοῖς ἔργοις αὐτοῦ ἐπλήρου, καθὰ περὶ ἑαυτοῦ γράφων λέγει· ὅτι ἀνῆλθον εἰς Ἱεροσόλυμα ἰδεῖν Πέτρον καὶ Ἰάκωβον· καὶ ἀνεθέμην αὐτοῖς τὸ Εὐαγγέλιον ὃ κηρύσσω, μήπως εἰς κενὸν τρέχω ἢ ἔδραμον. Βαβαί! τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ μέχρι τρίτου οὐρανοῦ ἀρθεὶς καὶ ἐκ Θεοῦ ἀκούσας ἄρρητα ῥήματα, ὁ τὴν χάριν τοῦ Πνεύματος συνοδεύουσαν αὐτῷ ἔχων, καὶ βεβαιοῦσαν τὸν λόγον τῆς διδαχῆς διὰ τῶν ἐπακολουθούντων σημείων, οὗτος δεῖσθαι ὁμολογεῖ τῆς συμβουλίας τῶν πρὸ αὐτοῦ Ἀποστόλων.

Τίς τοίνυν οὕτως ἐστὶν ἀλαζών τε καὶ ὑπερήφανος, ὡς ταῦτα ἀκούων μὴ φρίττειν, καὶ οὕτω φοβεῖσθαι τὸ τῇ ἰδίᾳ γνώμῃ στοιχῆσαί ποτε, ὡς τὴν τοῦ πυρὸς γέενναν

καὶ τὴν αἰωνίζουσαν κόλασιν; καὶ γὰρ οὐδενὶ ὁδὸν τελειώσεως ὁ Κύριος ἀποκαλύπτει, εἰ μή τί γε διὰ πνευματικῶν τις Πατέρων ἐπὶ ταύτην ὁδηγηθῇ· καθὼς καὶ διὰ τοῦ Προφήτου παραγγέλλει λέγων· «ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι».

Ἑ ρ μ η ν ε ί α

ΤΟ ΝΑ φανερώνωμεν εἰς τοὺς Πατέρας ὄχι μόνον ὅσα κάμνομεν, ἀλλὰ καὶ ὅσα σκεπτόμεθα, εἶναι δεῖγμα ἀληθινῆς ταπεινώσεως. Διότι αὐτὴ ἡ ἐργασία καθιστᾷ τὸν Μοναχὸν ἱκανὸν νὰ πορεύεται τὴν εὐθεῖαν ὁδὸν χωρὶς βλάβην καὶ χωρὶς κίνδυνον νὰ σκοντάψῃ. Εἶναι ἀδύνατον ἐκεῖνος ποὺ ρυθμίζει τὴν ζωήν του κατὰ τὴν κρίσιν καὶ τὴν γνώμην τῶν γεροντοτέρων νὰ περιπέσῃ εἰς τὴν ἀπάτην τῶν δαιμόνων. Ἄλλωστε καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ φανέρωσις καὶ ἀποκάλυψις εἰς τοὺς Πατέρας τῶν αἰσχρῶν σκέψεων, τὰς μαραίνει καὶ τὰς ἐξασθενίζει. Ὅπως ἀκριβῶς τὸ φίδι, ποὺ βγαίνει ἀπὸ μίαν σκοτεινὴν τρύπαν, τρέχει νὰ σωθῇ μὲ τὴν φυγὴν καὶ τὴν ἐξαφάνισίν του, τοιουτοτρόπως καὶ οἱ πονηροὶ λογισμοὶ φεύγουν ἀπὸ τὸν ἄνθρωπον, ὅταν φανερωθοῦν μὲ τὴν ἀνυπόκριτον ὁμολογίαν καὶ τὴν καθαρὰν ἐξομολόγησιν αὐτῶν.

2. Κάτι σχετικὸν μοῦ διηγήθη καὶ ὁ Ἀββᾶς Σεραπίων διὰ τὸν ἑαυτόν του. Ὅταν ἤμουν νεώτερος — μοῦ ἔλεγε — καὶ ἔμενα μαζὶ μὲ τὸν Ἀββᾶν μου, καθὼς ἐτρώγαμεν, ἐγὼ ἐσηκωνόμουν ἀπὸ τὸ τραπέζι, ἐκ διαβολικῆς ἐνεργείας, ἔκλεβα παξιμάδι καὶ τὸ ἔτρωγα κρυφὰ ἀπὸ τὸν Ἀββᾶν. Τὴν κακὴν αὐτὴν συνήθειαν διετήρησα ἐπὶ πολὺ καὶ κατακυριευθεὶς ὑπ' αὐτῆς, δὲν εἶχον δύναμιν νὰ συγκρατήσω τὸν ἑαυτόν μου· ἐλεγχόμην μόνον ἀπὸ τὴν συνείδησίν μου, ἀλλ' εἰς τὸν Γέροντα ἐντρεπόμουν νὰ τὸ εἴπω.

Συνέβη δὲ κάποτε, κατ' οἰκονομίαν τοῦ φιλανθρώπου Θεοῦ, νὰ ἔλθουν μερικοὶ ἀδελφοὶ νὰ ἐπισκεφθοῦν τὸν Γέροντα, χάριν ὠφελείας. Οὗτοι λοιπὸν ἠρώτων τὸν Γέροντα διὰ τοὺς λογισμούς των. Ὁ Γέρων εἰς ἀπάντησιν τοὺς λέγει, ὅτι τίποτε δὲν βλάπτει τόσον πολὺ τοὺς Μοναχοὺς καὶ δὲν δίδει χαρὰν εἰς τοὺς δαίμονας, ὅσον τὸ νὰ κρύπτουν τοὺς λογισμούς των ἀπὸ τοὺς πνευματικοὺς Πατέρας. Ἐν συνεχείᾳ ὡμίλησεν ὁ Γέροντάς μου πρὸς τοὺς ἐπισκέπτας καὶ περὶ ἐγκρατείας. Ἐγώ, καθὼς ἤκουον τὰ λεγόμενα ὑπὸ τοῦ Γέροντός μου, ἤρχισα νὰ συνέρχωμαι καὶ ἐσκέφθην ὅτι ὁ Θεὸς ἐφανέρωσεν εἰς τὸν Γέροντα τὰ πταίσματά μου· συνεκινήθην βαθύτατα ἐξ αὐτοῦ καὶ ἤρχισα νὰ κλαίω. Καὶ ἀφοῦ ἔβγαλα τὸ παξιμάδι ἀπὸ τὸν κόλπον μου, τὸ ὁποῖον ἀπὸ τὴν κακὴν συνήθειαν ἔκλεπτα, ἔπεσα εἰς τὸ ἔδαφος καὶ ἐζήτουν συγγνώμην διὰ τὰ σφάλματα, ποὺ διέπραξα, ὡς καὶ τὴν εὐχὴν τοῦ Γέροντος, διὰ νὰ μὲ ἀσφαλίσῃ ὁ Θεὸς εἰς τὸ μέλλον. Ὁ Γέρων μοῦ λέγει: ὦ τέκνον, καὶ χωρὶς νὰ σοῦ εἴπω τίποτε ἀκόμη, ἡ ἐξομολόγησίς σου σὲ ἠλευθέρωσε καὶ κατέσφαξες τὸν δαίμονα, ποὺ μέχρι τώρα σὲ ἐπλήγωνε μὲ τὴν σιωπήν, ἐφ' ὅσον ἐξωμολογήθης μὲ εἰλικρίνειαν τὰ σφάλματά σου. Ἀπ' ἐδῶ καὶ ἐμπρὸς λοιπὸν δὲν θὰ

ἔχῃ τόπον εἰς τὴν ψυχήν σου, ἐφ' ὅσον ἐβγῆκεν ἀπὸ τὴν καρδίαν σου καὶ ἔγινε φανερός.

Δὲν εἶχεν ἀκόμη τελειώσει καλὰ - καλὰ ὁ Γέρων τὴν ὁμιλίαν του καὶ ἰδού, ἡ ἐνέργεια τοῦ δαίμονος ἐφάνη νὰ ἐξέρχεται ἀπὸ τὸν κόλπον μου, ὡς φλόγα φωτιᾶς καὶ ἐγέμισεν ὁλόκληρον τὸν οἶκον μὲ δυσοσμίαν, ὥστε οἱ παρευρισκόμενοι νὰ νομίζουν ὅτι κάπου καίεται θειάφι. Τότε ὁ Γέρων εἶπεν· ἰδοὺ ἡ ἀπόδειξις τῶν λόγων μου καὶ τῆς ἐλευθερίας σου. Ὁ Θεὸς μᾶς ἔδειξεν ὁλοφάνερα τὴν ἀλήθειαν μὲ τὸ σημεῖον ποὺ ἔγινε τώρα. Ἀπὸ τότε ἔφυγεν ἀπὸ ἐμὲ τὸ πάθος τῆς γαστριμαργίας, καὶ ἐκείνη ἡ διαβολικὴ ἐπιθυμία, ὥστε ποτὲ πλέον οὔτε κἂν τὸ ἐσκέφθην.

3. Ἀπὸ αὐτά, λοιπὸν ποὺ ἐλέχθησαν, μανθάνομεν, ὅτι δὲν ὑπάρχει ἄλλη ὁδὸς σωτηρίας ἀπὸ τὸ νὰ ἐξομολογούμεθα τοὺς λογισμοὺς εἰς τοὺς Πατέρας καὶ νὰ μὴ καταφρονῶμεν τὴν Παράδοσιν τῶν προγόνων. Ὅτι δὲ καὶ ἐκεῖνοι, ὄχι ἀπὸ ἰδικήν των γνώμην κινούμενοι, ἀλλὰ φωτιζόμενοι ὑπὸ τοῦ Θεοῦ καὶ στηριζόμενοι εἰς τὰς θεοπνεύστους Γραφάς, παρέδωσαν εἰς ἡμᾶς, τοὺς μεταγενεστέρους, τὸ νὰ ἐρωτῶμεν αὐτούς, ποὺ ἔχουν προοδεύσει εἰς τὴν ἄσκησιν, εἶναι δυνατὸν νὰ τὸ μάθωμεν καὶ ἀπὸ πολλὰ ἄλλα κείμενα τῆς Ἁγίας Γραφῆς, ἐξαιρετικῶς δὲ ἀπὸ τὴν ἱστορίαν τοῦ Προφήτου Σαμουήλ.

Ὁ Προφήτης Σαμουήλ, ὡς γνωστόν, ἀφιερώθη ὑπὸ τῆς μητρός του εἰς τὸν Θεόν, ὅτε ἀκόμη ἦτο νήπιον. Ὅταν δὲ ἠξιώθη νὰ ἀκούσῃ φωνὴν τοῦ Θεοῦ, δὲν ἐπίστευσεν εἰς τὸν λογισμόν του· ἀλλὰ κληθεὶς ὑπὸ τοῦ Θεοῦ μίαν καὶ δύο φοράς, καταφεύγει πρὸς τὸν Γέροντα Ἠλεὶ καὶ μὲ τὴν διδασκαλίαν του πληροφορεῖται τὸν τύπον καὶ τὸν κανόνα πῶς πρέπει νὰ ἀποκριθῇ εἰς τὸν Θεὸν (Α΄ Βασ. Β΄, 11—18). Καὶ ἐκεῖνον, τὸν ὁποῖον ὁ Θεός, δι' ἀπευθείας κλήσεως τὸν ἐξέλεξεν ὡς ἄξιόν Του, αὐτὸν θέλει, ὁ ἴδιος ὁ Θεός, νὰ παιδαγωγῆται μὲ τὴν συμβουλὴν καὶ τὴν διδασκαλίαν τοῦ Γέροντος, διὰ νὰ ὁδηγηθῇ, ἐξ αὐτοῦ, πρὸς ταπείνωσιν.

4. Ἀλλὰ καὶ τὸν Παῦλον, μολονότι ὁ ἴδιος ὁ Χριστὸς τὸν ἐκάλεσε καὶ συνωμίλησε μαζί του, καὶ ἠδύνατο ἀμέσως νὰ ἀνοίξῃ τοὺς ὀφθαλμούς του καὶ νὰ τοῦ γνωρίσῃ τὴν ὁδὸν τῆς τελειότητος, ἐν τούτοις τὸν στέλλει πρὸς τὸν Ἀνανίαν καὶ τοῦ ὑπόσχεται νὰ μάθῃ ἀπὸ αὐτὸν τὴν ὁδὸν τῆς ἀληθείας, λέγων πρὸς αὐτόν· «Νὰ εἰσέλθῃς εἰς τὴν πόλιν καὶ ἐκεῖ θὰ λεχθῇ εἰς σὲ τί πρέπει νὰ πράξῃς» (Πράξ. Θ΄, 10—18). Μὲ αὐτὰ μᾶς διδάσκει ὁ Κύριος νὰ ἀκολουθῶμεν τὰς ὁδηγίας ἐκείνων, ποὺ ἔχουν προοδεύσει εἰς τὴν πνευματικὴν ζωήν. Διδαχθεὶς τοῦτο καὶ ὁ ἴδιος ὁ Ἀπόστολος, τὸ ἐξετέλει διὰ τῶν ἔργων του, ὅπως ὁ ἴδιος ἀφηγεῖται διὰ τὸν ἑαυτόν του λέγων· «ὅτι ἀνῆλθον εἰς τὰ Ἱεροσόλυμα διὰ νὰ ἴδω Πέτρον καὶ Ἰάκωβον· καὶ ἐνεπιστεύθην εἰς αὐτοὺς τὸ Εὐαγγέλιον, τὸ ὁποῖον κηρύσσω, μὴ τυχὸν ἀσκόπως τρέχω ἢ ἔτρεξα» (Γαλατ. Β΄, 2). Πώ! πώ! Τὸ σκεῦος τῆς ἐκλογῆς, αὐτὸς ποὺ ἀνυψώθη μέχρι τρίτου οὐρανοῦ καὶ ἤκουσεν ἀπὸ τὸν ἴδιον τὸν Θεὸν λόγους, ποὺ δὲν εἶναι δυνατὸν νὰ διατυπωθοῦν μὲ φράσεις κοινάς, αὐτὸς τὸν ὁποῖον συνώδευε πάντοτε

ἡ Χάρις τοῦ Πνεύματος καὶ ἐβεβαίωνε, μὲ τὰ ἐπακολουθοῦντα θαύματα, τὸν λόγον τῆς διδασκαλίας του, αὐτὸς ὁμολογεῖ ὅτι εἶχεν ἀνάγκην ἀπὸ τὰς συμβουλὰς τῶν προηγουμένων ἀπὸ αὐτὸν εἰς τὸ ἀποστολικὸν ἀξίωμα Ἀποστόλων.

Ποῖος λοιπὸν εἶναι τόσον πολὺ ἀλαζὼν καὶ ὑπερήφανος, ὥστε νὰ μὴ φρίττῃ ὅταν ἀκούῃ αὐτὰ καὶ νὰ φοβῆται νὰ ἀκολουθῇ τὴν γνώμην του, ὅπως φοβεῖται τὴν γέενναν τοῦ πυρὸς καὶ τὴν ἀτελεύτητον κόλασιν; Καὶ τοῦτο διότι εἰς οὐδένα ὁ Κύριος δὲν ἀποκαλύπτει ὁδὸν τελειώσεως, ἐκτὸς μόνον ἐὰν ὁ ἄνθρωπος ὁδηγηθῇ εἰς αὐτὴν μὲ τὴν συμβουλὴν καὶ συμπαράστασιν τοῦ πνευματικοῦ Πατέρα· δι' αὐτὸ καὶ διὰ τοῦ Προφήτου του μᾶς παραγγέλλει λέγων· ἐρώτησε μετ' ἐπιμονῆς τὸν πατέρα σου καὶ θὰ σοῦ φανερώσῃ· τοὺς γεροντοτέρους σου καὶ θὰ σοῦ εἴπουν (Δευτερ. ΛΒ', 7).

Ζ'. Ἐκ τοῦ Ἀββᾶ Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· εἰς τὴν ἁγίαν πόλιν ἐπέμφθην δι' ἀπόκρισιν τοῦ Κοινοβίου, καὶ κατέβην εἰς τὸν Ἰορδάνην εὔξασθαι, μὴ αἰτήσας τὸν Ἀββᾶν περὶ τούτου ἀπόλυσιν· ἄρα καλῶς ἐποίησα ἢ οὔ; ἀπεκρίθη ὁ γέρων· οὐκ ὀφείλεις χωρὶς ἐπιτροπῆς ἀπελθεῖν πού ποτε· τὰ γὰρ ἰδίῳ γινόμενα λογισμῷ, κἂν δοκῇ καλὰ εἶναι, οὐκ ἀρέσκει τῷ Θεῷ· τὸ δὲ φυλάξαι τὴν κέλευσιν τοῦ πέμψαντός σε Ἀββᾶ σου, τοῦτο καὶ προσευχή ἐστι, καὶ τὸν Θεὸν θεραπεύει τὸν εἰπόντα· «οὐκ ἦλθον ποιῆσαι τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός». Εἶπεν ὁ ἀδελφός· ἐὰν ἀπερχόμενος μακρὰν ἐπιλάθωμαι ἐρωτῆσαι τὸν Ἀββᾶν ποῦ ὀφείλω καταλῦσαι, τί ποιήσω; ἀπεκρίθη ὁ γέρων· προσέχειν δεῖ τοῖς ἀπαντῶσι πράγμασι, καὶ οὕτω πρὸς ὠφέλειαν τῆς ψυχῆς ἕκαστον ποιεῖν. Οὕτω μέν τοι ὡς παραβαίνων ἐντολήν, καὶ μὴ ὡς καλῶς ποιῶν, διότι ἄνευ ἐπιτροπῆς τολμᾷς τι ὅλως ποιεῖν· οὕτω γὰρ πληροφορεῖται ὁ Ἀββᾶς σου συγχωρῆσαί σοι.

2. Ἠρώτησε πάλιν ὁ ἀδελφός· τί ἐστιν ἡ ψευδώνυμος γνῶσις; ἀπεκρίθη ὁ γέρων· ψευδώνυμος γνῶσις ἐστί, τὸ πιστεῦσαι τῷ οἰκείῳ λογισμῷ, ὅτι οὕτως ἔχει τὸ πρᾶγμα· καὶ εἴ τις θέλει ἀπαλλαγῆναι αὐτῆς, μὴ πιστεύσῃ ποτὲ τῷ ἰδίῳ λογισμῷ ὡς καλῶς κρίνοντι· λεγέτω δὲ πρὸς ἑαυτόν· ἐγὼ ὑπὸ δαιμόνων χλευάζομαι ἵνα πιστεύσω τῷ λογισμῷ, ὅτι ἀληθινὴν ἔχω γνῶσιν, καὶ μὴ ἐρωτῶ τοὺς γέροντας, καὶ ἐκ τούτου καὶ εἰς ἄλλα φέρωσί με κατακέφαλα· ὁ οὖν γέρων εἶπε τὴν ἀλήθειαν· ὅτι ἀπὸ Θεοῦ λαλεῖ καὶ οὐ χλευάζεται ὅλως ὑπὸ τῶν δαιμόνων· τὸ δὲ ἐμόν, χλεύη ἐστί, καὶ ἐμπαιγμός ἐστιν.

Ἑρμηνεία

† ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἠρώτησεν ἕνα Γέροντα λέγων:

—Ἐστάλην εἰς τὴν ἁγίαν πόλιν δι' ὑπηρεσίαν τοῦ Κοινοβίου καί, ἐπ' εὐκαιρίᾳ κατέβηκα εἰς τὸν Ἰορδάνην νὰ προσευχηθῶ, χωρὶς ὅμως νὰ ζητήσω τὴν ἄδειαν δι' αὐτὸ ἀπὸ τὸν Ἀββᾶν· ἄραγε καλῶς ἐνήργησα ἢ ὄχι;

Ὁ Γέρων τοῦ ἀπήντησε:

— Χωρὶς ἄδειαν δὲν πρέπει νὰ ὑπάγῃς ποτὲ πουθενά· διότι ἐκεῖνα, ποὺ κάμνομεν, κατ' ἔμπνευσιν τοῦ λογισμοῦ μας, ἔστω καὶ ἂν φαίνωνται καλά, δὲν εἶναι ἀρεστὰ εἰς τὸν Θεόν. Τὸ νὰ φυλάξῃς δὲ τὴν παραγγελίαν τοῦ 'Αββᾶ σου, ποὺ σὲ ἔστειλεν εἰς τὸ διακόνημα, αὐτὸ καὶ προσευχὴ εἶναι καὶ ὑπηρεσία πρὸς τὸν Θεόν, ὁ ὁποῖος εἶπε· «Δὲν ἦλθα νὰ κάνω τὸ θέλημά μου, ἀλλὰ τὸ θέλημα τοῦ Πατρός, ὁ ὁποῖος μὲ ἀπέστειλε».

Ὁ ἀδελφὸς ἠρώτησε πάλιν τὸν Γέροντα:

—'Εὰν ἀπέλθω εἰς μίαν ὑπηρεσίαν καὶ ἀπομακρυνθῶ πολὺ ἀπὸ τὸν τόπον μου, καὶ ἔχω λησμονήσει νὰ ἐρωτήσω τὸν 'Αββᾶν ποῦ πρέπει νὰ διαμείνω, τί θὰ κάνω;

Ὁ Γέρων ἀπήντησε:

—Πρέπει νὰ προσέχῃς εἰς τὰ πράγματα, ποὺ συναντᾷς καὶ νὰ ἐκτελῇς τὸ καθένα πρὸς ὠφέλειαν ψυχῆς. 'Αλλὰ μὲ τὴν σκέψιν ὅτι παραβαίνεις ἐντολήν, καὶ ὄχι ὅτι ἐνεργεῖς καλῶς, διότι χωρὶς συγκεκριμένην ἄδειαν τολμᾷς νὰ κάνῃς κάτι. Τοιουτοτρόπως ὅταν ἐνεργῇς πληροφορεῖται καὶ ὁ 'Αββᾶς σου, διὰ νὰ σὲ συγχωρήσῃ.

Καὶ πάλιν ὁ ἀδελφὸς ἠρώτησε:

— Τί εἶναι ἡ ψευδώνυμος γνῶσις;

Ὁ Γέρων ἀπήντησε:

—Ψευδώνυμος γνῶσις εἶναι τὸ νὰ δώσῃ κανεὶς ἐμπιστοσύνην εἰς τὸν ἰδικόν του λογισμόν, ὅτι ἔτσι εἶναι τὸ πρᾶγμα, ὅπως νομίζει. 'Εὰν θέλῃ κανεὶς νὰ ἀπαλλαγῇ ἀπὸ τὴν ψευδώνυμον γνῶσιν ἂς μὴ ἔχῃ ποτὲ ἐμπιστοσύνην εἰς τὸν λογισμόν του, ὅτι κρίνει καλῶς. Ἂς λέγῃ δὲ πρὸς τὸν ἑαυτόν του· ἐγὼ ἐμπαίζομαι ἀπὸ τοὺς δαίμονας, διὰ νὰ πιστεύσω εἰς τὸν λογισμόν μου, ὅτι τάχα ἡ γνῶσις μου εἶναι σωστὴ καὶ ἀληθινὴ καὶ ἔτσι ἀποφεύγω νὰ ἐρωτήσω τοὺς γέροντας· καὶ ἔτσι οἱ δαίμονες μὲ παρασύρουν καὶ εἰς ἄλλα σφάλματα. Ὁ Γέρων λοιπὸν εἶπε τὴν ἀλήθειαν, διότι τὸν φωτίζει ὁ Θεὸς καὶ λαλεῖ καὶ δὲν ἐμπαίζεται καθόλου ἀπὸ τοὺς δαίμονας· ἡ ἰδική μου ὅμως σκέψις εἶναι εἰρωνία καὶ ἐμπαιγμός.

Η'. 'Εν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ τις ἐπὶ πολὺν χρόνον πολεμούμενος ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, καὶ πολλὰ κοπιάσας καὶ μὴ δυνάμενος ἀπαλλαγῆναι αὐτοῦ, ἐν μιᾷ, ὡς ἵστατο ἐν τῇ συνάξει, ᾔσθετο ἑαυτὸν ὁμοίως ὑπὸ τοῦ πάθους ὀχλούμενον· ἔγνω οὖν θριαμβεῦσαι τὴν τοῦ δαίμονος ἐπήρειαν, καὶ αἰτῆσαι τοὺς ἀδελφοὺς εὔξασθαι περὶ αὐτοῦ, ὅπως εὕροι τινὰ τοῦ πάθους ἀπαλλαγήν. Καὶ δὴ πάσης αἰσχύνης καταφρονήσας, ἐγύμνωσεν ἑαυτὸν ἐνώπιον πάντων τῶν ἀδελφῶν, καὶ ἐστηλίτευσε τοῦ σατανᾶ τὴν ἐνέργειαν εἰπών· εὔξασθε ὑπὲρ ἐμοῦ, Πατέρες καὶ ἀδελφοί, ὅτι ἰδοὺ δεκατέσσαρα ἔτη ἔχω οὕτω πολεμούμενος· καὶ εὐθὺς ἀπέστη ἀπ' αὐτοῦ ὁ πόλεμος διὰ τὴν ταπείνωσιν αὐτοῦ, ἣν ἐνεδείξατο.

2. Ἕτερος ἀδελφὸς ἐπολεμήθη ὁμοίως εἰς πορνείαν, καὶ ἠγωνίζετο ἐπιτεί-

νων τὴν ἄσκησιν, καὶ τὸν λογισμὸν τηρῶν τοῦ μὴ συγκαταβῆναι τῇ ἐπιθυμίᾳ· ὡς δὲ οὐκ ἐπαύετο ὁ πόλεμος, ἐλθὼν εἰς τὴν Ἐκκλησίαν, ἐνεφάνισε τοῦτον παντὶ τῷ πλήθει· καὶ ἐδόθη ἐντολὴ παρὰ τῶν Πρεσβυτέρων, καὶ πάντες ἐπόνεσαν περὶ αὐτοῦ ἑβδομάδα εὐχόμενοι τῷ Θεῷ· καὶ ἀπηλλάγη τοῦ πολέμου ὁ ἀδελφός.

3. Ἄλλος ἀδελφὸς ἐπολεμήθη εἰς πορνείαν· καὶ ἀναστὰς νυκτός, ἀπῆλθε πρός τινα γέροντα καὶ ἐξηγόρευσεν αὐτῷ τὸν λογισμόν· ὁ δὲ γέρων παρεκάλεσεν αὐτὸν λόγοις πνευματικοῖς· καὶ ὠφεληθεὶς ὁ ἀδελφὸς ὑπέστρεψεν εἰς τὸ ἑαυτοῦ κελλίον· καὶ εὐθὺς πάλιν ὁ πόλεμος ἐπετέθη αὐτῷ· ὁ δέ, μὴ μελήσας, ἀπῆλθε πάλιν πρὸς τὸν γέροντα· καὶ παρακληθεὶς ὑπ' αὐτοῦ, ὁμοίως ἐπανῆλθε· καὶ πάλιν ὡς ὠχλεῖτο, ἀπήρχετο πρὸς τὸν γέροντα μηδὲν διακρινόμενος· ὁ δὲ γέρων, προθύμως αὐτὸν προσεδέχετο, καὶ στηρίζων νουθεσίαις καὶ παρακλήσεσιν, ἀπέστελλε παραγγέλλων αὐτῷ μὴ ἐκκακῆσαι, ἀλλ' ἀεὶ ἐν τῷ πολεμεῖσθαι ἔρχεσθαι πρὸς αὐτόν, καὶ τὴν τοῦ δαίμονος ἐλέγχειν ἐπήρειαν· οὐδὲν γὰρ οὕτως αὐτὸν φυγαδεύει, φησίν, ὡς ὁ ἔλεγχος καὶ ἡ καθαρὰ μετὰ ταπεινώσεως καὶ πίστεως ἐξαγόρευσις. Ἐπὶ πολὺ οὖν τούτου γινομένου, ὁ Θεὸς ἰδὼν τὴν ὑπομονὴν τοῦ ἀδελφοῦ, καὶ τὴν μακροθυμίαν τοῦ γέροντος, τὸν πόλεμον ἐκ τοῦ ἀδελφοῦ ἐφυγάδευσεν.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἐπὶ πολὺν χρόνον ἐπολεμεῖτο ὑπὸ τοῦ δαίμονος τῆς πορνείας καὶ ἐνῷ ἐκοπίασε πάρα πολύ, ἐν τούτοις δὲν ἠδύνατο νὰ ἀπαλλαγῇ ἀπὸ αὐτόν. Μίαν ἡμέραν, ἐνῷ ἐστέκετο εἰς τὴν σύναξιν, ἠσθάνθη πάλιν τὸν ἑαυτόν του νὰ ἐνοχλῆται ἀπὸ τὸ πάθος· ἀπεφάσισε λοιπὸν τότε νὰ καταστήσῃ γνωστὴν εἰς τοὺς ἀδελφοὺς τὴν ἐπήρειαν τοῦ δαίμονος καὶ νὰ ζητήσῃ ἀπὸ αὐτοὺς νὰ προσευχηθοῦν δι' αὐτὸν μήπως τὸν εὐσπλαγχνισθῇ ὁ Θεὸς καὶ ἀνακουφισθῇ κάπως ἀπὸ τὸ πάθος. Χωρὶς λοιπὸν νὰ λάβῃ ὑπ' ὄψιν του τὴν ἐντροπήν, τὴν ὁποίαν τελείως κατεφρόνησε, ἀπεγύμνωσεν ἑαυτὸν διὰ τῆς ἐξομολογήσεως ἐνώπιον ὅλων τῶν ἀδελφῶν καὶ κατήγγειλε τὴν ἐνέργειαν τοῦ σατανᾶ λέγων· προσευχηθῆτε δι' ἐμέ, Πατέρες καὶ ἀδελφοί, διότι ἐπὶ δεκατέσσαρα ἔτη πολεμοῦμαι κατ' αὐτὸν τὸν τρόπον. Ἀμέσως δέ, ὡς ἐκ θαύματος, ἔφυγεν ἀπ' αὐτὸν ὁ πόλεμος τῆς πορνείας ἐξ ἀφορμῆς τῆς ταπεινώσεως, τὴν ὁποίαν ἔδειξεν.

2. Ἕνας ἄλλος ἀδελφὸς ἐπολεμήθη κατὰ τὸν ἴδιον τρόπον εἰς τὴν πορνείαν καὶ ἠγωνίζετο δι' ἐντονωτέρας ἀσκήσεως, προφυλάσσων τὸν ἑαυτόν του νὰ μὴ συγκατατεθῇ πρὸς τὴν ἐπιθυμίαν. Ἐπειδὴ ὅμως δὲν κατέπαυεν ὁ πόλεμος, ἦλθεν εἰς τὴν Ἐκκλησίαν καὶ κατέστησεν εἰς ὅλον τὸ πλῆθος γνωστὸν τὸν πόλεμον ἀπὸ τὸν ὁποῖον ἐβασανίζετο. Τότε οἱ πρεσβύτεροι ἔδωσαν ἐντολὴν καὶ ὅλοι ἐκοπίασαν ἐπὶ μίαν ἑβδομάδα χάριν αὐτοῦ, προσευχόμενοι εἰς τὸν Θεόν. Καὶ πράγματι ὁ ἀδελφὸς ἀπηλλάγη ἀπὸ τὸν πόλεμον.

3. Καὶ ἄλλος ἀδελφὸς ἐπολεμήθη εἰς τὴν πορνείαν· οὗτος ἐσηκώθη ἀμέσως τὴν νύκτα καὶ μετέβη εἰς ἕνα Γέροντα καὶ ἐξωμολογήθη τὸν λογισμόν του εἰς αὐτόν. Ὁ Γέρων τὸν παρηγόρησε μὲ πνευματικοὺς λόγους καὶ ὁ ἀδελφὸς ὠφεληθεὶς ἐπέστρεψεν εἰς τὸ κελλίον του· ἀλλὰ καὶ

πάλιν ὁ πόλεμος ἐσηκώθη ἐναντίον του· ἀλλὰ ὁ Μοναχός, χωρὶς καθόλου νὰ ἀδιαφορήση, κατέφυγε πάλιν εἰς τὸν Γέροντα καὶ παρηγορηθεὶς ὑπ' αὐτοῦ ἐπέστρεψεν ἐκ νέου εἰς τὸ κελλίον του. Ἔκτοτε, ὁσάκις ἠνωχλεῖτο, ἀπήρχετο ἀμέσως πρὸς τὸν Γέροντα, χωρὶς καθόλου νὰ διστάζη. Ἀλλὰ καὶ ὁ Γέρων τὸν ὑπεδέχετο πρόθυμα καὶ τὸν ἐστήριζε μὲ συμβουλὰς καὶ λόγους παρηγορητικοὺς καὶ καθὼς τὸν κατευώδωνε διὰ τὸ κελλίον του, τοῦ παρήγγελλε νὰ μὴ χάνη τὸ θάρρος του, ἀλλὰ πάντοτε, ὅταν θὰ αἰσθάνεται τὸν πόλεμον, νὰ ἔρχεται πλησίον του καὶ νὰ καταπολεμῆ τὴν προσβολὴν τοῦ δαίμονος. Διότι τίποτε δὲν φυγαδεύει τόσον ἀποτελεσματικῶς τὸν δαίμονα τῆς πορνείας — ἔλεγεν ὁ Γέρων — ὅσον ὁ ἔλεγχος τῆς ἁμαρτίας καὶ ἡ καθαρά, μὲ ταπείνωσιν καὶ πίστιν, ἐξομολόγησις.

Ἀφοῦ λοιπὸν παρετάθη ἐπὶ πολὺ αὐτὴ ἡ κατάστασις, ὁ Θεὸς βλέπων τὴν ὑπομονὴν τοῦ πολεμουμένου ἀδελφοῦ καὶ τὴν μακροθυμίαν τοῦ Γέροντος, ἐφυγάδευσε πλέον τὸν πόλεμον ἀπὸ τὸν ἀδελφόν.





ΥΠΟΘΕΣΙΣ ΚΑ΄

Περὶ τοῦ ὅτι δεῖ τοῖς διακριτικοῖς τῶν Πατέρων τοὺς λογισμοὺς ἀνατίθεσθαι καὶ μὴ τοῖς τυχοῦσι καταπιστεύειν· καὶ πῶς δεῖ ἐξαγορεύειν καὶ ἐρωτᾶν· καὶ ποταπῇ πίστει τὰς ἀποκρίσεις τῶν Πατέρων δέχεσθαι· καὶ ὅτι δι' αὐτῆς συνεργεῖν.

Περὶ τοῦ ὅτι πρέπει νὰ ἐξομολογούμεθα τοὺς λογισμούς μας εἰς τοὺς διακριτικοὺς ἐκ τῶν Πατέρων καὶ νὰ μὴ τοὺς ἐμπιστευώμεθα εἰς τοὺς τυχαίους· πῶς πρέπει νὰ ἐξομολογούμεθα καὶ νὰ ἐρωτῶμεν· καὶ μὲ ποίαν πίστιν νὰ δεχώμεθα τὰς ἀπαντήσεις τῶν Πατέρων· καὶ ὅτι, διὰ τῆς πίστεως αὐτῆς, νὰ συνεργῶμεν εἰς τὴν ἐπιτυχίαν τοῦ ἀγαθοῦ.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΥΟ ΑΔΕΛΦΟΙ ἰδιαζόντως οἰκοῦντες, παρέβαλον ἀλλήλοις· καὶ εἶπεν ὁ εἷς τῷ ἑτέρῳ· βούλομαι ἀπελθεῖν πρὸς τὸν Ἀββᾶν Ζήνωνα καὶ ἀναθέσθαι αὐτῷ τινὰ λογισμόν· ἔφη δὲ καὶ ὁ ἄλλος· κἀγὼ τὸ αὐτὸ θέλω. Ἀπῆλθον οὖν οἱ δύο ὁμοῦ. Καὶ λαβὼν ἕκαστος αὐτὸν κατ' ἰδίαν, ἐξήγγειλαν τοὺς λογισμοὺς αὐτῶν· καὶ ὁ μὲν εἷς ἐξαγγέλλων, προσέπεσε τῷ γέροντι παρακαλῶν αὐτὸν μετὰ πολλῶν δακρύων εὔξασθαι ὑπὲρ αὐτοῦ· καὶ ὁ γέρων εἶπεν αὐτῷ· ὕπαγε, μὴ προδῷς σεαυτόν, καὶ μὴ καταλαλήσῃς τινός, καὶ μὴ ἀμελήσῃς τῆς εὐχῆς σου· καὶ ἀπελθὼν ὁ ἀδελφὸς ἐθεραπεύθη· ὁ δὲ ἄλλος, εἰπὼν τὸν λογισμὸν αὐτοῦ τῷ γέρον προσέθετο χαύνως καὶ ἀμελῶς· εὖξαι ὑπὲρ ἐμοῦ· οὐκ ᾔτησε δὲ ἐπιπόνως.

Μετὰ οὖν χρόνον τινά, συνέβη αὐτοῖς παραβαλεῖν ἀλλήλοις· καὶ εἶπεν ὁ εἷς τῷ ἑτέρῳ· ὅτε παρεβάλομεν τῷ γέροντι ἀπήγγειλας αὐτῷ τὸν λογισμόν, ὃν εἶπας ὅτι θέλω αὐτῷ εἰπεῖν; ὁ δὲ ἔφη· ναί· ἠρώτησεν ἐκεῖνος· ἄρα ὠφελήθης ἀναγγείλας αὐτῷ; ἀπεκρίθη ὁ ἀδελφός· ναί· εὐχαῖς τοῦ γέροντος ἐθεράπευσέ με ὁ Θεός· ὁ δὲ εἰ-

πεν· ἐγὼ κἂν ἐξήγγειλα, οὐκ ᾐσθόμην θεραπείας· ἔφη αὐτῷ ὁ ὠφεληθείς· καὶ πῶς παρεκάλεσας τὸν γέροντα; ἀπεκρίθη ἐκεῖνος· εἶπον αὐτῷ ὅτι, εὖξαι ὑπὲρ ἐμοῦ, ὅτι τόν δε τὸν λογισμὸν ἔχω· ὁ δὲ ἔφη· ἐγὼ τέως ἐξαγγέλλων αὐτῷ, ἔβρεξα τοὺς πόδας αὐτοῦ ἐκ τῶν δακρύων, παρακαλῶν αὐτὸν εὔξασθαι ὑπὲρ ἐμοῦ καὶ διὰ τῶν εὐχῶν αὐτοῦ ἰάσατό με ὁ Θεός.

Ταῦτα δὲ διηγεῖτο ἡμῖν ὁ γέρων, διδάσκων ὅτι ὀφείλει ὁ παρακαλῶν τινα τῶν Πατέρων περὶ λογισμῶν, μετὰ πόνου καὶ ἐξ ὅλης καρδίας ὡς τὸν Θεὸν αἰτεῖν· καὶ τότε ἐπιτυγχάνει· ὁ δὲ ἀμελῶς ἐξαγγέλλων ἢ πειράζων, οὐ μόνον οὐκ ὠφελεῖται, ἀλλὰ καὶ κατακρίνεται.

2. Εἶπε γέρων· ὅτι ποτέ τις ὀλισθήσας εἰς βαρὺ ἁμάρτημα, καὶ κατανυγεὶς εἰς μετάνοιαν, ἀπῆλθεν ἀναγγεῖλαι τινὶ γέροντι· καὶ οὐκ εἶπεν αὐτῷ τὴν πρᾶξιν, ἀλλὰ μόνον τὸν λογισμόν· ὅτι ἀνέβη μοι λογισμὸς τοιός δε· ἔχω σωτηρίαν; ἀπεκρίθη ἐκεῖνος, ἄπειρος ὢν διακρίσεως· ἀπώλεσάς σου τὴν ψυχήν· τοῦτο δὲ ἀκούσας ὁ ἀδελφός, εἶπεν· εἰ ἀπώλεσά μου τὴν ψυχήν, ὑπάγω κἂν εἰς τὸν κόσμον.

Ἀπερχόμενος δὲ ἐνεθυμήθη ἀπελθεῖν καὶ πρὸς τὸν Ἀββᾶν Σιλουανόν, ὄντα μέγαν διακριτικόν, καὶ ἀναγγεῖλαι αὐτῷ τὸν λογισμὸν ἐκεῖνον· καὶ ἐλθὼν πρὸς αὐτόν, οὐδὲ αὐτῷ εἶπε τὴν πρᾶξιν, ἀλλὰ τὸν λογισμὸν μόνον, καθὰ καὶ τῷ ἄλλῳ γέροντι· ὁ δὲ Πατήρ, ἀνοίξας τὸ στόμα αὐτοῦ, ἤρξατο ἀπὸ τῶν γραφῶν λέγειν αὐτῷ, ὅτι οὐκ ἔστι κατάκριμα πάντως τοῖς μόνον λογιζομένοις. Ἀκούσας δὲ ὁ ἀδελφός, καὶ λαβὼν δύναμιν ἐν τῇ ψυχῇ, καὶ εὔελπις γενόμενος, ἀπήγγειλεν αὐτῷ καὶ τὴν πρᾶξιν· ὁ δὲ γέρων, μαθὼν καὶ τὴν πρᾶξιν, ὡς καλὸς ἰατρὸς κατέπλασεν αὐτοῦ τὴν ψυχὴν ἐκ τῶν θείων γραφῶν, δείξας ὅτι ἔστι μετάνοια τοῖς ἐν γνώσει ἐπιστρέφουσι πρὸς τὸν Θεόν. Καὶ μετὰ τοῦτο παραβαλόντος τοῦ Ἀββᾶ μου πρὸς τοῦτον τὸν Πατέρα, διηγήσατο αὐτῷ περὶ τοῦ ἀδελφοῦ καὶ εἶπεν· ἰδοὺ ὁ ἀπελπίσας ἑαυτοῦ, καὶ μέλλων ὑπάγειν εἰς τὸν κόσμον, ὡς ἀστήρ ἐστιν ἐν μέσῳ τῶν ἀδελφῶν· ταῦτα δὲ εἶπον, ἵνα ἴδωμεν, ὅτι κίνδυνον ἔχει οὐ τὸν τυχόντα, τὸ ἀνατίθεσθαί τινα τοὺς οἰκείους λογισμοὺς ἀδιακρίτοις ἀνδράσιν.

Ἑρμηνεία

ΔΥΟ ΑΔΕΛΦΟΙ, οἱ ὁποῖοι κατοικοῦσαν χωριστά, ἐπεσκέφθησαν ὁ ἕνας τὸν ἄλλον.Καὶ λέγει ὁ εἷς ἐξ αὐτῶν εἰς τὸν ἄλλον:

— Θέλω νὰ ὑπάγω πρὸς τὸν Ἀββᾶν Ζήνωνα, νὰ τοῦ ἐμπιστευθῶ κάποιον λογισμόν μου.

— Καὶ ἐγὼ τὸ ἴδιον θέλω· ἀπήντησεν ὁ ἕτερος.

Ὁ καθένας δὲ ἰδιαιτέρως ἐξωμολογήθησαν εἰς τὸν Ἀββᾶν Ζήνωνα τοὺς λογισμούς των.

Ὁ πρῶτος, καθὼς ἐξωμολογεῖτο, ἔπεσεν εἰς τὰ πόδια τοῦ Γέροντος καὶ μὲ πολλὰ δάκρυα τὸν παρεκάλει νὰ προσευχηθῇ εἰς τὸν Θεὸν δι' αὐτόν.

Ὁ Γέρων εἶπεν εἰς αὐτόν:

— Πήγαινε, μὴ προδώσῃς τὸν ἑαυτόν σου, καὶ μὴ κατηγορήσῃς κανένα καὶ μὴ παραμελήσῃς τὴν εὐχήν σου. Ἀναχωρήσας ἀπὸ τὸν Ἀββᾶν Ζήνωνα ὁ ἀδελφὸς αὐτὸς ἐθεραπεύθη.

Ὁ ἄλλος ἀδελφός, ἀφοῦ εἶπε τὸν λογισμόν του εἰς τὸν Γέροντα, προσέθεσε μὲ ἀδιαφορίαν καὶ χωρὶς ὄρεξιν διορθώσεως· εὐχήσου, πάτερ δι' ἐμένα, δὲν τὸ ἐζήτησεν ὅμως μὲ ἐπιμονὴν καὶ ψυχικὴν ἀγωνίαν.

Ἀφοῦ ἐπέρασεν ὀλίγος καιρὸς οἱ ἀδελφοὶ ἐπεσκέφθησαν ὁ ἕνας τὸν ἄλλον· καὶ εἶπεν ὁ ἕνας:

—Ὅταν ἐπεσκέφθημεν τὸν Ἀββᾶν Ζήνωνα, τοῦ ἐφανέρωσες τὸν λογισμόν, ποὺ ἔλεγες ὅτι ἐπεθύμεις νὰ τοῦ εἰπῇς;

— Ναί, ἀπήντησεν ὁ ἄλλος.

—Ἄραγε ὠφελήθης ἀπὸ αὐτὴν τὴν ἐξομολόγησιν; ἠρώτησεν ἐκ δευτέρου ὁ πρῶτος.

— Βεβαίως· μὲ τὰς εὐχὰς τοῦ Γέροντος μὲ ἐθεράπευσεν ὁ Θεός.

—Ἐγώ, εἶπε πάλιν ὁ πρῶτος, ἂν καὶ ἐξῶμολογήθην, δὲν ἐκατάλαβα καμμίαν θεραπείαν.

— Διατί ἄραγε; πῶς παρεκάλεσες τὸν Γέροντα;

— Τοῦ εἶπα· εὐχήσου δι' ἐμέ, διότι βασανίζομαι ἀπὸ αὐτὸν τὸν λογισμόν.

—Ἐγώ, κατὰ τὴν διάρκειαν τῆς ἐξομολογήσεως τοῦ λογισμοῦ, ἔβρεξα τοὺς πόδας του μὲ τὰ δάκρυά μου καὶ μὲ πόνον ψυχῆς τὸν παρεκάλουν νὰ προσευχηθῇ δι' ἐμέ· πράγματι δέ, μὲ τὰς εὐχάς του, μὲ ἐθεράπευσεν ὁ Θεός.

† Αὐτὰ μᾶς διηγεῖτο ὁ Γέρων καὶ μᾶς ἔλεγεν ὅτι ἐκεῖνος ποὺ παρακαλεῖ κάποιον ἐκ τῶν Πατέρων διὰ νὰ ἀπαλλαγῇ ἀπὸ λογισμούς, πρέπει νὰ τὸ ζητῇ μὲ ὅλην του τὴν καρδίαν καὶ μὲ πόνον· ἐκεῖνος, ποὺ ἐξομολογεῖται τυπικὰ καὶ χωρὶς ὄρεξιν ἢ δοκιμάζει τὸν πνευματικόν, ὄχι μόνον δὲν ὠφελεῖται, ἀλλὰ καὶ καταδικάζεται.

† (2) Ἕνας Γέρων διηγήθη, ὅτι κάποτε ἕνας Μοναχὸς περιέπεσεν εἰς βαρὺ ἁμάρτημα· τὸν ἤλεγξεν ὅμως ἡ συνείδησις καὶ μετενόησεν. Ἀπῆλθε λοιπὸν νὰ ἐξομολογηθῇ εἰς ἕνα Γέροντα. Ἀπὸ ἐντροπὴν ὅμως δὲν ἀνέφερεν εἰς αὐτὸν τὴν πρᾶξιν του, ἀλλὰ μόνον τὸν λογισμόν. Εἶπε, δηλαδή, Πάτερ μου, μὲ ἐπείραξεν αὐτὸς ὁ λογισμός· ὑπάρχει δι' ἐμὲ ἐλπὶς σωτηρίας; Ὁ πνευματικὸς ὅμως, ποὺ ἤκουσε τὴν ἐξομολόγησιν, ἐπειδὴ δὲν ἦτο ἔμπειρος καὶ ἐστερεῖτο διακρίσεως, ἀπήντησεν εἰς τὸν ἁμαρτήσαντα Μοναχόν. Ἔχασες τὴν ψυχήν σου. Μόλις ἤκουσεν αὐτὸ ὁ ἀδελφὸς εἶπε μέσα του· ἐφ' ὅσον ἔχασα τὴν ψυχήν μου, ἂς ὑπάγω, τοὐλάχιστον, εἰς τὸν κόσμον.

Καθὼς ὅμως ἔφευγεν, ἐσκέφθη νὰ ὑπάγῃ πρὸς τὸν Ἀββᾶν Σιλουανόν, ὁ ὁποῖος ἦτο γνωστὸς διὰ τὸ χάρισμα τῆς διακρίσεως καὶ νὰ ἐξομολογηθῇ καὶ εἰς αὐτὸν τὸν λογισμὸν ἐκεῖνον. Πράγματι, μόλις ἦλθεν εἰς τὸ κελλὶ τοῦ Ἀββᾶ Σιλουανοῦ, οὔτε εἰς αὐτὸν ἐξωμολογήθη τὴν ἁμαρτωλὴν πρᾶξιν του, ἀλλὰ μόνον τὸν ἁμαρτωλὸν λογισμόν του, ὅπως ἔκαμε καὶ μὲ τὸν προηγούμενον Γέροντα. Ὁ Ἀββᾶς Σιλουανός, ἀφοῦ τὸν ἤκουσεν, ἤνοιξε τὸ στόμα του καὶ ἤρχισε νὰ τοῦ λέγῃ ὅτι σύμφωνα μὲ τὰς Ἁγίας Γραφὰς δὲν ὑπάρχει καταδίκη δι' ἐκείνους, ποὺ ἁμαρτά-

νουν μόνον μὲ τὸν λογισμόν των. Ὅταν ὁ ἁμαρτήσας ἀδελφὸς ἤκουσεν αὐτὴν τὴν πληροφορίαν, ἐπῆρε δύναμιν εἰς τὴν ψυχήν του, καὶ ἐνισχυμένος ἀπὸ ἐλπίδας σωτηρίας, ἐφανέρωσεν εἰς αὐτὸν καὶ τὴν ἁμαρτωλὴν πρᾶξιν του.

Ἀφοῦ ὁ Γέρων ἔμαθεν, καὶ τὴν πρᾶξιν τοῦ ἀδελφοῦ ὡς καλὸς καὶ ἔμπειρος ἰατρός, ἐζύμωσε τὴν ψυχήν του μὲ διδάγματα τῆς Ἁγίας Γραφῆς, δείξας εἰς αὐτόν, ὅτι ὑπάρχει μετάνοια δι' ἐκείνους, ποὺ ἐπιστρέφουν, μὲ τὴν θέλησίν των, εἰς τὸν Θεόν.

Μετὰ τὸ περιστατικὸν αὐτὸ ἐπεσκέφθη ὁ Ἀββᾶς μου τὸν Ἀββᾶν Σιλουανόν, ἀπὸ τὸν ὁποῖον ἤκουσε τὴν ἱστορίαν τοῦ μετανοήσαντος ἀδελφοῦ. Αὐτὸς ὁ ἀδελφὸς λοιπόν, ὁ ὁποῖος ἀπηλπίσθη διὰ τὸν ἑαυτόν του καὶ ἐπρόκειτο νὰ ἐπιστρέψῃ εἰς τὸν κόσμον, ὁμοιάζει τώρα μὲ λαμπρὸν ἀστέρα ἐν μέσῳ τῶν ἀδελφῶν. Σᾶς τὰ λέγω αὐτὰ — κατέληξεν ὁ Γέρων — διὰ νὰ μάθωμεν ὅτι εἶναι μεγάλος κίνδυνος τὸ νὰ ἐμπιστεύεται κανεὶς τοὺς λογισμούς του, εἰς ἀνθρώπους χωρὶς πεῖραν καὶ διάκρισιν.

Β'. Τοῦ Ἁγίου Ἐφραίμ

ΕΑΝ ἐξαγγέλλῃ σοί τις τοὺς ἑαυτοῦ λογισμούς, πρόσεχε, ἀδελφέ, μήποτε ἐκείνου λέγοντος, ὑπὸ τῶν αὐτῶν καὶ σὺ ὀχληθήσῃ λογισμῶν, καὶ μάλιστα, εἰ ἔτι μικρὸν ἀσθενεῖ τὸ ὄμμα τῆς διανοίας σου, καὶ ἔσῃ ὅμοιος κυβερνήτῃ ἐν πολλῷ κλύδωνι. Ἀλλὰ χρὴ ἀκούσαντά σε τὰς ἀρχὰς τῶν λεγομένων, ἐκ τούτων τὰ ἑπόμενα νοεῖν, καὶ οὕτω παρακαλεῖν τὸν θλιβόμενον, ἀφ' ὧν προειλήφαμεν ἐξ Ἁγίων ἀνδρῶν, ἢ ἀφ' ὧν ἐπειράθημεν ἡμεῖς· οὐ γάρ ἐστι θέλημα τοῦ Κυρίου ἄλλον δι' ἄλλου καταπεσεῖν· τοὺς γὰρ πάντας αὐτὸς θέλει σωθῆναι· καὶ σὺ δέ, ἀγαπητέ, μὴ παντὶ ἀνθρώπῳ ἔκφαινέ σου τοὺς λογισμούς, ἀλλ' οἷς ἐὰν δοκιμάσῃς, ὅτι πνευματικοί εἰσι, μὴ προσέχων σχήματι ἢ πολιαῖς. Πολλοὶ γάρ, κατὰ τὴν Ἀποστόλου φωνήν, «ἔχουσι μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἀρνοῦνται»· εἶπε δὲ καὶ ὁ Σωτήρ· «προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύματι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς».

Δεῖ οὖν μὴ προσέχειν τῷ ἐκτὸς σχήματι· πολλὰ γὰρ τὰ ἔνεδρα τοῦ ἐχθροῦ, ἀλλὰ τὸ φρόνημα ἑκάστου σκοπεῖν· καὶ ἐν οἷς τοὺς καρποὺς εὑρήσεις τοῦ Πνεύματος, μὴ ἀποκρύψῃς ἀπ' αὐτῶν τοὺς σεαυτοῦ λογισμούς, μήποτε εὑρὼν γωνίαν ὁ ἐχθρὸς ἐμφωλεύσῃ ἐν σοί, καὶ κατὰ μικρὸν εἰς τὴν ἀπώλειαν ὑποσπάσῃ σε.

Πρόσεχε δέ, ἀδελφέ, μήπως ἀκούσας τὰ τοῦ ἀδελφοῦ ἐλαττώματα, ἐξουθενήσῃς αὐτὸν ἐν τῇ καρδίᾳ σου ὡς τὰ τοιαῦτα διαπραξάμενον· ἀλλὰ μᾶλλον θαύμαζε ἐπὶ τῇ τοῦ ἀδελφοῦ μεταβολῇ καὶ ἀνεπαισχύντῳ ἐξαγορεύσει· τὸ γὰρ ἐκφαίνειν ἑκουσίως τινὰ τὰ ἑαυτοῦ πταίσματα ἀνδράσι πνευματικοῖς, σημαντικόν ἐστι βίου ἐπανορθώσεως, καὶ φόβου Θεοῦ, καὶ ταπεινοφροσύνης, καὶ πίστεως.

Χρὴ οὖν ἐπὶ τούτῳ θαυμάζειν μᾶλλον τὸν ἀδελφὸν καὶ παρακαλεῖν αὐτὸν μετὰ πάσης ταπεινοφροσύνης, καθὼς γέγραπται, «σκοποῦντα ἑαυτὸν μὴ καὶ σὺ πειρασθῇς». Λέγει δὲ ὁ Θεὸς διὰ τοῦ Προφήτου Ἰεζεκιήλ· «καὶ σύ, υἱὲ ἀνθρώπου, εἶπον πρὸς τοὺς υἱοὺς τοῦ λαοῦ σου· δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτόν, ἐν

ᾗ ἂν ἡμέρᾳ πλανηθῇ· καὶ ἀνομία ἀνόμου, οὐ μὴ κακώσῃ αὐτόν, ἐν ᾗ ἂν ἡμέρᾳ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ».

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, πρόσεχε, μήπως, ἐὰν κανεὶς σοῦ ἐξομολογεῖται τοὺς λογισμούς του, ἐνοχληθῇς καὶ σὺ ἀπὸ τοὺς λογισμοὺς αὐτούς, τὴν ὥραν ποὺ τοὺς ἀναφέρει καὶ μάλιστα, ἐὰν τὸ ὄμμα τῆς διανοίας σου ἀσθενῇ ὀλίγον, ὁπόταν θὰ ὁμοιάσῃς μὲ κυβερνήτην, ποὺ συναντᾷ μεγάλην τρικυμίαν. Δι' αὐτὸ πρέπει μόλις ἀκούσῃς τὴν ἀρχὴν τῶν ὅσων ἐξομολογεῖται, ἀπὸ αὐτὰ νὰ συμπεραίνῃς καὶ διὰ τὰ ἑπόμενα καὶ ἔτσι νὰ παρηγορῇς τὸν στενοχωρημένον, στηριζόμενος εἰς ὅσα ἔχομεν παραλάβει ἀπὸ Ἁγίους ἄνδρας, ἢ ἀπὸ ὅσα ἐκ πείρας γνωρίζομεν ἡμεῖς. Τὸ θέλημα τοῦ Κυρίου δὲν εἶναι νὰ κατακρημνισθῇ εἰς τὴν ἁμαρτίαν ἄλλος, ἐξ αἰτίας τῆς ἁμαρτίας ἄλλου· διότι ὁ Κύριος θέλει νὰ σωθοῦν ὅλοι.

Ἀλλὰ καὶ σύ, ἀγαπητέ μου, νὰ μὴ φανερώνῃς τοὺς λογισμούς σου εἰς οἱονδήποτε ἄνθρωπον, ἀλλὰ μόνον εἰς ὅσους ἤθελες δοκιμάσει ὅτι εἶναι πνευματικοί, χωρὶς νὰ προσέχῃς εἰς τὸ σχῆμα ἢ ἐὰν τὰ μαλλιὰ τῆς κεφαλῆς του καὶ τῆς γενειάδος του εἶναι λευκά. Πολλοὶ εἶναι ἐκεῖνοι, ποὺ «ἔχουν μόρφωσιν εὐσεβείας, ἀρνοῦνται ὅμως τὴν δύναμίν της» (Β' Τιμ. γ' 5).

Δι' αὐτὸ καὶ ὁ Σωτὴρ μᾶς συνεβούλευσε· «προσέχετε ἀπὸ τοὺς ψευδοπροφήτας, ποὺ σᾶς πλησιάζουν μὲ ἔνδυμα προβάτου, ἐνῷ κατὰ βάθος εἶναι ἁρπακτικοὶ λύκοι· θὰ τοὺς ἀναγνωρίσετε ἀπὸ τὰ ἔργα καὶ τὴν συμπεριφοράν των» (Ματθ. ζ', 15).

Πρέπει λοιπὸν νὰ μὴ δίδωμεν προσοχὴν εἰς τὸ ἐξωτερικὸν σχῆμα, διότι ὁ ἐχθρὸς ἔχει πολλὰς παγίδας. Πρέπει μόνον νὰ ἐξετάζωμεν τὸ φρόνημα ἑκάστου. Εἰς ὅσους δὲ θὰ εὕρῃς τοὺς καρποὺς τοῦ Πνεύματος, (Γαλ. ε', 22—23), μὴ ἀποκρύψῃς τοὺς λογισμούς σου, μὴ τυχὸν ὁ ἐχθρὸς εὕρῃ καμμίαν γωνίαν καὶ ἀφοῦ ἐγκατασταθῇ εἰς αὐτήν, σὲ παρασύρῃ σιγὰ - σιγὰ εἰς τὴν ἀπώλειαν.

Πρόσεχε ἀκόμη, ἀδελφέ μου, μήπως, ἀφοῦ ἀκούσῃς τὰ ἐλαττώματα τοῦ ἀδελφοῦ σου, τὸν περιφρονήσῃς εἰς τὴν καρδίαν σου, ὅτι τάχα διέπραξε τόσον μεγάλας ἁμαρτίας· ἀπ' ἐναντίας νὰ θαυμάζῃς διὰ τὴν μεταβολὴν τοῦ ἀδελφοῦ καὶ τὴν χωρὶς ἐντροπὴν εἰλικρινῆ ἐξομολόγησίν του· διότι τὸ νὰ φανερώνῃ κανείς, μὲ τὴν θέλησίν του, εἰς πνευματικοὺς ἄνδρας τὰ πταίσματά του, σημαίνει ἐπανόρθωσιν βίου, φόβον Θεοῦ, πίστιν καὶ ταπεινοφροσύνην.

Δι' αὐτὸ λοιπὸν καὶ μόνον πρέπει νὰ θαυμάζῃς τὸν ἀδελφὸν καὶ νὰ τὸν παρηγορῇς, μὲ ταπεινοφροσύνην, ἔχων ὑπ' ὄψιν τὴν ἀποστολικὴν σύστασιν «προσέχων τὸν ἑαυτόν σου, μήπως καὶ σὺ ἐνοχληθῇς ὑπὸ τοῦ πειρασμοῦ». (Γαλατ. στ', 1). Νὰ ἐνθυμῆσαι ἐπίσης καὶ αὐτὸ ποὺ λέγει ὁ Θεός, διὰ στόματος τοῦ Προφήτου Ἰεζεκιήλ· «καὶ σύ, υἱὲ ἀνθρώπου, νὰ εἴπῃς πρὸς τοὺς υἱοὺς τοῦ λαοῦ σου· ἡ δικαιοσύνη τοῦ δικαίου δὲν εἶναι

δυνατὸν νὰ σώσῃ αὐτόν, ἀπὸ τὴν ἡμέραν ποὺ θὰ πλανηθῇ· καὶ ἡ ἀνομία τοῦ ἀνόμου δὲν ἠμπορεῖ νὰ τοῦ προξενήσῃ κακόν, κατὰ τὴν ἡμέραν, ποὺ θὰ ἀφήσῃ, διὰ τῆς μετανοίας, τὰς ἀνομίας του». (Ἰεζεκ. λγ', 12).

Γ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ἐπερωτᾷς γέροντα περὶ λογισμοῦ, γύμνωσον αὐτῷ μετ' ἐλευθερίας τὸν λογισμόν, ἐὰν οἶδας ὅτι πιστός ἐστι τοῦ φυλάξαι τὸν λόγον σου· ἐὰν δὲ λαλῶσι τινὲς πρὸς σὲ περὶ λογισμῶν πολεμούντων σε, μὴ θελήσῃς ἀκοῦσαι αὐτῶν, ἵνα μὴ γένωνταί σοι πόλεμοι. Ἐὰν ἀδελφὸς ὡς πιστῷ ἐμπιστεύσῃ σοι τὸ ἐλάττωμα αὐτοῦ, μὴ εἴπῃς αὐτὸ ἐπί τινος· θάνατος γάρ σοί ἐστιν. Ἐὰν ἐρωτᾷς γέροντας περὶ λογισμῶν σου, μὴ μετὰ τὸ ποιῆσαι ἐρωτήσῃς, ἀλλ' εἰπὲ ὃ πολεμεῖ σοι ἐπὶ τοῦ παρόντος· καὶ μὴ γίνου ὑποκριτής, καὶ λέγῃς ἄλλα ἀντὶ ἄλλων, ἢ ὡς ἄλλου πεποιηκότος· ἀλλ' εἰπὲ τὴν ἀλήθειαν, καὶ ἑτοίμασον ἑαυτόν, ἵνα ὃ ἐὰν εἴπωσί σοι ποιήσῃς· ἐπεὶ σεαυτὸν μόνον χλευάζεις, καὶ οὐχὶ τοὺς γέροντας, οὓς ἐρωτᾷς.

Ὅταν δὲ ἐρωτᾷς γέροντας περὶ πολέμου, μὴ ὑπακούσῃς τοῖς ἔνδοθέν σοι λαλοῦσι πλείω τῶν γερόντων, ἀλλὰ δεήθητι τοῦ Θεοῦ πρότερον λέγων· ποίησον μετ' ἐμοῦ ἔλεος, καὶ ὃ θέλεις, παράσχου τοῖς Πατράσι μου εἰπεῖν μοι· καὶ ὃ ἐὰν εἴπωσί σοι οἱ Πατέρες, ποίησον πίστει, καὶ ἀναπαύει σε ὁ Θεός. Ἐὰν ᾖς ἀσθενὴς τοῖς πάθεσι, φύλαξον σεαυτὸν μὴ ἐᾶσαι τινὰ εἰπεῖν σοι τὰ πάθη τῶν λογισμῶν αὐτοῦ ὡς πιστῷ· ἀπώλεια γάρ ἐστι τῇ ψυχῇ σου τοῦτο τὸ ἔργον· μὴ ἀποκαλύψῃς ἐνώπιον πάντων τοὺς λογισμούς σου, ἵνα μὴ πρόσκομμα δῷς τοῖς Πατράσι σου, ἵνα ἡ χάρις τοῦ Θεοῦ σκεπάσῃ σε.

Ἑρμηνεία

ΕΑΝ ΕΡΩΤΑΣ ἕνα Γέροντα νὰ σὲ συμβουλεύσῃ διὰ τὸν λογισμόν σου, νὰ εἴπῃς γυμνὴν τὴν σκέψιν σου ἐνώπιόν του ἢ καὶ μὲ ἐλευθερίαν νὰ ἐξομολογηθῇς τὸν λογισμόν σου, ἐφ' ὅσον βεβαίως γνωρίζεις, ὅτι εἶναι ἄξιος ἐμπιστοσύνης, ὥστε νὰ φυλάξῃ τὸν λόγον σου. Ἐὰν μερικοὶ ἀδελφοὶ σοῦ ὁμιλοῦν διὰ λογισμούς, οἱ ὁποῖοι πολεμοῦν καὶ σέ, μὴ θελήσῃς νὰ τοὺς ἀκούσῃς, διὰ νὰ μὴ σοῦ συμβαίνουν πόλεμοι.

Ἐὰν ἕνας ἀδελφὸς σὲ θεωρῇ ἀξιόπιστον καὶ σοῦ ἐμπιστευθῇ τὸ ἐλάττωμά του, πρόσεξε μὴ τὸ εἴπῃς εἰς κανένα· διότι τοῦτο θὰ εἶναι θάνατος διὰ σέ. Ἐὰν ἐρωτᾷς Γέροντας διὰ τοὺς λογισμούς σου, μὴ ἀναμένῃς νὰ τοὺς ἐρωτήσῃς, ἀφοῦ θὰ ἔχῃς διαπράξει τὸ σφάλμα, ἀλλὰ νὰ εἰπῇς καθαρὰ αὐτό, ποὺ ἐπὶ τοῦ παρόντος σὲ ἐνοχλεῖ· πρόσεξε νὰ μὴ γίνεσαι ὑποκριτὴς καὶ νὰ λέγῃς ἄλλα ἀντ' ἄλλων, ἤ, τάχα νὰ ἐκθέτῃς τὰ ὑπὸ σοῦ διαπραχθέντα, ὡς σκέψεις καὶ ἔργα τρίτου προσώπου. Νὰ εἴπῃς τὴν ἀλήθειαν, καὶ νὰ ἑτοιμασθῇς, ὥστε μετὰ προθυμίας νὰ ἐκτελέσῃς ὅ,τιδήποτε σοῦ ὑποδείξουν. Διαφορετικὰ τὸν ἑαυτόν σου περιπαίζεις καὶ ὄχι τοὺς Γέροντας, τοὺς ὁποίους ἐρωτᾷς.

Ὅταν δὲ ἐρωτᾷς Γέροντας διὰ πόλεμον, μὴ ὑπακούσῃς εἰς τοὺς λογισμούς, ποὺ σοῦ ὁμιλοῦν ἐντός σου, περισσότερον ἀπὸ τοὺς Γέροντας· προηγουμένως παρακάλεσε τὸν Θεὸν λέγων· ποίησον μετ' ἐμοῦ ἔ-

λεος καὶ φώτισον τοὺς Πατέρας μου, διὰ νὰ μοῦ εἰποῦν τὰ πρέποντα. Καὶ αὐτό, ποὺ θὰ σᾶς ὑποδείξουν οἱ Πατέρες, νὰ τὸ ἐκτελέσῃς μετὰ πίστεως καὶ ὁ Θεὸς θὰ σὲ ἀναπαύῃ. Ἐὰν εἶσαι ἀδύνατος καὶ περιπίπτῃς εἰς τὰ πάθη, μὴ ἀφήσῃς κανένα νὰ σοῦ εἴπῃ τοὺς ἐμπαθεῖς λογισμούς του, ὡς νὰ εἶσαι ἰσχυρὸς καὶ ἄτρωτος· διότι τὸ ἔργον αὐτὸ εἶναι ἀπώλεια διὰ τὴν ψυχήν σου. Νὰ μὴ φανερώσῃς ἐνώπιον ὅλων τοὺς λογισμούς σου, διὰ νὰ μὴ προκαλέσῃς σκάνδαλον εἰς τοὺς Πατέρας σου καὶ διὰ νὰ σὲ σκεπάσῃ ἡ Χάρις τοῦ Θεοῦ.

Δ'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΠΕΡΙΕΡΧΟΜΕΝΟΙ τοὺς κατὰ τὴν Σκῆτιν Ἁγίους Πατέρας, παρεβάλομεν καὶ τῷ Ἀββᾷ Μωϋσῇ, ἀνδρὶ ὑψηλῷ κατ' ἀρετήν, καὶ τὰ θεῖα σοφῷ· καὶ προσελθόντες μετὰ καὶ ἄλλας τινὰς ψυχωφελεῖς ὁμιλίας, ἠρωτήσαμεν αὐτὸν καὶ περὶ τῆς τῶν λογισμῶν ἐξαγορεύσεως, τί δεῖ ποιεῖν, εἰπόντες, ὅτι πρόφασιν αἰσχύνης καὶ ἐπιβλαβοῦς εὐλαβείας ἐμποιεῖ τὸ πολλάκις τινὰς τῶν Πατέρων ἀκούσαντας παρὰ ἀδελφῶν λογισμούς, οὐ μόνον μὴ θεραπεῦσαι τούτους, ἀλλὰ καὶ καταγνόντας αὐτῶν εἰς ἀπόγνωσιν ἐμβαλεῖν· ὅπερ καὶ ἡμεῖς αὐτοὶ ἔγνωμεν συμβὰν ἐν τοῖς μέρεσι Συρίας.

Ἀδελφὸς γάρ τις τινὶ τῶν ἐκεῖσε γερόντων ἐξεῖπε τοὺς ἰδίους λογισμοὺς μετὰ πάσης ἁπλότητος καὶ ἀληθείας, ἀνεπαισχύντως ἀπογυμνώσας τὰ κρυπτὰ τῆς ἑαυτοῦ καρδίας· ὁ δέ, πάραυτα τῷ ἀκοῦσαι, ἤρξατο ἀγανακτεῖν καὶ κινεῖσθαι κατὰ τοῦ ἀδελφοῦ, μεμφόμενος αὐτὸν ἐπὶ ταῖς τοιαύταις φαύλαις ἐνθυμήσεσιν· ὡς ἐκ τούτου πολλοὺς ἀκούσαντας ἐρυθριᾶν ἐξαγγέλλειν τοὺς ἰδίους λογισμοὺς τοῖς γέρουσιν.

Ὁ δὲ Ἀββᾶς Μωϋσῆς ἀποκριθεὶς εἶπεν ἡμῖν· καλὸν μέν ἐστιν, ὦ τέκνα, μὴ ἀποκρύπτειν τοὺς λογισμοὺς ἀπὸ τῶν Πατέρων, ἀλλ' ἐλευθερίως καὶ καθαρῶς ἐξαγγέλλειν· καὶ μὴ τῇ οἰκείᾳ κρίσει ἀκολουθεῖν, ἀλλὰ τῇ ἐκείνων δοκιμασίᾳ πείθεσθαι ἀδιστάκτως· οὐ μέντοι τοῖς τυχοῦσι δεῖ καταπιστεύειν τὰ τῆς καρδίας ἀπόκρυφα, ἀλλὰ γέρουσι πνευματικοῖς καὶ διακριτικοῖς καὶ παρὰ πολλῶν μεμαρτυρημένοις, οὐχὶ τοῖς διὰ χρόνον μόνον πεπολιωμένοις· πολλοὶ γὰρ πρὸς μόνην τὴν ἡλικίαν καὶ τὸ ἔξωθεν σχῆμα ἀπιδόντες, καὶ τοὺς ἑαυτῶν λογισμοὺς ἀναθέμενοι, ἀντὶ θεραπείας εἰς ἀπόγνωσιν διὰ τῆς ἀπειρίας τῶν ἀκουόντων ἐνέπεσον.

Ἦν γάρ τις ἀδελφὸς πάνυ σπουδαῖος· ὃς ὀχληθεὶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, ἦλθε πρός τινα γέροντα καὶ ἀνήγγειλεν αὐτῷ τοὺς ἰδίους λογισμούς· ἐκεῖνος δὲ ὡς ἤκουσεν, ἄπειρος ὤν, ἠγανάκτει καὶ ἄθλιον ἐκάλει τὸν ἀδελφόν, καὶ ἀνάξιον αὐτὸν τοῦ μοναχικοῦ ἔκρινε σχήματος, ὡς τοιούτους δεξάμενον λογισμούς. Ταῦτα δὲ ἀκούσας ὁ ἀδελφός, ἀπέγνω ἑαυτοῦ· καὶ καταλείψας τὸν ἴδιον τόπον, ἐπὶ τὸν κόσμον ἐπανήει· θείᾳ δὲ προνοίᾳ ὑπαντᾷ αὐτῷ ὁ Ἀββᾶς Ἀπολλώς, τῶν γερόντων ὁ δοκιμώτατος· καὶ βλέπων αὐτὸν τεταραγμένον καὶ σκυθρωπὸν πάνυ, ἠρώτα λέγων· τίς ἡ αἰτία, ἀδελφέ, τῆς σῆς στυγνότητος; ὁ δέ, τὴν μὲν ἀρχήν, ἐκ τῆς πολλῆς ἀθυμίας, οὐδὲν ἀπεκρίνατο· εἶτα, ὡς οὐκ ἐπαύετο ὁ γέρων παρακαλῶν αὐτὸν ἀναγγεῖλαι τῆς πολλῆς ἐκείνης λύπης τὴν πρόφασιν, διηγήσατο τὰ καθ' ἑαυτὸν εἰπών· λογισμοὶ πορνείας ὀχλοῦσί μοι καὶ ἀπελθὼν ἀνήγγειλα τῷ γέ-

ροντι· καὶ κατὰ τὸν λόγον αὐτοῦ, οὐκ ἔστι μοι σωτηρίας ἐλπίς· ἀπογνοὺς οὖν ἐμαυτοῦ, εἰς τὸν κόσμον ἀπέρχομαι.

Ταῦτα ἀκούσας ὁ πατὴρ Ἀπολλὼς πολλὰ παρεκάλει καὶ ἐνουθέτει αὐτὸν λέγων· μὴ ξενίζου, τέκνον, μηδὲ ἀπελπίσῃς ἑαυτοῦ· ἐγὼ γὰρ ἐν τοιαύτῃ ἡλικίᾳ καὶ πολιᾷ σφόδρα ὀχλοῦμαι ὑπὸ τούτων τῶν λογισμῶν· μὴ οὖν ἀθυμήσῃς ἐπὶ τῇ τοσαύτῃ πυρώσει, ἥτις οὐ τοσοῦτον ἀνθρωπίνῃ σπουδῇ θεραπεύεται, ὅσον τῇ τοῦ Χριστοῦ φιλανθρωπίᾳ· μόνον δὲ τὴν σήμερον χάρισαί μοι, καὶ ὑπόστρεψον εἰς τὸ κελλίον σου. Ἐποίησε δὲ ὁ ἀδελφὸς οὕτω· καὶ ἀποκαταστήσας αὐτὸν ὁ Ἀββᾶς Ἀπολλὼς εἰς τὸ ἴδιον κελλίον, ἀπῆλθεν εἰς τὸν γέροντα ἐκεῖνον τὸν τὸν ἀδελφὸν ἀπαγορεύσαντα· καὶ στὰς ἔξωθεν τῆς κέλλης αὐτοῦ, ἐδεήθη τοῦ Θεοῦ μετὰ δακρύων λέγων· Κύριε, ὁ πάντα πρὸς τὸ συμφέρον ποιῶν, καὶ τοὺς πειρασμοὺς συγχωρῶν ἐπάγεσθαι ἡμῖν πρὸς ὠφέλειαν, αὐτὸς ἐπάκουσόν μου, καὶ μεταστραφήτω ὁ πόλεμος τοῦ ἀδελφοῦ εἰς τοῦτον τὸν γέροντα, ἵνα διὰ πείρας μάθῃ εἰς τὸ γῆρας αὐτοῦ, ὅπερ ἐν τῷ μακρῷ χρόνῳ οὐκ ἐδιδάχθη· ὅτι δεῖ συμπάσχειν τοῖς πολεμουμένοις.

Ὡς δὲ τὴν εὐχὴν ἐτέλεσεν, ὁρᾷ αἰθίοπα στάντα πλησίον τοῦ κελλίου, καὶ βέλη ἀφιέντα κατὰ τοῦ γέροντος· ὁ δὲ γέρων εὐθὺς ἀναπηδήσας ὡς ἐκ μέθης, ὧδε κἀκεῖσε περιεστρέφετο· μὴ δυνάμενος δὲ ἐπὶ πολὺ καρτερῆσαι, ἐξελθὼν τοῦ κελλίου, τῇ αὐτῇ ὁδῷ ᾗ καὶ ὁ νεώτερος, ἐπὶ τὸν κόσμον ἐχώρει. Ὁ δὲ Ἀββᾶς Ἀπολλὼς ἰδὼν αὐτὸν οὕτως ἀπιόντα καὶ νοήσας τὸ γεγονός, δι' ἄλλης ὁδοῦ προφθάσας αὐτόν, ὑπήντησε λέγων· ποῦ πορεύῃ; τίς δὲ ἡ αἰτία τῆς κατεχούσης σε τοσαύτης ταραχῆς; ὁ δὲ αἰσθηθεὶς ὅτι ἐγνώσθη τὰ κατ' αὐτὸν τῷ Ἁγίῳ, ἀπὸ τῆς αἰσχύνης οὐδὲν ἀπεκρίνατο.

Εἶπε δὲ ὁ Ἀββᾶς Ἀπολλώς· ὑπόστρεψον εἰς τὸ κελλίον σου καὶ τοῦ λοιποῦ, ἐπιγνοὺς τὴν ἀσθένειάν σου, ἔχε σεαυτὸν ἢ ἀγνοηθέντα ὑπὸ τοῦ διαβόλου, ἢ καταφρονηθέντα· διὸ οὐκ ἠξιώθης τῆς πρὸς αὐτὸν πάλης· προσβολὴν γὰρ αὐτοῦ ἕως μιᾶς ἡμέρας ὑπενεγκεῖν οὐκ ἠδυνήθης· τοῦτο δέ σοι συνέβη, ὅτι ἀδελφὸν νεώτερον πολεμούμενον ὑπὸ τοῦ κοινοῦ ἐχθροῦ δεξάμενος, ἀντὶ τοῦ πρὸς ἀγῶνα ἀλεῖψαι, εἰς ἀπόγνωσιν ἐνέβαλες, μὴ λογισάμενος τὸ σοφὸν ἐκεῖνο παράγγελμα τὸ λέγον· «ῥῦσαι ἀπαγομένους εἰς θάνατον· καὶ ἐκπριᾶν κτεινομένους μὴ φείσῃ»· ἀλλ' οὐδὲ τὴν παραβολὴν τοῦ Σωτῆρος ἡμῶν τὴν λέγουσαν· «κάλαμον τεθλασμένον μὴ συντρίβειν καὶ λίνον καπνιζόμενον μὴ σβεννύειν»· οὐδεὶς γὰρ τοῦ ἐχθροῦ φέρειν ἠδύνατο τὰς ἐπιβουλάς, ἀλλ' οὐδὲ τὸν ἔμπυρον βρασμὸν τῆς φύσεως σβέσαι, εἰ μὴ ἡ τοῦ Θεοῦ χάρις ἐφρούρει τὴν ἀνθρωπίνην ἀσθένειαν. Τοιγαροῦν συμπληρωθείσης τῆς περὶ ἡμῶν σωτηριώδους ταύτης οἰκονομίας, κοιναῖς εὐχαῖς τὸν Θεὸν ἱκετεύσωμεν, ὅπως καὶ τὴν κατὰ σοῦ ἀφεθεῖσαν μάστιγα παραγάγῃ· αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἔπαισε, καὶ αἱ χεῖραις αὐτοῦ ἰάσαντο· ταπεινοῖ, καὶ ἀνυψοῖ· θανατοῖ καὶ ζωογονεῖ· κατάγει εἰς ᾅδου, καὶ ἀνάγει.

Ταῦτα εἰπὼν καὶ ἐπευξάμενος, παραχρῆμα τοῦ πολέμου αὐτὸν ἀπήλλαξε, παραινέσας αὐτῷ αἰτεῖν παρὰ Θεοῦ δοθῆναι αὐτῷ γλῶσσαν παιδείας τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. Μανθάνομεν οὖν ἐκ τῶν εἰρημένων ὅτι οὐκ ἄλλη εὑρίσκεται ὁδὸς σωτηρίας ἀσφαλής, ἢ τὸ ἐξαγγέλλειν ἕκαστον τοὺς ἰδίους λογισμοὺς τοῖς διακριτικωτάτοις τῶν Πατέρων, καὶ ὑπὸ τούτων πρὸς ἀρετὴν κανονίζεσθαι, καὶ

μὴ τῷ ἰδίῳ θελήματι καὶ κριτηρίῳ ἀκολουθεῖν· οὐ γὰρ εἰ κατὰ τὸ συμβὰν περιτύχοι τις ἑνὶ γέροντι ἢ καὶ ἄλλοις ὀλίγοις ἁπλουστέροις τε καὶ ἀπείροις, τούτου ἕνεκα δεῖ καὶ ἀπὸ τῶν δοκιμωτάτων Πατέρων τοὺς λογισμοὺς ἀποκρύπτειν καὶ μὴ ἐξαγορεύειν, διὰ τοὺς ὀλίγους ἀπείρους, εἰς πάντας ἀπιστίαν κτησάμενον, καὶ πάντας ἐπίσης φεύγοντα, ἀλλ' ὡς ἐπὶ τῶν σωματικῶν ἰατρῶν δοκιμάζειν τὸν ἐπιστήμονα πρότερον, καὶ τότε αὐτῷ ὑποδεικνύειν τὰ ψυχικὰ τραύματα, καὶ ταῖς αὐτοῦ θεραπείαις μὴ ἀντιλέγειν, ἀλλ' εὐχαρίστως δέχεσθαι ταύτας, κἂν πρὸς τὸ παρὸν τὸ ἀλγεινὸν ἔχωσιν.

Ἑρμηνεία

† ΕΠΙΣΚΕΠΤΟΜΕΝΟΙ κάποτε τοὺς Ἁγίους Πατέρας, ποὺ διέμενον εἰς τὴν Σκήτην, ἤλθομεν καὶ πρὸς τὸν Ἀββᾶν Μωϋσῆν, ἄνδρα ὑψηλὸν εἰς τὴν ἀρετὴν καὶ σοφὸν εἰς τὴν γνῶσιν. Ἀφοῦ λοιπὸν εἰσήλθομεν εἰς τὸ κελλίον του, μετὰ ὡρισμένας ἄλλας ψυχωφελεῖς συζητήσεις, τὸν ἠρωτήσαμεν καὶ διὰ τὴν ἐξομολόγησιν τῶν λογισμῶν, τί πρέπει νὰ κάμνωμεν.

— Πολλοὶ ἀδελφοί, τοῦ εἴπομεν, ἀπὸ ἐντροπὴν καὶ κακῶς ἐννοουμένην εὐλάβειαν δὲν ἐξομολογοῦνται τοὺς λογισμούς των, καὶ τοῦτο διότι πολλοὶ Πατέρες, ὅταν ἤκουσαν τοὺς λογισμοὺς τῶν ἀδελφῶν, ὄχι μόνον δὲν τοὺς ἐθεράπευσαν, ἀλλὰ καὶ τοὺς κατηγόρησαν τόσον πολύ, ὥστε τοὺς ἔφεραν εἰς ἀπόγνωσιν. Ἕνα τοιοῦτον περιστατικὸν γνωρίζομεν καὶ ἡμεῖς, τὸ ὁποῖον συνέβη εἰς τὰ μέρη τῆς Συρίας.

Ἕνας ἀδελφὸς δηλαδὴ ἐξωμολογήθη τοὺς λογισμούς του εἰς ἕνα ἀπὸ τοὺς ἐκεῖ Γέροντας, μὲ πᾶσαν ἁπλότητα καὶ εἰλικρίνειαν· ἀπεγύμνωσε, χωρὶς ἐντροπήν, τὴν καρδίαν του, διὰ νὰ ἀποκαλύψῃ εἰς τὸν Γέροντα τὰς ἀποκρύφους σκέψεις του. Ὁ Γέρων, μόλις ἤκουσε τοὺς λογισμούς, ἤρχισε νὰ ἀγανακτῇ καὶ νὰ καταφέρεται ἐναντίον τοῦ ἀδελφοῦ, κατηγορῶν αὐτὸν διὰ τὰς αἰσχρὰς σκέψεις του. Μόλις ἐγένετο γνωστὴ ἡ συμπεριφορὰ αὐτὴ ἐκείνου τοῦ Γέροντος, πολλοὶ ἐντρέποντο πλέον νὰ ἐξομολογοῦνται τοὺς λογισμούς των εἰς τοὺς Γέροντας.

Ὁ Ἀββᾶς Μωϋσῆς μᾶς ἀπεκρίθη:

—Τέκνα μου, καλὸν μὲν εἶναι νὰ μὴ ἀποκρύπτωμεν τοὺς λογισμούς μας ἀπὸ τοὺς Πατέρας, ἀλλὰ ἐλεύθερα καὶ καθαρὰ νὰ τοὺς ἐξομολογούμεθα. Νὰ μὴ ἀκολουθῶμεν δὲ τὴν ἰδικήν μας κρίσιν, ἀλλὰ νὰ πειθώμεθα ἀδίστακτα εἰς τὴν δοκιμασίαν ἐκείνων. Δὲν πρέπει ὅμως καὶ εἰς τοὺς οἱουσδήποτε νὰ ἐμπιστευώμεθα τὰ ἀπόκρυφα τῆς καρδίας μας, ἀλλ' εἰς Γέροντας πνευματικούς, ποὺ εἶναι διακριτικοὶ καὶ πολλοὶ μαρτυροῦν διὰ τὴν ἀξίαν των, καὶ ὄχι εἰς ἐκείνους οἱ ὁποῖοι μόνον ἀπὸ τὸν χρόνον ἐλευκάνθησαν. Διότι πολλοὶ προσέξαντες εἰς μόνην τὴν ἡλικίαν καὶ τὸ ἐξωτερικὸν σχῆμα ἐνεπιστεύθησαν τοὺς λογισμούς των εἰς ἀπείρους καὶ ἀδιακρίτους καὶ τοιουτοτρόπως, ἀντὶ θεραπείας, περιέπεσαν εἰς ἀπόγνωσιν, ἐξ αἰτίας τῆς ἀπειρίας των.

Ἦτο κάποιος ἀδελφός, πάρα πολὺ σπουδαῖος. Αὐτὸς λοιπὸν ἠγω-

κλήθη ἀπὸ τὸν δαίμονα τῆς πορνείας. Ἀμέσως ἦλθεν εἰς ἕνα Γέροντα καὶ τοῦ ἐξωμολογήθη τοὺς λογισμούς του. Ἐκεῖνος ὅμως, μόλις ἤκουσε τὴν ἐξομολόγησιν αὐτήν, ἐπειδὴ ἦτο ἄπειρος, ἀγανακτοῦσε καὶ ἀπεκάλει τὸν ἀδελφὸν ἄθλιον, τὸν ἔκρινε δὲ ἀνάξιον τοῦ Μοναχικοῦ σχήματος, ἐπειδὴ ἐδέχθη τοιούτους λογισμούς. Ὅταν ὁ ἀδελφὸς ἤκουσε τοὺς λόγους αὐτοὺς τοῦ Γέροντος ἀπηλπίσθη διὰ τὴν σωτηρίαν του καὶ ἐγκαταλείψας τὸν τόπον τῆς ἀσκήσεώς του, ἐπέστρεφεν εἰς τὸν κόσμον. Κατὰ θείαν ὅμως πρόνοιαν τὸν συναντᾷ ὁ Ἀββᾶς Ἀπολλώς, ἕνας ἐκ τῶν ἐμπειροτέρων γερόντων. Μόλις λοιπὸν τὸν εἶδε τόσον ταραγμένον καὶ πάρα πολὺ μελαγχολικόν, τὸν ἠρώτησεν:

—Ἀδελφέ μου, ποία εἶναι ἡ αἰτία τῆς στενοχωρίας σου;

Ὁ ἀδελφός, κατ' ἀρχάς, ὑπὸ τὸ κράτος τῆς πολλῆς λύπης του, δὲν ἀπήντησε τίποτε.

Ἔπειτα ὅμως, ἐπειδὴ ὁ Γέρων δὲν ἔπαυε νὰ τὸν παρακαλῇ νὰ τοῦ φανερώσῃ τὴν αἰτίαν τῆς πολλῆς του λύπης, ὁ ἀδελφὸς ἤρχισε νὰ λέγῃ ὅ,τι τοῦ συνέβαινε:

— Μὲ ἐνοχλοῦν, Πάτερ μου, — εἶπε — λογισμοὶ πορνείας καὶ μεταβὰς ἐξωμολογήθην αὐτοὺς εἰς τὸν τάδε Γέροντα· ἀλλά, ὅπως μοῦ εἶπε, δὲν ὑπάρχει δι' ἐμὲ ἐλπὶς σωτηρίας· κατόπιν αὐτοῦ λοιπὸν ἀπηλπίσθην καὶ ἐγὼ καὶ πηγαίνω εἰς τὸν κόσμον.

Μόλις ἤκουσεν αὐτὰ ὁ Πατὴρ Ἀπολλώς, ἤρχισε νὰ τὸν παρηγορῇ μὲ ἐπιμονὴν καὶ νὰ τὸν συμβουλεύῃ.

— Μὴ φεύγῃς εἰς ξένον τόπον, τέκνον μου, — τοῦ ἔλεγε — καὶ μὴ ἀπελπίζεσαι· διότι καὶ ἐγώ, παρ' ὅλον ὅ,τι εὑρίσκομαι εἰς τὴν γεροντικὴν ἡλικίαν, ἐν τούτοις ἐνοχλοῦμαι ἀπὸ τοὺς λογισμοὺς αὐτούς. Μὴ στενοχωρηθῇς λοιπὸν διὰ τὴν σφοδρότητα τῆς πυρώσεως, ἡ ὁποία δὲν θεραπεύεται τόσον μὲ ἀνθρωπίνην προσπάθειαν, ὅσον ἀπὸ τὴν φιλανθρωπίαν τοῦ Χριστοῦ· σὲ παρακαλῶ, κάμε μου μίαν χάριν· χάρισέ μου τὴν σημερινὴν ἡμέραν καὶ γύρισε ὀπίσω εἰς τὸ κελλίον σου.

Ὁ ἀδελφὸς ὑπήκουσεν εἰς τὴν σύστασιν καὶ ἐπέστρεψεν εἰς τὸ κελλίον του. Ἀφοῦ δὲ ὁ Ἀββᾶς Ἀπολλὼς τὸν ἐτακτοποίησεν εἰς τὸ κελλί του, μετέβη εἰς ἐκεῖνον τὸν Γέροντα, ὁ ὁποῖος μὲ τὴν αὐστηρότητά του ἀπήλπισε τὸν ἀδελφόν. Ἐστάθη ἔξω ἀπὸ τὸ κελλίον του καὶ παρεκάλεσε τὸν Θεὸν μὲ δάκρυα. Κύριέ μου, — ἔλεγε — σύ, ποὺ τὰ πάντα ἐνεργεῖς πρὸς τὸ συμφέρον καὶ παραχωρεῖς νὰ μᾶς ἔρχωνται οἱ πειρασμοὶ πρὸς ὠφέλειάν μας, Σὺ εἰσάκουσε τὴν δέησίν μου αὐτήν, καὶ κάνε ὥστε νὰ στραφῇ ὁ πόλεμος τοῦ ἀδελφοῦ εἰς αὐτὸν ἐδῶ τὸν Γέροντα, διὰ νὰ μάθῃ τώρα, εἰς τὰ γηρατεῖα του, αὐτὸ ποὺ ἐπὶ τόσα χρόνια δὲν κατώρθωσε νὰ διδαχθῇ, ὅτι δηλαδὴ πρέπει νὰ ὑποφέρωμεν καὶ ἡμεῖς μαζὶ μὲ τοὺς πολεμουμένους.

Μόλις ἐτελείωσε τὴν μικρὰν αὐτὴν προσευχήν, βλέπει ἕνα ἀράπην ὁ ὁποῖος ἐστάθη κοντὰ εἰς τὸ κελλὶ καὶ ἤρχισε νὰ ρίπτῃ βέλη κατὰ τοῦ Γέροντος. Ὁ Γέρων ἀμέσως ἀνεπήδησεν, ὡς μεθυσμένος, καὶ ἐστριφογύριζε

ἐδῶ καὶ ἐκεῖ. Ἐπειδὴ δὲ δὲν ἠδύνατο νὰ ὑπομένη πολύ, ἐβγῆκε μὲ ὁρμὴν ἀπὸ τὸ κελλί του καὶ ἐπῆρε τὸν ἴδιον δρόμον, ποὺ ἠκολούθησε πρωτύτερα ὁ νεώτερος ἀδελφὸς ἐπιστρέφων εἰς τὸν κόσμον.

Ὁ Ἀββᾶς Ἀπολλώς, μόλις τὸν εἶδε νὰ φεύγη κατ' αὐτὸν τὸν τρόπον, καὶ ἀντιληφθεὶς ἀμέσως τί εἶχε συμβῆ, προέτρεξε ἀπὸ ἄλλον δρόμον, καὶ τὸν ἐπρόφθασε:

— Ποῦ πηγαίνεις; τὸν ἠρώτησε· ποία εἶναι ἡ αἰτία τῆς μεγάλης ταραχῆς, ποὺ σὲ ἔχει καταλάβει;

Ὁ Γέρων ἐννοήσας, ὅτι ὁ Ἅγιος τὰ εἶχε μάθει ὅλα, ἀπὸ τὴν ἐντροπήν του, δὲν ἀπήντησε τίποτα.

— Γύρισε εἰς τὸ κελλί σου, τοῦ εἶπε τότε ὁ Ἀββᾶς Ἀπολλώς, καὶ τώρα, ποὺ ἀνεγνώρισες τὴν ἀσθένειάν σου, νὰ πιστεύῃς διὰ τὸν ἑαυτόν σου, ἢ ὅτι σὲ ἠγνόησεν ὁ Διάβολος, ἢ ὅτι σὲ περιφρονεῖ, δι' αὐτὸ καὶ μέχρι σήμερα δὲν ἠξιώθης νὰ παλαίσῃς μαζί του. Ἀπόδειξις, ὅτι δὲν ἠδυνήθης νὰ ὑπομείνῃς τὴν προσβολήν του οὔτε μίαν ἡμέραν. Σοῦ συνέβη δὲ αὐτὸ διότι ὅταν ἐδέχθης κάποτε νεώτερον ἀδελφόν, ποὺ ἐπολεμεῖτο ἀπὸ τὸν κοινὸν ἐχθρόν, ἀντὶ νὰ τὸν ἐνισχύσῃς εἰς τὸν ἀγῶνα του, σὺ τὸν ἀπήλπισες, χωρὶς νὰ λάβῃς ὑπ' ὄψιν σου τὴν σοφὴν σύστασιν «φρόντισε νὰ γλυτώσῃς αὐτοὺς ποὺ ὁδηγοῦνται εἰς τὸν θάνατον καὶ μὴ διστάσῃς νὰ ἐξαγοράσῃς μελλοθανάτους» (Παροιμ. κδ´, 11). Ἀλλ' οὔτε κἂν ἐσκέφθης καὶ τὴν παραβολὴν τοῦ Σωτῆρος μας, ποὺ λέγει «σπασμένο καλάμι μὴ τὸ κομματιάσῃς καὶ λινάρι, ποὺ καπνίζει νὰ μὴ σβήνῃς». (Ἡσ. μβ´, 3). Διότι κανεὶς δὲν θὰ ἠδύνατο νὰ ἀνθέξῃ εἰς τὰς ἐπιθέσεις τοῦ ἐχθροῦ, ἀλλ' οὔτε καὶ νὰ σβήσῃ τὴν φλόγα τῆς φύσεως, ἐὰν ἡ Χάρις τοῦ Θεοῦ δὲν ἐφρούρει τὴν ἀνθρωπίνην ἀδυναμίαν. Λοιπόν, ἀφοῦ συνεπληρώθη ἡ θεϊκὴ οἰκονομία, ποὺ ἔγινε δι' ἡμᾶς, ἂς ἱκετεύσωμεν, μὲ κοινὰς προσευχὰς τὸν Θεόν, νὰ ἀπομακρύνῃ ἀπὸ σὲ τὴν μάστιγα, ποὺ ἄφησεν ἐναντίον σου· διότι Αὐτὸς ἐπιτρέπει νὰ πονῶμεν καὶ πάλιν μᾶς θεραπεύει. Μᾶς ἐκτύπησε καὶ αἱ χεῖρες Του ἐθεράπευσαν· Αὐτὸς ταπεινώνει καὶ ἀνυψώνει· Αὐτὸς θανατώνει καὶ ζωογονεῖ· Αὐτὸς ρίπτει εἰς τὸν Ἅδην καὶ ἐπαναφέρει (Α´ Βασ. β´, 6—7).

Ἀφοῦ εἶπεν αὐτὰ καὶ εὐλόγησε τὸν Γέροντα, ἀμέσως τὸν ἀπήλλαξεν ἀπὸ τὸν πόλεμον καὶ τὸν συνεβούλευσε νὰ ζητῇ ἀπὸ τὸν Θεὸν νὰ τοῦ χορηγῇ γλῶσσαν διδασκαλίας, διὰ νὰ γνωρίζῃ τί πρέπει νὰ λέγῃ, ὁσάκις πρόκειται νὰ εἰπῇ κάποιον λόγον.

Ἀπὸ ὅσα λοιπὸν εἴπομεν μανθάνομεν, ὅτι δὲν ὑπάρχει ἄλλος ἀσφαλὴς δρόμος σωτηρίας, ἀπὸ τὸ νὰ ἐξομολογῆται ὁ καθεὶς τοὺς λογισμούς του εἰς τοὺς πλέον διακριτικοὺς ἐκ τῶν Πατέρων, καὶ ἀπὸ αὐτοὺς νὰ κανονιζώμεθα πρὸς τὴν ἀρετήν, χωρὶς νὰ ἀκολουθῶμεν τὸ θέλημά μας καὶ τὴν κρίσιν μας. Ἐὰν δὲ τυχαίως συμβῇ νὰ συναντήσῃ κανεὶς κάποιον Γέροντα ἢ καὶ ἄλλους ὀλίγους ἁπλουστέρους καὶ ἀπείρους δὲν πρέπει, ἐξ αἰτίας αὐτοῦ, νὰ ἀποκρύπτῃ τοὺς λογισμούς του καὶ ἀπὸ τοὺς ἱκανωτέρους ἐκ τῶν Πατέρων καὶ νὰ μὴ ἐξομολογῆται, ἐξ ἀφορμῆς δὲ

τῶν ὀλίγων ἀπείρων νὰ κλονισθῇ ἡ ἐμπιστοσύνη του πρὸς ὅλους καὶ νὰ τοὺς ἀποφεύγῃ ὅλους ὁμοίως. Ὅπως δὲ προκειμένου διὰ ἰατρὸν τοῦ σώματος, ἐξετάζομεν προηγουμένως τὴν ἐπιστημονικὴν ἱκανότητα, ἔτσι πρέπει νὰ ἐξετάζωμεν καὶ τὸν Γέροντα εἰς τὸν ὁποῖον πρόκειται νὰ φανερώσωμεν τοὺς λογισμούς μας καὶ τότε μόνον νὰ τοῦ φανερώνωμεν τὰ ψυχικὰ τραύματα καὶ νὰ μὴ ἀντιλέγωμεν πρὸς τὰς θεραπείας ποὺ μᾶς προτείνει, ἀλλὰ νὰ τὰς δεχώμεθα εὐχαρίστως, ἔστω καὶ ἐὰν πρὸς στιγμὴν μᾶς προκαλοῦν πόνον.

Ε΄. Ἐκ τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων.

α΄ Εἰπέ μοι, Πάτερ· τίνα δεῖ ἐρωτᾷν περὶ τῶν λογισμῶν, καὶ εἰ χρὴ περὶ τῶν αὐτῶν ἄλλῳ προσάγειν τὴν ἐρώτησιν.

Ἀπεκρίθη ὁ γέρων.

Ἐρωτᾷν δεῖ εἰς ὃν ἔχεις πίστιν καὶ ἔμαθες ὅτι δύναται βαστάξαι λογισμούς, καὶ πιστεῦσαι ὡς τῷ Θεῷ· τὸ δὲ ἐρωτῆσαι ἄλλον τὸν αὐτὸν λογισμόν, ἀπιστίας ἐστὶ καὶ πειρασμοῦ· ἐὰν γὰρ ἔχῃς ὅτι ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ, τίς ἡ χρεία πειράσαι τὸν Θεὸν τὸ αὐτὸ ἄλλον ἐρωτῶντα;

β΄ Ἔφη ὁ ἀδελφός.

Ἐὰν περὶ λογισμοῦ θλίβοντος ἡ ἀπόκρισις δοθῇ καὶ ἐπιμείνῃ, τί χρὴ λογίσασθαι ἢ πρᾶξαι;

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν ἐπιμένῃ ὁ λογισμὸς θλίβων τὸν ἐρωτήσαντα μετὰ τὴν ἀπόκρισιν τοῦ Πατρός, οὐκ ἀργῶς ἐπιμένει, ἀλλὰ δῆλον ὅτι ὁ ἀκούσας οὐ καθαρῶς οὐδὲ ἐπιμελῶς ἐποίησε τὸ προσταχθὲν αὐτῷ, καὶ ὀφείλει ἀνακαλέσθαι τὸ σφάλμα, καὶ ποιῆσαι ὃ ἐκελεύσθη· οὐ ψεύδεται γὰρ ὁ Θεός, ὁ λαλῶν ἐν τοῖς ἁγίοις αὐτοῦ.

γ΄ Εἶπεν ὁ ἀδελφός.

Ἆρα δὲ τὸν αὐτὸν χρὴ περὶ τοῦ αὐτοῦ ἐρωτᾷν ἢ οὔ; οἶδα γάρ, Πάτερ, ὅτι ποτὲ ἐρωτήσαντί μοι περί τινος λογισμοῦ, ἐρρέθη παρ' αὐτοῦ μὴ ποιῆσαι τόδε τὸ πρᾶγμα· μετὰ δὲ τοῦτο πάλιν, ἠρώτησα τὸν αὐτὸν περὶ τοῦ αὐτοῦ· καὶ εἰπέ μοι ποιῆσαι ἐκεῖνο τὸ πρᾶγμα, ὃ πρότερον μὴ ποιῆσαι ἐκέλευσε· καὶ πῶς ἐστι τοῦτο;

Ἀπεκρίθη ὁ γέρων.

Ἀδελφέ· τὰ κρίματα τοῦ Θεοῦ ἄβυσσος πολλή· πλὴν γίνωσκε, ὅτι πρὸς τὴν καρδίαν τοῦ ἐρωτῶντος ὁ Θεὸς ἐμβάλλει εἰς τὸ στόμα τοῦ λαλοῦντος αὐτῷ ποτέ, ἢ πρὸς δοκιμὴν τοῦ ἀκούοντος, ἢ ὅτι ἡ καρδία αὐτοῦ ἠλλάγη καὶ ἀξιοῦται ἄλλως ἀκοῦσαι· ἤγουν ἄλλοι τινὲς ἀλλάσσονται ὄντες ἐν τῷ αὐτῷ πράγματι, καὶ δι' αὐτοὺς ἄλλως ὁ Θεὸς λαλεῖ ἐν τῷ ἁγίῳ αὐτοῦ· καθὼς διὰ Ἡσαΐου ἐλάλησε πρὸς Ἐζεκίαν τὸν βασιλέα, «μεθ' ὃ γάρ, εἶπεν αὐτῷ, διάθου τὰ κατὰ σέ, ὅτι ἀποθνήσκεις», ἠλλάγη ἡ καρδία τοῦ βασιλέως καὶ ἐλυπήθη· καὶ διὰ τούτου πάλιν διὰ τοῦ Ἡσαΐου εἶπεν αὐτῷ· «ἰδοὺ προσέθηκεν ὁ Θεὸς εἰς τὴν ζωήν σου ἄλλα ἔτη δεκαπέντε»· εἰ οὖν ἐλάλησε δι' ἄλλου, εἶχεν ἂν σκάνδαλον τὸ πρᾶγμα, ὅτι ἄλλως λαλοῦσιν οἱ ἅγιοι. Καὶ πάλιν πρὸς τὴν καρδίαν τῶν Νινευιτῶν ἐλάλησε διὰ Ἰωνᾶ, καὶ εἶπεν, «ὅτι μετὰ τρεῖς ἡμέρας στρέφω τὴν πόλιν»· καὶ ὅτε ἠλλάγη ἡ καρδία αὐτῶν εἰς μετάνοιαν,

ἔδειξεν ὁ Θεὸς τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν, καὶ ἀφῆκε τὴν πόλιν, ὅτι ἠλλάγη εἰς ἀγαθόν. Διὰ τοῦτο οὖν οὐκ ὀφείλει τίς ποτε ἀλλάξαι τὸν ἐρωτώμενον ἅγιον, ἀλλ' αὐτὸν πάλιν ἐρωτᾶν, εἴ ποτε χρεία γένηται, ἵνα ἀλλάξῃ ὁ Θεὸς τὴν ἀπόκρισιν, προφάσεως γενομένης, καὶ γίνεται δι' αὐτοῦ, ἵνα μὴ εὑρεθῇ σκάνδαλον.

δ´ Ἔφη ὁ ἀδελφός.

Εἰ οὖν λαβὼν γνώμην τοῦ Πατρὸς περί τινος πράγματος ἔλθω εἰς αὐτὸ καὶ εὕρω ὅτι οὐκ ἀπαντᾷ μοι τὸ πρᾶγμα κατὰ τὴν ἀπόκρισιν τοῦ γέροντος, τί χρή με λογίσασθαι ἢ ποιῆσαι, εἰς τοσαύτην ἀπορίαν ἐμπεσόντα;

Ἀπεκρίθη ὁ γέρων.

Πλησιάζει αὕτη ἡ ἀπόκρισις τῇ πρώτῃ· πῶς; ἄκουσον· ἔλαβες ἀπόκρισιν περὶ τοῦ πράγματος, ὅτι τάδε ποίησον καὶ εὗρες ἐναντίωσιν; πρῶτον μὲν ἐρευνῆσαι ἑαυτὸν ὀφείλεις, μήποτε ἠδύνθη ἡ καρδία σου ἐν τῷ πράγματι, καὶ οὐκ ἀφῆκας τὸ πᾶν τῷ Θεῷ καὶ διὰ τοῦτο οὐ συνεχώρησεν ὁ Θεὸς γενέσθαι τὸ πρᾶγμα κατὰ τὴν ἀπόκρισιν τοῦ γέροντος· καὶ εἰ εὕρῃς, γνῶθι ὡς παρὰ σοῦ ἐστιν ἡ αἰτία, καὶ οὐκ ὀφείλεις ἐπιγράψαι ταύτην τῇ ἀποκρίσει τοῦ γέροντος, ἀλλ' ἑαυτὸν μέμψασθαι. Ἐλισσαῖος γὰρ πεποιθὼς ἔπεμψε τὸν μαθητὴν αὐτοῦ ἐγεῖραι τὸν νεκρὸν καὶ οὐκ ἠγέρθη· καὶ ἡ αἰτία, οὐ τοῦ πέμψαντος, ἀλλὰ τοῦ πεμφθέντος· ἐπεὶ πῶς αὐτὸς ὕστερον ἤγειρεν αὐτόν;

Ὀφείλεις μὲν οὖν προηγουμένως ποιῆσαι τὴν δύναμίν σου τοῦ φυλάξασθαι γενέσθαι κατὰ τὴν ἀπόκρισιν· ἐὰν δὲ μὴ ἀπαντήσῃ γενέσθαι τὸ πρᾶγμα κατὰ τὴν σπουδήν σου, μάθε ὅτι ἀλλαγὴ ἐγένετο εἰς ἓν τῶν μερῶν, ἢ σοῦ ἠδυνθέντος ἐν τῷ πράγματι, ὡς προλαβὼν εἶπόν σοι, ἢ τοῦ πράγματος αὐτοῦ, ἢ τοῦ προσώπου, μεθ' οὗ ἔχει τὸ πρᾶγμα, ἀλλαγέντος· καὶ διὰ τοῦτο καὶ ὁ Θεὸς ἀλλάσσει τὰ τῆς ἀποκρίσεως, ὡς ἐπὶ τοῦ Ἐζεκίου καὶ τῶν Νινευιτῶν. Τότε οὖν εἰ οὐκ ἔστιν ἐγγύς σου τῇ σαρκὶ ὁ ἐρωτηθείς, ὥς τε πάλιν ἐρωτῆσαι αὐτόν, δεήθητι τοῦ Θεοῦ, ὀνομάζων τὸν αὐτὸν γέροντα καὶ λέγων· ὁ Θεὸς τοῦδε, μὴ ἐάσῃς με πλανηθῆναι ἀπὸ τοῦ θελήματός σου καὶ τῆς ἀποκρίσεως τοῦ δούλου σου, ἀλλὰ πληροφόρησόν με τί ποιήσω· καὶ εἴ τι πληροφορεῖ σε ποίησον, πιστεύων ὅτι ὁ Θεὸς διὰ τοῦ ἁγίου ἐλάλησέ σοι καὶ ὁδηγεῖ σε, καὶ εἰδὼς ὅτι πάντως ἀλλαγή τις ἐγένετο καὶ δι' αὐτὴν ὁ Θεὸς ἤλλαξε τὰ τῆς ἀποκρίσεως.

ε´ Εἶπεν ὁ ἀδελφός.

Ποσάκις οὖν, δέσποτά μου, δεῖ προσεύξασθαι, ἵνα πληροφορηθῇ ὁ λογισμὸς περὶ τούτου;

Ἀπεκρίθη ὁ γέρων.

Ὅταν οὐ δύνασαι ἐρωτῆσαι τὸν γέροντα, τρίτον εὔξασθαι δεῖ περὶ παντὸς πράγματος, καὶ μετὰ ταῦτα θεωρῆσαι ποῦ ῥέπει ἡ καρδία, κἂν ἕως τριχός, καὶ τοῦτο ποιῆσαι· παρὰ Θεοῦ γάρ ἐστιν ἡ πληροφορία, καὶ πάντως φαίνεται τῇ καρδίᾳ.

στ´ Εἶπεν ὁ ἀδελφός.

Τὸ εὔξασθαι τρίτον πῶς δεῖ ποιῆσαι; ἐν διαφόροις καιροῖς ἢ ἐν τῇ αὐτῇ ὥρᾳ; πολλάκις γὰρ συμβαίνει μηδὲ ὑπέρθεσιν ἔχειν τὸ πρᾶγμα.

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν ἔχῃς ἄνεσιν καιροῦ, εἰς τρεῖς ἡμέρας τὸ τρίτον εὖξαι· ἐὰν δὲ ἔπειξίς ἐστι, κατὰ τὴν ὥραν τῆς παραδόσεως τοῦ Σωτῆρος, ὃ δυσχερῶς γίνεται, ἔχε αὐτὸν

τὸν Χριστὸν τύπον, ὅτι ἀπελθὼν τρίτον, τὸν αὐτὸν εἶπε λόγον εὐχόμενος καὶ οὐκ εἰσηκούσθη κατὰ τὸ φαινόμενον, ἐπειδὴ ἔδει γενέσθαι πάντως τὴν οἰκονομίαν. Διδάσκει ἡμᾶς ἐκ τούτου μὴ λυπεῖσθαι ὅταν εὐχώμεθα, καὶ πρὸς τὸ παρὸν οὐκ εἰσακουώμεθα· αὐτὸς γὰρ περισσότερον ἡμῶν οἶδε τὸ συμφέρον· ἡμεῖς οὖν τῆς εὐχαριστίας μὴ ἀποστῶμεν, καὶ σωζόμεθα.

ζ' Εἶπεν ὁ ἀδελφός.

Καὶ ἐὰν μετὰ τὴν προσευχὴν χρονίσῃ ἐλθεῖν ἡ πληροφορία, τί δεῖ ποιῆσαί με; ἐὰν δὲ καὶ παρὰ τὴν ἐμὴν αἰτίαν ἐστὶ καὶ κέκρυπται ἀπ' ἐμοῦ τοῦτο, πόθεν αὐτὸ καταλάβω;

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν μετὰ τὴν τρίτην προσευχὴν μὴ ἔλθῃ σοι ἡ πληροφορία, γίνωσκε ὅτι παρὰ σοῦ ἐστιν ἡ αἰτία· κἂν μὴ φανερωθῇ σοι τὸ σφάλμα, μέμψαι σεαυτόν, καὶ ἐλεεῖ σε ὁ Θεός.

η' Εἶπεν ὁ ἀδελφός.

Ἐρωτῶν δέ τις τοὺς Πατέρας καὶ δεχόμενος ἀποκρίσεις, ἆρα πάσας ἀπαραβάτως ὀφείλει ἐπιτελέσαι;

Ἀπεκρίθη ὁ γέρων.

Οὐ πάσας, ἀλλὰ τὰς κατ' ἐντολὴν αὐτῷ παρεχομένας· ἄλλο γάρ ἐστιν ἁπλῆ κατὰ Θεὸν συμβουλή, καὶ ἄλλο ἐντολή· ἡ μὲν γὰρ συμβουλή, νουθεσία ἐστὶ χωρὶς ἀνάγκης, δεικνύουσα τῷ ἀνθρώπῳ τὴν εὐθεῖαν ὁδὸν τῆς ζωῆς· ἡ δὲ ἐντολή, ὡς ζυγὸς ἐπιτίθεται, καὶ ἀπαραίτητον ἀπαιτεῖ τὴν βασταγὴν καὶ ἐργασίαν.

θ' Εἶπεν ὁ ἀδελφός.

Εἶπάς μοι, Πάτερ, τὴν διαφορὰν τῆς ἐντολῆς καὶ τῆς κατὰ Θεὸν συμβουλῆς· σαφήνισόν μοι λοιπὸν καὶ τὰ ἑκάστης αὐτῶν σύμβολα καὶ γνωρίσματα, καὶ τίς ἡ δύναμις ἑκατέρας αὐτῶν.

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν αὐτὸς προσέρχῃ Πατρὶ πνευματικῷ ἐρωτῆσαι περὶ πράγματος, οὐχ ὡς θέλων ἐντολὴν λαβεῖν, ἀλλὰ κατὰ Θεὸν ἀπόκρισιν ἀκοῦσαι, καὶ ἐρρέθη σοι ὅ,τι δεῖ σε ποιῆσαι, ὀφείλεις καὶ τοῦτο πάντως φυλάξαι, κἂν ἐν τῷ ποιεῖν δὲ πειραθῇς τινος θλίψεως ἐξ αὐτοῦ, μὴ ταραχθῇς· πρὸς τὸ συμφέρον γάρ σου γίνεται· ἐὰν δὲ μὴ θελήσῃς ποιῆσαι ὃ ἤκουσας, οὐκ ἔδοξας μὲν παραβαίνειν ἐντολήν, οὐδὲ γὰρ κατὰ ἐντολὴν αὐτὸ ἔλαβες, ἀλλ' ἔδοξέ σοι παριδεῖν τὸ συμφέρον· ὀφείλεις δὲ ἐν τούτῳ καταγινώσκειν σεαυτοῦ· χρὴ γὰρ πιστεύειν, ὅτι πάντα τὰ ἐκπορευόμενα διὰ στόματος τῶν ἁγίων, πρὸς τὸ συμφέρον τῶν ἀκουόντων ἐστί. Τὸ δ' αὐτό ἐστι, κἂν σοῦ μηδὲν ὅλως ἐρωτήσαντος, ἀφ' ἑαυτοῦ σοι εἶπεν ὁ γέρων, τῷ κατὰ Θεὸν κινουμένῳ λογισμῷ, ὅπερ καί ποτε συνέβη. Τὶς γάρ ποτε τῶν ἀδελφῶν ἐζήτει εἰσελθεῖν εἰς τὴν πόλιν· γέρων δέ τις ἀφ' ἑαυτοῦ εἶπεν αὐτῷ, ὅτι, ἐὰν εἰσέλθῃς, πίπτεις εἰς πορνείαν· καὶ παρακούσας εἰσῆλθε, καὶ ἔπεσεν. Ἐὰν δὲ ἐρωτᾷς περὶ πράγματος εἰδικῶς ἐντολὴν θέλων λαβεῖν, ὀφείλεις βαλεῖν μετάνοιαν, ἵνα εὐλογήσῃ ὁ ταύτην σοι δούς, λέγων αὐτῷ· εὐλόγησον κἀμέ, Πάτερ, ἐπάνω τῆς ἐντολῆς, καὶ εὖξαι ἵνα αὐτὴν φυλάξω.

Γίνωσκε δέ, ἀδελφέ, ὅτι οὐκ ἀργῶς παρέχει ὁ παρέχων τὴν ἐντολήν, ἀλλὰ βοηθεῖ τῇ δεήσει καὶ ταῖς προσευχαῖς, ὅπως δυνηθῇς φυλάξαι. Ἐὰν δὲ κατὰ συναρ-

παγὴν μὴ βάλῃς αὐτῷ μετάνοιαν, ἵνα λάβῃς τὴν εὐλογίαν, μὴ νομίσῃς ἀργὴν εἶναι τὴν ἐντολὴν (ἔρρωται γὰρ καὶ οὕτως), ἀλλ᾽ ἀμόρφως καὶ ἀκολούθως ἐδέξω αὐτήν. Καὶ ἐὰν δυνηθῇς, μὴ ὀκνήσῃς ἀπελθεῖν καὶ ἀνακαλέσασθαι τὴν μετάνοιαν καὶ τὴν εὐλογίαν· εἰ δὲ μὴ δύνῃ τοῦτο ποιῆσαι, ἔχε σεαυτὸν ὡς ἐν παραλείψει δεξάμενον τὴν ἐντολήν.

ι´ Εἶπεν ὁ ἀδελφός.

Ἐὰν ἐγὼ μὲν ἐρωτήσω λαβεῖν ἐντολήν, ὁ δὲ γέρων οὐκ ἔχει σκοπὸν τοῦ δοῦναι ἐντολήν, ἀλλ᾽ ὡς παραινῶν εἴπῃ· ἢ τὸ ἐναντίον· ἐγὼ μέν, οὐκ αἰτῶ λαβεῖν ἐντολήν, αὐτὸς δὲ ἐντολὴν δίδωσιν, ἄρα λογίζεται εἰς ἐντολήν, καὶ δεῖ πάντως φυλάξαι; ἐπειδὴ δέ εἰσι κανόνες ἐκκλησιαστικοί, καὶ ρήματα τῶν Πατέρων ἐγγράφως κείμενα, ἄρα καὶ ταῦτα, ὥς περ τὴν ἐντολήν, ἀνάγκην ἔχομεν πάντως φυλάξαι;

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν ἐρωτηθεὶς ὁ γέρων οὐκ ἔσχε σκοπὸν τοῦ δοῦναι ἐντολήν, οὐ λογίζεταί σοι εἰς ἐντολήν, εἰ καὶ σὺ τοῦτο ἤτησας· εἰ δὲ αὐτὸς ἐδοκίμασε δοῦναί σοι ἐντολήν, κἂν σὺ τοῦτο μὴ ἤτησας, ἐντολή ἐστι καὶ χρεία φυλάξαι· κἀκεῖνο δὲ ὡς ἐντολὴν δεῖ δέχεσθαι, ὅταν οἱ δογματικοὶ κανόνες τι ἀποφαίνωνται, ἢ Πατέρων ἐστὶν ἀπόκρισις ὡς ἐν ἀποφάσει ρηθεῖσα, μὴ ἁπλῶς δέχου, ἀλλὰ κατὰ ἐρώτησιν Πατέρων καὶ γερόντων βεβαίωσον τῷ σῷ λογισμῷ· οὐ πάντως γὰρ ὀρθῶς νοεῖς τὴν δύναμιν τῶν ρημάτων. Διὸ δεῖ τοὺς γέροντας ἐρωτᾶν, καὶ τῇ ἀποκρίσει αὐτῶν, καὶ ἐν τούτῳ μᾶλλον πείθεσθαι καὶ φυλάττειν ἀπαράβατα τὰ ἀκουσθέντα, βοηθοῦντος τοῦ φιλανθρώπου Θεοῦ, εὐχαῖς ἁγίων, ἀμήν.

ια´ Εἶπεν ὁ ἀδελφός.

Ἐὰν δὲ πειρασθεὶς παραβῶ τὴν ἐντολήν, τί ποιήσω;

Ἀπεκρίθη ὁ γέρων.

Ἐὰν λαβὼν ἐντολὴν παρά τινος τῶν ἁγίων παραβῇς αὐτήν, μὴ θορυβηθῇς, μηδὲ ἀπελπίσῃς εἰς τὸ καταργῆσαι αὐτήν, ἀλλὰ μνήσθητι τοῦ λέγοντος· ὅτι ὁ δίκαιος ἑπτάκις τῆς ἡμέρας πίπτει καὶ ἐγείρεται· καὶ τοῦ Κυρίου εἰπόντος τῷ Πέτρῳ· ὅτι ἕως ἑβδομηκοντάκις ἑπτὰ συγχωρήσεις τῷ ἀδελφῷ σου. Εἰ οὖν ἀνθρώποις ἐνετείλατο οὕτω συγχωρεῖν, πόσῳ μᾶλλον αὐτὸς τοῦτο ποιήσει, πλούσιος ὢν ἐν ἐλέει καὶ οἰκτιρμοῖς, ὑπερνικῶν τὰ πάντα; ὃς διὰ τοῦ προφήτου καθ᾽ ἑκάστην βοᾷ· «ἐπιστρέψατε πρός με καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς· ἐλεήμων γάρ εἰμι καὶ οὐ θέλω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ»· καὶ τὰ ἑξῆς. Βλέπε δὲ μὴ ἀκούσας ὅτι καταργεῖται ἡ ἐντολὴ διὰ τῆς παραβάσεως, ἀλλὰ πάλιν ἐνεργῶς δείκνυται διὰ τῆς μετανοίας, ραθυμήσῃς καὶ ἔλθῃς εἰς ἀμέλειαν· βαρὺ γὰρ τὸ πρᾶγμα τοῦτο· ἀλλὰ μηδὲ ἐπὶ τοῖς δοκοῦσι μικροῖς πράγμασι καταφρονήσῃς τῆς ἐντολῆς, ἀλλὰ κἂν γένηταί τις ἐν αὐτοῖς ἀμέλεια, σπούδασον διορθώσασθαι, εἰδὼς ὡς ἀπὸ τῆς εἰς τὰ μικρὰ ραθυμίας, ἔρχεταί τις ἐπὶ τὰ μεγάλα σφάλματα.

ιβ´ Εἶπεν ὁ ἀδελφός.

Ὑποβάλλει μοι ὁ λογισμὸς μὴ ἐρωτᾶν τοὺς ἁγίους, μήποτε μαθὼν καὶ καταφρονήσας διὰ τὴν ἐμαυτοῦ ἀσθένειαν, ἁμαρτήσω.

Ἀπεκρίθη ὁ γέρων.

Οὗτος ὁ λογισμὸς δεινότατός ἐστι καὶ ὀλέθριος· μὴ οὖν ἀνάσχῃ αὐτοῦ. Ἐὰν γάρ τις μαθὼν ἁμαρτήσῃ, καταγινώσκει ἑαυτοῦ παντός. Ἐὰν δὲ μὴ μαθὼν ἁμαρτή-

ση, οὐδέποτε καταγινώσκει ἑαυτοῦ καὶ ἀνίατα εὑρίσκεται αὐτοῦ τὰ πάθη. Διὰ τοῦτο τοιαῦτα ὑποβάλλει τινὶ ὁ διάβολος, πρὸς τὸ μεῖναι αὐτὸν ἀνίατον. Σὺ οὖν, ὅταν ὑποβάλλῃ ὁ λογισμὸς ὅτι οὐ δύνασαι πληρῶσαι τὴν τοῦ γέροντος ἀπόκρισιν διὰ τὴν ἀσθένειαν, τότε οὕτως ἐρώτα· ἐπειδὴ θέλω τοῦτο ποιῆσαι, εἰπέ μοι, Πάτερ, τί ἐστι τὸ συμφέρον; καὶ οἶδα μὲν ὅτι κἂν εἴπῃς μοι, οὐ δύναμαι ποιῆσαι καὶ φυλάξαι τὸ λεγόμενον, ἀλλὰ διὰ τοῦτο μόνον θέλω μαθεῖν· ἵνα καταγινώσκω ἐμαυτοῦ, ὅτι παρεῖδον τὸ συμφέρον· τοῦτο δὲ καὶ ταπείνωσίς σοί ἐστιν. Ὁ Κύριος φωτίσοι τὴν καρδίαν σου τοῦ ἀκοῦσαι καὶ φυλάξαι, εὐχαῖς ἁγίων, ἀμήν.

ιγ' Ἠρώτησεν ὁ ἀδελφός.

Εἰπέ μοι, Πάτερ, πῶς ὅτε βαροῦμαι ὑπὸ τῶν λογισμῶν καὶ παρακαλῶ τοὺς γέροντας εὔξασθαι ὑπὲρ ἐμοῦ, καὶ ἀκούω τὰ παρ' αὐτῶν λεγόμενα, εὐθέως ἀναπαύεταί μου ἡ ψυχή;

Ἀπεκρίθη ὁ γέρων.

Ὅταν χειμάζεται τὸ πλοῖον ἀπὸ τῶν κυμάτων, ἐὰν ἔχῃ κυβερνήτην, αὐτὸς διὰ τῆς δοθείσης αὐτῷ σοφίας ὑπὸ τοῦ Θεοῦ σώζει τὸ πλοῖον· καὶ εὐφραίνεται ὁ ἐπιβάτης, σῳζομένου τοῦ πλοίου· καὶ τὸν ἄρρωστον δέ, οὐ μετρίως εὐφραίνει ἡ μνήμη τοῦ ἰατροῦ, μάλιστα δὲ καὶ τὸ ἐπιτήδευμα· ἀλλὰ καὶ τὸν κινδυνεύοντα ἐν τῇ ὁδῷ ὑπὸ τῶν ἐπερχομένων αὐτῷ λῃστῶν ἐνδυναμοῖ ἡ φωνὴ τῶν τηρητῶν, πόσῳ δὲ μᾶλλον ἡ παρουσία αὐτῶν; Εἰ οὖν ταῦτα οὕτως ἔχει, πόσην ἄρα εὐφροσύνην καὶ ἀσφάλειαν παρέχειν δύναται ἡ ἀπόκρισις τῶν Πατέρων παντὶ τῷ ἀκούοντι, μάλιστα ὅταν συγκεκέρασται τῇ ἐκτενεῖ προσευχῇ πρὸς τὸν εἰπόντα Θεὸν «εὔξασθε ὑπὲρ ἀλλήλων ὅπως ἰαθῆτε», καὶ ὅταν οἰκειούμενοι τὸ πάθος τοῦ ἰδίου αὐτῶν μέλους, κράζωσι πρὸς τὸν Ἰησοῦν τὸν ἴδιον αὐτῶν Δεσπότην λέγοντες μετὰ γλυκυτάτων δακρύων· «ἐπιστάτα, σῶσον, ἀπολλύμεθα;»

Εἰ οὖν πολλὰ ἰσχύει δέησις δικαίου ἐνεργουμένη, ὡς γέγραπται, μὴ ὀκνήσωμεν παρακαλέσαι τοὺς δικαίους εὔξασθαι ὑπὲρ ἡμῶν· κἂν γὰρ ἡμεῖς ἀνάξιοι ἐσμέν, ἀλλ' ὁ ἀγαθὸς δεσπότης λαμβάνει τὸ πρόσωπον τῶν δούλων αὐτοῦ, ὡς καὶ ἤδη πολλάκις ἐποίησε, καὶ ἐλεεῖ ἡμᾶς· «θέλημα γάρ, φησι, τῶν φοβουμένων αὐτὸν ποιήσει» καὶ τὰ ἑξῆς· καὶ πάλιν· «ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν». Πολλάκις, ἀδελφέ, ἀκούσαντες λῃσταὶ τῆς φωνῆς τῶν δυνατωτέρων, ἔφυγον· οὕτως οὖν καὶ οἱ νοητοὶ λῃσταί, ὅταν ἀκούσωσι τῆς φωνῆς τῶν δυνατωτέρων ἐν τῇ ἰσχύϊ τοῦ Πνεύματος, τῶν ἀκουσάντων παρὰ τοῦ δεσπότου καὶ προστάτου αὐτῶν Ἰησοῦ· «θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον»· καὶ πάλιν· «ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ καὶ οὐδὲν ὑμᾶς ἀδικήσουσι», φεύγουσι μετὰ τρόμου αἰσχυνόμενοι. Παρακαλέσωμεν οὖν τοὺς ἁγίους εὔξασθαι ὑπὲρ ἡμῶν, καὶ οἰκειοῦμεν αὐτοῖς ἑαυτούς· μεγάλη γὰρ ἡ ἐκ τούτων ὠφέλεια.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἠρώτησεν ἕνα Γέροντα·

— α' Εἰπέ μου, Πάτερ, ποῖον πρέπει νὰ ἐρωτῶ διὰ τοὺς λογισμούς μου καὶ ἐὰν εἶναι ἀνάγκη διὰ τοὺς ἰδίους λογισμοὺς νὰ ἐρωτῶ καὶ ἄλλον.

Ὁ Γέρων ἀπήντησε:

— Πρέπει νὰ ἐρωτᾷς ἐκεῖνον εἰς τὸν ὁποῖον ἔχεις ἐμπιστοσύνην καὶ ἔμαθες ὅτι εἶναι δυνατὸς νὰ σηκώσῃ λογισμοὺς ἄλλων, καὶ νὰ ἐμπιστεύεσαι εἰς αὐτὸν ὅπως εἰς τὸν Θεόν. Τὸ νὰ ἐρωτήσῃς ἄλλον διὰ τὸν ἴδιον λογισμὸν εἶναι σημεῖον ἀπιστίας καὶ ἐνεργείας τοῦ διαβόλου· διότι ἐὰν ἔχῃς τὴν βεβαιότητα ὅτι ἐλάλησε πρὸς σὲ ὁ Θεός, διὰ στόματος τοῦ Ἁγίου Γέροντος, ποία ἡ ἀνάγκη νὰ δοκιμάσῃς τὸν Θεὸν ἐρωτῶν ἄλλον διὰ τὸ ἴδιον πρᾶγμα;

β΄ Εἶπεν ὁ ἀδελφός.

—Ἐὰν δοθῇ ἀπάντησις δι' ἕνα λογισμόν, ποὺ προκαλεῖ θλῖψιν καὶ στενοχωρίαν, καὶ μετὰ τὴν ἀπάντησιν ἐξακολουθεῖ ἡ θλῖψις, τί πρέπει τότε νὰ σκεφθῶμεν ἢ νὰ πράξωμεν;

—Ἐὰν ἐξακολουθῇ ὁ λογισμὸς νὰ θλίβῃ τὸν ἐρωτήσαντα, μετὰ τὴν ἀπάντησιν, ποὺ ἔδωσεν ὁ πνευματικὸς Πατήρ, αὐτὸ δὲν συμβαίνει χωρὶς λόγον. Εἶναι φανερὸν ὅτι ὁ ἐξομολογηθεὶς τὸν λογισμὸν καὶ ἀκούσας τὴν συμβουλὴν τοῦ πνευματικοῦ Πατρός, δὲν ἐξετέλεσε μὲ εὐσυνειδησίαν καὶ ἐπιμέλειαν τὴν ὑπόδειξίν του, καὶ δι' αὐτὸ ὀφείλει νὰ διορθώσῃ τὸ σφάλμα του καὶ νὰ ἐκτελέσῃ ἐκεῖνο τὸ ὁποῖον διετάχθη· διότι δὲν εἶναι δυνατὸν νὰ ψεύδεται ὁ Θεός, ὁ ὁποῖος ὁμιλεῖ διὰ στόματος τῶν ἁγίων Αὐτοῦ.

γ΄ Εἶπεν ὁ ἀδελφός.

—Ἄραγε τὸν ἴδιον Γέροντα πρέπει νὰ ἐρωτῶμεν διὰ τὸ ἴδιον πρᾶγμα, ἢ ὄχι; Διότι ἐνθυμοῦμαι, Πάτερ μου, ὅτι κάποτε ἠρώτησα ἕνα Γέροντα δι' ἕνα λογισμόν μου καὶ μὲ συνεβούλευσε νὰ μὴ κάνω κάποιο πρᾶγμα· ὅταν πάλιν ἠρώτησα τὸν ἴδιον Γέροντα διὰ τὸ ἴδιον πρᾶγμα, μοῦ εἶπε νὰ κάνω ἐκεῖνο τὸ ὁποῖον προηγουμένως μὲ διέταξε νὰ μὴ κάμω· πῶς γίνεται αὐτό;

Ὁ Γέρων ἀπήντησεν:

—Ἀδελφέ· τὰ κρίματα τοῦ Θεοῦ εἶναι ἄβυσσος πολλή· ὡστόσον ὅμως γνώριζε, ὅτι ὁ Θεὸς βάζει κάποτε εἰς τὸ στόμα τοῦ ὁμιλοῦντος πνευματικοῦ ἀπάντησιν ἀνάλογον πρὸς τὴν διάθεσιν τῆς καρδίας τοῦ ἐρωτῶντος, ἢ διὰ νὰ δοκιμάσῃ τὸν ἀκούοντα, ἤ, ἀκόμη, διὰ νὰ ἀκούσῃ περὶ τοῦ αὐτοῦ πράγματος διαφορετικὰς ἀπαντήσεις ἀπὸ τὸν ἴδιον πνευματικόν, διότι ἐν τῷ μεταξὺ ἤλλαξεν ἡ διάθεσις τῆς καρδίας τοῦ ἐρωτῶντος. Συμβαίνει δηλαδὴ μερικοὶ νὰ ἀλλάζουν ψυχικῶς, ἐνῷ εὑρίσκονται ὑπὸ τὰς αὐτὰς ἐξωτερικὰς συνθήκας· καὶ δι' αὐτοὺς ὁ Θεὸς λαλεῖ διαφορετικῶς διὰ στόματος τοῦ ἁγίου Του.

Ὡς παράδειγμα ἂς ἐνθυμηθῶμεν τὴν περίπτωσιν τοῦ βασιλέως Ἐζεκίου. Ὁ προφήτης Ἡσαΐας τοῦ εἶπε· «ὕστερα ἀπὸ αὐτὸ λοιπόν, κάμε τὴν διαθήκην σου, διότι ἐντὸς ὀλίγου θὰ ἀποθάνῃς». (Ἡσ. λη΄, 1). Ἡ εἴδησις αὐτὴ προεκάλεσεν ἀλλαγὴν εἰς τὴν καρδίαν τοῦ βασιλέως καὶ ἐλυπήθη. Μὲ τὸν ἴδιον τότε πάλιν ἅγιον, τὸν προφήτην Ἡσαΐαν, τοῦ εἶπε· «Νά: ὁ Θεὸς προσέθεσεν εἰς τὴν ζωήν σου ἄλλα δέκα πέντε ἔτη». (Ἡσ. λη΄, 5). Ἐὰν ὁ Θεὸς ἐλάλει δι' ἄλλου, τότε ἡ ὑπόθεσις θὰ ἀπετέλει σκάν-

δαλον, ὅτι, δηλαδή, διαφορετικὰ λαλοῦν οἱ Ἅγιοι. Καὶ πάλιν ὁ Θεὸς ἐλάλησε, διὰ τοῦ Ἰωνᾶ, πρὸς τὴν καρδίαν τῶν Νινευϊτῶν καὶ εἶπε πρὸς αὐτοὺς «μετὰ τρεῖς ἡμέρας καταστρέφω τὴν πόλιν» (Ἰων. γ', 4). Ὅταν ὅμως ἤλλαξεν ἡ διάθεσις τῶν καρδιῶν τῶν Νινευϊτῶν καὶ μετενόησαν, ἔδειξε καὶ ὁ Θεὸς τὴν πολλήν του φιλανθρωπίαν καὶ δὲν κατέστρεψε τὴν πόλιν, διότι οἱ πολῖται ἔγιναν καλοί. Δι' αὐτὸ λοιπὸν δὲν πρέπει νὰ ἀλλάξῃ κανεὶς ποτὲ τὸν ἅγιον τὸν ὁποῖον ἐρωτᾷ, ἀλλὰ καὶ πάλιν νὰ τὸν ἐρωτᾷ, ὁσάκις παρουσιάζεται ἀνάγκη, ἕως ὅτου ὁ Θεὸς ἐμπνεύσῃ ἄλλην ἀπάντησιν, διὰ νὰ εἴπῃ ὁ Πνευματικός, ἐφ' ὅσον βεβαίως ὑπάρξῃ αἰτία· ὁπόταν μὲ τὸν ἴδιον Πνευματικὸν θὰ δοθῇ καὶ ἡ διαφορετικὴ ἀπάντησις, διὰ νὰ μὴ γεννηθῇ σκάνδαλον.

δ' Εἶπεν ὁ ἀδελφός.

—Ἐὰν λοιπὸν ἀφοῦ ἀκούσω τὴν γνώμην τοῦ Πατρός, διὰ μίαν ὑπόθεσίν μου, ἀντιληφθῶ, ὅτι δὲν συμβαίνουν τὰ πράγματα, ὅπως μοῦ τὰ εἶπεν ὁ Γέρων, τότε τί πρέπει νὰ σκεφθῶ ἢ νὰ κάμω, διὰ νὰ λύσω τὴν ἀπορίαν εἰς τὴν ὁποίαν ἐνέπεσα;

Ὁ Γέρων ἀπήντησεν:

—Ἡ ἀπάντησις ποὺ ζητεῖς, ὁμοιάζει κάπως μὲ τὴν προηγουμένην· πῶς; ἄκουσε· σὲ συνεβούλευσεν ὁ πνευματικός σου διὰ μίαν ὑπόθεσιν, ὅτι κάμε αὐτά, καὶ συνήντησες ἐμπόδια; πρέπει πρῶτον νὰ ἐρευνήσῃς τὸν ἑαυτόν σου μήπως ἡ καρδία σου ἐδοκίμασεν ἡδονὴν ἀπὸ τὴν ὑπόθεσιν αὐτήν, καὶ δὲν τὴν ἄφησες ἐξ ὁλοκλήρου εἰς τὸν Θεὸν καὶ διὰ τοῦτο ὁ Θεὸς δὲν ἐπέτρεψε νὰ γίνουν τὰ πράγματα σύμφωνα μὲ τὴν ἀπάντησιν ποὺ σοῦ ἔδωσεν ὁ Γέρων· ἐὰν ἐρευνήσῃς μετὰ προσοχῆς, καὶ εὕρῃς ὅτι ἔτσι ἔχει τὸ πρᾶγμα, τότε μάθε ὅτι ἀπὸ ἐσὲ προέρχεται ἡ αἰτία, καὶ δι' αὐτὸ δὲν πρέπει νὰ τὴν ἀποδώσῃς εἰς τὴν ἀπάντησιν τοῦ πνευματικοῦ, ἀλλὰ τὸν ἑαυτόν σου νὰ κατηγορήσῃς. Ὁ Ἐλισσαῖος ἔστειλε μετὰ πεποιθήσεως τὸν μαθητήν του νὰ ἀναστήσῃ τὸν νεκρὸν καὶ δὲν ἀνεστήθη· ἡ αἰτία δὲν ὠφείλετο εἰς τὸν ἀποστείλαντα. ἀλλ' εἰς τὸν ἀποσταλέντα· διότι πῶς ἀλλέως θὰ ἐξηγηθῇ, ὅτι ὁ ἴδιος ὕστερα τὸν ἀνέστησε; (Βασ. δ', 29—36).

Σὺ λοιπὸν ὀφείλεις προηγουμένως νὰ καταβάλῃς ὅλην σου τὴν προσπάθειαν διὰ νὰ ἐφαρμόσῃς τὴν συμβουλὴν τοῦ Γέροντος· ἐὰν ὅμως συμβῇ νὰ μὴ γίνῃ τὸ ζήτημα ὅπως περιμένεις καὶ παρὰ τὴν ἐπιμέλειάν σου, μάθε (τότε) ὅτι κάποια ἀλλαγὴ ἐπῆλθεν εἰς ἕνα ἀπὸ τὰ μέρη· ἢ τὸ ζήτημα σοῦ προεκάλεσεν εὐχαρίστησιν, ὅπως εἶπον καὶ προηγουμένως, ἢ ἤλλαξαν αἱ περιστάσεις, ἢ αἱ διαθέσεις τοῦ προσώπου, εἰς τὸ ὁποῖον ἀνεφέρετο τὸ ζήτημα· καὶ δι' αὐτὸ ὁ Θεὸς ἀλλάσσει τὰς ἑκάστοτε ἀπαντήσεις τοῦ Γέροντος, ὅπως εἰς τὴν περίπτωσιν τοῦ Ἐζεκίου καὶ τῶν Νινευϊτῶν.

Τότε λοιπὸν ἐφ' ὅσον δὲν εὑρίσκεται πλησίον σου ὁ Γέρων, ποὺ ἠρώτησας, διὰ νὰ τὸν ἐρωτήσῃς ἐκ νέου, παρακάλεσε τὸν Θεόν, ἀναφέρων καὶ τὸ ὄνομα τοῦ ἰδίου Γέροντος. Ὁ Θεὸς τοῦ τάδε πνευματικοῦ

μου Πατρός, μὴ μὲ ἀφήσῃς νὰ πέσω εἰς πλάνην καὶ νὰ ἀπομακρυνθῶ ἀπὸ τὸ θέλημά Σου καὶ ἀπὸ τὴν ἀπάντησιν, ποὺ μοῦ ἔδωσεν ὁ δοῦλος Σου, ἀλλὰ πληροφόρησέ με τί νὰ κάνω. Καὶ τότε κάμε ὅ,τι σὲ πληροφορεῖ ὁ Θεός, πιστεύων, ὅτι ὁ Θεὸς ὡμίλησεν εἰς σὲ διὰ τοῦ ἁγίου καὶ σὲ ὁδηγεῖ. Νὰ γνωρίζῃς δὲ ὅτι συνέβη ὁπωσδήποτε κάποια ἀλλαγὴ καὶ δι' αὐτὸ ὁ Θεὸς ἤλλαξε καὶ τὰ τῆς ἀπαντήσεως.

ε΄ Εἶπεν ὁ ἀδελφός.

— Εἰπέ μου λοιπόν, Δέσποτά μου, πόσας φορὰς πρέπει νὰ προσευχηθῶ, διὰ νὰ πληροφορηθῇ ὁ λογισμός μου περὶ τούτου;

Ὁ Γέρων ἀπήντησεν:

—Ὅταν δὲν ἠμπορῇς νὰ ἐρωτήσῃς τὸν Γέροντα, πρέπει διὰ κάθε ζήτημα, τρεῖς φορὰς νὰ προσευχηθῇς, καὶ μετὰ νὰ ἐξετάσῃς μετὰ προσοχῆς ποῦ κλίνει ἡ καρδία σου, μέχρι ἀκόμη καὶ τῆς παραμικροτέρας λεπτομερείας, καὶ αὐτὸ νὰ κάνῃς· διότι ἀπὸ τὸν Θεὸν προέρχεται ἡ πληροφορία, καὶ φανερώνεται βεβαίως εἰς τὴν καρδίαν.

στ΄ Εἶπεν ὁ ἀδελφός.

— Πῶς πρέπει τρεῖς φορὰς νὰ προσευχηθῶ· κατὰ διαστήματα, ἢ τὴν ἰδίαν ὥραν; διότι πολλὰς φορὰς δὲν δέχεται τὸ ζήτημα καμμίαν ἀναβολήν.

Ὁ Γέρων ἀπήντησεν:

—Ἐὰν ἔχῃς καιρόν, εἰς τρεῖς ἡμέρας νὰ προσευχηθῇς τρεῖς φοράς. Ἐὰν ὅμως ὑπάρχῃ κάποια βία, ποὺ νὰ ὁμοιάζῃ μὲ τὴν ὥραν τῆς παραδόσεως τοῦ Σωτῆρος, πρᾶγμα πάρα πολὺ σπάνιον νὰ συμβῇ, ἔχε ὡς παράδειγμα τὸν ἴδιον τὸν Χριστόν, ποὺ διὰ τρίτην φοράν, κατὰ τὴν ἰδίαν στιγμήν, ἀπεχώρησε διὰ νὰ προσευχηθῇ καὶ ἐπανέλαβε τὸ ἴδιον πρᾶγμα, χωρὶς ὡστόσον νὰ εἰσακουσθῇ, κατὰ τὸ φαινόμενον, ἐπειδὴ ἔπρεπεν ὁπωσδήποτε νὰ γίνουν ὅσα ἀπετέλουν τὴν θείαν οἰκονομίαν. Μὲ αὐτὸ μᾶς διδάσκει ὁ Κύριος νὰ μὴ λυπούμεθα, ὅταν προσευχώμεθα καί, πρὸς τὸ παρόν, δὲν εἰσακουόμεθα, διότι Αὐτὸς γνωρίζει περισσότερον ἀπὸ ἡμᾶς τὸ συμφέρον. Ἡμεῖς λοιπὸν ἂς μὴ ἀπομακρυνθῶμεν τῆς εὐχαριστίας (πρὸς τὸν Θεὸν) καὶ θὰ σωθῶμεν.

ζ΄ Εἶπεν ὁ ἀδελφός:

—Ἐὰν μετὰ τὴν προσευχὴν ἀργήσῃ νὰ ἔλθῃ ἡ πληροφορία τί πρέπει νὰ κάνω; Ἐὰν δὲ καὶ ἐξ ἰδικῆς μου ὑπαιτιότητος συμβαίνῃ αὐτὴ ἡ ἀργοπορία καὶ δὲν ἠμπορῶ νὰ τὸ ἀντιληφθῶ πῶς θὰ τὸ καταλάβω αὐτό;

Ὁ Γέρων ἀπήντησεν:

—Ἐὰν προσευχηθῇς τρεῖς φορὰς καὶ μετὰ τὴν τρίτην φορὰν δὲν ἔλθῃ εἰς τὴν ψυχήν σου ἡ πληροφορία, τότε θὰ πρέπει νὰ μάθῃς, ὅτι ἡ αἰτία προέρχεται ἀπὸ σένα· καὶ ἐὰν ἀκόμη δὲν σοῦ φανερωθῇ τὸ σφάλμα σὺ νὰ κατηγορήσῃς τὸν ἑαυτόν σου, καὶ ὁ Θεὸς θὰ σὲ ἐλεήσῃ.

η΄ Εἶπεν ὁ ἀδελφός.

—Ὅταν κανεὶς ἐρωτᾷ τοὺς Πατέρας καὶ δέχεται παρ' αὐτῶν συμ-

βουλάς, ἄραγε, πόσας ὀφείλει νὰ ἐκτελέση, χωρὶς νὰ παραβῇ καμμίαν;

Ἀπεκρίθη ὁ Γέρων.

—Ἀσφαλῶς δὲν ἔχει ὑποχρέωσιν νὰ ἐκτελῇ ὅλας τὰς συμβουλάς, ἀλλὰ μόνον ἐκείνας ποὺ δίδονται εἰς τὸν ἐρωτῶντα ὡς ἐντολαί. Διότι ἄλλο εἶναι ἁπλῆ κατὰ Θεὸν συμβουλή, καὶ ἄλλο ἡ ἐντολή· ἡ μὲν συμβουλὴ δηλαδὴ εἶναι νουθεσία χωρὶς ἀναγκασμόν, ὑποδεικνύουσα εἰς τὸν ἄνθρωπον τὴν εὐθεῖαν ὁδὸν τῆς ζωῆς, ἐνῷ ἡ ἐντολὴ τοποθετεῖται ἐπάνω του ὡς ζυγός, καὶ ἀπαιτεῖται ἀπὸ αὐτὸν ποὺ δέχεται τὴν ἐντολὴν νὰ τὴν βαστάση ἀπαραιτήτως καὶ νὰ τὴν ἐκτελέση.

θ΄ Εἶπεν ὁ ἀδελφός.

— Πάτερ, μοῦ ἔκαμες λόγον διὰ τὴν διαφορὰν τῆς ἐντολῆς καὶ τῆς κατὰ Θεὸν συμβουλῆς· ξεκαθάρισέ μου λοιπόν, σὲ παρακαλῶ τώρα, τὰ σύμβολα καὶ τὰ γνωρίσματα τῆς κάθε μιᾶς καὶ ποία εἶναι ἡ δύναμις κάθε μιᾶς ἐξ αὐτῶν.

Ἀπεκρίθη ὁ γέρων:

—Ἐὰν ἔρχεσαι ὁ ἴδιος εἰς πνευματικὸν Πατέρα, νὰ τὸν ἐρωτήσης διὰ μίαν ὑπόθεσιν, ὄχι διὰ νὰ λάβης ἐντολήν, ἀλλὰ νὰ ἀκούσης κατὰ Θεὸν συμβουλήν, καὶ σοῦ εἶπεν ὁ πνευματικὸς Πατὴρ αὐτὸ πρέπει νὰ κάνης, ἔχεις ὑποχρέωσιν καὶ αὐτὸ ὁπωσδήποτε νὰ φυλάξης, ἔστω καὶ ἐὰν κατὰ τὴν ἐκτέλεσιν δοκιμάσης θλῖψιν, ὁπόταν δὲν πρέπει νὰ ταραχθῇς· διότι γίνεται πρὸς τὸ συμφέρον σου. Ἐὰν πάλιν δὲν θελήσης νὰ ἐφαρμόσης τὴν συμβουλήν, ποὺ σοῦ ὑπέδειξεν ὁ πνευματικὸς Πατήρ, δὲν θεωρεῖσαι μὲν ὅτι παραβαίνεις ἐντολήν, διότι δὲν ἔλαβες ὡς ἐντολὴν αὐτὸ ποὺ ἤκουσες, ἀλλὰ πάντως παραβλέπεις τὸ συμφέρον σου· καὶ δι᾽ αὐτὸ ὀφείλεις νὰ κατηγορῇς τὸν ἑαυτόν σου. Διότι πρέπει νὰ πιστεύης ὅτι ὅσα ἐξέρχονται ἀπὸ τὸ στόμα τῶν ἁγίων, εἶναι πρὸς τὸ συμφέρον αὐτῶν, ποὺ τὰ ἀκούουν.

Τὸ ἴδιον δὲ εἶναι, ἔστω καὶ ἐὰν δὲν ἐρωτήσης σὺ καθόλου, ἀλλὰ σὲ συνεβούλευσεν ἀφ᾽ ἑαυτοῦ του ὁ Γέρων, φωτιζόμενος ἀπὸ θεοκίνητον λογισμόν· πρᾶγμα τὸ ὁποῖον κάποτε συνέβη. Κάποτε, δηλαδή, κάποιος ἀδελφὸς ἐσχεδίαζε, κατὰ νοῦν, νὰ εἰσέλθη εἰς τὴν πόλιν· ἕνας Γέρων Πνευματικὸς ἀφ᾽ ἑαυτοῦ εἶπεν εἰς αὐτόν· ὅτι ἐὰν εἰσέλθης εἰς τὴν πόλιν, θὰ πέσης εἰς τὴν πορνείαν. Ὁ ἀδελφὸς παρήκουσε τὸν Γέροντα καὶ εἰσῆλθεν, ὁπόταν ἔπεσε, πράγματι, εἰς πορνείαν. Ἐὰν ὅμως ἐρωτᾷς περὶ ὑποθέσεως ἐπιθυμῶν νὰ λάβης εἰδικὴν ἐντολὴν ἀπὸ τὸν Πνευματικόν, τότε ὀφείλεις νὰ βάλης μετάνοιαν, διὰ νὰ σὲ εὐλογήση ἐκεῖνος ποὺ σοῦ ἔδωσε τὴν ἐντολήν, καὶ νὰ τοῦ εἴπης συγχρόνως· «Πάτερ μου, εὐλόγησε καὶ ἐμένα, ἐπάνω ἀπὸ τὴν ἐντολήν, καὶ δῶσε μου τὴν εὐχήν σου, διὰ νὰ τὴν φυλάξω».

Γνώριζε δέ, ἀδελφέ, ὅτι ὁ Γέρων ποὺ σοῦ δίδει τὴν ἐντολήν, δὲν τὴν δίδει ἁπλῶς· ἀλλὰ σὲ βοηθεῖ μὲ τὴν δέησίν του καὶ τὰς προσευχάς του νὰ ἠμπορέσης νὰ τὴν φυλάξης. Ἐὰν δὲ ἀπὸ κακὴν σύμπτωσιν δὲν τοῦ βάλης μετάνοιαν, διὰ νὰ λάβης τὴν εὐλογίαν, μὴ νομίσης ὅτι ἡ ἐντολὴ εἶναι

ἀνεκτέλεστος (διότι καὶ ἔτσι παραμένει ἰσχυρά), ἀλλ' ἐδέχθης αὐτὴν δουλικῶς καὶ ἀπρεπῶς. Καὶ ἐὰν ἠμπορέσῃς, μὴ βαρεθῇς νὰ ἐπιστρέψῃς διὰ νὰ βάλῃς μετάνοιαν εἰς τὸν Πνευματικὸν καὶ νὰ ζητήσῃς τὴν εὐλογίαν του· ἐὰν πάλιν δὲν ἠμπορέσῃς νὰ τὸ κάνῃς αὐτό, νὰ θεωρῇς τὸν ἑαυτόν σου, ὅτι μὲ παραλείψεις ἐκ μέρους σου ἐδέχθης τὴν ἐντολήν.

ι´ Ὁ ἀδελφὸς ἠρώτησεν ἐκ νέου.

— Πάτερ, ἐὰν ἐγὼ ἐρωτήσω τὸν Γέροντα διὰ νὰ λάβω ἐντολήν, ὁ Γέρων ὅμως δὲν ἔχει σκοπὸν νὰ δώσῃ ἐντολήν, ἀλλ' ὅσα μοῦ εἴπῃ, τὰ λέγει ὡς συμβουλάς· ἢ καὶ τὸ ἀντίθετον· ἐγὼ μὲν δὲν ζητῶ νὰ λάβω ἐντολήν, ὁ Γέρων ὅμως δίδει εἰς ἐμὲ ἐντολήν, ἄραγε θεωρεῖται ὡς ἐντολὴ καὶ πρέπει ὁπωσδήποτε νὰ τὴν φυλάξω; Ὑπάρχουν δέ, ὡς γνωστόν, καὶ ἐκκλησιαστικοὶ κανόνες καὶ γνῶμαι Πατέρων γραμμέναι εἰς κείμενα· ἄραγε ὅλα αὐτὰ πρέπει νὰ τὰ θεωρῶμεν ὡς ἐντολήν, καὶ εἶναι ὁπωσδήποτε ἀνάγκη νὰ τὰ φυλάξωμεν;

Ἀπεκρίθη ὁ Γέρων.

—Ἐὰν ὁ Γέρων, τὸν ὁποῖον ἠρώτησες, δὲν εἶχε σκοπὸν νὰ δώσῃ ἐντολήν, τότε ὅσα σοῦ εἶπε δὲν θεωροῦνται ὡς ἐντολὴ διὰ σέ, ἔστω καὶ ἐὰν σὺ τὸ ἐζήτησες. Ἐὰν ὅμως ὁ Γέρων ὁ ἴδιος ἐσκέφθη νὰ σοῦ δώσῃ ἐντολήν, ἔστω καὶ ἂν σὺ δὲν τὸ ἐζήτησες, ὅσα σὲ συνεβούλευσεν ἀποτελοῦν ἐντολὴν καὶ εἶναι ἀνάγκη νὰ τὰ φυλάξῃς. Ἐκ τῶν ἐκκλησιαστικῶν κανόνων πρέπει νὰ δεχώμεθα ὡς ἐντολήν, μόνον ὅσους ἀναφέρονται εἰς δογματικὰ ζητήματα· ἐκ τῶν Πατερικῶν πάλιν γραπτῶν συμβουλῶν, ὅσαι διετυπώθησαν ὡς ἀποφάσεις, νὰ μὴ τὰς ἐφαρμόζῃς ἀβασανίστως, ἀλλὰ μόνον ἐφ' ὅσον ἐρωτήσῃς τοὺς Πνευματικοὺς Πατέρας καὶ τοὺς Γέροντας, καὶ διὰ τῆς γνώμης των βεβαιώσῃς τὸν λογισμόν σου, διότι εἶναι ἐνδεχόμενον νὰ μὴ ἀντιλαμβάνεσαι πάντοτε ὀρθῶς τὸ βαθύτερον νόημα τῶν Πατερικῶν κειμένων καὶ κανόνων. Διὰ τοῦτο πρέπει νὰ ἐρωτῶμεν τοὺς Γέροντας καὶ νὰ σεβώμεθα τὴν συμβουλήν των· νὰ δίδωμεν δὲ εἰς αὐτὸ μεγάλην προσοχήν, νὰ πειθαρχῶμεν καὶ νὰ φυλάττωμεν ὅσα ἠκούσαμεν, χωρὶς νὰ τὰ παραβαίνωμεν, μὲ τὴν βοήθειαν τοῦ φιλανθρώπου Θεοῦ καὶ τὰς εὐχὰς τῶν ἁγίων, ἀμήν.

ια´ Καὶ πάλιν εἶπεν ὁ ἀδελφός:

—Ἐὰν παραβῶ, κατὰ συνεργίαν τοῦ πειρασμοῦ, τὴν ἐντολήν, τί θὰ πρέπει νὰ κάνω;

Ὁ Γέρων ἀπήντησεν:

—Ἐὰν λάβῃς ἐντολὴν ἀπὸ κάποιον ἅγιον καὶ τὴν παραβῇς, μὴ θορυβηθῇς, οὔτε νὰ ἀπελπισθῇς καὶ νὰ σκεφθῇς νὰ τὴν καταργήσῃς, ἀλλὰ νὰ ἐνθυμηθῇς αὐτόν, ποὺ λέγει· «ὁ δίκαιος ἑπτὰ φορὰς τὴν ἡμέραν πίπτει καὶ σηκώνεται» (Παροιμ. κδ´ 16), ὅπως ἐπίσης καὶ τὸν Κύριον, ὁ ὁποῖος εἶπεν εἰς τὸν Πέτρον, πῶς «πρέπει νὰ συγχωρῇς τὸν ἀδελφόν σου ἕως ἑβδομῆντα φορὰς ἑπτὰ» (Ματθ. ιη´ 22). Ἐὰν λοιπὸν ὁ Θεὸς ἔδωσεν εἰς τοὺς ἀνθρώπους ἐντολὴν νὰ συγχωροῦν τόσας πολλὰς φοράς, πόσον μᾶλλον ὁ ἴδιος δὲν θὰ πράξῃ τὸ ἴδιον, ἐφ' ὅσον εἶναι πλούσιος

εἰς ἔλεος καὶ εὐσπλαγχνίαν καὶ ὑπερνικᾷ τὰ πάντα; Ὁ ἴδιος, ἄλλωστε, βοᾷ καθημερινῶς, διὰ τοῦ προφήτου του· «ἐπιστρέψατε πλησίον μου καὶ θὰ ἐπιστρέψω καὶ ἐγὼ κοντά σας· διότι εἶμαι ἐλεήμων καὶ δὲν ἐπιθυμῶ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ» καὶ τὰ λοιπά.

Πρόσεξε δὲ μὴ τυχόν, ἀκούσας ὅτι ἡ ἐντολὴ καταργεῖται διὰ τῆς παραβάσεως, ἀλλὰ καὶ πάλιν ἀναδεικνύεται ἰσχυρὰ διὰ τῆς μετανοίας, ἀδιαφορήσῃς καὶ πέσῃς εἰς ἀμέλειαν· διότι αὐτὸ θὰ εἶναι πολὺ βαρὺ πρᾶγμα. Ἀλλ' οὔτε καὶ εἰς ἐκεῖνα ποὺ φαίνονται μικρὰ μὴ καταφρονήσῃς τὴν ἐντολήν· ἐὰν δὲ γίνῃ καὶ κάποια παράλειψις εἰς αὐτά, φρόντισε νὰ διορθωθῇς, ἔχων ὑπ' ὄψιν σου, ὅτι ἀπὸ τὴν ἀδιαφορίαν εἰς τὰ μικρά, φθάνει κανεὶς καὶ εἰς τὰ μεγάλα σφάλματα.

ιβ´ Εἶπεν ὁ ἀδελφός:

— Μὲ παρακινεῖ ὁ λογισμὸς νὰ μὴ ἐρωτῶ τοὺς ἁγίους, μὴ τυχὸν μάθω τὸ ὀρθὸν καὶ ἔπειτα τὸ καταφρονήσω, διὰ τὴν ἀδυναμίαν μου, καὶ τοιουτοτρόπως ἁμαρτήσω.

Ὁ Γέρων ἀπήντησεν:

— Αὐτὸς ὁ λογισμός, εἶναι πάρα πολὺ φοβερὸς καὶ ὀλέθριος· μὴ τὸν ἀνεχθῇς λοιπόν. Διότι ἐὰν κανεὶς ἁμαρτήσῃ, ἀφοῦ μάθῃ τὸ ὀρθόν, τότε καταδικάζει τὸν ἑαυτόν του διὰ κάθε ἁμάρτημα. Ἐὰν δὲ δὲν μάθῃ τὸ ὀρθὸν καὶ ἁμαρτάνει, οὐδέποτε θὰ καταδικάσῃ τὸν ἑαυτόν του ὡς πταίοντα καὶ ὡς ἐκ τούτου θὰ παραμένουν ἀθεράπευτα τὰ πάθη του. Δι' αὐτὸ λοιπὸν ὁ διάβολος ὑποβάλλει εἰς τὸν ἄνθρωπον τοιαύτας σκέψεις, διὰ νὰ μείνῃ ἀθεράπευτος. Σὺ λοιπόν, ὅταν ὁ λογισμὸς αὐτὸς σοῦ ἐμβάλλῃ τὴν σκέψιν, ὅτι δῆθεν, ἐξ αἰτίας τῆς ἀνθρωπίνης ἀδυναμίας δὲν ἠμπορεῖς νὰ ἀκολουθήσῃς τὴν συμβουλὴν τοῦ Γέροντος, τότε νὰ ἐρωτᾷς τὸν Γέροντα λέγων: Πάτερ, ἐπειδὴ θέλω νὰ κάμω αὐτό, εἰπέ μου, τί εἶναι τὸ συμφέρον; Καὶ γνωρίζω μέν, ὅτι καὶ ἂν μὲ συμβουλεύσῃς δὲν ἠμπορῶ νὰ ἐκτελέσω καὶ νὰ διαφυλάξω τὸν λόγον σου, ἀλλὰ δι' αὐτὸ καὶ μόνον θέλω νὰ μάθω, διὰ νὰ κατηγορῶ τὸν ἑαυτόν μου, ὅτι παρέβλεψα τὸ συμφέρον. Ἡ ὁμολογία δὲ αὐτὴ εἶναι καὶ ταπείνωσις διὰ σέ. Εἴθε λοιπὸν ὁ Κύριος νὰ φωτίσῃ τὴν καρδίαν σου, ὥστε νὰ ἀκούσῃς καὶ νὰ φυλάξῃς διὰ τῶν εὐχῶν τῶν ἁγίων, ἀμήν.

ιγ´ Καὶ πάλιν ὁ ἀδελφὸς ἠρώτησε:

— Πάτερ, εἰπέ μου, πῶς ὁσάκις καταπιέζομαι ἀπὸ τοὺς λογισμοὺς καὶ παρακαλῶ τοὺς Γέροντας νὰ προσευχηθοῦν δι' ἐμέ, καὶ ἀκούω αὐτὰ ποὺ μοῦ λέγουν, ἀμέσως ἀναπαύεται ἡ ψυχή μου;

Ὁ Γέρων ἀπήντησεν:

— Ὅταν τὸ πλοῖον κινδυνεύῃ ἀπὸ τὰ κύματα ἐὰν ἔχῃ ἱκανὸν κυβερνήτην, αὐτός, διὰ τῆς ὑπὸ τοῦ Θεοῦ δοθείσης εἰς αὐτὸν σοφίας, σώζει τὸ πλοῖον· καὶ ὅταν σωθῇ τὸ πλοῖον, ὁ ἐπιβάτης εὐφραίνεται. Ἀλλὰ καὶ ὁ ἄρρωστος δὲν χαροποιεῖται ὀλιγώτερον ἀπὸ τὴν ἐνθύμησιν τοῦ ἰατροῦ, πρὸ παντὸς ἀπὸ αὐτὴν καθ' ἑαυτὴν τὴν ἰατρικὴν ἐνέργειαν. Ἀλλὰ καὶ αὐτὸς ὁ ὁποῖος κινδυνεύει, κατὰ τὴν ὁδοιπορίαν του, ἀπὸ ληστάς, ἑτοί-

μους νὰ τοῦ ἐπιτεθῶσιν, δὲν ἐνδυναμώνεται ἀπὸ τὴν φωνὴν τῶν στρατιωτῶν - φυλάκων, πολὺ δὲ περισσότερον ἀπὸ τὴν παρουσίαν των; Ἐὰν λοιπὸν ἔτσι ἔχουν τὰ πράγματα, ἄραγε πόσην χαρὰν καὶ ἀσφάλειαν ἔχει τὴν δύναμιν νὰ παρέχῃ ἡ συμβουλὴ τῶν Πατέρων εἰς τὸν καθένα ποὺ τὴν ἀκούει, ὅταν μάλιστα συνδυάζεται μὲ ἔντονον καὶ θερμὴν προσευχὴν πρὸς τὸν εἰπόντα Θεὸν «προσευχηθῆτε ὁ ἕνας διὰ τὸν ἄλλον, διὰ νὰ θεραπευθῆτε» (Ἰακώβ. ε΄, 16), καὶ ὅταν κάμνοντες προσωπικὸν τὸ πάθος τοῦ ἰδίου αὐτῶν μέλους, κράζουν πρὸς τὸν Ἰησοῦν τὸν κοινόν των Δεσπότην, λέγοντες πρὸς Αὐτόν, μὲ γλυκύτατα δάκρυα «ἐπιστάτα, σῶσε μας, χανόμεθα»; (Λουκ. η΄, 24).

Ἐφ' ὅσον λοιπὸν ἔχει τόσην δύναμιν ἡ δέησις τοῦ δικαίου, ὅταν γίνεται μὲ θέρμην καὶ ζῆλον, ὅπως λέγει ἡ Ἁγία Γραφή, ἂς μὴ ἀμελήσωμεν νὰ παρακαλέσωμεν τοὺς δικαίους νὰ προσευχηθοῦν δι' ἡμᾶς. Διότι καὶ ἂν ἀκόμη ἡμεῖς εἴμεθα ἀνάξιοι, ὁ καλὸς ἡμῶν Δεσπότης ἐκτιμᾷ τὸ πρόσωπον τῶν δούλων του, ὅπως ἤδη πολλὰς φορὰς τὸ ἔκαμε, καὶ μᾶς ἐλεεῖ. Διότι λέγει ἡ Γραφή: «ὁ Κύριος ἐκτελεῖ τὴν θέλησιν αὐτῶν ποὺ τὸν σέβονται» (Ψαλμ. ρμδ΄, 19) «ἔκραξαν ἀπὸ τὰ βάθη τῆς ψυχῆς των οἱ δίκαιοι καὶ ὁ Κύριος τοὺς εἰσήκουσε» (Ψαλμ. λγ΄, 18).

Ἀδελφέ, πολλὰς φορὰς οἱ λησταὶ ἔφυγαν, μόλις ἤκουσαν τὴν φωνὴν τῶν δυνατωτέρων των. Τὸ ἴδιον λοιπὸν συμβαίνει καὶ μὲ τοὺς νοητοὺς λῃστάς, ὅταν ἀκούουν τὴν φωνὴν τῶν δυνατωτέρων εἰς τὰ χαρίσματα τοῦ Ἁγίου Πνεύματος, οἱ ὁποῖοι ἤκουσαν ἀπὸ τὸν Δεσπότην καὶ προστάτην των Ἰησοῦν «ἔχετε θάρρος, ἐγὼ ἐνίκησα τὸν κόσμον» (Ἰωάν. ιστ΄, 33) καὶ «Ἰδοὺ δίδω εἰς σᾶς τὴν δύναμιν νὰ πατῆτε ἐπάνω εἰς ὄφεις καὶ σκορπιοὺς καὶ ἐπάνω εἰς ὅλην τὴν δύναμιν τοῦ ἐχθροῦ, χωρὶς καθόλου νὰ ἠμποροῦν νὰ σᾶς βλάψουν» (Λουκ. ι΄, 19)· φεύγουν τότε τρομαγμένοι καὶ ἐντροπιασμένοι.

Ἂς παρακαλέσωμεν λοιπὸν τοὺς ἁγίους νὰ προσευχηθοῦν δι' ἡμᾶς καὶ ἂς τοὺς κάμωμεν ἰδικούς μας προστάτας· διότι ἡ ὠφέλειά μας θὰ εἶναι μεγάλη.

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ποιμήν· εἰς ὃν ἡ καρδία σου οὐ πληροφορεῖται, μὴ πιστεύσῃς αὐτῷ τὴν συνείδησίν σου.

2. Ἀδελφός τις ἐμπεσὼν εἰς ἁμαρτίαν μεγάλην, παρέβαλε τῷ Ἀββᾷ Λώτ· καὶ ἀγωνιῶν ἐταράσσετο εἰσερχόμενος καὶ ἐξερχόμενος, καὶ μὴ δυνάμενος καθίσαι· καὶ λέγει αὐτῷ ὁ γέρων· τί ἔχεις, ἀδελφέ; ὁ δὲ εἶπεν· ἁμαρτίαν μεγάλην ἐποίησα, καὶ οὐ δύναμαι αὐτὴν ἐξειπεῖν· ὁ δὲ γέρων φησὶ πρὸς αὐτόν· ὁμολόγησόν μοι αὐτήν, κἀγὼ βαστάζω αὐτήν. Τότε ὁ ἀδελφός, καταβαλὼν εἰς ἔδαφος ἑαυτόν, εἶπεν· εἰς πορνείαν ἔπεσον, καὶ ἔθυσα τοῦ τυχεῖν τοῦ πράγματος. Ὁ δὲ γέρων, δοὺς αὐτῷ χεῖρα καὶ ἀναστήσας, λέγει πρὸς αὐτόν· θ ά ρ σ ε ι, ὅ τ ι ἔ σ τ ι μ ε τ ά ν ο ι α· ὕπαγε κάθου εἰς τὸ σπήλαιον καὶ νήστευε δύο δύο, κἀγὼ βαστάζω μετὰ σοῦ τὸ ἥμισυ τῆς ἁμαρτίας. Ἀπελθόντος οὖν τοῦ ἀδελφοῦ καὶ ποιοῦντος ὡς προσέ-

ταξεν αὐτῷ ὁ γέρων, τριῶν ἑβδομάδων διελθουσῶν, ἐπληροφορήθη ὁ γέρων ὅτι ἐδέξατο ὁ Θεὸς τὴν δέησιν αὐτοῦ καὶ μετάνοιαν τοῦ ἀδελφοῦ καὶ ἀφῆκεν αὐτῷ τὸ ἁμάρτημα· καὶ καλέσας τὸν ἀδελφόν, ἀνήγγειλεν αὐτῷ τὸ τοῦ Θεοῦ ἔλεος· καὶ ἔμειγεν ὁ ἀδελφὸς ὑποτασσόμενος τῷ γέροντι ἕως θανάτου αὐτοῦ.

3. Ἦλθέ ποτε ἀδελφὸς πρὸς τὸν Ἀββᾶν Ποιμένα· καὶ λέγει αὐτῷ· τί ποιήσω, πάτερ, ὅτι θλίβομαι ὑπὸ τῆς πορνείας; καὶ ἰδοὺ ἀπῆλθον πρὸς τὸν Ἀββᾶν Ἰβιστίωνα καὶ εἶπέ μοι· οὐκ ὀφείλεις ἐᾶσαι αὐτὴν χρονίζειν ἐπὶ σέ· καὶ ἀπεκρίθη αὐτῷ ὁ Ἀββᾶς Ποιμήν· τοῦ Ἀββᾶ Ἰβιστίωνος αἱ πράξεις ἄνω μετὰ τῶν Ἀγγέλων εἰσί, καὶ λανθάνει αὐτόν· ὅτι ἐγὼ καὶ σὺ ἐν τῇ πορνείᾳ ἐσμέν· γίνωσκε οὖν ὅτι ἐὰν κρατήσῃ ὁ Μοναχὸς τὴν κοιλίαν, καὶ τὴν γλῶσσαν, καὶ τὴν ξενιτείαν, θάρσει, οὐκ ἀποθνήσκει.

4. Ἀδελφός τις ὑπὸ τῆς πορνείας ὀχλούμενος, ἀπῆλθε πρός τινα γέροντα μέγαν· καὶ ἀναγγείλας τὸν λογισμὸν αὐτοῦ, παρεκάλει τὸν γέροντα εὔχεσθαι ὑπὲρ αὐτοῦ· ὁ δὲ γέρων ἐδεήθη τοῦ Θεοῦ ὑπὲρ αὐτοῦ. Ὑποστρέψας οὖν ὁ ἀδελφός, πάλιν ὠχλήθη· καὶ πάλιν ἔρχεται πρὸς τὸν γέροντα· καὶ ἐξαγορεύσας ὁμοίως παρεκάλει τὸν γέροντα εὔξασθαι ὑπὲρ αὐτοῦ· ὁ δὲ συνέθετο καὶ παρεκάλει τὸν Θεὸν λέγων· Κύριε, ἀποκάλυψόν μοι τὸ κάθισμα τοῦ ἀδελφοῦ τούτου καὶ πόθεν ἡ ἐνέργεια αὕτη· ὅτι παρεκάλεσά σε καὶ οὐχ εὗρεν ἀνάπαυσιν.

Καὶ ἀπεκάλυψεν αὐτῷ ὁ Θεὸς τὰ κατὰ τὸν ἀδελφόν· καὶ εἶδεν αὐτὸν καθεζόμενον, καὶ τὸ πνεῦμα τῆς πορνείας ἐγγὺς αὐτοῦ· καὶ Ἄγγελος Κυρίου ἵστατο πεμφθεὶς αὐτῷ πρὸς βοήθειαν· ὃς καὶ ὠργίζετο τῷ ἀδελφῷ, ὅτι μὴ ἐπέρριπτεν ἑαυτὸν πρὸς τὸν Θεόν, ἤτοι ὅτι μὴ διὰ προσευχῆς κατὰ τῶν λογισμῶν ἠγωνίζετο, ἀλλ' ἡδόμενος τοῖς λογισμοῖς ὅλον ἑαυτοῦ τὸν νοῦν προεδίδου τῇ ἐνεργείᾳ. Ἔγνω οὖν ὁ γέρων, ὅτι ἡ αἰτία ἐκ τοῦ ἀδελφοῦ ἐστι· καὶ ἀνήγγειλεν αὐτῷ εἰπών· ὅτι σὺ εἶ ὁ αἴτιος τοῦ μὴ ἀποστῆναι τὸν πόλεμον· ὅτι συγκατατίθῃ, καὶ ἐνηδύνῃ τοῖς λογισμοῖς. Εἶτα ἐδίδαξεν αὐτὸν πῶς δεῖ ἀντιστῆναι τοῖς λογισμοῖς, διὰ προσευχῆς αὐτοὺς ἀπωθούμενον· καὶ ἀνανήψας ὁ ἀδελφὸς διὰ τῆς εὐχῆς καὶ διδαχῆς τοῦ γέροντος, εὗρεν ἀνάπαυσιν.

5. Ἀδελφὸς πολεμούμενος εἰς πορνείαν παρέβαλε γέροντι· καὶ παρεκάλεσεν αὐτὸν εὔξασθαι ὑπὲρ αὐτοῦ, ἵνα κουφισθῇ ὁ πόλεμος ἀπ' αὐτοῦ· ὁ δὲ κατένευσε· καὶ παρεκάλεσεν ὁ γέρων ὑπὲρ τοῦ ἀδελφοῦ ἡμέρας ἑπτά. Τῇ οὖν ἑβδόμῃ ἡμέρᾳ ἠρώτησε τὸν ἀδελφὸν λέγων· πῶς ὁ πόλεμος, ἀδελφέ; ἀπεκρίθη ἐκεῖνος· κακῶς· φύσει οὐκ ᾐσθόμην ὅλως κουφισμοῦ· καὶ ἀκούσας ὁ γέρων ἐξενίσθη καὶ παρεκάλεσε τὸν Θεὸν ἀποκαλύψαι αὐτῷ δι' ἣν αἰτίαν οὐκ ἐκουφίσθη ὁ ἀδελφός· καὶ ὤφθη αὐτῷ ὁ σατανᾶς ἐν τῇ νυκτί, καὶ εἶπε· πίστευσον, γέρον, ἀπὸ πρώτης ἡμέρας, ἀφ' ἧς ἤρξω δέεσθαι τοῦ Θεοῦ, ἀνεχώρησα ἐξ αὐτοῦ· ἀλλ' ἴδιον δαίμονα ἔχει καὶ ἴδιον πόλεμον ἐκ τῆς γούλας αὐτοῦ· ἐπεὶ ἐγὼ πρᾶγμα οὐκ ἔχω εἰς τὸν πόλεμον αὐτοῦ, ἀλλ' αὐτὸς ἑαυτὸν πολεμεῖ, τρώγων καὶ πίνων, καὶ κοιμώμενος πολλά· ἤγουν ἄχρι κόρου, ἢ καὶ ὑπὲρ κόρον.

6. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· ἐὰν ἔλθῃ μοι θλῖψις, καὶ μὴ ἔχω εἴς τινα πληροφορίαν τοῦ ἀναγγεῖλαι, τί ποιήσω; καὶ ἀπεκρίθη ὁ γέρων· πιστεύω τῷ Θεῷ ὅτι πέμπει τὴν χάριν αὐτοῦ καὶ βοηθεῖ σοι, ἐὰν ἐν ἀληθείᾳ δεηθῇς αὐτοῦ.

Ἦν γάρ τις ἐν τῇ σκήτει ἀγωνιστής, ὃς ἀκούσας τινά, καὶ λαβὼν λογισμούς, καὶ μὴ δυνάμενος αὐτοὺς ἀναγγεῖλαι διὰ τὸ μὴ ἔχειν πληροφορίαν πρός τινα, ἡτοίμασε τὸ μηλωτάριον αὐτοῦ ἀναχωρῆσαι· καὶ ἰδοὺ ἐφάνη αὐτῷ ἡ χάρις τοῦ Θεοῦ ὡς παρθένος, καὶ παρεκάλεσεν αὐτὸν λέγουσα· μηδαμοῦ ἀπέλθῃς, ἀλλὰ κάθου ὧδε μετ' ἐμοῦ· ἴσθι δὲ ὅτι οὐδὲν γέγονεν κακόν, ὧν ἤκουσας· ὁ δὲ πεισθεὶς ἐκάθισε· καὶ εὐθέως ἐθεραπεύθη ἡ καρδία αὐτοῦ.

Ἑ ρ μ η ν ε ί α

Ο ΑΒΒΑΣ ΠΟΙΜΗΝ εἶπε: Νὰ μὴ ἐμπιστευθῇς ποτὲ τὴν συνείδησίν σου εἰς ἐκεῖνον, διὰ τὸν ὁποῖον ἡ καρδία σου δὲν πληροφορεῖται ὑπὸ τῆς Χάριτος.

2. Κάποτε ἕνας ἀδελφὸς ὁ ὁποῖος περιέπεσεν εἰς μεγάλην ἁμαρτίαν ἦλθεν εἰς τὸν Ἀββᾶν Λώτ. Κατείχετο δὲ ἀπὸ ἀγωνίαν καὶ ταραχὴν καὶ διαρκῶς εἰσήρχετο καὶ ἐξήρχετο, χωρὶς νὰ δύναται νὰ καθίσῃ. Βλέπων ὁ Γέρων τὴν ταραχὴν τοῦ Μοναχοῦ τοῦ λέγει:

— Τί ἔχεις, ἀδελφέ;

— Διέπραξα μίαν μεγάλην ἁμαρτίαν καὶ δὲν ἠμπορῶ νὰ τὴν ὁμολογήσω, ἀπήντησεν ὁ Μοναχός.

—Ὁμολόγησέ την, τοῦ εἶπε πάλιν ὁ Γέρων, καὶ ἐγὼ θὰ τὴν σηκώσω.

Τότε ὁ Μοναχὸς ἔπεσεν εἰς τὸ ἔδαφος καὶ εἶπεν εἰς τὸν Ἀββᾶν Λώτ.

—Ἔπεσα εἰς πορνείαν καὶ ἔκαμα τὸ πᾶν διὰ νὰ πραγματοποιήσω αὐτὴν τὴν ἁμαρτίαν.

Ἀφοῦ ἤκουσε τὴν ἐξομολόγησιν ὁ Γέρων, τοῦ ἔδωσε τὸ χέρι του καὶ ἀφοῦ τὸν ἐσήκωσε τοῦ λέγει:

—Ἔχε θάρρος, τέκνον μου, διότι ὑπάρχει μετάνοια. Πήγαινε εἰς τὸ σπήλαιον, κάθισε κλεισμένος μέσα καὶ νήστευε ἀνὰ δύο συνεχεῖς ἡμέρας καὶ ἐγὼ θὰ σηκώσω μαζί σου τὸ μισὸ φορτίον τῆς ἁμαρτίας.

Ἀφοῦ λοιπὸν ὁ ἀδελφὸς μετέβη πράγματι εἰς τὸν τόπον τῆς μετανοίας καὶ ἔκαμεν ὅπως τὸν διέταξεν ὁ Γέρων, ἐπέρασε διάστημα τριῶν ἑβδομάδων, καὶ ὁ Ἀββᾶς Λὼτ ἐπληροφορήθη ὅτι ὁ Θεὸς ἐδέχθη καὶ τὴν ἰδικήν του δέησιν καὶ τὴν μετάνοιαν τοῦ Μοναχοῦ καὶ τοῦ συνεχώρησε τὸ ἁμάρτημα. Ἀμέσως τότε ἐκάλεσε τὸν ἀδελφὸν καὶ τοῦ ἐφανέρωσε τὸ ἔλεος τοῦ Θεοῦ. Ἔκτοτε ὁ ἀδελφὸς παρέμεινεν ὑποτασσόμενος εἰς τὸν Γέροντα μέχρι τοῦ θανάτου του.

3. Κάποτε ἐπεσκέφθη ἕνας Μοναχὸς τὸν Ἀββᾶν Ποιμένα καὶ τοῦ λέγει:

— Πάτερ, τί νὰ κάνω, διότι ἐνοχλοῦμαι πολὺ ἀπὸ λογισμοὺς πορνείας; Μετέβην πρὸς τὸν Ἀββᾶν Ἰβιστίωνα, ὁ ὁποῖος μοῦ εἶπε· δὲν πρέπει νὰ ἀφήσῃς τοὺς πορνικοὺς αὐτοὺς λογισμοὺς νὰ χρονίσουν εἰς τὴν ψυχήν σου.

Ὁ Ἀββᾶς Ποιμὴν τοῦ ἀπήντησεν·

— Αἱ πράξεις τοῦ Ἀββᾶ Ἰβιστίωνος εἶναι ἀνάλογοι μὲ τῶν Ἀγγέλων εἰς τὸν οὐρανὸν καὶ λησμονεῖ ὅτι ἐγὼ καὶ σὺ εἴμεθα ἀδύνατοι καὶ ἐνοχλούμεθα πάντοτε ἀπὸ πορνικοὺς λογισμούς. Μάθε λοιπόν, τέκνον μου, ὅτι ἐὰν ὁ Μοναχὸς κρατήσῃ τὴν κοιλίαν του, καὶ τὴν γλῶσσαν του καὶ τὴν ξενιτείαν, ἔχε θάρρος, δὲν ἀποθνήσκει.

4. Ἕνας Μοναχὸς ἠνωχλεῖτο ὑπὸ τῆς πορνείας. Μετέβη λοιπὸν πρὸς ἕνα μεγάλον καὶ ὀνομαστὸν Γέροντα καὶ ἀφοῦ ἐξωμολογήθη τὸν λογισμόν του, παρεκάλει τὸν Γέροντα νὰ προσεύχεται δι' αὐτόν.

Ὅταν ὁ Μοναχὸς ἐπέστρεψεν εἰς τὸ κελλίον του, ἠνωχλήθη καὶ πάλιν. Καὶ πάλιν ἔρχεται εἰς τὸν Γέροντα, ἐξωμολογήθη ἐκ νέου καὶ τὸν παρεκάλει νὰ προσευχηθῇ δι' αὐτόν. Ὁ Γέρων συνεφώνησε καὶ ἤρχισε μετὰ θέρμης νὰ παρακαλῇ ἐκ νέου τὸν Θεόν. Μεταξὺ ἄλλων ἔλεγεν εἰς τὴν προσευχήν του· Κύριε, φανέρωσέ μου πῶς ἀντιμετωπίζει τὸν πειρασμὸν ὁ ἀδελφὸς αὐτὸς καὶ ποῦ ὀφείλεται ἡ παρατεινομένη κατ' αὐτοῦ διαβολικὴ ἐνέργεια· διότι σὲ παρεκάλεσα θερμῶς καὶ δὲν εὗρεν ἀνάπαυσιν.

Καὶ πράγματι ὁ Θεὸς τοῦ ἐφανέρωσε τὴν ζωὴν τοῦ ἀδελφοῦ. Τὸν εἶδε νὰ κάθεται καὶ νὰ εὑρίσκεται κοντά του τὸ δαιμόνιον τῆς πορνείας· πλησίον του εὑρίσκετο καὶ Ἄγγελος Κυρίου, ὅστις ἐστάλη πρὸς βοήθειάν του. Καὶ ὁ Ἄγγελος ὠργίζετο ἐναντίον τοῦ ἀδελφοῦ, διότι δὲν ἐστηρίζετο ἐξ ὁλοκλήρου εἰς τὴν βοήθειαν τοῦ Θεοῦ· δηλαδὴ δὲν ἠγωνίζετο νὰ ἀποκρούσῃ τοὺς ἀκαθάρτους λογισμούς, μετὰ θερμῆς προσευχῆς· ἀπ' ἐναντίας ηὐχαριστεῖτο ἀπὸ τοὺς λογισμοὺς αὐτοὺς καὶ παρέδιδεν ὅλον τὸν νοῦν του εἰς τὴν ἐνέργειαν τῶν ἀκαθάρτων αὐτῶν λογισμῶν. Ἀμέσως λοιπὸν ὁ Γέρων ἀντελήφθη, ὅτι ἡ αἰτία προήρχετο ἀπὸ τὸν Μοναχόν. Τὸν ἐκάλεσε καὶ τοῦ τὸ ἐγνωστοποίησε. Σὺ εἶσαι ὁ αἴτιος — τοῦ εἶπε — ποὺ δὲν ἔφυγεν ἀκόμη ὁ πόλεμος ἀπὸ σέ, διότι εὐχαριστεῖσαι ἀπὸ τοὺς λογισμοὺς καὶ συμφωνεῖς μαζί των. Ἐν συνεχείᾳ ὁ Γέρων τὸν ἐδίδαξε πῶς πρέπει νὰ ἀντιστέκεται εἰς τὰς ἐπιθέσεις τῶν λογισμῶν καὶ νὰ τοὺς ἀποδιώκῃ διὰ τῆς προσευχῆς. Ὁ Μοναχὸς ἀνένηψεν ἀπὸ τὴν διδασκαλίαν καὶ τὴν προσευχὴν τοῦ Γέροντος καὶ εὗρεν οὕτω τὴν ἀνάπαυσιν τῆς ψυχῆς του.

5. Ἕνας ἄλλος Μοναχὸς πολεμούμενος καὶ αὐτὸς ἀπὸ ἀκαθάρτους λογισμοὺς νὰ περιπέσῃ εἰς πορνείαν, ἦλθεν εἰς ἕνα Γέροντα καὶ τὸν παρεκάλεσε νὰ προσευχηθῇ δι' αὐτόν, διὰ νὰ μετριασθῇ ὁ ἐναντίον του πόλεμος. Ὁ Γέρων ἐδέχθη καὶ παρεκάλεσεν, ὑπὲρ αὐτοῦ, τὸν Θεὸν ἐπὶ ἑπτὰ ἡμέρας. Κατὰ τὴν ἑβδόμην λοιπὸν ἡμέραν ἠρώτησε τὸν ἀδελφόν:

—Ἀδελφέ, πῶς πηγαίνει ὁ πόλεμος;

— Πολὺ ἄσχημα, ἀπήντησεν ὁ Μοναχός· καμμίαν ἀνακούφισιν δὲν ἐδοκίμασα εἰς τὸν ἑαυτόν μου.

Μόλις ἤκουσεν αὐτὸ ὁ Γέρων παρεξενεύθη καὶ παρεκάλεσε τὸν Θεὸν νὰ τοῦ φανερώσῃ διὰ ποίαν αἰτίαν δὲν ὠλιγόστευσεν ὁ πόλεμος τοῦ ἀδελφοῦ. Τὴν νύκτα ἐμφανίζεται εἰς αὐτὸν ὁ σατανᾶς καὶ τοῦ εἶπε·

Γέροντα, σὲ βεβαιώνω, ὅτι ἀπὸ τὴν πρώτην ἡμέραν, ποὺ ἤρχισες νὰ παρακαλῇς τὸν Θεόν, ἀνεχώρησα ἀπὸ κοντά του. Αὐτὸς ὅμως ἔχει ἰδικόν του δαίμονα καὶ ἰδικόν του πόλεμον ἀπὸ τὴν λαιμαργίαν του· ἐγὼ δηλαδὴ δὲν ἔχω καμμίαν σχέσιν μὲ τὸν πόλεμόν του· ὁ ἴδιος πολεμεῖ τὸν ἑαυτόν του τρώγων καὶ πίνων καὶ κοιμώμενος πάρα πολύ. Δὲν χορταίνει ἁπλῶς, ἀλλὰ παραχορταίνει.

6. Ἕνας Μοναχὸς ἠρώτησεν ἕνα Γέροντα:

— Πάτερ, ἐὰν μοῦ ἔλθῃ κάποια στενοχωρία καὶ δὲν λαμβάνω πληροφορίαν διὰ κανένα, ὥστε νὰ τοῦ ἐμπιστευθῶ τὴν θλῖψιν μου, τί νὰ κάμω;

Ὁ Γέρων ἀπήντησε:

— Πιστεύω εἰς τὸν Θεόν, ὅτι θὰ ἀποστείλῃ τὴν Χάριν του νὰ σὲ βοηθήσῃ, ἐὰν πραγματικὰ τὸν παρακαλέσῃς. Ἄκουσε μίαν σχετικὴν ἱστορίαν. Κάποτε ἦτο εἰς μίαν σκήτην ἕνας ἀγωνιστής· αὐτὸς λοιπὸν ἤκουσε τοὺς λογισμοὺς κάποιου ἄλλου καὶ περιέπεσεν ὁ ἴδιος εἰς ἁμαρτωλοὺς λογισμούς. Ἐπειδὴ δὲ δὲν ἠδύνατο νὰ τοὺς ἐμπιστευθῇ πουθενά, διότι δὲν τὸν ἐπληροφόρει ἡ ψυχή του διὰ τὸ ἀξιόπιστον οὐδενὸς ἐκ τῶν γνωστῶν του, ἐπῆρε τὴν προβιά, ποὺ ἐχρησιμοποίει ὡς ἐπανωφόρι, καὶ ἡτοιμάζετο νὰ ἀναχωρήσῃ σὲ ἄλλο μέρος. Ἀλλ' ἰδοὺ ἐμφανίζεται ἐνώπιόν του ἡ Χάρις τοῦ Θεοῦ ὡς παρθένος καὶ τὸν συνεβούλευσεν ὡς ἑξῆς. Νὰ μὴν πᾶς πουθενά· ἀλλὰ κάθισε ἐδῶ, μαζί μου· μάθε δὲ πῶς δὲν ἔγινε κανένα κακό, ἀπὸ ὅσα ἤκουσες. Πράγματι ὁ Μοναχὸς ἐπείσθη εἰς τὴν θεόπεμπτον αὐτὴν συμβουλὴν καὶ ἐκάθησε καὶ ἀμέσως ἐθεραπεύθη ἡ καρδία του.

Ζ'. Τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· εἰ δεῖ περὶ πάντων τῶν φυομένων ἐν τῇ καρδίᾳ λογισμῶν ἐπερωτᾶν τοὺς γέροντας; καὶ ἀπεκρίθη ὁ γέρων· οὐ χρὴ περὶ πάντων ἐρωτᾶν τῶν φυομένων λογισμῶν· παρερχόμενοι γάρ εἰσιν· ἀλλὰ περὶ τῶν μενόντων καὶ πολεμούντων· ὡς γὰρ ἄνθρωπος ὑπὸ πολλῶν ὑβριζόμενος, καὶ καταφρονῶν τῶν ὕβρεων, γίνεται ἀμέριμνος ἀπ' αὐτῶν, εἰ δέ τις κατ' αὐτοῦ κινήσει ἢ πολεμήσει αὐτῷ, τότε αἰτιᾶται αὐτὸν πρὸς τὸν ἄρχοντα, ἤγουν προσελθὼν τῷ ἄρχοντι, ἐγκαλεῖ κατὰ τοῦ πολεμήσαντος αὐτῷ, οὕτως ἐστὶ καὶ ἐπὶ τῶν λογισμῶν· τοὺς πολεμοῦντας ἢ ἐγχρονίζοντας δεῖ ἐξαγγέλλειν τοῖς γέρουσιν. Ἔφη ὁ ἀδελφός· πόθεν μοι συμβαίνει τὸ καὶ μετὰ τὴν ἐρώτησιν κατακρίνειν ἄλλους; καὶ ἀπεκρίθη ὁ γέρων· τὸ κατακρίνειν καὶ μετὰ τὴν ἐρώτησιν ἄλλους συμβαίνει σοι, διὰ τὸ μὴ ἀποθανεῖν τὸ δικαίωμα ἀπὸ σοῦ· κατάκρινον σεαυτὸν καὶ ὑπάγει ἀπὸ σοῦ τὸ κατάκριμα εἰς ἄλλους.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἠρώτησεν ἕνα Γέροντα, λέγων:

— Πάτερ, δι' ὅλους τοὺς λογισμούς, ποὺ φυτρώνουν εἰς τὴν καρδίαν μου, πρέπει νὰ συμβουλεύωμαι τοὺς Γέροντας;


— Δὲν εἶναι ἀνάγκη — ἀπήντησεν ὁ Γέρων — νὰ ἐρωτᾷ κανεὶς δι' ὅλους τοὺς λογισμούς, ποὺ περνοῦν ἀπὸ τὴν καρδίαν, διότι παρέρχοται· νὰ ἐρωτᾷ καὶ νὰ συμβουλεύεται μόνον διὰ τοὺς λογισμούς, ποὺ παραμένουν καὶ πολεμοῦν. Ὅπως, παραδείγματος χάριν, ἕνας ἄνθρωπος ἠμπορεῖ νὰ ὑβρίζεται ἀπὸ πολλούς, ἀλλὰ περιφρονεῖ τὰς ὕβρεις καὶ δὲν ἐνδιαφέρεται δι' αὐτάς· ἐὰν ὅμως κάποιος ἐκ τῶν ὑβριστῶν του τὸν ἐνοχλήσῃ ἢ τὸν πολεμήσῃ, τότε τὸν καταγγέλλει εἰς τὸν ἄρχοντα, δηλαδὴ ἔρχεται εἰς τὸν ἄρχοντα καὶ ὑποβάλλει μήνυσιν κατὰ τοῦ πολεμήσαντος. Τὸ ἴδιον λοιπὸν συμβαίνει καὶ μὲ τοὺς λογισμούς. Πρέπει, δηλαδή, νὰ φανερώνωμεν εἰς τοὺς Πνευματικοὺς μόνον ἐκείνους ποὺ μᾶς πολεμοῦν ἢ παραμένουν εἰς τὴν ψυχήν μας πολὺ χρόνον.

Εἶπεν ὁ ἀδελφός:

—Ἀπὸ ποῦ μοῦ συμβαίνει νὰ κατακρίνω ἄλλους, μετὰ τὴν ἐρώτησιν;

— Τὸ ὅτι κατακρίνεις ἄλλους καὶ μετὰ τὴν ἐρώτησιν — ἀπήντησεν ὁ Γέρων — ὀφείλεται εἰς τὸ ὅτι δὲν ἀπέθανεν ἐντός σου ἡ διάθεσις τοῦ δικαιώματος· κατάκρινε τὸν ἑαυτόν σου καὶ ἡ καταδίκη θὰ μεταβῇ ἀπὸ σὲ εἰς ἄλλους.





ΥΠΟΘΕΣΙΣ ΚΒ'

Περὶ τοῦ ὅτι δεῖ ἐκτρέπεθαι τὰς συντυχίας τῶν ἀπροσέκτων ἀνθρώπων καὶ τοὺς θορύβους, καὶ ὅτι ἀναγκαία ἡ ἐκ τῶν κοσμικῶν ἀλλοτρίωσις τῷ σωθῆναι θέλοντι.

Περὶ τοῦ ὅτι ἐκεῖνος, ὁ ὁποῖος θέλει νὰ σωθῇ, πρέπει νὰ ἀποφεύγῃ τὰς συναναστροφὰς τῶν ἀπροσέκτων ἀνθρώπων, καὶ τοὺς θορύβους· εἶναι δὲ ἀναγκαία ἡ ἀποξένωσίς του ἀπὸ τὸν κόσμον δι' ἐκεῖνον ποὺ θέλει νὰ σωθῇ.



Α'. Παλλαδίου πρὸς Λαῦσον Πραιπόσιτον



ΕΥΓΕ ὅση σοι δύναμις συντυχίας ἀνδρῶν, οὐδὲν ὄφελος ἐχόντων, καὶ κοσμούντων μὲν τὸ δέρμα ἀκαταλλήλως, κἂν Μοναχοὶ ὦσι, μή τοι γε δὴ κοσμικοί, βλαπτόντων δὲ τῇ ὑποκρίσει τοὺς συντυγχάνοντας, κἂν δόξωσι πολιαῖς κεφαλῆς ἢ ρυτίσι προσώπου ἐπισύρεσθαι μῆκος χρόνου, κἂν γὰρ μηδὲν βλαβῇς παρ' αὐτῶν δι' εὐγένειαν τρόπων· τὸ γοῦν ἐλάχιστον εἶναι δοκοῦν τρώσει σε· καὶ χαυνωθεὶς κατ' αὐτῶν τὴν διάνοιαν, ἐπαρθήσῃ καταγελῶν τούτους· ὅπερ ἔσται σοι βλάβη εἰς ὑπερηφανίαν ἐμπεπτωκότι.

Ἑ ρ μ η ν ε ί α

ΝΑ ΑΠΟΦΕΥΓΗΣ, ὅσον δύνασαι, τὰς συναναστροφὰς ἀνδρῶν, οἱ ὁποῖοι εἰς τίποτε δὲν ἠμποροῦν νὰ σὲ ὠφελήσουν καὶ οἱ ὁποῖοι στολίζονται κατὰ τρόπον φιλάρεσκον· ἂν καὶ εἶναι Μοναχοὶ οὐδόλως διαφέρουν κατὰ τὴν συμπεριφορὰν ἀπὸ κοσμικούς. Διότι βλάπτουν, μὲ τὴν ὑποκρισίαν των, ὅσους συναναστρέφονται, ὅσον καὶ ἐὰν φαίνωνται, ἀπὸ τὰ λευκά των μαλλιὰ ἢ τὰς ρυτίδας τοῦ προσώπου, ὅτι εἶναι πολὺ γέροντες,

ἔστω καὶ ἐὰν δὲν βλαβῇς ἀπὸ αὐτοὺς ἐξ αἰτίας τῶν εὐγενικῶν τρόπων των. Καὶ διότι αὐτὸ ποὺ θεωρεῖται ἀσήμαντον καὶ ἐλάχιστον ἐσένα θὰ σὲ πληγώσῃ· ὁπότε θὰ χαλαρώσῃς τὴν προσοχὴν καὶ θὰ ὑπερηφανευθῇς περιγελῶν αὐτούς. Καὶ τοῦτο θὰ εἶναι ζημία διὰ σέ, διότι θὰ σὲ ὁδηγήσῃ εἰς τὴν ὑπερηφάνειαν.

Β'. Γρηγορίου τοῦ Διαλόγου

ΔΙΑΚΟΝΟΣ τις κατοικῶν ἐν τοῖς μέρεσι τῆς Νουρσίας πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον Φλωρέντιον τὸν ἀσκητὴν (ὃς ἀναχωρήσας ἐν ἡσυχίᾳ ἔζη) παρεγένετο, ἵνα ἑαυτὸν ταῖς ἐκείνου εὐχαῖς παράθηται. Εὗρεν οὖν ἔξω τοῦ κελλίου αὐτοῦ ὁ Διάκονος πλῆθος ἀμετρήτων ὄφεων, σχεδὸν πάντα τὸν ἐκεῖσε τόπον διαλαβόντων. Ἐκπλαγεὶς οὖν ἐπὶ τούτῳ, ἔκραξε λέγων· δοῦλε τοῦ Θεοῦ, εὔξαι· ἦν οὖν τότε κατὰ συγκυρίαν εὐδία θαυμαστή. Ἐξελθὼν δὲ ὁ Φλωρέντιος, καὶ ἰδὼν τὸ ἄπειρον πλῆθος τῶν ὄφεων, τοὺς ὀφθαλμοὺς καὶ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπάρας, ἐδέετο τοῦ Θεοῦ ὅπως τὸν λοιμὸν ἐκεῖνον, ὡς οἶδεν ὁ Κύριος, ἐπάρῃ. Αἴφνης οὖν δεομένου αὐτοῦ ὁ οὐρανὸς ἐβρόντησεν· ἡ δὲ βροντὴ πάντας τοὺς ὄφεις ἐκείνους ἐφόνευσεν· ἰδὼν δὲ αὐτοὺς ὁ Φλωρέντιος πάντας θανόντας, εἶπεν· ἰδού, Κύριε, τούτους ἐφόνευσας· τίς οὖν αὐτοὺς ἔνθεν ἐπάρῃ; εὐθέως δὲ ἐν τῷ λόγῳ αὐτοῦ τοσαῦτα ὄρνεα ἦλθον, ὅσοι ὄφεις πεφονευμένοι ὑπῆρχον· οὓς καὶ βαστάσαντα, μήκοθεν ἔρριψαν καὶ τὸν τόπον ἐκεῖνον πάντα ἐκάθηραν.

Ἑρμηνεία

ΕΝΑΣ ΔΙΑΚΟΝΟΣ, ὁ ὁποῖος κατῴκει εἰς τὰ μέρη τῆς Νουρσίας,* ἦλθε μίαν ἡμέραν εἰς τὸν Φλωρέντιον, τὸν ἄνθρωπον τοῦ Θεοῦ (ὁ ὁποῖος ἐγκατέλειψε τὸν κόσμον καὶ ἔζη ὡς ἡσυχαστής), διὰ νὰ ἐμπιστευθῇ τὸν ἑαυτόν του εἰς τὰς εὐχάς του. Εὑρῆκε λοιπὸν ἔξω ἀπὸ τὸ κελλί του ὁ Διάκονος ἀμέτρητον πλῆθος φιδιῶν, ποὺ εἶχον καταλάβει σχεδὸν ὁλόκληρον τὴν περιοχήν. Ὁ Διάκονος ἐτρόμαξεν ἀπὸ τὸ θέαμα ἐκεῖνο καὶ ἔκραξε πρὸς τὸν ἀσκητήν:

— Προσευχήσου, δοῦλε τοῦ Θεοῦ.

Κατὰ σύμπτωσιν δὲ τὴν ἡμέραν ἐκείνην ἦτο πάρα πολὺ καλὸς ὁ καιρός.

Ἀπὸ τὰς κραυγὰς τοῦ Διακόνου ἐβγῆκεν ἀπὸ τὸ κελλί του ὁ Φλωρέντιος καὶ μόλις εἶδε τὸ ἀμέτρητον πλῆθος τῶν φιδιῶν, ἐσήκωσε τοὺς ὀφθαλμούς του καὶ τὰς χεῖρας του πρὸς τὸν οὐρανὸν καὶ παρεκάλει θερμῶς τὸν Θεόν, νὰ ἀπομακρύνῃ, ὅπως ὁ Κύριος γνωρίζει, τὴν φοβερὰν ἐκείνην μάστιγα. Ἔξαφνα λοιπόν, καθὼς προσηύχετο ὁ ἀσκητὴς Φλωρέντιος, ἐβρόντησεν ὁ οὐρανός. Αὐτὴ δὲ ἡ βροντὴ ἐφόνευσεν ὅλα ἐκεῖνα τὰ φίδια. Ὅταν ὁ Φλωρέντιος εἶδε τὴν θανάτωσιν τῶν φιδιῶν, εἶπεν·

* Βλέπε ὑποσημείωσιν σελίδος 107.

—Ἰδοὺ Κύριε, ὅλους αὐτοὺς τοὺς ὄφεις τοὺς ἐφόνευσας. Ποῖος ὅμως τώρα θὰ τοὺς πάρῃ ἀπ' ἐδῶ;

Δὲν εἶχε προλάβει νὰ τελειώσῃ τὴν φράσιν του καὶ ἀμέσως ἔφθασαν εἰς τὴν περιοχὴν τόσα ὄρνεα, ὅσα καὶ τὰ σκοτωμένα φίδια· τὰ ἥρπασαν μὲ τὰ ράμφη των καὶ τὰ ἐπέταξαν πολὺ μακράν, ὥστε ἐντὸς ὀλίγου ἐκαθάρισαν ὁλόκληρον ἐκείνην τὴν περιοχήν.

Πέτρος

ΠΟΣΗΣ δυνάμεως καὶ δικαιοσύνης ὁ ἀνὴρ οὗτος ἦν, ὅτι τῇ αἰτήσει αὐτοῦ τοσοῦτον γέγονε πλησίον ὁ παντοδύναμος Θεός;

Ἑρμηνεία

Πέτρος

ΠΟΣΗΝ πνευματικὴν δύναμιν καὶ ἀρετὴν θὰ εἶχεν ὁ ἄνθρωπος αὐτός, ὥστε μὲ τὴν παράκλησίν του ἦλθε τόσον κοντά σου ὁ Παντοδύναμος Θεός;

Γρηγόριος

ΜΟΝΩι καθαρῷ καὶ ἀκάκῳ, κατὰ τὴν αὐτοῦ φύσιν, πολλά, Πέτρε, καὶ ἡ τῆς ἀνθρωπίνης καρδίας καθαρότης καὶ ἀκακία δύναται· οἱ γὰρ αὐτοῦ θεράποντες, ἐκ τῶν γηΐνων ὄντες κεχωρισμένοι, ἀργόν τι λέγειν οὐκ οἴδασιν· οὐδὲ γὰρ τὸν ἑαυτῶν νοῦν διὰ ρημάτων σκορπισθῆναι συγχωροῦσιν· ὅθεν καὶ ἑτοίμως τὸν Θεὸν ἐπακούοντα αὐτῶν ὑπὲρ τοὺς ἄλλους εὑρίσκουσι, διὰ τὸ σπεύδειν κατὰ τὸ δυνατὸν αὐτοῖς ἐξομοιοῦσθαι αὐτῷ ἐν τῇ καθαρότητι καὶ ἀκακίᾳ· ἡμεῖς δὲ ταῖς ταραχαῖς τοῦ λαοῦ μεμιγμένοι, ἐν τῷ συχνοτέρως ἀργοὺς λόγους πολλάκις δὲ καὶ βλαβεροὺς λαλεῖν ὅσον τῷ κόσμῳ πλησιάζομεν τὸ στόμα ἡμῶν, τοσοῦτον τοῦ παντοδυνάμου Θεοῦ αὐτὸ μακρύνομεν. Πολλοὶ τοίνυν ἐπὶ τὰ κάτω ἀπαγόμεθα, ἐν τῷ τῇ συντυχίᾳ εὐκόλως τοῖς κοσμικοῖς συγγίνεσθαι· ὅπερ καλῶς καὶ ὁ Ἡσαΐας μετὰ τὸ ἑωρακέναι τὸν Βασιλέα Κύριον Σαβαὼθ ἑαυτὸν ταλανίζων εἶπεν· «ὢ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἀκάθαρτος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων».

Πόθεν δὲ τὰ ἀκάθαρτα χείλη ἔσχεν, ἐδήλωσε προσθείς· «ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ κατοικῶ»· τὴν μὲν γὰρ ἀκαθαρσίαν τῶν ἑαυτοῦ χειλέων ἣν ἔσχεν, ἤλγησε, πόθεν δὲ ταύτην ἐνεσπάσατο ἐφανέρωσεν, ἐν τῷ μεμαρτυρηκέναι αὐτὸν ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος κατοικεῖν· ἀμήχανον γάρ ἐστιν ἐκ τῆς τῶν κοσμικῶν γλώσσης τὸν νοῦν μὴ ρυπωθῆναι· ἐν ὅσῳ γὰρ ἐν συντυχίαις τισὶν ὅλως αὐτοῖς συγκαταβαίνομεν, ἐθίζομεν κατ' ὀλίγον συντυγχάνειν αὐτοῖς, συντυχίαν τὴν ἡμῖν οὐχ ἁρμόζουσαν· καὶ λοιπὸν ἡδέως ταύτην κρατοῦντες, οὐκέτι ἐπιστρέφειν ἐξ αὐτῆς θέλομεν, ἀλλὰ τῷ ἔθει βιαίως ἡμῶν περιγίνεται. Ὅθεν καὶ συμβαίνειν ἐκ τῶν ἀργῶν εἰς τὰ βλαβερά, καὶ ἐκ τῶν ἐλαφρῶν ἐν τούτοις εἰς τὰ βαρέα ρήματα ἡμᾶς καταντῆσαι· καὶ λοιπὸν τὸ στόμα ἡμῶν παρὰ τῷ Θεῷ οὐκ εἰσακούσεται ἐν τῇ αἰτήσει, ὅσον ἐπὶ πλεῖον μολύνεται τῇ ματαίᾳ συντυχίᾳ, καθάπερ καὶ

γέγραπται, ὅτι ὁ ἀποστρέφων τὸ οὖς αὐτοῦ τοῦ μὴ ἀκοῦσαι νόμον, ἡ εὐχὴ αὐτοῦ ἀπόβλητος ἔσται.

Τί δὲ θαυμαστόν, ἐὰν αἰτοῦντές τι παρὰ Κυρίου βραδὺ ἀκουώμεθα; οἵτινες ὑπ' αὐτοῦ κελευόμενοι ἢ βραδέως, ἢ παντελῶς αὐτῷ οὐχ ὑπακούομεν; Οὐκ ἔστιν οὖν θαυμαστὸν εἰ καὶ Φλωρέντιος ἐν τῇ εὐχῇ αὐτοῦ τάχιον ἐπηκούσθη, ὅστις ἐν τάχει τῶν τοῦ Κυρίου ὑπήκουσε προσταγμάτων.

Ἑρμηνεία

Γρηγόριος

✝ ΠΕΤΡΕ, καὶ ἡ καθαρότης καὶ ἡ ἀκακία τῆς ἀνθρωπίνης καρδίας πολλὰ δύνανται νὰ κατορθώσουν ἐνώπιον τοῦ μόνου καθαροῦ καὶ ἀκάκου· διότι οἱ πραγματικοὶ θεράποντες Αὐτοῦ ἔχουν ἀποκοπῆ ἀπὸ τὰ γήϊνα καὶ ἐγκόσμια καὶ δὲν γνωρίζουν νὰ λέγουν καμμίαν περιττὴν καὶ ἄσκοπον ὁμιλίαν· οὔτε καὶ ἀφήνουν τὸν νοῦν νὰ περισπασθῇ μὲ ἄλλα ἄσκοπα πράγματα καὶ κενοὺς λόγους. Δι' αὐτὸ καὶ εὑρίσκουν τὸν Θεὸν πάντοτε ἕτοιμον καὶ πρόθυμον νὰ τοὺς ἀκούσῃ περισσότερον ἀπὸ τοὺς ἄλλους ἀνθρώπους, ἐπειδὴ σπεύδουν, μὲ ὅλην τὴν δύναμιν τῆς ψυχῆς των, νὰ ἐξομοιωθοῦν πρὸς Αὐτόν, κατὰ τὴν καθαρότητα καὶ ἀκακίαν. Ἡμεῖς ὅμως, ἀνακατεμένοι, καθὼς εἴμεθα, εἰς τοὺς λαϊκοὺς θορύβους καὶ τὰς ταραχὰς διὰ τῆς συχνοτέρας ὁμιλίας ἀργῶν καὶ πολλάκις βλαβερῶν λόγων, τόσον περισσότερον ἀπομακρύνομεν τὸ στόμα μας ἀπὸ τὸν Παντοδύναμον Θεόν, ὅσον περισσότερον τὸ πλησιάζομεν πρὸς τὸν κόσμον.

Πολλοὶ λοιπὸν φερόμεθα πρὸς τὰ κάτω, μὲ τὸ νὰ ἐρχώμεθα εὐκόλως εἰς συναναστροφὴν μὲ κοσμικούς. Ἐπὶ τοῦ κινδύνου αὐτοῦ τῆς ψυχῆς καὶ ὁ Προφήτης Ἡσαΐας ταλανίζων, δικαίως, τὸν ἑαυτόν του, μετὰ τὸ καταπληκτικὸν ὅραμα τοῦ Βασιλέως Κυρίου Σαβαὼθ εἶπεν· «Ὦ, ταλαίπωρος ἐγώ, διότι ἔγω καταπληγωθῆ, ἐπειδὴ εἶμαι ἀκάθαρτος καὶ ἔχω ἀκάθαρτα χείλη». (Ἡσαΐας στ΄, 5). Δηλαδὴ ἐπόνεσε ψυχικῶς διὰ τὴν ἀκαθαρσίαν τῶν χειλέων του, τὴν ὁποίαν ἀπέκτησεν. Ἐφανέρωσε δὲ ἀπὸ ποῦ τὴν ἐπῆρε μὲ τὸ νὰ ὁμολογήσῃ ὅτι αὐτὸς κατώκει μεταξὺ λαοῦ, ποὺ εἶχεν ἀκάθαρτα χείλη· διότι εἶναι ἀδύνατον νὰ μὴ λερωθῇ ὁ νοῦς ἀπὸ τὴν γλῶσσαν τῶν κοσμικῶν ἀνθρώπων.

Διότι ἐνόσῳ κατερχόμεθα εἰς τὸ ἐπίπεδον τῶν κοσμικῶν εἰς διαφόρους περιστάσεις, συνηθίζομεν ὀλίγον κατ' ὀλίγον νὰ συναναστρεφώμεθα μὲ αὐτούς, συναναστροφήν, ἡ ὁποία δὲν ἁρμόζει εἰς ἡμᾶς· καὶ συνεχίζοντες τὴν συναναστροφὴν αὐτὴν εὐχαρίστως κατὰ τὸν ὑπόλοιπον χρόνον, οὐδόλως θέλομεν νὰ τὴν ἀποφύγωμεν, ὁπόταν πλέον μᾶς κυριεύει βιαίως καὶ τελείως, μὲ τὴν δύναμιν τῆς συνηθείας. Ἐξ αὐτῆς πλέον τῆς συνηθείας περιπίπτομεν ἀπὸ τὰς ἀνωφελεῖς λέξεις εἰς τὰς βλαβεράς, καὶ ἀπὸ τῶν ἐλαφρῶν εἰς τὰς βαρείας. Ἔκτοτε πλέον τὸ στόμα μας δὲν θὰ εἰσακουσθῇ ἀπὸ τὸν Θεόν, ὁσάκις ζητοῦμεν κάτι ἀπὸ Αὐτόν. Μᾶλλον

περισσότερον θὰ μολύνεται ἀπὸ τὰς ματαίας συζητήσεις, συμφώνως ἄλλωστε καὶ μὲ τὸ ρητόν, ποὺ λέγει· ἐκεῖνος, ὁ ὁποῖος ἀποφεύγει νὰ ἀκούσῃ τὸν νόμον τοῦ Θεοῦ καὶ ἡ προσευχή του θὰ εἶναι ἀπορριπτέα.

Τί τὸ ἀξιοθαύμαστον λοιπόν, ἐὰν ὁσάκις ζητοῦμεν κάτι ἀπὸ τὸν Κύριον, Ἐκεῖνος βραδύνει νὰ εἰσακούσῃ τὴν προσευχήν μας; Ἐφ' ὅσον ἡμεῖς διατασσόμενοι ἀπὸ τὸν Κύριον ἢ καθ' ὁλοκληρίαν δὲν ὑπακούομεν εἰς Αὐτὸν ἢ μετὰ βραδύτητος; Δὲν εἶναι λοιπὸν καθόλου περίεργον ὅτι καὶ ὁ Φλωρέντιος ταχύτατα εἰσηκούσθη ἀπὸ τὸν Θεόν, κατὰ τὴν προσευχήν του, διότι καὶ ὁ ἴδιος ὑπήκουεν ἀμέσως, χωρὶς χρονοτριβήν, εἰς τὰ προστάγματα τοῦ Κυρίου.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀντωνίου

Ο ΑΓΙΟΣ Ἀντώνιος τὴν ἐν τῷ ὄρει διατριβὴν λίαν ἠγάπα. Ποτὲ γοῦν βίαν παθὼν παρὰ τῶν χρείαν ἐχόντων, καὶ τοῦ στρατηλάτου διὰ πολλῶν ἀξιώσαντος αὐτὸν κατελθεῖν, ἐλθὼν καὶ ὁμιλήσας ὀλίγα εἰς σωτηρίαν φθάνοντα καὶ περὶ τῶν δεομένων, εἰς τὸ ὄρος ἠπείγετο. Τοῦ δὲ δουκὸς ἀξιώσαντος αὐτὸν ἐμβραδῦναι, ἔλεγε μὴ δύνασθαι χρονίζειν μετ' αὐτῶν, καὶ χαρίεντι παραδείγματι τοῦτον ἔπειθε λέγων· ὥς περ οἱ ἰχθύες ἐγχρονίζοντες τῇ ξηρᾷ τελευτῶσιν, οὕτως οἱ Μοναχοὶ βραδύνοντες μεθ' ὑμῶν, καὶ παρ' ὑμῖν ἐνδιατρίβοντες, ἐκλύονται. Δεῖ οὖν, ὥσπερ τὸν ἰχθὺν εἰς τὴν θάλασσαν, οὕτως ἡμᾶς εἰς τὸ ὄρος ἐπείγεσθαι, μήποτε βραδύνοντες ἐπιλαθώμεθα τῆς ἔνδοθεν φυλακῆς.

Ἑρμηνεία

✝ Ο ΑΓΙΟΣ ΑΝΤΩΝΙΟΣ ἠγάπα πάρα πολὺ νὰ παραμένῃ εἰς τὸ ὄρος. Κάποτε λοιπὸν ἐπιέσθη πολὺ ἀπὸ αὐτοὺς ποὺ εἶχον ἀνάγκην καὶ ἐπειδὴ ἐπιμόνως τὸ ἠξίωσεν ὁ Διοικητὴς τῆς περιοχῆς, πράγματι ἦλθεν εἰς τὴν πόλιν καὶ ἀφοῦ ὡμίλησεν ὅσα ἦσαν ἀρκετὰ διὰ τὴν σωτηρίαν καὶ διὰ τὰ πρέποντα ἐβιάζετο νὰ ἐπιστρέψῃ πάλιν εἰς τὸ ὄρος.

Ὁ Διοικητὴς ὅμως εἶχε τὴν ἀξίωσιν νὰ καθυστερήσῃ τὴν ἐπιστροφήν του.

— Δὲν ἠμπορῶ — ἔλεγεν ὁ Ἅγιος Ἀντώνιος — νὰ περνῶ τὸν χρόνον μου ἐδῶ εἰς τὴν πόλιν.

Διὰ νὰ πείσῃ δὲ τὸν Διοικητήν, ἀνέφερε καὶ τὸ ἑξῆς χαριτωμένον παράδειγμα. Ὅπως τὰ ψάρια, ὅταν παραμείνουν πολὺν χρόνον εἰς τὴν ξηράν, ἀποθνήσκουν, τοιουτοτρόπως καὶ οἱ Μοναχοὶ ὅταν παρατείνουν τὴν συναναστροφήν των μὲ σᾶς, τοὺς κοσμικούς, σιγὰ - σιγὰ διαφθείρονται. Πρέπει λοιπόν, ὅπως ἀκριβῶς τὸ ψάρι ἔχει ἀνάγκην νὰ πέσῃ εἰς τὴν θάλασσαν, οὕτω καὶ ἡμεῖς οἱ Μοναχοὶ ἔχομεν ἀνάγκην νὰ σπεύδωμεν νὰ ἐπιστρέφωμεν εἰς τὸ ὄρος, μὴ τυχὸν ἡ βραδύτης τῆς ἐπιστροφῆς μας εἰς τὸν τόπον τῆς ἀσκήσεως μᾶς κάμῃ νὰ λησμονήσωμεν τὴν ἐπαγρύπνησιν ἐπὶ τοῦ ψυχικοῦ μας κόσμου.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ᾐτεῖτο γέροντος εὐχήν, σπεύδων ἐπὶ τὴν πόλιν· ὁ δὲ γέρων πρὸς αὐτὸν ἔφη· μὴ σπεῦδε ἐπὶ τὴν πόλιν, ἀλλὰ σπεῦσον τοῦ φυγεῖν τὴν πόλιν καὶ σώζῃ.

2. Ἤκουσεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, εἰς τὸ θέρος ὤν, ἀδελφοῦ λαλοῦντος τῷ πλησίον μετ' ὀργῆς· ὤ καὶ σύ· καὶ ἐάσας τὸν θερισμὸν ἔφυγεν.

3. Διηγήσαντο οἱ μαθηταὶ τοῦ Ἀββᾶ Εὐλογίου, ὅτι ὅτε ἀπέστελλεν ἡμᾶς ὁ γέρων εἰς Ἀλεξάνδρειαν πρὸς τὸ πωλῆσαι τὸ ἐργόχειρον, ἐδίδου ἡμῖν ἐντολὰς μὴ πλεῖον ἢ τρεῖς ἡμέρας ποιήσωμεν. Εἰ δὲ πλεῖον τῶν τριῶν ἡμερῶν ποιήσετε, φησίν, ἀθῶός εἰμι ἐγὼ ἀπὸ τῆς ἁμαρτίας ὑμῶν· ἡμεῖς δὲ ἠρωτήσαμεν αὐτόν· πῶς οἱ Μοναχοὶ ἐν ταῖς πόλεσι καὶ κώμαις μετὰ τῶν κοσμικῶν νύκτα καὶ ἡμέραν συναναστρεφόμενοι οὐ βλάπτονται; Ὁ δὲ ἔφη· πιστεύσατέ μοι, τέκνα, ὅτι ἀφ' οὗ ἐμόνασα ἐποίησα τριάκοντα ὀκτὼ ἔτη μὴ ἐξελθὼν ἀπὸ τῆς Σκήτεως· καὶ μετὰ ταῦτα ἀπῆλθον εἰς Ἀλεξάνδρειαν πρὸς τὸν Πάπαν Εὐσέβιον μετὰ τοῦ Ἀββᾶ Δανιὴλ διὰ χρείαν τινά· καὶ εἰσελθόντες εἰς τὴν πόλιν εἴδομεν πολλοὺς Μοναχούς· καὶ ἐθεώρουν τοὺς μὲν ἐξ αὐτῶν ὑπὸ κοράκων ῥαπιζομένους, τοὺς δὲ γυναῖκας γυμνὰς ἀγκαλιζομένας αὐτούς, καὶ εἰς τὸ οὖς αὐτῶν ὁμιλούσας· τοὺς δὲ ὑπὸ παιδαρίων ἀρρένων γυμνοὺς ὄντας καὶ αὐτοὺς κοσσιζομένους καὶ κόπρῳ ἀνθρωπείᾳ χριομένους· τινὰς δὲ ἔβλεπον μαχαίρας κατέχοντας καὶ σάρκας ἀνθρώπων κατακόπτοντας καὶ διδόντας τοῖς Μοναχοῖς πρὸς τὸ φαγεῖν· καὶ ἔγνων ὅτι ἕκαστος τῶν Μοναχῶν οἵῳ πάθει προσπταίει, τοιούτους ἔχει καὶ δαίμονας ὀψικεύοντας αὐτῷ καὶ ὁμιλοῦντας κατὰ διάνοιαν. Διὰ τοῦτο οὖν, ἀδελφοί, οὐ θέλω ὑμᾶς χρονίσαι ποτὲ ἐν τῇ πόλει, ἵνα μὴ ὑπὸ τῶν τοιούτων λογισμῶν, μᾶλλον δὲ δαιμόνων, ὀχληθῆτε.

Ἑρμηνεία

ΕΝΑΣ ΜΟΝΑΧΟΣ ἐζήτει τὴν εὐχὴν τοῦ Γέροντος βιαζόμενος νὰ ὑπάγῃ εἰς τὴν πόλιν· ὁ δὲ Γέρων ἀπήντησε πρὸς αὐτόν:

— Μὴ βιάζεσαι νὰ ὑπάγῃς εἰς τὴν πόλιν· ἀλλὰ νὰ βιασθῇς νὰ ἐπιστρέψῃς ἀπὸ τὴν πόλιν καὶ θὰ σωθῇς.

2. Ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς εὑρίσκετο κάποτε εἰς τὸν θερισμὸν καὶ ἤκουσε κάποιον ποὺ εἶπεν ὠργισμένος εἰς τὸν πλησίον του· ὤ, καὶ σύ. Ἀμέσως τότε ἄφησε τὸν θερισμὸν καὶ ἔφυγεν.

4. Οἱ μαθηταὶ τοῦ Ἀββᾶ Εὐλογίου διηγοῦντο τὰ ἑξῆς. Ὅταν ὁ Γέροντας μᾶς ἔστελλεν εἰς τὴν Ἀλεξάνδρειαν, διὰ νὰ πωλήσωμεν τὸ ἐργόχειρόν μας, μᾶς ἔδιδεν ἐντολὴν νὰ μὴ καθυστερήσωμεν περισσότερον ἀπὸ τρεῖς ἡμέρας. Ἐὰν κάμετε περισσότερον ἀπὸ τρεῖς ἡμέρας — μᾶς ἔλεγεν — ἐγὼ πλέον δὲν θὰ εὐθύνωμαι διὰ τὴν ἁμαρτίαν σας. Τότε καὶ ἡμεῖς τὸν ἠρωτήσαμεν:

— Πῶς οἱ Μοναχοί, εἰς τὰς πόλεις καὶ τὰ χωρία, ἂν καὶ συναναστρέφωνται νύκτα καὶ ἡμέραν κοσμικούς, δὲν βλάπτονται;

— Τέκνα μου, νὰ μὲ πιστεύσετε—ἀπήντησεν ὁ Ἀββᾶς Εὐλόγιος— ὅτι ἀπὸ τότε ποὺ ἦλθα ἐδῶ διὰ νὰ μονάσω, ἐπέρασαν τριάκοντα ὀκτὼ

χρόνια χωρὶς νὰ ἐξέλθω καθόλου ἀπὸ τὴν Σκήτην. Μετὰ ἀπὸ τὰ τριάκοντα ὀκτὼ χρόνια, μετέβην, μαζὶ μὲ τὸν Ἀββᾶν Δανιήλ, πρὸς τὸν Πατριάρχην Ἀλεξανδρείας, Εὐσέβιον, διὰ κάποιαν ἀνάγκην. Μόλις εἰσήλθομεν εἰς τὴν πόλιν εἴδομεν πολλοὺς Μοναχούς. Τότε εὑρεθεὶς εἰς ἔκστασιν ἔβλεπα μὲ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, ἄλλους μὲν ἐξ αὐτῶν τῶν Μοναχῶν νὰ ραμφίζωνται ἀπὸ κόρακας, ἄλλους νὰ τοὺς ἐναγκαλίζωνται γυμναὶ γυναῖκες, καὶ νὰ τοὺς ψιθυρίζουν εἰς τὸ αὐτί· ἄλλους, πάλιν, νὰ τοὺς ραπίζουν γυμνοὺς ἀγόρια μικρὰ καὶ νὰ εἶναι χρισμένοι μὲ ἀνθρώπινες ἀκαθαρσίες. Ἔβλεπον δὲ μερικοὺς νὰ κρατοῦν μαχαίρια, νὰ κατακόπτουν ἀνθρωπίνας σάρκας καὶ νὰ τὰς προσφέρουν εἰς τοὺς Μοναχοὺς διὰ νὰ τὰς φάγουν. Ἀπὸ τὴν θεωρίαν αὐτὴν ἀντελήφθην, ὅτι ἕκαστος ἐκ τῶν Μοναχῶν, ἀναλόγως τοῦ πάθους εἰς τὸ ὁποῖον κλίνει καὶ σφάλλει, ἔχει καὶ τοὺς ἀντιστοίχους δαίμονας, ποὺ τὸν συνοδεύουν καὶ τοῦ ὁμιλοῦν εἰς τὴν διάνοιαν. Διὰ τοῦτο λοιπόν, ἀδελφοί μου, — κατέληξεν ὁ Ἀββᾶς Εὐλόγιος,— δὲν θέλω καθόλου νὰ καθυστερήσετε εἰς τὴν πόλιν, διὰ νὰ μὴ ἐνοχληθῆτε ἀπὸ τοιούτους λογισμοὺς ἢ μᾶλλον ἀπὸ τοιούτους δαίμονας.

Ε'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΟΙ· οἴδατε ὅτι ἐλθόντες εἰς τὸ Μοναστήριον τῷ κόσμῳ ἀπεταξάμεθα καὶ πάσαις ταῖς προσπαθείαις αὐτοῦ· λοιπὸν οὖν, τί ἡμῖν τοῖς ἀποθανοῦσι τῷ κόσμῳ καὶ ταῖς πραγματείαις τοῦ βίου καὶ ταραχαῖς, ὅτι πάλιν εἰς ταύτας κατασυρόμεθα; Περὶ τροφῆς ὁ λόγος, οὐχὶ τρυφῆς· ἀρκοῦσιν αἱ χεῖρες εἰς διακονίαν τῆς σαρκός, τοῦ Κυρίου συνεργοῦντος ἡμῖν. Φεύγομεν οὖν τὸν κόσμον καὶ τὰ ἐν τῷ κόσμῳ, καὶ μηδὲ πλησιάζειν αὐτῷ ἀνεχώμεθα, ἵνα μὴ τὸ ἐπάγγελμα ἀθετήσωμεν· «οὐδεὶς γάρ, φησιν, στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ». Καὶ πάλιν λέγει· «νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆναι τινά».

Εἰ γὰρ καθεζόμενοι καὶ ἡσυχάζοντες ἐν τῷ κελλίῳ, τοῖς λογισμοῖς τῶν παθῶν καὶ τῇ σκιᾷ τῶν πραγμάτων ἀντιστῆναι γενναίως οὐ δυνάμεθα, πῶς οὐχὶ μᾶλλον εὐάλωτοι ἐσόμεθα, εἴπερ ἑαυτοὺς εἰς τὴν παρεμβολὴν τῶν ἀλλοφύλων ἐπιρρίψωμεν; Εἰ δὲ κατ' ἐπιτροπὴν τῶν ἡγουμένων ἐξ ἀνάγκης τῇ πόλει ἢ τῇ κώμῃ προσεγγίζῃς, ἀνέγκλητος εἶ, ἐὰν τὸ προσταχθέν σοι ποιῇς μετὰ φόβου Θεοῦ. Εἰσὶ γάρ τινες, οἳ προφάσει ὑπακοῆς καὶ τὰς ἰδίας ἐπιθυμίας βούλονται ἐπιτελεῖν κατὰ τὸν παλαιὸν ἄνθρωπον· σὺ δὲ ὅρα ὡς σοφός, μὴ ἀντὶ χρυσίου καὶ ἀργυρίου εἰσοίσῃς πηλὸν καὶ βόρβορον, καὶ ἀντὶ ὑπακοῆς, ἐργάσῃ παρακοήν.

Τί γὰρ ὠφελήθησαν οἱ μετὰ Ἰησοῦ υἱοῦ Ναυῆ καὶ Χαλὲβ ἀποσταλέντες κατασκοπῆσαι τὴν γῆν, καὶ τὴν ἀλήθειαν μὴ φυλάξαντες, ἀλλ' ἐν τῷ ὑποστρέψαι καὶ εἰπεῖν ψευδῆ, διαστρέψαντες τὰς καρδίας τῶν υἱῶν Ἰσραὴλ ἀπὸ Κυρίου; καὶ γὰρ οὗτοι οὐχὶ ὑπακοήν, ἀλλὰ παρακοὴν μᾶλλον εἰργάσαντο· διὸ καὶ αὐτοὶ τῷ λαῷ συναπώλοντο. Σὺ οὖν ἀποστελλόμενος εἰς διακονίαν, μετὰ φόβου Θεοῦ πράττε ἃ προσετάγη σοι, ὡς τοῦ Θεοῦ σκοποῦντος τὰ ἔρ-

γα σου· καὶ μὴ προσθῇς, ἢ ὑφέλῃ, ἢ ποιήσῃς τι κατ' οἰκεῖον θέλημα, ἀλλ' ἐργάζου πάντα πρὸς τὸν σκοπὸν ἀφορῶν καὶ τὸ θέλημα τοῦ κελεύσαντος, καὶ τότε μέγαν καὶ ὑπερβολικὸν ἕξεις τὸν ὑπὲρ τῆς διακονίας μισθόν. Γίνωσκε δέ, ἀδελφέ, ὅτι ὁ ἀγαπῶν συντυχίας κοσμικῶν, τὸν κόσμον οὔπω μεμίσηκεν· ὥς περ γὰρ ὁ ἐρεθίζων πῦρ ἐξεγείρει φλόγα, οὕτω καὶ κοσμικῶν ὁμιλίαι διανιστῶσι πάθη ἐν καρδίᾳ Μοναχῶν.

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ ΜΟΥ, γνωρίζετε ὅτι ἀπὸ τὴν στιγμήν, ποὺ ἤλθομεν εἰς τὸ Μοναστήριον, ἠρνήθημεν τὸν κόσμον καὶ ὅλας τὰς μερίμνας τοῦ κόσμου. Τί γυρεύομεν λοιπὸν ἡμεῖς, οἱ ὁποῖοι ἀπεθάνομεν διὰ τὸν κόσμον καὶ τὰ κοσμικὰ πράγματα, εἰς τοὺς θορύβους τοῦ βίου, μὲ τὸ νὰ παρασυρώμεθα, ἐκ νέου, εἰς τοὺς θορύβους αὐτούς; Ὁ λόγος εἶναι νὰ ἐξοικονομήσωμεν ὀλίγην τροφήν, καὶ ὄχι νὰ ἐπιδοθῶμεν εἰς ἀπολαύσεις· μᾶς εἶναι ἀρκετὰ τὰ χέρια, διὰ νὰ ὑπηρετήσωμεν τὰς σωματικὰς ἀνάγκας μας, ὅταν ὁ Κύριος μᾶς βοηθῇ. Ἄς ἀπομακρυνθῶμεν λοιπὸν ἀπὸ τὸν κόσμον καὶ τὰ κοσμικὰ πράγματα, καὶ ἂς μὴ ἀνεχώμεθα οὔτε νὰ τὸν πλησιάζωμεν ἀκόμη, μὴ τυχὸν παραβῶμεν τὴν ὑπόσχεσιν, ποὺ ἐδώσαμεν εἰς τὸν Θεόν. Ὅπως λέγει καὶ τὸ ρητὸν «κανεὶς στρατιώτης δὲν περιπλέκεται εἰς τὰς κοσμικὰς ὑποθέσεις, προκειμένου νὰ εὐχαριστήσῃ αὐτόν, ποὺ τὸν ἐστρατολόγησε» (Β΄ Τιμ. 6΄, 4). Εἰς ἄλλο πάλιν σημεῖον λέγει· «νύκτα καὶ ἡμέραν ἐργαζόμεθα, διὰ νὰ μὴ ἐπιβαρύνωμεν κανένα» (Β΄ Θεσ. γ΄, 8).

✝ Διότι, ἐφόσον δὲν δυνάμεθα νὰ ἀντισταθῶμεν μὲ γενναιότητα ἐναντίον τῶν λογισμῶν τῶν παθῶν καὶ τῆς σκέψεως κοσμικῶν πραγμάτων, ὅταν καθήμεθα εἰς τὸ κελλίον μας καὶ ἡσυχάζωμεν, πῶς δὲν θὰ γίνωμεν περισσότερον εὐκολοκυρίευτοι ὅταν, ἀσυλλόγιστα, ριφθῶμεν εἰς τὸ στρατόπεδον τῶν ἐχθρῶν (τῆς ψυχῆς μας);

Ἐὰν δὲ μὲ τὴν ἄδειαν τῶν ἡγουμένων καὶ ἀπὸ ἀνάγκην πλησιάζῃς εἰς πόλιν ἢ χωρίον, εἶσαι ἀνεύθυνος, ἐφ' ὅσον ἐκτελεῖς μὲ φόβον Θεοῦ τὴν ἐντολήν, ποὺ σοῦ ἀνέθεσαν. Διότι ὑπάρχουν μερικοί, οἱ ὁποῖοι, ὑπὸ τὸ πρόσχημα τῆς ὑπακοῆς, θέλουν νὰ ἐκτελοῦν καὶ τὰς ἐπιθυμίας των, καὶ τὴν συνήθειαν τοῦ παλαιοῦ ἀνθρώπου. Σὺ ὅμως πρόσεχε, ὡς σοφός, νὰ μὴ κερδίσῃς, ἀντὶ χρυσίου καὶ ἀργυρίου, λάσπην καὶ βόρβορον, καὶ ἀντὶ ὑπακοῆς περιπέσῃς εἰς τὴν παρακοήν.

Διότι τί ὠφελήθησαν ἐκεῖνοι, ποὺ ἀπεστάλησαν μαζὶ μὲ τὸν Ἰησοῦν τοῦ Ναυῆ καὶ τὸν Χάλεβ, διὰ νὰ κατασκοπεύσουν τὴν γῆν τῆς ἐπαγγελίας, ἐφ' ὅσον δὲν ἐφύλαξαν τὴν ἀλήθειαν, ἀλλ' εἶπον ψέμματα κατὰ τὴν ἐπιστροφήν των, καὶ ἀπεμάκρυναν, τοιουτοτρόπως, τὰς καρδίας τῶν Ἑβραίων ἀπὸ τὸν Κύριον; Εἶναι φανερόν, ὅτι οἱ ἄνθρωποι ἐκεῖνοι δὲν ἔκαμαν ὑπακοήν, ἀλλὰ παρακοήν, δι' αὐτὸ καὶ αὐτοὶ ἐχάθησαν μαζὶ μὲ τὸν λαόν.

Σὺ λοιπόν, ὁσάκις ἀποστέλλεσαι εἰς κάποιαν ὑπηρεσίαν, νὰ ἐκτελῇς μετὰ φόβου Θεοῦ ἐκεῖνα τὰ ὁποῖα σὲ διέταξαν, μὲ τὴν πεποίθησιν, ὅτι ὁ Θεὸς παρακολουθεῖ τὰ ἔργα σου· καὶ οὔτε νὰ προσθέσῃς τίποτε, οὔτε νὰ ἀφαιρέσῃς κάτι, ἢ νὰ κάμῃς ὁπωσδήποτε κάτι κατὰ τὸ θέλημά σου, ἀλλὰ νὰ ἐκτελέσῃς ὅλα ὅσα διετάχθης ἀποβλέπων εἰς τὸν σκοπὸν τῆς ἐντολῆς καὶ ἐνεργῶν συμφώνως πρὸς τὸ θέλημα ἐκείνου ποὺ σοῦ ἔδωσε τὴν ἐντολὴν ὁπότε θὰ ἔχῃς μέγαν καὶ ὑπερβολικὸν τὸν μισθὸν τῆς διακονίας σου.

† Γνώριζε, ἀδελφέ μου, ὅτι ἐκεῖνος ποὺ ἀγαπᾷ τὰς κοσμικὰς συναναστροφὰς δὲν ἔχει ἀκόμη μισήσει τὸν κόσμον· ὅπως δὲ ἀκριβῶς ἐκεῖνος ποὺ ρίπτει ξύλα εἰς τὴν φωτιάν, σηκώνει φλόγας, τοιουτοτρόπως καὶ αἱ συναναστροφαὶ μὲ κοσμικοὺς ἀνθρώπους ξυπνοῦν τὰ πάθη εἰς τὴν καρδίαν τοῦ Μοναχοῦ.

ΣΤ'. Ἀντιόχου τοῦ Παντέκτου

ΚΑΛΟΝ τῷ ὄντι καὶ λίαν ἐπωφελές, ἀδελφέ, τὸ ἐκτρέπεσθαι τὰς ἀκαίρους συντυχίας τῶν κοσμικῶν, καὶ τῆς ἐξ αὐτῶν βλάβης πόρρω ἑαυτοὺς ἀπάγειν. Λαλοῦσι γὰρ τὰ τοῦ αἰῶνος τούτου, καὶ ταῦτα προσλαμβανόμενος ὁ νοῦς χαυνοῦται, καὶ καταργεῖται ἐκ τῆς πνευματικῆς ἐργασίας, καὶ ἐκλύεται πρὸς τὸν τῆς ἀσκήσεως τόνον· καὶ μετὰ τὸ ἀναχωρῆσαι αὐτούς, ἄρχεσθαι διὰ τὴν τοῦ κανόνος ἀργίαν. Καὶ διὰ τοῦτο οἱ ἀγωνισταὶ τὰς ἐρήμους ἐδίωκον, ἵνα τούτων ἐκτὸς γενόμενοι, ἀνεμποδίστως τῷ Θεῷ προσομιλῶσιν. Ὥς περ γὰρ παρθένος φυλαττομένη ποθεῖται παρὰ τῶν ἔξω, ἐπὰν δὲ προέλθῃ, οὐ πᾶσιν ἀρέσκει, ἀλλὰ καὶ παρὰ πολλῶν ψέγεται, οὕτω καὶ Μοναχός, ὅταν μακρὰν τῶν ἀνθρώπων γενόμενος, ἑαυτῷ σχολάζῃ καὶ τῷ Θεῷ, καὶ ἀδημοσίευτος ᾖ, τίμιός ἐστι καὶ Θεῷ καὶ Ἀγγέλοις, μᾶλλον δὲ καὶ ἀνθρώποις· ἐπειδὰν δὲ κατέλθῃ ἐκ τῆς ὑψηλῆς θεωρίας καὶ πολιτείας, καὶ ἐμπλακῇ ταῖς τοῦ βίου πραγματείαις καὶ συντυχίαις, ἀδόκιμος τῷ Θεῷ καὶ τοῖς ἀνθρώποις εὐκαταφρόνητος γίνεται.

Συμφέρον οὖν ἐστιν ἡμῖν ἀπαυτομολῆσαι τῶν κοσμικῶν, καὶ παραιτήσασθαι ὅλως τὰς ψυχοβλαβεῖς αὐτῶν ὁμιλίας, καὶ φυλακισθῆναι ἐν τῷ κελλίῳ, καὶ σωθῆναι ὡς δορκὰς ἐκ βρόχων καὶ ὡς ὄρνεον ἐκ παγίδος· ἀληθῶς γὰρ βρόχοι καὶ παγίδες εἰσὶ τοῖς θέλουσι σωθῆναι αἱ τῶν κατὰ κόσμον συντυχίαι, αἱ ἀνωφελεῖς καὶ πολύλογοι, καὶ τὸν νοῦν ἀπασχολοῦσι καὶ διϊστῶσι τῆς τοῦ Θεοῦ γλυκείας ὁμιλίας καὶ γεύσεως, καὶ τῇ ἑαυτῶν ματαιότητι ποιοῦσιν ἀδολεσχεῖν.

Τί οὖν ἡμῖν κοινὸν τοῖς ἔξω κόσμου καὶ τοῖς κατὰ κόσμον πράγμασιν, ἵνα καὶ περὶ αὐτῶν ἔτι μανθάνειν θέλωμεν; Ὁ γὰρ Μοναχὸς ἀποταξάμενος τῷ κόσμῳ καὶ τὸν ἑαυτοῦ αὐχένα ὑποθεὶς τῷ γλυκεῖ τοῦ Κυρίου ζυγῷ, οὐκέτι ἑαυτοῦ ἐξουσιάζει· ἀλλὰ σπεύδει τοῦ τέμνειν ἀεὶ ἀμεταστρεπτὶ τοὺς ἐν ταῖς κοιλότησι τῆς ταπεινοφροσύνης πληθύνοντας τὸν θεῖον σῖτον αὔλακας, τοὺς μεθυσκομένους ἐκ τῆς ἐπομβρίας τοῦ οὐρανίου καὶ ζωοπαρόχου Πνεύματος, οὗ ταῖς σταγόσιν εὐφραίνεται ἡ ψυχή, νοήματα ἀνατέλλουσα. Ὁ γὰρ βουλόμενος ἡσύχως βιοῦν, καὶ διηνεκῶς ἀπερισπάστῳ νῷ προσομιλεῖν τῷ Θεῷ, ὀφείλει μήτε πολλοῖς ἐντυγχάνειν, μήτε προόδοις συνεχέσι κεχρῆσθαι.

Εἰ δέ ποτε καὶ χρεία γένηται συντυχίας, Πατράσι πνευματικοῖς, ἢ ἀδελφοῖς συναγωνισταῖς, ἢ Μοναχοῖς ἑτέροις ὠφελείας δεομένοις πρέπον αὐτῷ συντυγχάνειν· ἡ γὰρ τοιαύτη ὁμιλία εἰς θεολογίαν λογίζεται, καὶ πάντως ἢ ὠφελήσει ἢ ὠφεληθήσεται. Εἰ δέ ποτε καὶ κοσμικοὶ περὶ ὠφελείας ψυχῆς ἡμῖν παραβάλλουσι, δι' ὀλίγων λόγων ἅλατι ἠρτυμένων θείῳ ποιησώμεθα τὴν πρὸς αὐτοὺς ὁμιλίαν καὶ ἀπολύσωμεν· πλέον γὰρ οἰκοδομηθήσονται ἐν τῇ πνευματικῇ βραχυλογίᾳ, ἤπερ ἐν τῇ κοσμικῇ μακρολογίᾳ. Μάλιστα δὲ καὶ διὰ προσευχῆς αὐτοῖς συνεργήσωμεν, καὶ ἔργῳ τὴν ἀρετὴν διδάξωμεν· καλὸν μὲν γὰρ καὶ τὸ διὰ λόγων ὠφελεῖν τοὺς πυνθανομένους, κρεῖσσον δὲ κατὰ πολὺ δι' ἀρετῆς καὶ προσευχῆς συνεργεῖν αὐτοῖς.

Ἑρμηνεία

ΕΙΝΑΙ ΠΡΑΓΜΑΤΙ, ἀδελφέ μου, καλὸν καὶ πάρα πολὺ ὠφέλιμον τὸ νὰ ἀποφεύγωμεν τὰς ἀσκόπους συναναστροφὰς τῶν κοσμικῶν καὶ νὰ ἀπομακρύνωμεν ἀπὸ τοὺς ἑαυτούς μας τὴν βλάβην ἐκ τῶν συναναστροφῶν αὐτῶν. Διότι οἱ κοσμικοὶ ὁμιλοῦν περὶ τῶν ματαίων πραγμάτων τοῦ παρόντος αἰῶνος· ὅταν δὲ τὰς συζητήσεις αὐτὰς καὶ τὰ ἀντικείμενά των προσλάβῃ ὁ νοῦς μας ἀποχαυνώνεται, γίνεται ἀνίκανος πρὸς πᾶσαν πνευματικὴν ἐργασίαν καὶ ἀδυνατίζει ἡ ἔντασις διὰ τὴν πνευματικὴν ἄσκησιν. Ὅταν δὲ ἀναχωρήσουν οἱ κοσμικοί, τότε λυπεῖται, διότι δὲν ἔκαμε τὸν κανόνα του.

Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ οἱ ἀγωνισταὶ ἐπεζήτουν τὰς ἐρήμους, ὥστε εὑρισκόμενοι μακρὰν τῶν κοσμικῶν, νὰ ἐπικοινωνοῦν χωρὶς ἐμπόδιον μὲ τὸν Θεόν. Ὅπως δὲ ἀκριβῶς ἡ παρθένος κόρη ποὺ φυλάσσεται, γίνεται ἐπιθυμητὴ ἀπὸ τοὺς ἔξω, ἐνῷ ὅταν ἐξέλθῃ καὶ τὴν ἴδουν οἱ ἄνθρωποι, δὲν ἀρέσει εἰς ὅλους, ἀπεναντίας δὲ καὶ ἀπὸ πολλοὺς κατηγορεῖται, τοιουτοτρόπως καὶ ὁ Μοναχὸς ἐφ' ὅσον εὑρίσκεται μακρὰν τῶν ἀνθρώπων ἀφοσιώνεται εἰς τὸν ἑαυτόν του καὶ τὸν Θεόν, μένει ἀκατηγόρητος, εἶναι τίμιος ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν Ἀγγέλων, ἀλλά, καὶ ἐνώπιον τῶν ἀνθρώπων. Ὅταν ὅμως κατέβῃ ἀπὸ τὸ ὕψος τῆς ὑψηλῆς θεωρίας καὶ ζωῆς, καὶ περιπλακῇ εἰς κοσμικὰς ὑποθέσεις καὶ συναναστροφάς, τότε πλέον καθίσταται ἀνάξιος ἐκτιμήσεως ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν ἀνθρώπων καὶ τὸν καταφρονοῦν εὐκόλως ὅλοι.

Εἶναι λοιπὸν συμφέρον μας νὰ ἀπομακρυνθῶμεν ἀπὸ τοὺς κοσμικοὺς καὶ νὰ ἀποφύγωμεν καθ' ὁλοκληρίαν τὰς ψυχοβλαβεῖς συζητήσεις των, νὰ περιορισθῶμεν ὡς φυλακισμένοι εἰς τὸ κελλίον μας, καὶ νὰ σωθῶμεν ὅπως ἡ ἔλαφος ἀπὸ τὰ βρόχια τῶν κυνηγῶν καὶ τὸ ὄρνεον ἀπὸ τὴν παγίδα· διότι, πραγματικῶς, βρόχια καὶ παγίδες εἶναι, δι' ὅσους θέλουν νὰ σωθοῦν, αἱ κατὰ κόσμον συναναστροφαί, αἱ ἀνωφελεῖς καὶ φλύαροι. Αἱ συναναστροφαὶ αὐταὶ ἀπασχολοῦν τὸν νοῦν καὶ τὸν ἀπομακρύνουν ἀπὸ τὴν γλυκεῖαν ἐπικοινωνίαν τοῦ Θεοῦ καὶ ἀπὸ τὴν πρὸς Αὐτὸν κλίσιν τῆς ψυχῆς καί, τέλος, μᾶς παρασύρουν εἰς ματαίας φλυαρίας.

Ἄλλωστε τί κοινὸν ὑπάρχει μεταξὺ ἡμῶν, ποὺ ἀπεφασίσαμεν νὰ ζήσωμεν ἔξω τοῦ κόσμου, καὶ τῶν κοσμικῶν πραγμάτων, ὥστε ἀκόμη

νὰ θέλωμεν νὰ μανθάνωμεν περὶ αὐτῶν; Διότι ὁ Μοναχὸς ποὺ ἠρνήθη τὸν κόσμον καὶ ἔσκυψε τὸν αὐχένα του κάτω ἀπὸ τὸν γλυκὺν ζυγὸν τοῦ Κυρίου, δὲν ἐξουσιάζει πλέον τὸν ἑαυτόν του· ἀλλὰ φροντίζει διαρκῶς καὶ χωρὶς νὰ στρέφῃ πρὸς τὰ ὀπίσω, νὰ σκάπτῃ εἰς τὰς κοιλότητας τῆς ταπεινοφροσύνης, τὰ αὐλάκια, ποὺ πληθαίνουν τὸ θεϊκὸ σιτάρι, ποὺ βρέχονται πλουσίως ἀπὸ τὴν δρόσον τοῦ οὐρανίου καὶ ζωοπαρόχου Πνεύματος, ἀπὸ τὰς σταγόνας τοῦ ὁποίου ἡ ψυχὴ εὐφραίνεται, βλαστάνουσα θεῖα νοήματα. Ἐκεῖνος λοιπὸν ποὺ ἐπιθυμεῖ νὰ ζῇ ἡσύχως καὶ νὰ ἐπικοινωνῇ μὲ τὸν Θεὸν συνεχῶς μὲ ἀδιατάρακτον νοῦν, ἔχει ὑποχρέωσιν οὔτε πολλοὺς νὰ συναναστρέφεται, οὔτε συχνὰ νὰ ἐξέρχεται ἀπὸ τὸ κελλί του.

Τότε δὲ μόνον πρέπει νὰ συναντᾶται, ὁσάκις παρίσταται ἀνάγκη ψυχωφελοῦς συναναστροφῆς μὲ πνευματικοὺς Πατέρας, ἢ μὲ συναγωνιστὰς ἀδελφούς, ἢ μὲ ἄλλους Μοναχοὺς ποὺ ἔχουν ἀνάγκην πνευματικῆς ὠφελείας· διότι ἡ συναναστροφὴ αὐτὴ θεωρεῖται ἐνασχόλησις μὲ τὴν Θεολογίαν, ἐκ τῆς ὁποίας ὁ Μοναχὸς ὁπωσδήποτε θὰ ὠφελήσῃ ἢ θὰ ὠφεληθῇ. Ἐὰν δὲ κάποτε μᾶς ἐπισκεφθοῦν καὶ κοσμικοί, χάριν ψυχικῆς ὠφελείας, θὰ συνομιλήσωμεν μὲ αὐτοὺς δι' ὀλίγων λόγων, ἁλατισμένων μὲ τὸ θεϊκὸ ἁλάτι καὶ ἔπειτα νὰ τοὺς ἀφήσωμεν νὰ φύγουν· διότι περισσότερον θὰ οἰκοδομηθοῦν μὲ τὰ ὀλίγα πνευματικὰ λόγια, παρὰ μὲ τὴν κοσμικὴν ἀπεραντολογίαν. Πρὸ παντὸς δὲ νὰ τοὺς βοηθήσωμεν διὰ τῆς προσευχῆς καὶ νὰ τοὺς διδάξωμεν τὴν ἀρετὴν δι' ἔργων· διότι εἶναι μὲν καλὸν νὰ ὠφελῶμεν μὲ λόγους τοὺς ἐρωτῶντας, κατὰ πολὺ ὅμως καλύτερον εἶναι νὰ τοὺς βοηθῶμεν μὲ τὸ παράδειγμα τῆς ἀρετῆς καὶ μὲ τὴν προσευχήν.

Ζ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἡσαΐας· ἐάν τις λέγῃ σοι λόγους ἀνωφελεῖς, μὴ θελήσῃς ἀκοῦσαι αὐτούς, ἵνα μὴ ἀνέλῃ τὴν ψυχήν σου· καὶ μὴ αἰδεσθῇς τὸ πρόσωπον αὐτοῦ, εἰς τὸ λυπῆσαι αὐτόν· καὶ μὴ ἀνάσχῃ τῶν λεγομένων, λέγων ὅτι τῇ καρδίᾳ οὐ παραδέχομαι· μὴ εἴπῃς τοῦτο· οὐδὲ γὰρ εἰ ὑπὲρ τὸν πρωτόπλαστον, ὃν ὁ Θεὸς ἔπλασε τῇ ἰδίᾳ χειρί, ὃν οὐκ ὠφέλησεν ἡ κακὴ ὁμιλία. Φεῦγε οὖν καὶ μὴ θέλε ἀκούειν· ὅρα δὲ μήποτε φεύγων τῷ σώματι, βουληθῇς γνῶναι τὰ ῥηθέντα· ἐὰν γὰρ στιγμὴν λόγου ἀκούσῃς, οἱ δαίμονες οὐκ ἐῶσι τὸ ῥηθὲν ὃ ἤκουσας, ἀλλὰ φονεύουσι τὴν ψυχήν σου· φεύγων φεῦγε παντελῶς.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΗΣΑ·Ι·ΑΣ εἶπεν· ἐὰν σοῦ λέγῃ κάποιος λόγους ἀνωφελεῖς, μὴ θελήσῃς νὰ τοὺς ἀκούσῃς, διὰ νὰ μὴ ζημιώσῃς τὴν ψυχήν σου· καὶ νὰ μὴ ἐντραπῇς τὸ πρόσωπόν του, διὰ νὰ τὸν λυπήσῃς. Νὰ μὴ ἀνεχθῇς τὰ λεγόμενα, δικαιολογούμενος εἰς τὸν ἑαυτόν σου, ὅτι ἐγὼ αὐτὰ ποὺ ἀκούω δὲν τὰ δέχομαι· μὴ εἰπῇς αὐτὸ τὸ πρᾶγμα· διότι σὺ δὲν εἶσαι ἀνώτερος ἀπὸ τὸν πρωτόπλαστον, τὸν ὁποῖον ἔπλασεν ὁ Θεὸς μὲ τὸ ἴδιο Του τὸ χέρι, καὶ ποὺ ἔβλαψεν ἡ κακὴ συνομιλία μὲ τὸν ὄφιν. Νὰ ἀπο-

φεύγῃς λοιπὸν τὰς ἀνωφελεῖς συζητήσεις καὶ νὰ μὴ θέλῃς νὰ ἀκούῃς. Πρόσεχε δὲ μὴ τυχὸν φεύγων σωματικῶς ἀπὸ τὰς τοιαύτας συζητήσεις, ἐπιθυμήσεις νὰ πληροφορηθῇς τὰ ὅσα ἐλέχθησαν· διότι ἐὰν ἀκούσῃς, ἔστω καὶ μίαν τελείαν ἀπὸ τὸν λόγον, οἱ δαίμονες δὲν ἀφήνουν ἀνεκμετάλλευτον τὴν φράσιν ποὺ ἤκουσες, ἀλλὰ μὲ αὐτὴν φονεύουν τὴν ψυχήν σου· νὰ φεύγῃς λοιπὸν τελείως ἀπὸ τὰς ἀνωφελεῖς συζητήσεις.

Η'. Τοῦ Ἀββᾶ Μάρκου

ΜΗ θέλε ἀκούειν ἀλλότρια πονηρεύματα· τῷ γὰρ τοιούτῳ θελήματι, καὶ οἱ χαρακτῆρες τῶν πονηρευμάτων ἐγγράφονται. Κακοῖς λόγοις ἐνηχηθείς, σεαυτῷ ὀργίζου καὶ μὴ τῷ λαλήσαντι· πονηρᾶς γὰρ ἀκοῆς πονηρὸς καὶ ὁ ἀποκρισιάριος.

Ἑρμηνεία

ΝΑ ΜΗ ΘΕΛΗΣ νὰ ἀκοῦς ξένας πονηρίας· διότι διὰ τῆς πραγματοποιήσεως μιᾶς τοιαύτης θελήσεως, ἀποτυπώνονται εἰς τὴν ψυχὴν καὶ τὰ γνωρίσματα τῶν πονηριῶν. Ὅταν ἀκούσῃς κακοὺς λόγους, νὰ μὴ ὀργίζεσαι ἐναντίον αὐτοῦ ποὺ τοὺς ὡμίλησε, ἀλλὰ ἐναντίον τοῦ ἑαυτοῦ σου ποὺ τοὺς ἤκουσε· διότι διὰ τὸν ἐπιθυμοῦντα νὰ ἀκούῃ πονηρὰ εὑρίσκεται καὶ ἀγγελιοφόρος πονηρός.

Θ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΦΕΥΓΕ τοὺς φιλοκτήμονας καὶ τὸ κτᾶσθαι, μακρύνων σεαυτὸν ἀπὸ τῶν σπαταλώντων, ὡς καὶ ἀπὸ τῆς σπατάλης. Φεῦγε τοὺς ἀκολάστους, ὡς καὶ τὴν ἀκολασίαν. Εἰ γὰρ ἡ ψιλὴ τῶν εἰρημένων μνήμη ταράττει τὴν διάνοιαν, πόσῳ μᾶλλον ἡ θεωρία, καὶ ἡ μετ' αὐτῶν διαγωγή; Προσέγγισον τοῖς δικαίοις, καὶ δι' αὐτῶν τῷ Θεῷ πλησιάσεις. Συναναστρέφου τοῖς ἔχουσι ταπείνωσιν, καὶ μαθήσῃ τοὺς τρόπους αὐτῶν· εἰ γὰρ θεωρία μόνη τῶν μνημονευθέντων ὠφέλιμος, πόσῳ μᾶλλον ἡ διδασκαλία τοῦ στόματος αὐτῶν;

Ἑρμηνεία

ΝΑ ΦΕΥΓΗΣ μακρὰν ἀπὸ ἐκείνους ποὺ ἀγαποῦν τὰ ὑλικὰ ἀγαθὰ καθὼς καὶ τὸ νὰ τὰ ἀποκτᾷ ὁ ἴδιος. Νὰ ἀπομακρύνεσαι ἀπὸ τοὺς σπατάλους, καθώς, ἐπίσης, καὶ ἀπὸ τὴν σπατάλην. Νὰ φεύγῃς μακρὰν ἀπὸ τοὺς ἀκολάστους, καθὼς καὶ ἀπὸ τὴν ἀκολασίαν. Διότι ἐὰν ἡ ἁπλῆ ἀνάμνησις λόγων ταράσσῃ τὴν διάνοιαν, πόσον μᾶλλον ἡ συνεχὴς παρατήρησις καὶ ἡ ἐπικοινωνία μὲ τὰ ἀνωτέρω ἐλαττώματα καὶ τοὺς ἐργάτας των;

Νὰ πλησιάσῃς τοὺς δικαίους καὶ δι' αὐτῶν θὰ προσεγγίσῃς τὸν Θεόν. Νὰ συναναστρέφεσαι μὲ αὐτοὺς ποὺ ἔχουν ταπείνωσιν καὶ θὰ μάθῃς τοὺς τρόπους των· διότι ἐὰν εἶναι ὠφέλιμος, εἰς τὸν ἄνθρωπον, ἡ νοερὰ παρατήρησις τῶν ἀναφερθέντων προτερημάτων, πόσον μᾶλλον ἡ δι-

δασκαλία τῶν ἀρετῶν αὐτῶν ἀπὸ τὸ στόμα ἐκείνων, ποὺ ζοῦν τὰς ἀρετὰς αὐτάς;

Ι'. Ἐν τῷ Γεροντικῷ

ΗΛΘΟΝ ποτε ἑπτὰ ἀδελφοὶ ἀπὸ Ἀλεξανδρείας πρὸς τὸν Ἀββᾶν Μακάριον, πειράζοντες αὐτὸν καὶ εἶπον· εἰπὲ ἡμῖν, πάτερ, πῶς σωθῶμεν; ὁ δὲ γέρων, στενάξας, εἶπεν· ὦ ἀδελφοί· ἕκαστος ἡμῶν οἶδε πῶς σώζεται, ἀλλ' οὐ θέλομεν σωθῆναι· οἱ δὲ εἶπον πρὸς αὐτόν· πάνυ πολλὰ θέλομεν σωθῆναι, ἀλλ' οὐκ ἐῶσιν ἡμᾶς οἱ πονηροὶ λογισμοί· τί οὖν ποιήσωμεν; Ὁ δὲ γέρων ἀπεκρίθη αὐτοῖς· εἰ Μοναχοί ἐστε, διατί γυρίζετε μετὰ τῶν κοσμικῶν, ἢ πλησιάζετε ὅπου μένει κοσμικός; Οἱ ἀποταξάμενοι τῷ κόσμῳ, καὶ φορέσαντες τὸ ἅγιον σχῆμα, καὶ ὄντες ἀναμέσον τῶν κοσμικῶν, ἑαυτοὺς φρεναπατῶσιν· εἰς μάτην γάρ ἐστι πᾶς ὁ κόπος αὐτῶν, καὶ μακράν εἰσι τοῦ φόβου τοῦ Θεοῦ· ἐκ γὰρ τῶν κοσμικῶν οὐδὲν ἄλλο κερδαίνουσιν, εἰ μὴ σαρκικὴν ἀνάπαυσιν· ὅπου δέ ἐστι σαρκικὴ ἀνάπαυσις, ἐκεῖ φόβος Θεοῦ οἰκῆσαι οὐ δύναται, καὶ μάλιστα ἐν Μοναχῷ.

Ὁ γὰρ Μοναχός, διὰ τοῦτο λέγεται Μοναχός, ὅτι νύκτα καὶ ἡμέραν τῷ Θεῷ ὁμιλεῖ, καὶ τὰ Αὐτοῦ μόνα φαντάζεται, μηδὲν ἔχων ἐπὶ τῆς γῆς. Ὁ δὲ Μοναχὸς ὁ μετὰ κοσμικῶν διάγων, ἢ ποιῶν μετ' αὐτῶν ποτε πλεῖον ἡμέρας μιᾶς, ἢ τὸ πολὺ δύο, καὶ τοῦτο διὰ τὴν ἀναγκαίαν χρείαν καὶ τὸ μὴ δύνασθαι ζῆν ἄλλως, ἤτοι διὰ τὸ πωλῆσαι τὸ ἐργόχειρον αὐτοῦ καὶ ἀγοράσαι τὰς χρείας αὐτοῦ, καὶ ὑποστρέψαι μετὰ σπουδῆς, εἶτα μετανοῆσαι τῷ Θεῷ γνησίως ὑπὲρ τῆς μιᾶς ἢ τῶν δύο ἡμερῶν, ὧν ἐν τῷ κόσμῳ πεποίηκε διὰ τὴν ἀνάγκην τῆς φύσεως.

Ὁ οὖν μὴ οὕτω ποιῶν, ἀλλὰ συνεχῶς παραβάλλων τοῖς κοσμικοῖς, μή τινος ἀνάγκης κατεπειγούσης, ἢ χρονοτριβῶν μετ' αὐτῶν, οὐκ ἔστι Μοναχὸς κυρίως, οὐδὲ ὠφεληθήσεταί ποτε, μᾶλλον δὲ ταῦτα κερδήσει ἐκ τῆς μετὰ τῶν κοσμικῶν διαγωγῆς. Κατ' ἀρχὰς μὲν γάρ, ὅταν πλησιάζῃ αὐτοῖς, ἐγκρατὴς γίνεται γλώσσης, καὶ νηστεύει, καὶ ταπεινοῖ ἑαυτὸν ἕως οὗ γνωρισθῇ καὶ ἐκβῇ ἡ φήμη αὐτοῦ, ὅτι ὁ δεῖνα ὁ Μοναχὸς δοῦλος τοῦ Θεοῦ ὑπάρχει· καὶ εὐθέως ὑποβάλλει ὁ σατανᾶς τοὺς κοσμικοὺς φέρειν αὐτῷ ἅπασαν τὴν χρείαν ἀπό τε οἴνου καὶ χρυσίου καὶ παντὸς εἴδους, λέγοντας περὶ αὐτοῦ· ἅγιος, ἅγιος. Ὁ δὲ ἀκούων τὸ ἅγιος, φυσιοῦται ὁ ταπεινός, καὶ ἄρχεται καθέζεσθαι μετ' αὐτῶν ἐσθίων καὶ πίνων καὶ ἀναπαυόμενος· καὶ ἐν τῇ ψαλμῳδίᾳ δὲ ἀνιστάμενος ὑψοῖ τὴν φωνὴν αὐτοῦ, ἵνα εἴπωσιν οἱ κοσμικοὶ ὅτι ὁ δεῖνα ὁ Μοναχὸς ψάλλει καὶ ἀγρυπνεῖ, καὶ ἐπαινέσωσιν αὐτόν, καὶ ἐκ τῶν ἐπαίνων μειζόνως ἐπαίρεται καὶ ὑψοῦται, καὶ τότε ἀπέρχεται ἐξ αὐτοῦ παντελῶς ἡ ταπείνωσις.

Λοιπὸν οὖν ἐάν τις εἴπῃ αὐτῷ τραχὺν λόγον, ἀποκρίνεται αὐτὸς τραχυτέρως, καὶ οὕτως ὁ θυμός, ὑπὸ τῆς κενοδοξίας βοηθούμενος, ὑπεραυξάνει ἐν αὐτῷ· καὶ ἡ ἐπιθυμία δὲ σφοδροτέρως ἀνάπτεται ἐν αὐτῷ, θεωροῦντι συνεχῶς γυναῖκας καὶ παῖδας καὶ ἀκούοντι τὰ κοσμικὰ λόγια· ὅθεν καὶ μοιχεύει καθ' ἑκάστην καὶ οὐκ αἰσθάνεται· «πᾶς γάρ, φησιν, ὁ ἐμβλέψας εἰς γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ».

Ἔπειτα ἐπιχειρεῖ συνάξαι τὰς χρείας τοῦ ἐνιαυτοῦ, ἑαυτοῦ τε ἕνεκα καὶ

τῶν παραβαλλόντων· εἶτα διπλασιάζει ταύτας, εἰς πλείονα δῆθεν τῶν ἐρχομένων ἀνάπαυσιν· καὶ ἐκ τούτου συνάγει χρυσίον καὶ ἀργύριον. Καὶ λοιπὸν οὐ παύεται προστιθεὶς τοῖς ἑαυτοῦ κακοῖς, ἕως οἱ δαίμονες τελείως αὐτῷ ἐγγελάσωσι, μακρύναντες αὐτὸν ἀπὸ τοῦ Θεοῦ, καὶ εἰς τὸν τῆς φιλαργυρίας καταχρημνίσαντες ὄλεθρον. Ρίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ὡς εἴρηκεν ὁ Ἀπόστολος· καὶ ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτον ἀπέχει φιλάργυρος Μοναχὸς ἀπὸ τῆς δόξης τοῦ Θεοῦ· καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν Μοναχοῦ φιλαργύρου.

Μοναχὸς συντυγχάνων κοσμικὰς ὁμιλίας, εὐχῶν τῷ ὄντι χρήζει πολλῶν Ἁγίων Πατέρων, εἴ γέ τι αὐτὸν μικρὸν ὠφελῆσαι δυνήσονται· τῷ γὰρ ἑαυτὸν εἰς θάνατον ἐμβάλλοντι, τίς ὁ βοηθήσων; οὐκ ἀκούομεν τοῦ Ἀποστόλου Ἰωάννου λέγοντος· «μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ· ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ Θεοῦ ἐν αὐτῷ»· καὶ Ἰακώβου τοῦ ἀδελφοθέου φάσκοντος· «εἴ τις δοκεῖ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται»· ἡ γὰρ τοῦ κόσμου φιλία, ἔχθρα εἰς τὸν Θεόν.

Φύγωμεν οὖν, ἀδελφοί, ἀπὸ τοῦ κόσμου, ὡς φεύγει τις ἀπὸ ὄφεως· ὁ γὰρ ὑπὸ ὄφεως δηχθείς, ἢ ἀποθνήσκει, ἢ μόλις ὑγιαίνει· συμφέρον ἐστὶν ἡμῖν ἕνα πόλεμον ἔχειν καὶ μὴ πολλοὺς καὶ ἀναριθμήτους. Εἴπατε, ἀδελφοί· οἱ Πατέρες ἡμῶν ποῦ ἐκτήσαντο τὰς ἀρετάς, εἰς τὸν κόσμον ἢ εἰς τὴν ἔρημον; δῆλον ὡς εἰς τὴν ἔρημον τὴν ἄβατον κοσμικοῖς· ἡμεῖς δέ, εἰ ἐν τῷ κόσμῳ ἐσμέν, πῶς δυνησόμεθα κτήσασθαι ἀρετήν; ἐὰν γὰρ μὴ πεινάσωμεν καὶ διψήσωμεν καὶ ριγήσωμεν, καὶ μακρὰν τῶν ὑλῶν τοῦ κόσμου γενώμεθα, καὶ πᾶσι τοῖς τῆς σαρκὸς θελήμασιν ἀποθάνωμεν, πῶς ζήσομεν τῇ ψυχῇ; πῶς τῆς τῶν οὐρανῶν Βασιλείας τευξόμεθα; Καὶ γὰρ ἐὰν μὴ πολεμήσῃ ὁ στρατιώτης καὶ νικήσῃ, καὶ μετὰ ταῦτα λύσῃ καὶ χρήματα, οὐκ ἀξιοῦται τιμῆς· ἡμεῖς δὲ τρώγοντες καὶ πίνοντες, καὶ ἀναμέσον τῶν κοσμικῶν ὄντες, ἐν οἷς ἦμεν καὶ πρότερον, πῶς οὖν τῆς Βασιλείας τῶν οὐρανῶν ἀξιωθησόμεθα;

Μοναχὸς ὁ ἔχων χρυσίον ἢ ἀργύριον ἢ ὕλας οὐ πιστεύει ὅτι ὁ Θεὸς δύναται θρέψαι αὐτόν, ὁ καὶ τὰ θηρία καὶ κήτη τὰ ἐν τῇ θαλάσσῃ τρέφων· καὶ εἰ ἄρτον οὐ δύναται παρασχεῖν ἡμῖν, οὐδὲ τὴν Βασιλείαν αὐτοῦ δύναται δοῦναι ἡμῖν· καὶ λοιπὸν εἰς τί κοπιῶμεν; Εἴπατέ μοι, ἀδελφοί, οἱ Ἄγγελοι ἐν τῷ οὐρανῷ χρυσίον καὶ ἀργύριον σωρεύουσιν ἢ δόξαν Θεοῦ; καὶ ἡμεῖς οὖν διατί ἀπεταξάμεθα τῷ κόσμῳ, ἵνα χρήματα καὶ ὕλας πάλιν συνάγωμεν, ἢ ἵνα Ἄγγελοι γενώμεθα; ἢ ἀγνοεῖτε ὅτι τὸ πεσὸν ἐκ τοῦ οὐρανοῦ τάγμα ἐκ τῶν Μοναχῶν τελειοῦται; τοῦτο γὰρ δηλοῖ καὶ τὸ σχῆμα ἡμῶν Ἀγγελικὸν παρὰ πάντων λεγόμενον.

2. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· τί ποιήσω ταῖς ἀκερδέσι μου φιλίαις, ἃς ἔχω; καὶ ἀπεκρίθη ὁ γέρων· ἔστιν ἄνθρωπος ρέγχων εἰς τὸ ἀποθανεῖν, καὶ προσέχων φιλίαις τοῦ κόσμου τούτου; μὴ ἐγγίσῃς, μηδὲ ἅψῃ αὐτῶν, καὶ ἀφ' ἑαυτῶν ἀλλοτριοῦνται.

3. Εἶπε γέρων· ὁ ἁμαρτήσας τῷ Θεῷ, ὀφείλει χωρίσαι ἑαυτὸν ἀπὸ πάσης

σχέσεως ἀνθρωπίνης, ἕως οὗ πληροφορηθῇ, ὅτι γέγονε φίλος αὐτοῦ ὁ Θεός· ἡ γαρ ἀγάπη τῶν ἀνθρώπων κωλύει ἡμᾶς ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ.

4. Εἶπε γέρων· ὥς περ τις ἀποθανὼν ἐν πόλει οὔτε τῆς φωνῆς τῶν ἐκεῖ ἀκούει, οὔτε τινὸς τῶν ἐν αὐτῇ γινομένων αἰσθάνεται, ἀλλὰ μετατίθεται ἐν ἑτέρῳ τόπῳ, ἔνθα οὐ φθάνουσιν αἱ τῆς πόλεως φωναὶ καὶ κραυγαί, οὕτω καὶ ὁ Μοναχός· ἐπὰν ἀποτάξηται καὶ πρὸς τὸν μοναδικὸν βίον ἑαυτὸν μεταθήσῃ, ὀφείλει νεκρὸς γενέσθαι πρὸς πᾶσαν τοῦ κόσμου προσπάθειαν, καὶ πρὸς τὸν περισπασμὸν καὶ μόχθον τοῦ ματαίου καὶ ψυχοφθόρου βίου, μακρὰν τούτων γενόμενος. Εἰ δὲ καὶ μετὰ τὸ ἀποτάξασθαι οὐκ ἐξέλθοι ἐκ τῆς πατρίδος αὐτοῦ, ἀλλ' ἐν μέσῳ ἐστὶ τῶν πρὶν ταραχῶν, ὁ τοιοῦτος ἔοικε νεκρῷ κειμένῳ ἐν οἴκῳ καὶ ὀζέσαντι, οὗ τινος πάντες οἱ ὀσφρανθέντες μακρὰν ἀποφεύγουσιν.

5. Ὁ αὐτὸς εἶπεν· ὥς περ κρέα ἄναλα μὴ ἔχοντα ἅλας σήπεται καὶ δυσώδη γίνεται, ὡς καὶ πάντας τοὺς πλησίον ἀποστρέφειν τὰς ὄψεις αὐτῶν ἐκ τῆς δυσωδίας· ἀλλὰ καὶ σκώληκες ἐν αὐτοῖς τίκτονταί τε καὶ ἕρπουσι καὶ ἐμφωλεύουσιν ἐσθίοντες ἐξ αὐτῶν· εἰ δὲ ἐπιλεβηθῇ τούτοις ἅλας οἵ τε σκώληκες ἀναιροῦνται καὶ ἡ δυσωδία παύεται· ἀφανιστικὴ γὰρ ἀμφοτέρων ἡ φύσις τοῦ ἅλατος· οὕτω καὶ ὁ Μοναχὸς ὁ ἑαυτὸν ἐκδιδοὺς εἰς τὰς γηΐνους φροντίδας καὶ τοὺς ἔξω περισπασμούς, καὶ μὴ ἡσυχάζων ἐν τῷ Μοναστηρίῳ αὐτοῦ, καὶ ἐνδυναμῶν ἑαυτὸν τῷ τοῦ Θεοῦ φόβῳ τοῦ μὴ χαυνωθῆναι τῇ ἀμελείᾳ καὶ στύφων τῇ τοῦ θανάτου μελέτῃ καὶ τῶν ἐκεῖθεν κολάσεων, καὶ τὴν καρδίαν ἑαυτοῦ στερεῶν τῇ προσευχῇ καὶ τῇ ἀγρυπνίᾳ, δι' ὧν τὸ πνευματικὸν ἅλας ἐγγίνεται, ὁ τοιοῦτος σέσηπε καὶ πολλῆς ἐμπέπλησται δυσωδίας ἀκαθάρτων καὶ πονηρῶν λογισμῶν, ὡς ἀποστρέφεσθαι ἀπ' αὐτοῦ τὸ πρόσωπον τοῦ Θεοῦ καὶ τῶν ἐκλεκτῶν Ἀγγέλων μυσαττομένων τὴν ἀκαθαρσίαν τῆς τοιαύτης ψυχῆς, καὶ πόρρω γινομένων αὐτῆς· καὶ λοιπὸν ἐμφωλεύουσιν ἐν αὐτῇ οἱ νοητοὶ σκώληκες, ἤγουν αἱ δυνάμεις τοῦ σκότους αἱ ταῖς τοιαύταις δυσωδίαις ἀεὶ ἐνηδόμεναι, καὶ ἐμπεριπατοῦσιν ἐν αὐτῇ, καὶ ἐννέμονται, βρῶσιν ἡδείαν ποιούμεναι τὰς ρυπαρίας τῶν ἀκαθάρτων λογισμῶν τε καὶ πράξεων, δι' ὧν φθείρεται ἡ ἀθλία καὶ χωρεῖ εἰς ἀπώλειαν.

Εἰ δὲ τῆς τοιαύτης αὐτοῦ βλάβης ὁ Μοναχὸς αἰσθόμενος τοὺς ἔξωθεν περισπασμοὺς ἀπορρίψῃ, καὶ τῷ Θεῷ ὅλον ἑαυτὸν ἀναθέμενος, καὶ αὐτὸν τελείως ἐλπίσας, πᾶσαν τὴν ἑαυτοῦ μέριμναν καὶ ἀσχολίαν τρέψῃ εἰς τὴν Αὐτοῦ εὐαρέστησιν, τότε οὐ μετὰ πολὺν χρόνον ἀποστέλλει αὐτῷ ὁ Θεὸς τὸ πνευματικὸν ἅλας, ἤτοι τὸ ἀγαθὸν καὶ φιλάνθρωπον πνεῦμα· οὗ καὶ ἐλθόντος, πάντα τὰ πάθη, καὶ οἱ ἐν αὐτοῖς καὶ δι' αὐτῶν ἐνεργοῦντες δαίμονες εὐθὺς ἀφανίζονται καὶ ὡσεὶ καπνὸς ἐκλιμπάνουσιν.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἦλθον ἀπὸ τὴν Ἀλεξάνδρειαν ἑπτὰ ἀδελφοὶ πρὸς τὸν Αββᾶν Μακάριον, διὰ νὰ τὸν δοκιμάσουν. Τὸν ἠρώτησαν λοιπόν·

— Πάτερ, εἰπὲ εἰς ἡμᾶς πῶς νὰ σωθῶμεν;

Ὁ Γέρων ἀνεστέναξε καὶ ἀπήντησεν:

—Ὦ! ἀδελφοί μου, κάθε ἕνας ἀπὸ ἡμᾶς γνωρίζει πῶς σώζεται ἀλλὰ δὲν θέλομεν νὰ σωθῶμεν.

— Πάτερ, — ἠρώτησαν ἐκ δευτέρου οἱ ἐπισκέπται — πάρα πολὺ θέλομεν νὰ σωθῶμεν, ἀλλὰ δὲν μᾶς ἀφήνουν οἱ πονηροὶ λογισμοί, Τί νὰ κάνωμεν λοιπόν;

Ὁ Γέρων τότε ἀπήντησε πρὸς αὐτούς:

—Ἐὰν εἶσθε πραγματικοὶ Μοναχοί, διατί γυρίζετε μὲ τοὺς κοσμικοὺς ἢ πλησιάζετε ἐκεῖ ποὺ μένει κοσμικός; Ὅσοι ἠρνήθησαν τὸν κόσμον καὶ ἐφόρεσαν τὸ ἅγιον σχῆμα καὶ ἐξακολουθοῦν νὰ παραμένουν μεταξὺ τῶν κοσμικῶν, ἐξαπατοῦν τοὺς ἑαυτούς των. Διότι εἶναι χαμένος ὁ κόπος των καὶ εὑρίσκονται μακρὰν ἀπὸ τὸν φόβον τοῦ Θεοῦ· ἀπὸ τοὺς κοσμικοὺς τίποτε ἄλλο δὲν κερδίζουν, παρὰ μόνον σαρκικὴν ἀνάπαυσιν. Ὅπου δὲ ὑπάρχει σαρκικὴ ἀνάπαυσις, ἐκεῖ δὲν εἶναι δυνατὸν νὰ κατοικήσῃ ὁ φόβος τοῦ Θεοῦ καὶ πρὸ παντὸς εἰς Μοναχόν.

Ὁ Μοναχός, δι' αὐτὸ ἀκριβῶς λέγεται Μοναχός, ἐπειδὴ νύκτα καὶ ἡμέραν ἐπικοινωνεῖ μὲ τὸν Θεὸν καὶ μόνον τὰ τοῦ Θεοῦ φαντάζεται μὴ ἔχων τίποτα ἐπάνω εἰς τὴν γῆν. Ὁ Μοναχός, ποὺ συναναστρέφεται κατὰ καιροὺς μὲ κοσμικούς, δὲν πρέπει νὰ περνᾷ μαζί των περισσότερον ἀπὸ μίαν ἢ τὸ πολὺ δύο ἡμέρας, καὶ τοῦτο κατ' ἀνάγκην καὶ ἐπειδὴ δὲν ἠμπορεῖ νὰ ζήσῃ κατ' ἄλλον τρόπον· διὰ νὰ πωλήσῃ δηλαδὴ τὸ ἐργόχειρόν του καὶ νὰ ἀγοράσῃ τὰ ἀναγκαῖα εἰς αὐτόν, νὰ ἐπιστρέψῃ δέ, μετὰ ταῦτα, καὶ νὰ μετανοήσῃ εἰλικρινῶς ἐνώπιον τοῦ Θεοῦ, διὰ τὴν μίαν ἢ τὰς δύο ἡμέρας, ποὺ παρέμεινεν εἰς τὸν κόσμον διὰ τὰς ἀπαραιτήτους βιοτικὰς ἀνάγκας.

Ἐκεῖνος λοιπὸν ποὺ δὲν ἐνεργεῖ κατ' αὐτὸν τὸν τρόπον, ἀλλὰ ἐπισκέπτεται συνεχῶς τοὺς κοσμικούς, χωρὶς καμμίαν σπουδαίαν ἀνάγκην, ἢ περνᾷ πολὺν καιρὸν μαζί των, δὲν εἶναι πραγματικὸς Μοναχός, οὔτε θὰ ὠφεληθῇ ποτέ, ἀπὸ τὴν συναναστροφήν του δὲ μὲ τοὺς κοσμικοὺς τὰ ἑξῆς, μᾶλλον, θὰ κερδίσῃ:

Ὅταν διὰ πρώτην φορὰν τοὺς πλησιάζῃ, δὲν λέγει πολλὰ καὶ νηστεύει καὶ ταπεινώνεται ἕως ὅτου καλογνωρισθῇ μὲ αὐτοὺς καὶ διαδοθῇ ἡ φήμη του, ὅτι, τάχα, ὁ δεῖνα Μοναχὸς εἶναι γνήσιος δοῦλος τοῦ Θεοῦ· ἀμέσως τότε ὁ σατανᾶς παρακινεῖ τοὺς κοσμικοὺς νὰ τοῦ φέρουν ὅλα τὰ χρειώδη, ἀπὸ κρασὶ καὶ χρήματα καὶ ἄλλα εἴδη καὶ νὰ λέγουν δι' αὐτὸν «ἅγιος, ἅγιος ἄνθρωπος». Ὁ Μοναχὸς τότε μόλις ἀκούει, διὰ τὸν ἑαυτόν του, τὴν λέξιν «ἅγιος», ὑπερηφανεύεται, ἀπὸ ταπεινὸς ποὺ ἦτο, καὶ ἀρχίζει νὰ κάθεται, ἀνεμπόδιστος, μαζί τους, νὰ τρώγῃ, νὰ πίνῃ καὶ νὰ ἀναπαύεται· ὅταν δὲ ψάλλῃ, ὑψώνει τὴν φωνήν του, διὰ νὰ εἴπουν οἱ κοσμικοὶ ὅτι ὁ δεῖνα Μοναχὸς ψάλλει καὶ ἀγρυπνεῖ, διὰ νὰ τὸν ἐπαινέσουν· τότε ὁ Μοναχὸς αὐτὸς φουσκώνει περισσότερον ἀπὸ τοὺς ἐπαίνους, ὁπόταν φεύγῃ τελείως ἡ ταπείνωσις ἀπὸ αὐτόν.

Ἐν τῷ μεταξύ, ἐὰν κανεὶς τοῦ ἀπευθύνῃ σκληρὸν λόγον, τοῦ ἀπαντᾷ περισσότερον ἄσχημα καὶ τοιουτοτρόπως διογκώνεται μέσα του

ὁ θυμὸς βοηθούμενος ἀπὸ τὴν κενοδοξίαν. Παραλλήλως καὶ ἡ σαρκικὴ ἐπιθυμία φουντώνει μέσα εἰς τὴν ψυχήν του, μὲ μεγαλυτέραν σφοδρότητα, ἐφ' ὅσον βλέπει συνεχῶς γυναῖκας καὶ παιδία καὶ ἀκούει τὰ κοσμικὰ λόγια. Δι' αὐτὸ καὶ καθημερινῶς μοιχεύει, χωρὶς νὰ τὸ αἰσθάνεται, ὅπως λέγει καὶ ὁ Κύριος εἰς τὸ Εὐαγγέλιον· «κάθε ἕνας, ποὺ βλέπει γυναῖκα μὲ πονηρὰν ἐπιθυμίαν, ἤδη ἔχει μοιχεύσει εἰς τὴν καρδίαν του» (Ματθ. ε', 28).

Μετὰ ταῦτα προσπαθεῖ νὰ μαζεύσῃ τὰ ἀναγκαιοῦντα δι' αὐτὸν ὁλοκλήρου τοῦ ἔτους, πρὸς συντήρησίν του καὶ χάριν τῶν ἐπισκεπτῶν του· ἔπειτα διπλασιάζει τὰ ἐφόδια αὐτά, διὰ νὰ ἀναπαύσῃ, δῆθεν, περισσότερον αὐτοὺς ποὺ θὰ τὸν ἐπισκεφθοῦν, ἐξ αἰτίας δὲ αὐτοῦ θησαυρίζει ἀργυρᾶ καὶ χρυσᾶ νομίσματα. Τοιουτοτρόπως δὲν σταματᾷ νὰ ἐπαυξάνῃ τὰ ἐλαττώματα καὶ τὰς κακίας του, μέχρις ὅτου οἱ δαίμονες τὸν ἐξαπατήσουν τελείως, τὸν ἀπομακρύνουν ἀπὸ τὸν Θεὸν καὶ τὸν κατακρημνίσουν εἰς τὸ βάραθρον τῆς φιλαργυρίας· διότι ἡ ῥίζα ὅλων τῶν κακῶν εἶναι ἡ φιλαργυρία (Α' Τιμ. στ', 10), ὅπως λέγει ὁ Ἀπόστολος Παῦλος. Ὅσον δὲ ἀπέχει ὁ οὐρανὸς ἀπὸ τὴν γῆν, τόσον πολὺ ἀπέχει ὁ φιλάργυρος Μοναχὸς ἀπὸ τὴν δόξαν τοῦ Θεοῦ· δὲν ὑπάρχει κακία μεγαλυτέρα ἀπὸ τὴν κακίαν τοῦ φιλαργύρου Μοναχοῦ.

Μοναχός, ὁ ὁποῖος συναναστρέφεται κοσμικούς, ἔχει πράγματι τὴν ἀνάγκην πολλῶν Ἁγίων Πατέρων, μήπως ἠμπορέσουν καὶ τὸν βοηθήσουν ὀλίγον· διότι ἐκεῖνον, ὁ ὁποῖος ὁδηγεῖται μόνος του εἰς τὸν θάνατον, ποῖος ἠμπορεῖ νὰ τὸν βοηθήσῃ; Δὲν ἀκούομεν τὸν Ἀπόστολον Ἰωάννην ποὺ λέγει «νὰ μὴ ἀγαπᾶτε τὸν κόσμον οὔτε τὰ κοσμικὰ πράγματα· ἐὰν κάποιος ἀγαπᾷ τὸν κόσμον, δὲν ὑπάρχει ἡ ἀγάπη τοῦ Θεοῦ εἰς αὐτόν»; (Α' Ἰωάν. β', 15). Ἂς προσέξωμεν τί λέγει καὶ ὁ ἀδελφόθεος Ἰάκωβος· «Ἂν κάποιος νομίζῃ πὼς εἶναι φίλος τοῦ κόσμου, καθίσταται ἐχθρὸς τοῦ Θεοῦ» (Ἰακώβ. δ', 4), διότι ἡ φιλία τοῦ κόσμου εἶναι ἔχθρα πρὸς τὸν Θεόν.

Ἂς φύγωμεν λοιπόν, ἀδελφοί μου, μακρὰν ἀπὸ τὸν κόσμον, ὅπως φεύγει κανεὶς τὸν ὄφιν· διότι ἐκεῖνος ποὺ δαγκώνεται ἀπὸ τὸ φίδι ἢ ἀποθνήσκει ἢ δυσκόλως θεραπεύεται. Εἶναι συμφέρον εἰς ἡμᾶς νὰ ἀντιμετωπίζωμεν ἕνα πόλεμον καὶ ὄχι πολλοὺς καὶ ἀναριθμήτους. Εἴπατέ μου, ἀδελφοί· οἱ Πατέρες ἡμῶν ποὺ ἀπέκτησαν τὰς ἀρετάς, εἰς τὸν κόσμον ἢ εἰς τὴν ἔρημον; Εἶναι ὁλοφάνερον πὼς ἀπέκτησαν τὰς ἀρετὰς εἰς τὴν ἔρημον, εἰς τὴν ὁποίαν δὲν εἶναι δυνατὸν νὰ πλησιάσουν οἱ κοσμικοί· ἡμεῖς λοιπὸν πῶς θὰ ἠμπορέσωμεν νὰ ἀποκτήσωμεν τὴν ἀρετήν, ἐφ' ὅσον παραμένωμεν εἰς τὸν κόσμον; Διότι ἐὰν δὲν πεινάσωμεν καὶ δὲν διψάσωμεν καὶ δὲν κρυώσωμεν καὶ δὲν ἀπομακρυνθῶμεν ἀπὸ τὰ ὑλικὰ ἀγαθὰ τοῦ κόσμου καὶ δὲν νεκρώσωμεν ὅλα τὰ θελήματα τῆς σαρκός, πῶς, τότε, θὰ ζήσωμεν ψυχικῶς; Πῶς θὰ ἐπιτύχωμεν τὴν Βασιλείαν τῶν Οὐρανῶν; Ὁ στρατιώτης ἐὰν δὲν πολεμήσῃ καὶ δὲν νικήσῃ, καὶ ἐάν, ἀκόμη, δὲν προσφέρῃ χρήματα, δὲν ἀξιώνεται τιμῶν. Ἡμεῖς λοιπὸν πῶς θὰ ἀξιω-

θῶμεν τῆς Βασιλείας τῶν Οὐρανῶν, ὅταν τρώγωμεν καὶ πίνωμεν καὶ συναναστρεφώμεθα μὲ τοὺς κοσμικούς, μετὰ τῶν ὁποίων εἴμεθα καὶ προηγουμένως;

(Μοναχός, ποὺ ἔχει χρυσὸν ἢ ἄργυρον ἢ ἄλλα ὑλικὰ πράγματα, δὲν πιστεύει, ὅτι ὁ Θεὸς εἶναι δυνατὸν νὰ τὸν θρέψῃ, ὅπως τρέφει καὶ τὰ θηρία καὶ τὰ κήτη εἰς τὴν θάλασσαν· καὶ ἐὰν πιστεύωμεν ὅτι δὲν δύναται νὰ μᾶς προσφέρῃ τὸν ὀλίγον ἄρτον, τότε ἀμφιβάλλομεν καὶ ἂν θὰ ἠμπορέσῃ νὰ μᾶς δώσῃ καὶ τὴν Βασιλείαν Του. Τότε λοιπὸν πρὸς τί κοπιάζομεν;)

(Εἴπατέ μου, ἀδελφοί, οἱ Ἄγγελοι εἰς τὸν οὐρανὸν χρυσὸν καὶ ἄργυρον μαζεύουν ἢ δόξαν Θεοῦ; Καὶ ἡμεῖς λοιπὸν διατί ἀπηρνήθημεν τὸν κόσμον, διὰ νὰ συγκεντρώνωμεν πάλιν χρήματα καὶ ὑλικὰ ἀγαθὰ ἢ διὰ νὰ γίνωμεν Ἄγγελοι; Ἢ μήπως ἀγνοεῖτε ὅτι τὸ Ἀγγελικὸν Τάγμα, ποὺ ἐξέπεσεν ἀπὸ τὸν οὐρανόν, θὰ συμπληρωθῇ ἀπὸ τοὺς Μοναχούς; Αὐτὸ ἀκριβῶς φανερώνει καὶ τὸ σχῆμα μας, ποὺ λέγεται ἀπὸ ὅλους Ἀγγελικόν.)

2. Ἕνας Μοναχὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

— Τί νὰ κάνω μὲ τὰς ἐπιζημίους φιλίας, ποὺ ἔχω;

Ὁ Γέρων τοῦ ἀπήντησεν:

—Ὑπάρχει ἄνθρωπος, ποὺ ἐνῷ εὑρίσκεται εἰς τὴν ἐπιθανάτιον ἀγωνίαν, προσέχει εἰς τὰς φιλίας αὐτοῦ τοῦ κόσμου; Μὴ ἐγγίσῃς, οὔτε νὰ πλησιάσῃς κοσμικούς, καὶ τότε μόναι των θὰ ἀπομακρυνθοῦν ἀπὸ σὲ αἱ φιλίαι τοῦ κόσμου αὐτοῦ.

3. Ἕνας Γέρων εἶπεν: Ἐκεῖνος ποὺ ἡμάρτησεν ἐνώπιον τοῦ Θεοῦ, ἔχει ὑποχρέωσιν νὰ ἀποχωρισθῇ ἀπὸ κάθε ἀνθρωπίνην σχέσιν, μέχρις ὅτου πληροφορηθῇ ὅτι ἔγινε καὶ πάλιν φίλος του ὁ Θεός· διότι ἡ ἀγάπη τῶν ἀνθρώπων μᾶς ἐμποδίζει ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ.

4. Εἶπε Γέρων· «ὅπως ἀκριβῶς ὁ ἀποθανὼν εἰς τὴν πόλιν οὔτε τὴν φωνὴν τῶν κατοίκων τῆς πόλεως ἀκούει, οὔτε ἀντιλαμβάνεται ὅσα γίνονται εἰς αὐτήν, ἀλλὰ μεταφέρεται εἰς ἄλλον τόπον, ὅπου δὲν φθάνουν αἱ φωναὶ καὶ αἱ κραυγαὶ τῆς πόλεως, τοιουτοτρόπως πρέπει νὰ εἶναι καὶ ὁ Μοναχός. Ἐφ' ὅσον ἀρνηθῇ τὸν κόσμον καὶ ἀκολουθήσῃ τὸν Μοναχικὸν βίον, ἔχει ὑποχρέωσιν νὰ νεκρωθῇ διὰ πᾶσαν κοσμικὴν ἐνέργειαν καὶ νὰ ἀπομακρυνθῇ ἀπὸ κάθε περισπασμὸν καὶ μόχθον τῆς ματαίας καὶ ψυχοφθόρου αὐτῆς ζωῆς. Ἐὰν δὲ καὶ ἀφοῦ ἀσπασθῇ τὸν Μοναχικὸν βίον, δὲν ἀπομακρυνθῇ ἀπὸ τὴν πατρίδα του, ἀλλ' ἐξακολουθεῖ νὰ εὑρίσκεται εἰς τὸ μέσον τῶν προηγουμένων ταραχῶν, ὁ Μοναχός, τότε, αὐτὸς ὁμοιάζει πρὸς νεκρόν, ποὺ ἐγκατελείφθη εἰς οἰκίαν καὶ ἐβρώμισε, καὶ ἀπὸ τὸν ὁποῖον, λόγῳ τῆς ἐνοχλητικῆς ὀσμῆς, ἀπομακρύνονται ὅλοι.

5. Ὁ ἴδιος Γέρων εἶπεν· ὅπως τὰ ἀνάλατα κρέατα, ποὺ δὲν ἔχουν ἁλατισθῆ, σαπίζουν καὶ βρωμοῦν, ὥστε ὅλοι νὰ ἀπομακρύνουν τὸ πρόσωπόν των ἀπὸ αὐτά, λόγῳ τῆς δυσωδίας· εἰς τὰ βρωμισμένα δὲ αὐτὰ κρέατα γεννῶνται καὶ σκουλήκια καὶ σύρονται εἰς αὐτά, καὶ κάνουν φω-

λεάς, τρώγοντα ἀπὸ αὐτά· ὅταν ὅμως ρίψωμεν ἁλάτι εἰς αὐτά, τότε καὶ τὰ σκουλήκια φονεύονται καὶ σταματᾷ ἡ δυσωδία, διότι τὸ ἁλάτι ἔχει τὴν ἰδιότητα νὰ ἐξαφανίζῃ καὶ τὰ δύο (καὶ τὰ σκουλήκια δηλαδὴ καὶ τὴν δυσωδίαν). Τὸ ἴδιον συμβαίνει καὶ μὲ τὸν Μοναχόν, ποὺ ἀφοσιώνεται εἰς τὰς ἐπιγείους φροντίδας καὶ τοὺς κοσμικοὺς περισπασμούς, καὶ δὲν ἡσυχάζει εἰς τὸ Μοναστήρι του καὶ δὲν φροντίζει νὰ δυναμώσῃ μὲ τὸν φόβον τοῦ Θεοῦ, διὰ νὰ μὴ παραλύσῃ πνευματικῶς ἀπὸ τὴν ἀμέλειαν· καὶ δὲν προσπαθεῖ νὰ συμμαζεύεται μὲ τὴν μελέτην τοῦ θανάτου καὶ τὰς μετὰ θάνατον τιμωρίας τῶν ἀμελῶν, καὶ δὲν ἐπιδιώκει νὰ στερεώνῃ τὴν καρδίαν του μὲ τὴν προσευχὴν καὶ τὴν ἀγρυπνίαν, αἱ ὁποῖαι ἀποτελοῦν τὸ πνευματικὸ ἁλάτι.

Ὁ Μοναχὸς αὐτὸς ἔχει σαπίσει πνευματικῶς καὶ ἔχει γεμίσει ἀπὸ τὴν πολλὴν δυσωδίαν τῶν ἀκαθάρτων καὶ πονηρῶν λογισμῶν, ὥστε νὰ ἀποστρέφουν ἀπὸ αὐτὸν τὸ πρόσωπόν των ὁ Θεὸς καὶ οἱ ἐκλεκτοὶ Ἄγγελοι, διότι σιχαίνονται τὴν ἀκαθαρσίαν μιᾶς τοιαύτης ψυχῆς καὶ ἀπομακρύνονται ἀπὸ αὐτήν. Τότε λοιπὸν φωλιάζουν εἰς τὴν ψυχὴν αὐτὴν οἱ νοητοὶ σκώληκες, δηλαδὴ αἱ δυνάμεις τοῦ σκότους, ποὺ εὐχαριστοῦνται πάντοτε εἰς τὰς τοιαύτας δυσωδίας καὶ κινοῦνται εἰς τὴν ἀκάθαρτον αὐτὴν ψυχὴν καὶ βόσκουν, ἀπολαμβάνοντες ὡς γλυκεῖαν τροφὴν τὰς ρυπαρότητας τῶν ἀκαθάρτων λογισμῶν καὶ πράξεων, διὰ τῶν ὁποίων καταστρέφεται ἡ δυστυχὴς ψυχὴ καὶ ὁδηγεῖται εἰς τὴν ἀπώλειαν.

Ἐὰν ὁ Μοναχὸς ἀντιληφθῇ ἐγκαίρως τὴν βλάβην αὐτὴν τῆς ψυχῆς του καὶ ἀπορρίψῃ τοὺς κοσμικοὺς περισπασμούς, καὶ ἐμπιστευθῇ τὸν ἑαυτόν του ἐξ ὁλοκλήρου εἰς τὸν Θεόν, καὶ ἐλπίσῃ τελείως εἰς αὐτὸν καὶ κατευθύνῃ ὅλην του τὴν φροντίδα καὶ ἀπασχόλησιν νὰ τὸν εὐχαριστήσῃ, τότε καὶ ὁ Θεός, ἐντὸς ἐλαχίστου χρόνου, τοῦ στέλλει τὸ πνευματικὸν ἁλάτι, δηλαδὴ τὸ καλὸν καὶ φιλάνθρωπον Πνεῦμα. Ὅταν δὲ ἔλθῃ εἰς τὴν ψυχὴν τὸ πνεῦμα αὐτό, τότε ὅλα τὰ πάθη καὶ οἱ δαίμονες ποὺ ἐνεργοῦν διὰ τῶν παθῶν καὶ μέσα εἰς τὰ πάθη αὐτὰ ἀμέσως ἐξαφανίζονται καὶ διαλύονται ὅπως ὁ καπνός.


ΙΑ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, ἐπὶ ἰλὺν πηλοῦ μὴ ἐπιβήσῃ, καὶ ἀπὸ ἀνδρῶν ἐν ἀφοβίᾳ περιπατούντων μάκρυνον σεαυτόν· στρουθίον, στρουθία προσκαλεῖται εἰς εἱρκτήν· καὶ ὁ ταῖς ἁμαρτίαις ἐνσχεθείς, πολλοὺς καὶ ἄλλους εἰς τὰ βάθη τῶν κακῶν προτρέπεται. Παραιτοῦ, ἀδελφέ, εἶναι μετὰ τῶν ἀγαπώντων τὴν ἀργίαν καὶ ἡσυχάσαι μὴ προαιρουμένων. Φεῦγε τοὺς ἀγαπῶντας τὰ συμπόσια καὶ λέγοντας· ποιῶ ἐγὼ σήμερον, σὺ δὲ ποιήσεις τῇ ἐπιούσῃ· ἐὰν γὰρ τοῖς λόγοις τούτοις συγκατάθῃ, οὐ τελέσεις βίον ἐνάρετον, ἀλλὰ παντὸς πάθους γενήσῃ κατοικητήριον· μιμοῦ δὲ τοὺς ζέοντας τῷ πνεύματι καὶ περιπατοῦντας ἐν τῇ στενῇ καὶ τεθλιμμένῃ ὁδῷ, ἵνα καταλάβῃς τὴν ζωὴν τὴν αἰώνιον.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, νὰ μὴ περιπατήσῃς εἰς τὴν λάσπην καὶ νὰ ἀπομακρύνεσαι ἀπὸ ἀνθρώπους, ποὺ δὲν ἔχουν φόβον Θεοῦ. Ὁ φυλακισμένος εἰς τὸ κλουβὶ σπουργίτης σπουργίτας καλεῖ εἰς τὴν φυλακήν του· καὶ ἐκεῖνος ποὺ ἐκυριεύθη ἀπὸ τὰς ἁμαρτίας, προτρέπει καὶ ἄλλους πολλοὺς νὰ κατρακυλίσουν εἰς τὰ βάθη τῶν κακῶν.

Ἀδελφέ, νὰ προσπαθῇς νὰ μὴ συναναστρέφεσαι μὲ αὐτοὺς ποὺ ἀγαποῦν τὴν ἀργίαν καὶ δὲν ἐπιθυμοῦν νὰ ἐπιδίδωνται εἰς τὴν ἀσκητικὴν ἡσυχίαν. Νὰ ἀποφεύγῃς αὐτοὺς ποὺ ἀγαποῦν τὰ συμπόσια καὶ λέγουν· ἐγὼ θὰ σοῦ κάνω σήμερα τὸ τραπέζι καὶ σὺ μοῦ κάνεις αὔριον. Διότι ἐὰν συμφωνήσῃς μὲ αὐτά, δὲν θὰ σοῦ μείνῃ καιρὸς νὰ ζήσῃς τὸν βίον τῆς ἀρετῆς. Ἀλλὰ ἡ ψυχή σου θὰ γίνῃ κατοικητήριον ὅλων τῶν παθῶν· νὰ μιμῆσαι αὐτοὺς ποὺ εἶναι θερμοὶ εἰς τὰ πνευματικά, καὶ βαδίζουν εἰς τὴν στενὴν καὶ στενόχωρον ὁδόν, διὰ νὰ φθάσῃς τὴν ζωὴν τὴν αἰώνιον.





ΥΠΟΘΕΣΙΣ ΚΓ΄

Περὶ τοῦ ὅτι δεῖ πάντων τῶν βλαπτόντων ἀφίστασθαι, κἂν φίλοι ὦσιν, ἢ ἄλλως ἀναγκαιότατοι.

Περὶ τοῦ ὅτι πρέπει νὰ ἀποφεύγωμεν ὅλους ὅσοι μᾶς βλάπτουν, ἔστω καὶ ἐὰν εἶναι φίλοι, ἢ μᾶς εἶναι τελείως ἀπαραίτητοι.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΙΠΕΝ ὁ Ἀββᾶς Ἀγάθων· ἀγαπητός μοί τις καθ᾽ ὑπερβολὴν ἐὰν ᾖ, καὶ γνῶ ὅτι κατάγει με εἰς ἐλάττωμα, ἀποκόπτω αὐτὸν ἀπ᾽ ἐμοῦ.

2. Εἶπε γέρων· χρὴ φεύγειν ἀπὸ πάντων τῶν ἐργαζομένων τὴν ἀνομίαν, κἂν φίλοι ἢ συγγενεῖς ὑπάρχωσι, κἂν ἀξίωμα ἱερέων ἢ Βασιλέων κέκτηνται· ἡ γὰρ τῶν ἐργαζομένων τὴν ἀνομίαν ἀποστασία, φιλίαν ἡμῖν Θεοῦ καὶ παρρησίαν χαρίζεται.

3. Ὁ αὐτὸς εἶπεν· οὐ συμφέρει μετὰ παρανόμων κολλᾶσθαι, οὐχ ἐν Ἐκκλησίᾳ, οὐχ ἐν ἀγορᾷ, οὐχ ἐν βουλῇ, οὐ ἐν ἄλλῳ τινὶ πράγματι, ἀλλ᾽ εἰς τὸ παντελὲς χρὴ τῆς αὐτῶν κοινωνίας ἀπέχεσθαι· πᾶς γὰρ παράνομος, ἀποστροφῆς ἄξιος καὶ κολάσεως αἰωνίου μέτοχος.

4. Εἶπε γέρων· μὴ οἰκήσῃς εἰς τόπον, οὗ βλέπεις τινὰς ἔχοντας ζῆλον κατὰ σοῦ· εἰ δὲ μή γε, οὐ προκόπτεις.

5. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· ἐὰν σκανδαλίσῃ με ἀδελφός, θέλεις βάλω αὐτῷ μετάνοιαν; καὶ ἀπεκρίθη ὁ γέρων· βάλε μετάνοιαν, ἔκκοψον δὲ σεαυτὸν ἀπ᾽ ἐκείνου· ἔχομεν γὰρ τὸν Ἀββᾶν Ἀρσένιον λέγοντα· μετὰ πάντων ἀγάπην ἔχε, ἀπὸ δὲ πάντων ἀπέχου.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΑΓΑΘΩΝ εἶπεν· ἐὰν ὑπάρχῃ κάποιος ποὺ μοῦ εἶναι πολὺ ἀγαπητὸς καὶ ἀντιληφθῶ ὅτι μὲ παρασύρει σὲ κάποιο ἐλάττωμα, τὸν ἀποκόπτω ἀπὸ τὴν συναναστροφήν μου.

2. Ἕνας Γέρων εἶπε· πρέπει νὰ ἀποφεύγωμεν ὅλους ὅσοι ἐργάζον-

ται τὴν ἀνομίαν, ἔστω καὶ ἐὰν εἶναι φίλοι μας, ἢ συγγενεῖς, ἢ ἐὰν κατέχουν τὸ ἀξίωμα τῶν ἱερέων ἢ τῶν Βασιλέων· διότι ἡ ἀποφυγὴ ὅσων ἐργάζονται τὴν ἀνομίαν, χαρίζει εἰς ἡμᾶς τὴν φιλίαν τοῦ Θεοῦ.

3. Ὁ ἴδιος Γέρων εἶπε πάλιν· δὲν συμφέρει νὰ συναναστρεφώμεθα μὲ τοὺς παρανομοῦντας, οὔτε εἰς Ἐκκλησίαν, οὔτε εἰς ἀγοράν, οὔτε εἰς συμβούλιον, οὔτε εἰς οὐδεμίαν ἄλλην περίπτωσιν, ἀλλ' εἶναι ἀνάγκη νὰ ἀπέχωμεν τελείως ἀπὸ τὴν σχέσιν τῶν ἀνθρώπων αὐτῶν· διότι κάθε παράνομος εἶναι ἄξιος ἀποστροφῆς καὶ καταδικασμένος εἰς αἰώνιον κόλασιν.

4. Ἕνας Γέρων εἶπε· νὰ μὴ κατοικήσῃς εἰς τόπον, ὅπου οἱ ἄνθρωποι τοῦ μέρους ἐκείνου αἰσθάνονται ἐναντίον σου φθόνον καὶ ζηλοτυπίαν· εἰδ' ἄλλως δὲν θὰ προκόψῃς.

5. Ἕνας ἀδελφὸς ἠρώτησε Γέροντα· ἐὰν μὲ σκανδαλίσῃ ὁ ἀδελφός μου, θέλεις νὰ τοῦ βάλω μετάνοιαν; Ὁ Γέρων τοῦ ἀπήντησε· νὰ τοῦ βάλῃς μετάνοιαν, ἀλλὰ νὰ ἀπομακρυνθῇς τελείως ἀπὸ αὐτόν· διότι ἔχομεν τὸν Ἀββᾶν Ἀρσένιον, ὁ ὁποῖος μᾶς λέγει· μὲ ὅλους νὰ ἔχῃς ἀγάπην, ἀλλὰ καὶ ἀπὸ ὅλους νὰ ἀπέχῃς.

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΟΙ, προσεκτέον ἀπὸ κακῆς συμβουλίας· ὥς περ γὰρ δύο τινῶν λαμπρῶς ἐστολισμένων καὶ βαδιζόντων ἐν ταὐτῷ κατὰ τὴν ἀγοράν, ὁ εἷς μὴ προσέχων ἑαυτῷ προσκόψας ἔπεσεν ἐν τῷ πηλῷ καὶ τὴν ἔξαλλον στολὴν τελείως ἠχρείωσε, καὶ λοιπὸν κινούμενος ὑπὸ τοῦ φθόνου, σπουδάζει ὥς τε καὶ τὸν πλησίον καταβαλεῖν ἐν τῷ βορβόρῳ, ἵνα μὴ αὐτὸς μόνος ἀσχημονῇ, οὕτω καὶ νῦν οἱ πολλοί· τῆς ἀρετῆς ἐκπεσόντες, ἀγωνίζονται ὑποσκελίσαι καὶ τοὺς λοιπούς, ἵνα μὴ μόνοι ἐν ἀσχημοσύνῃ διατελῶσι. Λαλοῦσι δὲ ταπεινὰ καὶ ἀποκρίνονται γλυκέως, ἵνα κατὰ μικρὸν τῆς σωφροσύνης ἀποσπάσαντες τοὺς ὑπακούσαντας αὐτῶν, εἰς τὸν ὅμοιον καταγάγωσι βόθρον· καὶ οὐκ ἐντρέπονται πράσσοντες τὰ φαῦλα, ἀλλὰ καὶ τῷ πλησίον προτρέπονται λέγοντες· τί ἡμᾶς βδελύσσῃ, ἐπειδὴ ἁμαρτωλοὶ ἐσμέν; οὐκ οἶδας ὅτι τὸ πρᾶγμα τοῦτο πίπτ' ἔγειρ' ἐστί.

Καὶ ταῦτα καὶ τὰ τοιαῦτα λαλοῦντες, οὐκ αἰσχύνονται· διατί; διότι αὐτοὶ μὲν πεσόντες, οὐ βούλονται ἀναστῆναι, ὡς εἶπον, ἀλλὰ καὶ εἰς σκάνδαλον τοῖς πολλοῖς καὶ πτῶσιν καὶ διαφθοράν εἰσι καὶ ὡς δέλεαρ τυγχάνουσι τῷ τοῦ διαβόλου ἀγκίστρῳ. Σπουδάζουσι δὲ καὶ τὰς ἀστηρίκτους ἀπατῆσαι ψυχάς, καὶ εἰς τὴν αὐτὴν ἀπώλειαν ἐπισπάσασθαι. Διὰ τοῦτο φυλάσσου ἀπὸ τῶν τοιούτων, ἀγαπητέ, καὶ μὴ καταθέλξωσί σε τοῖς μαλακοῖς αὐτῶν λόγοις καὶ τῷ αἰωνίῳ πυρὶ ἑαυτῶν παραπέμψωσιν.

2. Ἀδελφός ποτε ἀδελφὸν παρήνει κατὰ Θεόν· παριόντος δὲ ἑτέρου, ἔφη ὁ παρακαλῶν πρὸς τὸν παρερχόμενον· ἰδοὺ παρακαλῶ τὸν ἀδελφόν, καὶ οὐ βούλεταί μου ἀκοῦσαι· ὁ δὲ ἀπεκρίθη· ὀφείλει σου ἀκοῦσαι· συγχώρησον· παρὰ σοῦ γὰρ καὶ κακὸν ἀκοῦσαι καὶ ποιῆσαι, χαρά ἐστιν. Ὁ δὲ ἔφη· οὐχ οὕτως· ἐὰν μὴ δοκιμάσῃ ὅτι κατὰ Θεόν ἐστι, μή μου ἀκούσῃ· οὐ μόνον δὲ ἐμοῦ, ἀλλὰ μηδὲ Προφήτου, ἐὰν παρὰ τὸ θέλημα Θεοῦ συμβουλεύῃ· λέγει γὰρ ὁ Ἀπόστολος· «ἐὰν καὶ

ἡμεῖς ἢ Ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω». Τίνες γὰρ ὑπῆρχον οἱ ἐπαναστάντες κατὰ Σωσάννης ἐν Βαβυλῶνι; οὐχὶ Πρεσβύτεροι; καὶ οὐχ ἁπλῶς Πρεσβύτεροι, ἀλλὰ καὶ κριταὶ καὶ ἡγούμενοι τοῦ λαοῦ; καὶ διὰ τὸ μὴ προσέχειν ἑαυτοῖς, οἵῳ τέλει ὑπέπεσον· καὶ ἡ ἀξία αὐτῶν οὐκ ὠφέλησεν αὐτούς.

Νῆφε, ἀδελφέ, καὶ πρόσεχε σεαυτῷ· πολλαὶ γὰρ αἱ μεθοδεῖαι τοῦ ἐχθροῦ. Ἐὰν γὰρ ἴδῃ ὁ πολέμιος ἀδελφὸν σπουδαῖον εἰς τὸ ἔργον τοῦ Θεοῦ, ἕτερον ἀδελφὸν τῶν ἀμελεστέρων διεγείρει κατ' αὐτοῦ, ὥς τε ἐπηρεάζειν αὐτῷ ἀδίκως καὶ ἀλόγως, ἵνα εἰς ὀργὴν καὶ μνησικακίαν ἴσως ἐμβάλῃ τὸν ἀγωνιζόμενον ἀδελφόν, καὶ οὕτως ἐμποδίσῃ αὐτοῦ τὸν δρόμον τῆς ἀρετῆς, καὶ ἐκπεσεῖν εἰς κακίαν παρασκευάσῃ. Εἰ δὲ ἴδῃ αὐτὸν μακροθύμως τὴν ἐπήρειαν ὑπομένοντα, καὶ τοῦ ἀδικοῦντος ὑπερευχόμενον, ἑτέρῳ πειρᾶται τοῦτον καταβαλεῖν, καὶ φιλιωθῆναι τινὶ τῶν ἀπροσεχῶν καὶ ῥαθύμων ἐπιχειρεῖ, ἵνα διὰ τῆς τοιαύτης φιλίας, θολώσας αὐτοῦ τὸν λογισμόν, συγκεράσῃ αὐτῷ τὴν ἡδυπάθειαν, καὶ ἴσως κατὰ μικρὸν εἰς ἀδιαφορίαν αὐτὸν ὑπαγάγηται· ὁ δὲ τὸν Θεὸν φοβούμενος, οὐκ ἀγαπήσει ποτὲ δίχα τῆς ἄνωθεν σοφίας· γέγραπται γάρ· «ἡ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική» καὶ τὰ ἑξῆς.

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ, πρέπει νὰ προσέχωμεν ἀπὸ κακὴν συμβουλήν· διότι ὅπως μεταξὺ δύο ἀνθρώπων, ποὺ ἔχουν φορέσει λαμπρὰ φορέματα καὶ βαδίζουν συγχρόνως πρὸς τὴν ἀγοράν, ὅταν ὁ ἕνας ἐξ αὐτῶν, ἐπειδὴ δὲν ἐπρόσεχεν ἐμπρός του, ἐσκόνταψε καὶ ἔπεσεν εἰς τὴν λάσπην καὶ τοιουτοτρόπως ἐλέρωσε καὶ κατέστρεψε τὴν ὡραίαν στολήν του καὶ κατόπιν αὐτοῦ, κινούμενος πλέον ἀπὸ φθόνον, ἐπιδιώκει νὰ ρίψῃ καὶ τὸν ἄλλον εἰς τὴν λάσπην, διὰ νὰ μὴ εἶναι μόνον αὐτὸς ἄσχημος καὶ λερωμένος, τὸ ἴδιον συμβαίνει καὶ μὲ τοὺς πολλούς. Ἀφοῦ ἐξέπεσαν ἀπὸ τὴν ἀρετήν, ἀγωνίζονται νὰ παρασύρουν εἰς τὸ κακὸν καὶ τοὺς ὑπολοίπους, διὰ νὰ μὴ ζοῦν μόνον αὐτοὶ εἰς τὴν ἐντροπὴν καὶ τὴν ἀσχημοσύνην.

Ὁμιλοῦν δέ, εἰς τὰς ἀρχάς, ταπεινὰ καὶ ἀπαντοῦν μὲ γλυκύτητα διὰ νὰ ἀποσπάσουν σιγὰ - σιγὰ αὐτοὺς ποὺ τοὺς ἀκούουν, ἀπὸ τὴν σωφροσύνην καὶ νὰ τοὺς ρίψουν εἰς ὅμοιον, μὲ τὸν ἰδικόν των, βόθρον. Καὶ δὲν ἐντρέπονται νὰ κάνουν, μετά, τὰ αἰσχρά, ἀλλὰ καὶ τὸν πλησίον των προτρέπουν, εἰς τὴν αἰσχρουργίαν λέγοντες πρὸς αὐτόν· διατί μᾶς ἀποστρέφεσαι; Ἐπειδὴ εἴμεθα ἁμαρτωλοί; μήπως καὶ οἱ τάδε, ποὺ ἀκούεται ὡς σπουδαῖον τὸ ὄνομά των, δὲν κάνουν τὰ ἴδια; Δὲν γνωρίζεις ὅτι ἡ ζωὴ εἶναι ἕνα πέσε - σήκω;

Λέγοντες δὲ αὐτὰ καὶ τὰ παρόμοια δὲν ἐντρέπονται· διατί; διότι οἱ ἴδιοι ἔπεσαν πλέον εἰς τὴν ἁμαρτίαν καὶ δὲν ἐπιθυμοῦν νὰ σηκωθοῦν, ὅπως σοῦ εἶπον· ἀλλὰ γίνονται καὶ εἰς τοὺς πολλοὺς σκάνδαλον καὶ αἰτία πτώσεως καὶ διαφθορᾶς καὶ τοὺς χρησιμοποιεῖ ὁ διάβολος ὡς δόλωμα εἰς τὸ ἀγκίστρι του. Ἐπιδιώκουν δὲ νὰ ἐξαπατήσουν καὶ τὰς ἀστηρίκτους

ψυχὰς καὶ νὰ τὰς παρασύρουν εἰς τὴν ἰδικήν των ἀπώλειαν. Δι' αὐτό, ἀγαπητέ μου, νὰ προφυλάγεσαι ἀπὸ τοὺς τύπους αὐτούς, διὰ νὰ μὴ σὲ γοητεύουν μὲ τὰ γλυκά των λόγια καὶ σὲ ἐξαποστέλλουν εἰς τὸ αἰώνιον πῦρ τῆς Κολάσεως, εἰς τὸ ὁποῖον καὶ οἱ ἴδιοι θὰ ὑπάγουν.

2. Κάποτε ἕνας ἀδελφὸς συνεβούλευε, κατὰ Θεόν, ἕνα ἄλλον πνευματικόν του ἀδελφόν· κατὰ σύμπτωσιν ἐπερνοῦσεν ἕνας ἄλλος, πρὸς τὸν ὁποῖον εἶπεν ὁ συμβουλεύων.

— Νά, συμβουλεύω ἀπ' ἐδῶ τὸν ἀδελφόν μας, καὶ δὲν θέλει νὰ μὲ ἀκούσῃ.

Τότε ὁ διερχόμενος ἀπήντησε·

— Πρέπει νὰ σὲ ἀκούσῃ· συγχώρησόν με, ἀλλὰ ἀπὸ σένα καὶ κακὸν ἐὰν ἀκούσῃ καὶ νὰ τὸ κάνῃ, χαρὰ θὰ εἶναι.

—Ὄχι — ἀπήντησεν ὁ συμβουλεύων· δὲν εἶναι ἔτσι· ἐὰν δὲν δοκιμάσῃ, ὅτι αὐτὸ ποὺ τὸν συμβουλεύω εἶναι κατὰ Θεόν, νὰ μὴ μὲ ἀκούσῃ· ὄχι δὲ μόνον ἐμένα, ἀλλὰ οὔτε καὶ Προφήτην, ἐὰν ἤθελε νὰ συμβουλεύσῃ κάτι ἀντίθετον πρὸς τὸ θέλημα τοῦ Θεοῦ, διότι ὁ Ἀπόστολος Παῦλος λέγει· «ἐὰν καὶ ἡμεῖς ἴδιοι, ἢ καὶ Ἄγγελος ἀκόμη ἀπὸ τὸν Οὐρανόν, κηρύξῃ εἰς σᾶς κάτι ἀντίθετον ἀπὸ ὅ,τι παρελάβετε, ἂς ἔχει ἀνάθεμα» (Γαλ. α', 8—9). Ἂς σκεφθῶμεν ἀκόμη· ποῖοι ἦσαν οἱ ἐπαναστατήσαντες κατὰ τῆς σωφροσύνης τῆς Σωσάννης εἰς τὴν Βαβυλῶνα; * Μήπως δὲν ἦσαν οἱ πρεσβύτεροι; Καὶ δὲν ἦσαν ἁπλῶς πρεσβύτεροι, ἀλλὰ δικασταὶ καὶ ἄρχοντες τοῦ λαοῦ; Καὶ διὰ νὰ μὴ προσέχουν, οἱ πρεσβύτεροι αὐτοί, τοὺς ἑαυτούς των, ποὺ κατήντησαν· τὸ ἀξίωμά των εἰς τίποτε δὲν ὠφέλησεν.

Ἀδελφέ, ἔχε τὰ μάτια σου ἀνοικτά, καὶ πρόσεχε τὸν ἑαυτόν σου, διότι ὁ ἐχθρὸς μεταχειρίζεται πολλὰς μεθόδους. Ἐὰν ὁ ἐχθρὸς ἴδῃ κά-

---

* Ἡ Σωσάννα ἦτο γυνὴ Ἰουδαία, διάσημος διὰ τὴν σεμνότητά της, θυγάτηρ τοῦ Χελκίου καὶ σύζυγος τοῦ Ἰωακείμ, ἀπὸ τὴν φυλὴν τοῦ Ἰούδα, ἡ ὁποία ἠκολούθησε τὸν σύζυγόν της εἰς Βαβυλῶνα κατὰ τὴν αἰχμαλωσίαν. Μίαν ἡμέραν, κατὰ τὴν ὁποίαν αὕτη ἐξῆλθεν εἰς τὸν κῆπον της, ἵνα λουσθῇ λόγῳ τῆς μεγάλης ζέστης, δύο κριταὶ τοῦ Ἰσραήλ, οἱ ὁποῖοι ἦσαν κρυμμένοι ἐκεῖ πλησίον, ἐπετέθησαν ἐναντίον της καὶ τὴν ἠπείλησαν ὅτι ἂν δὲν ἱκανοποιήσῃ τὴν ἐπιθυμίαν των θὰ τὴν καταγγείλουν ὡς μοιχαλίδα. Ἡ Σωσάννα εἰς τὴν δύσκολον ἐκείνην θέσιν ἐπροτίμησε νὰ καταδικασθῇ εἰς θάνατον ὡς μοιχαλίς, παρὰ νὰ ἁμαρτήσῃ «ἐνώπιον Κυρίου». Πράγματι οἱ δύο κριταὶ κατηγόρησαν αὐτὴν ὡς μοιχευθεῖσαν μετά τινος νέου καὶ ἡ Σωσάννα κατεδικάσθη εἰς θάνατον. Ἐνῷ ὅμως ὡδηγεῖτο εἰς τὸν τόπον τῆς ἐκτελέσεως, ἐπενέβη ὁ Δανιήλ, ὁ ὁποῖος ἀκόμη ἦτο παιδάριον, καὶ ἐνώπιον τοῦ λαοῦ ἀπέδειξε τὴν συκοφαντίαν τῶν κριτῶν. Ὅταν ὁ λαὸς ἐπείσθη περὶ τῆς συκοφαντίας, τὴν μὲν Σωσάνναν ἠθώωσε, τοὺς δὲ συκοφάντας ἐθανάτωσεν. (Περὶ αὐτῆς βλέπε πλείονα εἰς τὸν ἡμέτερον «Μέγαν Συναξαριστὴν τῆς Ὀρθοδόξου Ἐκκλησίας», Τόμος ΙΒ', σελὶς 541—544 ἐν τῷ Ὑπομνήματι εἰς τὴν Κυριακὴν πρὸ τῆς Χριστοῦ Γεννήσεως).

ποιον σπουδαῖον ἀδελφὸν εἰς τὸ ἔργον τοῦ Θεοῦ, ξεσηκώνει ἐναντίον του κάποιον ἄλλον ἀμελῆ, νὰ τὸν ὑβρίζῃ ἀδίκως καὶ παραλόγως, διὰ νὰ κάμῃ τὸν ἀγωνιζόμενον ἀδελφὸν νὰ ὀργισθῇ καὶ νὰ μνησικακήσῃ, καὶ ἔτσι νὰ τὸν ἐμποδίσῃ ἀπὸ τὸν δρόμον τῆς ἀρετῆς καὶ νὰ τὸν προετοιμάσῃ διὰ νὰ ἐκπέσῃ εἰς τὴν κακίαν. Ἐάν, πάλιν, τὸν ἴδῃ νὰ ὑπομένῃ τὰς ὕβρεις μὲ μακροθυμίαν, καὶ νὰ προσεύχεται μὲ εὐχαρίστησιν διὰ τὸν ἀδικοῦντα, τότε δοκιμάζει ἄλλον τρόπον νὰ τὸν καταβάλῃ· προσπαθεῖ νὰ τὸν κάνῃ φίλον μὲ κάποιον ἀπρόσεκτον καὶ ὀκνηρόν, διὰ νὰ τοῦ θολώσῃ τὸν λογισμὸν μὲ αὐτὴν τὴν φιλίαν καὶ νὰ τὸν ἀνακατέψῃ μὲ ἡδυπάθειαν καὶ ὀλίγον κατ' ὀλίγον νὰ τὸν παρασύρῃ εἰς ἀδιαφορίαν. Ἐκεῖνος ὅμως ποὺ φοβεῖται τὸν Θεὸν δὲν θὰ ἀγαπήσῃ ποτὲ κανέναν, χωρὶς τὴν ἄνωθεν σοφίαν· διότι λέγει ἡ Ἁγία Γραφή· «ἡ σοφία, ποὺ ἔχει ὡς πηγήν της τὸν Θεὸν πρῶτον μὲν εἶναι ἁγνή, ἔπειτα εἰρηνικὴ» καὶ τὰ λοιπὰ (Ἰακώβ. γ', 14—17).

Γ' Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἡσαΐας· ὅτι εἰ θέλεις ἐξακολουθῆσαι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ τὸν παλαιόν σου ἄνθρωπον συγκρεμάσαι Αὐτῷ, τοὺς καταφέροντάς σε ἀπὸ τοῦ σταυροῦ ἐκκόψαι ὀφείλεις, καὶ ἑτοιμάσαι ἑαυτὸν εἰς τὸ φέρειν ἐξουδένωσιν, καὶ εἰς τὸ ἀναπαῦσαι τὴν καρδίαν τῶν σὲ παροξυνάντων.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἡσαΐας εἶπεν· ἐὰν θέλῃς νὰ ἀκολουθήσῃς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ νὰ κρεμάσῃς μαζί Του, ἐπάνω εἰς τὸν Σταυρόν, τὸν παλαιὸν ἄνθρωπον, ἔχεις ὑποχρέωσιν νὰ ἀπομακρύνῃς ἀπὸ κοντά σου αὐτοὺς ποὺ σὲ καταβιβάζουν ἀπὸ τὸν Σταυρὸν καὶ νὰ ἑτοιμασθῇς νὰ ὑπομείνῃς ταπείνωσιν μὲ τὸ νὰ εὐχαριστήσῃς ὅσους σὲ στενοχωροῦν καὶ σὲ παροξύνουν.

Δ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΦΙΛΟΣ μωρὸς καὶ ἀσύνετος ταμιεῖον ἐστὶ ζημίας· πηγὴ δὲ γλυκεῖα, ὁμιλία συνετῶν· καρδίας θλάσις, κάθισμα μετὰ ἀσυνέτων· κρεῖσσόν ἐστιν οἰκῆσαι μετὰ θηρίων, ἢ μετὰ τῶν κακῶς ἀναστρεφομένων· κάθου μετὰ γυπῶν, ἢ μετὰ πλεονέκτου καὶ ἀπλήστου· γίνου ἑταῖρος τῷ φονευτῇ ἢ τῷ φιλονείκῳ· μετὰ χοίρου, ἢ μετὰ γαστριμάργου συλλάλει· κρείσσων γὰρ δεξαμενὴ χοίρων, ἢ στόμα φάγον καὶ ἄπληστον· κάθου μεταξὺ τῶν λωβῶν ἢ μεταξὺ τῶν ὑπερηφάνων.

Ἑρμηνεία

† ΦΙΛΟΣ ἀνόητος καὶ ἀπερίσκεπτος εἶναι πηγὴ ζημίας· δροσερὰ δὲ καὶ γλυκεῖα πηγὴ ἡ συναναστροφὴ μὲ συνετούς. Τὸ νὰ κάνῃς συντροφιὰν

μὲ ἀσυνέτους εἶναι θλῖψις τῆς καρδίας σου. Εἶναι προτιμότερον νὰ κατοικήσῃς μὲ θηρία. παρὰ μὲ ἀνθρώπους μὲ κακὴν συμπεριφοράν. Νὰ κάθεσαι μὲ γῦπας, παρὰ μὲ ἀχόρταγον καὶ πλεονέκτην· γίνου φίλος μὲ φονέα παρὰ μὲ φιλόνεικον ἄνθρωπον. Προτιμότερον νὰ συνομιλῇς μὲ χοῖρον παρὰ μὲ ἄνθρωπον κοιλιόδουλον· διότι εἶναι καλυτέρα ἡ γούρνα τῶν χοίρων, παρὰ στόμα λαίμαργον καὶ ἀχόρταγον· προτιμότερον νὰ κάθεσαι μὲ λεπρούς, παρὰ μὲ ὑπερηφάνους.





ΥΠΟΘΕΣΙΣ ΚΔ'

Περὶ τοῦ ὅτι δεῖ τὸν ἀποταξάμενον μὴ ἐμπλέκεσθαι ὅλως βιοτικαῖς διοικήσεσι, κἂν τι εὔλογον ἔχειν δοκῶσιν, ἀλλὰ τῇ προνοίᾳ καὶ περὶ τούτων παραχωρεῖν.

Περὶ τοῦ ὅτι πρέπει ὁ ἀρνηθεὶς τὰ ἐγκόσμια νὰ μὴ ἀναμειγνύεται καθόλου εἰς βιοτικὰς ὑποθέσεις ἔστω καὶ ἂν φαίνωνται δικαιολογημέναι, ἀλλὰ καὶ δι' αὐτὰς νὰ ἐμπιστεύεται εἰς τὴν Θείαν Πρόνοιαν.



Α'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀρσενίου




ΛΘΕ τις ποτὲ πρὸς τὴν σκῆτιν τῶν μαγιστριανῶν ἀπὸ Ῥώμης, διακομιζόμενος διαθήκην τῶν προσηκόντων Ἀρσενίου τινός. Ταύτην ὁ γέρων μετὰ χεῖρας λαβὼν ἔμελλε διαρρήσσειν, εἰ μὴ φθάσας ὁ μαγιστριανός, καὶ τοῖς ἐκείνου ποσὶ προσπεσών, ἐπέσχε τὸ βούλημα ἐπὶ κινδύνῳ τοῦτο τοῦ διακομίσαντος εἶναι διδάξας. Ἀναδοὺς οὖν τὴν διαθήκην Ἀρσένιος, ἐγὼ πρὸ ἐκείνου τέθνηκα, ἔφη, καὶ μετὰ τῶν ζώντων οὐκέτι εἰμί.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἦλθεν ἀπὸ τὴν Ρώμην εἰς τὴν Σκήτην ἕνας ἀξιωματοῦχος τοῦ Κράτους κομίζων τὴν διαθήκην ἑνὸς συγγενοῦς τοῦ Ἀρσενίου. Μόλις τὴν παρέλαβεν εἰς τὰ χέρια του ὁ Γέρων, ἡτοιμάσθη νὰ τὴν ξεσχίση ἀμέσως· καὶ θὰ τὴν ἐξέσχιζε πράγματι, ἐὰν δὲν τὸν ἐπρόφθανεν ὁ ἀξιωματοῦχος νὰ τὸν συγκρατήση, προσπίπτων εἰς τὰ πόδια του, ἐξηγήσας εἰς αὐτόν, ὅτι ἦτο μεγάλος κίνδυνος, δι' αὐτὸν ποὺ τὴν μετέφερεν ἡ καταστροφὴ τοῦ ἐγγράφου.

Ἐπιστρέφων τότε ὁ Ἀρσένιος τὴν διαθήκην εἰς τὸν κομιστὴν τοῦ εἶπεν· ἐγὼ ἔχω ἀποθάνει πρὶν ἀπὸ αὐτὸν καὶ δὲν εὑρίσκομαι πλέον μεταξὺ τῶν ζώντων.


Ὁ ἍΓΙΟC ἈΡCΈΝΙΟC
Ὁ Μέγας
αδελφοι
διο εξη
θατε α-
γωνιcα
cθε
Δημ. Ρίτcος

Β΄. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ γέρων· ὅτι εἰ καὶ ἐκοπίασαν ὧδε οἱ ἅγιοι, ἀλλ' ἔλαβον ἤδη καὶ μέρος ἀναπαύσεως· τοῦτο δὲ ἔλεγε, διὰ τὸ εἶναι αὐτοὺς ἐλευθέρους ἀπὸ τῆς τοῦ κόσμου φροντίδος.

2. Εἶπεν ὁ Ἀββᾶς Ἀλώνιος· ἐὰν μὴ εἴπῃ ἄνθρωπος ἐν τῇ καρδίᾳ αὐτοῦ, ὅτι ἐ γ ὼ μ ό ν ο ς κ α ὶ ὁ Θ ε ὸ ς ἐ σ μ ὲ ν ἐν τῷ κόσμῳ τούτῳ, οὐχ ἕξει ἀνάπαυσιν.

3. Εἶπε γέρων· Μοναχός, μετὰ τὸ ἀποτάξασθαι, πάλιν ἐκδοὺς ἑαυτὸν εἰς τὸν περισπασμὸν καὶ μόχθον τοῦ δυστήνου τούτου βίου καὶ εἰς τὸ δοῦναι καὶ λαβεῖν, ὅμοιός ἐστι πτωχῷ ἐνδεεῖ καὶ λειπομένῳ καὶ αὐτῆς τῆς ἀναγκαίας τροφῆς, ὃς μὴ εὑρίσκων πῶς τραφῇ καὶ ἐνδύσηται, ἀπὸ πολλῆς ραθυμίας τῷ ὕπνῳ ἑαυτὸν ἐκδέδωκε, καὶ ὁρᾷ ἑαυτὸν ἐν ὁράματι πλούσιον, ἀποβεβληκότα τοὺς ρυπαροὺς χιτῶνας, καὶ ἐνδεδυμένον ἱμάτια λαμπρά· καὶ ἐκ τῆς περιχαρείας ἐξυπνισθείς, εὗρε τὴν ἐν χερσὶ πενίαν. Οὕτω καὶ Μοναχὸς ὁ μὴ νήφων, ἀλλὰ δαπανῶν τὰς ἡμέρας αὐτοῦ ἐν περισπασμῷ, χλευαζόμενος ὑπὸ τῶν λογισμῶν, καὶ δαπανώμενος ὑπὸ τῶν δαιμόνων ἐμπαιζόντων αὐτὸν καὶ ὑποβαλλόντων, ὅτι διὰ τὸν Θεόν ἐστιν ὁ περισπασμὸς καὶ ὁ μόχθος αὐτοῦ, καὶ ἕνεκεν τούτου μισθοὺς ἕξει. Ὁ τοιοῦτος ἐν ὥρᾳ τοῦ χωρισμοῦ τῆς ψυχῆς ἐκ τοῦ σώματος εὑρίσκει ἑαυτὸν ἐνδεῆ καὶ πτωχόν, καὶ λειπόμενον πάσης ἀρετῆς· καὶ τότε νοήσει πόσων ἀγαθῶν χορηγὸν τὸ νήφειν καὶ προσέχειν ἑαυτῷ, πόσων δὲ κολάσεων πρόξενος ὁ τοῦ βίου περισπασμός.

4. Ἐκράτησέ ποτε ὁ ἄρχων τῆς χώρας τινὰ ἐκ τῆς κώμης τοῦ Ἀββᾶ Ποιμένος· καὶ ἦλθον πάντες παρακαλοῦντες τὸν γέροντα ἀπελθεῖν καὶ ἐκβαλεῖν αὐτόν· ὁ δὲ εἶπεν· ἐάσατέ με τρεῖς ἡμέρας, καὶ μετὰ τοῦτο ἔρχομαι· ηὔξατο οὖν ὁ γέρων πρὸς Κύριον λέγων· Κύριε, μὴ δῷς μοι τὴν χάριν ταύτην, ἐπεὶ οὐκ ἀφιᾶσί με καθίσαι ἐν τῷ τόπῳ τούτῳ. Μετὰ δὲ τρεῖς ἡμέρας, ἦλθε πρὸς τὸν ἄρχοντα καὶ παρεκάλει αὐτὸν περὶ τοῦ ἀνθρώπου· ὁ δὲ ἄρχων πρὸς αὐτὸν ἔφη· περὶ λῃστοῦ παρακαλεῖς, Ἀββᾶ; ὁ δὲ γέρων ἐχάρη, ὅτι οὐκ ἐδέξατο τὴν χάριν παρ' αὐτοῦ.

Ἑρμηνεία

ΕΝΑΣ ΓΕΡΩΝ εἶπεν· ἂν καὶ ἐκοπίασαν ἐδῶ οἱ Ἅγιοι, ἀλλὰ ἔλαβον ἤδη ἕνα μέρος τῆς ἀναπαύσεως. Ἐννοοῦσε δὲ μὲ αὐτὸ ὁ Γέρων, ὅτι ἦσαν ἐλεύθεροι ἀπὸ τὰς κοσμικὰς φροντίδας.

2. Ὁ Ἀββᾶς Ἀλώνιος ἔλεγεν· ἐὰν δὲν εἴπῃ ὁ ἄνθρωπος εἰς τὴν καρδίαν του ὅτι ἐγὼ μόνος καὶ ὁ Θεὸς ὑπάρχομεν εἰς αὐτὸν τὸν κόσμον, δὲν θὰ ἔχῃ ἀνάπαυσιν ψυχῆς.

3. Ἕνας Γέρων εἶπεν· ὁ Μοναχὸς ὁ ὁποῖος, μετὰ τὴν ἄρνησιν τοῦ κόσμου, παραδίδεται πάλιν εἰς τὸν περισπασμὸν καὶ τὸν μόχθον τοῦ ἀθλίου τούτου βίου, καὶ ἀσχολεῖται μὲ δοσοληψίας, ὁμοιάζει μὲ πτωχὸν τόσον πτωχόν, ὥστε στερεῖται καὶ αὐτῆς τῆς ἀναγκαίας τροφῆς· καὶ ὁ ὁποῖος μὴ εὑρίσκων τρόπον νὰ τραφῇ καὶ νὰ ἐνδυθῇ, παραδίδεται, ἀπὸ τὴν πολλὴν κατάπτωσιν, εἰς ὕπνον, κατὰ τὸν ὁποῖον βλέπει ὅτι εἶναι πλούσιος καὶ ἔχει βγάλει τὰ λερωμένα ἐνδύματά του, καὶ ὅτι φορεῖ λαμπρὰ φορέματα·

καὶ ὁ ὁποῖος ἀπὸ τὴν πολλὴν χαράν του ἐξυπνᾷ καὶ τότε βλέπει ὅτι εἶναι ἐξ ἴσου πτωχὸς ὅπως καὶ προηγουμένως. Τὸ ἴδιον παθαίνει καὶ ὁ Μοναχός, ὁ ὁποῖος δὲν προσέχει, ἀλλὰ ἐξοδεύει τὰς ἡμέρας του εἰς περισπασμούς· τὸν Μοναχὸν αὐτὸν τὸν περιπαίζουν οἱ λογισμοί, τὸν εἰρωνεύονται καὶ τὸν ἐξαπατοῦν οἱ δαίμονες μὲ τὴν ἀπατηλὴν σκέψιν, ὅτι τάχα οἱ περισπασμοὶ καὶ οἱ κόποι του γίνονται διὰ τὸν Θεὸν καὶ ὅτι, δι' αὐτό, θὰ ἔχῃ μισθὸν ἀπὸ τὸν Θεόν.

Ὁ Μοναχὸς αὐτός, κατὰ τὴν ὥραν τοῦ χωρισμοῦ τῆς ψυχῆς ἀπὸ τὸ σῶμα, εὑρίσκει τὸν ἑαυτόν του πεινασμένον καὶ πτωχὸν καὶ ἐστερημένον ἀπὸ κάθε ἀρετήν. Καὶ τότε, κατὰ τὴν τελευταίαν ἐκείνην στιγμήν, θὰ ἀντιληφθῇ πόσα ἀγαθὰ χορηγεῖ εἰς τὴν ψυχὴν ἡ διαρκὴς ἐπαγρύπνησις τοῦ νοῦ, πόσας δὲ κολάσεις καὶ τιμωρίας προξενεῖ ὁ περισπασμὸς τῆς ζωῆς.

4. Κάποτε ὁ Ἄρχων τῆς χώρας ἐφυλάκισε κάποιον ἀπὸ τὸ χωρίον τοῦ Ἀββᾶ Ποιμένος. Ἦλθον λοιπὸν ὅλοι εἰς τὸν Γέροντα καὶ τὸν παρεκάλουν νὰ μεταβῇ καὶ ἐνεργήσῃ διὰ τὴν ἀποφυλάκισίν του. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν εἰς αὐτούς:

—Ἀφήσατέ με τρεῖς ἡμέρας καὶ μετὰ ἔρχομαι.

Κατὰ τὸ διάστημα τῶν τριῶν αὐτῶν ἡμερῶν ὁ Γέρων προσηύχετο θερμῶς εἰς τὸν Θεόν· μὴ μοῦ κάμῃς, Θεέ μου — ἔλεγεν — αὐτὴν τὴν χάριν, διότι δὲν θὰ μὲ ἀφήσουν πλέον, εἰς τὸ μέλλον, νὰ καθήσω ἥσυχος εἰς τὸ μέρος αὐτό.

Μετὰ τὰς τρεῖς ἡμέρας ἦλθε πρὸς τὸν Ἄρχοντα καὶ τὸν παρεκάλει διὰ τὸν φυλακισμένον. Ὁ Ἄρχων τότε τοῦ εἶπεν:

—Ἀββᾶ, μὲ παρακαλεῖς δι' ἕνα λῃστήν;

Ὁ Γέρων ἐχάρη, διότι ὁ Ἄρχων τοῦ ἠρνήθη αὐτὴν τὴν χάριν.

Γ'. Τοῦ Ἀββᾶ Ἠσαΐου

ΑΔΕΛΦΕ· γίνωσκε ὅτι οὐ δύναται ἄνθρωπος προκόψαι κατὰ Θεόν, εἰ μὴ ἀμέριμνος γένηται ἀπὸ πάντων τῶν τοῦ αἰῶνος τούτου· δύο γὰρ ὗλαι εἰσὶ συνέχουσαι τὴν ψυχήν· μία μὲν ἔξωθεν, ἡ φροντίζουσα τῆς ἐργασίας τοῦ κόσμου τούτου δι' ἀνάπαυσιν τοῦ σώματος· ἑτέρα δὲ ἔνδοθεν, ἡ τῶν παθῶν, κωλύουσα τὰς ἀρετάς· ἀλλ' οὐ βλέπει ἡ ψυχὴ τὴν ἔνδοθεν, ἤτοι τὴν τῶν παθῶν, εἰ μὴ ἐλευθερωθῇ τῆς ἔξωθεν. Διὰ τοῦτο εἶπεν ὁ Κύριος, ὅτι «πᾶς ὁ μὴ ἀποτασσόμενος παντὶ θελήματι αὐτοῦ οὐ δύναταί μου μαθητὴς γενέσθαι». Ἡ μὲν οὖν ἔξωθεν ὕλη ἐκ τοῦ θελήματος πολεμεῖ· ἡ δὲ ἔνδοθεν, ἐκ τῆς ἔξωθεν πράξεως. Εἰδὼς οὖν ὁ Δεσπότης ἡμῶν, ὅτι τὸ θέλημά ἐστι τὸ κατακυριεῦον ἀμφοτέρων, προσέταξε κόψαι αὐτό, ἐπειδὴ νεκροῦται ὁ νοῦς, ὅσον ἡ ψυχὴ μεριμνᾷ τῶν ἔξωθεν, καὶ λοιπὸν τὰ ἔνδοθεν πάθη πράττει τὰς ἐνεργείας αὐτῶν ἀδιαφόρως.

Ἐὰν οὖν ἡ ψυχὴ ἐκκόψῃ πάντα τὰ θελήματα αὐτῆς, μισεῖ πᾶσαν ἐργασίαν καὶ περισπασμὸν τοῦ κόσμου τούτου· καὶ τότε ἐγείρεται ὁ νοῦς καὶ ἵσταται, ἕως οὗ ἀπορρίψῃ τὰ πάθη ἐκ τοῦ οἴκου αὐτοῦ, προσέχων τῇ ψυχῇ αὐτοῦ ἀδιαλείπτως καὶ φυλάττων αὐτὴν μὴ ὑποστρέψαι εἰς τὰ ὀπίσω ἐπὶ τοὺς ἀδικήσαντας αὐτήν.

Ἡ ψυχὴ γὰρ ὁμοία ἐστὶ γυναικὶ νεάνιδι, οὔσῃ μετὰ ἀνδρός, ἥτις, ὅταν ἀπέλθῃ ἐπὶ ξένης ὁ ἀνὴρ αὐτῆς, ἄφοβος καὶ ἀναίσχυντος γίνεται, μὴ φροντίζουσα τῶν ἐν τῷ οἴκῳ αὐτῆς ἐν σπουδῇ. Ἐπὰν δὲ ἔλθῃ ὁ ἀνὴρ αὐτῆς εἰς τὸν οἶκον αὐτοῦ, παραχρῆμα φοβουμένη, ἀφίσταται ὧν ἔπραττε καὶ φροντίζει ποιεῖν κατὰ τὸ θέλημα τοῦ ἀνδρός· καὶ αὐτὸς δὲ ἐπανελθὼν ἐν τῷ οἴκῳ αὐτοῦ, φροντίζει πάντων, ὧν χρείαν ἔχει, καὶ φυλάττει (αὐτὴν) ἀδιαλείπτως, ἕως οὗ γεννήσῃ μετ᾽ αὐτῆς καὶ ἐκθρέψῃ τὰ τέκνα αὐτῆς.

Καὶ λοιπὸν ἀμφότεροι μία καρδία γίνονται, καὶ ὑποτάσσεται (ἡ γυνὴ εἰς τὸν ἄνδρα καθὼς καὶ) ἡ ψυχὴ τῷ νοΐ, καὶ γίνεται αὐτῆς ὁ νοῦς κεφαλή, καθὼς γέγραπται ἐν τῷ Ἀποστόλῳ, ὅτι «ὁ ἀνὴρ κεφαλὴ τῆς γυναικός ἐστιν». Ὁ οὖν λόγος οὗτος τοῖς ἀξιωθεῖσιν ἐστί, καὶ ἓν γενομένοις ἐν Κυρίῳ, σχίσμα μηκέτι ἔχουσιν· ὥς περ καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ ἐδίδαξεν εἰπών· «ἐὰν δύο ὑμῶν συμφωνήσωσι περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς».

Θέλει οὖν τοὺς ἑαυτοῦ ὑγιεῖς εἶναι ἀπὸ τῆς φαινομένης ὕλης καὶ τῆς κεκρυμμένης ἐν τῇ ψυχῇ, καὶ ἀπὸ πάντων ὧν κατήργησεν ἐν τῷ σώματι αὐτοῦ ἐνανθρωπήσας· καθὼς καὶ αὐτὸς εἶπε· «μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν». Πρῶτον γὰρ θέλει ἡμᾶς μεῖναι ἐν αὐτῷ διὰ τῆς πράξεως, καὶ αὐτὸς ἐν ἡμῖν μένει διὰ τῆς ἁγνείας, ἤτοι τῆς θεωρίας. Ἀδύνατον οὖν ἐστι ψυχὴν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν τοῦ υἱοῦ τοῦ Θεοῦ, μὴ ἔχουσαν τὴν εἰκόνα τοῦ Βασιλέως· οὔτε γὰρ ζυγοστάτης σταθμίζει, οὔτε Βασιλεὺς εἰσφέρει εἰς τὸν θησαυρὸν αὐτοῦ. Οὕτω καὶ ἡ ψυχή· ἐὰν μὴ ἔχῃ τὴν εἰκόνα τοῦ μεγάλου Βασιλέως Ἰησοῦ, οὐ μὴ συγχαρῶσιν αὐτῇ οἱ Ἄγγελοι, ἀλλὰ ἀπορρίπτει αὐτὴν λέγων· πῶς εἰσῆλθες ὧδε μὴ ἔχουσα τὴν εἰκόνα μου, τουτέστι τὴν ἀγάπην, ὡς εἶπον; Ἀδύνατον δὲ τὴν ἀγάπην εἶναι μεθ᾽ ἡμῶν, τῆς ψυχῆς μεριζομένης καὶ ζητούσης τὸν Θεόν, καὶ ἀγαπώσης καὶ τὰ τοῦ κόσμου· ὥς περ γὰρ πετεινὸν οὐ δύναται πετασθῆναι ἑνὶ πτερῷ, οὐδὲ ἔχον τίποτε κρεμάμενον, οὕτω καὶ ἡ ψυχὴ οὐ δύναται προκόψαι κατὰ Θεόν, δεδεμένη ἔν τινι τῶν τοῦ κόσμου.

Τοὺς οὖν ἀγαπήσαντας τὸν Θεὸν ἐξ ὅλης καρδίας, οὐδὲν τῶν τοῦ κόσμου δύναται χωρίσαι τῆς ἀγάπης αὐτοῦ, κατὰ τὸν λόγον τοῦ Ἀποστόλου λέγοντος· «τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε Ἄγγελοι, οὔτε ἀρχαί, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε τις κτίσις ἑτέρα, δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ».

2. Εἶπεν ὁ αὐτός· μὴ θέλε ἐρωτᾶσθαι συμβουλίαν ἢ λόγον τοῦ καιροῦ τούτου, μηδὲ καταπιστεύσῃς τῷ ἐρωτῶντί σε· ἔχε δὲ τὰς ἀκοάς σου συνεχῶς πρὸς τοὺς λαλοῦντας ἐν σοί, ἤτοι τοὺς λογισμούς, καὶ παρακάλει τὸν Θεὸν ἵνα παράσχῃ σοι γνῶναι τίνος αὐτῶν ὀφείλεις ἀκοῦσαι· οἱ γὰρ ἀπασχολούμενοι εἰς τὰ μάταια, τῆς πρὸς τὸν διάβολον πάλης ἐπιλανθάνονται.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, γνώριζε ὅτι ὁ ἄνθρωπος δὲν ἠμπορεῖ νὰ προκόψῃ κατὰ Θεόν, ἐὰν δὲν γίνῃ ἀμέριμνος ἀπὸ ὅλους τοὺς περισπασμοὺς τῆς παρούσης ζωῆς· διότι δύο εἶναι αἱ δυνάμεις, ποὺ ἐμποδίζουν τὴν ψυχήν· ἡ μία ἀπὸ

τὰς δυνάμεις αὐτὰς εἶναι ἐξωτερικὴ καὶ προέρχεται ἀπὸ τὴν φροντίδα τῆς ἐργασίας τοῦ κόσμου αὐτοῦ διὰ τὴν ἀνάπαυσιν τοῦ σώματος· ἡ ἄλλη δύναμις προέρχεται μέσα ἀπὸ τὸν ἄνθρωπον, ἔχει ὡς πηγὴν τὰ πάθη καὶ ἐμποδίζει τὴν ἀνάπτυξιν τῶν ἀρετῶν. Ἀλλὰ ἡ ψυχὴ δὲν βλέπει τὴν ἐνέργειαν τῆς ἐσωτερικῆς δυνάμεως τῶν παθῶν, ἐὰν προηγουμένως δὲν ἐλευθερωθῇ ἀπὸ τὴν ἐξωτερικὴν δύναμιν. Δι' αὐτὸ εἶπε καὶ ὁ Κύριος· «Δὲν ἠμπορεῖ νὰ γίνῃ μαθητής μου ὅποιος δὲν ἐγκαταλείπει πᾶν θέλημά του» (Λουκ. ιδ΄, 33). Ἡ ἐξωτερικὴ δύναμις πολεμεῖ τὴν ψυχὴν ἀπὸ τὸ θέλημα τοῦ ἀνθρώπου· ἡ δὲ ἐσωτερικὴ δύναμις ἀπὸ τὴν ἐξωτερικὴν πρᾶξιν. Γνωρίζων λοιπὸν ὁ Δεσπότης ἡμῶν, ὅτι τὸ θέλημα εἶναι ἡ αἰτία καὶ τῶν δύο δυνάμεων, παρήγγειλε νὰ κόψωμεν τὸ θέλημά μας αὐτό, ἐπειδὴ νεκρώνεται ὁ νοῦς μας, ὅσον ἡ ψυχὴ μεριμνᾷ δι' ἐξωτερικὰς ὑποθέσεις, ὁπότε τὰ πάθη, ἀπὸ μέσα μας, ἐκτελοῦν, ἀνεξελέγκτως, τὴν ἐνέργειάν των.

Ἐὰν λοιπὸν ἡ ψυχὴ ἐκριζώσῃ ὅλα τὰ θελήματά της, μισεῖ κάθε ἀπασχόλησιν καὶ περισπασμὸν αὐτοῦ τοῦ κόσμου· καὶ τότε πλέον ξυπνᾷ ὁ νοῦς καὶ στέκει ὄρθιος, μέχρις ὅτου ἀπορρίψῃ τὰ πάθη ἀπὸ τὸν οἶκον του, ἐπαγρυπνῶν συνεχῶς ἐπὶ τῆς ψυχῆς καὶ προφυλάσσων αὐτὴν νὰ μὴ γυρίσῃ ὀπίσω πρὸς ἐκείνους ποὺ τὴν ἠδίκησαν. Διότι ἡ ψυχὴ ὁμοιάζει μὲ νεαρὰν γυναῖκα, ὑπανδρευμένην, ἡ ὁποία, ὅταν ἀναχωρήσῃ ὁ ἄνδρας της εἰς τὴν ξενιτείαν, γίνεται ἄφοβος καὶ ἀδιάντροπος καὶ παύει νὰ φροντίζῃ μὲ ἐνδιαφέρον διὰ τὸ σπίτι της. Μόλις ὅμως ἐπιστρέψῃ ὁ σύζυγός της εἰς τὸν οἶκον των, ἀμέσως τότε φοβεῖται, ἐγκαταλείπει ἐκεῖνα ποὺ ἔκανε καὶ φροντίζει νὰ ἐκτελῇ τὸ θέλημα τοῦ ἀνδρός της· ὁ σύζυγος, πάλιν, ἀπὸ τὴν στιγμὴν ποὺ θὰ γυρίσῃ εἰς τὸ σπίτι του, φροντίζει δι' ὅλα, ποὺ ἔχει ἀνάγκην, καὶ τὴν περιφρουρεῖ συνεχῶς, μέχρις ὅτου γεννήσῃ μαζί της, καὶ ἀναθρέψῃ τὰ τέκνα της.

Κατόπιν αὐτοῦ γίνονται αἱ δύο μία καρδία καὶ ὑποτάσσεται ἡ γυναίκα εἰς τὸν ἄνδρα, ὅπως πρέπει νὰ ὑποτάσσεται ἡ ψυχὴ εἰς τὸν νοῦν, καὶ γίνεται τότε ὁ νοῦς κεφαλὴ τῆς ψυχῆς, ὅπως ἔγραψε καὶ ὁ Ἀπόστολος, ὅτι «ὁ ἄνδρας εἶναι κεφαλὴ τῆς γυναικὸς» (Α΄ Κορ. ια΄, 3). Αὐτὸς ὁ λόγος λοιπὸν τοῦ Ἀποστόλου εἶναι δι' ἐκείνους, ποὺ ἠξιώθησαν νὰ γίνουν ἕνα μὲ τὸν Κύριον, καὶ νὰ μὴ ἔχουν ποτὲ μέσα των ἀντίθεσιν μεταξὺ ψυχῆς καὶ νοῦ· αὐτὸ ἐδίδαξε καὶ ὁ Κύριος εἰς τὸ Εὐαγγέλιον· «ἐὰν δύο ἀπὸ σᾶς συμφωνήσουν διὰ κάθε πρᾶγμα, ποὺ θὰ ζητήσουν, θὰ τοὺς γίνῃ» (Ματθ. ιη΄, 19).

Θέλει λοιπὸν ὁ Κύριος οἱ ἀφωσιωμένοι εἰς αὐτὸν νὰ εἶναι ὑγιεῖς καὶ ἄτρωτοι καὶ ἀπὸ τὴν δύναμιν ποὺ φαίνεται καὶ ἀπὸ αὐτήν, ποὺ εἶναι κρυμμένη μέσα εἰς τὴν ψυχὴν καὶ ἀπὸ ὅλα ὅσα κατήργησεν εἰς τὸ σῶμα Του μὲ τὴν ἐνανθρώπησίν Του, ὅπως εἶπε καὶ ὁ ἴδιος· «Μείνατε μὲ ἐμὲ καὶ ἐγὼ μὲ σᾶς» (Ἰωάν. ιε΄, 4).

Πρῶτον, δηλαδή, θέλει ὁ Κύριος νὰ μείνωμεν ἡμεῖς πλησίον Του, διὰ τῆς πράξεως, ὁπόταν καὶ ὁ ἴδιος παραμένει ἐντὸς ἡμῶν διὰ τῆς καθαρότητος τοῦ νοῦ, ἤτοι τῆς μυστικῆς θεωρίας. Εἶναι λοιπὸν ἀδύνατον νὰ

εἰσέλθῃ μία ψυχὴ εἰς τὴν ἀνάπαυσιν τοῦ υἱοῦ τοῦ Θεοῦ, χωρὶς νὰ ἔχῃ ἀποκτήσει προηγουμένως τὴν εἰκόνα τοῦ Βασιλέως· διότι οὔτε ζυγιστὴς ζυγίζει, οὔτε Βασιλεὺς βάλλει εἰς τοὺς θησαυρούς του ἀντικείμενα ἄνευ ἀξίας. Ἔτσι εἶναι καὶ ἡ ψυχή· ἐὰν δὲν ἔχῃ ἀποκτήσει τὴν εἰκόνα τοῦ μεγάλου Βασιλέως Ἰησοῦ δὲν θὰ χαροῦν δι' αὐτὴν οἱ Ἄγγελοι· τὴν ψυχὴν αὐτήν, ποὺ δὲν θὰ ἔχῃ τὴν θείαν εἰκόνα, θὰ τὴν ἀπορρίψῃ ὁ Ἰησοῦς καὶ θὰ τῆς εἴπῃ: πῶς εἰσῆλθες ἐδῶ, ὦ ψυχή, χωρὶς νὰ ἔχῃς τὴν εἰκόνα μου, δηλαδὴ τὴν ἀγάπην, ὅπως εἶπον; εἶναι δὲ ἀδύνατον νὰ παραμείνῃ μέσα μας ἡ ἀγάπη τοῦ Χριστοῦ, ὅταν ἡ ψυχὴ διχάζεται καὶ ζητῇ τὸν Θεόν, ἀλλὰ ἀγαπᾷ καὶ τὸν κόσμον. Διότι ὅπως ἀκριβῶς τὸ πτηνὸν δὲν ἠμπορεῖ νὰ πετάξῃ μὲ μίαν μόνον πτέρυγα, οὔτε ὅταν ἔχῃ κρεμασμένον φορτίον, τοιουτοτρόπως καὶ ἡ ψυχὴ δὲν εἶναι δυνατὸν νὰ προκόψῃ κατὰ Θεόν, ἐφ' ὅσον ἔχει δεθῇ μὲ κάποιο κοσμικὸν πρᾶγμα.

Αὐτοὺς λοιπὸν ποὺ ἠγάπησαν τὸν Θεὸν μὲ ὅλην τὴν καρδίαν των, τίποτε δὲν δύναται νὰ χωρίσῃ ἀπὸ τὴν ἀγάπην Του, συμφώνως μὲ τὸν λόγον τοῦ Ἀποστόλου Παύλου· «Τί ἠμπορεῖ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ, θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ πεῖνα, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; Εἶμαι ἀπολύτως βέβαιος, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε Ἄγγελοι, οὔτε ἀρχαί, οὔτε παρόντα, οὔτε μελλοντικά, οὔτε κανένας ἄλλος κόσμος, θὰ ἠμπορέσῃ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ» (Ρωμ. η΄ 35—39).

2. Ὁ ἴδιος Πατὴρ εἶπε· Μὴ θέλῃς νὰ σὲ ἐρωτοῦν περὶ πραγμάτων τοῦ παρόντος καιροῦ, ἢ νὰ σὲ συμβουλεύωνται, οὔτε νὰ δώσῃς προσοχὴν εἰς αὐτόν, ποὺ σὲ ἐρωτᾷ (μάταια καὶ κοσμικὰ πράγματα)· ἀπ' ἐναντίας νὰ ἔχῃς προσηλωμένην τὴν προσοχὴν καὶ ἀκοήν σου εἰς ἐκείνους, ποὺ ὁμιλοῦν ἐντὸς σοῦ, δηλαδὴ εἰς τοὺς λογισμούς σου, καὶ νὰ παρακαλῇς τὸν Θεὸν νὰ σοῦ δώσῃ τὴν δύναμιν νὰ γνωρίσῃς, ποῖον ἀπὸ τοὺς λογισμούς σου ὀφείλεις νὰ ἀκούσῃς· διότι ὅσοι ἀπασχολοῦνται εἰς τὰς κοσμικὰς ματαιότητας, λησμονοῦν τὴν πάλην πρὸς τὸν διάβολον.

Δ΄. Τοῦ Ἀββᾶ Μάρκου

ΟΥΔΕΙΣ φησι, στρατευόμενος, ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις· ὁ γὰρ μετὰ τῆς ἐμπλοκῆς τὰ πάθη θέλων νικῆσαι, ὅμοιός ἐστι τῷ μετὰ ἀχύρων σβεννύοντι ἐμπυρισμόν. Ὅταν εὕρῃ ὁ διάβολος ἐκτὸς ἀνάγκης ἄνθρωπον τοῖς σωματικοῖς ἐνασχολούμενον, πρότερον ἁρπάζει αὐτοῦ τὰ τῆς γνώσεως λάφυρα· εἶθ' οὕτως, τὴν εἰς Θεὸν ἐλπίδα ὡς κεφαλὴν ἀποτέμνει.

Ἑρμηνεία

ΛΕΓΕΙ ὁ Ἀπόστολος, ὅτι κανεὶς στρατιώτης, ἀσκούμενος διὰ τὴν μάχην, δὲν περιπλέκεται εἰς βιοτικὰς μερίμνας (Β΄ Τιμ. β΄, 4)· διότι ἐκεῖνος ποὺ θέλει νὰ νικήσῃ τὰ πάθη, ἐνῷ συγχρόνως ἔχει ἐμπλακῆ εἰς βιοτικὰς μερίμνας, ὁμοιάζει μὲ ἐκεῖνον, ποὺ προσπαθεῖ νὰ σβύσῃ τὴν φωτιὰν μὲ ἄχυρα. Ὅταν ὁ διάβολος εὕρῃ τὸν ἄνθρωπον νὰ ἀπασχολῆται

μὲ τὰ σωματικά, χωρὶς ἀνάγκην, τοῦ ἁρπάζει πρῶτα - πρῶτα, τὰ λάφυρα τῆς γνώσεως· κατόπιν ἀποκόπτει, ὡς κεφαλὴν καταδίκου, τὴν ἐλπίδα πρὸς τὸν Θεόν.

Ε΄. Τοῦ Ἁγίου Διαδόχου

ΨΥΧΗ μὴ τῶν κοσμικῶν ἀπαλλαγεῖσα φροντίδων οὔτε τὸν Θεὸν ἀγαπήσει γνησίως, οὔτε τὸν διάβολον βδελύξεται ἀξίως· κάλυμμα γὰρ ἅπαξ ἔχει φορτικόν, τὴν μέριμναν τοῦ βίου. Ὅθεν τὸ ἑαυτοῦ ἐπιγνῶναι ὁ νοῦς ἐπὶ τῶν τοιούτων οὐ δύναται δικαστηρίων, ἵνα παρ' ἑαυτῷ δοκιμάζῃ ἀπλανῶς τὰς ψήφους τῆς κρίσεως· διὰ πάντων οὖν ἡ ἀναχώρησις χρήσιμος. Ὀλίγων ἐστὶ τὸ πάντα τὰ οἰκεῖα ἀκριβῶς ἐπιγινώσκειν πταίσματα, καὶ ὧν οὐδέποτε ὁ νοῦς τῆς μνήμης ἐξαρπάζεται τοῦ Θεοῦ. Ὃν γὰρ τρόπον οἱ ὀφθαλμοὶ ἡμῶν οἱ σωματικοί, ὅταν μὲν ὑγιαίνωσι, πάντα ὁρᾶν ἄχρι καὶ τῶν ἱπταμένων κωνώπων ἢ ἐμπίδων τὸν ἀέρα δύνανται, ὅτε δὲ ὑπὸ θολώσεως ἢ ὑπὸ χυμάτων τινῶν σκεπάζονται, εἰ μέν τι μέγα εἴη τῶν ἀπαντώντων αὐτοῖς, τοῦτο ἀμυδρῶς ὁρῶσι, τῶν δὲ μικρῶν οὐκ αἰσθάνονται τῇ αἰσθήσει τῆς βλέψεως, οὕτω καὶ ἡ ψυχή· ἐὰν μὲν τὴν ἐκ τῆς φιλοκοσμίας αὐτῇ συμβαίνουσαν πήρωσιν τῇ προσευχῇ λεπτύνῃ, καὶ τὰ ἄγαν βραχέα αὐτῆς πταίσματα ὡς μεγάλα ἄγαν οἰομένη, δάκρυον ἐπὶ δακρύῳ ἐν πολλῇ εὐχαριστίᾳ ἀδιαλείπτως φέρῃ· «δίκαιοι γάρ φησιν ἐξομολογήσονται τῷ ὀνόματί σου», ἐὰν δὲ τῇ τοῦ κόσμου ἐμμείνῃ διαθέσει εἰ μέν τι φονικόν, ἢ πολλῆς ἄξιον τιμωρίας διαπράξοιτο, τούτου ἠρέμα αἰσθάνεται, τῶν δὲ ἄλλων πταισμάτων οὐδὲν ἐπισημήνασθαι δύναται ἀλλὰ καὶ ὡς κατορθώματα αὐτῶν πολλάκις ἡγεῖταί τινα· διὸ καὶ ὑπὲρ αὐτῶν θερμῶς λογοποιουμένη ἡ ἀθλία, οὐκ αἰσθάνεται.

Ἑρμηνεία

ΨΥΧΗ, ποὺ δὲν ἔχει ἀπαλλαγὴ ἀπὸ τὰς κοσμικὰς φροντίδας, οὔτε τὸν Θεὸν θὰ ἀγαπήσῃ ποτὲ γνησίως, ἀλλὰ οὔτε καὶ τὸν διάβολον θὰ μισήσῃ ὅπως ἀξίζει· διότι εἶναι σκεπασμένη μὲ σημαντικὸν κουραστικὸν φορτίον, τὴν φροντίδα τῆς προσωρινῆς αὐτῆς ζωῆς. Δι' αὐτὸ καὶ ὁ νοῦς ὑπὸ τοιαύτας συνθήκας, κάτω δηλαδὴ ἀπὸ τὸ κάλυμμα τῶν βιοτικῶν φροντίδων, δὲν εἶναι δυνατὸν νὰ γνωρίσῃ ἐπακριβῶς τὴν κατάστασίν του, διὰ νὰ ἐλέγχῃ, χωρὶς κίνδυνον πλάνης, τὰς κρίσεις του· δι' ὅλα αὐτὰ λοιπὸν εἶναι χρήσιμος καὶ ἀναγκαία ἡ ἀναχώρησις. Διότι ὀλίγοι μόνον εἶναι ἱκανοὶ νὰ γνωρίζουν ἀσφαλῶς ὅλα τὰ ἰδικά των πταίσματα, τῶν ὁποίων ὁ νοῦς ποτὲ δὲν ἐμποδίζεται ἀπὸ τοῦ νὰ σκέπτεται συνεχῶς τὸν Θεόν.

Ὅπως δηλαδὴ οἱ σωματικοί μας ὀφθαλμοί, ὅταν εἶναι ὑγιεῖς, ἠμποροῦν νὰ τὰ βλέπουν ὅλα ἀκόμη καὶ τὰ κουνούπια καὶ τὰς σκνίπας ὅταν πετοῦν, ἐνῷ ὅταν καλύπτωνται ἀπὸ ἐκχυμώσεις ἢ ἔχουν θολώσει μόλις κατορθώνουν νὰ βλέπουν θαμπὰ κάποιο μεγάλο ἀντικείμενον, ποὺ θὰ εὑρεθῇ ἐμπρός των, τὰ δὲ μικρὰ ἀντικείμενα, οὔτε κἂν τὰ ἀντιλαμβάνεται ἡ ἐξησθενημένη ὅρασίς των, τοιουτοτρόπως καὶ ἡ ψυχή. Ἐὰν μὲν φροντίσῃ νὰ διορθώσῃ, μὲ τὴν προσευχήν, τὴν ἀναπηρίαν τῶν ὀφθαλμῶν, ποὺ προξενεῖ εἰς αὐτὴν ἡ ἀγάπη τοῦ κόσμου, τότε καὶ τὰ πάρα πολὺ

μικρὰ σφάλματά της θεωροῦσα ὡς μεγάλα, μὲ εὐχαρίστησιν χύνει δάκρυα ἐπὶ δακρύων, διότι, ὅπως λέγει, «οἱ δίκαιοι θὰ ἐξομολογηθοῦν εἰς τὸ ὄνομά σου»· ἐὰν ὅμως ἡ ψυχὴ ἐπιμένῃ εἰς τὴν ἀγάπην τοῦ κόσμου, τότε ἐὰν μὲν διαπράξῃ κανένα φονικὸν ἢ ἄλλο ἔγκλημα, διὰ τὸ ὁποῖον θὰ πρέπει νὰ τιμωρηθῇ αὐστηρά, τὸ ἀντιμετωπίζει μὲ ἐλαφρότητα, χωρὶς οὐδεμίαν ἐνόχλησιν, ἀπὸ δὲ τὰ ἄλλα πταίσματα, τὰ δευτερεύοντα, δὲν δύναται κανένα νὰ θεωρήσῃ ὡς ἀξιόλογον· ἀπ' ἐναντίας μάλιστα μερικὰ τὰ νομίζει πολλάκις καὶ ὡς κατορθώματα· δι' αὐτὸ καὶ ἡ ἀθλία καυχᾶται δι' αὐτά, χωρὶς νὰ δοκιμάζῃ τύψεις.

ΣΤ'. Ἐκ τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· ἐὰν ἀκούσω περί τινος ὅτι ἐν πολέμῳ ἐστίν, ἢ ἐν ἀρρωστίᾳ, καὶ ὥς περ συμπαθήσω αὐτῷ, εἰπέ μοι, Πάτερ, πρῶτον μὲν ἡ συμπάθεια αὕτη ἀγαθή ἐστιν, ἢ ἐκ δαιμόνων, θελόντων ἀπασχολῆσαί με τῆς φροντίδος τῶν ἰδίων ἁμαρτιῶν; Ἔπειτα δέ, εἰ ὀφείλω μνησθῆναι αὐτοῦ ἐν τῇ προσευχῇ, ὑπάρχων ἐγὼ ἐν περισσοτέρῳ κινδύνῳ καὶ ἁμαρτήμασι μείζοσιν; Εἰ δὲ καὶ ἐκεῖνος αὐτὸς αἰτήσει με περὶ τούτου ἢ εἴπῃ μοί τινι τῶν Πατέρων εἰπεῖν, τί ποιήσω; ἆρα μὴ καὶ τὸν ἐμπαθῆ γυμνάζει εἰς ἀγάπην τὸ ὑπερεύχεσθαι τοῦ πλησίον;

Ἀπεκρίθη ὁ γέρων:

Ὅτι οὐδεὶς ὀφείλει ἀφιέναι τὸν ἴδιον νεκρόν, καὶ ἀπελθεῖν κλαῦσαι ἄλλον, ἐδήλωσαν οἱ Πατέρες τοῖς νεωτέροις· τῶν τελείων γάρ ἐστι τὸ συμπαθῆσαι τῷ πλησίον· νεωτέρῳ δὲ τὸ συμπαθῆσαι ἄλλῳ, χλεύη δαιμόνων ἐστίν· ἀνοήτως γὰρ κρίνει καὶ τοὺς ἀνθρώπους καὶ τὰ πράγματα, καὶ οὐ μετὰ διακρίσεως ἀπταίστου· διὸ πολλάκις καὶ τὰ καλὰ καὶ συμφέροντα, ὡς κακὰ αὐτῷ καὶ ἀσύμφορα φαίνεται. Συμφέρει οὖν αὐτῷ ἐκ πάντων τῶν ἔξωθεν ἀμεριμνῆσαι, κἂν ποτε μνήμη τινὸς ἐκείνων γένηται ἐν τῇ καρδίᾳ αὐτοῦ ὡς ἀρρωστοῦντος τυχὸν ἤ τι τῶν λυπηρῶν πάσχοντος, ἢ ὑπὸ ἄλλων ἀκούσῃ περὶ αὐτοῦ, εἴπῃ· ὁ Θεὸς ἐλεήσαι κἀμὲ καὶ αὐτόν· ἀφ' ἑαυτοῦ δὲ μὴ εἴπῃ τινὶ τῶν γερόντων εὔξασθαι ὑπέρ τινος· τοῦτο γὰρ χρῆσθαι ἐστὶ τῇ ἰδίᾳ ἐξουσίᾳ.

Εἰ δὲ θέλει, ὑπομνήσῃ μόνον εἰπὼν τῷ γέροντι· ὁ δεῖνα θλίβεται· καὶ ὁ γέρων ἀκούσας, πάντως εὔχεται ὑπὲρ τοῦ ἀσθενοῦντος τῷ πνεύματι· εἰ δέ τις εἴπῃ σοι εἰπεῖν περὶ αὐτοῦ τῷ γέροντι, εἰπὲ τὸν λόγον διὰ τὴν ἐντολήν. Προσευχόμενος λέγε· Κύριε, συγχώρησον ἡμῖν ἢ σκέπασον ἡμᾶς πρὸς τὸ πρᾶγμα· τὸ συμπαθῆσαι δέ τινι ὡς διὰ τὴν τοῦ Θεοῦ ἀγάπην, σοὶ οὔπω προσγέγονεν οὐδὲ ἦλθες εἰς τὸ μέτρον τοῦτο· ὅταν δὲ ὀχλῇ σοι ὁ λογισμὸς περί τινος, τότε ἐρώτα καὶ μάνθανε τὸ πρέπον καὶ ὀφειλόμενον.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἠρώτησεν ἕνα Γέροντα:

— Εἰπέ μου, Πάτερ, σὲ παρακαλῶ· ἐὰν πληροφορηθῶ ὅτι κάποιος ἀδελφὸς πολεμεῖται ἀπὸ τοὺς δαίμονας ἢ εἶναι ἄρρωστος καὶ δοκιμάσω δι' αὐτὸν συμπάθειαν, ἡ συμπάθεια αὐτὴ εἶναι ἀγαθὴ ἢ προέρχεται ἐκ τῶν δαιμόνων, ποὺ θέλουν νὰ μὲ ἀποσπάσουν ἀπὸ τοῦ νὰ φροντίζω

διὰ τὴν διόρθωσιν τῶν ἁμαρτιῶν μου; Ἐπίσης, Πάτερ μου, εἰπέ μου, ἐὰν πρέπει νὰ ἐνθυμηθῶ τὸν ἀδελφὸν αὐτὸν εἰς τὴν προσευχήν μου, τὴν στιγμὴν ποὺ ἐγὼ ἀντιμετωπίζω περισσοτέρους κινδύνους καὶ πολεμοῦμαι ἀπὸ μεγαλύτερα ἁμαρτήματα. Ἐὰν δὲ ζητήσῃ ὁ ἴδιος ἀπὸ ἐμὲ αὐτὸ τὸ πρᾶγμα, ἢ μὲ παρακαλέσῃ νὰ ὁμιλήσω σχετικῶς εἰς κάποιον ἐκ τῶν Πατέρων, τί νὰ κάμω; Ἄραγε μήπως ἡ ὑπερβάλλουσα προσευχὴ διὰ τὸν πλησίον ἐκγυμνάζει καὶ τὸν κυριευμένον ἀπὸ πάθη εἰς ἀγάπην;

Εἰς αὐτὰς τὰς ἀπορίας ὁ Γέρων ἀπήντησεν:

— Οἱ Πατέρες ἔκαμαν γνωστὸν εἰς τοὺς νεωτέρους ὅτι κανένας δὲν πρέπει νὰ ἀφήνῃ τὸν ἰδικόν του νεκρὸν καὶ νὰ μεταβαίνῃ νὰ κλαύσῃ ἄλλον· βεβαίως γνώρισμα τῶν τελείων εἶναι νὰ συμπαθοῦν τὸν πλησίον. Διὰ τὸν νεώτερον ὅμως ἡ συμπάθεια πρὸς κάποιον ἄλλον εἶναι ἐμπαιγμὸς τῶν δαιμόνων· διότι ὁ νεώτερος κρίνει ἐπιπολαίως καὶ τοὺς ἀνθρώπους καὶ τὰ πράγματα καὶ χωρὶς ἀσφαλῆ διάκρισιν· δι' αὐτὸ καὶ πολλὰς φορὰς τὰ καλὰ καὶ συμφέροντα φαίνονται εἰς αὐτὸν ὡς κακὰ καὶ ἀσύμφορα. Συμφέρει λοιπὸν εἰς αὐτὸν νὰ μὴ ἐνδιαφέρεται δι' οὐδένα ἐκ τῶν κοσμικῶν· ἐὰν δὲ κάποτε ἐνθυμηθῇ κάποιον μὲ συμπάθειαν, ἐπειδὴ τυχὸν εἶναι ἄρρωστος ἢ θλίβεται, ἢ πληροφορηθῇ ἀπὸ ἄλλους δι' ἐκεῖνον, ἂς εἴπῃ· Ὁ Θεὸς ἂς ἐλεήσῃ καὶ αὐτὸν καὶ ἐμένα· ἀφ' ἑαυτοῦ του ὅμως ἂς μὴ εἴπῃ σὲ κανένα ἐκ τῶν Γερόντων νὰ προσευχηθῇ διὰ κάποιον, διότι τοῦτο εἶναι εἰς τὴν ἰδίαν ἑκάστου ἐξουσίαν.

Ἐὰν ὅμως θέλῃ, τότε ἂς ὑπενθυμίσῃ εἰς τὸν Γέροντα ἁπλῶς· Πάτερ μου, ὁ τάδε θλίβεται, καὶ ὁ Γέρων, μόλις πληροφορηθῇ αὐτό, ὁπωσδήποτε εὔχεται διὰ τὸν ἀσθενοῦντα κατὰ τὸ πνεῦμα. Ἐὰν πάλιν σοῦ εἴπῃ κάποιος νὰ ὁμιλήσῃς σχετικῶς διὰ τὸν ἀσθενῆ εἰς τὸν Γέροντα, σὺ νὰ εἴπῃς τὸν λόγον, χάριν τῆς ἐντολῆς ποὺ ἔλαβες. Ὅταν δὲ προσεύχεσαι, νὰ λέγῃς· Κύριε, συγχώρησέ μας ἢ σκέπασέ μας κατὰ τὴν περίστασιν· τὸ νὰ συμπαθήσῃς ὅμως κάποιον, χάριν τῆς ἀγάπης τοῦ Θεοῦ, τοῦτο δὲν ἔγινεν ἀκόμη ἰδικόν σου δικαίωμα (διότι εἶσαι ἀρχάριος), οὔτε ἦλθες εἰς αὐτὸ τὸ μέτρον· ὅταν δὲ ὁ λογισμὸς σὲ ἐνοχλῇ διὰ κάποιον, τότε ἐρώτα καὶ μάνθανε ποῖον εἶναι τὸ καθῆκον καὶ ἡ ὑποχρέωσις.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἔφη τῷ Ἀββᾷ Κρονίῳ· εἰπέ μοι ῥῆμα, Πάτερ, πῶς σωθῶ; καὶ ἀπεκρίθη ὁ γέρων· ἐν τῷ ἐλθεῖν ὁ Ἐλισσαῖος πρὸς τὴν Σουμανῖτιν, εὗρεν αὐτὴν μὴ ἔχουσαν πρᾶγμα μετά τινος καὶ διὰ τοῦτο συνέλαβε καὶ ἔτεκε διὰ τῆς παρουσίας Ἐλισσαίου· λέγει ὁ ἀδελφός· τί ἐστι τὸ ῥῆμα τοῦτο; ἔφη ὁ γέρων· ἡ ψυχὴ ἐὰν νήψῃ, καὶ συστείλῃ ἑαυτὴν ἀπὸ τοῦ περισπασμοῦ, καὶ καταλείψῃ τὰ θελήματα ἑαυτῆς, τότε τὸ πνεῦμα τοῦ Θεοῦ παραβάλλει αὐτῇ· καὶ λοιπὸν δύναται γεννῆσαι ἐπειδὴ στεῖρα ἐστίν.

2. Ἤθελεν ὁ ἄρχων τῆς χώρας ἰδεῖν τὸν Ἀββᾶν Ποιμένα, καὶ οὐ κατεδέχετο ὁ γέρων· ὁ δέ, προφάσει δῆθεν, ὡς κακοῦργον κατέσχε τὸν υἱὸν τῆς ἀδελφῆς αὐτοῦ, καὶ ἔβαλεν εἰς φυλακὴν λέγων· ἐὰν ἔλθῃ ὁ γέρων καὶ παρακαλέσῃ ὑπὲρ αὐτοῦ, ἐγὼ

ἀπολύω αὐτόν. Ἦλθεν οὖν ἡ ἀδελφὴ αὐτοῦ κλαίουσα πρὸς τῇ θύρᾳ· ὁ δὲ οὐκ ἔδωκεν αὐτῇ ὅλως ἀπόκρισιν· ἡ δὲ ἐλοιδόρει αὐτὸν λέγουσα· χαλκόσπλαγχνε, ἐλέησόν με, ὅτι μονογενής μοι ἐστίν· ὁ δέ, πέμψας εἶπεν αὐτῇ· Ποιμὴν τέκνα οὐκ ἐγέννησε· καὶ οὕτως ἡ γυνή, μηδὲν ἀνύσασα, ἀνεχώρησε· καὶ ἀκούσας ὁ ἄρχων ἔπεμψε πρὸς τὸν γέροντα λέγων· κἂν λόγῳ κέλευσον, καὶ ἀπολύω αὐτόν· ὁ δὲ γέρων ἀντεδήλωσε ταῦτα· ἐξέτασον τὰ περὶ αὐτοῦ κατὰ τοὺς νόμους· καὶ εἰ ἄξιός ἐστι θανάτου, ἀποθανέτω· εἰ δὲ οὐκ ἔστιν, ὡς βούλει ποίησον.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ εἶπε πρὸς τὸν Ἀββᾶν Κρόνιον:

— Πάτερ μου, συμβούλευσέ με πῶς νὰ σωθῶ;

Ὁ Γέρων τοῦ ἀπήντησεν:

—Ὅταν ὁ Προφήτης Ἐλισσαῖος ἦλθε πρὸς τὴν Σουμανῖτιν, τὴν εὗρεν ἀπηλλαγμένην παντὸς περισπασμοῦ πρὸς τρίτον, καὶ διὰ τοῦτο τὴν ηὐλόγησεν, ὁπόταν διὰ τῆς παρουσίας τοῦ Ἁγίου Προφήτου συνέλαβεν ἡ Σουμανῖτις καὶ ἐγέννησεν υἱόν*. Λέγει ὁ ἀδελφός:

— Πάτερ, ποία εἶναι ἡ σημασία τοῦ λόγου αὐτοῦ;

Ὁ Γέρων ἀπήντησεν:

—Ἐὰν ἡ ψυχὴ ἀγρυπνῇ καὶ προφυλάσσεται ἀπὸ βιοτικοὺς περισπασμοὺς καὶ ἐγκαταλείψῃ τὰ θελήματά της, τότε ἔρχεται τὸ Πνεῦμα τοῦ Θεοῦ πρὸς αὐτὴν καὶ τότε δύναται νὰ γεννήσῃ ὑψηλὰς πνευματικὰς σκέψεις διότι προηγουμένως ἦτο στεῖρα.

2. Κάποτε ὁ Ἄρχων τῆς χώρας ἐπεθύμει νὰ ἴδῃ τὸν Ἀββᾶν Ποιμένα, ἀλλὰ δὲν ἠδύνατο, διότι ὁ Γέρων ἀπέφευγε. Τότε ὁ Ἄρχων, διὰ νὰ τὸν ἐξαναγκάσῃ νὰ συναντηθοῦν, συνέλαβε τὸν υἱὸν τῆς ἀδελφῆς του ὡς κακοῦργον καὶ τὸν ἐνέκλεισεν εἰς τὴν φυλακήν. Συγχρόνως εἰδοποίησε τὴν οἰκογένειαν τοῦ φυλακισμένου:

— Τότε μόνον θὰ τὸν ἀπολύσω, ἐὰν ἔλθῃ ὁ Ἀββᾶς Ποιμὴν καὶ μὲ παρακαλέσῃ δι' αὐτόν.

Κατόπιν αὐτοῦ κατέφθασεν εἰς τὴν θύραν τοῦ κελλίου ἡ ἀδελφή του, μὲ κλάματα καὶ τὸν παρεκάλει.

Ὁ Ἀββᾶς Ποιμὴν καμμίαν ἀπάντησιν δὲν ἔδωσεν εἰς αὐτήν.

Ἡ ἀδελφή του, τὸν ἐπέπληττε δι' αὐτὸ καὶ τοῦ ἔλεγε:

— Χαλκόσπλαγχνε, λυπήσου με· εἶναι τὸ μοναχοπαίδι μου.

Ὁ Ἀββᾶς Ποιμὴν ἔστειλε κάποιον καὶ τῆς παρήγγειλε:

—Ὁ Ποιμὴν δὲν ἐγέννησε παιδιά.

Ἀφοῦ λοιπὸν δὲν κατώρθωσε τίποτε ἡ ἀδελφὴ ἀνεχώρησε.

---

* Ἡ Σουμανῖτις ἢ Σωμανῖτις ἦτο γυνὴ ἰσραηλῖτις, ἡ ὁποία ἐφιλοξένησε τὸν προφήτην Ἐλισσαῖον καὶ τοῦ ἔκαμεν ἐξαιρετικὰς περιποιήσεις. Εἰς ἀνταμοιβὴν ὁ Ἐλισσαῖος ηὐλόγησεν αὐτὴν καὶ συνέλαβεν ἡ γυνή, ἡ ὁποία ἕως τότε, ἦτο στεῖρα καὶ ὁ σύζυγός της πλέον γέρων, καὶ ἐγέννησεν υἱόν. (Δ' Βασ. δ', 14—17).

Μόλις ὁ Ἄρχων ἐπληροφορήθη τὴν συμπεριφορὰν αὐτὴν τοῦ Ἀββᾶ Ποιμένος, ἔστειλεν ἀντιπρόσωπον καὶ τοῦ ἐμήνυσε:

— Τοὐλάχιστον, διάταξέ με, μὲ ἕνα σου λόγον, καὶ ἐγὼ ἀμέσως θὰ τὸν ἀπολύσω.

Ὁ Γέρων, μὲ τὸ ἴδιον πρόσωπον, τοῦ ἀπήντησεν:

—Ἐξέτασε τὴν ὑπόθεσιν τοῦ φυλακισμένου σύμφωνα μὲ τοὺς νόμους· καὶ ἂν εἶναι ἄξιος θανάτου, ἂς ἀποθάνῃ. Ἂν ὅμως δὲν εἶναι, τότε ὅπως θέλεις, κάμε.

Η'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΟΝΑΧΟΣ ἐμπλεκόμενος ταῖς τοῦ βίου πραγματείαις καὶ μεταστρέφων τὸν λογισμὸν αὐτοῦ εἰς τὴν φροντίδα τῶν κατὰ κόσμον, ὅ μ ο ι ό ς ἐ σ τ ι τ ῷ ἀ ν α τ έ μ ν ο ν τ ι ἑ α υ τ ό ν.

2. Μοναχὸς ἐπιζητῶν κληρονομίαν τῶν κατὰ σάρκα γονέων, ἤγουν μετὰ τὸ ἀποτάξασθαι καὶ γενέσθαι Μοναχός, ἐμπεσεῖται εἰς πειρασμούς· ὁ δὲ ἐκζητῶν τὸν Κύριον σωθήσεται. Μὴ εἴπῃς, ἐὰν γηράσω πόθεν ἂν διατρέφωμαι; περὶ τῆς αὔριον οὐκ ἐπετράπη ἡμῖν μεριμνῆσαι, καὶ περὶ τοῦ γήρως σοι ἤδη μεριμνᾷς; Τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην ζητήσωμεν, καὶ ταῦτα πάντα προστεθήσεται ἡμῖν· ἀψευδὴς γὰρ ὁ ἐπαγγειλάμενος· ἐὰν δὲ ταῦτα πρῶτον μὴ ζητήσωμεν, φανεροί ἐσμεν, ὅτι οὐ περὶ τούτων ἀγωνιζόμεθα. Ἐπίρριψον οὖν ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει· ἐὰν δὲ ὁ Κύριος εὐοδώσῃ τι εἰς τὰς χεῖράς σου, φρόντισον περὶ αὐτοῦ, ὡς μέλλων λόγον δώσειν τῷ εὐοδώσαντι.

Ἑ ρ μ η ν ε ί α

ΜΟΝΑΧΟΣ, ποὺ ἐμπλέκεται εἰς κοσμικὰς ὑποθέσεις καὶ μεταστρέφει τὴν σκέψιν του πρὸς τὰς κοσμικὰς φροντίδας, ὁμοιάζει μὲ ἐκεῖνον, ποὺ κατακομματιάζει τὸν ἑαυτόν του.

2. Μοναχός, ποὺ ἐπιζητεῖ νὰ κληρονομήσῃ τοὺς κατὰ σάρκα γονεῖς του, θὰ περιπέσῃ εἰς πειρασμούς· ἐνῷ ἐκεῖνος ποὺ ζητεῖ τὴν βοήθειαν τοῦ Κυρίου θὰ σωθῇ. Μὴ εἴπῃς μὲ τὸν λογισμόν σου, ὅταν θὰ γηράσω ἀπὸ ποῦ θὰ διατρέφωμαι; Δὲν μᾶς ἐπετράπη νὰ φροντίσωμεν διὰ τὴν αὐριανὴν ἡμέραν καὶ σὺ διὰ τὰ γηρατεῖα σου μεριμνᾷς; Ἂς ἐπιζητῶμεν τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην Αὐτοῦ καὶ ὅλα αὐτὰ ποὺ εἶναι ἀπαραίτητα διὰ τὴν συντήρησίν μας, θὰ προστεθοῦν εἰς ἡμᾶς (Ματθ. στ', 15—34)· διότι Ἐκεῖνος ποὺ τὸ ὑπεσχέθη δὲν λέγει ψέματα. Ἐὰν δὲν ἐπιδιώξωμεν πρῶτον τὰ ὕψιστα αὐτὰ πνευματικὰ ἀγαθά, δεικνύομεν πλέον, ὅτι δὲν ἀγωνιζόμεθα δι' αὐτά. Νὰ ἐμπιστευθῇς λοιπὸν τὴν φροντίδα σου εἰς τὸν Κύριον καὶ Αὐτὸς θὰ σὲ διαθρέψῃ. Ἐὰν δὲ ὁ Κύριος σὲ βοηθήσῃ νὰ ἐπιτύχῃ κάποιον ἔργον τῶν χειρῶν σου, φρόντισε δι' αὐτό, μὲ τὴν σκέψιν πῶς κάποτε θὰ λογοδοτήσῃς ἐνώπιον Ἐκείνου, ποὺ ἔφερεν εἰς καλὸν τέλος τὸ ἔργον σου.

Θ'. Ἐκ τοῦ Ἀββᾶ Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἐν Κοινοβίῳ ἡσυχάζων, ἠρώτησε γέροντα λέγων· ἐπειδὴ χήρα ἀδικουμένη ἀπέστειλε πρός με, παρακαλοῦσα ἵνα γράψω τῷ Δομεστίκῳ βοηθῆσαι αὐτῇ, ἔχω δὲ περὶ αὐτοῦ δύο λογισμούς· ὁ εἷς λέγει μοι, ὅτι εἰς νέκρωσιν ἦλθες ὧδε· καὶ ἐὰν γράψῃς αὐτῷ, παραβαίνεις τὴν ἐντολὴν τῆς νεκρώσεως· ὁ δὲ ἕτερος ὑποβάλλει μοι· ὅτι εἰ μὴ γράψεις αὐτῷ, παραβαίνεις τὴν ἐντολὴν τὴν κελεύουσαν βοηθεῖν τοῖς δεομένοις· εἰπέ μοι, τί ποιήσω, Πάτερ; καὶ ἀπεκρίθη ὁ γέρων· εἰ ἦς νεκρὸς καὶ ἦλθε χήρα ἀδικουμένη, ἠδύνω αὐτῇ βοηθῆσαι; δηλονότι οὐδαμῶς· ἄλλως τε εἰ ταύτῃ βοηθήσεις, ἔρχεται πάλιν καὶ ἄλλη αἰτοῦσα περὶ τοιούτου, καὶ τότε παραβαίνεις τὴν ἐντολήν. Ὁ νεκρὸς οὐ φροντίζει τινὸς τῶν τοιούτων· κἂν γογγύσωσι κατὰ σοῦ, οὐδέν σε τὸ τοιοῦτον βλάψει.

Ἑρμηνεία

ΕΝΑΣ Μοναχός, ποὺ ἡσύχαζεν εἰς Κοινόβιον, ἠρώτησεν ἕνα Γέροντα λέγων:


— Πάτερ, μία χήρα, ἡ ὁποία ἀδικεῖται, μοῦ ἔστειλεν ἄνθρωπον καὶ μὲ παρακαλεῖ νὰ γράψω γράμμα εἰς τὸν Δομέστικον, νὰ τὴν βοηθήσῃ*· ἐγὼ δὲν ξέρω τί νὰ κάνω, διότι μέσα μου παλαίουν δύο λογισμοί: ὁ ἕνας μοῦ λέγει, ὅτι ἦλθες ἐδῶ, εἰς Κοινόβιον, διὰ νὰ ἀποθάνῃς διὰ τὸν κόσμον· ἐὰν λοιπὸν γράψῃς εἰς τὸν Δομέστικον, παραβαίνεις τὴν ἐντολὴν τῆς νεκρώσεως· ὁ ἄλλος ὅμως μὲ συμβουλεύει τὸ ἀντίθετον· ἐὰν δὲν γράψῃς, μοῦ λέγει, παραβαίνεις τὴν ἐντολήν, ποὺ μᾶς διατάσσει νὰ βοηθῶμεν τοὺς ἔχοντας ἀνάγκην. Εἰπέ μου λοιπόν, Πάτερ, τί νὰ κάνω;

Ὁ Γέρων ἀπήντησεν:

—Ἐὰν ἤσουν νεκρὸς καὶ ἤρχετο ἐδῶ χήρα ἀδικουμένη, θὰ ἠμποροῦσες νὰ τὴν βοηθήσῃς; Καθόλου βεβαίως. Ἐκτὸς ὅμως αὐτοῦ ἐὰν τώρα βοηθήσῃς αὐτήν, τότε θὰ ἔλθῃ πάλιν ἄλλη, ζητοῦσα τὴν βοήθειάν σου, ὁπότε παραβαίνεις τελείως τὴν ἐντολήν. Ὁ νεκρὸς δὲν φροντίζει διὰ τίποτε ἀπὸ αὐτά· καὶ ἐὰν ἀκόμη γογγύσουν ἐναντίον σου, κανένας τοιοῦτος γογγυσμὸς δὲν εἶναι δυνατὸν νὰ σὲ βλάψῃ.



* Δομέστικος κατὰ τὴν βυζαντινὴν ἐποχὴν ἐκαλεῖτο ἀρχικῶς ὁ σωματοφύλαξ τοῦ βασιλέως. Κατόπιν ἦτο τίτλος ἀξιώματος τῆς βασιλικῆς αὐλῆς ἢ εἰς τὸν στρατὸν καὶ ἀργότερον τίτλος ἐκκλησιαστικοῦ ἀξιώματος.




ΥΠΟΘΕΣΙΣ ΚΕ΄

Περὶ τοῦ ὅτι εὐχερὲς ἡ κακία, καὶ πολλοὶ οἱ ταύτην αἱρούμενοι, καὶ μάλιστα νῦν· ἔγκοπος δὲ ἡ ἀρετή, καὶ ὀλίγοι οἱ αὐτὴν μετερχόμενοι· οὓς δεῖ καὶ ζηλοῦν, τοῖς δὲ πολλοῖς μὴ προσέχειν.

Περὶ τοῦ ὅτι ἡ κακία εἶναι εὔκολη καὶ εἶναι πολλοὶ αὐτοὶ ποὺ τὴν προτιμοῦν, πρὸ παντὸς δὲ τώρα· ἀντιθέτως, ἡ ἀρετὴ ἀπαιτεῖ κόπον καὶ εἶναι ὀλίγοι αὐτοὶ ποὺ τὴν ἀσκοῦν. Αὐτοὺς ὅμως πρέπει νὰ μιμούμεθα καὶ νὰ μὴ προσέχωμεν εἰς τοὺς πολλούς.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΛΘΕ ποτέ τις τῶν ἀδελφῶν πρὸς τὸν Ἀββᾶν Θεόδωρον τῆς Φέρμης, καὶ εἶπεν αὐτῷ· ἰδοὺ ὁ δεῖνα ὁ ἀδελφὸς ὑπέστρεψεν εἰς τὸν κόσμον· καὶ ἀπεκρίθη ὁ γέρων· ἐπὶ τούτῳ θαυμάζεις; μὴ θαύμαζε· ἀλλὰ θαύμασον μᾶλλον, ἐὰν ἀκούσῃς ὅτι ἠδυνήθη τις ἐκφυγεῖν ἀπὸ τοῦ στόματος τοῦ ἐχθροῦ.

2. Εἶπε γέρων· κρεῖσσον οἰκεῖν μετὰ τριῶν φοβουμένων τὸν Κύριον, ἢ μετὰ μυρίων μὴ ἐχόντων φόβον Θεοῦ· ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις ἐν τοῖς Κοινοβίοις εἰς τοὺς ἑκατὸν μόλις ὀλίγοι εὑρεθήσονται οἱ σῳζόμενοι· εἰς δὲ τοὺς πεντήκοντα, οὐκ οἶδα εἰ εὑρεθήσονται· πάντες γὰρ τραπήσονται φιλοῦντες τραπέζας, καὶ τὴν γαστριμαργίαν, καὶ τὴν φιλαρχίαν, καὶ τὴν φιλαργυρίαν· πολλοὶ οὖν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

3. Ὁ αὐτὸς εἶπεν· ἐὰν καθίσῃς εἰς τόπον, καὶ ἴδῃς τινὰς ἔχοντας παράκλησιν, μὴ πρόσχῃς αὐτοῖς· ἀλλ᾽ ἐάν ἐστιν ἄλλος πτωχός, αὐτῷ πρόσεχε ἕως ὅτου οὐκ ἔχει ἄρτον, καὶ ἀναπαύσῃ.

4. Παρεκάλεσεν ὁ Ἀββᾶς Ποιμὴν τὸν Ἀββᾶν Μακάριον μετὰ πολλῶν δακρύων λέγων· εἰπέ μοι ῥῆμα πῶς σωθῶ; ἀποκριθεὶς δὲ ὁ γέρων εἶπεν αὐτῷ· τὸ πρᾶγμα, ὃ ζητεῖς, ἀπῆλθε νῦν ἀπὸ τῶν Μοναχῶν.

5. Διηγήσατο ὁ Ἀββᾶς Ἰωάννης, ὅτι ἐγένετό τις τῶν γερόντων ἐν ἐκστάσει καὶ εἶδε· καὶ ἰδοὺ τρεῖς Μοναχοὶ εἱστήκεισαν πέραν τῆς θαλάσσης· καὶ ἐγένετο

φωνὴ πρὸς αὐτοὺς ἐκ τοῦ ἄλλου πέραν λέγουσα· λ ά β ε τ ε π τ ε ρ ὰ π υ ρ ό ς κ α ὶ δ ε ῦ τ ε π ρ ό ς μ ε. Καὶ οἱ μὲν δύο ἔλαβον καὶ ἐπετάσθησαν εἰς τὸ ἄλλο πέραν· ὁ δὲ ἄλλος ἔμεινε, καὶ ἔκλαιε σφόδρα καὶ ἔκραζεν· ὕστερον δὲ ἐδόθησαν καὶ αὐτῷ πτερά, οὐ μέντοι πυρός, ἀλλὰ ἀσθενῆ καὶ ἀδύναμα· καὶ μετὰ καμάτου, καταποντιζόμενος καὶ ἀνιστάμενος μετὰ θλίψεως πολλῆς ἦλθεν εἰς τὸ πέραν. Οὕτω καὶ ἡ γενεὰ αὕτη· εἰ καὶ λαμβάνει πτερά, οὐ μέντοι πυρός, ἀλλὰ μόλις ἀσθενῆ καὶ ἀδύναμα λαμβάνει.

6. Οἱ Ἅγιοι Πατέρες προεφήτευσαν περὶ τῆς ἐσχάτης γενεᾶς, καὶ εἶπον ἀποροῦντες πρὸς ἀλλήλους· τί εἰργασάμεθα ἡμεῖς; ἀποκριθεὶς δὲ εἷς ἐξ αὐτῶν, ὁ Ἀββᾶς Ἰσχυρίων, ὃς ἦν μέγας, εἶπεν· ἡμεῖς τὰς ἐντολὰς τοῦ Θεοῦ ἐποιήσαμεν· οἱ δὲ εἶπον· οἱ δὲ μεθ' ἡμᾶς, ἄρα τί ποιοῦσι; καὶ εἶπεν ὁ γέρων· μέλλουσιν εἰς τὸ ἥμισυ τοῦ ἔργου ἡμῶν ἔρχεσθαι. Καὶ πάλιν οἱ Πατέρες ἠρώτησαν· οἱ δὲ μετ' αὐτοὺς ἄρα τί; ὁ δὲ ἔφη· οὐκ ἔχουσιν ὅλως ἔργον οἱ τῆς γενεᾶς ἐκείνης· μέλλει δὲ ἔρχεσθαι αὐτοῖς πειρασμός· καὶ οἱ εὑρισκόμενοι δόκιμοι ἐν τῷ καιρῷ ἐκείνῳ, μ ε ί ζ ο ν ε ς καὶ ἡμῶν καὶ τῶν Πατέρων ἡμῶν ἔσονται.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ ἕνας ἀδελφὸς ἦλθε πρὸς τὸν Ἀββᾶν Θεόδωρον τῆς Φέρμης καὶ τοῦ εἶπε:

— Πάτερ, ὁ τάδε ἀδελφὸς ἐγύρισε πάλιν εἰς τὸν κόσμον.

— Δι' αὐτὸ θαυμάζεις; — ἀπήντησεν ὁ Γέρων· — δὲν εἶναι ἀξιοθαύμαστον· ἀξίζει νὰ θαυμάσῃς, ὅταν ἀκούσῃς ὅτι κάποιος ἠμπόρεσε νὰ διαφύγῃ ἀπὸ τὸ στόμα τοῦ ἐχθροῦ.

2. Ἕνας Γέρων εἶπεν· εἶναι καλύτερον νὰ συγκατοικῇ κανεὶς μὲ τρεῖς ποὺ φοβοῦνται καὶ σέβονται τὸν Θεόν, παρὰ μὲ δέκα χιλιάδας ποὺ δὲν ἔχουν φόβον Θεοῦ· διότι κατὰ τὰς τελευταίας ἡμέρας, ἀπὸ τοὺς ζῶντας εἰς τὰ Κοινόβια εἰς τοὺς ἑκατὸν ἐλάχιστοι θὰ εἶναι ἐκεῖνοι ποὺ θὰ σώζωνται. Δὲν γνωρίζω δὲ ἐὰν θὰ εὑρεθοῦν σῳζόμενοι μεταξὺ τῶν πεντήκοντα, διότι, τότε, ὅλοι θὰ ἀλλάξουν καὶ θὰ ἀγαποῦν τραπέζια καὶ τὴν γαστριμαργίαν καὶ τὴν φιλαρχίαν καὶ τὴν φιλαργυρίαν. Εἶναι, λοιπόν, πολλοὶ οἱ κλητοί, ὀλίγοι ὅμως οἱ ἐκλεκτοί.

3. Ὁ ἴδιος εἶπεν· ἐὰν εὑρεθῇς εἰς ἕνα μέρος καὶ ἴδῃς μερικοὺς νὰ ἔχουν μικρὰν ὑλικὴν ἀνακούφισιν, μὴ προσέξῃς εἰς αὐτούς· ἀλλ' ἐὰν ὑπάρχῃ κανεὶς ἄλλος πτωχός, αὐτὸν νὰ προσέχῃς, ὅταν δὲν ἔχῃ οὔτε ψωμί, καὶ τότε θὰ ἀναπαύεται ἡ ψυχή σου.

† 4. Ὁ Ἀββᾶς Ποιμὴν παρεκάλεσε, μὲ πολλὰ δάκρυα, τὸν Ἀββᾶν Μακάριον λέγων· εἰπέ μου λόγον πῶς νὰ σωθῶ; καὶ ὁ Γέρων τοῦ ἀπήντησεν· αὐτὸ ποὺ ζητεῖς ἔφυγε τώρα ἀπὸ τοὺς Μοναχούς.

5. Ὁ Ἀββᾶς Ἰωάννης διηγήθη ὅτι κάποτε ἕνας ἐκ τῶν Γερόντων περιέπεσεν εἰς ἔκστασιν καὶ εἶδεν ἕνα καταπληκτικὸν ὅραμα· τρεῖς Μοναχοὶ εἶχον σταθῆ εἰς τὴν ἀντικρυνὴν ἀκτὴν τῆς θαλάσσης. Ἔξαφνα, ἀπὸ τὸ ἄλλο μέρος, ἠκούσθη φωνὴ ποὺ τοὺς ἔλεγε· πάρετε πύρινα πτερὰ καὶ ἐλᾶτε κοντά μου. Καὶ οἱ μὲν δύο ἐπῆραν, πράγματι, πύρινα πτερὰ

καὶ ἐπέταξαν πρὸς τὴν ἀπέναντι ἀκτήν. Ὁ ἄλλος ὅμως ἔμεινε καὶ ἔκλαιε πάρα πολὺ καὶ ἔκραζεν· ὕστερα ἐδόθησαν καὶ εἰς αὐτὸν πτερά, ὄχι ὅμως πύρινα, ἀλλὰ ἀσθενικὰ καὶ ἀδύνατα. Ἔτσι, ὁ Μοναχὸς αὐτός, μὲ πολὺν κόπον, ἄλλοτε πετῶν χαμηλὰ καὶ ἄλλοτε ἀνερχόμενος ὑψηλότερον, μὲ πολλὴν δυσκολίαν ἦλθεν, ἐπὶ τέλους, εἰς τὴν ἀπέναντι ἀκτήν. Τὸ ἴδιον συμβαίνει καὶ μὲ αὐτὴν τὴν γενεάν· λαμβάνει πτερά, ὄχι ὅμως πύρινα, ἀλλὰ πάρα πολὺ ἀσθενῆ καὶ ἀδύνατα.

6. Οἱ Ἅγιοι Πατέρες προεφήτευσαν διὰ τὴν τελευταίαν γενεὰν καὶ εἶπον, μεταξύ των, μὲ ἀπορίαν: ἡμεῖς τί ἐκάμαμεν; Ἕνας δὲ ἐξ αὐτῶν, ὁ ὁποῖος ἦτο σπουδαῖος, ὁ Ἀββᾶς Ἰσχυρίων, ἀπήντησεν· ἡμεῖς ἐξεπληρώσαμεν τὰς ἐντολὰς τοῦ Θεοῦ. Οἱ Πατέρες τὸν ἠρώτησαν:

—Ἆρα γε αὐτοί, ποὺ θὰ ἔλθουν μετὰ ἀπὸ ἡμᾶς, τί θὰ κάνουν;

—Μόλις θὰ ἐκτελέσουν τὸ ἥμισυ ἀπὸ τὸ ἔργον μας, ἀπήντησεν ὁ Γέρων.

—Καὶ ἐκεῖνοι, ποὺ θὰ ἔλθουν μετὰ ἀπὸ αὐτούς, τί θὰ κάνουν; ἠρώτησαν πάλιν οἱ Πατέρες.

✝ —Οἱ Μοναχοὶ τῆς γενεᾶς ἐκείνης δὲν θὰ ἔχουν κανένα ἔργον ἀρετῆς καὶ εὐσεβείας· πρόκειται δὲ νὰ ἔλθῃ εἰς αὐτοὺς πειρασμός, ὥστε ἐκεῖνοι ποὺ θὰ εὑρεθοῦν ἄξιοι, κατὰ τὴν ἐποχὴν ἐκείνην, θὰ εἶναι πολὺ καλύτεροι καὶ ἀπὸ ἡμᾶς καὶ ἀπὸ τοὺς Πατέρας μας.

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΓΑΠΗΤΕ, ὅταν τοὺς προβεβηκότας ἐν τῷ σχήματι θεάσῃ ἀμελοῦντας, πρόσεχε καὶ ἀσφαλίζου σεαυτόν, μήποτε τούτους ζηλώσας, τὴν αὐτὴν καὶ αὐτὸς ὁδὸν πορεύσῃ, καὶ σὺν αὐτοῖς κληρονομήσῃς τὴν αἰώνιον κόλασιν· ἢ πάλιν μὴ ἐγκρατὴς γενόμενος, ἐπαρθῇς κατ' αὐτῶν, καὶ εἰς ὑψηλοφροσύνην ἐκπέσῃς, καὶ ἔσῃ ὑποχείριος τῷ ἐχθρῷ· ἀλλὰ σεαυτῷ πρόσεχε, καὶ φύλαξον τὴν ψυχήν σου σφόδρα· οὐδὲ γὰρ ἡμεῖς ἐξ ἔργων ἑτέρων δικαιούμεθα ἢ κατακρινόμεθα, ἀλλ' ὅταν εἰσαχθῶμεν ἐνώπιον τοῦ κριτοῦ γυμνοὶ καὶ τετραχηλισμένοι, ἕκαστος περὶ ἑαυτοῦ λόγον δώσει, καὶ τὸ ἴδιον φορτίον βαστάσει· διὸ καλὸν ἑαυτῷ προσέχειν ἀεί, καὶ μιμεῖσθαι τοὺς κατὰ Θεὸν πολιτευσαμένους, καὶ πρὸς ἐκείνους ἀποβλέπειν καὶ ἀφομοιοῦν ἑαυτόν.

Τοὺς δὲ καταφρονοῦντας τῆς ἑαυτῶν σωτηρίας, καὶ τὸ σχῆμα μόνον περιποιοῦντας ἑαυτοῖς, μὴ ζηλοῦν, ὅπως μὴ ὁμοιωθῇς στρατιώτῃ συσχεθέντι ὑπὸ τῶν ἐναντίων, ὃς τὴν μὲν σφραγῖδα ἔχει τοῦ Βασιλέως, δουλεύει δὲ τοῖς ἐχθροῖς τοῦ Βασιλέως· ἀψευδὴς γὰρ ὁ εἰπών· «Ἀμὴν λέγω ὑμῖν· πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας». Φύλλοις γὰρ ἔοικε τὸ σχῆμα, καρπῷ δὲ τὸ ἔργον. Μὴ οὖν πρόσχῃς τῷ ἐκτὸς σχήματι καὶ ζηλώσῃς αὐτοὺς εἰπὼν πρὸς ἑαυτόν· οὐκ εἶ σὺ κρείσσων τῶν τοιούτων περιπιπτόντων τοῖς πάθεσιν, ἀλλ' ἐννόησον τὸ γεγραμμένον, ὅτι ἐν μεγάλῃ οἰκίᾳ οὐκ εἰσὶ σκεύη χρυσᾶ μόνον καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα· καὶ ἃ μέν εἰσιν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν. Ἐὰν οὖν παρακούσῃς τοῦ

Κυρίου τὰ τῆς ἁμαρτίας ἔργα ἐπιμελῶν, ἔσῃ σκεῦος ἄτιμον· εἰ δὲ τὰ τοῦ Κυρίου ἔργα πράσσεις, ἔσῃ σκεῦος ἐκλεκτόν, ἔντιμον, ἡγιασμένον, εὔχρηστον τῷ δεσπότῃ, πρὸς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον.

Ἀγάπα καλὴν συνοδείαν· ἀπὸ δὲ κακῆς συνοδείας ἀπόσχου· καθότι οὐ γόης, οὐ λῃστής, οὐ τυμβωρύχος, οὕτως ἐγεννήθησαν, ἀλλ' ὑπὸ ἀνθρώπων ταῦτα μεμαθήκασι κατεφθαρμένων τὴν διάνοιαν ὑπὸ τοῦ σατανᾶ. Ὁ γὰρ Θεὸς πάντα καλὰ λίαν ἐποίησε. Μή σε τερπέτω λουτρά, καὶ πότοι, καὶ συμβολὴ ἀγορασμῶν, καὶ τρυφή, ἵνα μὴ περιπέσῃς ἀνηκέστοις κινδύνοις· μέμνησο ἀεὶ τῆς συνοχῆς τῶν ἁμαρτωλῶν, φοβούμενος μήποτε μετ' οὐ πολὺ ἐν τοῖς αὐτοῖς καὶ σὺ καταλογισθῇς. Οὐκ εἰσελήλυθας ποτὲ ἐν οἴκῳ πένθους; καὶ θεασάμενος τὸν κοπετὸν καὶ κλαυθμὸν ἠπείχθης ἀποπηδῆσαι τοῦ οἰκήματος; ἐκ τῶν οὖν προσκαίρων δεῖ τεκμαίρεσθαι τὰ αἰώνια. Φησὶ γάρ· «δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται». Ἀκακίαν ἔχε πρὸς ὑποδοχὴν τῶν ἐντολῶν τοῦ Θεοῦ, πανουργίαν δὲ πρὸς τὸ ἀποκρούεσθαι τὰς μεθοδίας τοῦ διαβόλου, καὶ ἀποτέμνειν τὰς βλαβερὰς συντυχίας, ἵνα σου ὁ ἔσω ἄνθρωπος ἠρεμῇ.

Μὴ συνδιάτριβε μίμοις καὶ γελοιασταῖς, ἵνα μὴ φθαρῇ σου τὰ νοήματα· οἱ γὰρ αὐτῶν λόγοι τοὺς ἀκούοντας πλέον τοῦ τῶν ἀσπίδων ἰοῦ καταβλάπτουσι· καὶ τοὺς μὲν πρεσβύτας νεωτερίζειν παρασκευάζουσι, τοὺς δὲ νέους ἕλκουσι πρὸς τὴν τῆς ἀνομίας ἐνέργειαν. Εἰ δὲ ἐν Κοινοβίῳ εἶ καὶ θεωρεῖς τινας ἀδελφοὺς ἀτάκτως περιπατοῦντας καὶ λαλοῦντας ἃ μὴ ἀρέσκει Θεῷ, σὺ μὴ πρόσχῃς αὐτοῖς ἢ τοῖς λόγοις αὐτῶν, ἀλλὰ τὸν Θεὸν ἔχε πρὸ ὀφθαλμῶν σου κατὰ τὸ γεγραμμένον· «προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ»· καὶ μή σοι ὑποβάλῃ ὁ πονηρός, καὶ εἴπῃς ἐν τῇ καρδίᾳ σου, ὅτι οἱ γέροντες οὗτοι, καὶ χρονίσαντες ἐν τῷ Μοναστηρίῳ καὶ τῇ ἀσκήσει, κακῶς ἀναστρέφονται, τί ποιήσω ἐγὼ νεώτερος ὤν; ἀλλ' ἄκουσον τοῦ Κυρίου λέγοντος· «πολλοί εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί»· καὶ πάλιν· «εἰ ὀλίγοι οἱ σῳζόμενοι».

Γενοῦ οὖν καὶ σὺ ἐκ τῶν ἐκλεκτῶν καὶ τῶν ὀλίγων, καὶ μὴ τῶν πολλῶν καὶ ἀπολλυμένων. Οἱ γὰρ ποιοῦντες τὸ πονηρόν, εἴτε ἐν κοινοβίῳ, εἴτε ἐν οἱῳδήποτε τόπῳ ὑπάρχουσιν, οὗτοί εἰσιν υἱοὶ τοῦ πονηροῦ, οἵτινες ἀφομοιοῦνται τοῖς ζιζανίοις τοῖς ἀναμέσον τοῦ σίτου. Σὺ οὖν γενοῦ σῖτος, ἵνα συναχθῇς εἰς τὰς ἀποθήκας τοῦ Κυρίου, καὶ μὴ ὡς ζιζάνιον κατακαῇς πυρὶ ἀσβέστῳ. Ἀναλόγισαι δὲ ὅτι ὁ δίκαιος Λὼτ ἐν Σοδόμοις κατώκει, ἀλλ' οὐ συναπήχθη τῇ ἐκείνων φιληδονίᾳ καὶ ἀσελγείᾳ· διὸ καὶ ἐσώθη, καθὼς γέγραπται· «βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος ἐγκατοικῶν ἐν αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀθέσμοις ἔργοις ἐβασάνιζε· καὶ ἐπάγει· οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμῶν ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν»· καὶ τὰ ἑξῆς.

Οὗτος μὲν οὖν τοιούτοις συνοικῶν, οὐ συναπώλετο αὐτοῖς. Ὁ δὲ Γιεζῆ τῷ Προφήτῃ Ἐλισσαίῳ ἐλειτούργει καὶ ἥμαρτεν· ὁμοίως καὶ Σαμουὴλ τῷ Ἠλεὶ παρέμενε, καὶ τοῖς τέκνοις αὐτοῦ συνανεστρέφετο· κἀκείνων ἀπολεσθέντων, οὗτος διεσώθη, ὅτι ἠγάπα τὸν Κύριον ἐν ἀληθείᾳ, καὶ οὐκ ἐζήλου τὰς ὁδοὺς τῶν ἀνόμων· ὁ δὲ Ἰούδας, σὺν τοῖς μαθηταῖς τῷ Κυρίῳ ἠκολούθει, καὶ παρέδωκεν αὐτὸν εἰς χεῖρας ἀνόμων.

Ὥς τε οὖν δεῖ ἕκαστον ἡμῶν ἑαυτῷ προσέχειν ἀεί· καὶ εἰ μὲν δικαίοις συνοι-

κοῦμεν, ἀφορῶντες εἰς αὐτούς, δικαίως καὶ αὐτοὶ ζήσομεν, ἐγγύθεν ἔχοντες τὰ τῆς ἀρετῆς ὑποδείγματα· εἰ δὲ ἁμαρτωλοῖς, σπουδάσωμεν οὐχὶ μόνον μὴ ζηλῶσαι τὰ ἔργα ἐκείνων, ἀλλὰ μᾶλλον καὶ ἀφορμὰς αὐτοῖς παρασχεῖν σωτηρίας, διὰ τῆς ἀγαθῆς ἡμῶν ἀναστροφῆς. Εἰ δέ τις εἴπῃ ὅτι ἀσθενής εἰμι καὶ ὀλίγωρος, καὶ ὑπὸ τῶν ἀπροσεχῶν ἀνθρώπων εὐκόλως εἰς τὰ πονηρὰ καταφέρομαι, οὗτος ταῖς θείαις προσεχέτω γραφαῖς, καὶ ζηλούτω τὴν πολιτείαν τῶν Ἁγίων Πατέρων, καὶ ἔσται παρὰ Θεῷ καὶ ἀνθρώποις εὐδόκιμος. Παραβαλέτω δὲ καὶ ἀνθρώποις φοβουμένοις τὸν Κύριον, οἵτινες τὰς ψυχὰς θεραπεύουσι, καὶ πᾶν τὸ παρ᾽ ἐκείνων λεγόμενον μετὰ πόθου δεχέσθω, καὶ ἐπ᾽ ἔργων δεικνύτω καὶ καρποφορήσει συντόμως. Λέγει γὰρ ἡ γραφή· «ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι».

Χρὴ δὲ γινώσκειν ὅτι ὁ ἐν κοινοβίῳ ὤν, καὶ ἀμελῶν τῆς ἑαυτοῦ σωτηρίας καὶ τὰ ἐναντία ἔργα διαπραττόμενος, βαρυτάτην ἕξει τὴν κόλασιν, οὐ μόνον ὑπὲρ ἑαυτοῦ, ἀλλὰ καὶ τῶν δι᾽ αὐτοῦ ἀπολλυμένων ψυχῶν, αἷς ῥαθυμίας καὶ κακίας τύπος ἐγένετο. Πάλιν δὲ ὁ ἐπιμελούμενος τῶν ἀρετῶν καὶ τῆς ἰδίας σωτηρίας φροντίζων, μεγάλης δόξης ἐν οὐρανοῖς ἀξιωθήσεται, ὅτι τύπον ἑαυτὸν ἐναρέτου βίου παρέσχε τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ τῶν ἀμελεστέρων τὴν προθυμίαν διήγειρε πρὸς ἐργασίαν τῶν ἐντολῶν, διὰ τῆς οἰκείας σπουδῆς. Καθάπερ γὰρ ὁ ἐν παρατάξει πολέμου πρῶτος ἀγωνισάμενος, καὶ τὴν τῶν ἐναντίων φάλαγγα διακόψας, ὑπὲρ τοὺς ἄλλους τιμᾶται, οὕτω καὶ παρὰ Θεῷ μειζόνως δοξασθήσεται ὁ νήφων εἰς τὸ ἔργον Κυρίου, καὶ πολλοῖς ὠφελείας παρέχων ὑπόδειγμα.

Ἑ ρ μ η ν ε ί α

ΑΓΑΠΗΤΕ, ὅταν ἴδῃς τοὺς γεροντοτέρους Μοναχοὺς νὰ παραμελοῦν τὰ καθήκοντά τους, πρόσεχε καὶ φύλαττε τὸν ἑαυτόν σου, μὴ τυχὸν τοὺς μιμηθῇς καὶ ἀκολουθήσῃς τὸν δρόμον τους, καὶ τότε κληρονομήσῃς μαζί των τὴν αἰώνιον κόλασιν. Ἢ πάλιν, πρόσεξε μὴ τυχὸν ἀναδειχθῇς ἐγκρατὴς καὶ οὕτω ὑπερηφανευθῇς εἰς βάρος των καὶ περιπέσῃς εἰς ὑψηλοφροσύνην, ὁπόταν θὰ γίνῃς ὑποχείριος τοῦ ἐχθροῦ. Νὰ ἐπαγρυπνῇς εἰς τὸν ἑαυτόν σου καὶ νὰ περιφρουρήσῃς πάρα πολὺ τὴν ψυχήν σου· διότι ἡμεῖς οὔτε θὰ δικαιωθῶμεν, οὔτε θὰ κατακριθῶμεν ἀπὸ τὰ ἔργα τῶν ἄλλων, ἀλλὰ ὅταν θὰ ὁδηγηθῶμεν ἐνώπιον τοῦ Κριτοῦ, γυμνοὶ καὶ ἀρπαγμένοι ἀπὸ τὸν τράχηλον, ὁ κάθε ἕνας θὰ δώσῃ λόγον μόνον διὰ τὸν ἑαυτόν του, καὶ θὰ σηκώσῃ τὸ φορτίον τῶν προσωπικῶν του ἁμαρτιῶν. Δι᾽ αὐτὸ εἶναι καλὸν νὰ προσέχωμεν πάντοτε τὸν ἑαυτόν μας, νὰ μιμούμεθα ἐκείνους, ποὺ ἔχουν πολιτευθῇ κατὰ Θεόν, πρὸς αὐτοὺς νὰ στρέφωμεν τὰ βλέμματά μας καὶ νὰ προσπαθῶμεν νὰ ὁμοιάσωμεν πρὸς αὐτούς.

Αὐτοὺς δὲ ποὺ παραμελοῦν τὴν σωτηρίαν τῆς ψυχῆς των καὶ φροντίζουν μόνον διὰ τὴν ἐξωτερικήν των ἐμφάνισιν, νὰ μὴ τοὺς ζηλεύῃς, διὰ νὰ μὴ ὁμοιάσῃς μὲ στρατιώτην, συλληφθέντα ἀπὸ τοὺς ἐχθρούς, ὁ ὁποῖος ἔχει μὲν τὴν σφραγῖδα τοῦ Βασιλέως, δουλεύει ὅμως εἰς τοὺς ἐχθροὺς τοῦ Βασιλέως, διότι δὲν λέγει ψέμματα ἐκεῖνος, ποὺ εἶπε· «Ἀλήθεια λέ-

γω εἰς σᾶς· ἐκεῖνος ποὺ διαπράττει τὴν ἁμαρτίαν εἶναι δοῦλος τῆς ἁμαρτίας» (Ἰωάν. η΄, 34). Διότι τὸ σχῆμα ὁμοιάζει μὲ τὰ φύλλα, ἐνῷ τὰ ἔργα μὲ τὸν καρπὸν τοῦ δένδρου. Μὴ προσέξῃς λοιπὸν τὴν ἐξωτερικὴν ἐμφάνισιν καὶ ζηλεύσῃς νὰ τοὺς μιμηθῇς δικαιολογούμενος πρὸς τὸν ἑαυτόν σου· δὲν εἶσαι σὺ καλύτερος ἀπὸ αὐτοὺς ποὺ περιπίπτουν εἰς τὰ πάθη, ἀλλὰ φέρε εἰς τὸν νοῦν σου τὸ νόημα τοῦ ρητοῦ, ὅτι εἰς μίαν μεγάλην οἰκίαν δὲν ὑπάρχουν μόνον χρυσᾶ καὶ ἀργυρᾶ σκεύη, ἀλλὰ καὶ ξύλινα καὶ πήλινα· καὶ ἄλλα μὲν ἔχουν ἀξίαν, ἐνῷ ἄλλα δὲν ἔχουν. Ἐὰν λοιπὸν παρακούσῃς τὸν Κύριον καὶ ἐπιτελέσῃς τὰ ἔργα τῆς ἁμαρτίας, θὰ εἶσαι σκεῦος χωρὶς ἀξίαν. Ἐάν, ὅμως, πράττῃς τὰ ἔργα τοῦ Κυρίου, θὰ εἶσαι σκεῦος ἐκλεκτόν, μὲ τιμήν, μὲ ἁγιότητα, χρησιμοποιούμενον καλῶς ἀπὸ τὸν Δεσπότην, ἕτοιμον διὰ κάθε καλὸν ἔργον.

Νὰ ἀγαπᾷς τὴν καλὴν συναναστροφήν· νὰ φεύγῃς δὲ μακρὰν ἀπὸ τὴν κακήν· καθόσον οὔτε ὁ μάγος οὔτε ὁ ληστής, οὔτε αὐτὸς ποὺ ἀνοίγει τοὺς τάφους καὶ κλέπτει τοὺς νεκρούς, ἐγεννήθησαν τοιοῦτοι, ἀλλ' ἔμαθαν τὰ ἐγκλήματα αὐτὰ ἀπὸ ἀνθρώπους, τῶν ὁποίων ἡ διάνοια ἔχει τελείως διαστραφῆ ὑπὸ τοῦ σατανᾶ. Διότι ὁ Θεὸς ἐδημιούργησε τὰ πάντα πάρα πολὺ καλά. Ἂς μὴ σὲ εὐχαριστοῦν τὰ λουτρὰ καὶ τὰ ποτά, καὶ ὁ θόρυβος ἀπὸ τὰς συγκεντρώσεις τῶν ἀγορῶν, καὶ ἡ ἀπόλαυσις, διὰ νὰ μὴ περιπέσῃς εἰς φοβεροὺς κινδύνους· νὰ ἐνθυμῆσαι πάντοτε τὴν θλῖψιν τῶν ἁμαρτωλῶν, φοβούμενος μήπως καὶ σὺ μετ' ὀλίγον καταδικασθῇς εἰς τὰς ἰδίας τιμωρίας.

Δὲν ἔτυχε ποτὲ νὰ εἰσέλθῃς εἰς οἰκίαν, ποὺ πενθοῦν ἐξ αἰτίας θανάτου, καὶ μόλις ἤκουσες τὸν θρῆνον καὶ τὰ κλάματα νὰ βιασθῇς νὰ ἐξέλθῃς ἀπὸ τὸ σπίτι; Ἀπὸ τὰ πρόσκαιρα λοιπὸν πρέπει νὰ συμπεραίνωμεν διὰ τὰ αἰώνια. Διότι, ὡς λέγει καὶ ἡ Παλαιὰ Διαθήκη, «δίδε ἀφορμὴν εἰς τὸν σοφὸν καὶ θὰ γίνῃ σοφώτερος» (Παροιμ. θ΄, 9). Νὰ ἀκοῦς χωρὶς δυσφορίαν τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ νὰ ἀποκρούῃς, μὲ κάθε τρόπον, τὰς πονηρὰς μεθόδους τοῦ διαβόλου, καὶ νὰ ἀποκόπτῃς τὰς βλαβερὰς συναναστροφάς, διὰ νὰ ἔχῃ ἠρεμίαν ὁ ἐσωτερικός σου ἄνθρωπος.

Νὰ μὴ συναναστρέφεσαι μὲ θεατρίνους καὶ γελωτοποιούς, διὰ νὰ μὴ διαφθαροῦν αἱ σκέψεις σου· διότι τὰ λόγια τῶν τύπων αὐτῶν καταστρέφουν αὐτοὺς ποὺ τὰ ἀκούουν, φοβερώτερον καὶ ἀπὸ τὸ δηλητήριον τῆς ἀσπίδος*, κάμνουν δὲ τοὺς γέροντας νὰ συμπεριφέρωνται ὡς νέοι τοὺς δὲ νεωτέρους τοὺς παρασύρουν εἰς τὴν ἐκτέλεσιν παρανόμων πράξεων. Ἐάν, πάλιν, διαμένῃς εἰς Κοινόβιον καὶ βλέπῃς μερικοὺς ἀδελφοὺς νὰ περιπατοῦν ἀπροσέκτως καὶ νὰ λέγουν ὅσα δὲν εἶναι ἀρεστὰ εἰς τὸν Θεόν, σὺ καθόλου νὰ μὴ προσέχῃς εἰς αὐτοὺς καὶ εἰς ὅσα λέγουν, ἀλλὰ νὰ ἔχῃς διαρκῶς πρὸ τῶν ὀφθαλμῶν σου τὸν Θεόν, κατὰ τὴν ὑπόδειξιν

---

* Ἡ ἀσπὶς εἶναι εἶδος ὄφεως πολὺ δηλητηριώδους, τοῦ ὁποίου τὸ δῆγμα εἶναι θανατηφόρον.

τοῦ ρητοῦ «ἔβλεπον διαρκῶς ἐμπρός μου τὸν Κύριον ἱστάμενον εἰς τὰ δεξιά μου, διὰ νὰ μὴ παραπατήσω» (Ψαλμ. ιε', 8). Νὰ μὴ σοῦ βάλῃ ὁ πειρασμὸς εἰς τὸν νοῦν σου καὶ εἴπῃς μέσα σου· αὐτοὶ οἱ γέροντες, ἂν καὶ ἔχουν γηράσει εἰς τὸ Μοναστήριον καὶ εἰς τὴν ἄσκησιν, ἐν τούτοις διάγουν κακῶς, τί θὰ κάνω τότε ἐγὼ ποὺ εἶμαι νεώτερός των; Ἄκουσε τότε τὸν Κύριον, ποὺ λέγει· «πολλοὶ εἶναι οἱ προσκεκλημένοι, ὀλίγοι ὅμως οἱ ἐκλεκτοὶ» (Ματθ. κβ', 14), ὅπως ἐπίσης καὶ ὅτι «οἱ σῳζόμενοι εἶναι ὀλίγοι» (Λουκ. ιγ', 23).

Γίνε, λοιπόν, καὶ σὺ ἕνας ἀπὸ τοὺς ἐκλεκτοὺς καὶ τοὺς ὀλίγους καὶ μὴ ἀνήκῃς εἰς τοὺς πολλοὺς καὶ τοὺς χαμένους. Διότι ἐκεῖνοι, ποὺ κάμνουν τὸ πονηρόν, εἴτε ζοῦν εἰς Κοινόβιον, εἴτε ὁπουδήποτε ἀλλοῦ, εἶναι τέκνα τοῦ πονηροῦ, ποὺ ὁμοιάζουν μὲ τὰ ζιζάνια εἰς τὸ σιτάρι. Σὺ λοιπὸν νὰ γίνῃς σιτάρι, διὰ νὰ συγκομισθῇς εἰς τὰς ἀποθήκας τοῦ Κυρίου καὶ νὰ μὴ κατακαῇς ὡς ζιζάνιον (Ματθ. ιγ', 25—30) εἰς τὸ πῦρ τὸ ἄσβεστον. Σκέψου, ὅτι ὁ δίκαιος Λὼτ κατοικοῦσεν εἰς τὰ Σόδομα, ἀλλὰ δὲν τὸν παρέσυρεν ἡ φιληδονία καὶ ἡ ἀσέλγεια τῶν Σοδομιτῶν· δι' αὐτὸ καὶ ἐσώθη, ὅπως ἀναφέρει ἡ Ἁγία Γραφή· «διότι μὲ τὰ μάτια καὶ τὰ αὐτιὰ κατοικῶν μεταξὺ αὐτῶν ὁ δίκαιος, ἐβασάνιζε καθημερινῶς μὲ τὰς ἀνηθίκους πράξεις ποὺ ἔβλεπε καὶ ἤκουε τὴν δικαίαν ψυχήν του». Καὶ καταλήγει εἰς τὸ συμπέρασμα ἡ Ἁγ. Γραφή: «Ὁ Κύριος γνωρίζει νὰ διασώζῃ τοὺς εὐσεβεῖς ἀπὸ τοὺς πειρασμοὺς καὶ νὰ κολάζῃ τοὺς ἀδίκους, κατὰ τὴν ἡμέραν τῆς Κρίσεως», καὶ τὰ ἐν συνεχείᾳ ἀναφερόμενα.

Αὐτὸς λοιπὸν ὁ Λὼτ καίτοι συγκατοικοῦσε μὲ τοιούτους ἀνηθίκους ἀνθρώπους, δὲν ἐχάθη μαζὶ μὲ ἐκείνους. Ἀντιθέτως, ὁ Γιεζῆ ὑπηρέτει τὸν Προφήτην Ἐλισσαῖον καὶ ἡμάρτησε (Δ' Βασ. ε', 20—27). Ὁμοίως καὶ ὁ Σαμουὴλ παρέμενε μαζὶ μὲ τὸν Ἠλεὶ καὶ συνανεστρέφετο μὲ τὰ παιδιά του· καὶ ὅταν ἐκεῖνα ἐχάθησαν (Α' Βασ. δ', 1—22), αὐτὸς ἐσώθη, ἐπειδὴ ἠγάπα τὸν Κύριον πραγματικῶς καὶ δὲν ἐπηρεάζετο ἀπὸ τὰ παραδείγματα τῶν ἀνόμων. Καὶ ὁ Ἰούδας ἠκολούθει τὸν Κύριον καὶ τοὺς μαθητὰς καὶ ὅμως τὸν παρέδωσεν εἰς τὰ χέρια τῶν παρανόμων.

Ὥστε κάθε ἕνας ἀπὸ ἡμᾶς πρέπει νὰ προσέχῃ πάντοτε τὸν ἑαυτόν του· καὶ ἐὰν μὲν συγκατοικῶμεν μὲ δικαίους, ἂς παρακολουθῶμεν τὴν ζωήν των καὶ ἂς ζήσωμεν καὶ οἱ ἴδιοι ἐνάρετα, ἐφ' ὅσον ἔχομεν τόσον κοντά μας τὰ παραδείγματα τῆς ἀρετῆς· ἐὰν ὅμως συγκατοικῶμεν μὲ ἁμαρτωλούς, ἂς φροντίσωμεν ὄχι μόνον νὰ μὴ μιμηθῶμεν τὰ ἔργα των, ἀλλά, μὲ τὴν καλήν μας διαγωγήν, ἂς προσπαθήσωμεν νὰ τοὺς προσφέρωμεν ἀφορμὰς σωτηρίας.

Ἐὰν δὲ κανεὶς εἴπῃ, ὅτι ἐγὼ εἶμαι ἀσθενὴς καὶ ἀμελὴς καὶ παρασύρομαι εὐκόλως εἰς πονηρὰ ἔργα ἀπὸ ἀπροσέκτους ἀνθρώπους, αὐτὸς ἂς στρέψῃ ὁλόκληρον τὴν προσοχήν του εἰς τὰς θείας Γραφὰς καὶ ἂς μιμῆται τὴν ζωὴν τῶν ἁγίων Πατέρων, ὁπότε θὰ προκόψῃ καὶ θὰ τὸν ἐκτιμήσουν καὶ ὁ Θεὸς καὶ οἱ ἄνθρωποι. Ἂς ἐπισκέπτεται δὲ καὶ ἀνθρώπους ποὺ σέβονται καὶ φοβοῦνται τὸν Θεόν, οἱ ὁποῖοι ὑπηρετοῦν τὰς

ψυχὰς καὶ ἂς δέχεται μετὰ πόθου τὰ λεγόμενά των, φροντίζων νὰ τὰ ἐφαρμόση ἐμπράκτως· τότε ἀσφαλῶς συντόμως θὰ καρποφορήση. Διότι καὶ ἡ Ἁγία Γραφὴ συμβουλεύει· «Ἐρώτησε μετ' ἐνδιαφέροντος τὸν πατέρα σου καὶ θὰ σοῦ φανερώση· τοὺς γεροντοτέρους καὶ θὰ σοῦ εἴπουν» (Δευτερ. λβ', 7).

Πρέπει δὲ νὰ γνωρίζωμεν, ὅτι αὐτός, ποὺ ζῇ εἰς Κοινόβιον καὶ δὲν φροντίζει διὰ τὴν σωτηρίαν του, ἀλλ' ἐκτελεῖ ἔργα ἀντίθετα, θὰ ἔχῃ βαρυτάτην κόλασιν, ὄχι μόνον ἐξ αἰτίας τῶν σφαλμάτων του, ἀλλὰ καὶ δι' ἐκείνας τὰς ψυχάς, ποὺ ὁδηγοῦνται εἰς τὴν ἀπώλειαν ἐξ αἰτίας του καὶ διὰ τὰς ὁποίας ἔγινε πρότυπον ὀκνηρίας καὶ κακίας. Ἐκεῖνος, πάλιν, ποὺ καλλιεργεῖ τὰς ἀρετὰς καὶ φροντίζει διὰ τὴν σωτηρίαν τῆς ψυχῆς του, θὰ ἀξιωθῇ νὰ ἀπολαύση εἰς τοὺς οὐρανοὺς μεγάλην δόξαν, διότι ἀνεδείχθη εἰς τοὺς ἀδελφούς του πρότυπον ἐναρέτου βίου καὶ διήγειρε, διὰ τοῦ προσωπικοῦ του ζήλου, τὴν προθυμίαν τῶν ἀμελεστέρων πρὸς ἐργασίαν τῶν ἐντολῶν. Δηλαδὴ ὅπως ἀκριβῶς ἐκεῖνος, ποὺ ἀγωνίζεται πρῶτος εἰς τὴν πολεμικὴν παράταξιν καὶ διασπάσει τὴν φάλαγγα τῶν ἐχθρῶν, τιμᾶται περισσότερον ἀπὸ τοὺς ἄλλους, τοιουτοτρόπως θὰ δοξασθῇ ἀπὸ τὸν Θεὸν πάρα πολὺ καὶ ἐκεῖνος, ποὺ ἀγρυπνεῖ διὰ νὰ ἐπιτελέση τὸ ἔργον τοῦ Κυρίου, καί, ὡς ἐκ τούτου, χρησιμεύει εἰς τοὺς πολλοὺς παράδειγμα ψυχικῆς ὠφελείας.

Γ'. Ἀντιόχου τοῦ Παντέκτου

ΩΣΠΕΡ ἡ σφῆκα τοὺς πόνους τῶν μελισσῶν ἐσθίει, οὕτω καὶ ῥάθυμος ἀδελφὸς ἀχρειοῖ συνοδείας ἐνάρετον ὕπαρξιν· καὶ ὥς περ δειλὸς στρατιώτης τὰς χεῖρας τῶν πολεμίων ἐκλύει, οὕτω καὶ Μοναχὸς ἀμελὴς τὴν τῶν ἀδελφῶν προθυμίαν χαυνοῖ· διὸ καὶ μεγίστην ἐκ Θεοῦ τιμωρίαν λήψεται. Κρεῖσσον οὖν ἐστιν, ἀγαπητοί, οἰκεῖν μετὰ ὀλίγων εὐαρέστων Θεῷ, ἤπερ μετὰ πολλῶν καταφρονούντων τῶν ἐντολῶν τοῦ Κυρίου. Ὅπου γὰρ φόβος Κυρίου, ἐκεῖ καὶ ἀγάπη καὶ ὁμόνοια, καὶ ὁ Θεὸς οἰκεῖ ἐν μέσῳ αὐτῶν· ὅπου δὲ ἀφοβία Θεοῦ, ἐκεῖ ἔρις καὶ ζῆλος· καὶ ὅπου ζῆλος, ἤτοι φθόνος, ἐκεῖ ὁ πονηρὸς ἐναβρύνεται.

Αἱρετώτερον οὖν ἐστι μετὰ ὀλίγων καλῶν διάγειν, ἢ μετὰ πλήθους ἀχρήστων, καθὼς καὶ αἱ θεῖαι γραφαὶ παραδεδώκασιν ἡμῖν. Φησὶ γὰρ ὁ Παροιμιαστής· «μὴ ἐπιθύμει πλῆθος ἀχρήστων, εἰ μὴ ἔστι φόβος Κυρίου μετ' αὐτῶν». Κρείσσων γὰρ εἷς δίκαιος, ἢ χίλιοι ἁμαρτωλοί· «ἐν συναγωγῇ γὰρ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ». Λέγει δὲ καὶ ἕτερος· «μὴ ἐπιθύμει πλῆθος ἄχρηστον, καὶ ἐὰν πληθυνθῶσι, μὴ εὐφραίνου ἐπ' αὐτοῖς, εἰ μὴ ἔστι φόβος Κυρίου μετ' αὐτῶν· μὴ ἐμπιστεύσῃς τῇ ζωῇ αὐτῶν· στενάξεις γὰρ πένθει ἀώρῳ· κρείσσων γὰρ εἷς δίκαιος ποιῶν τὸ θέλημα Κυρίου, ἢ ἔχειν τέκνα ἀσεβῆ· ἀπὸ γὰρ ἑνὸς συνετοῦ συνοικισθήσεται πόλις».

Ἑρμηνεία

ΟΠΩΣ ΑΚΡΙΒΩΣ ἡ σφήκα τρώγει τοὺς κόπους τῶν μελισσῶν, τοιουτοτρόπως καὶ εἰς τὸ Κοινόβιον ἕνας ὀκνηρὸς ἀδελφὸς βλάπτει τὴν

ὕπαρξιν ἐναρέτου συνοδείας· καὶ καθὼς ὁ δειλὸς στρατιώτης παραλύει τὰ χέρια τῶν συμπολεμιστῶν του, τοιουτοτρόπως καὶ ὁ ἀμελὴς Μοναχὸς ἐλαττώνει τὴν προθυμίαν τῶν ἀδελφῶν· καὶ δι' αὐτὸ θὰ λάβῃ μεγίστην τιμωρίαν ἀπὸ τὸν Θεόν. Εἶναι λοιπόν, ἀγαπητοί μου, καλύτερον νὰ κατοικῇ κανεὶς μὲ ὀλίγους, ποὺ εὐαρεστοῦν τὸν Θεόν, παρὰ μὲ πολλοὺς ποὺ καταφρονοῦν τὰς ἐντολὰς τοῦ Κυρίου. Διότι ὅπου ὑπάρχει φόβος Κυρίου, ἐκεῖ θὰ ὑπάρχῃ καὶ ὁμόνοια καὶ ἀγάπη καὶ ὁ Θεὸς θὰ κατοικῇ εἰς τὸ μέσον αὐτῶν. Ὅπου ὅμως οἱ ἄνθρωποι δὲν φοβοῦνται τὸν Θεόν, ἐκεῖ ἐπικρατεῖ φιλονεικία καὶ φθόνος· καὶ ὅπου ὑπάρχει φθόνος, ἐκεῖ ὁ πονηρὸς εὐχαριστεῖται.

Εἶναι λοιπὸν προτιμότερον νὰ ζῶμεν μὲ ὀλίγους καλούς, παρὰ μὲ πλῆθος ἀχρήστων, καθὼς μᾶς παρέδωσαν καὶ αἱ θεῖαι Γραφαί. Σχετικῶς μᾶς λέγει ὁ συγγραφεὺς τῶν Παροιμιῶν· «νὰ μὴ ἐπιθυμῇς πλῆθος ἀχρήστων, ἐφ' ὅσον ὁ φόβος τοῦ Κυρίου δὲν ὑπάρχει εἰς τὰς ψυχάς των». Διότι εἶναι καλύτερος ἕνας δίκαιος, παρὰ χίλιοι ἁμαρτωλοί, ἐπειδὴ «εἰς συγκέντρωσιν ἁμαρτωλῶν θὰ ἀνάψῃ φωτιὰ» (Σοφ. Σειρ. ιστ', 1—7). Ἄλλος πάλιν λέγει· «νὰ μὴ ἐπιθυμῇς πλῆθος ἄχρηστον· καὶ ἐὰν ἀκόμη πληθυνθοῦν, νὰ μὴ χαίρεσαι δι' αὐτούς, ἐφ' ὅσον δὲν ὑπάρχει εἰς αὐτοὺς ὁ φόβος τοῦ Κυρίου· νὰ μὴ ἐμπιστευθῇς εἰς τὴν ζωήν των ὥστε νὰ τὴν μιμηθῇς· διότι θὰ ἀναστενάξῃς ἀπὸ πρόωρον πένθος· εἶναι δηλαδὴ καλύτερος ἕνας δίκαιος, ποὺ ἐκτελεῖ τὸ θέλημα τοῦ Κυρίου, παρὰ νὰ ἔχῃς τέκνα ἀσεβῆ, ἐπειδὴ ἀπὸ ἕνα συνετὸν θὰ δημιουργηθῇ πόλις».

Δ'. Τοῦ Ἀββᾶ Μάρκου

ΟΤΑΝ ἴδῃς δύο κακοὺς ἔχοντας πρὸς ἀλλήλους ἀγάπην, γίνωσκε ὅτι ὁ ἕτερος τῷ ἑτέρῳ συνεργεῖ πρὸς τὸ θέλημα. Ὑψηλόφρων καὶ κενόδοξος ἡδέως ἀλλήλοις συναλλάσσουσιν· ὁ μὲν γὰρ δουλικῶς ὑποπίπτοντα ἐπαινεῖ τὸν κενόδοξον· ὁ δέ, συνεχῶς ἐπαινοῦντα, μεγαλύνει τὸν ὑψηλόφρονα· ὧν πόρρω ἀφίστασο ἵνα μὴ τῆς ἐξ αὐτῶν βλάβης μετάσχῃς.

Ἑρμηνεία

ΟΤΑΝ ἴδῃς δύο κακοὺς νὰ ἔχουν μεταξύ των ἀγάπην, νὰ εἶσαι βέβαιος ὅτι βοηθεῖ ὁ ἕνας τὸν ἄλλον, διὰ νὰ ἐκπληρώσουν τὸ κακὸν θέλημά των. Ὁ ὑψηλόφρων καὶ ὁ κενόδοξος μὲ εὐχαρίστησιν συναναστρέφονται μεταξύ των· διότι ὁ μὲν ὑψηλόφρων ἐπαινεῖ τὸν κενόδοξον, ἐπειδὴ ὑποκλίνεται δουλικῶς ἔμπροσθέν του· ὁ δὲ κενόδοξος, πάλιν, ἐξυψώνει τὸν ὑψηλόφρονα, ἐπειδὴ συνεχῶς τὸν ἐπαινεῖ· καὶ ἀπὸ τοὺς δύο νὰ απομακρύνεσαι, διὰ νὰ μὴ λάβῃς μέρος εἰς τὴν ζημίαν ποὺ προέρχεται ἐξ αὐτῶν.

Ε'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· ἐάν τινας ἴδω τῶν μετ' ἐμοῦ ἀνακάμπτοντας ἐν τῷ κόσμῳ, πῶς δύναμαι μὴ σκανδαλισθῆναι; καὶ ἀπεκρίθη ὁ γέρων·

ὀφείλεις σκοπεῖν τοὺς κύνας τοὺς θηρεύοντας τοὺς λαγωούς· ὥς περ γὰρ ἐκεῖ εἷς ἐκ τῶν κυνῶν ἰδὼν τὸν λαγωὸν ἐπιδιώκει, ἕως οὗ φθάσῃ μὴ ἐμποδισθείς, οἱ δὲ λοιποί, οὐ τὸν λαγωόν, ἀλλὰ τὸν κύνα μόνον τὸν ἐπιδιώκοντα ὁρῶντες ἕως μέν τινος συντρέχουσι καὶ αὐτοί· ὕστερον δὲ κατανοήσαντες, ἀνακάμπτουσιν εἰς τὰ ὀπίσω· ἐκεῖνος δὲ ὁ ἑωρακὼς τὸν λαγωὸν καὶ καταδιώκων, οὐ παύεται τοῦ δρόμου, ἕως οὗ φθάσῃ, μὴ ἀφορῶν εἰς τοὺς ἀνακάμψαντας, μήτε τῶν κρημνῶν, καὶ ὑλῶν, καὶ κέντρων φροντίζων, ἢ ὑπ' αὐτῶν ὅλως ἐμποδιζόμενος, ἀλλὰ τοῦ σκοποῦ τοῦ δρόμου διηνεκῶς ἐχόμενος, καὶ πρὸς μόνον ἀφορῶν τὸν ὑπ' αὐτοῦ διωκόμενον· οὕτω καὶ ὁ τὸν δεσπότην Ἰησοῦν ἐπιζητῶν καὶ καταλαβεῖν ἐπειγόμενος, τῷ σταυρῷ ἀδιαλείπτως προσέχων, πάντα παρορᾷ, καὶ ὑπερβαίνει τὰ συναντῶντα σκάνδαλα, ἕως οὗ φθάσῃ τὸν σταυρωθέντα, καὶ κατάσχῃ αὐτὸν ζῶντα καὶ μένοντα.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἠρώτησε Γέροντα·

— Πάτερ, ἐὰν ἴδω μερικοὺς ἀπὸ τὴν συνοδείαν μου νὰ ἐπιστρέφουν εἰς τὸν κόσμον πῶς ἠμπορῶ νὰ μὴ σκανδαλισθῶ;

— Πρέπει νὰ σκεφθῇς — ἀπήντησεν ὁ Γέρων — τοὺς σκύλους, ποὺ κυνηγοῦν λαγούς. Ὅταν ἕνας σκύλος ἀντιληφθῇ τὸν λαγόν, τὸν καταδιώκει, ἕως ὅτου κατανικήσῃ κάθε ἐμπόδιον καὶ τὸν φθάσῃ, ἐνῷ οἱ ὑπόλοιποι σκύλοι, ἐπειδὴ δὲν βλέπουν τὸν λαγόν, ἀλλὰ μόνον τὸν σκύλον, ποὺ τὸν καταδιώκει, τρέχουν καὶ αὐτοὶ μαζί του ὀλίγον, μόλις ὅμως καταλάβουν ἐπιστρέφουν ὀπίσω. Ἐνῷ ἐκεῖνος ποὺ εἶδε τὸν λαγὸν καὶ τὸν καταδιώκει, δὲν σταματᾷ, μέχρις ὅτου τὸν φθάσῃ, χωρὶς νὰ προσέχῃ αὐτοὺς ποὺ ἐπέστρεψαν καὶ χωρὶς νὰ λογαριάζῃ τὰ δένδρα, τὰ ἀγκάθια καὶ τοὺς κρημνούς, ἀπὸ τὰ ὁποῖα καθόλου δὲν ἐμποδίζεται, ἀλλὰ κατευθυνόμενος διαρκῶς ἀπὸ τὸν σκοπὸν τοῦ κυνηγίου καὶ ἀποβλέπων εἰς τὸν καταδιωκόμενον λαγὸν τρέχει συνεχῶς. Τοιουτοτρόπως καὶ ἐκεῖνος ποὺ ἐπιζητεῖ τὸν Δεσπότην ἡμῶν Ἰησοῦν καὶ βιάζεται νὰ τὸν φθάσῃ· προσέχει διαρκῶς εἰς τὸν Σταυρὸν τοῦ Κυρίου, τὰ παραβλέπει ὅλα, ξεπερνᾷ τὰ σκάνδαλα, ποὺ συναντᾷ, μέχρι νὰ φθάσῃ τὸν Σταυρωθέντα, καὶ τὸν κρατήσῃ εἰς τὴν ψυχήν του ζῶντα καὶ διαμένοντα.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΤΟΥΣ ἀμελεστέρους ἀδελφοὺς κατὰ τῶν σπουδαιοτέρων ἐφοπλίζειν ἐπείγεται ὁ ἐχθρός· ἀλλ' οἱ σπουδαιότεροι, εἰ προσέχουσι, διὰ τῶν ἀμελεστέρων εὑρίσκουσιν ἐργασίαν, βαστάζοντες αὐτῶν τὰ ἀσθενήματα διὰ τὸν Κύριον. Ὁ ποιῶν ἔλεος τῷ πλησίον, εὑρήσει ἔλεος παρὰ Κυρίου· ἀνίλεως δὲ ἡ κρίσις τῷ μὴ ποιήσαντι ἔλεος. Μὴ συνέλθῃς ἀδελφῷ σου εἰς ἁμαρτίαν· σπούδασον δέ, εἰ δύνῃ, καὶ αὐτὸν ῥύσασθαι ἐξ αὐτῆς, ὅπως ζήσεται ἡ ψυχὴ ὑμῶν ἐν Κυρίῳ· ἔστω ὁ φόβος τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν σου διὰ παντός, καὶ ἁμαρτία οὐ κυριεύσει σου.

Ἑρμηνεία

Ο ΕΧΘΡΟΣ φροντίζει νὰ ὁπλίζῃ τοὺς ἀμελεστέρους ἀδελφοὺς ἐναντίον τῶν σπουδαιοτέρων· ἀλλ' οἱ σπουδαιότεροι, ἐὰν προσέχουν, εὑρίσκουν πνευματικὴν ἐργασίαν ἀπὸ τοὺς ἀμελεστέρους, βαστάζοντες τὰς ἀδυναμίας των, χάριν τοῦ Κυρίου. Ἐκεῖνος, ποὺ εὐσπλαγχνίζεται τὸν πλησίον, θὰ εὕρῃ εὐσπλαγχνικὸν τὸν Κύριον ἀπέναντί του. Ἡ κρίσις θὰ εἶναι σκληρὰ δι' ἐκεῖνον ποὺ δὲν ἐπέδειξεν εὐσπλαγχνίαν. Νὰ μὴ βοηθήσῃς τὸν ἀδελφόν σου εἰς τὸ νὰ διαπράξῃ ἁμαρτίαν· φρόντισε δέ, ἐὰν ἠμπορῇς, νὰ τὸν προφυλάξῃς, διὰ νὰ ζήσῃ ἡ ψυχή σας ἐνώπιον τοῦ Κυρίου. Ὁ φόβος τοῦ Κυρίου ἂς εὑρίσκεται συνεχῶς ἐμπρὸς εἰς τὰ μάτια σου, καὶ ἡ ἁμαρτία ποτὲ δὲν θὰ σὲ κυριεύσῃ.





ΥΠΟΘΕΣΙΣ ΚΣΤ΄

Περὶ τοῦ ὅτι τοὺς προσιόντας τῇ μοναδικῇ πολιτείᾳ μετὰ πολλῆς δοκιμασίας δεῖ δέχεσθαι· οἱ γὰρ μετὰ δοκιμασίας εἰσδεχθέντες, ὡς ἐπὶ τὸ πλεῖστον καὶ δοκιμώτατοι ἀποβαίνουσι· τίνα τε αὐτοῖς δεῖ ἐπιτρέπειν.

Περὶ τοῦ ὅτι πρέπει νὰ δεχώμεθα τοὺς προσερχομένους εἰς τὴν μοναχικὴν πολιτείαν κατόπιν πολλῆς δοκιμασίας· διότι οἱ εἰσελθόντες εἰς τὴν μοναχικὴν πολιτείαν, κατόπιν δοκιμασίας, ὡς ἐπὶ τὸ πλεῖστον γίνονται δοκιμώτατοι· ποῖα πράγματα πρέπει νὰ ἐπιτρέπωμεν εἰς αὐτούς.



Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου



ΕΟΣ ἔτι ὢν ὁ Ἅγιος Παχώμιος, καὶ τῇ πρὸς Θεὸν ἀγάπῃ πυρωθεὶς τὴν καρδίαν, Μοναχὸς γενέσθαι προεθυμεῖτο· καὶ δὴ μηνυθέντος αὐτῷ Ἀναχωρητοῦ τινος ὀνόματι Παλάμωνος, οἰκοῦντος κατὰ μόνας, παρεγένετο πρὸς αὐτὸν βουλόμενος εἶναι σὺν αὐτῷ· καὶ φθάσας ἕως τοῦ κελλίου αὐτοῦ, ὃ τῇ ἐρήμῳ ἐπλησίαζεν, ἤρξατο κρούειν τὴν θύραν· ὁ δὲ παρανοίξας, ἔφη πρὸς αὐτόν· τί θέλεις καὶ τίνα ζητεῖς; (ἦν γὰρ ἐκ τοῦ ἐπὶ χρόνον κατὰ μόνας ἀσκεῖσθαι αὐστηρότερος ὁ γέρων)· ἀποκριθεὶς δὲ ὁ Παχώμιος εἶπεν αὐτῷ· ὁ Θεός με ἀπέστειλε πρὸς σέ, ἵνα ποιήσῃς με Μοναχόν· λέγει αὐτῷ ὁ γέρων· οὐ δύνασαι γενέσθαι Μοναχός· οὐ μικρὸν γὰρ πρᾶγμά ἐστι τὸ ἔργον τοῦ Μοναχοῦ· διὸ καὶ πολλοὶ παραγενόμενοι ἐνταῦθα, ὀκλάσαντες, οὐχ ὑπέμειναν. Λέγει αὐτῷ ὁ Παχώμιος· οὐχ ἁπάντων ἀνθρώπων αἱ γνῶμαι εἰσὶν ὅμοιαι· δέξαι με καὶ ὁ χρόνος σὲ πληροφορεῖ. Ἔφη πρὸς αὐτὸν ὁ γέρων· εἶπον σοι ὅτι οὐ δύνῃ· ἄπελθε ἀλλαχοῦ καὶ ἄσκησον χρόνον τινά· εἶθ' οὕτως παραγίνῃ, καὶ δέχομαί σε· καὶ γὰρ ἐγώ, φησιν, ἐνταῦθα διάγων, σκληρὰν ἄσκησιν ἔχω, καὶ οὐδενὸς ἑτέρου χάριτι Θεοῦ μεταλαμβάνω, εἰμὴ ἄρτου καὶ ἅλατος· ἐλαίου δὲ καὶ οἴνου παντελῶς ἀπέχομαι· καὶ ἀγρυπνῶ τὸ ἥμισυ τῆς νυκτός, εἰς εὐχὰς καὶ μελέτην λογίων Θεοῦ διατελῶν· ἔστι δ' ὅτε καὶ ὅλην τὴν νύκτα.

Ταῦτα ἀκούσας ὁ Παχώμιος καὶ τῷ αὐστηρῷ τῶν λόγων καταιδεσθείς, τῇ θείᾳ χάριτι προθέμενος ἐν τῇ ψυχῇ πάντα πόνον γενναίως ὑπομένειν, ἔφη πρὸς αὐτόν· πιστεύω τῷ Κυρίῳ, ὅτι παρέξει μοι δύναμιν καὶ ὑπομονήν, ὥς τε καταξιωθῆναί με διὰ τῶν σῶν ὁσίων εὐχῶν ἐνταῦθα τελειωθῆναι. Τότε διορατικῷ ὀφθαλμῷ κατανοήσας ὁ Ἅγιος Παλάμων τὴν περὶ τοῦ σωθῆναι πίστιν καὶ προθυμίαν τοῦ Παχωμίου, ἀνοίξας τὴν θύραν, εἰσεδέξατο αὐτόν, ἐνδύσας τὸ σχῆμα τῶν Μοναχῶν· καὶ διῆγον λοιπὸν ἀμφότεροι ἐπὶ τὸ αὐτὸ ἀσκούμενοι καὶ σχολάζοντες ταῖς προσευχαῖς· τὸ δὲ ἔργον αὐτῶν ἦν νήθειν τρίχας καὶ ὑφαίνειν σάκκους· ἐργαζόμενοι δὲ ἐκοπίων, κατὰ τὸν Ἀπόστολον, οὐχ ἕνεκεν τῆς ἑαυτῶν ἀναπαύσεως, οὐδ' ἕνεκεν χρημάτων συλλογῆς, ἀλλ' εἰς διατροφὴν πτωχῶν· βλέπων δὲ ὁ Παλάμων τοῦ Παχωμίου τὴν εἰς πάντα ὑπακοὴν καὶ τὴν τῆς ἀσκήσεως προκοπήν, ἠγαλλιᾶτο σφόδρα καὶ ἐδόξαζε τὸν Θεόν.

Ἑ ρ μ η ν ε ί α

ΟΤΑΝ ὁ Ἅγιος Παχώμιος ἦτο ἀκόμη νέος, ἐθερμάνθη ἡ καρδία του ἀπὸ τὴν πρὸς τὸν Θεὸν ἀγάπην καὶ ἐπροθυμοποιεῖτο νὰ γίνῃ Μοναχός· ἐπληροφορήθη λοιπὸν δι' ἕνα Ἀναχωρητήν, ὀνομαζόμενον Παλάμωνα, ὁ ὁποῖος παρέμενε τελείως μόνος. Ἦλθεν ἀμέσως πρὸς αὐτὸν ἐπιθυμῶν νὰ μείνῃ μαζί του.

Ἔφθασε, πράγματι, εἰς τὸ κελλί του, ποὺ ἦτο κοντὰ εἰς τὴν ἔρημον, καὶ ἤρχισε νὰ κτυπᾷ τὴν θύραν.

Ὁ Ἀναχωρητὴς ἤνοιξεν ὀλίγον καὶ τοῦ εἶπε:

— Τί θέλεις καὶ ποῖον ζητεῖς;

(Ἄς σημειωθῇ, ὅτι ὁ Ἀναχωρητὴς Παλάμων ἀπὸ τὴν μακροχρόνιον, κατὰ μόνας, ἄσκησιν, εἶχε γίνει πολὺ αὐστηρός).

Εἰς ἀπάντησιν ὁ Παχώμιος τοῦ εἶπεν:

— Ὁ Θεὸς μὲ ἔστειλεν εἰς σέ, διὰ νὰ μὲ κάμῃς Μοναχόν.

— Δὲν ἠμπορεῖς νὰ γίνῃς Μοναχὸς — τοῦ ἀπαντᾷ ὁ Γέρων — διότι δὲν εἶναι μικρὸν πρᾶγμα τὸ ἔργον τοῦ Μοναχοῦ· δι' αὐτὸ καὶ πολλοὶ ποὺ ἔφθασαν μέχρις ἐδῶ, ἐκάμφθησαν ἀπὸ τὰς δυσκολίας καὶ δὲν ὑπέμειναν μέχρι τέλους.

Ὁ Παχώμιος τοῦ λέγει πάλιν·

— Αἱ γνῶμαι ὅλων τῶν ἀνθρώπων δὲν ὁμοιάζουν μεταξύ των· δέξαί με καὶ ὁ χρόνος θὰ σὲ πληροφορήσῃ.

— Σοῦ εἶπον, ὅτι δὲν ἠμπορεῖς — ἐπανέλαβεν ὁ Γέρων· — Πήγαινε εἰς ἄλλο μέρος νὰ γυμνασθῇς ὡρισμένον χρόνον· ὕστερα ἔρχεσαι καὶ τότε σὲ δέχομαι. Διότι ἐδῶ ἐγὼ περνῶ τὴν ζωήν μου μὲ σκληρὰν ἄσκησιν καὶ δὲν τρώγω, μὲ τὴν χάριν τοῦ Θεοῦ, τίποτε ἄλλο, ἐκτὸς ἀπὸ ψωμὶ καὶ ἁλάτι. Τὸ λάδι καὶ τὸ κρασὶ οὔτε εἰς τὸ στόμα μου δὲν τὸ βάζω. Ἀγρυπνῶ τὴ μισὴ νύκτα εἰς προσευχὰς καὶ εἰς τὴν μελέτην τῶν λόγων τοῦ Θεοῦ· μερικάς, μάλιστα, φορὰς καὶ ὁλόκληρον τὴν νύκτα.

Μόλις ἤκουσεν αὐτὰ ὁ Παχώμιος, κατελήφθη ἀπὸ σεβασμὸν ἀπὸ τὴν αὐστηρότητα τῶν λόγων καί, ἐμπνεόμενος ἀπὸ τὴν θείαν Χάριν, ἀπε-

φάσισε, μὲ ὅλην του τὴν ψυχήν, νὰ ὑπομείνῃ γενναίως ὅλους τοὺς κόπους. Εἶπε λοιπὸν πρὸς τὸν Ἀββᾶν Παλάμωνα·

— Πιστεύω εἰς τὸν Κύριον, ὅτι θὰ μοῦ δώσῃ δύναμιν καὶ ὑπομονήν, ὥστε νὰ ἀξιωθῶ, διὰ τῶν ὁσίων εὐχῶν σου, νὰ τελειώσω ἐδῶ τὴν ἐπίγειον ζωήν μου.

Τότε ὁ Ἅγιος Παλάμων ἀντελήφθη καλῶς, μὲ τὰ διορατικὰ μάτια τῆς ψυχῆς του, τὴν πίστιν καὶ τὴν προθυμίαν, ποὺ εἶχεν ὁ Παχώμιος διὰ νὰ σωθῇ· δι' αὐτὸ λοιπὸν τοῦ ἤνοιξε τὴν θύραν, τὸν ἔβαλε μέσα εἰς τὸ κελλί του καὶ τοῦ ἐφόρεσε τὸ Μοναχικὸν σχῆμα.

Ἔκτοτε ἠγωνίζοντο καὶ οἱ δύο μαζί, γυμναζόμενοι εἰς τὰ πνευματικὰ καὶ ἀπασχολούμενοι μὲ τὰς προσευχάς. Τὸ ἐργόχειρόν των ἦτο νὰ κλώθουν τρίχας καὶ νὰ ὑφαίνουν σάκκους (τσουβάλια). Κατὰ τὴν ἐντολὴν τοῦ Ἀποστόλου (Ἐφεσ. δ΄, 28), εἰργάζοντο καὶ ἐκοπίαζον, ὄχι διὰ τὴν ἀνάπαυσίν των, οὔτε διὰ νὰ συνάξουν χρήματα· ἀλλὰ διὰ νὰ διατρέφουν τοὺς πτωχούς. Ὁ Ἅγιος Παλάμων, βλέπων τὴν τελείαν ὑπακοὴν τοῦ Παχωμίου εἰς ὅλα καὶ τὴν προκοπὴν εἰς τὴν ἄσκησιν, ἦτο πάρα πολὺ εὐχαριστημένος καὶ ἐδόξαζε τὸν Θεόν.

Β΄. Ἐν τῷ αὐτῷ

ΤΩ Ἁγίῳ Παχωμίῳ εὐχὴ ἦν συνεχὴς τὸ γενέσθαι ἐπ' αὐτῷ τὸ θέλημα τοῦ Θεοῦ· καὶ δὴ μετὰ χρόνον τινά, ἀγρυπνοῦντι αὐτῷ καὶ τὸ αὐτὸ προσευχομένῳ, ὤφθη αὐτῷ Ἄγγελος Κυρίου λέγων· θέλημα Θεοῦ ἐστι τὸ διακονεῖν αὐτῷ, καὶ ἀποκαταλλάσσειν τῷ Θεῷ τὸ τῶν ἀνθρώπων γένος. Τρὶς δὲ τοῦτο εἰπών, ἀπῆλθεν ἀπ' αὐτοῦ· εὐχαριστήσας οὖν τῷ Θεῷ ὁ Παχώμιος, καὶ πληροφορηθεὶς ἐπὶ τῇ πρὸς αὐτὸν γενομένῃ πάλιν ὀπτασίᾳ, ἤρξατο ὑποδέχεσθαι τοὺς ἐκ μετανοίας προσερχομένους τῷ Θεῷ καὶ μετὰ δοκιμασίας πολλῆς ἐδίδου αὐτοῖς τὸ τῶν Μοναχῶν σχῆμα, ἀπαγορεύων μὲν αὐτοῖς τὰ τοῦ βίου, προβιβάζων δὲ αὐτοὺς κατὰ μέρος ἐν τῇ ἀσκήσει.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ ΠΑΧΩΜΙΟΣ προσηύχετο ἀδιακόπως παρακαλῶν τὸν Θεὸν νὰ γίνῃ εἰς αὐτὸν τὸ θέλημά του. Ἀφοῦ ἐπέρασεν ὀλίγος καιρὸς καὶ ἐνῷ ἀγρυπνοῦσε καὶ προσηύχετο, ἐφανερώθη ἐνώπιόν του Ἄγγελος Κυρίου καὶ τοῦ λέγει:

— Θέλημα τοῦ Θεοῦ εἶναι νὰ Τὸν ὑπηρετῇς καὶ νὰ συμφιλιώνῃς τὸ ἀνθρώπινον γένος μὲ τὸν Θεόν.

Ἀφοῦ δὲ ὁ Ἄγγελος ἐπανέλαβε τρεῖς φορὰς τὴν φράσιν αὐτήν, ἀνεχώρησεν ἀπὸ τὸν Ἅγιον.

Τότε ὁ Ἅγιος Παχώμιος ηὐχαρίστησε τὸν Θεὸν καὶ ἀφοῦ ἐπληροφορήθη καὶ πάλιν, εἰς τὴν ψυχήν του, ὅτι τὸ ὅραμα ἦτο ἐκ Θεοῦ, ἤρχισε νὰ δέχεται ὅσους μετενόουν ἐνώπιον τοῦ Θεοῦ καί, μετὰ πολλὴν δοκιμασίαν, ἔδιδεν εἰς αὐτοὺς τὸ Μοναχικὸν σχῆμα· εἰς αὐτοὺς ἀπηγόρευε τὰς βιοτικὰς μερίμνας καὶ τοὺς ἀνεβίβαζε σιγὰ - σιγὰ εἰς τὴν Μοναχικὴν ἄσκησιν.

Γ'. Ἐν τῷ βίῳ τῆς Ὁσίας Θεοδώρας

Η ΜΑΚΑΡΙΩΤΑΤΗ γυναικῶν Θεοδώρα κόσμῳ καὶ τοῖς ἐν κόσμῳ ἀποτάξασθαι κρίνασα καὶ σοφωτάταις ἐπινοίαις πτερνίσαι τὸν ἀπατήσαντα, ἀνδρεῖον σχῆμα περιθεμένη, ὡς ἂν οὕτω λάθοι τὸν ἑαυτῆς ἄνδρα ταύτην ἐπιμελῶς ζητεῖν μέλλοντα, ἀνδρῶν πρόσεισι κοινοβίῳ, σημείοις ὀκτωκαίδεκα τῆς Ἀλεξανδρέων ἀπέχοντι. Καὶ ἔτι τοῦ πυλῶνος ἔξω τυγχάνουσα, εἰσδεχθῆναί τε αὐτὴν ἠξίου καὶ τοῦ ἀριθμοῦ γενέσθαι τῶν ἀσκουμένων· οἱ δέ, οὐ πρότερον ἔφησαν, καί τοι ἄνδρα τούτοις καὶ οὐχὶ γυναῖκα νομιζομένην, εἰ μὴ παρ' ὅλην νύκτα αἴθριος διαμείνοι καὶ δοκίμιον οὕτω καρτερίας παράσχοι τοῖς ἀδελφοῖς. Ἡ δέ, οὐ μόνον ἡδέως ἐδέξατο τὸ λεχθέν, καὶ ταῦτα μὴ ἀγνοοῦσα ὅτι θηρία πολλὰ τῆς νυκτὸς προσβάλλει διὰ τὸ τοῦ τόπου ἐρημόν τε καὶ κομιδῇ ἄγριον, ἀλλὰ καὶ εἰς ἔργον τὸ πραχθὲν ἤγαγε· καὶ διενυκτέρευσεν οὕτω προσμένουσα τῷ πυλῶνι· διὸ καὶ ὁ τῷ Δανιὴλ πάλαι καθημερώσας τὴν λεοντείαν ὠμότητα, αὐτὸς καὶ νῦν τὴν Ὁσίαν προειδὼς εἰς οἷον ὕψος ἀναδραμεῖται τῆς ἀρετῆς, καὶ θηρσὶν ἄληπτον διετήρησεν· ὃ καὶ αὐτοὶ πείρᾳ καταμαθόντες οἱ Μοναχοί, τὸ συνεῖναι τούτοις θεοφιλὲς ἔκριναν.

Ἀσμένως οὖν εἰσδεχθείσης, ὁ τῆς μονῆς προεστὼς ἐντυχὼν αὐτῇ κατὰ μόνας, ἐπιμελῶς ἠρώτα, τίς τε εἴη καὶ κατὰ ποίαν δὴ τὴν αἰτίαν πρὸς τὰ τῶν Μοναχῶν παραγένοιτο· μὴ δανείσμασι, φησί, χρεῶν βαρυνόμενος, ἢ φόνῳ τινὸς ἁλούς, ἢ τρέφειν παῖδας ἠπορηκώς, τὸ κοσμικὸν ἀποβαλεῖν σχῆμα προείλου; Δι' οὐδὲν τούτων, ἡ Θεοδώρα εἶπεν, ὦ Πάτερ, ἀλλὰ διὰ τὸ σχολάσαι με μόνον τοῦ κοσμικοῦ θορύβου, καὶ τὰς οἰκείας ἀποκλαύσασθαι ἁμαρτίας. Πῶς δὲ καλῇ; ὁ μέγας ἀνθυπέφερε· καὶ ἡ γενναία· Θεόδωρος, εἶπεν, ἐμοὶ τὸ ὄνομα· ὁ δέ· καὶ μὴ ὑπολάμβανε, ἔφη, ἀδελφὲ Θεόδωρε, ὅτι ἐκτὸς ἔσται σοι πόνων ἡ ἐνταῦθα διαγωγή· ἀλλ' εἰ βούλει τὸν τῆς ὑπακοῆς ζυγὸν ὑπελθεῖν, πάσαις ἴσθι χρείαις ὑπηρετήσων τῶν ἀδελφῶν, οὐ ταῖς ἐν τῇ μονῇ μόνον, οἷον τῶν φυτῶν καὶ λαχάνων ἐπιμελούμενος, ὕδατός τε μετακομιδῇ λειτουργῶν καὶ ἀμελητὶ ἄρδων, ἀλλὰ δὴ καὶ ταῖς ἔξω ταύτης διακονούμενος. Καὶ ὅτε χρεία καλοίη πρὸς τὴν πόλιν ἀπιέναι, μὴ παραιτούμενος· οὐ μὴν ἔσται σοι ταῦτα πρόφασις πρὸς τοὺς ἀσκητικοὺς πόνους ὀλιγωρεῖν, ἀλλὰ καὶ οὕτω μᾶλλον ἀπαραλείπτως νηστείᾳ δεῖ σε προσανέχειν καὶ προσευχῇ, ψάλλειν τε συνήθως καὶ τὴν ἑσπερινὴν ὁσημέραι καὶ ὀρθρινὴν δοξολογίαν ἐπιτελεῖν· πρὸς δέ, καὶ τῶν καλουμένων ὡρῶν μηδὲ μίαν καταλιμπάνειν. Προσπονεῖσθαι δὲ καὶ γονάτων κλίσει, καὶ οὕτω τρύχειν τὸ σῶμα, διὰ τὰς ἐκεῖθεν τῶν πολεμούντων ἐπιβουλάς.

Ταῦτα οὖν ἡ μακαρία ἐνθεῖσα ταῖς ἀκοαῖς, καὶ ὥς περ τι ψυχῆς εἶναι λογισαμένη ἐντρύφημα, μετὰ πολλῆς αὐτὰ τῆς προθυμίας ἐπηγγείλατο πράττειν· καὶ οὕτως ὁμοταγὴς τῷ καλῷ ἐκείνῳ τῶν Μοναχῶν χορῷ γίνεται. Ἐπειδὴ αἱ πρὸς Θεὸν αὐτῆς συνθῆκαι τὸ ἀψευδὲς ἕξειν ἔμελλον πᾶσι τοῖς τῆς σαρκὸς φρονήμασι χαίρειν εἰποῦσα, εὐθὺς ἀπεδύσατο πρὸς τοὺς πόνους, μηδένα ὄκνον, μὴ πρόφασιν εἰς διακονίαν προβαλλομένη. Ἔτεσιν οὖν ὀκτὼ τῇ τε τῶν φυτῶν ἀρδείᾳ καὶ τῶν λαχάνων, ἃ τοῖς ἐν τῇ μονῇ τὴν χρείαν παρεῖχεν, ὅσαι ἡμέραι προσκαρτεροῦσα τοῦ τε ἀλήθειν τὸν σῖτον, καὶ φυρᾶν τὸ ἀλούμενον, καὶ εἰς ἄρτους παρασκευάζειν οὐχ ὑστεροῦσα, ἑψοῦσά τε τὸ λάχανον, ᾧ καὶ ἀπέστρεφον ἑαυτοὺς οἱ νεκροῦν τὸ σῶμα σπου-

δάζοντες· οὐδὲ τῆς ἐν Ἐκκλησίᾳ τελουμένης συνάξεως ἀπελείφθη ποτέ, ἀλλὰ καὶ μᾶλλον ἐν ταύτῃ τῆς ψυχῆς ἐνέφαινε τὸ φιλόθεον.

Ἀλλὰ καὶ οὕτως ἔχουσαν ἀγωγῆς καὶ βίον ἄγαν ἐπίπονον ἑλομένην, ὁ τοῦ προλαβόντος σφάλματος λογισμὸς οὐκ ἀνῆκεν ὅλως αὐτὴν ἠρεμεῖν, ἀλλὰ ταῖς πανημέροις ταύταις διακονίαις, τῆς νυκτὸς ἐπιούσης, ὅτε καὶ ὕπνου καὶ μετρίας ἔδει μεταλαχεῖν ἀναπαύσεως, πλήττουσα τὸ στῆθος καὶ τὴν ψυχὴν κινοῦσα πρὸς δάκρυα ἔλεγε· συγχώρησόν μοι τὴν ἁμαρτίαν, Κύριε, ἣ τὸ εὔσχημον τῆς ἐμῆς ἀπώλεσε σωφροσύνης. Καὶ ἐλαίου δὲ καὶ σίτου καὶ τῶν ἄλλων ἀναγκαίων ἐν τῇ μονῇ, αὕτη τὸ πλεῖστον τήν τε ἀγορὰν καὶ μετακομιδὴν διὰ τῶν καμήλων ἐποίει· καὶ ἁπλῶς εἰπεῖν, οὐκ ἦν τις διακονία τὸ ἐπίπονον ἔχουσα, εἰς ἣν ἡ Θεοδώρα οὐ προθυμοτέρα τῶν ἄλλων ἐδείκνυτο.

Ἑρμηνεία

Η ΠΛΕΟΝ ΜΑΚΑΡΙΑ, ἀπὸ ὅλας τὰς γυναῖκας, ἡ Θεοδώρα, ἀπεφάσισε νὰ ἀρνηθῇ τὸν κόσμον καὶ μὲ πολὺ σοφὰς ἐπινοήσεις νὰ κτυπήσῃ αὐτόν, ποὺ τὴν ἠπάτησε (τὸν διάβολον). Ἀμέσως λοιπὸν ἐνεδύθη ἀνδρικὰ ἐνδύματα, διὰ νὰ διαφύγῃ τὴν προσοχὴν τοῦ συζύγου της, ὁ ὁποῖος ἀσφαλῶς θὰ τὴν ἀνεζήτει μὲ ἰδιαιτέραν ἐπιμονὴν παντοῦ καὶ ἔρχεται εἰς ἕνα κοινόβιον ἀνδρῶν, ποὺ ἀπεῖχεν ἀπὸ τὴν Ἀλεξάνδρειαν δεκαοκτὼ σημεῖα*.

Ὅταν ἔφθασεν εἰς τὴν ἐξώθυραν τοῦ κοινοβίου, παρεκάλει νὰ τὴν δεχθοῦν καὶ νὰ τὴν εντάξουν μεταξὺ τῶν Μοναχῶν. Οἱ Πατέρες τοῦ κοινοβίου τῆς ἀπήντησαν, ἂν καὶ τὴν ἐνόμισαν ὡς ἄνδρα καὶ ὄχι γυναῖκα, ὅτι δὲν θὰ τὴν δεχθοῦν μέσα εἰς τὸ κοινόβιον, ἐκτὸς ἐὰν μείνῃ εἰς τὸ ὕπαιθρον ὅλην τὴν νύκτα καὶ ἀποδείξῃ, τοιουτοτρόπως, εἰς τοὺς ἀδελφοὺς τὴν καρτερικότητά της.

Ἐκείνη ὄχι μόνον ἐδέχθη εὐχαρίστως τὴν ἐντολήν, ἀλλὰ καὶ τὴν ἐπραγματοποίησε προθύμως, ἂν καὶ ἐγνώριζε καλῶς ὅτι τὴν νύκτα ἔρχονται ἐκεῖ πολλὰ θηρία, ἐπειδὴ ὁ τόπος εἶναι ἔρημος καὶ τελείως ἄγριος· πράγματι λοιπὸν ἐπέρασεν ὅλην τὴν νύκτα ἔξω ἀπὸ τὴν εἴσοδον τοῦ Μοναστηρίου. Δι' αὐτὸ καὶ Ἐκεῖνος, ὁ ὁποῖος κατὰ τὸν παλαιὸν καιρὸν ἡμέρωσε τὴν ἀγριότητα τῶν λεονταριῶν, χάριν τοῦ Δανιήλ, ὁ ἴδιος καὶ τώρα, δηλαδὴ ὁ Θεός, προβλέπων, ὡς παντογνώστης, εἰς ποῖον μέγιστον ὕψος ἀρετῆς θὰ ἀνήρχετο ἡ Ὁσία, τὴν διετήρησε σώαν καὶ ἀβλαβῆ ἀπὸ τὰ θηρία. Μόλις οἱ Μοναχοὶ τοῦ κοινοβίου ἔλαβον γνῶσιν τοῦ κατορθώματος αὐτοῦ, ἔκριναν ὅτι ἦτο εὐχάριστον εἰς τὸν Θεὸν τὸ νὰ μείνῃ μαζί των.

Ἀφοῦ λοιπὸν τὴν ἐδέχθησαν μὲ χαρὰν καὶ εὐχαρίστησιν εἰς τὸ

---

* Σημεῖα ὠνομάζοντο ὡρισμένα σημάδια, μὲ τὰ ὁποῖα ἐσημείωναν τότε τὰς ἀποστάσεις τῶν ὁδῶν πρὸς πληροφορίαν τῶν ὁδοιπόρων, ὅπως γίνεται σήμερον μὲ τοὺς δείκτας τῶν χιλιομετρικῶν ἀποστάσεων.

Ἡ ὉCΙΑ ΘΕΟΔΏΡΑ



κοινόβιον, ὁ Ἡγούμενος τὴν ἐκάλεσεν ἰδιαιτέρως καὶ τὴν ἠρώτα λεπτομερῶς:

— Εἰπέ μου, τέκνον μου, ποῖος εἶσαι καὶ διὰ ποίαν αἰτίαν προσῆλθες εἰς τὸ Μοναστήριον καὶ ἀπεφάσισες νὰ γίνῃς Μοναχός· μήπως βαρύνεσαι μὲ δάνεια καὶ χρέη; ἢ μήπως καταδιώκεσαι διὰ φόνον; ἢ μήπως δὲν ἠμποροῦσες νὰ συντηρήσῃς τὰ παιδιά σου, καὶ δι' αὐτὸ ἀπεφάσισες νὰ ἐγκαταλείψῃς τὸν κόσμον;

— Πάτερ μου — ἀπήντησεν ἡ Θεοδώρα — τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν συμβαίνει· ἀλλ' ἦλθον ἐδῶ, διὰ νὰ ἡσυχάσω ἀπὸ τοὺς θορύβους τοῦ κόσμου καὶ διὰ νὰ κλαύσω τὰς ἁμαρτίας μου.

— Πῶς ὀνομάζεσαι; ἠρώτησε καὶ πάλιν ὁ Ἡγούμενος.

— Θεόδωρος, ἀπήντησεν ἡ γενναία.

— Ἄκουσε λοιπόν, ἀδελφὲ Θεόδωρε, συνέχισεν ὁ Ἡγούμενος· μὴ νομίζῃς, ὅτι ἐδῶ ἡ ζωή σου θὰ εἶναι χωρὶς κόπους· ἀλλ' ἐὰν θέλῃς νὰ σηκώσῃς τὸν ζυγὸν τῆς ὑπακοῆς, θὰ πρέπει νὰ ξέρῃς πὼς θὰ ὑπηρετήσῃς τοὺς ἀδελφοὺς εἰς ὅλας των τὰς ἀνάγκας, ὄχι δὲ μόνον μέσα εἰς τὸ κοινόβιον, ὅπως εἶναι ἡ καλλιέργεια τοῦ κήπου, ἡ μεταφορὰ τοῦ ὕδατος καὶ τὸ τακτικὸν πότισμα τοῦ κήπου, ἀλλὰ θὰ ἐκτελῇς ὡρισμένας ὑπηρεσίας καὶ ἔξω ἀπὸ τὸ κοινόβιον. Καὶ ὅταν παραστῇ ἀνάγκη θὰ μεταβῇς καὶ εἰς τὴν πόλιν, χωρὶς νὰ δυσανασχετῇς· ἐννοεῖται ὅτι ὅλα αὐτὰ δὲν θὰ πρέπει νὰ τὰ ἐκλάβῃς ὡς πρόφασιν, διὰ νὰ παραμελήσῃς τοὺς κόπους τῆς ἀσκήσεως· ἀπεναντίας μάλιστα· οὕτω χωρὶς οὐδεμίαν παράλειψιν θὰ πρέπει νὰ ἀντέχῃς εἰς τὴν νηστείαν καὶ τὴν προσευχήν, νὰ ψάλλῃς καθημερινῶς τὸν ἑσπερινόν, καὶ νὰ ἐπιτελῇς τὸν ὄρθρον· ἐπὶ πλέον νὰ μὴ ἀφήνῃς οὔτε μίαν ἀπὸ τὰς ἀκολουθίας τῶν ὡρῶν.

Ἀκόμη θὰ πρέπει νὰ ἐκτελῇς γονυκλισίας καὶ τοιουτοτρόπως νὰ καταπονῇς τὸ σῶμα σου, διὰ νὰ ἀντιμετωπίζῃς τὰς ἐπιθέσεις τῶν πολεμούντων τὴν ψυχὴν διαβόλων.

Ὅλα αὐτὰ τὰ λόγια τοῦ Ἡγουμένου, ἡ μακαρία Θεοδώρα τὰ ἤκουσε μὲ πολλὴν προσοχὴν καὶ τὰ ἐφύλαξεν εἰς τὴν ψυχήν της καί, θεωρήσασα τὴν ἐκτέλεσιν τούτων ὡς ψυχικὴν εὐχαρίστησιν, ὑπεσχέθη ὅτι μετὰ πάσης προθυμίας θὰ τὰ ἐκτελῇ. Κατόπιν αὐτῆς τῆς ὑποσχέσεως ἐνετάχθη πλέον εἰς τὸν καλὸν ἐκεῖνον χορὸν τῶν Μοναχῶν. Ἐπειδὴ αἱ ὑποσχέσεις της πρὸς τὸν Θεὸν ἐπρόκειτο νὰ ἐπαληθεύσουν, ἀφοῦ ἀπηρνήθη ὅλα της τὰ σαρκικὰ φρονήματα, ἀμέσως ἐπεδόθη εἰς τοὺς κόπους, χωρὶς νὰ κουράζεται καὶ χωρὶς νὰ ἐπιζητῇ προφάσεις διὰ νὰ ἀποφύγῃ τὰς ὑπηρεσίας ποὺ τῆς ἀνέθετον. Ἐπὶ ὀκτὼ λοιπὸν ἔτη κατεγίνετο εἰς τὸ πότισμα τῶν φυτῶν καὶ τῶν λαχάνων, τὰ ὁποῖα ἐχρησιμοποίουν εἰς τὸ κοινόβιον καὶ καθημερινῶς ἠσχολεῖτο μετὰ καρτερικότητος, νὰ ἀλέθῃ τὸ σιτάρι καὶ νὰ ζυμώνῃ τὸ ἀλεύρι καὶ νὰ παρασκευάζῃ τοὺς ἄρτους, χωρὶς νὰ ὑστερῇ πουθενά, καί, συγχρόνως, νὰ μαγειρεύῃ τὰ λάχανα, μὲ τὰ ὁποῖα καὶ ἐτρέφοντο οἱ ἐπιδιώκοντες νὰ ἀπονεκρώσουν τὰς σαρκικὰς ὁρμάς. Οὐδέποτε δὲ παρέλειψε νὰ παρευρίσκεται εἰς τὰς ἀκολουθίας, ποὺ

ἐτελοῦντο εἰς τὴν Ἐκκλησίαν, ἀλλὰ μὲ τὴν πρόθυμον συμμετοχήν της ἐφανέρωνε τὸ φιλόθεον τῆς ψυχῆς της.

Ἂν καὶ ἦτο τοιαύτη ἡ διαγωγή της εἰς τὸ κοινόβιον, καὶ ἐξέλεξε τόσον σκληρὸν καὶ κοπιαστικὸν βίον, ἐν τούτοις ἡ ἀνάμνησις τοῦ προηγουμένου σφάλματός της δὲν τὴν ἄφηνε τελείως νὰ ἡσυχάζῃ, ἀλλ' ὅταν τὰς ὁλοημέρους αὐτὰς ὑπηρεσίας διεδέχετο ἡ νύκτα, ποὺ ἔπρεπε νὰ ἀναπαυθῇ καὶ νὰ κοιμηθῇ ὀλίγον, ἐκείνη ἐκτύπα τὸ στῆθος της καὶ μὲ δάκρυα ἔλεγεν· συγχώρεσέ μου, Κύριε, τὴν ἁμαρτίαν, ἡ ὁποία κατέστρεψε τὴν ὡραιότητα τῆς σωφροσύνης μου.

Καὶ τὸ λάδι καὶ τὸ σιτάρι καὶ τὰ ἄλλα ἀναγκαῖα διὰ τὸ κοινόβιον ἐφόδια, αὐτή, ὡς ἐπὶ τὸ πλεῖστον, τὰ ἠγόραζε καὶ τὰ μετέφερε, μὲ τὰς καμήλους, εἰς τὸ κοινόβιον.

Καί, διὰ νὰ συντομεύωμεν· δὲν ὑπῆρχε μέσα εἰς τὸ κοινόβιον ὑπηρεσία κουραστική, τὴν ὁποίαν νὰ μὴ ἀνελάμβανεν ἡ Θεοδώρα νὰ ἐκτελέσῃ προθυμότερον ἀπὸ τοὺς ἄλλους Μοναχούς.

Δ'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Μελάνης τῆς Ρωμαίας

Η ΑΓΙΑ ΜΕΛΑΝΗ, κοινόβιον ἐν Ἱεροσολύμοις, κατὰ τὸ ὄρος τῶν Ἐλαιῶν, παρθένων πλέον ἢ ἐνενήκοντα συστησαμένη, ἡγεμόνα ταύταις ἐφίστησι τὴν καὶ λόγῳ καὶ τρόπῳ τῶν λοιπῶν διαφέρουσαν· αὐτὴ δὲ θεραπαινίδος μὲν τάξιν ἐπεῖχε πρὸς αὐτὰς τῇ θεραπείᾳ, τῇ δὲ φιλανθρωπίᾳ μητρός· ὑπετίθει γὰρ αὐταῖς τὰ σωτήρια, μεθ' ὅσης ἂν εἴποις ταπεινοφροσύνης. Ἔλεγεν οὖν πρὸς αὐτὰς ὑπακοῆς χάριν καὶ τοῦ ταῖς ἀρχαῖς πείθεσθαι, ὅτι κἂν τοῖς βιωτικοῖς, τοῦτό ἐστι τὸ μάλιστα πάντα συνέχον καὶ Βασιλέα μὲν ἀποφαῖνον τὸν Βασιλέα, ὑπήκοον δὲ τὸ ὑπήκοον· ἂν δὲ τοῦτο ἀνέλῃς, ἀνεῖλες δὴ καὶ τὴν τάξιν, καὶ μετὰ τῶν ὀνομάτων συνέχεες καὶ τὰ πράγματα. Προσετίθει δὲ καὶ παράδειγμά τι τοιοῦτον.

Ποτέ τις προσῆλθε γέροντι μεγάλῳ, φοιτητὴς αὐτοῦ γενέσθαι σπουδάζων· τοῦ δὲ ἐκ προοιμίων οἷον εἶναι δεῖ τὸν μαθητὴν ὑπεμφαίνοντος, κελεῦσαι ἀνδριάντα αὐτοῦ που πλησίον ἑστῶτα ὡς ἂν ἐκεῖνος δύναιτο τύψαι τε καὶ λακτίσαι· ἐπεὶ δὲ ὁ νέος ὑπήκουσεν, ἐρέσθαι τὸν γέροντα, εἴ τι πληττόμενος καὶ διαλακτιζόμενος ὁ ἀνδριὰς ἀντεῖπεν ἢ ἐδυσχέρανε· τοῦ δὲ μηδὲν τοιοῦτον γενέσθαι φήσαντος, αὖθις αὐτὸν κελεῦσαι πλῆξαι, καὶ ταῖς πληγαῖς καὶ ὕβρεις προσθεῖναι· ὡς δὲ τρὶς αὐτὰ ἔδρα, ὁ δὲ ἀνδριάς, ἀνδριὰς μόνος ἦν ἄψυχός τε καὶ ἄφωνος, τότε ὁ γηραιός, εἰ μὲν οὖν καὶ σύ, ἔφη, τὰ αὐτά τε ἀνέχεσθαι δύνῃ καὶ μηδὲν ἀντιλέγειν, ὥς περ οὐδὲ τοῦτο τὸ ξόανον διὰ πάντων ἐμπαροινούμενον, χώρει θαρρῶν καὶ τῆς παρ' ἡμῖν παιδείας ἀπόλαυε· εἰ δὲ μή, μηδὲ τῇ μεθ' ἡμῶν ἐπιχείρει διατριβῇ.

Ἑρμηνεία

Η ΑΓΙΑ ΜΕΛΑΝΗ ἵδρυσεν εἰς τὰ Ἱεροσόλυμα, πλησίον τοῦ ὄρους τῶν Ἐλαιῶν, κοινόβιον καλογραιῶν, εἰς τὸ ὁποῖον προσῆλθον περισσότεραι ἀπὸ ἐνενήκοντα Παρθένοι. Εἰς αὐτὰς διορίζει Ἡγουμένην

ἐκείνην, ποὺ διεκρίνετο περισσότερον ἀπὸ τὰς ἄλλας, καὶ κατὰ τὴν διδακτικὴν ἱκανότητα, ἀλλὰ καὶ κατὰ τὸν τρόπον τῆς ζωῆς. Ἡ ἴδια, ἡ Ἁγία Μελάνη, ἦτο, καθ' ὅσον μὲν ἀφορᾷ τὴν προθυμίαν νὰ τὰς περιποιῆται, ὡς μία ὑπηρέτρια, μεταξύ των, καθ' ὅσον δὲ ἀφορᾷ τὴν πρὸς αὐτὰς ἀγάπην της, ὡς μητέρα, διότι συνεβούλευεν αὐτὰς τὰ ἀπαραίτητα διὰ τὴν σωτηρίαν των, μὲ τὴν μεγαλυτέραν ταπεινοφροσύνην, ποὺ θὰ ἠδύνατο κανεὶς νὰ εἴπῃ. Ἔλεγε λοιπὸν πρὸς αὐτὰς χάριν τῆς ὑπακοῆς καὶ διὰ νὰ πειθαρχοῦν εἰς τὰς ἀρχάς, ὅτι καὶ εἰς τὰ ζητήματα τοῦ κόσμου, ἐκεῖνο ποὺ συγκρατεῖ περισσότερον ἀπὸ ὅλα τὰ ἄλλα τὴν τάξιν εἶναι τοῦτο· τὸ νὰ εἶναι ὁ Βασιλεὺς Βασιλεὺς καὶ ὁ ὑπήκοος ὑπήκοος. Ἂν ἀφαιρέσῃς αὐτὴν τὴν διάκρισιν, τότε κατέστρεψες καὶ τὴν τάξιν καί, μαζὶ μὲ τὰ ὀνόματα, ἐμπέρδευσες καὶ τὰ πράγματα. Προσέθετε δὲ καὶ τὸ ἑξῆς παράδειγμα:

Κάποτε ἦλθεν εἰς ἕνα μεγάλον Γέροντα κάποιος, ἐπιθυμῶν νὰ γίνῃ μαθητής του. Ὁ Γέρων θέλων εὐθὺς ἐξ ἀρχῆς νὰ τοῦ δείξῃ ποῖος πρέπει νὰ εἶναι ὁ μαθητής, τὸν διέταξε νὰ κτυπήσῃ καὶ νὰ κλωτσήσῃ, ὅσον ἠμπορεῖ περισσότερον, κάποιο ἄγαλμα, ποὺ ἦτο στημένον κάπου ἐκεῖ κοντά. Ἀφοῦ λοιπὸν ὁ νέος ὑπήκουσε, τὸν ἠρώτησεν ὁ Γέρων:

— Τὸ ἄγαλμα σοῦ ἀντιμίλησεν ἢ ἐθύμωσε καθόλου, ὅταν τὸ ἐκλωτσοῦσες καὶ τὸ ἐκτυποῦσες;

— Τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν ἔγινεν, ἀπήντησεν ὁ νέος.

— Ξανακτύπησέ το καὶ πάλιν, διέταξεν ὁ Γέρων· καὶ τώρα νὰ τὸ ὑβρίσῃς ἐπὶ πλέον.

Τὴν ἐντολὴν αὐτὴν τοῦ Γέροντος ἐξετέλεσε τρεῖς φορὰς ὁ νέος καὶ τὸ ἄγαλμα παρέμεινεν ἄγαλμα, ἄψυχον καὶ ἄφωνον. Τότε ὁ Γέρων διετύπωσε τὸ συμπέρασμα πρὸς τὸν νέον·

— Ἐὰν λοιπὸν καὶ σὺ ἠμπορέσῃς καὶ ὑποφέρῃς τὰ ἴδια, χωρὶς νὰ ἀντιμιλήσῃς καθόλου, ὅπως αὐτὸ τὸ ἄγαλμα, τὸ ὁποῖον παντοιοτρόπως ἐκακομεταχειρίσθης, προχώρησε τότε μὲ θάρρος καὶ ἔλα νὰ ἀπολαύσῃς ἀπὸ ἡμᾶς τὴν ποθουμένην ἄσκησιν· διαφορετικὰ οὔτε τὴν συναναστροφήν μας νὰ μὴ ἐπιδιώξῃς.

Ε΄. Παλλαδίου

ΔΙΗΓΗΣΑΤΟ μοι Κρόνιος ὁ μαθητὴς τοῦ Μεγάλου Ἀντωνίου περὶ Παύλου τοῦ ἐπονομασθέντος ἁπλοῦ, διὰ τὸ ἄκακον καθ' ὑπερβολὴν καὶ ἁπλοῦν τοῦ τρόπου αὐτοῦ, καὶ εἶπέ μοι· ὅτι Παῦλός τις ὀνόματι, ἄγροικος ἄνθρωπος καὶ γεωργός, ὡραίᾳ γυναικὶ συνεζεύχθη κακοτρόπῳ τὴν γνώμην· ἥτις ἑτέρῳ συμφθειρομένη, ἐπὶ πολὺ τοῦτον ἐλάνθανε διὰ τὸ ἀκέραιον τοῦ ἤθους αὐτοῦ καὶ πρὸς κακίαν ἀνύποπτον. Ποτὲ οὖν ὁ Παῦλος ἐπανιὼν ἐκ τοῦ ἀγροῦ, αἰφνίδιον εἰσελθὼν εἰς τὴν οἰκίαν, καταλαμβάνει ταύτην ἐπ' αὐτοφώρῳ μοιχευομένην· καὶ μειδιάσας σεμνόν, ἐπιφωνεῖ αὐτοῖς· καλῶς, καλῶς· ἀληθῶς οὐ μέλει μοι· μὰ τὸν Ἰησοῦν, ἐγὼ οὐκέτι εἰμὶ μετ' αὐτῆς· ὕπαγε, ἔχε αὐτὴν καὶ τὰ παιδία αὐτῆς, καὶ ἐγὼ ὑπάγω, γίνομαι Μοναχός

Καὶ μηδενὶ μηδὲν εἰρηκώς, ἀνατρέχει τὰς ὀκτὼ μονάς, καὶ ἀπέρχεται πρὸς τὸν Μακάριον Ἀντώνιον, καὶ κρούει τὴν θύραν.

Ἐξελθὼν οὖν ὁ μέγας, ἐρωτᾷ αὐτόν· τί θέλεις; λέγει αὐτῷ ὁ Παῦλος· Μοναχὸς θέλω γενέσθαι· ἀποκρίνεται αὐτῷ ὁ Ἀντώνιος· ἐτῶν ἑξήκοντα γέρων ἄνθρωπος, ὧδε Μοναχὸς γενέσθαι οὐ δύνασαι, ἀλλὰ μᾶλλον ἄπελθε εἰς κώμην καὶ ἐργάζου, καὶ ζῆθι ἐργατικὸν βίον, εὐχαριστῶν τῷ Θεῷ· ὑπομεῖναι γὰρ τὰς θλίψεις τῆς ἐρήμου οὐ δύνασαι. Ἔφη ὁ γέρων· εἴ τι ἂν με διδάξῃς, ἐκεῖνο ποιήσω· λέγει ὁ Ἀντώνιος· εἴρηκά σοι ὅτι γέρων εἶ καὶ οὐ δύνασαι μονάσαι· ἄπελθε εἰ ἄρα θέλεις μονάσαι, εἴσελθε εἰς κοινόβιον πλειόνων ἀδελφῶν, οἵτινες δύνανταί σου τῆς ἀσθενείας ἀντέχεσθαι· ἐγὼ γὰρ μόνος κάθημαι ὧδε, διὰ πέντε ἐσθίων, καὶ τοῦτο λιμώττων καὶ μὴ χορταζόμενος. Τούτοις καὶ τοῖς τοιούτοις ῥήμασιν ἀπεσόβει τὸν Παῦλον· ὁ δὲ ὡς οὐχ ὑπεχώρει, εἰσελθὼν εἰς τὸ σπήλαιον ὁ Ἀντώνιος καὶ κλείσας τὴν θύραν, οὐκ ἐξῆλθεν ἐπὶ ἡμέρας τρεῖς δι᾽ αὐτόν· ὁ δὲ τῇ θύρᾳ προσκαθεσθεὶς παρέμενε.

Τῇ δὲ τετάρτῃ ἡμέρᾳ, ὑπό τινος χρείας ἀναγκασθεὶς ὁ Ἀντώνιος, ἀνοίξας ἐξῆλθε, καὶ ἰδὼν αὐτὸν λέγει· ἄπελθε ἔνθεν, γέρον, τί με ὑποπιάζεις; οὐ δύνασαι ὧδε μεῖναι· λέγει αὐτῷ ὁ Παῦλος· ἀδύνατόν με ἀλλαχοῦ ἀπελθεῖν ἢ ἀποθανεῖν, ἀλλ᾽ ἢ ὧδε. Περιβλεψάμενος οὖν αὐτὸν ὁ Ἀντώνιος, καὶ ἰδὼν ὅτι τὰ πρὸς τροφὴν οὐ βαστάζει, οὐκ ἄρτον, οὐχ ὕδωρ, οὐχ ἕτερόν τι, καὶ ἤδη τετάρτην ἡμέραν ἄγει νῆστις προσκαρτερῶν, καὶ φοβηθεὶς μήποτε καὶ ἀποθάνῃ καὶ κηλιδώσῃ αὐτοῦ τὴν ψυχήν, ὡς ἀσπλάγχνως εἰς τὸν Παῦλον διατεθέντος, εἰσδέχεται αὐτόν· καὶ βρέξας θαλλοὺς ἐκ φοινίκων, λέγει αὐτῷ· δέξαι, πλέξον σειρὰν ὡς βλέπεις με.

Πλέκει ὁ γέρων μέχρις ἐνάτης ὀργυιᾶς δεκαπέντε μόχθῳ πολλῷ· θεασάμενος δὲ τὸ πλέγμα ὁ Ἀντώνιος ἀπηρέσθη· καὶ ἐπενεχθεὶς αὐτῷ λέγει· κακῶς ἔπλεξας· ἀπόπλεξον, καὶ ἄνωθεν πλέξον· (τοῦτο δὲ αὐτῷ ἐπέταξε, νήστει ὄντι ἤδη τέσσαρας ἡμέρας, ὡς εἶπον, καὶ γηραιῷ, δοκιμάζων τὴν αὐτοῦ καρτερίαν)· ὁ δὲ ἀπέπλεξε, καὶ πάλιν ἔπλεξε τοὺς αὐτοὺς θαλλοὺς πάνυ δυσχερῶς, διὰ τὸ τοὺς θαλλοὺς ἐκ τῆς πρώτης πλοκῆς εἶναι ἐρρυσιδωμένους. Ἰδὼν δὲ ὁ Ἀντώνιος, ὅτι οὔτε ἐγόγγυσεν ὁ γέρων μικροψυχήσας, οὔτε κἂν πρὸς βραχὺ ἠγανάκτησεν, ἢ τὸ πρόσωπον αὐτοῦ ὅλως διέστρεψε, κατενύγη ἐπ᾽ αὐτόν· καὶ δύσαντος τοῦ ἡλίου, λέγει αὐτῷ· π α π π ί α, θ έ λ ε ι ς φ ά γ ω μ ε ν ἄ ρ τ ο υ κ λ ά σ μ α; λέγει αὐτῷ ὁ Παῦλος· ὡς δοκεῖ σοι, Ἀββᾶ· καὶ τοῦτο πλεῖον ἔκαμψε τὸν Ἀντώνιον πρὸς συμπάθειαν, τὸ μὴ προσδραμεῖν ἑτοίμως τῇ τῆς τροφῆς ἀγγελίᾳ, ἀλλ᾽ αὐτῷ ἐπιτρέψαι τὴν ἐξουσίαν. Ἔφη οὖν πρὸς αὐτόν· θὲς τὴν τράπεζαν· ὁ δὲ ὑπήκουσεν· εἶτα φέρει ὁ Ἀντώνιος παξαμᾶς τέσσαρας ἔχοντας ἀπὸ ἓξ οὐγγιῶν καὶ ἑαυτῷ μὲν ἔβρεξεν ἕνα, ἐκείνῳ δὲ τρεῖς. Μετὰ δὲ τοῦτο, βάλλει ψαλμόν, ὃν ᾔδει ὁ Ἀντώνιος· καὶ δωδέκατον αὐτὸν ψάλας, δωδέκατον ηὔξατο, ἵνα καὶ ἐν τούτῳ δοκιμάσῃ τὸν Παῦλον· ὁ δὲ προθύμως τούτῳ συνηύχετο, μετὰ δὲ τὴν προσευχὴν ἐκάθισαν τοῦ φαγεῖν, ἑσπέρας οὔσης βαθείας.

Φαγὼν οὖν ὁ Μέγας Ἀντώνιος τὸν ἕνα παξαμᾶν, ἄλλον οὐχ ἥψατο· ὁ δὲ γέρων, σχολαιότερον ἐσθίων, ἔτι εἶχε μικρὸν τοῦ παξαμᾶ, οὗ ἤρξατο. Ἐξεδέξατο οὖν ὁ Ἀντώνιος ἕως οὗ τελέσῃ· καὶ ὅτε ἐξεπλήρωσε, λέγει αὐτῷ· φάγε παππία, καὶ ἄλλον παξαμᾶν. λέγει αὐτῷ ὁ Παῦλος· ἐὰν σὺ ἐσθίῃς, κἀγώ· σοῦ δὲ μὴ ἐσθίοντος, οὐδὲ ἐγὼ

ἐσθίω· ἔφη ὁ Ἀντώνιος· ἐμοὶ ἐπαρκεῖ· Μοναχὸς γάρ εἰμι· ὁ δὲ Παῦλος, καὶ ἐμοί, ἔφη, ἀρκεῖ· κἀγὼ γὰρ Μοναχὸς θέλω γενέσθαι. Ἐγείρονται οὖν, καὶ ποιήσαντος τοῦ Ἀντωνίου δώδεκα προσευχὰς καὶ δώδεκα ψαλμούς, συμπροσηύχετο καὶ αὐτός· εἶτα καθεύδουσι μικρὸν μέχρι μεσονυκτίου· ἐν δὲ τῷ μεσονυκτίῳ ἐγερθέντες, ἄρχονται τοῦ ψάλλειν ἕως ἡμέρας. Ὡς οὖν εἶδε τὸν γέροντα ὁ Ἀντώνιος εἰς πάντα προθύμως αὐτῷ ἐπακολουθήσαντα, λέγει αὐτῷ· ἴδε, ἀδελφέ, ἐὰν δύνασαι καθ' ἡμέραν οὕτω, μένε μετ' ἐμοῦ· ἀπεκρίθη ὁ Παῦλος· ἐὰν πλεῖον τίποτε ἔχῃς μοι δεῖξαι, οὐκ οἶδα· ἐπεὶ ταῦτα ἃ εἶδον ποιοῦντά σε, ποιῶ κἀγὼ εὐχερῶς. Πληροφορηθεὶς οὖν εἰς αὐτὸν ἐν πᾶσιν ὁ μέγας, ὅτι τελείας ἐστὶ πάνυ ψυχῆς, ἄπλαστος ὢν καὶ ἀκέραιος, μετὰ μῆνας τινάς, τῆς τοῦ Θεοῦ χάριτος συνεργούσης, ποιεῖ αὐτῷ κελλίον ὁ Ἀντώνιος ὡς ἀπὸ σημείων τριῶν ἢ τεσσάρων τῆς ἑαυτοῦ κέλλης, καὶ λέγει αὐτῷ· ἰδού, δυνάμεως τοῦ Θεοῦ συνεργούσης σοι, γέγονας Μοναχός· μένε οὖν κατ' ἰδίαν λοιπόν, ἵνα καὶ πεῖραν λάβῃς δαιμόνων. Οἰκήσας οὖν καθ' ἑαυτὸν ὁ ἁπλοῦς Παῦλος ἐνιαυτὸν ἕνα, χαρίσματος ἠξιώθη κατὰ δαιμόνων καὶ νόσων παντοδαπῶν κατορθώσας εἰς ἄκρον τὴν τῆς ἀσκήσεως ἀρετήν.

Ἐν μιᾷ οὖν ἤχθη τις νεανίσκος πρὸς τὸν Μέγαν Ἀντώνιον, ἀρχικὸν ἔχων δαίμονα, ὅς καὶ αὐτὸν τὸν οὐρανὸν ἐδυσφήμει. Προσεσχηκὼς οὖν ὁ Ἀντώνιος τῷ νεανίσκῳ, λέγει τοῖς ἄγουσιν αὐτόν· οὐκ ἔστι τοῦτο ἐμὸν τὸ ἔργον· κατὰ γὰρ τοῦ τάγματος τούτου τῶν δαιμόνων τοῦ ἀρχικοῦ οὔπω ἠξιώθην χαρίσματος, ἀλλὰ τοῦτό ἐστι τὸ χάρισμα Παύλου τοῦ ἁπλοῦ. Ἀπελθὼν οὖν σὺν ἐκείνοις ὁ Ἀντώνιος εἰς τὸν Παῦλον, λέγει αὐτῷ· Ἀββᾶ Παῦλε, ἔκβαλε τὸν δαίμονα ἀπὸ τοῦ ἀνθρώπου, ἵνα ὑγιαίνων ἀπέλθῃ εἰς τὰ ἴδια καὶ δοξάσῃ τὸν Κύριον· λέγει αὐτῷ ὁ Παῦλος· σὺ γὰρ τί; ἀποκρίνεται ὁ Ἀντώνιος· οὐ σχολάζω ἐγώ· ἄλλο ἔχω ἔργον· καὶ καταλείψας ἐκεῖ τὸν παῖδα ὁ Μέγας Ἀντώνιος, ὑπέστρεφεν εἰς τὴν ἰδίαν κέλλαν.

Ἀναστὰς οὖν ὁ Παῦλος καὶ προσευξάμενος, προσεκαλέσατο τὸν δαιμονιῶντα καὶ λέγει· εἴρηκεν ὁ Ἀββᾶς Ἀντώνιος, ὅτι ἔξελθε ἀπὸ τοῦ ἀνθρώπου, ἵνα δοξάσῃ τὸν Κύριον· ὁ δὲ δαίμων μετὰ δυσφημίας ἔκραξεν· οὐκ ἐξέρχομαι, φαγόγηρε λῆρε. Λαβὼν οὖν ὁ Παῦλος τὴν μηλωτὴν αὐτοῦ, ἔτυπτεν αὐτὸν κατὰ τοῦ νώτου λέγων· ἔξελθε, εἴρηκεν ὁ Ἀββᾶς Ἀντώνιος· ὁ δὲ δαίμων ἐλοιδορεῖτο καὶ τὸν Ἀντώνιον μετὰ τοῦ Παύλου σφοδρότερον λέγων· οἱ πολιοφάγοι, οἱ ληθαργωμένοι, οἱ ἄπληστοι, οἱ μηδέποτε τοῖς ἰδίοις ἀρκούμενοι, τί κοινὸν ἔχετε μεθ' ἡμῶν; τί ἡμᾶς τυραννεῖτε; Τέλος λέγει αὐτῷ ὁ Παῦλος· οὐκ ἐκβαίνεις; ἰδοὺ ὑπάγω λέγω τῷ Χριστῷ, καὶ οὐαί σοι ἔχει ποιῆσαι. Προσεδυσφήμησε δὲ καὶ τὸν Κύριον ὁ ἀνήμερος δαίμων, κράζων οὐκ ἐξέρχομαι.

Ἐπὶ τούτῳ ὀργισθεὶς κατὰ τοῦ δαίμονος ὁ ἁπλοῦς Παῦλος, ἐξῆλθε τῆς ἑαυτοῦ κέλλης, σταθερᾶς μεσημβρίας οὔσης· (τὸ δὲ κατ' Αἴγυπτον καῦμα, μάλιστα τὸ κατ' ἐκείνους τοὺς τόπους γινόμενον, συγγενές ἐστι τάχα τῆς Βαβυλωνίας καμίνου). Στὰς οὖν ἐπὶ πέτρας ὡς στῦλος, προσηύξατο οὕτως εἰπών· σὺ βλέπεις, Ἰησοῦ Χριστέ, ὁ σταυρωθεὶς ἐπὶ Ποντίου Πιλάτου, ὅτι οὐ μὴ καταβῶ ἀπὸ τῆς πέτρας ταύτης, οὐ φάγω, οὐ πίω, ἕως οὗ ἀποθάνω, ἐὰν μή μου ἄρτι ἀκούσῃς καὶ ἐκβάλῃς τοῦτον τὸν δαίμονα ἀπὸ τοῦ ἀνθρώπου, καὶ ἐλεύθερον αὐτὸν ποιήσῃς ἀπὸ τοῦ πνεύματος τούτου τοῦ ἀκαθάρτου.

Ἔτι δὲ λαλοῦντος αὐτοῦ ταῦτα τὰ ῥήματα, ἀνέκραξεν ὁ δαίμων διὰ τοῦ ἀνθρώπου κάτωθεν πρὸ τῆς κέλλης· ὑ π ά γ ω, ὑ π ά γ ω· ἐξέρχομαι βίᾳ καὶ τυ-

ραννίδι ἐλαύνομαι· ἀναχωρῶ τοῦ ἀνθρώπου· οὐκέτι ἐγγίζω· τὸ ταπεινὸν καὶ ἁπλοῦν Παύλου ἐλαύνει με, καὶ ποῦ ἀπέλθω οὐκ οἶδα· καὶ παραχρῆμα ἐξῆλθε τὸ ἀκάθαρτον πνεῦμα καὶ μετεβλήθη εἰς δράκοντα μέγιστον ὡσεὶ πηχῶν ἑβδομήκοντα καὶ ἀπήει συρόμενος ὡς ἐπὶ τὴν ἐρυθρὰν θάλασσαν.

Τοῦτο δὲ τὸ ἔργον τοῦ ταπεινόφρονος καὶ ἁπλοῦ Παύλου, δι᾽ οὗ ἔδειξεν ὁ Θεὸς οἵας παρ᾽ αὐτῷ τιμῆς καὶ δόξης οἱ ἄπλαστοι καὶ ταπεινοὶ ἀξιοῦνται· ὃν γὰρ δαίμονα οὐδ᾽ ὁ Μέγας Ἀντώνιος ἐκβαλεῖν ἠδυνήθη, τοῦτον διὰ τῆς ἁπλότητος οὗτος καὶ τοῦ μετρίου φρονήματος ἐν βραχεῖ ἐφυγάδευσε· καὶ τοῦτο ἐνιαυτὸν ἕνα μόνον ἀσκήσας, ὡς πληρωθῆναι ἐπ᾽ αὐτῷ τὸ ρηθὲν ὑπὸ τοῦ Ἁγίου Πνεύματος· «ἐπὶ τίνα ἐπιβλέψω, λέγει Κύριος, ἀλλ᾽ ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;» Εἴωθε δὲ καὶ τὰ ταπεινότερα τῶν τῆς πονηρίας πνευμάτων ὑπὸ τῶν ἀρχικῶν ἀνθρώπων ἐν πίστει ἐκβάλλεσθαι· τὰ δὲ ἀρχικώτερα ὑπὸ τῶν ταπεινοτέρων ἀνδρῶν φυγαδεύεσθαι.

Ἑρμηνεία

Ο ΚΡΟΝΙΟΣ, ὁ μαθητὴς τοῦ μεγάλου Ἀντωνίου, μοῦ διηγήθη διὰ τὸν ὅσιον Παῦλον, τὸν ἐπονομασθέντα ἁπλόν, διὰ τὸ ἄκακον καὶ τὴν ὑπερβολικὴν ἁπλότητα τοῦ τρόπου τῆς ζωῆς του. Μοῦ ἔλεγε λοιπόν:

Ἦτο κάποιος χωρικός, ποὺ ἐλέγετο Παῦλος, γεωργὸς τὸ ἐπάγγελμα· οὗτος ὑπανδρεύθη μίαν γυναῖκα ὡραίαν, ἀλλὰ κακότροπον. Αὐτὴ ἡ γυναῖκα ἐμοιχεύετο καὶ ἐπὶ πολὺ χρονικὸν διάστημα δὲν τὸ εἶχεν ἀντιληφθῆ ὁ Παῦλος, λόγῳ τῆς ἀκεραιότητος τοῦ χαρακτῆρος του καὶ διότι δὲν ἔβαζε ποτὲ τὸ κακὸν εἰς τὸν νοῦν του.

Κάποτε ὅμως ὁ Παῦλος ἐγύρισεν ἀπὸ τὸν ἀγρὸν καὶ εἰσῆλθεν αἰφνιδιαστικῶς εἰς τὸ σπίτι του, ὅπου τὴν καταλαμβάνει ἐπ᾽ αὐτοφώρῳ νὰ μοιχεύεται. Μόλις εἶδε τοὺς ἁμαρτάνοντας, ἐχαμογέλασε μὲ ἀξιοπρέπειαν καὶ τοὺς λέγει:

— Μὴ ἀνησυχεῖτε· οὔτε καὶ μὲ ἐνδιαφέρει· μὰ τὸν Ἰησοῦν ἐγὼ παύω νὰ ζῶ πλέον μαζί της. Πήγαινε, ἔχε την, καθὼς καὶ τὰ παιδιά της καὶ ἐγὼ πηγαίνω, διὰ νὰ γίνω Μοναχός.

Πράγματι, χωρὶς νὰ εἴπῃ λέξιν εἰς οὐδένα, φεύγει, προσπερνᾷ τὰς ὀκτὼ Μονὰς καὶ φθάνει, τέλος, πρὸς τὸν Μακάριον Ἀντώνιον, τοῦ ὁποίου κτυπᾷ τὴν θύραν.

Ὁ Μέγας Ἀντώνιος βγαίνει ἀπὸ τὸ κελλὶ καὶ ἐρωτᾷ:

— Τί θέλεις;

— Θέλω νὰ γίνω μοναχός, ἀπαντᾷ ὁ Παῦλος.

— Ἑξῆντα χρόνων γέρων ἄνθρωπος — τοῦ λέγει ὁ Μ. Ἀντώνιος — δὲν εἶναι δυνατὸν νὰ γίνῃς ἐδῶ Μοναχός· πήγαινε, καλύτερα, σὲ κάποιο χωριό, νὰ ἐργάζεσαι καὶ νὰ ζήσῃς ἐργατικὴν ζωήν, εὐχαριστῶν τὸν Θεόν· δὲν εἶναι δυνατὸν νὰ ὑπομείνῃς τὰς στενοχωρίας τῆς ἐρήμου.

— Ὅ,τι μὲ διδάξῃς αὐτὸ θὰ κάνω, εἶπεν ὁ γέρων Παῦλος.

— Σοῦ εἶπα — τοῦ ἀπήντησε πάλιν ὁ Μ. Ἀντώνιος — ὅτι εἶσαι γέρων καὶ δὲν εἶναι δυνατὸν νὰ γίνῃς ἐδῶ Μοναχός. Ἂν λοιπὸν θέλῃς

νὰ μονάσῃς, νὰ εἰσέλθῃς εἰς ἕνα κοινόβιον, μὲ πολλοὺς ἀδελφούς, ποὺ θὰ ἠμπορέσουν νὰ ἀνεχθοῦν τὰς ἀδυναμίας σου· διότι ἐγὼ μένω ἐδῶ μόνος μου καὶ τρώγω κάθε πέντε ἡμέρας καὶ μένω πεινασμένος, χωρὶς νὰ χορταίνω.

Μὲ αὐτὰ καὶ παρόμοια λόγια προσεπάθει ὁ Μέγας Ἀντώνιος νὰ ἀπομακρύνῃ τὸν Παῦλον· ἐπειδὴ ὅμως ἐκεῖνος δὲν ὑπεχώρει, εἰσῆλθεν εἰς τὸ σπήλαιον ὁ Ἀντώνιος καὶ ἔκλεισε τὴν θύραν, χωρὶς νὰ ἐξέλθῃ, ἐπὶ τρεῖς ἡμέρας δι' αὐτόν· ἀλλὰ καὶ ὁ Παῦλος ἐκάθισεν εἰς τὴν θύραν καὶ ἐπερίμενε.

Κατὰ τὴν τετάρτην ἡμέραν ὁ Ἅγιος Ἀντώνιος, ἐξ αἰτίας κάποιας ἀνάγκης, ἤνοιξε καὶ ἐβγῆκεν ἀπὸ τὸ κελλί του. Μόλις τὸν εἶδε, τοῦ εἶπε:

— Φύγε ἀπ' ἐδῶ γέροντα, διατί μέ ἐνοχλεῖς; δὲν ἠμπορεῖς νὰ μείνῃς ἐδῶ.

— Εἶναι ἀδύνατον νὰ ὑπάγω ἀλλοῦ — ἀπήντησεν ὁ Παῦλος·— προτιμῶ ἢ νὰ μείνω ἐδῶ, ἢ νὰ ἀποθάνω.

Ἐν τῷ μεταξὺ ὁ Μ. Ἀντώνιος τὸν περιειργάσθη καλὰ - καλά, ἀπὸ ἐπάνω ἕως κάτω καὶ ἀφοῦ εἶδεν, ὅτι δὲν ἔχει μαζί του οὔτε ψωμί, οὔτε νερό, οὔτε τίποτε ἄλλο φαγώσιμον καὶ περιμένει ἤδη τέσσαρας ἡμέρας νηστικός, ἐφοβήθη μὴ τυχὸν ἀποθάνῃ καὶ βαρύνῃ τὴν ψυχήν του δι' ἐπίδειξιν ἀσπλαγχνίας πρὸς τὸν Παῦλον· δι' αὐτό, τέλος, τὸν ἐδέχθη μέσα εἰς τὸ κελλί του. Ἀμέσως ἔβρεξε βλαστοὺς φοινίκων καὶ τοῦ λέγει:

— Πάρε, νὰ πλέξῃς σχοινίον, ὅπως θὰ βλέπῃς ἐμένα.

Ὁ γέρων Παῦλος πλέκει συνεχῶς, μέχρι τῆς ἐνάτης ὥρας, δεκαπέντε ὀργυιάς, μὲ πάρα πολὺν κόπον. Ὅταν ὅμως εἶδε τὸ πλέξιμόν του ὁ Μέγας Ἀντώνιος, δὲν ηὐχαριστήθη· τὸν ἐπλησίασε καὶ τοῦ λέγει:

— Ἄσχημα τὸ ἔπλεξες· ξύλωσέ το τώρα, καὶ ξανάπλεξέ το ἀπὸ τὴν ἀρχή. (Τὸν διέταξε δὲ νὰ τὸ κάμῃ αὐτό, ἐνῷ ἦτο νηστικὸς τέσσαρας ἡμέρας, ὅπως σᾶς ἀφηγήθην, καὶ γέρων, διὰ νὰ δοκιμάσῃ τὴν καρτερικότητά του).

Ὁ γέρων Παῦλος τὸ ἐξήλωσε καὶ πάλιν ξανάπλεξε τοὺς ἰδίους βλαστοὺς πάρα πολὺ δύσκολα, ἐπειδή, ἀπὸ τὸ προηγούμενον πλέξιμο, εἶχαν ζαρώσει.

Ὅταν ὁ Ἀντώνιος εἶδεν, ὅτι ὁ γέρων Παῦλος οὔτε ἐγόγγυσεν, ἀπὸ μικροψυχίαν, οὔτε εἰς τὸ ἐλάχιστον ἠγανάκτησεν, ἀλλ' οὔτε κἂν ἐκατσούφιασε τὸ πρόσωπόν του, συνεκινήθη διὰ τὸν γέροντα. Ὅταν λοιπὸν ἔδυσεν ὁ ἥλιος, τοῦ λέγει:

— Παππούλη *, θέλεις νὰ φάγωμεν κανένα κομματάκι ψωμί;

— Ὅπως νομίζεις, Ἀββᾶ· ἀπήντησεν ὁ Παῦλος.

---

* Παππίας εἶναι ὑποκοριστικὸν τῆς λέξεως πάππας, ποὺ σημαίνει πατήρ. Δηλ. παππία=πατερούλη, παππούλη. Ἡ δι' ἑνὸς π γραφὴ τῆς λέξεως, ἤτοι πάπας, σημαίνει τὸν Ρώμης ἐπίσκοπον, λέγεται δὲ πάπας καὶ ὁ Πατριάρχης Ἀλεξανδρείας.

Ἡ ἀπάντησις αὐτὴ ἔκαμε τὸν Ἀντώνιον νὰ συμπαθήση περισσότερον τὸν Παῦλον, διότι δὲν ἔτρεξεν, ἀμέσως, μὲ τὴν ἀναγγελίαν τῆς τροφῆς, νὰ ἐκδηλώση τὴν ἐπιθυμίαν του, ἀλλὰ παρεχώρησεν εἰς αὐτὸν τὸ δικαίωμα. Τοῦ εἶπε λοιπόν:

— Βάλε τραπέζι.

Ὁ Παῦλος ἔκαμεν ὑπακοήν· ἔπειτα φέρει ὁ Ἀντώνιος εἰς τὸ τραπέζι τέσσαρα παξιμάδια, τριάντα γραμμάρια, περίπου, τὸ καθένα *. Ἀπὸ τὰ παξιμάδια αὐτὰ βρέχει διὰ τὸν ἑαυτόν του τὸ ἕνα καὶ διὰ τὸν Παῦλον τὰ τρία. Ἐν συνεχείᾳ ὁ Μέγας Ἀντώνιος ἤρχισε νὰ λέγῃ ψαλμόν, τὸν ὁποῖον ἔψαλλε· τὸν ἔψαλλε δὲ δώδεκα φορὰς καὶ δώδεκα φορὰς προσηυχήθη διὰ νὰ δοκιμάση καὶ εἰς αὐτὸ ἀκόμη τὸ σημεῖον τὸν Παῦλον· ἐκεῖνος ὅμως μετὰ προθυμίας προσηύχετο μαζί του. Ἀφοῦ ἐτελείωσαν τὴν προσευχήν, ἐκάθισαν νὰ φάγουν, ἐνῷ εἶχε πλέον νυκτώσει καλά.

Ἀφοῦ λοιπὸν ὁ Μέγας Ἀντώνιος ἔφαγε τὸ ἕνα παξιμάδι, δὲν ἤγγισε δεύτερον· ὁ δὲ γέρων Παῦλος, τρώγων μετὰ βραδύτητος, εἶχεν ἀκόμη ὀλίγον ἀπὸ τὸ πρῶτον παξιμάδι ποὺ ἤρχισεν. Ὁ Μέγας Ἀντώνιος τὸν ἐπερίμενε μέχρις ὅτου τελειώση. Ἀφοῦ ἐτελείωσε τοῦ εἶπε:

— Παππούλη, φάγε καὶ ἄλλο παξιμάδι.

—Ἐὰν θὰ φάγης σὺ θὰ φάγω καὶ ἐγώ, ἀπήντησεν ὁ Παῦλος· ὅταν ὅμως δὲν τρώγης σὺ οὔτε καὶ ἐγὼ θὰ τρώγω.

— Μὰ εἰς ἐμὲ εἶναι ἀρκετόν, διότι εἶμαι Μοναχός, ἀντέτεινεν ὁ Μ. Ἀντώνιος.

— Καὶ δι' ἐμὲ εἶναι ἀρκετόν, ἀπήντησεν ὁ Παῦλος, διότι καὶ ἐγὼ θέλω νὰ γίνω Μοναχός.

Σηκώνονται λοιπὸν ἀπὸ τὸ τραπέζι καὶ ὁ Μέγας Ἀντώνιος ἀπήγγειλε δώδεκα προσευχὰς καὶ δώδεκα ψαλμούς. Μαζὶ μὲ τὸν Μέγαν Ἀντώνιον συμπροσηύχετο καὶ ὁ Παῦλος. Ἔπειτα ἐκοιμήθησαν ὀλίγον, ἕως τὰ μεσάνυκτα· κατὰ τὸ μεσονύκτιον ἐξύπνησαν καὶ ἀρχίζουν νὰ ψάλλουν, μέχρι ποὺ ἐξημέρωσεν.

Ὅταν λοιπὸν ὁ Μέγας Ἀντώνιος εἶδεν, ὅτι ὁ γέρων τὸν ἠκολούθησε μὲ προθυμίαν εἰς ὅλας τὰς ἀσκήσεις, τοῦ λέγει:

— Πρόσεξε, ἀδελφέ· ἐὰν ἠμπορῇς νὰ ἔχῃς καθημερινῶς αὐτὴν τὴν ζωήν, μεῖνε μαζί μου.

—Ἐὰν ἔχῃς νὰ μοῦ παρουσιάσῃς τίποτε περισσότερα ἀπὸ αὐτά, δὲν γνωρίζω, ἀπήντησεν ὁ Παῦλος· ἐπειδὴ αὐτὰ ποὺ εἶδα ὅτι κάνεις, τὰ ἐκτελῶ καὶ ἐγὼ εὔκολα.

Ἀφοῦ λοιπὸν ἐβεβαιώθη ὁ Μέγας Ἀντώνιος δι' ὅλων αὐτῶν ὅτι ὄντως ὁ Παῦλος εἶχε ψυχὴν πάρα πολὺ τελείαν, ὅτι ὁ χαρακτήρ του εἶναι ἀκέραιος καὶ δὲν προσποιεῖται, δι' αὐτὸ μετὰ μερικοὺς μῆνας, μὲ τὴν

---

* Ἡ οὐγγία εἶναι μέτρον βάρους καὶ ἰσοδυναμεῖ μὲ δέκα δράμια ἤτοι 32 γραμμάρια περίπου.

Χάριν τοῦ Θεοῦ, τοῦ κτίζει ἕνα κελλί, τρία ἢ τέσσαρα σημεῖα μακριὰ ἀπὸ τὸ ἰδικόν του, καὶ τοῦ λέγει:

—Ἰδού, ὅτι μὲ τὴν δύναμιν τοῦ Θεοῦ ἔγινες Μοναχός. Ἀπ' ἐδῶ καὶ πέραν μένε μόνος σου, διὰ νὰ γνωρίσῃς καὶ τοὺς δαίμονας.

Πράγματι ὁ ἁπλοῦς Παῦλος κατώκησε μόνος του ἕνα χρόνον, ἔφθασεν εἰς τὰ ἀκρότατα ὅρια τῆς ἀσκητικῆς ἀρετῆς καὶ ὁ Θεὸς τὸν ἠξίωσε τοῦ χαρίσματος νὰ ἀποδιώκῃ τοὺς δαίμονας καὶ νὰ θεραπεύῃ τὰς διαφόρους ἀσθενείας.

Μίαν ἡμέραν λοιπὸν ἔφεραν εἰς τὸν Μέγαν Ἀντώνιον ἕνα νέον, ποὺ εἶχε μέσα του ἰσχυρὸν δαιμόνιον (ἄρχοντα τῶν δαιμόνων), τόσον ἀναίσχυντον, ποὺ καὶ αὐτὸν τὸν οὐρανὸν ἐβλασφήμει.

Ἀφοῦ ὁ Μέγας Ἀντώνιος εἶδε καλὰ - καλὰ τὸν νέον, λέγει εἰς αὐτούς, ποὺ τὸν συνώδευαν:

— Αὐτὸ δὲν εἶναι ἰδική μου ἐργασία· διότι δὲν ἔχω ἀκόμη λάβει τὸ χάρισμα ἐναντίον τοῦ τάγματος αὐτοῦ τῶν δαιμόνων· αὐτὸ τὸ χάρισμα τὸ ἔχει ὁ Παῦλος ὁ ἁπλοῦς.

Μετέβη λοιπόν, μαζὶ μὲ τὸν δαιμονιζόμενον καὶ τὴν συνοδείαν του, καὶ ὁ Μέγας Ἀντώνιος εἰς τὸ κελλὶ τοῦ ἁπλοῦ Παύλου καὶ τοῦ λέγει:

—Ἀββᾶ Παῦλε, βγάλε τὸν δαίμονα ἀπὸ τὸν ἄνθρωπον αὐτόν, διὰ νὰ ἐπιστρέψῃ εἰς τὸ σπίτι του ὑγιὴς καὶ νὰ δοξάζῃ τὸν Κύριον.

— Σύ, διατί δὲν τὸν ἀποδιώκεις; ἠρώτησεν ὁ Παῦλος.

— Δὲν εὐκαιρῶ, ἀπήντησεν ὁ Μέγας Ἀντώνιος, διότι ἔχω ἄλλην ἐργασίαν.

Καὶ ἀφοῦ ἄφησεν ἐκεῖ τὸν νέον ὁ Μέγας Ἀντώνιος ἐπέστρεψεν εἰς τὸ κελλί του.

Ὁ Παῦλος ἐσηκώθη ἀμέσως καί, ἀφοῦ προσηυχήθη, ἐκάλεσε τὸν δαιμονισμένον καὶ λέγει:

—Ὁ Ἀββᾶς Ἀντώνιος εἶπε, νὰ ἐξέλθῃς ἀπὸ τὸν ἄνθρωπον αὐτόν, διὰ νὰ δοξάσῃ τὸν Κύριον.

— Δὲν ἐξέρχομαι, ξεμωραμένε γέρο, ἔκραξε μὲ ὀργὴν ὁ δαίμων.

Τότε ἐπῆρεν ὁ Παῦλος τὴν κάπαν του καὶ ἐκτύπα τὸν δαιμονισμένον εἰς τὰ νῶτα του λέγων:

— Νὰ ἐξέλθῃς, διέταξεν ὁ Μέγας Ἀντώνιος.

Εἰς ἀπάντησιν ὁ δαίμων ὕβριζε περισσότερον τὸν Ἀντώνιον καὶ τὸν Παῦλον·

— Παλιόγεροι, κοιμισμένοι, ἀχόρταγοι, ποὺ ποτὲ δὲν ἀρκεῖσθε εἰς τὰ ἰδικά σας, τί γυρεύετε μαζί μας; τί μᾶς τυραννεῖτε;

Ὁ Παῦλος λέγει τέλος πρὸς τὸν δαίμονα·

— Δὲν βγαίνεις; Νά, πηγαίνω καὶ ἐγὼ νὰ τὸ ἀναφέρω εἰς τὸν Χριστὸν καὶ ἀλλοίμονόν σου τί ἔχει νὰ σοῦ κάμῃ.

Ἀλλὰ καὶ αὐτὸν ἀκόμη τὸν Κύριον ὕβρισεν ὁ ἄγριος δαίμων, κραυγάζων· δὲν ἐξέρχομαι.

Μόλις ἤκουσε τὴν κατὰ τοῦ Κυρίου βλασφημίαν τοῦ δαίμονος ὁ

ἁπλοῦς Παῦλος ὠργίσθη, καὶ ἐβγῆκεν ἀπὸ τὸ κελλί του τὸ καταμεσήμερον. (Ὡς γνωστὸν δὲ ἡ ζέστη τῆς Αἰγύπτου, πρὸ παντὸς εἰς τὸ μέρος ποὺ ἦτο ὁ ἁπλοῦς Παῦλος, εἶναι τόσον ἀφόρητος, ὥστε περίπου νὰ ἐνθυμίζῃ τὴν κάμινον εἰς τὴν Βαβυλῶνα). Ἐστάθηκε λοιπὸν ὡς στῦλος, ἐπάνω εἰς ἕνα βράχον ὁ ἁπλοῦς Παῦλος καὶ προσηυχήθη μὲ αὐτὰ τὰ λόγια· «σὺ βλέπεις, Ἰησοῦ Χριστέ, ποὺ ἐσταυρώθης ἐπὶ Ποντίου Πιλάτου, ὅτι δὲν πρόκειται νὰ κατεβῶ ἀπὸ αὐτὸν τὸν βράχον, οὔτε θὰ φάγω, οὔτε θὰ πίω, μέχρι νὰ ἀποθάνω, ἐὰν δὲν μὲ ἀκούσῃς τώρα καὶ δὲν ἀποδιώξῃς τὸν δαίμονα ἀπὸ τὸν ἄνθρωπον, καὶ δὲν ἀπελευθερώσῃς αὐτὸν τὸν ἄνθρωπον ἀπὸ τὸ ἀκάθαρτον τοῦτο πνεῦμα».

Ἐνῷ ἀκόμη ἐξηκολούθει νὰ λέγῃ αὐτοὺς τοὺς λόγους ὁ ἁπλοῦς Παῦλος, ἀνέκραξεν ὁ δαίμων, μὲ τὸ στόμα τοῦ δαιμονιζομένου ἀνθρώπου, ἐμπρὸς εἰς τὸ κελλί:

— Πηγαίνω, πηγαίνω· ἐξέρχομαι βιαίως καὶ διώκομαι ὑπὸ ἀνωτέρας ἐξουσίας· φεύγω ἀπὸ τὸν ἄνθρωπον· δὲν τὸν πλησιάζω πλέον. Μὲ ἐκδιώκει ἡ ταπείνωσις καὶ ἡ ἁπλότης τοῦ Παύλου καὶ δὲν γνωρίζω ποῦ νὰ ὑπάγω.

Ἀμέσως ἐξῆλθεν ἀπὸ τὸν ἄνθρωπον τὸ ἀκάθαρτον πνεῦμα καὶ μετεβλήθη εἰς ἕνα μέγιστον δράκοντα, ἕως ἑβδομήντα πήχεις, καὶ ἔφυγε συρόμενος πρὸς τὴν Ἐρυθρὰν θάλασσαν.

Αὐτὸ εἶναι τὸ ἔργον τοῦ ταπεινόφρονος καὶ ἁπλοῦ Παύλου, μὲ τὸ ὁποῖον ἔδειξεν ὁ Θεὸς ποίας δόξης καὶ τιμῆς ἀξιώνονται ἀπὸ Αὐτὸν οἱ ἁπλοὶ καὶ ταπεινοί. Τὸν δαίμονα δηλαδή, τὸν ὁποῖον οὔτε ὁ Μέγας Ἀντώνιος ἠδυνήθη νὰ ἀποδιώξῃ, ὁ ἁπλοῦς Παῦλος τὸν ἐφυγάδευσε, πολὺ σύντομα, μὲ τὴν ἁπλότητά του καὶ τὴν μετριοφροσύνην του. Καὶ τὸ κατόρθωμα αὐτὸ ἐπετέλεσεν ὁ ἁπλοῦς Παῦλος μετὰ ἀπὸ ἀσκητικὴν ζωὴν ἑνὸς μόλις ἔτους, διὰ νὰ ἐφαρμοσθῇ, εἰς τὴν περίπτωσιν αὐτήν, αὐτὸ ποὺ εἶπε τὸ Ἅγιον Πνεῦμα· «εἰς ποῖον νὰ ἐπιβλέψω, λέγει ὁ Κύριος; παρὰ εἰς τὸν ταπεινὸν καὶ ἥσυχον, ποὺ τρέμει τοὺς λόγους μου;» (Ἡσαΐας ξστ', 2).

Συνηθίζουν δὲ τὰ ὑπουλότερα ἀπὸ τὰ πονηρὰ πνεύματα νὰ ἐκβάλλωνται ἀπὸ προχωρημένους εἰς ἀρετὴν ἀνθρώπους, ἐνῷ τὰ τυραννικώτερα πονηρὰ πνεύματα νὰ φυγαδεύωνται ἀπὸ τοὺς ταπεινοτέρους.

ΣΤ'. Παλλαδίου

ΤΩ Ἁγίῳ Παχωμίῳ εὐχὴ ἦν συνεχὴς τὸ γενέσθαι ἐπ' αὐτῷ τὸ θέλημα τοῦ Θεοῦ· καὶ δὴ μετὰ χρόνον τινὰ ἀγρυπνοῦντι αὐτῷ, καὶ τὸ αὐτὸ προσευχομένῳ, ὤφθη αὐτῷ Ἄγγελος Κυρίου καὶ εἶπε· θέλημα τοῦ Θεοῦ ἐστι τὸ διακονεῖν αὐτῷ καὶ ἀποκαταλλάσσειν τῷ Θεῷ τὸ τῶν ἀνθρώπων γένος. Λοιπὸν οὖν δέχου μετὰ σεαυτοῦ τοὺς ἐκ μετανοίας τῷ Θεῷ προσερχομένους καὶ κατὰ τὸν τύπον, ὃν δίδωμί σοι, οὕτως αὐτοῖς νομοθέτησον. Καὶ ταῦτα εἰπών, ἐπέδωκεν αὐτῷ δέλτον χαλκῆν, ἐν ᾗ ἐγέγραπτο ταῦτα· συγχωρήσεις ἑκάστῳ κατὰ δύναμιν φαγεῖν καὶ πιεῖν· καὶ μήτε νηστεῦσαι κωλύσῃς, μήτε φαγεῖν· οὕτω μέντοι τὰ ἰσχυρὰ ἔργα τοῖς ἰσχυροτέροις καὶ

ἐσθίουσιν ἐγχείριζε, τὰ ἄτονα δὲ τοῖς ἀσκητικωτέροις καὶ ἀσθενεστέροις· ποίησον δὲ κέλλας διαφόρους ἐν τῇ αὐτῇ μονῇ, καὶ τρεῖς κατὰ κέλλαν μενέτωσαν· ἡ δὲ τροφὴ πάντων ὑπὸ ἕνα οἶκον γενέσθω· καθευδέτωσαν δὲ μὴ ἀνακλινόμενοι, ἀλλὰ θρόνους οἰκοδομητοὺς ὑπτιωτέρους πεποιηκότες, καὶ ἐνθέντες ἐν αὐτοῖς τὰ στρώματα αὐτῶν, οὕτω καθευδέτωσαν.

Ξένος δὲ ἄλλου Μοναστηρίου ἐὰν ἔλθῃ ἄλλον ἔχων τύπον, μὴ συμφάγῃ τούτοις, μὴ συμπίῃ, μὴ συνεισέλθῃ εἰς τὴν μονήν, ἐκτὸς εἰ μὴ εἰς ὁδὸν εὑρεθῇ· τὸν μέντοι ἐλθόντα ὥς τε συμμεῖναι αὐτοῖς εἰς τὸ διηνεκές, μέχρι τριετίας εἰς τὸν ἀγῶνα οὐ δέξῃ, ἀλλ' ἐργατικώτερα ἔργα ποιήσας, οὕτως εἰς τὸ στάδιον ἐμβαινέτω, μετὰ τὴν τριετίαν. Φορείτωσαν δὲ κουκούλια ἄμαλλα ἴσα παιδίοις, ἐν οἷς καὶ διὰ πορφυροῦ σταυροῦ ἐγχαραττέσθω· καὶ τούτοις τοῖς κουκουλίοις ἐν τῷ ἐσθίειν τὰς κεφαλὰς καλυπτέτωσαν ἵνα μὴ ἀδελφὸς ἀδελφὸν ἴδῃ μασώμενον· οὐκ ἔστι λαλῆσαι ἐσθίοντα, οὐδὲ ἐκτὸς τοῦ πίνακος καὶ τῆς τραπέζης ἀλλαχοῦ προσέχειν τῷ ὀφθαλμῷ. Ἐτύπωσε δὲ καὶ ποιεῖν αὐτοὺς διὰ πάσης τῆς ἡμέρας εὐχὰς δώδεκα καὶ ἐν τῷ λυχνικῷ δώδεκα· καὶ ἐν ταῖς παννυχίσι δώδεκα· καὶ ἐν τῇ ἐνάτῃ ὥρᾳ τρεῖς· καὶ καθ' ἑκάστην εὐχὴν προσᾴδειν ψαλμόν.

Ἀντιλέγοντος δὲ τοῦ μεγάλου Παχωμίου τῷ Ἀγγέλῳ, καὶ λέγοντος ὅτι ὀλίγαι εἰσὶν αἱ εὐχαί, εἶπε πρὸς αὐτὸν ὁ Ἄγγελος, ὅτι ταύτας διετύπωσα, ἵνα φθάνωσι καὶ οἱ μικροὶ καὶ μὴ λυπῶνται· οἱ δὲ τέλειοι νομοθεσίας χρείαν οὐκ ἔχουσι· καθ' ἑαυτοὺς γὰρ ἐν ταῖς κέλλαις ὄντες, ὅλην τὴν ζωὴν αὐτῶν τῇ τοῦ Θεοῦ θεωρίᾳ προσαφιέρωσαν. Τούτοις δ' ἐνομοθέτησα, ὅσοι οὐκ ἔχουσι νοῦν ἐπιγνώμονα, ἵνα κἂν ὡς οἰκέται καταφρονηταὶ τῷ φόβῳ τοῦ δεσπότου τὴν σύναξιν πληροῦντες, διατεθῶσιν ἐν παρρησίᾳ.

Ταῦτα διαταξάμενος ὁ Ἄγγελος, καὶ πληρώσας τὴν διακονίαν, ἀπῆλθε. Τὰ οὖν κρατήσαντα τὸν τύπον τοῦτον μοναστήρια εἰσὶν ἑπτά, συντείνοντα εἰς ἑπτακισχιλίους ἄνδρας, ἐργάζονται δὲ πᾶσαν τέχνην· καὶ ἐκ τῆς ἐργασίας αὐτοί τε διοικοῦνται, καὶ τὸ τῶν γυναικῶν Μοναστήριον, ὃ πέραν τοῦ Νείλου ἐστίν, ἐν ᾧ εἰσιν ἀδελφαὶ τετρακόσιαι· πολλάκις δὲ ἐκ τῶν περισσευμάτων χορηγοῦσι καὶ τοῖς πενομένοις καὶ τοῖς ἐν φυλακαῖς.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ ΠΑΧΩΜΙΟΣ ηὔχετο συνεχῶς καὶ προσηύχετο νὰ γίνεται εἰς αὐτὸν τὸ θέλημα τοῦ Θεοῦ. Κάποτε λοιπόν, μετὰ ἀπὸ καιρόν, καθὼς ἠγρύπνει καὶ προσηύχετο διὰ τὸ ἴδιον πρᾶγμα, ἐνεφανίσθη ἐνώπιόν του Ἄγγελος Κυρίου καὶ τοῦ εἶπε:

— Θέλημα τοῦ Θεοῦ εἶναι νὰ τὸν ὑπηρετῇς καὶ νὰ συμφιλιώνῃς μὲ τὸν Θεὸν τὸ ἀνθρώπινον γένος.

Ἀπ' ἐδῶ καὶ εἰς τὸ ἑξῆς λοιπὸν νὰ δέχεσαι κοντά σου αὐτούς, ποὺ ἐπιστρέφουν, κατόπιν μετανοίας, εἰς τὸν Θεόν, καί, σύμφωνα μὲ τὸν τύπον, ποὺ θὰ σοῦ δώσω ἀμέσως τώρα, νὰ νομοθετήσῃς εἰς αὐτοὺς πῶς πρέπει νὰ ζοῦν ὡς μοναχοί. Ἀφοῦ εἶπεν αὐτά, τοῦ παρέδωσεν ὁ Ἄγγελος μίαν χαλκίνην πλάκα ἐπὶ τῆς ὁποίας εἶχον γραφῇ τὰ ἑξῆς:

Εἰς τὸν καθ' ἕνα, ποὺ θὰ ἔρχεται ἐδῶ, θὰ τοῦ ἐπιτρέπῃς νὰ φάγῃ

καὶ νὰ πίῃ, κατὰ δύναμιν. Καὶ νὰ μὴ ἐμποδίσῃς κανένα νὰ νηστεύσῃ ἢ νὰ φάγῃ. Τὰς βαρείας ὅμως καὶ σκληρὰς ἐργασίας νὰ ἀναθέτῃς εἰς τοὺς εὐρωστοτέρους καὶ αὐτούς, ποὺ τρώγουν, τὰς δὲ ἐλαφροτέρας εἰς τοὺς ἀσκητικωτέρους καὶ ἀσθενεστέρους. Νὰ κατασκευάσῃς διάφορα κελλία εἰς τὸ ἴδιον Μοναστήρι καὶ νὰ παραμένουν εἰς τὸ ἴδιον κελλὶ ἀνὰ τρεῖς Μοναχοί. Ὅλοι νὰ τρώγουν εἰς τὴν ἰδίαν τράπεζαν. Νὰ κοιμοῦνται, χωρὶς νὰ ξαπλώνουν τελείως τὸ σῶμα των· νὰ κτίσουν λίθινα στασίδια, ποὺ ἡ ράχη των νὰ κλίνῃ ὀλίγον πρὸς τὰ ὀπίσω καὶ ἀφοῦ βάλλουν εἰς αὐτὰ τὰ στρώματά των, ἔτσι νὰ κοιμῶνται.

Ἐὰν ἔλθῃ ἕνας ξένος Μοναχός, ἀπὸ ἄλλο Μοναστήριον, ποὺ ἀκολουθεῖ ἄλλον τύπον μοναχικῆς ζωῆς, νὰ μὴ φάγῃ μαζί των, οὔτε νὰ πίῃ μαζί των, νὰ μὴ εἰσέλθῃ μαζὶ εἰς τὸ ἐσωτερικὸν τῆς Μονῆς, ἐκτὸς ἐὰν εὑρεθῇ εἰς τὸν δρόμον. Ἐκεῖνον ὅμως ποὺ θὰ ἔλθῃ διὰ νὰ παραμείνῃ μονίμως μετὰ τῶν ἀδελφῶν, δὲν θὰ τὸν δεχθῇς ὁριστικῶς εἰς τὸν Μοναχικὸν ἀγῶνα, ἐπὶ μίαν τριετίαν· ἀλλ᾽ ἀφοῦ ἐκτελέσῃ κοπιωδέστατα ἔργα, τότε μόνον καὶ μετὰ ἀπὸ τριετίαν, ἂς εἰσέλθῃ εἰς τὸ στάδιον τῶν μοναχικῶν ἀγώνων. Νὰ φοροῦν δὲ πάνινα κουκούλια, ὅμοια μὲ παιδικά, εἰς τὰ ὁποῖα νὰ χαράσσεται κόκκινος σταυρός. Μὲ τὰ κουκούλια αὐτὰ νὰ καλύπτουν τὰς κεφαλάς των, ὅταν τρώγουν, διὰ νὰ μὴ βλέπῃ ὁ ἕνας μοναχὸς τὸν ἄλλον ὅταν θὰ μασᾷ. Τὴν ὥραν ποὺ τρώγουν δὲν ἐπιτρέπεται νὰ ὁμιλοῦν καὶ τὰ μάτια των νὰ μὴ προσέχουν πουθενὰ ἀλλοῦ, ἐκτὸς ἀπὸ τὸ τραπέζι καὶ τὸ πιάτο τους. Ἐθέσπισε δὲ καὶ τυπικὴν διάταξιν νὰ κάνουν οἱ μοναχοὶ καθημερινῶς, κατὰ τὸ διάστημα τῆς ἡμέρας, δώδεκα προσευχὰς καὶ εἰς τὸν ἑσπερινὸν πάλιν δώδεκα· καὶ εἰς τὰς ἀγρυπνίας δώδεκα καὶ εἰς τὴν ἐνάτην ὥραν τρεῖς· εἰς ἑκάστην δὲ εὐχὴν νὰ ψάλλουν καὶ ἕνα ψαλμόν.

Εἰς αὐτὰ ὁ μέγας Παχώμιος προέβαλεν ἀντίρρησιν εἰς τὸν Ἄγγελον καὶ τοῦ εἶπεν ὅτι αἱ εὐχαὶ αὐταὶ εἶναι ὀλίγαι. Τότε ὁ Ἄγγελος τοῦ ἀπήντησε·

— Καθιέρωσα τόσας εὐχάς, διὰ νὰ προφθάνουν νὰ τὰς ἐκτελοῦν καὶ οἱ μικροὶ καὶ νὰ μὴ λυπῶνται· οἱ τέλειοι πλέον μοναχοὶ δὲν ἔχουν ἀνάγκην ἀπὸ νομοθεσίαν· διότι παραμένοντες μόνοι των εἰς τὰ κελλία, ἀφιέρωσαν τελείως τὴν ζωήν των εἰς τὴν θεωρίαν τοῦ Θεοῦ. Αὐτὰ δὲ τὰ ἐνομοθέτησα δι᾽ ὅσους δὲν ἀπέκτησαν ἀκόμη νοῦν ἱκανὸν νὰ ἀντιλαμβάνωνται ἀφ᾽ ἑαυτῶν τὰς ὑψηλὰς ἐννοίας ὥστε, τοὐλάχιστον ὡς ὑπηρέται ἀνυπάκοοι, ἀπὸ τὸν φόβον τοῦ δεσπότου νὰ προσέρχωνται εἰς τὴν σύναξιν διὰ τὴν ἀκολουθίαν, ἕως ὅτου ἐκδηλώσουν φανερῶς τὴν διάθεσίν των.

Ἀφοῦ διέταξεν αὐτὰ ὁ Ἄγγελος καὶ ἐτελείωσε τὴν ὑπηρεσίαν του ἀνεχώρησε. Τὰ δὲ Μοναστήρια, ποὺ ἐφήρμοσαν τὸν τύπον αὐτὸν τῆς μοναχικῆς πολιτείας εἶναι ἑπτὰ καὶ συγκεντρώνουν ἑπτὰ χιλιάδας μοναχούς, ποὺ ἐργάζονται ὅλας τὰς τέχνας. Ἀπὸ τὸ προϊὸν δὲ τῆς ἐργασίας των ἐξοικονομοῦνται καὶ οἱ ἴδιοι καὶ τὸ Μοναστήριον τῶν Γυναικῶν, ποὺ εἶναι πέραν ἀπὸ τὸν Νεῖλον καὶ εἰς τὸ ὁποῖον μονάζουν τετρακόσιαι

Μοναχαί. Πολλάκις δὲ ἀπὸ τὰ περισσεύματα προσφέρουν βοηθήματα καὶ εἰς τοὺς πτωχοὺς καὶ εἰς τοὺς φυλακισμένους.

Ζ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, εἰ βούλει γενέσθαι Μοναχός, θὲς πρῶτον ἐν τῷ λογισμῷ σου ὅτι ἤδη μετέστης τοῦ βίου τούτου, καὶ ἥγησαι τὸν Κόσμον τοῦτον, καὶ τὴν δόξαν αὐτοῦ, ὥς περ σκηνὴν καταλελυμένην· εἰ μὴ γὰρ οὕτω παρασκευάσεις σεαυτόν, οὐ δυνήσῃ κατὰ Μοναχοὺς ζῆσαι, καὶ νικῆσαι τὰ πάθη καὶ τὰς κοσμικὰς ἐπιθυμίας, αἵτινες τοὺς ἀνθρώπους κατάγουσιν εἰς ἀπώλειαν· ἀψευδὴς γὰρ ὁ εἰπών· «εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· ὁ γὰρ θέλων τὴν ψυχὴν αὐτοῦ εὑρεῖν, ἀπολέσει αὐτήν· ὁ δὲ ἀπολέσας αὐτὴν ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν». Γίνωσκε οὖν ὅτι τῷ προσερχομένῳ τῷ Κυρίῳ ταῦτα συμβαίνει· πειρασμοί, θλίψεις, κόπος, ἀκηδία, γυμνότης, στενοχωρία, ἐξουδένωσις, καὶ τὰ ὁμοίως ἔχοντα· ἐν τούτοις γὰρ δοκιμάζεται ἡ ὑπομονὴ τοῦ ἀνθρώπου καὶ ὁ πόθος ὃν ἔχει πρὸς τὸν Θεὸν φανεροῦται. Ὁ οὖν ἑαυτὸν ἐκδοὺς ἐν ὅλῃ τῇ καρδίᾳ τῇ κυβερνήσει τοῦ κατὰ Θεὸν αὐτοῦ προεστῶτος, ἐν τούτοις πᾶσιν ὑπερνικᾷ· μόνην γὰρ τὴν τελείαν πρόθεσιν ἀπαιτεῖ παρ' ἡμῶν ὁ Θεός, καὶ αὐτὸς ἡμῖν ἐπιχορηγεῖ τὴν ἰσχὺν καὶ τὸ νῖκος δωρεῖται, καθὼς γέγραπται· «ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν».

Ταῦτα οὖν σοι προεῖπον, ἵνα μήποτε εἰσελθὼν καὶ τούτοις περιτυχών, μεταμεληθεὶς εἴπῃς, ὅτι οὐκ ᾔδειν ὡς τοιαῦτά μοι συμβήσεται· ἰδοὺ γὰρ προέγνωσταί σοι ἃ μέλλει σοι ἀπαντᾶν, ἵνα καὶ σὺ τὸν λογισμόν σου προκαταρτίσῃς· οὐ γάρ ἐστι κόπος βαλεῖν θεμέλιον, ἀλλὰ τὸ ἐκτελέσαι τὴν οἰκοδομήν· ὅσον γὰρ ὑψοῦται ἡ οἰκοδομή, τοσοῦτον πλείονα κόπον τῷ οἰκοδομοῦντι παρέχει ἄχρι τῆς τελειώσεως τοῦ ἔργου. Ἄκουσον τῆς σωτηριώδους φωνῆς λεγούσης· «τὶς ἐξ ἡμῶν θέλων πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν; ἵνα μήποτε θέντος αὐτοῦ θεμέλιον καὶ μὴ ἰσχύσαντος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται αὐτῷ ἐμπαίζειν λέγοντες· «οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι». Ὁ μὲν γὰρ πόλεμος τῶν στρατιωτῶν βραχύς· τοῦ δὲ Μοναχοῦ, ἄχρι τοῦ ἀποδημῆσαι αὐτὸν πρὸς τὸν Κύριον.

Διὰ τοῦτο χρὴ ἐνάρξασθαι τῆς ἐργασίας μετὰ πάσης σπουδῆς, καὶ ὑπομονῆς, καὶ νήψεως. Εἰ γὰρ ἐπιχειρήσεις, ἀγαπητέ, σφάξαι λέοντα, ἑδραίως ἐπιλαβοῦ, μήποτε συντρίψῃ τὰ ὀστᾶ σου ὡς ἀγγεῖον ὀστράκινον· καὶ εἰ ῥίψεις ἑαυτὸν εἰς τὴν θάλασσαν, μὴ ὀλιγοψυχήσῃς, ἄχρις οὗ ἐξέλθῃς εἰς τὴν ξηράν, ἵνα μὴ κατέλθῃς εἰς τὸν βυθὸν ὡσεὶ λίθος. Μὴ οὖν σήμερον πρὸς θύραις ὢν καὶ ἐπερωτώμενος, εἴπῃς πάντα ὑπομένω, καὶ αὔριον ἔργοις παραιτήσῃ. Οἱ γὰρ Ἄγγελοι τοῦ Θεοῦ ἀοράτως παρίστανται, καὶ ἀκούουσι πάντα τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων σου. Βλέπε, ἀγαπητέ, ὅτι οὐδείς σε βιάζεται, ἀλλ' ἑκουσίως καὶ ἀληθινῶς συντάσσῃ καὶ εἰς τὸ ἑξῆς μὴ ψεύσῃ τὰς πρὸς Θεὸν συνθήκας, ὅτι αὐτὸς «ἀπολεῖ πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος».

Ἀγαπητέ, ἐὰν βάλῃς καλὴν ἀρχήν, διατελέσεις καὶ τὸ γῆράς σου εὐαρέστως καὶ ἔσῃ ὥς περ φωστὴρ φωτίζων πολλοὺς ἐν τῇ ὁδῷ τοῦ Κυρίου. Θὲς οὖν θεμέλιον ἰσχυρόν, ἵνα ἀναβῇ τὸ ἔργον εἰς ὕψος. Εἰ δὲ καὶ ἀπὸ μεγάλης ὑπολήψεως τοῦ

ματαίου βίου ἦλθες εἰς τὸν τῶν Μοναχῶν, τήρει ἑαυτὸν ἀπὸ τοῦ δαίμονος τῆς ὑψηλοφροσύνης, ἵνα μὴ κυριευθῇς ὑπ' αὐτοῦ καὶ κατενεχθῇς εἰς ἀπώλειαν. Οὐκ ἔστι σοι αὕτη αἰσχύνη, ἐὰν ᾖς ἐν ὑποταγῇ ἐν Κυρίῳ, καὶ ἐν ταῖς ἰδίαις χερσὶν ἐργάζῃ τὸ ἀγαθόν· αὕτη γὰρ ἡ μικρὰ στενοχωρία καὶ θλῖψις, ἣν ὑπομένεις διὰ τὸν Κύριον, πρόξενός σοι γίνεται τῆς αἰωνίου ζωῆς· καὶ τί ἔτι λέγω; ὡς γὰρ ὁ καταλλάσσων δραχμὴν εἰς μυρία τάλαντα χρυσίου, οὕτω πᾶσα στενοχωρία τοῦ μονήρους βίου πρὸς τὴν μέλλουσαν ἀποκαλυφθῆναι δόξαν εἰς τοὺς ἀγωνιζομένους καὶ κοπιῶντας. Μικρὰ οὖν παρέχεις, καὶ μεγάλα ἀντιλαμβάνεις.

Εἰ δὲ καὶ παραδοθῇς ὑπὸ τοῦ προεστῶτος ἀδελφῷ εἰς τὸ εἶναι αὐτοῦ ὑποχείριος, μὴ εἴπῃς ἐν τῇ διανοίᾳ σου, ὅτι ἐγὼ μέν εἰμι μεγάλων καὶ λαμπρῶν γονέων υἱός, οὗτος δὲ ἐξ ἀφανῶν καὶ ἀνυπολήπτων καὶ προσαιτῶν ἐστιν ἢ ἴσως καὶ ἐκ δουλείας κατάγεται, ἢ ὅτι τὴν κατὰ κόσμον σοφίαν οὐκ ἐπίσταται, ἐμοῦ ταύτην εἰδότος· καὶ πῶς δύναμαι ἐγὼ τούτῳ ὑποταγῆναι; ὕβρις γάρ μοί ἐστιν, ἐὰν τοῦτο ποιήσω. Μὴ τοιαῦτα λογίζου, ἀγαπητέ· οὐ γὰρ ἐν φρονήσει λελόγισαι περὶ τούτου. Ὁ γὰρ τοιαῦτα λογιζόμενος, οὔπω ἀπεδύσατο τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης. Ἡμεῖς δέ, ἀγαπητέ, ὡς ὑπὸ Θεοῦ παραδιδόμενοι τοῖς ὁμοψύχοις ἀδελφοῖς εἰς δουλείαν, ὑπομένωμεν, ἵνα ἀξιωθῶμεν τῆς ἐλευθερίας τῶν δικαίων, ἀναλογιζόμενοι τὸν πάντων δεσπότην, ὃς ἐπτώχευσε δι' ἡμᾶς πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· καὶ σαμαρείτης καὶ δαιμονιῶν ἤκουσεν, ἵνα τὴν ἀφροσύνην ἡμῶν διορθώσηται. Ὑπόθες οὖν τὸν αὐχένα ἀναισχύντως ὑπὸ τὸν χρηστὸν τούτου ζυγόν, ἵνα εὕρῃς ἀνάπαυσιν τῇ ψυχῇ σου· ἄκουσον δὲ περὶ τούτου παραβολήν.

Δύο ἀθληταὶ ἦλθον ἀγωνίσασθαι ἅμα πρὸς τοὺς ἀντεταγμένους, ὧν ὁ μὲν εἰς ἠμφίεστο στολὴν λαμπράν, ὁ δὲ ἕτερος πενιχράν· ἀμφότεροι δὲ ἐκδυθέντες ἃ ἐφόρουν, γυμνοὶ εἰσῆλθον εἰς τὸ στάδιον· ἆρα οὖν ὁ τὴν λαμπρὰν ἐκδὺς ἐσθῆτα, ταύτην προσάγει ἐν τῷ καιρῷ τοῦ ἀγῶνος πρὸς βοήθειαν τοῦ ὑπεναντίου, ἢ μᾶλλον ἐκείνην ἀφεὶς ὡς μηδὲν εἰς τὸν ἀγῶνα συμβαλλομένην, τὴν ἀνδρείαν καὶ τὴν τέχνην σὺν τῇ εὐτονίᾳ ἐπιδείκνυται κατὰ τοῦ ἀντιπάλου; Οὕτω καὶ σύ· μὴ λογίζου ἃ κατέλιπες· ἕκαστος γὰρ ἃ εἶχεν ἀφῆκε καὶ τὸν παλαιὸν ἄνθρωπον ἐξεδύσατο, ἵνα τὸν νέον ἐνδύσηται· ἀλλ' ἐπιλαβοῦ τῆς ταπεινοφροσύνης, εἰδὼς ὅτι γυμνὸς εἰς τὸν ἀγῶνα εἰσῆλθες, ὁμοίως καὶ τοῖς λοιποῖς συναθληταῖς, καὶ ὅτι γέγραπται· «τὰ ὑψηλὰ τοῖς ἀνθρώποις, βδέλυγμα παρὰ τῷ Θεῷ ἐστι»· καὶ μηδὲ ἐπὶ τῇ κοσμικῇ σοφίᾳ ἐπαίρου· ἡ γὰρ σοφία τοῦ κόσμου, φησί, μωρία παρὰ Θεῷ ἐστι· καὶ πάλιν· «ὁ θέλων ἐν ὑμῖν σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός».

Ἐπιλάθου οὖν τῆς προτέρας ἀναστροφῆς, ἵνα καὶ τῶν πρώην ἁμαρτημάτων τὴν ἄφεσιν εὐπαρρησιάστως αἰτήσῃ παρὰ τοῦ Θεοῦ. Μήπω τὰ παλαιὰ ἀπορρίψας, καὶ ταπεινώσας σου τὸ φρόνημα, συνάγαγε πλοῦτον ἀνέκλειπτον διὰ τῆς λειτουργίας καὶ καρποφορίας τῆς πρὸς τοὺς ἀδελφούς. Καὶ εἰ μὲν καταστέλλεις τὰ μέσαυλα ἀπὸ τῶν κοπρίων, σπούδαζε καταστέλλειν καὶ τὰς κοσμικὰς ἐπιθυμίας ἀπὸ τοῦ ἔνδον ἀνθρώπου· εἰ δὲ καθαρίζεις τὴν σποδιὰν τοῦ μαγειρείου, μέμνησο τοῦ Προφήτου λέγοντος· «σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων».

Ὁρῶν δὲ καὶ τὸ φθαρτὸν πῦρ, ἀναλόγισαι τὴν αἰώνιον φλόγα, τὴν μέλλου-

σαν κατεσθίειν τοὺς ἁμαρτωλούς, καὶ δάκρυσον περὶ ὧν ἥμαρτες· καὶ πᾶν ὃ μετέρχῃ, ἐν ταπεινοφροσύνῃ καὶ ἀγαθῇ ἐννοίᾳ μετέρχου καὶ μεγίστην ἕξεις ὠφέλειαν, καὶ τὴν τοῦ Θεοῦ χάριν εἰς ἑαυτὸν ἐπισπάσῃ. «Κύριος γάρ, φησιν, ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν». Εἰ δὲ καὶ κοπιᾷς πολλά, ἐννόησον τοὺς ἐν ἐξορίᾳ καὶ ἐν μετάλλοις καὶ ἐν πικρᾷ δουλείᾳ ἐξεταζομένους καὶ ὑποτάγηθι τῷ προεστῶτι ἐν Κυρίῳ· οὐ γὰρ κατὰ ἄνθρωπόν ἐστιν ἡ δουλεία, ἣν ὑπομένεις διὰ τὸν Κύριον. Τίς ἄρα ἀτιμασθείς, ἢ κοπιάσας ποτὲ ὑπὲρ βασιλέως, οὐχὶ μᾶλλον ἡγεῖται τὴν μὲν ὕβριν τιμήν, τὸν δὲ κόπον ἀνάπαυσιν; Εἰ δὲ οὐ προαιρούμεθα ἀτιμίαν καὶ κόπον ὑπομεῖναι διὰ τὸν Κύριον, τί καὶ ἐξήλθομεν ἐκ τοῦ κόσμου;

Ἀγαπητέ, τίς ἄξιος καὶ μακάριος παθεῖν ὑπὲρ αὐτοῦ; Εἴτε οὖν δι᾽ αὐτὸν ὑπομένεις, ἴσθι ὡς μικρὰ παρέχεις, καὶ μεγάλα ἀντιλαμβάνεις. Ὑ π ο μ ο ν ῆ ς ο ὖ ν ἔ χ ο μ ε ν χ ρ ε ί α ν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες τύχωμεν τῆς ἐπαγγελίας· εἶπε γάρ· «ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται».

Εἰ δὲ τοὺς τὰ λαμπρὰ καταλείψαντας οὕτω ταπεινοφρονεῖν δεῖ, πόσῳ γε μᾶλλον τοὺς ἐξ οἰκτροῦ καὶ μοχθηροῦ βίου ἐρχομένους εἰς τὸν μονήρη βίον, χρὴ ἑαυτοὺς εὐτελίζειν καὶ μηδέποτε ὑψηλοφρονεῖν, κἂν ἴσως τῶν ἄλλων προτιμηθῶσιν, ἀλλὰ πᾶσαν πρᾳότητα καὶ ταπεινοφροσύνην ἐνδείκνυσθαι, μνημονεύοντας καὶ ἀναλογιζομένους διηνεκῶς τὰς εὐεργεσίας τοῦ Κυρίου, ἐκ ποίας συνοχῆς τοῦ αἰῶνος τούτου ἐξέσπασεν αὐτούς, μήποτε διασπαρέντες τὸν νοῦν, καὶ τῆς προτέρας αὐτῶν ἀτιμίας ἐπιλαθόμενοι, φυσιωθῶσι καὶ ἀκούσωσιν ὡς ἀγνώμονες περὶ τὸν εὐεργέτην, τὸ εἰρημένον ἐν τῷ ψαλμῷ· «ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς».

Τοιγαροῦν, ἀγαπητοί, δουλεύσωμεν τῷ Κυρίῳ ἐν ταπεινοφροσύνῃ πολλῇ πάσας τὰς ἡμέρας ἡμῶν, τῷ ἐγείροντι ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνυψοῦντι πένητα, ὅπως καὶ μετὰ τέλος ἀξιώσῃ ἡμᾶς τῆς δόξης τῶν πρᾳέων καὶ ταπεινῶν· διότι γέγραπται· «Κύριος ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν».

Ἑ ρ μ η ν ε ί α

ΑΔΕΛΦΕ, ἐὰν ἐπιθυμῇς νὰ γίνῃς μοναχός, βάλε πρῶτον εἰς τὴν σκέψιν σου, ὅτι ἤδη ἀνεχώρησες ἀπὸ τὸν κόσμον αὐτὸν καὶ θεώρησε τὸν κόσμον αὐτὸν καὶ τὴν δόξαν του ὡς σκηνὴν κατεστραμμένην· διότι ἐὰν δὲν προετοιμάσῃς τὸν ἑαυτόν σου μὲ τὰς σκέψεις αὐτάς, δὲν θὰ ἠμπορέσῃς νὰ ζήσῃς ὅπως οἱ Μοναχοί, οὔτε νὰ νικήσῃς τὰ πάθη σου καὶ τὰς κοσμικὰς ἐπιθυμίας, ποὺ παρασύρουν τοὺς ἀνθρώπους εἰς τὴν ἀπώλειαν· διότι δὲν λέγει ψέματα Ἐκεῖνος, ποὺ εἶπε· «ὅποιος θέλει νὰ ἔλθῃ ὀπίσω μου, ἂς ἀπαρνηθῇ τὸν ἑαυτόν του, ἂς σηκώσῃ τὸν σταυρόν του καὶ ἂς μὲ ἀκολουθήσῃ· διότι ἐκεῖνος ποὺ θέλει νὰ σώσῃ τὴν ψυχήν του, πρέπει νὰ θυσιασθῇ· ὅποιος δὲ θυσιασθῇ χάριν ἐμοῦ, θὰ εὕρῃ αὐτὴν (τὴν αἰώνιον ζωὴν)» (Ματθ. ιστ΄, 24—25).

Γνώριζε λοιπὸν ὅτι εἰς αὐτὸν ποὺ ἀφιερώνεται εἰς τὸν Κύριον συμβαίνουν πειρασμοί, θλίψεις, κόπος, πνευματικὴ ἐξάντλησις καὶ κατάπτωσις, γυμνότης, στενοχωρία, περιφρόνησις ἐκ μέρους τῶν ἀνθρώπων καὶ ὅλα τὰ παρόμοια· διότι μὲ αὐτὰ δοκιμάζεται ἡ ὑπομονὴ τοῦ ἀνθρώ-

που καὶ φανερώνεται ὁ πόθος ποὺ ἔχει πρὸς τὸν Θεόν. Αὐτὸς λοιπόν, ποὺ θὰ ἐμπιστευθῇ τὸν ἑαυτόν του, μὲ ὅλην του τὴν καρδίαν, εἰς τὸν Ἡγούμενον, διὰ νὰ τὸν κυβερνήσῃ κατὰ Θεόν, ὅλα αὐτὰ τὰ κατανικᾷ· διότι ὁ Θεὸς μόνον τελείαν πρόθεσιν ζητεῖ ἀπὸ ἡμᾶς καὶ ὁ ἴδιος μᾶς πλουτίζει μὲ δύναμιν καὶ μᾶς δωρίζει τὴν νίκην, ὅπως λέγει ἡ Γραφὴ «Ὁ Θεὸς εἶναι ὑπερασπιστὴς ὅλων, ὅσων ἐλπίζουν εἰς Αὐτὸν» (Ψαλμ. ιζ΄, 31).

Αὐτὰ σοῦ τὰ εἶπα ἐκ τῶν προτέρων, μὴ τυχόν, ἀφοῦ εἰσέλθῃς εἰς τὸν μοναχικὸν βίον καὶ συναντήσῃς ὅλας αὐτὰς τὰς δυσκολίας, μετανοημένος εἴπῃς ὅτι δὲν ἐγνώριζα ὅτι θὰ μοῦ συμβοῦν τέτοια πράγματα. Νά λοιπόν, ὅτι σοῦ γίνονται ἐκ τῶν προτέρων γνωστὰ ὅσα πρόκειται νὰ σοῦ συμβοῦν, διὰ νὰ προετοιμάσῃς καὶ σύ, ἀπὸ τὴν ἀρχήν, τὰς σκέψεις σου· διότι δὲν εἶναι μεγάλος κόπος νὰ βάλῃ κανεὶς θεμέλιον, ἀλλὰ νὰ ἀποτελειώσῃ τὴν οἰκοδομήν· διότι ὅσον ἀνυψώνεται ἡ οἰκοδομή, τόσον περισσότερον μεγαλώνει καὶ ὁ κόπος τοῦ οἰκοδομοῦντος μέχρις ὅτου τελειώσῃ τὸ ἔργον. Ἄκουσε τί λέγει ἡ φωνὴ τοῦ Σωτῆρος· «Ποῖος ἀπὸ ἡμᾶς θέλων νὰ οἰκοδομήσῃ πύργον, δὲν κάθεται προηγουμένως νὰ ὑπολογίσῃ τὴν δαπάνην, ἐὰν ἔχῃ τὰ ἀναγκαῖα διὰ νὰ ἀποτελειώσῃ τὴν οἰκοδομήν; Μὴ τυχόν, ἀφοῦ βάλῃ θεμέλιον, δὲν ἠμπορέσῃ νὰ ὁλοκληρώσῃ τὴν οἰκοδομήν, ὁπότε ὅλοι, ὅσοι τὸν ἰδοῦν, θὰ ἀρχίσουν νὰ τὸν ἐμπαίζουν καὶ νὰ λέγουν, εἰς βάρος του· αὐτὸς ὁ ἄνθρωπος ἤρχισε νὰ κτίζῃ καὶ δὲν ἠμπόρεσε νὰ τελειώσῃ τὴν οἰκοδομὴν» (Λουκ. ιδ΄, 30). Διότι ὁ πόλεμος τῶν στρατιωτῶν εἶναι σύντομος, ὁ πόλεμος ὅμως τοῦ Μοναχοῦ διαρκεῖ μέχρι τῆς ἡμέρας ποὺ θὰ ἐκδημήσῃ πρὸς τὸν Κύριον.

Διὰ τοῦτο πρέπει νὰ ἀρχίζωμεν τὴν πνευματικήν μας ἐργασίαν μὲ σοβαρότητα, μὲ ὑπομονὴν καὶ προσοχήν. Διότι ἐάν, ἀγαπητέ, ἐπιχειρήσῃς νὰ σφάξῃς ἕνα λεοντάρι, πρόσεξε νὰ τὸ κρατήσῃς δυνατά, μὴ τυχὸν σοῦ σπάσῃ τὰ κόκκαλα, ὡς νὰ εἶναι ἀγγεῖον πήλινον· καὶ ἐὰν πέσῃς εἰς τὴν θάλασσαν, μὴ δειλιάσῃς ὥσπου νὰ βγῇς ἔξω, εἰς τὴν ξηράν, διὰ νὰ μὴ βουλιάξῃς εἰς τὸν βυθὸν ὅπως μία πέτρα. Σήμερα λοιπόν, ποὺ εὑρίσκεσαι ἀκόμη εἰς τὰ πρόθυρα τοῦ ἀγῶνος καὶ ἐρωτᾶσαι μετὰ προσοχῆς, μὴ εἴπῃς, εἰς ἀπάντησιν, ὅτι θὰ τὰ ὑπομείνῃς ὅλα, καὶ αὔριον, ὅταν θὰ ἔχῃς πλέον ἀρχίσει, ἐγκαταλείψεις κάθε προσπάθειαν. Διότι οἱ Ἄγγελοι τοῦ Θεοῦ στέκουν κοντά μας ἀοράτως καὶ ἀκούουν ὅλα, ὅσα βγαίνουν ἀπὸ τὰ χείλη σου. Βλέπε, ἀγαπητέ, ὅτι κανεὶς δὲν σὲ βιάζει, ἀλλὰ πραγματικὰ παραδέχεσαι μόνος σου, μὲ τὴν θέλησίν σου, τὰς ὑποχρεώσεις σου. Καὶ εἰς τὸ μέλλον νὰ μὴ διαψεύσῃς τὰς ὑποσχέσεις σου πρὸς τὸν Θεόν, διότι ὁ Θεὸς «θὰ ἐξαφανίσῃ ὅσους ὁμιλοῦν τὸ ψεῦδος» (Ψαλμ. ε΄, 7).

Ἀγαπητέ, ἐὰν βάλῃς καλὴν ἀρχήν, θὰ περάσῃς εὐχάριστα καὶ εἰς τὰ γηρατεῖα σου καὶ θὰ εἶσαι ὡς φάρος ποὺ θὰ φωτίζῃς πολλοὺς εἰς τὸν δρόμον τοῦ Κυρίου. Βάλε λοιπὸν ἰσχυρὸν θεμέλιον, διὰ νὰ ὑψωθῇ τὸ ἔργον σου. Ἐὰν εἰς τὸν μάταιον βίον τοῦ κόσμου κατεῖχες μεγάλην θέσιν, καὶ τὴν ἐγκατέλειψες, διὰ νὰ ἀκολουθήσῃς τὸν Μοναχικὸν βίον, νὰ φυλά-

γεσαι ἀπὸ τὸν δαίμονα τῆς ὑψηλοφροσύνης, μὴ τυχὸν κυριευθῇς ἀπ' αὐτὸν καὶ κατακρημνισθῇς εἰς τὴν ἀπώλειαν.

Δὲν εἶναι ἐντροπὴ διὰ σέ, ἐὰν εἶσαι εἰς ὑποταγήν, χάριν τοῦ Κυρίου, καὶ ἐάν, μὲ τὰ ἴδια σου τὰ χέρια, ἐργάζεσαι τὸ ἀγαθόν· διότι αὐτὴ ἡ μικρὴ στενοχωρία καὶ θλῖψις, τὴν ὁποίαν ὑπομένεις, χάριν τοῦ Κυρίου, θὰ σοῦ γίνῃ πρόξενος τῆς αἰωνίου ζωῆς· καὶ τί λέγω ἀκόμη; Ὅπως ἀκριβῶς ὠφελεῖται ὁ ἀνταλλάσσων μίαν δραχμὴν μὲ δέκα χιλιάδας χρυσᾶ τάλαντα, ἔτσι βεβαίως ὠφελοῦνται καὶ οἱ ἀνεχόμενοι τὰς στενοχωρίας τοῦ μοναχικοῦ βίου,κερδίζοντες οὕτω τὴν δόξαν ποὺ πρόκειται νὰ ἀποκαλυφθῇ εἰς τοὺς ἀγωνιζομένους καὶ κοπιάζοντας. Μικρὰ πράγματα λοιπὸν προσφέρεις καὶ μεγάλα κερδίζεις.

Ἐὰν δὲ ὁ Ἡγούμενος τοῦ Μοναστηρίου σὲ παραδώσῃ εἰς κάποιον ἀδελφόν, διὰ νὰ εἶσαι ὑποτεταγμένος εἰς αὐτόν, νὰ μὴ εἴπῃς, μὲ τὸν νοῦν σου, ὅτι ἐγὼ εἶμαι υἱὸς λαμπρῶν καὶ μεγάλων γονέων, ἐνῷ αὐτὸς κατάγεται ἀπὸ ἀσήμους, ἀνυπολήπτους καὶ ἐπαίτας, ἤ, ὅτι προέρχεται ἀπὸ δούλους, ἢ ὅτι δὲν γνωρίζει τὴν κοσμικὴν σοφίαν, ἐνῷ ἐγὼ τὴν γνωρίζω· καὶ πῶς λοιπὸν ἐγὼ δύναμαι νὰ ὑποταχθῶ εἰς αὐτόν; Ἐὰν τὸ κάνω αὐτὸ θὰ εἶναι δι' ἐμὲ προσβολή. Νὰ μὴ τὰ σκέπτεσαι αὐτά, ἀγαπητέ· διότι δὲν ἔχεις σκεφθῆ λογικὰ ἐπ' αὐτοῦ. Διότι αὐτὸς ποὺ σκέπτεται αὐτὰ τὰ πράγματα, δὲν ἀπέβαλεν ἀκόμη τὸν παλαιὸν ἄνθρωπον, ποὺ φθείρεται ἀπὸ τὰς ἀπατηλὰς ἐπιθυμίας. Ἡμεῖς ὅμως, ἀγαπητέ, ὑπομένομεν, ὡς νὰ ἔχωμεν παραδοθῆ ὑπὸ τοῦ Θεοῦ ὡς δοῦλοι εἰς τοὺς ὁμοψύχους ἀδελφούς μας πρὸς ὑποταγήν, διὰ νὰ ἀξιωθῶμεν τῆς ἐλευθερίας τῶν δικαίων, σκεπτόμενοι συνεχῶς τὸν Δεσπότην τῶν ὅλων, ὁ ὁποῖος ἐπτώχευσε, χάριν ἡμῶν, ἐνῷ ἦτο πλούσιος, διὰ νὰ πλουτήσωμεν ἡμεῖς ἀπὸ τὴν πτωχείαν Ἐκείνου. Τὸν Δεσπότην ἡμῶν τὸν ἀπεκάλεσαν καὶ Σαμαρείτην καὶ δαιμονισμένον, καὶ τὰ ὑπέμεινε, διὰ νὰ διορθώσῃ τὴν ἀπερισκεψίαν μας. Σκύψε λοιπὸν τὸν αὐχένα σου, χωρὶς ἐντροπήν, ὑποκάτω ἀπὸ τὸν χρηστὸν ζυγὸν τοῦ Κυρίου, διὰ νὰ εὕρῃς ἀνάπαυσιν εἰς τὴν ψυχήν σου. Ἄκουσε δὲ καὶ μίαν σχετικὴν μὲ τὸ ζήτημα τοῦτο παραβολήν.

Δύο ἀθληταὶ ἦλθον διὰ νὰ ἀγωνισθοῦν συγχρόνως πρὸς τοὺς ἀντιπάλους των· ἐξ αὐτῶν ὁ ἕνας ἦτο ἐνδεδυμένος μὲ στολὴν λαμπράν, ἐνῷ ὁ ἄλλος μὲ πτωχικήν· καὶ οἱ δύο ὅμως ἔβγαλαν αὐτὰ ποὺ ἐφόρουν καὶ εἰσῆλθον εἰς τὸ στάδιον τῶν ἀγώνων γυμνοί. Μήπως, ἄραγε, αὐτὸς ποὺ ἔβγαλε τὴν λαμπρὰν στολήν, θὰ τὴν παρουσιάσῃ, κατὰ τὴν στιγμὴν τοῦ ἀγῶνος, διὰ νὰ τὸν βοηθήσῃ ἐναντίον τοῦ ἀντιπάλου του; Ἢ θὰ προτιμήσῃ νὰ τὴν ἀφήσῃ, ὡς τελείως ἄχρηστον εἰς τὸν ἀγῶνα, καὶ θὰ ἐπιδείξῃ ἐναντίον τοῦ ἀντιπάλου του τὴν ἀνδρείαν καὶ τὴν τέχνην μαζὶ μὲ τὴν εὐκινησίαν;

Ἔτσι λοιπὸν καὶ σύ· μὴ σκέπτεσαι ὅσα ἄφησες, διότι ὁ καθένας ἄφησεν αὐτὰ ποὺ εἶχε καὶ ἀπέβαλε τὸν παλαιὸν ἄνθρωπον, διὰ νὰ ἐνδυθῇ τὸν νέον. Δι' αὐτὸ ὁπλίσου μὲ τὴν ταπεινοφροσύνην, γνωρίζων ὅτι εἰς τὸν χῶρον τῶν ἀγώνων εἰσῆλθες γυμνός, ὅπως καὶ οἱ ὑπόλοιποι συνα-

θληταί, καὶ ὅτι εἶναι γραμμένον· «ὅσα θεωροῦν οἱ ἄνθρωποι ὑψηλά, εἶναι βδέλυγμα διὰ τὸν Θεόν». Οὔτε καὶ διὰ τὴν κοσμικὴν σοφίαν νὰ ὑπερηφανεύεσαι, διότι ἡ σοφία τοῦ κόσμου, λέγει ὁ Ἀπόστολος, εἶναι μωρία ἐνώπιον τοῦ Θεοῦ. Καὶ ἀλλαχοῦ λέγει· «ἐκεῖνος, ποὺ θέλει ἀπὸ σᾶς νὰ εἶναι σοφὸς εἰς αὐτὸν τὸν αἰῶνα, ἂς φανῇ μωρός, διὰ νὰ γίνῃ σοφὸς» (Α΄ Κορινθ. γ΄, 18). Λησμόνησε λοιπὸν τὴν προηγουμένην κατάστασίν σου εἰς τὸν κόσμον, διὰ νὰ ζητήσῃς, μὲ θάρρος, ἀπὸ τὸν Θεὸν καὶ τὴν συγχώρησιν τῶν τότε ἁμαρτημάτων σου. Ἀφοῦ λοιπὸν ἀπορρίψῃς τὰ παλαιὰ καὶ ταπεινώσῃς τὸ φρόνημά σου, συγκέντρωνε πλοῦτον, ὁ ὁποῖος ποτὲ δὲν χάνεται, μὲ τὴν ὑπηρεσίαν σου πρὸς τοὺς ἀδελφοὺς καὶ τὴν πρὸς αὐτοὺς περιποίησιν. Καὶ ὅταν καθαρίζῃς τὰς ἐσωτερικὰς αὐλὰς τοῦ Μοναστηρίου ἀπὸ τὰς κοπρίας, φρόντιζε συγχρόνως νὰ ἀπορρίπτῃς τὰς κοσμικὰς ἐπιθυμίας ἀπὸ τὸν ἐσωτερικὸν ἄνθρωπον. Ἂν πάλιν καθαρίζῃς τὴν στάκτην τοῦ μαγειρείου, νὰ ἐνθυμῆσαι τὸν Προφήτην Δαυῒδ ποὺ λέγει· «στάκτην ἔφαγα, σὰν ψωμί, καὶ τὸ πιοτό μου τὸ ἀνεκάτευσα μὲ δάκρυα» (Ψαλμ. ρα΄, 10).

Ὅταν δὲ βλέπῃς τὴν φθαρτὴν φωτιάν, νὰ σκέπτεσαι τὴν αἰώνιον φλόγα, ποὺ πρόκειται νὰ κατατρώγῃ τοὺς ἁμαρτωλούς, καὶ νὰ κλαύσῃς δι' ὅσα ἡμάρτησας. Καὶ κάθε τί ποὺ ἐκτελεῖς, νὰ τὸ ἐκτελῇς μὲ ταπεινοφροσύνην καὶ καλὴν προαίρεσιν, ὁπόταν θὰ ἔχῃς μεγίστην ὠφέλειαν καὶ θὰ ἐπισύρῃς εἰς τὸν ἑαυτόν σου τὴν χάριν τοῦ Θεοῦ. Διότι λέγει ἡ Ἁγία Γραφή· «Ὁ Κύριος ἀντιτάσσεται εἰς τοὺς ὑπερηφάνους, ἐνῷ δίδει τὴν χάριν Του εἰς τοὺς ταπεινοὺς» (Παροιμ. γ΄, 34). Ἐὰν κοπιάζῃς πάρα πολὺ εἰς τὰς ὑπηρεσίας τοῦ Μοναστηρίου, σκέψου αὐτούς, ποὺ ταλαιπωροῦνται εἰς ἐξορίαν, εἰς καταναγκαστικὰ ἔργα, εἰς πικρὰν δουλείαν καὶ ὑποτάξου μὲ προθυμίαν εἰς τὸν Ἡγούμενον, χάριν τοῦ Κυρίου· διότι ἡ θεληματικὴ δουλεία, τὴν ὁποίαν ὑπομένεις, δὲν ἐξυπηρετεῖ ἀνθρώπους, ἀλλὰ τὸν Κύριον. Ποῖος, ἄραγε, ἀπὸ ὅσους προσεβλήθησαν ἢ ἐκοπίασαν κάποτε, χάριν ἑνὸς ἐπιγείου βασιλέως, δὲν θεωρεῖ τὴν ὕβριν ὡς τιμήν, καὶ τὸν κόπον ὡς ἀνάπαυσιν; Ἐὰν δὲ δὲν μᾶς ἀρέσῃ νὰ ὑπομείνωμεν κόπον καὶ ἀτιμίαν διὰ τὸν Κύριον, τότε πρὸς τί ἐφύγαμεν ἀπὸ τὸν κόσμον;

Ἀγαπητέ, ποῖος εἶναι ἄξιος καὶ καλότυχος διὰ νὰ πάθῃ χάριν Αὐτοῦ; Ἐφ' ὅσον λοιπὸν δι' Αὐτὸν ὑπομένεις τὰς δοκιμασίας τοῦ Μοναχικοῦ βίου, μάθε ὅτι παρέχεις μικρὰ καὶ λαμβάνεις, ὡς ἀνταμοιβήν, μεγάλα. Ἔχομεν, κατὰ συνέπειαν, ἀνάγκην ὑπομονῆς, διὰ νὰ ἐκτελέσωμεν τὸ θέλημα τοῦ Θεοῦ καὶ νὰ ἐπιτύχωμεν ὅσα μᾶς ὑποσχέθη ὁ Κύριος, διότι εἶπεν· «ὅποιος ὑπομείνῃ μέχρις τέλους, αὐτὸς μόνον θὰ σωθῇ».

Ἂν δὲ πρέπει νὰ γίνωνται ταπεινοὶ ὅσοι ἐγκατέλειψαν εἰς τὸν κόσμον λαμπρὰς καὶ σπουδαίας καταστάσεις, πόσον περισσότερον ταπεινωμένοι θὰ πρέπει νὰ εἶναι ὅσοι ἔρχονται νὰ γίνουν Μοναχοὶ ἀπὸ ἐλεεινὴν καὶ κουραστικὴν ζωήν. Οὗτοι πρέπει διαρκῶς νὰ ταπεινώνουν τοὺς ἑαυτούς των καὶ ποτὲ νὰ μὴ ὑπερηφανεύωνται, ἔστω καὶ ἐὰν τύχουν κάποιας

καλυτέρας μεταχειρίσεως καὶ προσοχῆς, ἀλλὰ νὰ ἐπιδεικνύουν συνεχῶς ταπεινοφροσύνην καὶ πραότητα ἐνθυμούμενοι καὶ σκεπτόμενοι πάντοτε τὰς εὐεργεσίας τοῦ Κυρίου, ἀπὸ ποίαν, δηλαδή, ἀφόρητον στενοχωρίαν αὐτῆς τῆς ζωῆς τοὺς ἐγλύτωσε· μὴ τυχὸν περισπασθῇ ὁ νοῦς των καὶ λησμονήσουν τὴν προηγουμένην ἀθλιότητα, φουσκώσουν ἀπὸ ὑπερηφάνειαν καὶ ἀκούσουν, κάποτε, ὡς ἀχάριστοι πρὸς τὸν Εὐεργέτην των, τὸ ἀναφερόμενον εἰς τὸν ψαλμόν· «Ἄνθρωπος εὑρισκόμενος εἰς τιμήν, δὲν ἐφάνη φρόνιμος· ἀνεμίχθη μὲ τὰ ἀνόητα κτήνη (τοὺς ἁμαρτωλοὺς λογισμοὺς) καὶ ἔγινεν ὅμοιος μὲ αὐτὰ» (Ψαλμ. μη', 13, 21).

Ἂς δουλεύσωμεν λοιπόν, ἀγαπητοί, τὸν Κύριον, μὲ πολλὴν ταπεινοφροσύνην, εἰς ὅλην μας τὴν ζωήν· τὸν Κύριον, ποὺ ἠμπορεῖ, νὰ ἐγείρῃ ἀπὸ γῆς τὸν πτωχὸν καὶ νὰ ἀνυψώσῃ τὸν πένητα ἀπὸ τὴν κοπρίαν, διὰ νὰ μᾶς ἀξιώσῃ, μετὰ τὸ τέλος τῆς ζωῆς αὐτῆς, τῆς δόξης ποὺ ἀπολαμβάνουν οἱ ταπεινοὶ καὶ οἱ πρᾶοι· διότι ἡ Ἁγία Γραφὴ λέγει: «Ὁ Κύριος ἀνταποδίδει τὴν δικαίαν τιμωρίαν εἰς ὅσους παντοιοτρόπως ὑπερηφανεύονται» (Ψαλμ. λ', 24).

Η'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΕΝ πᾶσι τοῖς κατὰ τὴν Αἴγυπτον καὶ καθ' ὅλην τὴν Ἀνατολὴν Κοινοβίοις αὗται αἱ κανονικαὶ διατυπώσεις φυλάττονται· ὁ ἐλθὼν εἰς τὸ Κοινόβιον καὶ θέλων μονάσαι, οὐ πρότερον δεχθήσεται ἔσω ἐν τῷ Μοναστηρίῳ, πρὶν ἀπόδειξίν τινα καὶ πεῖραν τοῦ πρὸς Θεὸν πόθου καὶ τῆς ταπεινώσεως καὶ μακροθυμίας, διὰ τῆς ἐπὶ πλεῖστον ὑπομονῆς δείξῃ. Δοκιμασθεὶς οὖν ἐν τούτοις, εὐπρόσδεκτος παρ' αὐτοῖς γίνεται, καὶ διδάσκεται τῆς περιουσίας αὐτοῦ μὴ ἔχειν τι τεθησαυρισμένον. Οὕτως οὖν ἕκαστος γυμνοῦται τῆς ἀρχαίας περιουσίας, ὡς μηδὲ αὐτὸ τὸ ἔνδυμα, ὃ περιβεβλημένος ἦλθε, τοῦ λοιποῦ φορεῖν συγχωρεῖσθαι, ἀλλὰ τῶν ἀδελφῶν πάντων συνηγμένων, προαχθεὶς εἰς τὸ μέσον, ἐκδύεται τὰ ἴδια ἱμάτια, καὶ διὰ τῶν χειρῶν τοῦ Ἀββᾶ ἐνδύμασι τοῦ Μοναστηρίου μεταμφιέννυται, ὡς διὰ τούτου τοῦ τύπου ἐπιγνῶναι αὐτόν, ὅτι πάντων τῶν κοσμικῶν πραγμάτων καὶ τῆς ἀλαζονείας καὶ τοῦ τύφου γυμνωθείς, ἐνεδύσατο τὴν πτωχείαν τοῦ Χριστοῦ, καὶ ὅτι ἀνεπαισχύντως συναριθμεῖ ἑαυτὸν καὶ ἐξισοῖ τῷ σώματι τῆς ἀδελφότητος.

Τὰ δὲ ἱμάτια ἃ ἀποδύεται, λαβὼν ὁ οἰκονόμος τῆς Μονῆς ἐπὶ πολὺν χρόνον φυλάττει, ἀφορίσας ἕως τῆς προκοπῆς αὐτοῦ καὶ ἀναστροφῆς καὶ ὑπομονῆς, ἣν ἐν διαφόροις πειρασμοῖς ἀπόδειξιν παράσχοι. Καὶ εἰ μὲν εὕρωσιν αὐτὸν δυνάμενον ἐν τούτοις ἐγκαρτερεῖν, καὶ ἐν τῇ σπουδῇ καὶ διαπύρῳ θέρμῃ, ᾗ ἐνήρξατο, διαμένοντα τοῖς λοιποῖς συναριθμοῦσιν· εἰ δέ τι γογγυσμοῦ ἐλάττωμα ἢ παρακοῆς οἱασδήποτε ἐν αὐτῷ ἁμαρτίαν καταμάθωσιν, ἐκδύσαντες τοῦτον ἅπερ ἐνεδύσατο τοῦ Μοναστηρίου καὶ τὰ κοσμικὰ ἐνδύματα πάλιν περιβαλόντες, ἀπωθοῦνται τοῦ Κοινοβίου. Ὡς ἐκ ταύτης λοιπὸν τῆς ἀκριβείας μὴ εὐχέρειαν εἶναι τῷ βουλομένῳ ὡς ἔτυχεν ἀναχωρεῖν τῆς μονῆς, ἀλλὰ τὸν μὴ ἐμμένοντα κατὰ πάντα τρόπον τῇ ἰδίᾳ ὁμολογίᾳ μετεκδύεσθαι τὴν κοσμικὴν ἐσθῆτα, καὶ οὕτως ἀπολύεσθαι τοῦ Μοναστηρίου.

Ὅτε τοίνυν ὁ ὑποδεχθείς, ταύτῃ ᾗ προειρήκαμεν ἀκριβείᾳ δοκιμασθῇ καὶ ἄμεπτος εὑρεθῇ, οὐ παραχρῆμα τῇ συνοδείᾳ τῶν ἀδελφῶν ἀναμίγνυσθαι ἐπιτρέπε-

ται, ἀλλὰ παραδίδοται τῷ ἐπιτεταγμένῳ τὴν φροντίδα τῶν ξένων, καὶ τούτοις πᾶσαν ἐπιμέλειαν καὶ ὑπηρεσίαν ποιεῖν προστάσσεται· καὶ ὅτε ὁλόκληρον ἐνιαυτὸν ἀμέμπτως ὑπηρετήσῃ τοῖς ξένοις, τυπωθεὶς διὰ τούτου πρὸς ταπείνωσιν καὶ μακροθυμίαν, συναριθμεῖται λοιπὸν τῇ συνοδείᾳ τῶν ἀδελφῶν. Ὃς τοιαύτην ἔχει τὴν μέριμναν, ὅπως διδάξῃ αὐτὸν τὸν μαθητευόμενον, διὰ ποίας ὁδοῦ ἀρξάμενος, δυνήσεται ἐπὶ τὴν τελειοτάτην ἀρετὴν φθάσαι. Ἐν πρώτοις γοῦν διδάσκει αὐτὸν νικᾶν τὰς ἰδίας ἡδονάς, διὰ τοῦ ἐπιτάσσειν αὐτῷ τὰ ἐναντία τῶν θελημάτων αὐτοῦ. Οὐκ ἄλλως γὰρ λέγουσιν οἱ Πατέρες δύνασθαί τινα τὰς ἰδίας ἡδονὰς χαλινοῦν, ἢ ὀργῆς περιγενέσθαι, ἢ λύπης, ἢ ταπείνωσιν ἀληθῶς κτήσασθαι, ἢ ἁπλῶς μετὰ ἀδελφότητος καλῶς τελειωθῆναι ἐν Κοινοβίῳ, εἰ μὴ πρότερον διὰ τῆς ὑπακοῆς νεκρώσει τὰ ἑαυτοῦ θελήματα.

Ταύταις δὲ ταῖς διατυπώσεσι καὶ διδασκαλίαις τὸν μαθητευόμενον προβιβάσαντες, ἀκολούθως διδάσκουσι πάλιν μὴ κρύπτειν τοὺς ἰδίους λογισμούς, ἀλλὰ παραχρῆμα, ἡνίκα ἐπέρχωνται, τούτους τῷ οἰκείῳ Πατρὶ ἀποκαλύπτειν, καὶ μηδὲν περὶ τῆς τούτων διακρίσεως τῇ ἰδίᾳ καρδίᾳ πιστεύειν, ἀλλ᾽ ἐκεῖνο γινώσκειν ἀγαθὸν ἢ κακὸν εἶναι, ὅπερ τῇ ἑαυτοῦ διακρίσει δοκιμάσας ὁ πατὴρ ἀποδείξει. Τοιαύτη δὲ φυλάττεται παρ᾽ αὐτοῖς ἡ ὑποταγή, ὡς μὴ τολμῆσαί τινα, ἐκτὸς τοῦ Ἀββᾶ, μηδὲ τοῦ κελλίου ὅπου κάθηται προβαίνειν. Οὕτω δὲ τὰ παρ᾽ αὐτοῦ προστασσόμενα ἐπιτελεῖν σπουδάζουσιν, ὡς παρὰ Θεοῦ ταῦτα δεχόμενοι.

Καθήμενοι δὲ ἐν τοῖς κελλίοις καὶ τῷ ἔργῳ καὶ τῇ μελέτῃ καὶ τῇ προσευχῇ μετὰ σπουδῆς πάσης προσέχοντες, ἐπειδ᾽ ἂν ἀκούσωσι τοῦ κρούοντος τὴν θύραν ἑκάστου κελλίου, ἢ εἰς τὴν κοινὴν προσευχὴν ἢ πρός τι ἔργον τούτους ἐκκαλουμένου, παραχρῆμα πάντα ὁμοῦ ἀφέντες, πρὸς τὸ ἐπιταγὲν ὁρμῶσι, πάσῃ σπουδῇ τὴν τῆς ὑπακοῆς ἀρετὴν ζηλοῦντες, ἣν οὐ μόνον τοῦ ἔργου τῶν χειρῶν, ἀναγνώσεώς τε, καὶ τῆς ἐν τῷ κελλίῳ ἡσυχίας, ἀλλὰ καὶ πασῶν τῶν ἀρετῶν προτιμῶσι· καὶ ταῦτα πάντα δεύτερα τίθενται. Μεταξὺ δὲ τῶν ἄλλων ἐκεῖνο περιττόν ἐστι καὶ εἰπεῖν, ὡς οὐδεὶς αὐτῶν ἄλλο τι κέκτηται πλὴν κολοβίου*, καὶ ἡμιφορίου**, καὶ σανδαλίων***, καὶ μηλωτῆς**** καὶ ψαθίου*****, αἰσχύνην ἡγούμενοι τὸ λέγεσθαι παρ᾽ αὐτοῖς· βιβλίον ἐμόν, γραφίον ἐμόν, πινακίδιον ἐμόν, ἢ ἄλλο τι ἐμόν.

Ἕκαστος δὲ τούτων, τοσοῦτον πορισμὸν καθ᾽ ἡμέραν συνάγει τῷ Μοναστηρίῳ ἐξ ἔργου τε καὶ ἱδρῶτος ἰδίου, ὡς μὴ μόνον ταῖς ἑαυτῶν χρείαις ἐξαρκεῖν, ἀλλὰ

* Τὸ κολόβιον ἦτο ἔνδυμα κοντὸν μὲ μανίκια ἢ χωρὶς μανίκια, τὸ ὁποῖον ἔφερον ἐσωτερικῶς.

** Τὸ ἡμιφόριον ἦτο κοντὸν φόρεμα ἐξωτερικὸν ἀπὸ χονδρότερον ὕφασμα.

*** Τὰ σανδάλια ἦσαν ὑποδήματα ἀνάλογα μὲ τὰ σημερινὰ πέδιλα.

**** Ἡ μηλωτὴ ἦτο ἐπανωφόριον ἀπὸ δέρμα, κυρίως προβάτου.

***** Τὸ ψιάθιον ἦτο κατασκεύασμα ἀπὸ ψίαθον, χρησιμεῦον ὡς στρῶμα· ἡ σημερινὴ ψάθα.

καὶ τῇ διακονίᾳ τῶν ξένων καὶ πτωχῶν ὑπουργεῖν. Οὕτω δὲ κάμνοντες, οὐ φυσιοῦνται, οὐχ ὑπερηφανεύονται, οὐδέ τις αὐτῶν ἐκ τοῦ ἰδίου ἔργου καὶ ἱδρῶτος ἀπαιτεῖ περισσοτέραν τῆς διδομένης χρείας ἀνάπαυσιν, οὐ κτῆμα οἱασδήποτε ὕλης ἑαυτῷ περιποιεῖται, πάροικον ἑαυτὸν καὶ ξένον ὅλου τοῦ κόσμου ἔχων, καὶ δοῦλον καὶ ὑπηρέτην τῶν ἀδελφῶν λογιζόμενος, ἤπερ δεσπότην οἱουδήποτε γηΐνου πράγματος. Εἰ δὲ κλάσει τις σκεῦος, ἢ οἱονδήποτε πρᾶγμα ἀπολέσει, ἐξομολογεῖται τῷ Ἀββᾷ τῆς ἰδίας ῥαθυμίας τὸ πταῖσμα, καὶ οὕτω μετανοῶν λαμβάνει συγχώρησιν.

Ὅστις δὲ πρός τι ἔργον μετακληθείς, ἢ πρὸς σύναξιν, βραδύτερον ἀπαντήσῃ, ἢ σκληρότερον ἢ προπετέστερον ἀποκριθῇ, ἢ ὑπογογγύζων τὴν προσταχθεῖσαν ὑπακοὴν ποιήσῃ ἢ ἀμελέστερον, ἢ τοῦ ἔργου καὶ τῆς ὑπακοῆς προτιμήσας τὴν ἀνάγνωσιν, τὰ προσταχθέντα αὐτῷ ἔργα βραδύτερον ἐκτελέσῃ, ἢ ἀπολυθείσης τῆς συνάξεως μὴ ταχέως πρὸς τὸ ἔργον αὐτοῦ ἀναδράμῃ ἢ μετά τινος ὁμιλήσῃ ἐκτὸς ἀναγκαίας χρείας, ἢ ἄλλου τὴν χεῖρα κατάσχῃ μετὰ παρρησίας, ἢ τι τῶν ὁμοίων τούτοις πλημμελήσῃ, τούτῳ ἐπιτιμίῳ ἐνυποβάλλεται· συνηγμένων τῶν ἀδελφῶν ἐν τῇ συνάξει, ῥίψας ἑαυτὸν ἐπὶ τὴν γῆν, συγχώρησιν αἰτεῖ τοῦ ἰδίου σφάλματος.

Τὰ δὲ παχύτερα τούτων πταίσματα εἴ τις εὑρεθῇ πράττων ἅτινά ἐστι καταφρόνησις· ἀντιλογία μετὰ ὑπερηφανίας· ἢ ἐκ τοῦ Μοναστηρίου πρόοδος, ἐκτὸς ἐπιτροπῆς τοῦ Ἀββᾶ· ἢ πρὸς γυναῖκας ἢ τινας τῶν ἔξω τοῦ Κοινοβίου συντυχία· ἢ ὀργή· ἢ μάχη· ἢ ἔχθρα· ἢ μνησικακία ἢ φιλαργυρία, ἥτις ἐστὶ λέπρα ψυχῆς· ἢ κτῆσις οἱουδήποτε πράγματος, ἐκτὸς τῶν διδομένων παρὰ τοῦ Ἀββᾶ· ἢ τροφῆς ἄνευ εὐλογίας, κλεψιμαίῳ τρόπῳ γινομένης, καὶ τὰ τούτοις παραπλήσια, οὐ τῷ εἰρημένῳ ἐπιτιμίῳ ὑποβάλλεται, ἀλλὰ σφοδροτέρῳ καὶ μείζονι· καὶ εἰ μὴ διορθωθῇ, ἐκβάλλεται τοῦ Μοναστηρίου· τοσαύτη δὲ ταπεινοφροσύνη καὶ σπουδὴ ἐν τῇ διακονίᾳ ἐπιτελεῖται παρ᾽ αὐτῶν, ὅση οὐκ ἂν δεσπόταις παρὰ δούλων παρασχεθείη.

Ἑρμηνεία

ΕΙΣ ΟΛΑ τὰ Κοινόβια τῆς Αἰγύπτου καὶ τῆς Ἀνατολῆς ἐφαρμόζονται αἱ ἑξῆς κανονικαὶ διατάξεις.

Ἐκεῖνος, ποὺ θὰ ἔλθῃ εἰς τὸ Κοινόβιον μὲ τὴν ἐπιθυμίαν νὰ μονάσῃ, δὲν θὰ γίνῃ δεκτὸς ἐὰν προηγουμένως δὲν ἀποδείξῃ ὅτι ἔχει πραγματικὸν πόθον πρὸς τὸν Θεὸν καὶ κάποιαν πεῖραν ταπεινώσεως καὶ μακροθυμίας, μὲ τὴν ὅσον τὸ δυνατόν, περισσοτέραν ὑπομονήν του.

Ἀφοῦ λοιπὸν ὁ ὑποψήφιος Μοναχὸς δοκιμασθῇ εἰς αὐτά, τότε μόνον γίνεται δεκτὸς καὶ διδάσκεται, ὅτι δὲν πρέπει τίποτε νὰ κρατήσῃ ἀπὸ τὴν περιουσίαν του.

Κατ' αὐτὸν τὸν τρόπον ἀπογυμνώνεται ὁ προσερχόμενος ἀπὸ τὴν παλαιὰν ὑλικὴν περιουσίαν του, ὥστε νὰ μὴ ἐπιτρέπεται πλέον νὰ φορῇ

οὔτε αὐτὸ τὸ ἔνδυμα τὸ ὁποῖον ἐφόρει ὅταν προσῆλθεν εἰς τὸ Μοναστήριον· ὅταν λοιπὸν ὅλοι οἱ ἀδελφοὶ συγκεντρωθοῦν εἰς τὸν Ναὸν τοῦ Μοναστηρίου, προχωρεῖ εἰς τὸ μέσον αὐτῶν, ἀποβάλλει τὰ κοσμικὰ ἐνδύματά του καὶ ἐνδύεται, ἐκ νέου, ἀπὸ τὸν ἴδιον τὸν Ἡγούμενον μὲ τὰ καθιερωμένα ἐνδύματα καὶ ράσα τοῦ Μοναστηρίου. Διὰ τοῦ τύπου αὐτοῦ ἐπιδιώκεται νὰ ἐννοήσῃ ὁ ὑποψήφιος, ὅτι ἀπεγυμνώθη ἀπὸ ὅλα τὰ κοσμικὰ πράγματα καὶ τὴν ἀλαζονείαν καὶ τὸν ἐγωϊσμὸν καὶ ἐφόρεσε πλέον τὴν πτωχείαν τοῦ Χριστοῦ καὶ ὅτι, χωρὶς νὰ ἐντρέπεται, συγκαταριθμεῖ τὸν ἑαυτόν του μὲ τοὺς Μοναχοὺς καὶ ἐξισώνεται πρὸς τὰ μέλη τῆς ἀδελφότητος.

Τὰ ἐνδύματα ποὺ ἐκδύεται ὁ ὑποψήφιος, τὰ παραλαμβάνει ὁ Οἰκονόμος τοῦ Μοναστηρίου καὶ τὰ φυλάττει ἐπὶ ἀρκετὸν χρόνον εἰς ἕνα ὡρισμένον μέρος, μέχρις ὅτου δηλαδὴ παρουσιάσῃ προκοπήν, καὶ δώσῃ ἀποδείξεις διὰ τὴν ἐνάρετον ζωήν του καὶ τὴν ὑπομονήν του εἰς τοὺς διαφόρους πειρασμούς. Καὶ ἐὰν μὲν τὸν εὕρουν νὰ ἔχῃ τὴν δύναμιν νὰ ὑπομένῃ ὅλα αὐτά, νὰ διατηρῇ τὸ ἴδιον ἐνδιαφέρον, καὶ τὴν ἰδίαν διάπυρον θέρμην, μὲ τὴν ὁποίαν ἤρχισε τὸ μοναχικόν του στάδιον, τότε τὸν κατατάσσουν ἐπισήμως εἰς τὴν ἀδελφότητα.

Ἐὰν ὅμως ἀντιληφθοῦν κάποιο ἐλάττωμα γογγυσμοῦ εἰς αὐτόν, ἢ κάποιο παράπτωμα ὁποιασδήποτε παρακοῆς, τότε ἀφοῦ ἀφαιρέσουν ἀπὸ αὐτὸν τὰ ἐνδύματα, ποὺ τοῦ ἐφόρεσαν εἰς τὸ Μοναστήριον, καὶ τοῦ φορέσουν, πάλιν, τὰ κοσμικὰ ἐνδύματά του, τὸν ἀπομακρύνουν ἀπὸ τὸ Κοινόβιον. Ἐξ αἰτίας λοιπὸν τῆς ἀκριβείας αὐτῆς δὲν εἶναι εὔκολον νὰ ἀναχωρῇ, ἀπὸ τὸ Μοναστήριον, αὐτὸς ποὺ θέλει, ἔτσι τυχαίως, ἀλλὰ μόνον ἐκεῖνος, ποὺ δὲν παραμένει σταθερός, εἰς ὅλας τὰς περιπτώσεις, καὶ εἰς τὴν ὁμολογίαν, ποὺ ἔδωσεν· αὐτὸς φορεῖ ἐκ νέου τὸ κοσμικὸν ἔνδυμα καὶ τοιουτοτρόπως ἀπολύεται ἀπὸ τὸ Μοναστήριον.

Ὅταν λοιπὸν ὁ ὑποψήφιος, ποὺ ἐγένετο δεκτὸς εἰς τὸ Μοναστήριον, δοκιμασθῇ μετὰ πάσης ἀκριβείας, κατὰ τὸν τρόπον ποὺ προείπαμεν καὶ εὑρεθῇ τέλειος, δὲν ἐπιτρέπεται ἀμέσως νὰ συγκαταλεχθῇ εἰς τὴν συνοδείαν τῶν ἀδελφῶν, ἀλλὰ παραδίδεται εἰς ἐκεῖνον, ποὺ ἔχει τὴν ὑπηρεσίαν τῆς φροντίδος καὶ περιποιήσεως τῶν ξένων καὶ διατάσσεται νὰ τοὺς φροντίζῃ καὶ νὰ τοὺς ὑπηρετῇ εἰς ὅλα. Καὶ ἀφοῦ ὑπηρετήσῃ τοὺς ξένους ἐπὶ ὁλόκληρον ἔτος, ἐπιδείξας ἀρίστην ἱκανότητα εἰς τὸ διακόνημα αὐτό, καὶ συνηθίσῃ, ἐκ τῆς ὑπηρεσίας αὐτῆς, εἰς τὴν ταπείνωσιν καὶ τὴν μακροθυμίαν, τότε πλέον συναριθμεῖται εἰς τὴν συνοδείαν τῶν ἀδελφῶν.

Ἐκεῖνος δέ, ποὺ θὰ ἀναλάβῃ, ὡς ὑποτακτικόν, τὸν ἐνταχθέντα εἰς τὴν ἀδελφότητα νέον Μοναχόν, ἔχει τὴν φροντίδα νὰ διδάξῃ τὸν μαθητευόμενόν του ποίαν ὁδὸν πρέπει νὰ ἀρχίσῃ, διὰ νὰ ἠμπορέσῃ νὰ φθάσῃ εἰς τὸ ὕψος τῆς τελειοτάτης ἀρετῆς.

Μεταξὺ τῶν πρώτων λοιπὸν τὸν διδάσκει πῶς νὰ νικᾷ τὰς ἰδικάς του ἡδονάς, μὲ τὸ νὰ τὸν διατάσσῃ τὰ ἀντίθετα πρὸς τὰ θελήματά του. Διότι, καθὼς λέγουν οἱ Πατέρες, δὲν ἠμπορεῖ κανεὶς νὰ χαλιναγωγήσῃ

τὰς ἡδονάς του, ἢ νὰ καταβάλῃ τὴν ὀργήν, ἢ τὴν λύπην, ἢ νὰ ἀποκτήσῃ πραγματικῶς ταπείνωσιν, ἤ, μὲ ἕνα λόγον, νὰ τελειώσῃ καλῶς τὸν προορισμόν του εἰς τὸ Κοινόβιον, συνασκούμενος μὲ ἀδελφότητα, ἐὰν δὲν νεκρώσῃ προηγουμένως, μὲ τὴν ὑπακοήν, τὰ θελήματά του.

Ἀφοῦ προβιβάσουν τὸν μαθητευόμενον μὲ αὐτοὺς τοὺς κανονισμοὺς καὶ τὰς διδασκαλίας, τὸν διδάσκουν, πάλιν, ἐν συνεχείᾳ, νὰ μὴ ἀποκρύπτῃ τοὺς λογισμούς του, ἀλλὰ ἀμέσως, μόλις ἐπέρχονται, νὰ τοὺς ἐξομολογῆται εἰς τὸν πνευματικόν του Πατέρα καὶ νὰ μὴ ἐμπιστεύεται εἰς τὴν καρδίαν του νὰ διακρίνῃ αὐτούς, ἀλλὰ νὰ θεωρῇ ὡς ἀγαθὸν ἢ κακὸν ἐκεῖνο, ποὺ θὰ τοῦ φανερώσῃ ὁ Πατὴρ μὲ τὴν ἰδικήν του διάκρισιν.

Τόσον αὐστηρὰ δὲ τηρεῖται ἀπὸ αὐτοὺς ἡ ὑπακοή, ὥστε κανεὶς νὰ μὴ τολμᾷ, ἐκτὸς τοῦ Ἡγουμένου, οὔτε νὰ ἐξέρχεται ἀπὸ τὸ κελλί, ποὺ κάθεται. Φροντίζουν δὲ νὰ ἐκτελοῦν τὰς ἐντολὰς τοῦ Ἡγουμένου μετὰ τοσούτου ζήλου, ὡς νὰ δέχωνται τὰς ἐντολὰς αὐτὰς ἀπὸ τὸν Θεόν.

Ἐνῷ δὲ παραμένουν εἰς τὰ κελλία των καὶ μὲ ἄγρυπνον τὴν προσοχήν των ἐπιδίδονται εἰς τὸ ἐργόχειρον, τὴν μελέτην καὶ τὴν προσευχήν, μόλις ἀκούσουν αὐτὸν ποὺ κτυπᾷ τὴν θύραν ἑκάστου κελλίου, διὰ νὰ τοὺς καλέσῃ ἢ εἰς τὴν κοινὴν προσευχήν, ἢ εἰς ὡρισμένην ἐργασίαν, ἀφήνουν ἀμέσως ὅλα καὶ σπεύδουν νὰ ἐκτελέσουν τὴν ἐντολήν, φιλοτιμούμενοι νὰ ἐφαρμόσουν, μὲ ὅλον των τὸν ζῆλον, τὴν ἀρετὴν τῆς ὑπακοῆς, τὴν ὁποίαν καὶ προτιμοῦν περισσότερον ὄχι μόνον ἀπὸ τὸ ἐργόχειρον, καὶ τὴν ἀνάγνωσιν, καὶ τὴν ἡσυχίαν τοῦ κελλίου, ἀλλὰ καὶ ἀπὸ ὅλας τὰς ἄλλας ἀρετάς· διότι ὅλα τὰ ἄλλα ἔρχονται δεύτερα.

Μεταξὺ δὲ τῶν ἄλλων ἐκεῖνο ποὺ εἶναι περιττὸν καὶ νὰ τὸ εἴπωμεν, εἶναι ὅτι κανεὶς ἀπὸ τοὺς Μοναχοὺς αὐτοὺς δὲν κρατεῖ ἄλλο τίποτε, ἐκτὸς ἀπὸ ἕνα κοντόρρασον, ἕνα ράσον χονδρόν, πέδιλα, τὸ δερμάτινον ἐπανωφόριον καὶ τὴν ψάθαν του, ποὺ τοῦ χρησιμεύει ὡς στρῶμα, θεωροῦντες ὡς ἐντροπὴν τὸ νὰ λέγουν μεταξύ των· τὸ βιβλίον μου, ὁ κονδυλοφόρος μου, τὸ σημειωματάριόν μου ἢ ὁ,τιδήποτε ἄλλο ἰδικόν μου.

Ἕκαστος δὲ ἐξ αὐτῶν μαζεύει τόσα εἰς τὸ Μοναστήριον ἀπὸ τὴν ἐργασίαν του, ὥστε νὰ ἐπαρκοῦν, ὄχι μόνον διὰ τὰς ἰδικάς του ἀνάγκας, ἀλλὰ διὰ νὰ βοηθοῦν καὶ εἰς τὴν ἐξυπηρέτησιν τῶν ξένων καὶ πτωχῶν. Κοπιάζοντες δὲ τόσον δὲν ἀλαζονεύονται, δὲν ὑπερηφανεύονται, οὔτε κανεὶς ἀπὸ αὐτοὺς ζητεῖ ἀνάπαυσιν, ἀπὸ τὴν ἐργασίαν του καὶ τὸν ἱδρῶτα του, περισσοτέραν ἀπὸ τὴν ὑπάρχουσαν ἀνάγκην· οὔτε ἀποκτᾷ κτῆμα ἐξ οἱασδήποτε ὕλης, παραμένων ὡς πάροικος καὶ ἀποξενωμένος ἀπὸ ὅλον τὸν κόσμον καὶ θεωρῶν τὸν ἑαυτόν του δοῦλον καὶ ὑπηρέτην τῶν ἀδελφῶν, παρὰ κύριον οἱουδήποτε γηΐνου πράγματος. Ἐὰν κανεὶς σπάσῃ σκεῦος, ἢ χάσῃ ὁποιοδήποτε πρᾶγμα, ἐξομολογεῖται εἰς τὸν Ἡγούμενον τὸ σφάλμα τῆς ἀπροσεξίας του καί, δι' εἰλικρινοῦς μετανοίας, λαμβάνει συγχώρησιν.

Ὅποιος προσκληθῇ εἰς ἐργασίαν, ἢ εἰς σύναξιν, καὶ προσέλθῃ βραδύτερον, ἢ ἀπαντήσῃ μὲ θυμόν, ἢ μὲ αὐθάδειαν, ἢ ἐκτελέσῃ τὰ προσταχθέντα μὲ γογγυσμόν, ἢ δὲν ἐπιδείξῃ τὴν ἀπαιτουμένην ἐπιμέλειαν, ἢ

προτιμήση, ἀπὸ τὴν ἐργασίαν καὶ τὴν ὑπακοήν, τὴν ἀνάγνωσιν καὶ ἐκτελέση βραδύτερον τὴν ἐργασίαν, ποὺ τὸν διέταξαν, ἤ, μετὰ τὸ τέλος τῆς ἀκολουθίας, δὲν τρέξη ἀμέσως εἰς τὴν ἐργασίαν, ἢ ὁμιλήση μὲ κάποιον, χωρὶς σοβαρὰν ἀνάγκην, ἢ κρατήση τὸ χέρι τοῦ ἄλλου μὲ ἐπιδεικτικότητα, ἤ, τέλος, περιπέση εἰς παρόμοιον σφάλμα, εἰς αὐτὸν ἐπιβάλλεται τιμωρία· ὅταν δὲ οἱ ἀδελφοὶ συγκροτήσουν σύναξιν, τότε ὁ τιμωρημένος πίπτει κατὰ γῆς καὶ ζητεῖ συγχώρησιν τοῦ σφάλματός του.

Τὰ δὲ βαρύτερα παραπτώματα, εἰς τὰ ὁποῖα δύναται νὰ ὑποπέση κάποιος Μοναχός, εἶναι τὰ ἑξῆς. Καταφρόνησις, ἀντιλογία μὲ ὑπερηφάνειαν· ἔξοδος, χωρὶς τὴν ἄδειαν τοῦ Ἡγουμένου ἀπὸ τὸ Μοναστήρι· ἡ συνάντησις ἔξω ἀπὸ τὸ Κοινόβιον μὲ γυναῖκας ἢ μὲ ἄλλα πρόσωπα· ἡ ὀργή, ὁ διαπληκτισμός, ἡ ἔχθρα, ἡ μνησικακία, ἡ φιλαργυρία, ποὺ εἶναι λέπρα τῆς ψυχῆς, ἡ ἀπόκτησις οἱουδήποτε πράγματος, ἐκτὸς ἐκείνων, ποὺ δίδει ὁ Ἡγούμενος· τὸ φαγητόν, χωρὶς εὐλογίαν, καὶ ποὺ πραγματοποιεῖται ὡς μία κλοπή· καὶ ὅλα τὰ σχετικά, μὲ τὰ ἀνωτέρω, παραπτώματα. Ὅλα αὐτὰ δὲν τιμωροῦνται μὲ τὴν ἁπλῆν τιμωρίαν τοῦ ἐπιτιμίου, ἀλλὰ μὲ μεγαλυτέραν καὶ αὐστηροτέραν. Καὶ ἐὰν ὁ Μοναχὸς δὲν διορθωθῆ, τότε ἐκδιώκεται καὶ ἀπὸ τὸ Μοναστήριον.

Τόση δὲ ταπεινοφροσύνη καὶ ἐπιμέλεια ἐπιδεικνύεται, κατὰ τὰς διαφόρους ὑπηρεσίας, ὅση δὲν θὰ ἦτο δυνατὸν νὰ παρασχεθῆ εἰς κυρίους ἀπὸ τοὺς δούλους των.

Θ΄. Ἐκ τῶν Διαταγῶν τῶν Ἁγίων Ἀποστόλων

ΟΙ ΠΡΩΤΩΣ προσιόντες τῷ μυστηρίῳ τῆς εὐσεβείας, διὰ τῶν Διακόνων προσαγέσθωσαν τῷ Ἐπισκόπῳ ἢ τοῖς Πρεσβυτέροις· καὶ τὰς αἰτίας ἀνεταζέσθωσαν, οὗ χάριν προσῆλθον τῷ κυριακῷ λόγῳ· οἱ δὲ προσενέγκαντες μαρτυρείτωσαν ἀκριβώσαντες τὰ κατ᾽ αὐτούς. Ἐξεταζέσθω δὲ αὐτῶν ἀκριβῶς καὶ ὁ τρόπος καὶ ὁ βίος· καὶ εἰ δοῦλοί εἰσιν ἢ ἐλεύθεροι, καὶ ἐὰν ᾖ τις δοῦλος, ἐρωτάσθω ὁ δεσπότης αὐτοῦ, εἰ μαρτυρεῖ αὐτῷ· εἰ δὲ μή, ἀποβαλέσθω, ἕως ἂν ἄξιον ἑαυτὸν ἐπιδείξῃ τῷ δεσπότῃ.

Ἑρμηνεία


ΕΚΕΙΝΟΙ, ποὺ προσέρχονται διὰ πρώτην φορὰν εἰς τὸ μυστήριον τῆς εὐσεβείας* ἂς ὁδηγοῦνται ἀπὸ τοὺς Διακόνους ἐνώπιον τοῦ Ἐπισκόπου ἢ τῶν πρεσβυτέρων. Ὁ Ἐπίσκοπος δέ, ἢ οἱ πρεσβύτεροι, ἂς ἐξετάζουν, προσεκτικῶς, τὴν αἰτίαν, ποὺ τοὺς παρεκίνησε νὰ προσέλθουν εἰς τὸν λόγον τοῦ Κυρίου· ἐκεῖνοι, πάλιν, ποὺ τοὺς ὡδήγησαν, ἂς

---

* Ἐδῶ ἀναφέρεται ἕνα ἀπόσπασμα ἀπὸ τὰς Ἀποστολικὰς Διαταγὰς ποὺ ἀφορᾶν μὲν τοὺς προσερχομένους εἰς τὸν Χριστιανισμὸν εἰδωλολάτρας, εἶναι ὅμως ὁμοιότατον εἰς τοὺς τύπους καὶ τὴν οὐσίαν μὲ τὸν προσερχόμενον εἰς τὸ Κοινόβιον ὑποψήφιον Μοναχόν.

ἐξακριβώνουν καὶ ἂς πληροφοροῦν ὑπευθύνως τὰ κατ' αὐτούς. Ἂς ἐξετάζεται δὲ λεπτομερῶς ἡ διαγωγή των καὶ ἡ ζωή των, καὶ ἐὰν εἶναι δοῦλοι ἢ ἐλεύθεροι· ἐὰν δὲ κάποιος ἐκ τῶν προσερχομένων εἶναι δοῦλος, ἂς ἐρωτᾶται ὁ κύριός του, ἐὰν δύναται νὰ διαβεβαιώση διὰ τὸ ἦθος του· διαφορετικά, νὰ μὴ γίνεται δεκτὸς ἕως ὅτου ὁ ἴδιος διὰ τῆς διαγωγῆς του ἀποδείξη εἰς τὸν ἐπίσκοπον τὸν ἑαυτόν του ἄξιον.






ΥΠΟΘΕΣΙΣ ΚΖ΄

Περὶ τοῦ ὅτι καὶ αἱ περιστατικαὶ ἀποταγαί, οὐ πάντῃ ἀπόβλητοι· καὶ ὅτι πάντα τὸν προσιόντα τῷ κοινοβίῳ, καὶ τὴν μετὰ τῶν ἀδελφῶν οἴκησιν θερμῶς ἐξαιτούμενον, οὐ δεῖ παρευθὺς παντελῶς ἀποπέμπεσθαι, πρὸ τῆς ἀκριβοῦς τῶν κατ᾽ αὐτὸν διαγνώσεως· ἀλλὰ παραιτεῖσθαι μὲν ποσῶς καὶ δοκιμάζειν κατὰ τὰ προγραφέντα· ἐμμένοντα δὲ τῇ προθέσει καὶ μετὰ τὴν δοκιμασίαν παραδέχεσθαι, εἰμή τι ἕτερον ἀπηγορευμένον τοῖς θείοις νόμοις παρακολουθεῖ τῷ πράγματι.

Περὶ τοῦ ὅτι δὲν πρέπει νὰ ἀποκρούωνται τελείως καὶ αἱ ἐκ διαφόρων περιστατικῶν ἀρνήσεις τοῦ κόσμου καὶ δὲν πρέπει νὰ ἀποδιώκωμεν ἀμέσως ὁποιονδήποτε προσέλθῃ εἰς τὸ Κοινόβιον καὶ ζητεῖ θερμῶς νὰ παραμείνῃ μὲ τοὺς ἀδελφούς, πρὶν ἐξετάσωμεν λεπτομερῶς τὰ κατ᾽ αὐτόν· ἀλλὰ νὰ τοῦ παραχωρῶμεν κάποιαν δυνατότητα παραμονῆς, καὶ νὰ τὸν δοκιμάζωμεν, σύμφωνα μὲ αὐτά, ποὺ προεγράψαμεν. Ἀφοῦ δὲ διαπιστώσωμεν ὅτι ἐμμένει εἰς τὴν πρόθεσίν του, καὶ μετὰ τὴν δοκιμασίαν, νὰ τὸν κάμνωμεν δεκτὸν εἰς τὸ Κοινόβιον, ἐκτὸς ἐὰν συμβαίνῃ κάτι, ποὺ τὸ ἀπαγορεύουν οἱ θεῖοι νόμοι.



Α΄. Παλλαδίου



ΕΩΤΕΡΟΣ τις ὀνόματι Μακάριος, ὡς ἐτῶν δέκα καὶ ὀκτώ, παίζων μετὰ τῶν συνηλίκων, ἀκούσιον φόνον εἰργάσατο· καὶ φοβηθείς, καταλαμβάνει τὴν ἔρημον· εἰς τοσοῦτον δὲ ἤλασε φόβον θεῖον τε καὶ ἀνθρώπινον, ὡς τριετίαν ὅλην ἄστεγος μείνας ἐν τῇ ἐρήμῳ ἀναισθητῆσαι· ἡ δὲ γῆ ἐκείνη, ἄβροχος τελείως ὑπάρχει. Μετὰ δὲ τοῦτο, ἐν ταύτῃ ᾠκοδόμησεν ἑαυτῷ κελλίον· καὶ ζήσας ἐν αὐτῷ ἄλλα εἴκοσι καὶ πέντε ἔτη, ἠξιώθη χαρίσματος τοῦ ἐντρυφᾶν τῇ μονώσει, καὶ καταπτύειν τῶν δαιμόνων παντάπασι.

Τούτῳ οὖν ἐγὼ πολὺν συγγενόμενος χρόνον, καὶ μαθὼν παρ᾽ αὐτοῦ τὰ περὶ αὐτόν, καὶ τὴν αἰτίαν τῆς ἀναχωρήσεως, ἠρώτων αὐτὸν ἐν μιᾷ εἰπεῖν μοι πῶς διάκειται ὁ λογισμὸς αὐτοῦ ἐπὶ τῇ τοῦ φόνου ἁμαρτίᾳ· ὁ δὲ τοσοῦτον εἶπεν

ἀπέχειν τοῦ ἐπ' αὐτῇ λυπεῖσθαι, ὡς καὶ προσευχαριστεῖν τῇ τοῦ φόνου αἰτίᾳ· γεγένηται γάρ μοι, φησίν, ὑπόθεσις σωτηρίας ὁ ἀκούσιος φόνος· ἔφερε δὲ καὶ μαρτυρίαν ἀπὸ τῆς γραφῆς, λέγων περὶ τοῦ Μωϋσέως, ὅτι κἀκεῖνος εἰ μὴ διὰ τὸν φόβον τοῦ κατὰ τὴν Αἴγυπτον φόνου, ἀποδιδράσκων τὸν Φαραώ, ἔφυγεν εἰς Μαδηναίους, καὶ κατείληφε τὸ ὄρος Σινᾶ, οὐκ ἂν ἠξιώθη τῆς δεσποτικῆς θεοπτίας, καὶ τῶν τοσούτων δωρεῶν, καὶ τῆς συγγραφῆς τῶν λογίων τοῦ πνεύματος. Δῆλον οὖν ἐκ τούτου, ὅτι συμβαίνει ποτέ τινα καὶ ἀκουσίῳ γνώμῃ προσελθόντα τῷ ἀγαθῷ, τῆς ἐπ' αὐτῷ προκοπῆς μεγίστης ἀξιωθῆναι.

Ἑρμηνεία

ΚΑΠΟΤΕ κάποιος νέος, ὀνομαζόμενος Μακάριος, μέχρι δέκα ὀκτὼ ἐτῶν, καθὼς ἔπαιζε μὲ τοὺς συνομηλίκους του, διέπραξε φόνον, χωρὶς νὰ τὸ θέλῃ. Ἀπὸ τὸν φόβον του καταφεύγει εἰς τὴν ἔρημον· τόσον πολὺ δὲ κατελήφθη ἀπὸ θεῖον καὶ ἀνθρώπινον φόβον, ὥστε νὰ παραμείνῃ ἄστεγος ἐπὶ ὁλόκληρον τριετίαν εἰς τὴν ἔρημον καὶ νὰ μὴ αἰσθάνεται καθόλου τὰς κακουχίας τῆς ἐρήμου· εἰς τὴν περιοχὴν δὲ ἐκείνην, ποὺ παρέμενε, δὲν βρέχει σχεδὸν ποτέ *. Ἀφοῦ ἐπέρασεν ἡ τριετία τῆς κρίσεως, ἔκτισεν εἰς αὐτὴν τὴν φοβερὰν ἔρημον ἕνα κελλί· εἰς τὸ κελλὶ αὐτὸ ἔζησεν ἄλλα εἴκοσι πέντε ἔτη καὶ ἠξιώθη νὰ λάβῃ τὸ χάρισμα νὰ εὐχαριστῆται εἰς τὴν μόνωσιν καὶ νὰ μὴ φοβῆται καθόλου τοὺς δαίμονας.

Μὲ αὐτὸν λοιπὸν ἐγὼ ἔζησα ἐπὶ πολὺν χρόνον καὶ ἔμαθα ἀπὸ τὸν ἴδιον τὴν ζωήν του, καθὼς καὶ τὴν αἰτίαν τῆς ἐκ τοῦ κόσμου ἀναχωρήσεώς του. Μίαν ἡμέραν τὸν ἠρώτησα νὰ μοῦ εἴπῃ τί σκέπτεται διὰ τὴν ἁμαρτίαν τοῦ φόνου, ποὺ διέπραξεν. Ἐκεῖνος μοῦ ἀπήντησε· τόσον πολὺ ἀπέχω ἀπὸ τοῦ νὰ λυποῦμαι δι' αὐτήν, ὥστε, ἀντιθέτως, νὰ μὲ εὐχαριστῇ ἡ αἰτία τοῦ φόνου, διότι ὁ ἀθέλητος αὐτὸς φόνος μοῦ ἔγινεν ἀφορμὴ σωτηρίας. Ἐδικαιολόγησε δὲ τὴν σκέψιν του αὐτὴν μὲ μαρτυρίαν ἀπὸ τὴν ἁγίαν Γραφήν· καὶ μοῦ ἀνέφερε τὴν περίπτωσιν τοῦ Μωϋσέως· ἐκεῖνος — μοῦ ἔλεγεν — ἐὰν δὲν ἔφευγεν ἀπὸ φόβον, διὰ τὸν φόνον τοῦ Αἰγυπτίου καὶ δὲν κατέφευγεν εἰς τὴν χώραν τῶν Μαδηναίων, φθάνων μέχρι τοῦ ὄρους Σινᾶ, δὲν θὰ ἠξιώνετο νὰ ἀναδειχθῇ θεόπτης, νὰ ἀπολαύσῃ τὸ πλῆθος τῶν δωρεῶν τοῦ Θεοῦ καὶ νὰ συγγράψῃ, μὲ τὸν φωτισμὸν τοῦ Ἁγίου Πνεύματος, τὰ θεόπνευστα βιβλία.

Ἀπὸ τὸ περιστατικὸν αὐτὸ γίνεται φανερόν, ὅτι συμβαίνει κάποτε νὰ προσέλθῃ ἕνας ἄνθρωπος εἰς τὸ ἀγαθὸν ἔστω καὶ χωρὶς νὰ ἔχῃ ἀρχικῶς τοιαύτην πρόθεσιν, καὶ ὅμως νὰ προκόψῃ πάρα πολὺ εἰς αὐτό.

---

* Πρόκειται περὶ τῆς ἐρήμου τῆς Ἄνω Αἰγύπτου εἰς τὴν ὁποίαν οὐδόλως βρέχει παρὰ μόνον σπανιώτατα καὶ τότε πάλιν ἐλάχιστα. Κατὰ συγχρόνους παρατηρήσεις ὑπῆρξε περίοδος, κατὰ τὴν ὁποίαν ἐπὶ 17 ἔτη οὔτε σταγὼν βροχῆς δὲν ἔπεσεν εἰς τὴν περιοχὴν αὐτήν.

Β'. Τοῦ Ἁγίου Ἐφραίμ

ΕΑΝ ἔλθῃ ἀδελφὸς εἰς κοινόβιον ἔκ τινος περιστάσεως, ἀσφαλιζέσθω ἑαυτόν, ἵνα μὴ ἐξ εὐλογοφανείας δῆθεν κυριεύσῃ αὐτοῦ ὁ ἐχθρός· καὶ γὰρ ὑποβάλλει αὐτῷ ὁ πονηρὸς καὶ λέγει· τί θέλεις σὺ φιλοπονεῖν εἰς τὰς ἀρετάς, καὶ ταλαιπωρεῖν, ἀνταποδόσεώς σοι μὴ οὔσης; μὴ γὰρ ἐξ ἰδίας προαιρέσεως ἦλθες εἰς τὸν Μοναχόν; εἰ μὴ γὰρ συνέβη σοι ἐκεῖνο τὸ πρᾶγμα, καὶ δι' ἀνάγκην γέγονας Μοναχός, οὐκ ἂν ποτε ἀφ' ἑαυτοῦ ἠθέλησας τοῦτο. Μὴ οὖν θέλε ἄρτι κοπιᾶν εἰς μάτην· οὐ γὰρ ἔχει σοι ὁ Θεὸς χάριν ἐν τούτῳ. Ταῦτα καὶ τὰ τοιαῦτα ὑποβάλλει ὁ ἐχθρὸς τῷ ἀδελφῷ, θέλων αὐτὸν κρημνίσαι εἰς ἀπόγνωσιν· καὶ εἰ οὐ νήφει ὁ ἀδελφός, καὶ λογισάμενος τὴν εὐεργεσίαν τοῦ Κυρίου ἀντιστῇ στερρῶς τῇ πίστει, ἐκδίδωσιν ἑαυτὸν τῇ ἀπογνώσει τυφλωθεὶς τὴν διάνοιαν, καὶ ἄρχεται ἐν ἀμελείᾳ διάγειν, καὶ ἀφοβίᾳ καὶ πάσῃ ἀδιαφορίᾳ, καὶ οὕτω καταντᾷ εἰς τελείαν ἀπώλειαν.

Χρὴ οὖν μὴ πείθεσθαι τῷ ἐχθρῷ τοιαῦτα ὑποβάλλοντι, ἀλλὰ μᾶλλον περισσοτέρως φιλοπονεῖν εἰς τὰς ἀρετάς, τῶν εὐεργεσιῶν τοῦ Κυρίου μεμνημένον, καὶ λέγειν πρὸς ἑαυτόν· ψυχή, πόσοι διὰ πολλῶν νηστειῶν καὶ ἐλεημοσυνῶν ἠξιώθησαν εἰς τὴν τοιαύτην πολιτείαν ἐλθεῖν, ἐγὼ δὲ ἐν ἀμελείᾳ διαγαγὼν τὸν πάντα χρόνον τῆς ζωῆς μου, ἠξιώθην ὑπὸ τῆς ἀγαθότητος τοῦ Θεοῦ εἰς τὴν τοιαύτην ἐλθεῖν τάξιν τοῦ σεμνοῦ καὶ ἀπερισπάστου βίου, μὴ λογισαμένου μοι τοῦ φιλανθρώπου δεσπότου τὰς πολλὰς καὶ ἀναριθμήτους μοι ἁμαρτίας. Τοιγαροῦν, καὶ ἡμεῖς, ψυχή, σπουδάσωμεν ἄξια τῆς μετανοίας ἔργα πρᾶξαι, ἵνα μὴ δισσῶς κολασθῶμεν, ὡς καὶ τὴν χάριν τοῦ Θεοῦ ἀθετήσαντες, καὶ τὸ ἐπάγγελμα μὴ τηρήσαντες. Διηγήσομαι δέ σοι, ἀγαπητέ, καὶ παραβολὴν περὶ τούτου, ἵνα πλείονα προθυμίαν ἔξῃς καὶ μὴ ἀμφιβάλλῃ σου ὁ λογισμός.

Πλούσιός τις ἦν ἐν χώρᾳ τινί, καὶ ἠγόρασεν ἑαυτῷ κτῆσιν πέραν τοῦ ποταμοῦ, καὶ ἀπεδήμησεν εὐθέως· καὶ προσκαλεσάμενος τοὺς ἰδίους δούλους, διεμέρισεν αὐτοῖς τὴν κτῆσιν· καὶ εἶπεν αὐτοῖς· ἀπέλθετε ἕκαστος ὑμῶν εἰς τὴν μερίδα αὐτοῦ καὶ ἐργάζεσθε ἐν αὐτῇ, ἕως ἂν ἐλθὼν ὄψομαι ἑκάστου ὑμῶν τὴν ἐργασίαν. Τινὲς οὖν ἐξ αὐτῶν, εὐγνώμονες εὑρεθέντες καὶ φιλοδέσποτοι, οὐ παρήκουσαν τῆς διαταγῆς τοῦ κυρίου αὐτῶν, ἀλλ' ἀπελθόντες εἰργάζοντο· ἕτεροι δὲ ἐκ τούτων, ἀνήκοοι ὄντες καὶ σκληροτράχηλοι, ἀντεῖπον τῷ δεσπότῃ αὐτῶν λέγοντες· ἡμεῖς τῆς φωνῆς σου οὐκ ἀκουσόμεθα, καὶ τὸν ποταμὸν οὐ διαπεράσομεν καὶ ἐν τῇ κτήσει σου οὐ κοπιάσομεν· καὶ ἐπὶ πᾶσι τούτοις οὐκ ὠργίσθη ὁ κύριος αὐτῶν, ἀλλ' ἐκέλευσε τοῖς ἑαυτοῦ παισὶ παρασκευάσαι πότον· καὶ μεθύσας τοὺς ἀνηκόους δούλους, προσέταξεν ἑτέροις παισὶν ἆραι αὐτούς, καὶ διαπεράσαι τὸν ποταμὸν καὶ θεῖναι ἕκαστον ἐν τῇ μερίδι ᾗ ἔλαχε, τῇ δοθείσῃ αὐτῷ παρ' αὐτοῦ· οἱ δὲ ἐποίησαν ὡς προσετάγησαν καὶ ἀπήγαγον τοὺς δούλους εἰς τὰς μερίδας αὐτῶν.

Μετὰ δὲ τοῦτο, εἷς ἐξ αὐτῶν, ἀνανήψας ἐκ τῆς μέθης καὶ εὑρὼν ἑαυτὸν πέραν τοῦ ποταμοῦ κείμενον εἰς τὴν μερίδα, ἣν ἔδωκεν αὐτῷ ὁ κύριος αὐτοῦ, ἐξέστη ἐπὶ τούτῳ καὶ εἶπεν ἐν ἑαυτῷ· εἰ οὕτως ἠγάπησέ με ὁ κύριός μου, καὶ οὐκ ὠργίσθη ἀπειθήσαντί μοι αὐτῷ, ἀλλ' ἤνεγκε μακροθύμως, καὶ τὸν μέγαν τοῦτον καὶ βίαιον ποταμὸν διεβίβασέ με ὡς δι' ὀνείρου ἀκόπως, καὶ ἐν τῇ μερίδι μου τέθεικέ με, τοιγαροῦν κἀγὼ κοπιάσω σπουδαίως ἐν τῇ κτήσει αὐτοῦ, μεμνημένος τῆς ἀνοχῆς αὐτοῦ

καὶ τῆς ἀγαθότητος, καὶ τῶν εὐεργεσιῶν, ὧν ἐποίησε μετ᾽ ἐμοῦ· καὶ ἤρξατο ὁ δοῦλος ἐκεῖνος ἐργάζεσθαι ἐπιμελῶς, ὥς τε καταλαβεῖν αὐτὸν καὶ τοὺς προεναρξαμένους.

Εἶτα διϋπνισθεὶς καὶ ὁ δεύτερος δοῦλος, καὶ εὑρὼν ἑαυτὸν εἰς τὸ πέραν τοῦ ποταμοῦ ἐν τῇ κτήσει τοῦ κυρίου αὐτοῦ, πονηρὸς ὑπάρχων καὶ ὀκνηρός, εἶπεν ἐν ἑαυτῷ· ἰδοὺ τὸν ποταμὸν τοῦτον τὸν μέγαν καὶ βίαιον διεπέρασέ με, ὡς δι᾽ ὀνείρου, ἐγὼ δὲ ἀφήσω χέρσον τὸν ἀγρὸν αὐτοῦ, καὶ ὄψομαι ὃ μέλλει ποιεῖν· καὶ πάλιν ἀνακλιθεὶς ἐκοιμήθη· καὶ ἐν τῷ καθεύδειν αὐτὸν ἐπὶ πολύ, ἀνέβησαν αἱ ἄκανθαι καὶ ἄγριαι βοτάναι καὶ κατεκάλυψαν αὐτόν.

Μετὰ δὲ χρόνον πολὺν ἦλθεν ὁ κύριος τῶν δούλων ἐκείνων ἐπισκέψασθαι ἑκάστου τὸ ἔργον· καὶ ἰδὼν τὴν ἐργασίαν τῶν προεναρξαμένων, εὐλόγησεν αὐτούς. Ἐλθὼν δὲ καὶ πρὸς τὸν δοῦλον, ὃν αὐτὸς διεπέρασε τὸν ποταμὸν ὡς δι᾽ ὀνείρου, καὶ ἰδὼν αὐτοῦ τὴν καλὴν ἐργασίαν, εὐφράνθη ἐπ᾽ αὐτῷ, καὶ εὐλόγησεν αὐτόν. Εἶτα ἔρχεται καὶ πρὸς τὸν δοῦλον τὸν ὀκνηρόν, ἰδεῖν τὴν ἐργασίαν αὐτοῦ· καὶ εὑρίσκει αὐτὸν καθεύδοντα, καὶ ὑπὸ τῶν ἀκανθῶν κεκαλυμμένον πάντοθεν· καὶ φωνήσας αὐτὸν μετὰ ἀπειλῆς εἶπεν αὐτῷ· δοῦλε πονηρὲ καὶ ὀκνηρέ· διατί χέρσον ἀφῆκάς μου τὸν ἀγρόν; ἢ οὐκ οἶδας πῶς σε διεβίβασα τὸν ποταμὸν ὡς δι᾽ ὀνείρου καὶ τέθεικά σε ἐν τῇ μερίδι ᾗ σοι ἐμέρισα, καὶ οὐκ ἐμνησικάκησά σοι ἐπὶ τῇ προτέρᾳ σου ἀπειθείᾳ; οὐκ ἔδει καὶ σὲ μιμήσασθαι τὸν σύνδουλόν σου, ὃν ὁμοίως σοι διεπέρασα τὸν ποταμόν; ὁ δὲ ἐφιμώθη καὶ οὐδὲ μίαν εὗρεν ἀπολογίαν· τότε ὁ κύριος αὐτῶν ἐποίησεν αὐτοῖς κατὰ τὴν ἑκάστου πρᾶξιν.

Γνῶθι οὖν εἶναι τὸν πλούσιον τὸν Χριστόν· πίστιν δέ, τὴν κτῆσιν· μέθην δέ, τὴν περίστασιν· τὸν δὲ βίαιον ποταμόν, τὸν πλοῦτον τοῦ αἰῶνος τούτου, καὶ τὴν ἀπάτην αὐτοῦ· τοὺς δὲ προθύμους δούλους τοὺς διὰ τὴν τοῦ Θεοῦ ἀγάπην ἀποταξαμένους τῷ βίῳ· τὸν δὲ ἐκ τῆς μέθης ἀνανήψαντα, ἄνδρα φιλήδονον, ὃς περιστάσεως αὐτῷ γενομένης, ἦλθε καὶ αὐτὸς εἰς τὸν μοναδικὸν βίον, καὶ εἰργάσατο τὸ θέλημα τοῦ Θεοῦ· τὸν δὲ ὀκνηρὸν δοῦλον, ἄνθρωπον καὶ αὐτὸν μὲν ἐκ περιστάσεως καὶ ἀνάγκης εἰς τὸ σχῆμα ἐλθόντα, ἀθετήσαντα δὲ τὴν χάριν τοῦ Κυρίου καὶ ἀμελήσαντα τῆς ἑαυτοῦ σωτηρίας. Ἐπὶ δὲ τούτοις ἀναλόγισαι Σαῦλον, ὃς λαβὼν ἐπιστολὰς παρὰ τῶν Ἀρχιερέων, ἐπορεύετο εἰς Δαμασκόν, δήσων τοὺς πιστεύοντας ἐπὶ τὸν Κύριον· καὶ ὁ ἐξελθὼν ἀνατρέπειν τὴν πίστιν, αὐτὸς εὑρέθη κῆρυξ τῆς πίστεως· πολλοὶ γὰρ οἱ οἰκτιρμοὶ τοῦ Κυρίου ἐπὶ πάντας τοὺς ἐν ἀληθείᾳ ἐπικαλουμένους αὐτόν.

Ἑρμηνεία

ΕΑΝ ἕνας ἀδελφὸς ἔλθῃ εἰς Κοινόβιον, ἀπὸ μίαν ἀνάγκην (καὶ ὄχι ἀπὸ ἀρχικὴν διάθεσιν νὰ γίνῃ Μοναχός), ἂς προσέχῃ τὸν ἑαυτόν του μὴ τυχὸν τὸν κυριεύσῃ ὁ ἐχθρὸς μὲ σκέψεις, ποὺ φαίνονται ἐκ πρώτης ὄψεως ὡς δῆθεν λογικαί· διότι ὁ πονηρὸς ἐμβάλλει εἰς τὸν νοῦν του διαφόρους σκέψεις καὶ λέγει· σύ, τώρα, τί θέλεις νὰ κοπιάζῃς, διὰ τὰς ἀρετὰς καὶ νὰ ταλαιπωρῆσαι, ἐφ᾽ ὅσον δὲν ὑπάρχει, διὰ σέ, ἀνταπόδοσις; Μήπως ἔγινες Μοναχὸς ἀπὸ ἰδικήν σου προαίρεσιν; Διότι ἐὰν δὲν σοῦ συνέβαινεν ἐκεῖνο τὸ περιστατικὸν καὶ ἀπὸ ἀνάγκην ἦλθες νὰ γίνῃς Μοναχός, οὐδέποτε ἀπὸ μόνος σου δὲν θὰ τὸ ἤθελες αὐτό. Μὴ θέλῃς

λοιπὸν τώρα πιὰ νὰ κοπιάζῃς ματαίως· διότι ὁ Θεὸς δὲν σοῦ ὀφείλει χάριν δι' αὐτό.

Αὐτὰ καὶ ἄλλα παρόμοια ἐμπνέει ὁ ἐχθρὸς εἰς τὴν σκέψιν τοῦ ἀδελφοῦ ἐπιθυμῶν νὰ τὸν κατακρημνίσῃ εἰς τὴν ἀπόγνωσιν· καὶ ἐὰν ὁ ἀδελφὸς δὲν προσέξῃ καί, σκεπτόμενος τὴν εὐεργεσίαν τοῦ Κυρίου, δὲν ἀντισταθῇ ἀποφασιστικῶς, μὲ τὴν δύναμιν τῆς πίστεως, ἀφήνει τὸν ἑαυτόν του νὰ πέσῃ εἰς ἀπόγνωσιν, διότι ἐσκοτίσθη ἡ διάνοιά του, καὶ ἀρχίζει νὰ περνᾷ τὸν βίον του μὲ ἀμέλειαν καὶ μεγάλην ἀδιαφορίαν, χωρὶς τὸν φόβον τοῦ Θεοῦ, καὶ κατ' αὐτὸν τὸν τρόπον καταντᾷ εἰς τελείαν ἀπώλειαν.

Πρέπει λοιπὸν νὰ μὴ δίδῃ ἐμπιστοσύνην εἰς τὸν ἐχθρόν, ὅταν ἐμβάλλῃ εἰς τὸν νοῦν τοιαύτας σκέψεις, ἀλλὰ μᾶλλον νὰ κοπιάζῃ περισσότερον διὰ τὴν ἄσκησιν τῶν ἀρετῶν· ἐνθυμούμενος δὲ τὰς εὐεργεσίας τοῦ Κυρίου καὶ νὰ λέγῃ εἰς τὸν ἑαυτόν του. Ψυχή μου, πόσοι ἠξιώθησαν νὰ φθάσουν εἰς μίαν τοιαύτην πολιτείαν, διὰ πολλῶν νηστειῶν καὶ ἐλεημοσυνῶν, ἐνῷ ἐγώ, ἂν καὶ ἐπέρασα ὅλον τὸν χρόνον τῆς ζωῆς μου εἰς τὴν ἀμέλειαν, ἐν τούτοις μὲ ἐλέησεν ὁ Θεὸς καί, διὰ τῆς ἀγαθότητός Του, ἔφθασα εἰς τὴν τάξιν τοῦ σεμνοῦ καὶ χωρὶς περισπασμοὺς βίου, διότι δὲν μοῦ ἐλογάριασεν ὁ φιλάνθρωπος Δεσπότης τὰς πολλὰς καὶ ἀναριθμήτους ἁμαρτίας μου. Καὶ ἡμεῖς λοιπόν, ὦ ψυχή, ἂς φροντίσωμεν νὰ πράξωμεν ἔργα ἄξια τῆς μετανοίας, διὰ νὰ μὴ τιμωρηθῶμεν διπλᾶ, ἀφ' ἑνὸς μὲν διότι ἐπεριφρονήσαμεν τὴν Χάριν τοῦ Θεοῦ, καὶ ἀφ' ἑτέρου διότι δὲν ἐτηρήσαμεν τὴν ὑπόσχεσίν μας.

Θὰ σοῦ διηγηθῶ δέ, ἀγαπητέ, καὶ μίαν σχετικὴν παραβολήν, διὰ νὰ ἔχῃς περισσοτέραν προθυμίαν καὶ νὰ μὴ εἶναι διστακτικὸς ὁ λογισμός σου.

Κάποτε ἔζη, εἰς κάποιαν χώραν, ἕνας πλούσιος. Ὁ πλούσιος αὐτὸς ἠγόρασε, πέραν ἀπὸ τὸν ποταμόν, κτήματα καὶ ἀμέσως ἀνεχώρησε. Πρὶν ὅμως νὰ ἀναχωρήσῃ, ἐκάλεσε κοντά του τοὺς δούλους του καὶ τοὺς ἐμοίρασε τὰ κτήματα. Τοὺς εἶπε δέ·

— Πηγαίνετε, ἂς παραλάβῃ ὁ καθένας τὸ μερίδιόν του καὶ ἂς ἐργασθῇ εἰς αὐτό, μέχρις ὅτου ἐπιστρέψω καὶ ἴδω τὴν ἐργασίαν ἑνὸς ἑκάστου.

Μερικοί, πράγματι, ἀπὸ αὐτούς, αἰσθανόμενοι εὐγνωμοσύνην καὶ ἀγαπῶντες τὸν κύριόν των, δὲν παρήκουσαν τὴν διαταγὴν τοῦ κυρίου των, ἀλλά, μεταβάντες, εἰργάζοντο. Ἄλλοι ὅμως ἀπὸ αὐτούς, ἀνυπάκοοι καὶ ἀπότομοι, ἀπήντησαν, μὲ αὐθάδειαν, εἰς τὸν κύριόν των.

—Ἡμεῖς δὲν θὰ πειθαρχήσωμεν εἰς τὴν φωνήν σου, καὶ δὲν θὰ περάσωμεν εἰς τὸν ποταμὸν καὶ δὲν θὰ κοπιάσωμεν ἐργαζόμενοι εἰς τὰ κτήματά σου.

Παρὰ ταῦτα ὁ κύριος δὲν ὠργίσθη ἐναντίον ἐκείνων τῶν δούλων, ἀλλὰ διέταξε τοὺς ὑπηρέτας, εἰς τὴν οἰκίαν του, νὰ ἑτοιμάσουν συμπόσιον. Ἀφοῦ λοιπὸν ἐμέθυσε τοὺς μὴ ὑπακούσαντας δούλους, προσέτα-

ξεν ἄλλους ὑπηρέτας νὰ τοὺς σηκώσουν, νὰ τοὺς περάσουν ἀπὸ τὸν ποταμὸν καὶ νὰ τοὺς ἀφήσουν τὸν καθένα εἰς τὸ μερίδιον, ποὺ τοῦ ἐκληρώθη. Οἱ ὑπηρέται ἔκαμαν, ὅπως διετάχθησαν, καὶ μετέφεραν τοὺς δούλους εἰς τὰ μερίδιά των.

Μετὰ τὸ περιστατικὸν αὐτό, ἕνας ἀπὸ τοὺς δούλους αὐτοὺς συνῆλθεν ἀπὸ τὴν μέθην, καὶ βλέπων ὅτι εὑρίσκετο πέραν ἀπὸ τὸν ποταμόν, εἰς τὸ μερίδιον, ποὺ τοῦ ἔδωσεν ὁ κύριός του, παρεξενεύθη δι' αὐτὸ καὶ εἶπεν εἰς τὸν ἑαυτόν του· Ἀφοῦ ὁ κύριός μου μὲ ἠγάπησε τόσον πολὺ καὶ δὲν ὠργίσθη ἐναντίον μου, ὅταν παρήκουσα τὴν διαταγήν του, ἀλλὰ μὲ ἠνέχθη μὲ μακροθυμίαν, καὶ μὲ ἐπέρασεν, ὡς εἰς ὄνειρον, χωρὶς νὰ κοπιάσω, ἀπὸ αὐτὸν τὸν μεγάλον καὶ ὁρμητικὸν ποταμὸν καὶ μὲ ἔβαλεν εἰς τὸ μερίδιόν μου, καὶ ἐγὼ λοιπὸν τώρα θὰ κουρασθῶ, ἐργαζόμενος φιλοτίμως εἰς τὰ κτήματά του, ἐνθυμούμενος πάντοτε τὴν ἀνεκτικότητά του, τὴν καλωσύνην του καὶ τὰς εὐεργεσίας, ποὺ μοῦ προσέφερεν. Καὶ πράγματι ὁ δοῦλος ἐκεῖνος ἤρχισε νὰ ἐργάζεται μὲ ἐπιμέλειαν, ὥστε νὰ προφθάσῃ καὶ ἐκείνους, ποὺ ἤρχισαν πρὶν ἀπὸ αὐτόν.

Κατόπιν ἐξύπνησε καὶ ὁ δεύτερος δοῦλος καὶ μόλις εἶδεν ὅτι εὑρίσκεται εἰς τὰ κτήματα τοῦ κυρίου του, πέραν ἀπὸ τὸν ποταμόν, εἶπε μὲ τὸν νοῦν του, καθὼς ἦτο τεμπέλης καὶ πονηρός· Νά! μὲ ἐπέρασεν ἀπὸ αὐτὸν τὸν μεγάλον καὶ ὁρμητικὸν ποταμόν, σὰν σὲ ὄνειρον· ἐγὼ ὅμως θὰ ἀφήσω ἀκαλλιέργητο καὶ χέρσον τὸ χωράφι του καὶ θὰ ἰδῶ τί πρόκειται νὰ μοῦ κάμῃ. Ἔπειτα ἔπεσε καὶ πάλιν εἰς τὸν ὕπνον. Μὲ τὸ νὰ κοιμηθῇ ὅμως πολύ, ἐψήλωσαν τὰ ἀγκάθια καὶ τὰ ἄγρια χόρτα καὶ τὸν ἐσκέπασαν τελείως.

Μετὰ πολὺν χρόνον ἦλθεν ὁ κύριος τῶν δούλων νὰ ἐξετάσῃ τὴν ἐργασίαν ἑνὸς ἑκάστου. Ὅταν εἶδε τὴν ἐργασίαν ἐκείνων, ποὺ ἤρχισαν πρῶτοι, τοὺς εὐλόγησεν. Ἐπίσης, ὅταν ἦλθε καὶ εἰς τὸν δοῦλον, τὸν ὁποῖον ὁ ἴδιος διεπέρασεν, ὡς εἰς ὄνειρον, ἀπὸ τὸν ποταμόν, καὶ διεπίστωσε τὴν καλὴν ἐργασίαν του, ηὐχαριστήθη ἀπὸ αὐτὸν καὶ τὸν ηὐλόγησε. Κατόπιν ἔρχεται καὶ πρὸς τὸν ὀκνηρὸν δοῦλον, διὰ νὰ ἴδῃ τὴν ἐργασίαν του, τὸν εὑρίσκει ὅμως νὰ κοιμᾶται καὶ νὰ εἶναι σκεπασμένος, ἀπὸ παντοῦ, ἀπὸ ἀγκάθια. Τότε τὸν ἐφώναξε καὶ τοῦ εἶπεν ἀπειλητικά:

— Δοῦλε πονηρὲ καὶ ὀκνηρέ, διατί ἄφησες τὸ χωράφι μου χέρσον; ἢ μήπως δὲν γνωρίζεις ὅτι σὲ ἐπέρασα ἀπὸ τὸν ποταμόν, ὅπως εἰς ὄνειρον καὶ σὲ ἔβαλα εἰς τὸ μερίδιον τοῦ κτήματός μου, ποὺ σοῦ ἐκλήρωσα, χωρὶς νὰ μνησικακήσω διὰ τὴν προηγουμένην ἀπειθαρχίαν σου; Δὲν ἔπρεπε καὶ σὺ νὰ μιμηθῇς τὸν σύνδουλόν σου, τὸν ὁποῖον ἐπέρασα, μὲ τὸν ἴδιον τρόπον ἀπὸ τὸν ποταμόν;

Ὁ ὀκνηρὸς δοῦλος ἔμεινεν ἄφωνος καὶ δὲν εὗρεν οὔτε ἕνα ἐπιχείρημα διὰ νὰ δικαιολογηθῇ. Τότε ὁ κύριος ἀπέδωσεν εἰς αὐτοὺς τὸ δίκαιον, ἀναλόγως μὲ τὴν πρᾶξιν των.

Μάθε λοιπὸν τώρα καὶ τὴν σημασίαν τῆς παραβολῆς: Ὁ πλούσιος εἶναι ὁ Χριστός· τὰ δὲ κτήματα εἶναι ἡ πίστις· ἡ μέθη εἶναι αἱ διάφοροι

περιστάσεις τοῦ βίου· ὁ δὲ βίαιος ποταμὸς εἶναι τὰ πλούτη καὶ ἡ ἀπατηλὴ εὐτυχία τῆς παρούσης ζωῆς· οἱ πρόθυμοι δοῦλοι συμβολίζουν ἐκείνους, ποὺ διὰ τὴν ἀγάπην τοῦ Θεοῦ ἠρνήθησαν τὸν κοσμικὸν βίον· ἐκεῖνος ὁ δοῦλος, ποὺ συνῆλθεν ἀπὸ τὴν μέθην, συμβολίζει τὸν φιλήδονον ἄνθρωπον, ποὺ ἀπὸ κάποιο περιστατικὸν τοῦ βίου προσῆλθεν εἰς τὸν μοναχικὸν βίον καὶ εἰργάσθη ὅπως ἤθελεν ὁ Θεός. Ὁ ὀκνηρὸς πάλιν, δοῦλος συμβολίζει καὶ αὐτὸς τὸν ἄνθρωπον, ποὺ ἀπὸ κάποιο περιστατικὸν τοῦ βίου καὶ ἀπὸ κάποιαν ἀνάγκην ἔγινε μοναχός, ἀλλ' ἀμέσως ἐλησμόνησε τὴν Χάριν τοῦ Κυρίου καὶ τὴν σωτηρίαν του.

Ἐκτὸς αὐτῶν φέρε εἰς τὸν νοῦν σου καὶ τὸν Σαῦλον, ὅταν ἐπῆρε τὰς ἐπιστολὰς ἀπὸ τοὺς Ἀρχιερεῖς καὶ ἐπορεύετο εἰς τὴν Δαμασκόν, διὰ νὰ δέσῃ αὐτοὺς ποὺ ἐπίστευον εἰς τὸν Χριστόν· αὐτὸς ὅμως ποὺ ἐξῆλθε, διὰ νὰ καταδιώξῃ τὴν πίστιν τοῦ Χριστοῦ, ὁ ἴδιος ἀνεδείχθη κήρυξ τῆς πίστεως αὐτῆς· διότι οἱ οἰκτιρμοὶ τοῦ Κυρίου εἶναι πλούσιοι δι' ὅλους, ποὺ Τὸν ἐπικαλοῦνται εἰλικρινῶς.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΝΕΩΤΕΡΟΣ τις ἀποτάξασθαι βουλόμενος, ἀπήρχετο εἰς τὴν ἔρημον· καὶ θεωρήσας πύργον, ἤτοι κελλίον ἐκτισμένον πυργοειδῶς, εἶπεν ἐν ἑαυτῷ· ὃν ἂν εὕρω ἐν τῷ πύργῳ, δουλεύσω μέχρι θανάτου. Φθάσας οὖν ἔκρουσε· καὶ ἐξελθὼν γέρων τις Μοναχὸς λέγει αὐτῷ· τί θέλεις; ὁ δὲ ἀπεκρίθη· χάριν εὐχῆς ἐλήλυθα· καὶ δεξάμενος αὐτὸν ὁ γέρων καὶ ἀναπαύσας, λέγει αὐτῷ· οὐκ ἔχεις ἀπόκρισιν πούποτε; ὁ δὲ ἔφη· οὐχί, ἀλλ' ὧδε βούλομαι μεῖναι· καὶ ἀκούσας ἀφῆκεν αὐτόν· (ἦν δὲ ὁ γέρων πεσὼν εἰς πορνείαν καὶ εἶχε τὴν γυναῖκα μεθ' ἑαυτοῦ)· λέγει οὖν τὸ ἀδελφῷ· εἰ θέλεις ὠφεληθῆναι, ὕπαγε ἐν Μοναστηρίῳ· ἐγὼ γὰρ γυναῖκα ἔχω· ὁ δὲ ἀδελφὸς εἶπε· κἂν τε γυναῖκα κἄν τε ἀδελφήν, οὐκ οἶδα· ἐγὼ τέως δουλεύσω ἡμῖν ἕως θανάτου.

Εἶτα χρόνου ἱκανοῦ παρελθόντος, καὶ ἀδιακρίτως ἐν πᾶσιν ὑπηρετοῦντος τοῦ ἀδελφοῦ, λέγουσιν ἐκεῖνοι πρὸς ἑαυτούς· οὐκ ἀρκεῖ ἡμῖν τὸ βάρος ὃ βαστάζομεν, ἀλλ' ἀπαιτησόμεθα καὶ ὑπὲρ τῆς τούτου ψυχῆς; ἀπέλθωμεν οὖν τῶν ὧδε, καὶ καταλείψωμεν αὐτῷ τὸ κελλίον. Καὶ δὴ λαβόντες ὅσα ἠδύναντο ἐκ τῶν προσόντων αὐτοῖς, λέγουσι τῷ ἀδελφῷ· ἡμεῖς εἰς εὐχὴν ἀπερχόμεθα, σὺ δὲ φύλαξον ἡμῖν τὸ κελλίον. Ὡς οὖν ἀπῆλθον ὀλίγον διάστημα, ἔγνω ὁ ἀδελφὸς τὴν βουλὴν αὐτῶν, καὶ δρομαῖος ἀπήει πρὸς αὐτούς· οἱ δὲ ἰδόντες αὐτὸν ἐταράχθησαν καὶ εἶπον· ἕως πότε κατακρίνεις ἡμᾶς; ἔχεις τὸ κελλίον, κάθισον καὶ πρόσεχε σεαυτῷ· ὁ δὲ εἶπεν· ἐγὼ οὐκ ἦλθον διὰ τὸ κελλίον, ἀλλ' ἵνα δουλεύσω ὑμῖν· καὶ ἀκούσαντες κατενύγησαν καὶ ἔκριναν τῷ Θεῷ μετανοῆσαι· καὶ δή, ἡ μὲν γυνὴ ἀπῆλθεν εἰς Μοναστήριον· ὁ δὲ γέρων εἰς τὸ ἑαυτοῦ κελλίον ὑπέστρεψε· καὶ οὕτω διὰ τῆς ὑπομονῆς τοῦ ἀδελφοῦ ἐσώθησαν ἀμφότεροι.

Ὁρᾷς πῶς ὁ γέρων, πνευματικὸς ὤν, οὐκ ἠγνόει τὸν νόμον τοῦ πνεύματος, κἂν ὄλισθον ὡς ἄνθρωπος ἔπαθε; διὸ καὶ τὸν ἀδελφὸν οὔτε προσελθόντα τελείως ἀπώσατο, καίτοι μὴ βουλόμενος δέξασθαι καὶ ἕτερον σύνοικον, ἀλλὰ πρὸς ὀλίγον παραιτησάμενος, ὡς εἶδεν αὐτὸν ὑποχωρῆσαι μὴ ἀνεχόμενον, κατεδέξατο καὶ ἄκων ὡς θεόθεν εἰς τοῦτο κινούμενον, δεδοικὼς μὴ εἰς Θεὸν ἁμάρτῃ τὸν τοῦτον κινήσαντα

καὶ εἰπόντα· «τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω». Ὁμοίως δὲ καὶ διακαρτεροῦντα τὸν ἀδελφὸν ἐπὶ χρόνον συχνόν, καὶ τὴν ὑπηρεσίαν ἀπροφάσιστον παρεχόμενον, διὰ ταύτην τὴν αἰτίαν διῶξαι οὐκ ἐτόλμησεν, ἀλλ' εἵλετο μᾶλλον αὐτὸς ἀπαναστῆναι τῆς κέλλης, ἢ τὸν θείᾳ προνοίᾳ καὶ προσελθόντα καὶ μένοντα, ἢ καὶ τὴν πληροφορίαν ἐνεποίει αὐτῷ, ἀδίκως ἀπώσασθαι. Οὗτος ὁ νόμος τηρείσθω καὶ παρ' ἡμῖν ἀναλλοιώτως.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ νέος θέλων νὰ ἀρνηθῇ τὸν κόσμον, ἔφευγε πρὸς τὴν ἔρημον· εἰς τὸν δρόμον βλέπει ἕνα πύργον, δηλαδὴ ἕνα κελλί, ποὺ εἶχε κτισθῇ σὰν πύργος. Εἶπε τότε εἰς τὸν ἑαυτόν του· ὅποιον καὶ ἂν εὕρω εἰς τὸν πύργον αὐτόν, θὰ τὸν ὑπηρετήσω μέχρι θανάτου. Πράγματι, μόλις ἔφθασεν, ἐκτύπησε καὶ ἐβγῆκεν, εἰς τὴν εἴσοδον, ἕνας Γέρων Μοναχός.

— Τί θέλεις; τὸν ἐρωτᾷ ὁ Γέρων.

—Ἔχω ἔλθει ἀπὸ τάξιμον νὰ γίνω μοναχός.

Ὁ Γέρων τότε τὸν ἔβαλε μέσα εἰς τὸν πύργον καὶ ἀφοῦ τὸν ἐπεριποιήθη καὶ τὸν ἀνέπαυσε, τὸν ἐρωτᾷ ἐκ νέου:

— Δὲν μένεις πουθενά;

—Ὄχι, ἀπήντησεν ὁ νέος· ἀλλ' ἐπιθυμῶ νὰ μείνω ἐδῶ.

Ὅταν ἤκουσεν αὐτὸ ὁ Γέρων, τὸν ἄφησε· (ὁ Γέρων αὐτὸς εἶχε περιπέσει εἰς πορνείαν καὶ εἶχεν εἰς τὸ ἴδιον κελλὶ μαζί του γυναῖκα). Μετ' ὀλίγον λέγει εἰς τὸν νέον.

—Ἐὰν θέλῃς, ἀδελφέ μου, νὰ ὠφεληθῇς, πήγαινε εἰς τὸ Μοναστήρι, διότι ἐγὼ ἔχω γυναῖκα ἐδῶ μέσα.

Ὁ νέος τοῦ ἀπήντησε:

— Εἴτε γυναῖκα ἔχεις, εἴτε ἀδελφή, δὲν γνωρίζω· ἐγὼ πάντως ἦλθα νὰ σᾶς ὑπηρετήσω μέχρι θανάτου.

Ἀφοῦ ἐπέρασεν ἀρκετὸς χρόνος καὶ ὁ ἀδελφὸς τοὺς ὑπηρετοῦσεν εἰς ὅλα, χωρὶς νὰ σκέπτεται τίποτε, εἶπον μεταξύ των, ὁ Γέρων καὶ ἡ συνείσακτος· Δὲν μᾶς φθάνει τὸ βάρος τῆς ἁμαρτίας, ποὺ βαστάζομεν, ἀλλὰ θὰ δώσωμεν λόγον καὶ διὰ τὴν ψυχὴν αὐτοῦ τοῦ ἀνθρώπου; ἂς φύγωμεν λοιπὸν ἀπ' ἐδῶ καὶ ἂς τοῦ ἀφήσωμεν τὸ κελλίον. Καὶ πράγματι ἀφοῦ ἐπῆραν ὅσα ἠμποροῦσαν ἀπὸ τὰ ὑπάρχοντά των, λέγουν εἰς τὸν ἀδελφόν:

—Ἡμεῖς πηγαίνομεν διὰ κάποιο τάξιμον· σὺ φύλαξέ μας τὸ κελλί.

Μόλις ὅμως ἀπεμακρύνθησαν ὀλίγον, ἀντελήφθη, ἀμέσως, ὁ ἀδελφὸς τὴν πρόθεσίν των (νὰ μὴ ἐπιστρέψουν) καὶ τρέχει κοντά τους. Ἐκεῖνοι ὅταν τὸν εἶδον, ἐταράχθησαν καὶ τοῦ εἶπον:

— Μέχρι πότε θὰ εἶσαι ἡ κατάκρισίς μας; ἔχεις εἰς τὴν διάθεσίν σου τὸ κελλί, κάθισε καὶ πρόσεχε τὸν ἑαυτόν σου.

—Ἐγὼ δὲν ἦλθον διὰ τὸ κελλί, ἀπήντησεν ὁ νέος· ἦλθα ἐδῶ διὰ νὰ σᾶς ὑπηρετήσω ὡς δοῦλος.

Μόλις ἤκουσαν αὐτὴν τὴν ἀπάντησιν ὁ Γέρων καὶ ἡ συνείσακτος γυναίκα, ἠσθάνθησαν νὰ τοὺς ἐλέγχῃ ἡ συνείδησίς των καὶ ἀπεφάσισαν νὰ μετανοήσουν ἀπέναντι τοῦ Θεοῦ. Καὶ πράγματι ἀπὸ ἐκείνην τὴν στιγμὴν ἡ μὲν γυναίκα ἀνεχώρησεν εἰς Μοναστήριον, ὁ δὲ Γέρων ἐγύρισεν εἰς τὸ κελλί του. Τοιουτοτρόπως μὲ τὴν ὑπομονὴν τοῦ ἀδελφοῦ ἐσώθησαν καὶ οἱ δύο.

Βλέπεις ὅτι ὁ Γέρων, ὁ ὁποῖος ἐσκέπτετο ὀρθῶς, δὲν ἀγνοοῦσε τὸν νόμον τοῦ Πνεύματος, ἔστω καὶ ἄν, ὡς ἄνθρωπος, ὑπέπεσεν εἰς τὴν πτῶσιν τῆς πορνείας; Δι' αὐτὸ καὶ ὅταν ἦλθεν εἰς τὸ κελλί του ὁ ἀδελφὸς δὲν τὸν ἀπέκρουσε τελείως, ἂν καὶ δὲν ἐπεθύμει νὰ ἔχῃ ἄλλον συγκάτοικον. Ἀλλὰ ἀφοῦ ἠρνήθη ὀλίγον, μόλις εἶδε τὸν ἐπισκέπτην του νὰ μὴ εἶναι διατεθειμένος νὰ ὑποχωρήσῃ, τὸν ἐδέχθη καὶ παρὰ τὴν θέλησίν του, διαβλέπων ὅτι ἀπὸ τὸν Θεὸν κινεῖται νὰ ἐπιμένῃ ὅπως παραμείνῃ· ἐφοβήθη λοιπὸν μήπως ἁμαρτήσῃ ἀπέναντι τοῦ Θεοῦ, ποὺ τὸν παρεκίνει καὶ ποὺ εἶπε· «Αὐτόν, ποὺ ἔρχεται κοντά μου δὲν πρέπει νὰ τὸν ἀπομακρύνω» (Ἰωάν. στ΄, 37). Ἐπίσης δὲ καὶ ὅταν ὁ νεώτερος ἀδελφὸς ἔκαμεν ὑπομονὴν ἐπὶ πολὺν χρόνον καὶ προσέφερεν εἰς αὐτόν, χωρὶς πρόφασιν, τὴν ὑπηρεσίαν του, δὲν ἐτόλμησε, δι' αὐτὴν τὴν αἰτίαν, νὰ τὸν ἐκδιώξῃ, ἀλλ' ἐπροτίμησεν ὁ ἴδιος νὰ ἐγκαταλείψῃ τὸ κελλί του, παρὰ νὰ ἐκδιώξῃ αὐτὸν ποὺ ἦλθε καὶ παρέμενεν ἀπὸ τὴν Θείαν Πρόνοιαν, ἡ ὁποία καὶ τὸν ἐπληροφόρει ὅτι ἀδίκως θὰ τὸν ἀπεμάκρυνε.


Αὐτὸς λοιπὸν ὁ νόμος ἂς ἐφαρμόζεται καὶ ἀπὸ ἡμᾶς, χωρὶς οὐδεμίαν ἀλλαγήν.


Δ΄. Τοῦ Ἁγίου Ἐφραίμ

ΜΗ ἐξουθένει γέροντας ἐὰν βουληθῶσιν ἐλθεῖν εἰς τὸν κόπον τοῦ μοναδικοῦ βίου· καὶ γὰρ ὁ Κύριος τοὺς περὶ τὴν ἑνδεκάτην οὐκ ἀπεβάλετο· οὐ γὰρ οἶδας μήποτε σκεῦος ἐκλογῆς ἐστιν οὗτος.

Ἑρμηνεία

ΜΗ ἐξευτελίζῃς γέροντας, ὅταν ἀποφασίσουν νὰ προσέλθουν εἰς τὸν κόπον τοῦ μοναχικοῦ βίου· διότι καὶ ὁ Κύριος δὲν ἔδιωξεν αὐτοὺς ποὺ ἦλθον κατὰ τὴν ἑνδεκάτην ὥραν (Ματθ. κ΄, 6). Διότι δὲν γνωρίζεις μήπως ὁ Γέρων αὐτὸς εἶναι σκεῦος ἐκλογῆς.





ΥΠΟΘΕΣΙΣ ΚΗ΄

Περὶ τοῦ πόθεν δεῖ ἄρχεσθαι τῆς ἀσκήσεως, καὶ ὅτι τοῖς ἀρχομένοις ὑπομονῆς χρεία καὶ βία, ὡς τῆς ἀρετῆς ἐξ ἀρχῆς μὲν τραχείας εἶναι δοκούσης διὰ τὰ πάθη καὶ τὰς προλήψεις, ὕστερον δὲ καὶ πάνυ λείας εὑρισκομένης· καὶ ὅτι ἡ στερρὰ ἀρχὴ λυσιτελεῖ τὰ μέγιστα· καὶ ὅτι ἀδύνατον ἀκολουθῆσαι Χριστῷ, ἢ ἀρετήν τινα κατορθῶσαι, τὸν μὴ ἑαυτὸν εἰς θάνατον προετοιμάσαντα.

Περὶ τοῦ ἀπὸ ποῦ πρέπει νὰ ἀρχίζωμεν τὴν ἄσκησιν, καὶ ὅτι ὅσοι ἀρχίζουν ἔχουν ἀνάγκην ὑπομονῆς καὶ πιέσεως τοῦ ἑαυτοῦ των, διότι ἡ ἀρετὴ εἰς τὴν ἀρχὴν μὲν φαίνεται ὅτι εἶναι δύσκολος, ἐξ αἰτίας τῶν παθῶν καὶ τῶν προκαταλήψεων· ὕστερον ὅμως ἀποβαίνει πάρα πολὺ εὐκολοκατόρθωτος· καὶ ὅτι πάρα πολὺ ὠφελεῖ ἡ ἰσχυρὰ θεμελίωσις εἰς τὴν ἀρχήν· καὶ ὅτι εἶναι ἀδύνατον νὰ ἀκολουθήσῃ τὸν Χριστὸν ἢ νὰ κατορθώσῃ ὁποιανδήποτε ἀρετήν, ἐκεῖνος ὁ ὁποῖος δὲν θὰ προετοιμάσῃ τὸν ἑαυτόν του ὡς νὰ ἐπίκειται ὁ θάνατός του.



Α΄. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς



ΛΕΓΕΝ ἡ μακαρία Συγκλητική· ὅτι ἀγὼν ἐστι πολὺς τοῖς προσερχομένοις τῷ Θεῷ, καὶ κόπος τὰ πρῶτα, ἔπειτα δὲ χαρὰ ἀνεκδιήγητος· ὥς περ γὰρ οἱ πῦρ ἐξάψαι βουλόμενοι, πρῶτον μὲν καπνίζονται καὶ δακρύουσι, μετὰ δὲ τοῦτο τοῦ ζητουμένου τυγχάνουσιν, οὕτω δὴ καὶ ἡμᾶς εἴ γε τὸ θεῖον ἐν ἑαυταῖς πῦρ ἐξάψαι βουλόμεθα, μετὰ δακρύων καὶ κόπου τοῦτο πειρᾶσθαι ποιεῖν· φησὶ γὰρ ὁ Κύριος· «ὅτι πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ ἤθελον εἰ ἤδη ἀνήφθη»· τινὲς δὲ δι᾿ ὀλιγωρίαν τοῦ μὲν καπνοῦ ἠνέσχοντο μικρὸν κοπιάσασαι, τὸ δὲ πῦρ οὐκ ἐξῆψαν, διὰ τὸ ἀποστῆναι συντόμως καὶ μὴ μακροθυμῆσαι καὶ μέχρι τέλους ὑπομεῖναι.


Η ΑΓΙΑ CΥΓΚΛΗΤΙΚΗ
Δ. ΡΙΤCΟC

Ἑ ρ μ η ν ε ί α

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητική, ὅτι ὁ ἀγὼν διὰ τοὺς προσερχομένους εἰς τὸν Θεὸν εἶναι πολὺς καὶ εἰς τὰς ἀρχὰς ἀπαιτεῖται πάρα πολὺς κόπος, ἔπειτα ὅμως ἀκολουθεῖ χαρὰ ἀνεκδιήγητος. Ὅπως, δηλαδή, ἐκεῖνοι ποὺ θέλουν νὰ ἀνάψουν φωτιάν, εἰς τὰς ἀρχὰς πνίγονται ἀπὸ τὸν καπνὸν καὶ δακρύζουν, ὕστερα ὅμως κατορθώνουν ἐκεῖνο ποὺ ζητοῦν, ἔτσι ἀκριβῶς συμβαίνει καὶ μὲ ἡμᾶς, ἂν βεβαίως θέλωμεν νὰ ἀνάψωμεν εἰς τὰς καρδίας μας τὸ θεῖον πῦρ· μὲ δάκρυα καὶ κόπον προσπαθοῦμεν νὰ τὸ κάμνωμεν. Διότι λέγει ὁ Κύριος· «φωτιὰν ἦλθον νὰ ἀνάψω εἰς τὴν γῆν, καὶ τί περισσότερον θέλω, ἐὰν τώρα πλέον ἤναψεν ἡ φωτιὰ αὕτη» (Λουκ. ιβ´, 49). Μερικοί, ἀπὸ ἀμέλειαν, ἠνέχθησαν μὲν τὸν καπνὸν καὶ νὰ κοπιάσουν ὀλίγον, δὲν κατώρθωσαν ὅμως νὰ ἀνάψουν τὴν φωτιὰν διότι ἐγκατέλειψαν τὴν προσπάθειαν συντόμως καὶ δὲν κατώρθωσαν νὰ ὑπομείνουν μέχρι τέλους.

Β´. Ἐν τῷ Γεροντικῷ

ΗΡΩΤΗΘΗ γέρων· διατί συνεχῶς ὀλιγωρῶ; καὶ ἀπεκρίθη· ἐπειδὴ οὔπω εἶδες τὸν ἥλιον.

2. Εἶπε γέρων· τὸ εἰς πάντα ἑαυτὸν βιάζεσθαι, αὕτη ἐστὶν ἡ ὁδὸς τοῦ Θεοῦ.

3. Ὁ αὐτὸς εἶπεν· ὁ βιαζόμενος ἑαυτὸν διὰ τὸν Θεόν, ὅμοιός ἐστιν ἀνθρώπῳ ὁμολογητῇ.

4. Ἠρώτησαν ἀδελφοί τινα τῶν Πατέρων λέγοντες· πῶς εἰς τὰς ἐπαγγελίας τοῦ Θεοῦ, ἃς ἐπηγγείλατο διὰ τῶν γραφῶν, ἡ ψυχὴ οὐ προστρέχει, ἀλλ᾽ εἰς τὰ ἀκάθαρτα ἐκκλίνει; καὶ ἀπεκρίθη ὁ γέρων· ἐγὼ λέγω ὅτι οὔπω ἐγεύσατο τῶν ἄνω, καὶ διὰ τοῦτο τὰ ἀκάθαρτα ἐπιποθεῖ.

5. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· τὸ σῶμά μου ἐξησθένησε, καὶ τὰ πάθη μου οὐκ ἐξασθενοῦσι· καὶ ἀπεκρίθη ὁ γέρων· ἀκανθώδεις ριζίδες εἰσὶ τὰ πάθη· αἰνίττεται δέ, ὅτι ὥς περ ὁ ἐκείνας ἀνασπᾶσαι ζητῶν τὰς χεῖρας αἱμορραγεῖ, οὕτω καὶ ὁ τὰ πάθη ἐκριζῶσαι θέλων ἱδρώτων δεῖται καὶ κόπων.

6. Εἶπεν ὁ Ἀββᾶς Ἰωσὴφ τῷ Ἀββᾷ Λώτ· οὐ δύνασαι γενέσθαι Μοναχός, ἐὰν μὴ γένῃ ὡς πῦρ φλογιζόμενος ὅλος, καὶ καταφρονήσῃς τιμῆς καὶ ἀναπαύσεως, καὶ τὰ θελήματα τῆς καρδίας ἐκκόψῃς, καὶ σπουδάσῃς φυλάξαι πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΙΟΣ ἠρώτησεν ἕνα Γέροντα· Πάτερ· διατί συνεχῶς ἀμελῶ; Καὶ ὁ Γέρων ἀπήντησεν· ἐπειδὴ ἀκόμη δὲν εἶδες τὸν ἥλιον.

2. Ἕνας Γέρων εἶπε· τὸ νὰ βιάζωμεν εἰς ὅλα τὸν ἑαυτόν μας (διὰ νὰ κατορθώσωμεν τὸ καλόν), αὐτὸς εἶναι ὁ δρόμος, ποὺ ὁδηγεῖ πρὸς τὸν Θεόν.

3. Ὁ ἴδιος Γέρων εἶπεν· αὐτὸς ποὺ βιάζει τὸν ἑαυτόν του διὰ τὸν Θεόν, ὁμοιάζει μὲ ὁμολογητὴν (τῆς πίστεως).

4. Μερικοὶ ἀδελφοὶ ἠρώτησαν ἕνα ἀπὸ τοὺς Πατέρας:

— Πῶς ἡ ψυχὴ δὲν προστρέχει εἰς τὰς ὑποσχέσεις τοῦ Θεοῦ, τὰς ὁποίας ἔδωσε διὰ τῶν ἁγίων Γραφῶν, ἀλλὰ στρέφεται εἰς τὰ ἀκάθαρτα;

—Ἔχω τὴν γνώμην — ἀπήντησεν ὁ Γέρων — ὅτι ἀκόμη δὲν ἐγεύθη τὰ ἐπουράνια καὶ δι' αὐτὸ ποθεῖ ἰσχυρῶς τὰ ἀκάθαρτα.

5. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

— Τὸ σῶμα μου ἐγήρασε καὶ ἐξησθένησε, ἀλλὰ τὰ πάθη μου δὲν ἐξασθενοῦν.

— Τὰ πάθη ὁμοιάζουν μὲ ρίζας, γεμάτας ἀγκάθια, ἀπήντησεν ὁ Γέρων. Τοῦτο σημαίνει, ὅτι ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ ἐπιχειρεῖ νὰ ξερριζώση τὰς ρίζας αὐτὰς πληγώνει τὰ χέρια του ὥστε νὰ τρέχουν αἵματα, τοιουτοτρόπως καὶ αὐτὸς ποὺ θέλει νὰ ξερριζώση τὰ πάθη του ἔχει ἀνάγκην ἀπὸ πολλοὺς κόπους καὶ ἱδρῶτας.

6. Ὁ Ἀββᾶς Ἰωσὴφ εἶπεν εἰς τὸν Ἀββᾶν Λώτ· Δὲν ἠμπορεῖς νὰ γίνης Μοναχός, ἂν δὲν φλογισθῆς προηγουμένως ὁλόκληρος ἀπὸ τὴν ἐπιθυμίαν τῆς ἀρετῆς, καὶ δὲν ἀδιαφορήσης διὰ τὴν τιμὴν καὶ τὴν ἀνάπαυσιν, καὶ δὲν ἀποκόψης τὰ θελήματα τῆς καρδίας σου καὶ δὲν φροντίσης νὰ φυλάξης ὅλας τὰς ἐντολὰς τοῦ Θεοῦ.

Γ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΔΕΛΦΕ, μὴ ἀκηδιάσῃς ἔν τινι κόπῳ, ἵνα μὴ εἰσπηδήσωσιν ἐν σοὶ αἱ τοῦ ἐχθροῦ ἐνέργειαι· ὥς περ γὰρ κατεστραμμένος οἶκος ἔξωθεν πόλεως. δυσώδης τόπος γίνεται, οὕτως ἀρχαρίου ὀκνηροῦ ψυχὴ κατοικητήριον γίνεται παντὸς ἀτίμου πάθους.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, μὴ ὀλιγοψυχήσης ἀπὸ τὸν κόπον ποὺ καταβάλλεις διὰ μίαν προσπάθειαν, διὰ νὰ μὴ εἰσέλθουν μέσα εἰς τὴν ψυχήν σου αἱ ἐνέργειαι τοῦ ἐχθροῦ· διότι ὅπως ἀκριβῶς ἕνα ἐρειπωμένον σπίτι ἔξω ἀπὸ τὴν πόλιν γίνεται βρωμερὸς τόπος, τοιουτοτρόπως καὶ ἡ ψυχὴ τοῦ ἀρχαρίου ὀκνηροῦ ἀποβαίνει κατοικητήριον διὰ κάθε ἀτιμωτικὸν πάθος.

Δ'. Τοῦ Ἀββᾶ Μάρκου

ΠΑΣ ὁ βαπτισθεὶς ὀρθοδόξως ἔλαβε μυστικῶς πᾶσαν τὴν χάριν· πληροφορεῖ δὲ λοιπὸν κατὰ τὴν ἐργασίαν τῶν ἐντολῶν· ἐντολὴ Χριστοῦ κατὰ συνείδησιν, ἤγουν κατὰ σκοπὸν ἐπιτελουμένη, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν τῆς καρδίας δωρεῖται παράκλησιν.

Ἑρμηνεία

ΚΑΘΕ ἄνθρωπος, ποὺ ἐβαπτίσθη ὀρθοδόξως, ἔλαβε, κατὰ τρόπον μυστικόν, ὁλόκληρον τὴν θείαν χάριν· πληροφορεῖται λοιπὸν τοῦτο ἐν συνεχείᾳ καὶ διὰ τῆς ἐργασίας τῶν ἐντολῶν τοῦ Θεοῦ. Ἐντολὴ δὲ Χριστοῦ κατὰ συνείδησιν, ποὺ ἐκτελεῖται δηλαδὴ μὲ ὡρισμένον σκοπόν,

χαρίζει παρηγορίαν, ἡ ὁποία εἶναι ἀνάλογος πρὸς τὸ μέγεθος τῶν κόπων τῆς καρδίας διὰ τὴν ἐκτέλεσιν τῶν ἐντολῶν.

Ε'. Τοῦ Ἁγίου Διαδόχου

Η ΤΗΣ ἀρετῆς ὁδὸς τοῖς μὲν ἀρχομένοις ἐρᾷν τῆς εὐσεβείας τραχεῖα ἄγαν καὶ κατάστυγνος φαίνεται, οὐ διὰ τὸ ἐκείνην τοιαύτην εἶναι, ἀλλὰ διὰ τὸ τὴν ἀνθρωπίνην φύσιν εὐθὺς ἐκ γαστρὸς τῷ πλάτει τῶν ἡδονῶν συναναστρέφεσθαι· τοῖς δὲ τὸ μέσον αὐτῆς παρελθεῖν δυνηθεῖσι, προσηνὴς ὅλη καὶ λίαν ἄνετος δείκνυται· τῷ γὰρ καλῷ ἔθει τὸ φαῦλον ὑποταγὲν διὰ τῆς συνεργείας τοῦ ἀγαθοῦ, τῇ τῶν ἀλογίστων ἡδονῶν συναπόλλυται μνήμῃ. Ὅθεν λοιπὸν ἡδέως ἡ ψυχὴ τὰς τρίβους ἁπάσας διαπορεύεται τῶν ἀρετῶν. Διὰ τοῦτο ὁ Κύριος εἰσάγων μὲν ἡμᾶς εἰς τὴν ὁδὸν τῆς σωτηρίας λέγει· «τί στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν Βασιλείαν, καὶ ὀλίγοι δι᾿ αὐτῆς εἰσπορεύονται»· πρὸς δὲ τοὺς θέλοντας πολλῇ προθέσει προσιέναι τῇ τηρήσει τῶν ἁγίων αὐτοῦ ἐντολῶν, φησίν· «ὁ γὰρ ζυγός μου χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν».

Δεῖ οὖν παρὰ ἀρχὴν τῆς ἀγωνίας, βιαίῳ τινὶ θελήματι τὰς τῶν ἁγίων αὐτοῦ κατεργάζεσθαι ἐντολάς, ἵνα θεωρήσας ἡμῶν ὁ ἀγαθὸς Κύριος τὸν σκοπὸν καὶ τὸν πόνον, καὶ ὡς προαιρούμεθα ἡδέως ἄγαν τοῖς αὐτοῦ ὑπηρετεῖν ἐνδόξοις θελήμασιν, ἕτοιμον ἡμῖν τὸ αὐτοῦ ἅγιον βούλημα καταπέμψῃ· παρὰ γὰρ Κυρίου τότε ἑτοιμάζεσθαι θέλησις, ὥς τε ἐν πολλῇ τινι ἡμᾶς χαρᾷ ἐξεργάζεσθαι ἀπαύστως τὸ ἀγαθόν· τότε γὰρ ὄντως αἰσθησόμεθα, ὅτι ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας.

Ἑρμηνεία

Η ΟΔΟΣ τῆς ἀρετῆς εἰς ἐκείνους μὲν ποὺ ἀρχίζουν νὰ ἀγαποῦν τὴν εὐσέβειαν φαίνεται πάρα πολὺ δύσκολος καὶ κουραστική, ὄχι διότι ἡ ἀρετὴ εἶναι ἐκ φύσεως τοιαύτη, ἀλλὰ διότι ὁ ἄνθρωπος, ἀπὸ τὴν στιγμήν, ποὺ θὰ γεννηθῇ, συναναστρέφεται, μὲ τὸ πλῆθος τῶν διαφόρων ἡδονῶν. Εἰς ἐκείνους ὅμως, ποὺ ἠμπόρεσαν νὰ φθάσουν εἰς τὸ μέσον τῆς ὁδοῦ τῆς ἀρετῆς, παρουσιάζεται εὔκολος καὶ πάρα πολὺ εὐχάριστος· διότι μὲ τὴν συνήθειαν τῆς ἐκτελέσεως ἀγαθῶν ἔργων ὑπετάχθη ἡ φαυλότης, καὶ ἐξηφανίσθη, διὰ τῆς συνεργίας τοῦ ἀγαθοῦ, μαζὶ μὲ τὴν ἐνθύμησιν τῶν ἀλογίστων ἡδονῶν. Δι᾿ αὐτὸ καὶ ὁ Κύριος προετοιμάζων ἡμᾶς νὰ ἀκολουθήσωμεν τὴν ὁδὸν τῆς σωτηρίας, μᾶς λέγει· «ὁ δρόμος, ποὺ ὁδηγεῖ εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν εἶναι στενὸς καὶ γεμᾶτος θλίψεις καὶ ὀλίγοι εἶναι ἐκεῖνοι, ποὺ τὸν βαδίζουν» (Ματθ. ζ', 13—14)· εἰς ἐκείνους ὅμως ποὺ θέλουν, μὲ ὅλην των τὴν καρδίαν, νὰ προσέλθουν εἰς τὴν τήρησιν τῶν ἁγίων ἐντολῶν τοῦ Θεοῦ, λέγει· «ὁ ζυγός μου εἶναι καλὸς καὶ τὸ φορτίον μου ἐλαφρὸν (Ματθ. ια', 30).

Πρέπει λοιπόν, ὅταν ἀκόμη εὑρισκώμεθα εἰς τὴν ἀρχὴν τοῦ ἀγῶνος, νὰ πιέζωμεν τὴν θέλησίν μας, ὥστε νὰ ἐκτελῶμεν τὰς ἁγίας ἐντολὰς τοῦ Θεοῦ, διὰ νὰ ἰδῇ ὁ καλός μας Κύριος τὸν σκοπόν μας καὶ τοὺς κόπους μας καὶ ὅτι ἔχομεν τὴν ὄρεξιν νὰ ὑπηρετήσωμεν, μὲ πολλὴν εὐ-

χαρίστησιν, τὰ ἔνδοξα θελήματά Του καὶ τότε, νὰ μᾶς βοηθήσῃ νὰ ἐκτελῶμεν τὸ ἅγιον θέλημά Του. Διότι τότε πλέον ἑτοιμάζεται ἡ θέλησίς μας ἀπὸ τὸν Κύριον, διὰ νὰ ἐκτελῶμεν ἀκαταπαύστως καὶ μὲ πολλὴν χαρὰν τὸ ἀγαθόν· τότε δηλαδὴ θὰ ἐννοήσωμεν, πράγματι, ὅτι ὁ Θεὸς εἶναι ἐκεῖνος, ποὺ χαρίζει εἰς τὴν ψυχὴν καὶ τὴν θέλησιν καὶ τὴν δύναμιν ἐκτελέσεως τοῦ θείου θελήματος (Ἐφεσ. 6΄, 13).

ΣΤ΄. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΜΑΚΑΡΙΟΙ οἱ ἐν ὑπομονῇ καὶ ἐλπίδι περιζωσάμενοι τὰς ὀσφύας αὐτῶν, καὶ ἐπιρρίψαντες ἑαυτοὺς πρὸς τὴν τῶν θλίψεων θάλασσαν, ἐν ἁπλότητι καὶ ἀνεξετάστῳ τρόπῳ, χάριν τῆς πρὸς Θεὸν ἀγάπης, καὶ μὴ δειλιάσαντες πρὸς τὰ ἐν αὐτοῖς ἐγειρόμενα κύματα καὶ τὸν σάλον αὐτῆς, καὶ τὴν ταραχὴν μὴ πτοηθέντες, ὅτι ταχέως πρὸς τὸν λιμένα τῆς βασιλείας διασώζονται καὶ ἀναπαύονται ἐν σκηνώμασι τῶν καλῶς κοπιασάντων, καὶ ἀγάλλονται ἐν τῇ εὐφροσύνῃ τῆς ἐλπίδος αὐτῶν. Οἱ ἐπ᾽ ἐλπίδι τρέχοντες πρὸς τὸ σκολιὸν καὶ τραχὺ τῆς ὁδοῦ οὐκ ἐπιστρέφονται, οὐδὲ ἐπιμένουσι διερευνᾶν περὶ τούτου· ἀλλ᾽ ὅταν διέλθωσι τὴν ὁδὸν καλῶς τελειώσαντες, τότε τὰ ἐν αὐτῇ σκολιὰ καὶ τραχέα ἐν ἑαυτοῖς ἀναλογιζόμενοι, τῷ Θεῷ τὴν εὐχαριστίαν προσφέρουσι, πῶς ἐρρύσατο αὐτοὺς ἐκ τῶν τοσούτων καὶ τηλικούτων δεινῶν μὴ εἰδότων.

Οἱ δὲ πολλοὺς διαλογισμοὺς διανοούμενοι, καὶ θέλοντες σφόδρα εἶναι σοφοὶ παρ᾽ ἑαυτοῖς, καὶ παραδιδόντες ἑαυτοὺς ταῖς ἀναστροφαῖς τῶν λογισμῶν, καὶ τῇ δειλίᾳ προευτρεπιζόμενοι, καὶ προβλέπειν βουλόμενοι τὰς βλαπτικὰς αἰτίας, οἱ πλείους τούτων, ἐπὶ θύραις τῶν ἰδίων οἴκων διὰ παντὸς καθήμενοι εὑρίσκονται· ἀληθῶς γὰρ περὶ τῶν τοιούτων ἡ γραφὴ λέγει· «ὀκνηρὸς εἰς ὁδὸν ἀποσταλείς, ἐρεῖ· λέων κατὰ τὴν ὁδόν, καὶ φονίσκος κατὰ τὰς πλατείας»· ὡς οἱ εἰπόντες· «υἱοὺς γιγάντων ἑωράκαμεν, καὶ ἦμεν ἐνώπιον αὐτῶν ὡσεὶ ἀκρίδες». Οὗτοί εἰσιν οἱ ἐν ἀεὶ θέλοντες εἶναι σοφοί, βαλεῖν δὲ ἀρχὴν παντελῶς μὴ βουλόμενοι.

Μή σοι γένοιτο τὸ πολὺ τῆς σοφίας ὀλίσθημα καὶ παγὶς πρὸ προσώπου σου· ἀλλ᾽ ἐπὶ τῷ Θεῷ θαρρήσας, ἅψαι, βάλε ἀρχὴν τῆς αἵματος πεπληρωμένης ὁδοῦ ἐν τῇ πρώτῃ θέρμῃ, φροντίδα τοῦ σώματος παντελῶς μὴ ποιούμενος, μηδὲ σοφιζόμενος περισσά, ἵνα μὴ εὑρεθῇς γυμνὸς τῆς τοῦ Θεοῦ γνώσεως· καὶ γεωργὸς γὰρ ὁ δεδιώς, ἢ περιμένων τοὺς ἀνέμους, οὐ σπερεῖ ποτέ· κρεῖσσον θάνατος ὑπὲρ τοῦ Θεοῦ ἢ ζωὴ μετὰ αἰσχύνης καὶ ὀκνηρίας.

Σὺ οὖν ὅταν θέλῃς βαλεῖν ἀρχὴν εἰς ἔργον Θεοῦ, πρῶτον διαθήκην ποίησον μεταξὺ σοῦ καὶ τοῦ Θεοῦ, ὡς μὴ ἔχων ζωὴν ἐν τῷδε τῷ βίῳ, καὶ ὥς περ προευτρεπισθεὶς εἰς θάνατον, καὶ πάντῃ ἀπελπίσας τῆς παρούσης ζωῆς ταύτης· καὶ τοῦτο ἔχε ἐν τῇ διανοίᾳ σου, καὶ οὕτω δυνήσῃ, τοῦ Θεοῦ συνεργίᾳ, ἀγωνίσασθαι καὶ νικῆσαι. Ἡ γὰρ ἐλπὶς τῆς ζωῆς ταύτης χαυνοῖ τὸν λογισμόν, καὶ οὐκ ἐᾷ τὸν ἄνθρωπον προκόψαι εἴς τι ἀγαθόν· σὺ δὲ μὴ ἐν διψυχίᾳ, ἤγουν χαυνότητι, προσέλθῃς τῇ ἐργασίᾳ τοῦ καλοῦ ἔργου, ἵνα μὴ γένηται ὁ κόπος σου ἀνόνητος καὶ ἐπιβαρὴς ἡ ἐργασία τῆς γεωργίας σου· ἀλλ᾽ ἐν ἀνδρείᾳ καὶ ἀδιστάκτῳ πίστει τῇ εἰς Θεὸν ἄρξαι τοῦ ἀγαθοῦ, εἰδὼς ὅτι ἐλεήμων ὁ Κύριος, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν βοηθὸς εὑρίσκεται ἕτοιμος, καὶ μισθαποδότης μεγαλόδωρος γίνεται, διδοὺς τὴν χάριν αὐτοῦ, οὐ κατὰ τὴν ἡμε-

τέραν ἐργασίαν, ἀλλὰ κατὰ τὴν προθυμίαν καὶ πίστιν τῶν ἡμετέρων ψυχῶν· αὐτὸς γάρ ἐστιν ὁ λέγων· «ὡς ἐπίστευσας γενηθήτω σοι».

Ὅς τις οὖν θέλει ὀπίσω αὐτοῦ ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, κατὰ τὴν ἐκείνου φωνήν, καὶ οὕτως αὐτῷ ἀκολουθῆσαι δυνήσεται ἄρας τὸν Σταυρόν· ὁ γὰρ Σταυρὸς τὸ πρὸς πᾶσαν θλῖψιν καὶ κακουχίαν καὶ πρὸς αὐτὸν τὸν θάνατον ἕτοιμον εἶναι δηλοῖ. Ὥς περ γὰρ ὁ ἑτοιμασθεὶς σταυρωθῆναι, λαμβάνει τὴν ἔννοιαν τοῦ θανάτου ἐν τῷ λογισμῷ αὐτοῦ, καὶ οὕτως ἐξέρχεται ὡς ἄνθρωπος μὴ ἐνθυμούμενος ἔτι ἔχειν μέρος ζωῆς ἐν τῷ αἰῶνι τούτῳ, οὕτω καὶ ὁ τὸ εἰρημένον πληρῶσαι βουλόμενος· ὁ γὰρ θέλων, φησί, ζῆσαι ἐν τῷ κόσμῳ τούτῳ, ἀπολέσει ἑαυτὸν ἐκ τῆς ζωῆς τῆς ἀληθινῆς· ὁ δὲ ἀπολλὺς τὴν ψυχὴν αὐτοῦ ἐν τῇ διανοίᾳ αὐτοῦ διὰ τὸν πόθον μου, οὗτος ἀνέγκλητος καὶ ἀβλαβὴς φυλάττεται εἰς τὴν αἰώνιον ζωήν.

Λοιπὸν οὖν ἐντεῦθεν ἑτοίμασον τὴν ψυχήν σου εἰς ἀφανισμὸν τέλειον ἐκ ταύτης τῆς ζωῆς, καὶ δώσω σοι, φησί, ζωὴν αἰώνιον, καθὼς ἐπηγγειλάμην σοι· καὶ ἐν ταύτῃ δὲ τῇ ζωῇ, ἐν ἔργῳ τὴν ἐπαγγελίαν μου ἐνδείξομαί σοι, καὶ τὴν βεβαίωσιν τῶν μελλόντων ἀγαθῶν καὶ τοὺς ἀρραβῶνας αὐτῶν ἐντεῦθεν λήψῃ. Εἰ οὖν μὴ καταφρονήσῃς πρότερον τῆς παρούσης ζωῆς, τὴν αἰώνιον ζωὴν οὐχ εὑρήσεις· καὶ ὅτε εἰσέλθῃς ἐν τῇ παρασκευῇ ταύτῃ εἰς τὸν ἀγῶνα, τότε πάντα τὰ νομιζόμενα ἐπίπονα καὶ θλιβερὰ εἰς οὐδὲν ἡγήσῃ· ἄλλως γὰρ οὐ δύναταί τις ὑπομεῖναι τὰς θλίψεις, ἐὰν μὴ πρότερον μισήσῃ τὴν ἑαυτοῦ ζωὴν ἐν τῷ κόσμῳ, διὰ τὴν ἐπιθυμίαν τῆς μελλούσης ζωῆς.

Ἑρμηνεία

ΕΥΤΥΧΙΣΜΕΝΟΙ εἶναι ἐκεῖνοι, ποὺ ἔζωσαν γύρω - γύρω τὴν μέσην των μὲ ὑπομονὴν καὶ ἐλπίδα, καὶ ἐρρίφθησαν εἰς τὴν θάλασσαν τῶν θλίψεων χάριν τῆς πρὸς τὸν Θεὸν ἀγάπης, μὲ ἁπλότητα καὶ χωρὶς νὰ πολυπραγμονοῦν, χωρὶς ἀκόμη νὰ δειλιάζουν ἀπὸ τὰ κύματα, ποὺ ὑψώνονται, ἢ νὰ φοβηθοῦν ἀπὸ τὴν βοὴν καὶ τὴν θαλασσοταραχήν· οἱ ἄνθρωποι αὐτοὶ εἶναι εὐτυχισμένοι, διότι γρήγορα διασώζονται εἰς τὸν λιμένα τῆς Βασιλείας καὶ ἀναπαύονται εἰς τὰ σκηνώματα αὐτῶν ποὺ ἐκοπίασαν καλῶς, ἀλλὰ καὶ χαίρουν ἀπὸ τὴν χαράν, ποὺ γεννᾷ εἰς τὴν ψυχήν των ἡ ἐλπίς. Ὅσοι τρέχουν μὲ ἐλπίδα ἐπάνω εἰς τὸν πολύστροφον καὶ ἀνώμαλον δρόμον τῆς σωτηρίας δὲν ἐπιστρέφουν ὀπίσω, οὔτε ἐπιμένουν νὰ ἐξετάζουν τὴν αἰτίαν τῆς ἀνωμαλίας. Ὅταν πλέον περάσουν τὸν δρόμον καὶ τελειώσουν καλῶς τὴν διαδρομήν, τότε, σκεπτόμενοι μόνοι των τὰς δυσκολίας καὶ τὰς ἀνωμαλίας τοῦ δρόμου, εὐχαριστοῦν τὸν Θεὸν διότι τοὺς ἐγλύτωσεν ἀπὸ τὰ τόσα καὶ μεγάλα κακά, χωρὶς καὶ οἱ ἴδιοι νὰ γνωρίζουν τὸ πῶς.

Ἐκεῖνοι ὅμως ποὺ ἀπασχολοῦν τὴν διάνοιάν των μὲ πολλὰς σκέψεις καὶ θέλουν νὰ παρουσιάσουν τοὺς ἑαυτούς των ὡς σοφούς, καὶ παραδίδονται εἰς τὰς παραπλανήσεις τῶν λογισμῶν των καὶ συμπλέκουν τὸν φόβον εἰς τὴν ψυχικήν των προετοιμασίαν, ἐπιζητοῦν δὲ νὰ προβλέψουν τὰς αἰτίας, ποὺ ἐνδεχομένως θὰ τοὺς βλάψουν, οἱ περισσότεροι ἀπὸ αὐτοὺς εὑρίσκονται νὰ κάθωνται συνεχῶς εἰς τὴν ἐξώθυραν τῶν σπιτιῶν

των· πράγματι, διὰ τοὺς τοιούτους τὴν ἀλήθειαν λέγει ἡ ἁγία Γραφή, ὅταν γράφῃ· «ὅταν ὁ τεμπέλης ἀποσταλῇ εἰς μίαν ὑπηρεσίαν θὰ εἰπῇ· εἰς τὸν δρόμον ὑπάρχει λεοντάρι καὶ εἰς τὴν πλατεῖαν δολοφόνος» (Παροιμ. κστ΄, 13)· ὁμοιάζουν ἐπίσης καὶ μὲ ἐκείνους, ποὺ λέγουν· «εἴδομεν υἱοὺς γιγάντων καὶ εἴμεθα ἔμπροσθέν των σὰν ἀκρίδες» (Ἀριθμοὶ ιγ΄, 34 καὶ Δευτερ. α΄, 28). Αὐτοὶ εἶναι ἐκεῖνοι, ποὺ κατὰ τὴν ὥραν τοῦ θανάτου των εὑρίσκονται χωρὶς πνευματικοὺς καρπούς, ποὺ πάντοτε θέλουν νὰ εἶναι σοφοί, ἀλλὰ δὲν ἀποφασίζουν ποτὲ νὰ βάλουν ἀρχήν.

Πρόσεξε μήπως ἡ πολλὴ σοφία γίνῃ παγὶς ἐμπρός σου καὶ αἰτία νὰ γλυστρήσῃς· ἀλλὰ στηρίζων τὸ θάρρος σου εἰς τὸν Θεὸν πλησίασε, καὶ ἄρχισε νὰ βαδίζῃς, κατὰ τὸν πρῶτον θερμὸν ἐνθουσιασμόν σου, ἐπάνω εἰς τὸν αἱματωμένον δρόμον, χωρὶς νὰ φροντίζῃς καθόλου διὰ τὸ σῶμα σου, οὔτε νὰ σοφίζεσαι περιττὰ πράγματα, διὰ νὰ μὴ εὑρεθῇς γυμνὸς ἀπὸ τὴν γνῶσιν τοῦ Θεοῦ. Διότι καὶ ὁ γεωργὸς ποὺ φοβᾶται, ἢ περιμένει νὰ ἔλθουν εὐνοϊκοὶ ἄνεμοι, ποτὲ δὲν θὰ σπείρῃ. Εἶναι προτιμότερος ὁ θάνατος χάριν τοῦ Θεοῦ, παρὰ μία ζωὴ γεμάτη ἐντροπὴν καὶ ὀκνηρίαν.

Σὺ λοιπὸν ὅταν θέλῃς νὰ ἀρχίσῃς ἔργον Θεοῦ, πρῶτον νὰ δώσῃς ὑπόσχεσιν εἰς τὸν Θεόν, ὡς νὰ μὴ ζῇς διὰ τὴν παροῦσαν ζωὴν καὶ ὡς νὰ ἔχῃς προετοιμασθῆ διὰ νὰ ἀποθάνῃς, ἀδιαφορῶν, ὡς ἐκ τούτου, δι᾽ ὅλα τὰ ἐπίγεια πράγματα· καὶ αὐτὸ νὰ ἔχῃς πάντοτε εἰς τὴν σκέψιν σου, ὁπόταν θὰ ἠμπορέσῃς, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ ἀγωνισθῇς καὶ νὰ νικήσῃς. Διότι ἡ ἐλπὶς τῆς παρούσης ζωῆς ἀποχαυνώνει τὸν λογισμὸν καὶ δὲν ἀφήνει τὸν ἄνθρωπον νὰ προκόψῃ εἰς κανένα ἀγαθόν· σὺ ὅμως νὰ μὴ προσέλθῃς εἰς τὴν ἐργασίαν τοῦ καλοῦ ἔργου μὲ δύο σκέψεις διὰ τὸν κόσμον καὶ διὰ τὸν Θεόν, πρᾶγμα, ποὺ φέρει εἰς χαυνότητα, διὰ νὰ μὴ ἀποβῇ ἀνωφελὴς ὁ κόπος σου καὶ κουραστικὴ ἡ ἐργασία τῆς πνευματικῆς σου γεωργίας. Ἀλλὰ ἄρχισε νὰ ἐργάζεσαι τὸ ἀγαθὸν μὲ ἀνδρείαν καὶ ἀδίστακτον πίστιν πρὸς τὸν Θεόν, ἀφοῦ γνωρίζεις, ὅτι ὁ Κύριος εἶναι ἐλεήμων, καὶ εἶναι πάντοτε ἕτοιμος νὰ βοηθήσῃ αὐτοὺς ποὺ τὸν ζητοῦν, ἀλλὰ καὶ ἀποδίδει τὸν κόπον τῶν ἐργαζομένων τὸ ἀγαθόν, μεγαλοψυχίαν καὶ μεγάλας δωρεάς, δίδων εἰς ἡμᾶς τὴν Χάριν Του, ὄχι ἀναλόγως τῆς ἐργασίας μας, ἀλλὰ κατὰ τὸ μέτρον τῆς προθυμίας καὶ τῆς πίστεως τῶν ψυχῶν μας· διότι ὁ ἴδιος εἶναι Ἐκεῖνος, ποὺ λέγει· «ἂς γίνῃ εἰς σὲ κατὰ τὴν πίστιν σου» (Ματθ. η΄, 13).

Ὅποιος λοιπὸν θέλει νὰ ἔλθῃ ὀπίσω Του, ὡς ὀπαδός Του, ἂς ἀπαρνηθῇ τὸν ἑαυτόν του, συμφώνως μὲ ὅσα εἶπε καὶ Ἐκεῖνος (Ματθ. ιστ΄, 24), καὶ ἔτσι θὰ ἠμπορέσῃ, ἀφοῦ σηκώσῃ τὸν Σταυρόν, νὰ τὸν ἀκολουθήσῃ· διότι ὁ Σταυρὸς φανερώνει τὸ ὅτι εἴμεθα ἕτοιμοι διὰ κάθε θλῖψιν καὶ διὰ κάθε κακουχίαν, ἀκόμη δὲ καὶ δι᾽ αὐτὸν τὸν θάνατον. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος, διὰ τὸν ὁποῖον ἔχει ἀποφασισθῆ νὰ τὸν σταυρώσουν, ἔχει πλέον εἰς τὸν νοῦν του τὸν θάνατον, τὸν ὁποῖον καὶ μόνον σκέπτεται, καὶ ἔτσι ἐξέρχεται πρὸς τὸν τόπον τῆς καταδίκης, ὡς ἄνθρωπος, ποὺ δὲν ἐνθυμεῖται ὅτι ἔχει ἀκόμη νὰ ζήσῃ ὀλίγον χρόνον εἰς αὐτὸν τὸν κόσμον, τοι-

ουτοτρόπως πρέπει νὰ σκέπτεται καὶ ὅποιος ἐπιθυμεῖ νὰ πραγματοποιήση τὸ λεγόμενον ὑπὸ τοῦ Κυρίου, «ὅστις θέλει ὀπίσω μου ἐλθεῖν»... Αὐτὸς δηλαδὴ ποὺ θέλει — λέγει ὁ Κύριος — νὰ ζήση εἰς αὐτὸν τὸν κόσμον, θὰ ξεγράψη τὸν ἑαυτόν του ἀπὸ τὴν ἀληθινὴν ζωήν· ἐκεῖνος δὲ ποὺ θὰ βάλη εἰς τὸν νοῦν του, πῶς, ἀπὸ πόθον πρὸς Ἐμέ, θὰ θυσιάση τὴν ψυχήν του, αὐτὸς δὲν θὰ κατηγορηθῆ εἰς τὴν αἰώνιον ζωὴν καὶ δὲν θὰ ὑποστῆ καμμίαν ζημίαν.

Ἀπ' ἐδῶ καὶ ἐμπρὸς λοιπὸν ἑτοιμάσου νὰ ἐξαφανίσης τελείως τὴν ψυχήν σου ἀπὸ τὴν παροῦσαν ζωήν, καὶ θὰ σοῦ δώσω — λέγει Κύριος — ζωὴν αἰώνιον, καθὼς σοῦ ὑπεσχέθην· καὶ εἰς αὐτὴν ἀκόμη τὴν ζωὴν ἐμπράκτως θὰ σοῦ ἀποδείξω τὴν ὑπόσχεσίν μου, καὶ ἀπ' ἐδῶ θὰ βεβαιωθῆς διὰ τὰ μέλλοντα ἀγαθά, καὶ ἀπ' ἐδῶ θὰ λάβης τοὺς ἀρραβῶνας τῶν ἀγαθῶν αὐτῶν. Ἐὰν λοιπὸν δὲν καταφρονήσης προηγουμένως τὴν παροῦσαν ζωήν, δὲν θὰ εὕρης τὴν αἰώνιον ζωήν· καὶ ὅταν ἀρχίσης νὰ ἀγωνίζεσαι δι' αὐτὴν τὴν προετοιμασίαν, τότε ὅλα, ὅσα νομίζονται πάρα πολὺ κουραστικὰ καὶ θλιβερά, θὰ τὰ θεωρήσης ὡς ἀνάξια λόγου· διότι δὲν ἠμπορεῖ κανείς, κατ' ἄλλον τρόπον, νὰ ὑπομείνη τὰς θλίψεις, ἐὰν δὲν μισήση προηγουμένως τὴν ζωήν του εἰς τὸν κόσμον αὐτόν, διὰ νὰ ἐπιθυμήση τὴν μέλλουσαν.

Ἐρώτησις

ΟΣΤΙΣ ἀπέρριψεν ἐξ ἑαυτοῦ ὅλον τὸν περισπασμόν, καὶ οὕτω προετοιμασάμενος εἰσῆλθεν εἰς τὸν ἀγῶνα, πόθεν ὀφείλει ἄρχεσθαι τῆς πρὸς τὴν ἁμαρτίαν πάλης;

Ἑρμηνεία

Ἐρώτησις

ΟΠΟΙΟΣ ἀπήλλαξε τὸν ἑαυτόν του ἀπὸ κάθε περισπασμὸν καὶ φροντίδα καὶ μὲ αὐτὴν τὴν προετοιμασίαν εἰσῆλθεν εἰς τὸν ἀγῶνα, ἀπὸ ποῦ πρέπει νὰ ἀρχίση τὴν πάλην ἐναντίον τῆς ἁμαρτίας;

Ἀπόκρισις

ΠΑΣΗΣ ἀρετῆς ὁ θεμέλιος ἡ νηστεία ὑπάρχει καὶ ἡ ἀγρυπνία· αὗται γὰρ ἐν διακρίσει γινόμεναι, συνεργοῦσι τῷ ἀνθρώπῳ εἰς πᾶν ἀγαθόν· ἀρχὴ γὰρ πάντων τῶν κακῶν ἡ ἀνάπαυσις τῆς γαστρὸς καὶ ἡ χαυνότης τοῦ ὕπνου, ἡ ἐξάπτουσα τὴν ἐπιθυμίαν τῆς πορνείας, καὶ ἀμβλύνουσα τὸν νοῦν, καὶ παχὺν ἀεὶ καὶ ἐσκοτισμένον ἀποδεικνύουσα· καθὼς ἀκολουθεῖ τοῖς ὑγιαίνουσιν ὀφθαλμοῖς ἡ ἐπιθυμία τοῦ φωτός, οὕτως ἀκολουθεῖ τῇ νηστείᾳ, τῇ μετὰ διακρίσεως γινομένῃ, ἡ ἐπιθυμία τῆς εὐχῆς· ὅταν γὰρ ἄρξηταί τις νηστεύειν, ἐκ τούτου εἰς ἐπιθυμίαν τῆς ὁμιλίας τοῦ Θεοῦ ὁ νοῦς αὐτοῦ διεγείρεται· καὶ τὸ σῶμα δὲ νηστεῦον καὶ μὴ βαρυνόμενον κόρῳ, οὐ καρτερεῖ ὑπνῶσαι ἐν τῇ στρωμνῇ αὐτοῦ ὅλην τὴν νύκτα, ἀλλὰ προθύμως εἰς τὴν λειτουργίαν τοῦ Θεοῦ διανίσταται.

Ἐφ' ὅσον οὖν ἡ σφραγὶς τῆς νηστείας ἐπιτέθειται τῷ σώματι τοῦ ἀνθρώπου,

ὁ λογισμὸς αὐτοῦ ἐν κατανύξει μελετᾷ, καὶ ἡ καρδία αὐτοῦ εὐχὴν βρύει, καὶ ἡ στυγνότης ἐν τῷ προσώπῳ αὐτοῦ κεῖται, καὶ οἱ διαλογισμοὶ οἱ αἰσχροὶ πόρρω ἀπέχουσιν ἀπ' αὐτοῦ, καὶ ἐχθρός ἐστι τῶν κακῶν ἐπιθυμιῶν καὶ τῶν ματαίων συντυχιῶν. Δρόμος μέγας εἰς πᾶν ἀγαθόν ἐστιν ἡ νηστεία καὶ ὁ ἀμελῶν αὐτῆς πάσας τὰς ἀρετὰς διασείει· διότι αὕτη ἐστὶν ἐντολὴ ἡ τεθεῖσα τῇ φύσει ἡμῶν ἐξ ἀρχῆς εἰς παραφυλακήν, καὶ ἐκεῖθεν ἡ ἀρχὴ τοῦ πλάσματος ἡμῶν.

Ὅθεν οὖν γέγονεν ἀπ' ἀρχῆς ἡ πτῶσις, ἐκεῖθεν πάλιν οἱ ἀθληταὶ διὰ τῆς φυλακῆς τοῦ νόμου τῆς ἐγκρατείας ἀναστῆναι εἰς τὸν φόβον τοῦ Θεοῦ ἀγωνίζονται, καὶ εἰς τὸ ποιῆσαι πάσας τὰς ἐντολάς· καὶ αὐτὸς δὲ ὁ Λυτρωτὴς τοῦ γένους ἡμῶν, τῆς πρὸς τὸν διάβολον πάλης ἐντεῦθεν ἤρξατο. Μετὰ γὰρ τὸ Βάπτισμα, ἐξήνεγκεν αὐτὸν τὸ πνεῦμα εἰς τὴν ἔρημον, καὶ ἐνήστευσεν ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα.

Ὁμοίως οὖν καὶ πάντες οἱ ἐξερχόμενοι ἀκολουθῆσαι ὀπίσω αὐτοῦ, ἐπὶ τούτῳ τῷ θεμελίῳ βαλεῖν τὴν ἀρχὴν ὀφείλουσι τῆς κατὰ Θεὸν οἰκοδομῆς αὐτῶν. Εἰ γὰρ ὁ ἐκθέμενος τὸν νόμον τῆς σωτηρίας νηστεύει, τίς ἐκ τῶν θελόντων τηρῆσαι τὸν νόμον οὐ χρήζει νηστείας; ἕως γὰρ τότε τὸ γένος τῶν ἀνθρώπων οὐκ ἐγίνωσκε τὴν νίκην, οὐδὲ ὁ διάβολος ἐπειράθη ποτὲ τῆς ἥττης αὐτοῦ ἐκ τῆς φύσεως ἡμῶν· ἐν δὲ τούτῳ τῷ ὅπλῳ ἠτόνησεν ἐξ ἀρχῆς.

Καὶ ὁ Κύριος ἡμῶν, ὁ ἀρχηγὸς τῆς κατ' αὐτοῦ νίκης, δέδωκε τὸν πρῶτον τῆς νίκης στέφανον ἐπὶ τῆς κεφαλῆς τῆς φύσεως ἡμῶν. Ἔκτοτε οὖν, ὅταν ἴδῃ τοῦτο τὸ ὅπλον ἐπί τινι τῶν ἀνθρώπων ὁ ἀντίπαλος, εὐθέως φοβεῖται, εἰς μνήμην ἐρχόμενος τῆς ἥττης αὐτοῦ, ἧς ὑπὸ τοῦ Σωτῆρος ἡττήθη ἐν τῇ ἐρήμῳ, καὶ ἡ δύναμις αὐτοῦ ἀσθενεῖ ἐν τῷ ὅπλῳ τῷ δοθέντι ἡμῖν ὑπὸ τοῦ ἀρχηγοῦ τῆς σωτηρίας ἡμῶν· ὃ καὶ ἰσχυρότατον ὂν κατὰ τῶν πεμπομένων ὑπὸ τοῦ ἐχθροῦ βελῶν, προσέτι καὶ θάρσος ἡμῖν οὐ μικρὸν ἔνδον παρέχει ἐν τῷ ἀγῶνι· ὅσον γὰρ μοχθεῖ τὸ σῶμα, καὶ κακοπαθεῖ ἐν τῷ καιρῷ, ἐν ᾧ περικυκλοῖ τὸν ἄνθρωπον ἡ φάλαγξ τῶν δαιμόνων, τοσοῦτον ἡ καρδία αὐτοῦ θάρσους πληροῦται καὶ εὐτολμίας, ἐξ οὗ καὶ γενναιότερον ἵσταται κατὰ τῶν ἀντιτεταγμένων καὶ ἀνδρειότερον αὐτοῖς καὶ θαρραλεώτερον μάχεται, τῷ κατ' αὐτῶν ζήλῳ ἀεὶ πυρπολούμενος· καὶ οὐ παύεται οὐδ' ἠρεμῆσαι ἀνέχεται, ἕως εἰς τέλος αὐτοὺς ἐξ ἑαυτοῦ ἀποδιώξῃ καὶ ἀπολέσῃ, διὰ τῆς ἄνωθεν βοηθείας καὶ τῆς τῶν λοιπῶν ἐντολῶν ἐργασίας.

Καὶ ὁ ζηλωτὴς δὲ Ἠλίας, ὅτε ἐζήλωσεν ὑπὲρ τοῦ νόμου τοῦ Θεοῦ, εἰς τοῦτο τὸ ἔργον τῆς νηστείας διῆγεν· αὕτη γὰρ ὑπομιμνήσκει τῶν ἐνταλμάτων τοῦ Πνεύματος τὸν αὐτὴν ὡς δεῖ μετερχόμενον· καὶ μεσῖτις ἐστὶ τοῦ τε παλαιοῦ νόμου, καὶ τῆς χάριτος τῆς δοθείσης ἡμῖν παρὰ τοῦ Χριστοῦ· καὶ ὁ ἀμελῶν ταύτης, καὶ εἰς τὰ ὑπόλοιπα τῶν ἀγωνισμάτων χαῦνός ἐστι καὶ ἀσθενής, καὶ σημεῖον ἐναργὲς τῆς ψυχικῆς χαυνώσεως δείκνυσι τῷ ἐχθρῷ, ἐν τῷ τῆς νηστείας καταμελεῖν, καὶ δῆλος ἐστὶ γυμνὸς εἰς τὸν ἀγῶνα εἰσερχόμενος· διὸ καὶ θαρρούντως προσβάλλει αὐτῷ ὁ πολέμιος καὶ σὺν οὐδενὶ κόπῳ, ἅτε γυμνοῦ καὶ δειλοῦ αὐτοῦ περιγίνεται καὶ συντόμως αὐτὸν ἀναιρεῖ, πάντων τῶν μελῶν τοῦ ἀνθρώπου ἑτοίμως εἰσδεχομένων τὰ παρὰ τοῦ ἐναντίου ἀφιέμενα βέλη, διὰ τὸ μὴ πεφράχθαι τῷ στερρῷ τούτῳ τῆς νηστείας ὅπλῳ, ὃ παρὰ τοῦ δεσπότου ἡμῶν ἐλάβομεν.

Ἑρμηνεία

Ἀπόκρισις

ΤΑ ΘΕΜΕΛΙΑ εἰς τὸ οἰκοδόμημα ὅλων τῶν ἀρετῶν εἶναι ἡ νηστεία καὶ ἡ ἀγρυπνία· διότι αὐταὶ αἱ ἀρεταί, ὅταν γίνωνται μὲ διάκρισιν, βοηθοῦν τὸν ἄνθρωπον νὰ ἐπιτύχῃ κάθε ἀγαθόν. Ἡ ἀρχὴ δηλαδὴ ὅλων τῶν κακῶν εἶναι ἡ ἀνάπαυσις τῆς κοιλίας, καὶ ὁ μαλθακὸς ὕπνος, ποὺ ἐξάπτει τὴν ἐπιθυμίαν τῆς πορνείας, ἐκμηδενίζει τὴν ἐπαγρύπνησιν τοῦ νοῦ καὶ τὸν κάνει νὰ εἶναι συνεχῶς χονδρὸς καὶ σκοτισμένος.

Ὅπως εἰς τοὺς ὑγιεῖς ὀφθαλμοὺς ἔρχεται ἡ ἐπιθυμία τοῦ φωτός, τοιουτοτρόπως καὶ ἐκεῖνος, ποὺ νηστεύει μὲ διάκρισιν, ἐπιθυμεῖ τὴν προσευχήν· ὅταν δηλαδὴ ἀρχίζῃ κανεὶς νὰ νηστεύῃ, ἀπὸ αὐτὴν τὴν νηστείαν ἀφυπνίζεται σιγὰ - σιγὰ ὁ νοῦς του καὶ δοκιμάζει τὴν ἐπιθυμίαν νὰ συνομιλῇ μὲ τὸν Θεόν. Ἀλλὰ καὶ τὸ σῶμα, ὅταν νηστεύῃ, καὶ δὲν βαραίνει ἀπὸ τὸν χορτασμόν, δὲν ἔχει ἀνάγκην νὰ κοιμηθῇ ὅλην τὴν νύκτα εἰς τὸ στρῶμα, ἀλλὰ ἐξυπνᾷ, μὲ προθυμίαν, διὰ τὴν λειτουργίαν τοῦ Θεοῦ.

Ἐφ' ὅσον λοιπὸν εἰς τὸ σῶμα τοῦ ἀνθρώπου τεθῇ ἡ σφραγὶς τῆς νηστείας, ὁ λογισμὸς μελετᾷ κατανυκτικά, ἡ καρδία ἀναβλύζει τὴν προσευχὴν καὶ ἀποτυπώνεται ἡ αὐστηρότης εἰς τὸ πρόσωπον, οἱ δὲ αἰσχροὶ λογισμοὶ παραμένουν μακρὰν ἀπὸ τὸν ἄνθρωπον αὐτόν· ἡ νηστεία εἶναι ὁ ἐχθρὸς τῶν κακῶν ἐπιθυμιῶν καὶ τῶν ματαίων συναναστροφῶν. Δρόμος μεγάλος, ποὺ ὁδηγεῖ εἰς κάθε καλὸν ἔργον εἶναι ἡ νηστεία καὶ ἐκεῖνος ποὺ τὴν παραμελεῖ, κλονίζει ὅλας τὰς ἀρετάς· διότι αὐτὴ εἶναι ἐντολή, ποὺ ἐτέθη, εὐθὺς ἐξ ἀρχῆς ὑπὸ τοῦ Θεοῦ, εἰς τὴν φύσιν ἡμῶν πρὸς διαφύλαξιν καὶ ἀπὸ ἐκεῖ διὰ τῆς παραβάσεως τῆς νηστείας ἐξέπεσεν εἰς τὴν ἁμαρτίαν ὁ ἄνθρωπος.

Ἀπὸ ἐκεῖ λοιπόν, ἀπὸ ὅπου ἤρχισεν ἡ πτῶσις, ἀπὸ ἐκεῖ πάλιν οἱ ἀθληταὶ ἀγωνίζονται νὰ ἐπανέλθουν εἰς τὸν φόβον τοῦ Θεοῦ, μὲ τὴν τήρησιν τοῦ νόμου τῆς ἐγκρατείας καὶ νὰ ἐκτελέσουν ὅλας τὰς ἐντολάς· καὶ ὁ ἴδιος ὁ Λυτρωτὴς τοῦ γένους μας ἀπ' ἐδῶ ἤρχισε τὴν πάλην του πρὸς τὸν διάβολον. Μετά, δηλαδή, τὸ Βάπτισμα τὸ Πνεῦμα Τὸν ὡδήγησεν εἰς τὴν ἔρημον, καὶ ἐκεῖ ἐνήστευσεν τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας (Ματθ. δ΄, 2).

Κατὰ τὸν ἴδιον τρόπον λοιπὸν καὶ ὅλοι, ὅσοι ἐξέρχονται τοῦ κόσμου, διὰ νὰ ἀκολουθήσουν τὸν Ἰησοῦν, ὀφείλουν νὰ θεμελιώσουν τὴν κατὰ Θεὸν οἰκοδομήν των ἐπάνω εἰς τὸ ἴδιον θεμέλιον (τὴν νηστείαν). Διότι ἐὰν νηστεύῃ Ἐκεῖνος, ποὺ ἐνομοθέτησε τὴν σωτηρίαν μας, ποῖος ἀπὸ ὅσους θέλουν νὰ τηρήσουν τὸν νόμον αὐτὸν δὲν ἔχει ἀνάγκην νηστείας; Ἕως τότε τὸ ἀνθρώπινον γένος δὲν ἐγνώριζε τὴν νίκην, ἀλλὰ οὔτε ποτὲ καὶ ὁ διάβολος ἐδοκίμασεν ἧτταν ἀπὸ τὴν φύσιν ἡμῶν· μὲ αὐτὸ ὅμως τὸ ὅπλον (τῆς νηστείας) κατέστη, πάλιν, ἀπὸ τὴν ἀρχὴν ἀνίκανος.

Καὶ ὁ Κύριος ἡμῶν, ὁ ἀρχηγὸς τῆς νίκης ἐναντίον τοῦ διαβόλου, ἔδωσεν εἰς τὸ κεφάλι τοῦ ἀνθρώπου τὸν πρῶτον στέφανον τῆς νίκης. Ἀπὸ

τότε λοιπόν, ὅταν ἴδη ὁ ἀντίπαλος αὐτὸ τὸ ὅπλον εἰς ἕνα ἄνθρωπον, ἀμέσως φοβεῖται, ἐνθυμούμενος τὴν ἧτταν του, μὲ τὴν ὁποίαν ἐνικήθη ἀπὸ τὸν Σωτῆρα εἰς τὴν ἔρημον, ὁπόταν ἡ δύναμίς του ἐξασθενίζει μὲ τὸ ὅπλον, ποὺ μᾶς ἔδωσεν ὁ Ἀρχηγὸς τῆς σωτηρίας μας. Αὐτὸ τὸ ὅπλον καὶ ἰσχυρότατον εἶναι νὰ ἀποκρούῃ τὰ ἐκτοξευόμενα ὑπὸ τοῦ ἐχθροῦ βέλη, ἀλλ' ἐπὶ πλέον παρέχει καὶ ἐντὸς ἡμῶν μεγάλο θάρρος κατὰ τὴν διεξαγωγὴν τοῦ ἀγῶνος· διότι ὅσον κουράζεται τὸ σῶμα καὶ ταλαιπωρεῖται κατὰ τὸ διάστημα, ποὺ περικυκλώνει τὸν ἄνθρωπον ἡ φάλαγξ τῶν δαιμόνων, ἐπὶ τοσοῦτον ἡ καρδία του ὁπλίζεται μὲ θάρρος καὶ τόλμην, δι' αὐτὸ καὶ στέκει γενναιότερος ἐναντίον τῶν ἀντιπάλων καὶ πολεμεῖ ἐναντίον των μὲ περισσότερον θάρρος καὶ ἀνδρείαν, διαφλεγόμενος συνεχῶς ἀπὸ ἐπιθετικόν, κατ' αὐτῶν, ζῆλον. Δὲν σταματᾷ δέ, οὔτε παραδέχεται νὰ ἡσυχάσῃ ὁ ἀγωνιστής, μέχρις ὅτου ἐκδιώξῃ τελείως (τοὺς ἀντιπάλους) ἀπὸ αὐτὸν καὶ νὰ τοὺς ἐκμηδενίσῃ, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ καὶ τὴν ἐργασίαν καὶ τῶν ἄλλων ἐντολῶν.

Καὶ ὁ ζηλωτὴς Ἠλίας, ὅτε μετὰ ζήλου ἐμάχετο διὰ τὸν νόμον τοῦ Θεοῦ, διήρχετο τὸν χρόνον του εἰς τὸ ἔργον τῆς νηστείας· διότι αὐτή, ἡ νηστεία, ὑπενθυμίζει εἰς ἐκεῖνον, ποὺ τὴν ἐφαρμόζει ὅπως πρέπει, τὰς ἐντολὰς τοῦ Πνεύματος καὶ συνδέει τὸν παλαιὸν νόμον καὶ τὴν χάριν, ποὺ μᾶς ἐδόθη ἀπὸ τὸν Χριστόν. Ὅποιος παραμελεῖ τὴν νηστείαν εἶναι ἀμελὴς καὶ ἀσθενὴς καὶ εἰς τὰ ὑπόλοιπα ἀγωνίσματα καὶ δεικνύει καθαρὰ εἰς τὸν ἐχθρὸν τὴν ψυχικήν του ἀδυναμίαν μὲ τὸ νὰ παραμελῇ τὴν νηστείαν, γίνεται δὲ φανερὸν ὅτι εἰσέρχεται ἄοπλος εἰς τὸν ἀγῶνα. Δι' αὐτὸ καὶ ὁ ἐχθρὸς τοῦ ἐπιτίθεται μὲ θάρρος, χωρὶς δὲ κανένα κόπον τὸν νικᾷ ὡς δειλὸν καὶ ἄοπλον καὶ σύντομα τὸν ρίπτει κάτω, ἐφ' ὅσον ὅλα τὰ μέλη τοῦ ἀνθρώπου εἶναι ἕτοιμα νὰ δεχθοῦν τὰ βέλη, ποὺ ἀφίνει ὁ ἐχθρός, μὲ τὸ νὰ μὴ εἶναι περιτειχισμένα μὲ τὸ ἰσχυρὸν αὐτὸ ὅπλον τῆς νηστείας, τὸ ὁποῖον παρελάβομεν ἀπὸ τὸν Δεσπότην μας.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ζωσιμᾶς, ὅτι ἡ τοῦ Θεοῦ χάρις ἀεὶ τῇ προαιρέσει ἡμῶν ἐπακολουθεῖ, καὶ διὰ τῆς χάριτος πᾶν ἡμῖν ἀγαθὸν κατορθοῦται· ἀλλ' ἡμεῖς οὐ ζητοῦμεν βαλεῖν ἀρχὴν εἰς τὸ ἀγαθόν, οὐδὲ δεικνύομεν προαίρεσιν μεγάλην καὶ πρόθυμον, ὥς τε ἐπισπάσασθαι τὴν χάριν τοῦ Θεοῦ πρὸς βοήθειαν, ἀλλὰ κἂν ποτε δόξωμεν ἐνδείξασθαι προαίρεσιν, νωθρὰν ταύτην καὶ εὐτελῆ ἐνδείκνυμεν καὶ μὴ οὖσαν ἀξίαν τυχεῖν τινὸς ἀγαθοῦ παρὰ τοῦ Θεοῦ· οὐχ οἴδαμεν ὅτι πάντα τὰ ἡμέτερα ὡς ἐπὶ σπόρου καὶ ἐπικαρπίας εἰσίν; Ὥς περ γὰρ ὁ γεωργὸς σπείρει μὲν τὴν ἑαυτοῦ γῆν, εἶτα ἐκδέχεται τὸ τοῦ Θεοῦ ἔλεος, καὶ λοιπὸν πέμπει ὁ Θεὸς τὴν δωρεὰν αὐτοῦ διά τε βροχῆς εὐκαίρου καὶ ἀνέμων ἐπιτηδείων, φύων τε καὶ αὐξάνων καὶ τελειῶν τὰ παρὰ τοῦ γεωργοῦ καταβληθέντα σπέρματα, καὶ ἐξ ὀλίγων πολλὰ κερδαίνειν παρασκευάζων αὐτόν.

Οὕτω καὶ ἡμεῖς· εἰ πλουσίαν προαίρεσιν εἰς τὰ καλὰ καὶ μεγαλόψυχον σπείρομεν, ἀνάλογον καὶ τὴν παρὰ Θεοῦ χάριν εὑρήσομεν, δι' ἧς δυνησόμεθα λοιπὸν

ἀβιάστως καὶ ἀκόπως πάντα τὰ ἀγαθὰ κατορθοῦν· καὶ γὰρ καὶ ἐπὶ τῶν τεχνῶν οὕτως ὁρῶμεν τοῦτο γινόμενον· ὁ γὰρ προσελθὼν τέχνῃ τινὶ ἐπὶ τῷ ταύτην μαθεῖν, κατ᾽ ἀρχὰς μὲν κοπιᾷ καὶ ἀσυστροφεῖ καὶ πολλάκις ἀφανίζει· ἀλλ᾽ ὅμως δ᾽ οὖν οὐκ ἐκκακεῖ, οὐδ᾽ ἀπογινώσκει, ἀλλὰ πάλιν ἐπιχειρεῖ· καὶ ὁσάκις ἂν ἀφανίσῃ, τοσαυτάκις καὶ ζητεῖ διόρθωσιν, δεικνὺς τῷ τεχνίτῃ τὴν προαίρεσιν αὐτοῦ. Εἰ γὰρ ἐκκακήσας ὑποχωρήσει, οὐδὲν μανθάνει· σφαλλόμενος δὲ πολλάκις, καὶ διορθούμενος παρὰ τοῦ τεχνίτου, καὶ οὕτως ὑπομένων, καὶ ἐν κόπῳ καὶ ὑπομονῇ ἐργαζόμενος, κατὰ μικρὸν ἐν ἕξει τῆς τέχνης γίνεται· καὶ λοιπὸν μετὰ ἀναπαύσεως τὰ ἑαυτοῦ ἔργα ἐπιτελεῖ, ὡς καὶ ἐξ αὐτῶν προστρέφεσθαι.

Οὕτως ὀφείλει καὶ ὁ θέλων ἐπιλαβέσθαι τινὸς ἀρετῆς· τὰ μὲν πρῶτα γενναίως καὶ μεγάλην δεῖξαι προαίρεσιν, εἶτα ἐν ὑπομονῇ τῆς ἐργασίας τοῦ καλοῦ ἔχεσθαι καὶ δέεσθαι τῆς τοῦ Θεοῦ συνεργίας καὶ ἀντιλήψεως, μὴ ὀλιγωρῶν ἐν ταῖς ἀποπτώσεσιν ἢ ἀπογινώσκων καὶ ἀφιστάμενος· οὕτω γὰρ οὐδέποτέ τι ἀγαθὸν κατορθῶσαι δυνήσεται, ἀλλὰ διεγείρων ἑαυτὸν ὁσάκις ἂν καὶ συμβαίνῃ πεσεῖν, καὶ προθυμοποιῶν τῇ ἐλπίδι καὶ τὸ τοῦ Θεοῦ ἔλεος προσδεχόμενος.

Τοῦτο γάρ ἐστιν ὃ εἶπεν ὁ Ἀββᾶς Μωϋσῆς, ὅτι ἡ ἰσχὺς τῶν θελόντων κτήσασθαι τὰς ἀρετάς, αὕτη ἐστίν· ἵνα ἐὰν πέσωσι, μὴ μικροψυχήσωσιν, ἀλλὰ πάλιν φροντίσωσι. Καὶ ἡμεῖς οὖν ποιοῦντες τὴν δύναμιν ἡμῶν ἐν τῇ ἐργασίᾳ τῶν ἀρετῶν, καὶ τὸν Κύριον ὑπομείνωμεν, δεικνῦντες αὐτῷ προαίρεσιν μεγαλόψυχον, καὶ παρ᾽ αὐτοῦ βοήθειαν ἐπικαλούμενοι· καὶ πάντως ποιήσει μεθ᾽ ἡμῶν τὸ παρ᾽ αὐτοῦ ἔλεος, καὶ παρέξει ἡμῖν πλουσίαν τὴν χάριν αὐτοῦ· δι᾽ ἧς πᾶν ἀγαθὸν εὐκόλως, καὶ μόχθου χωρίς, κατορθοῦν ἐσόμεθα.

2. Ἦν τις Μοναχὸς νέος· καὶ ὡς ἤρχετο βαλεῖν τὴν σύναξιν, ἐλάμβανεν αὐτὸν ρίγος καὶ πυρετός, καὶ τὴν κεφαλὴν πόνῳ σφοδρῷ ὠχλεῖτο· ὁ δὲ ἔλεγε πρὸς ἑαυτόν· ἰδοὺ ἀσθενῶ καὶ ἀποθανοῦμαι ἴσως μετὰ βραχύ· βάλω οὖν τὴν σύναξιν πρὶν ἀποθάνω· καὶ τῷ λογισμῷ τούτῳ ἐβιάζετο ἑαυτόν, καὶ ἐποίει τὴν λειτουργίαν ἑαυτοῦ. Μετὰ δὲ τὸ παύσασθαι τῆς προσευχῆς, κατέπαυε καὶ ὁ πυρετὸς καὶ ἡ κεφαλαλγία, καὶ πάλιν τῇ ὥρᾳ τῆς συνάξεως ἤρχοντο· ὁ δὲ τῷ εἰρημένῳ σκοπῷ προσέχων, ἐποίει μετὰ βίας τὴν λειτουργίαν· καὶ οὕτως οὐ μετὰ πολύ, βοηθείᾳ Θεοῦ, ἀπηλλάγη τοῦ πολέμου.

3. Παρέβαλέ τις τῶν γερόντων τῷ Ἀββᾷ Ἀχιλλᾷ· καὶ θεωρεῖ αὐτὸν ρίψαντα αἷμα ἐκ τοῦ στόματος αὐτοῦ· καὶ ἠρώτησεν αὐτὸν τί ἐστι τοῦτο· καὶ ἀπεκρίθη, ὅτι λόγος ἐστὶν ἀδελφοῦ λελυπηκότος με, καὶ ἠγωνισάμην τοῦ μὴ ἀναγγεῖλαι αὐτόν· καὶ ἐδεήθην τοῦ Θεοῦ ἵνα ἀρθῇ ἀπ᾽ ἐμοῦ, καὶ γέγονεν ὁ λόγος αἷμα ἐν τῷ στόματί μου, καὶ ἔπτυσα αὐτὸν καὶ ἀνεπαύθην, καὶ τῆς λύπης ἐπελαθόμην.

4. Ἐπείνασέ τις τῶν ἀδελφῶν ἀπὸ πρωΐ· καὶ ἐπολέμησε τῷ λογισμῷ μὴ φαγεῖν, ἕως οὗ γένηται τρίτη ὥρα· ἐνστάσης δὲ τῆς τρίτης, πάλιν ἠγωνίσατο μὴ φαγεῖν ἕως γένηται ἕκτη ὥρα· καὶ καταλαβούσης τῆς ἕκτης, ἔβρεξε τοὺς ἄρτους, καὶ εἶπε τῷ λογισμῷ· μείνωμεν ἕως ὥρας ἐνάτης· καὶ γενομένης τῆς ἐνάτης, εὐχὴν ἐποίει· καὶ εἶδε τὴν ἐνέργειαν ὡς καπνὸν ἐκ τοῦ ἐργοχείρου ἐξιοῦσαν, καὶ ἀνιοῦσαν εἰς τὸν ἀέρα· καὶ εὐθὺς ἐπαύσατο ἡ πεῖνα ἐξ αὐτοῦ.

5. Ἤσκησε γέρων τοῦ μὴ πιεῖν ὕδωρ ἕως ἡμερῶν τεσσαράκοντα· καὶ εἴποτε οὖν ἐγένετο καῦμα καὶ ὑπὸ τοῦ δίψους ἠνωχλεῖτο σφοδρῶς, ἔπλυνε τὸ βαυκά-

λιον καὶ ἐγέμιζεν αὐτὸ ὕδατος, καὶ ἐτίθει ἐναντίον αὐτοῦ. Ἐπερωτηθεὶς δὲ παρά τινος ἀδελφοῦ, δι' ἣν αἰτίαν τοῦτο ποιεῖ, ἀπεκρίθη· ἵνα μετὰ τοῦ διψᾶν με πλεῖον κοπιῶ βλέπων τὸ ὕδωρ, καὶ μὴ γευόμενος αὐτοῦ, καὶ λαμβάνω παρὰ τοῦ Θεοῦ μισθὸν πλείονα.

6. Εἶπε γέρων· διὰ τοῦτο οὐ προκόπτομεν οὐδὲ ἐπιστάμεθα τὰ μέτρα ἑαυτῶν, ὅτι οὐκ ἔχομεν ὑπομονὴν ἐν ᾧ ἀρχόμεθα ἔργῳ, ἀλλὰ ἀπόνως θέλομεν ἀρετὴν κτήσασθαι· τούτου χάριν καὶ εὔκολοι ἐσμέν, καὶ εὐρίπιστοι ἀπὸ τόπων εἰς τόπους εὐχερῶς μεταβαίνοντες, νομίζοντες ὅτι εὑρήσομεν τόπον ὅπου οὐκ ἔστι διάβολος.

7. Εἶπεν ὁ αὐτός· Μοναχὸς ἐὰν ὀλίγας ἡμέρας κοπιᾷ, εἶτα καὶ χαυνοῦται· καὶ πάλιν κοπιᾷ, καὶ ἀμελεῖ πάλιν, ὁ τοιοῦτος οὐδὲ ποιεῖ οὐδὲ κτᾶται ὑπομονήν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ζωσιμᾶς εἶπεν ὅτι ἡ Χάρις τοῦ Θεοῦ ἀκολουθεῖ πάντοτε τὴν προαίρεσίν μας καὶ μὲ τὴν βοήθειαν τῆς Χάριτος κατορθώνομεν νὰ ἐκτελέσωμεν πᾶν ἀγαθόν· ἀλλὰ ἡμεῖς δὲν ζητοῦμεν νὰ κάμωμεν ἀρχὴν εἰς τὸ ἀγαθόν, οὔτε δεικνύομεν μεγάλην καὶ πρόθυμον προαίρεσιν, ὥστε νὰ ἐπισύρωμεν τὴν Χάριν τοῦ Θεοῦ εἰς τὸν ἑαυτόν μας διὰ νὰ μᾶς βοηθήσῃ· ἂν δὲ κάποτε φανῶμεν ὅτι παρουσιάζομεν κάποιαν προαίρεσιν (πρὸς τὸ ἀγαθόν), ἡ προαίρεσις αὐτὴ εἶναι ἀσήμαντος καὶ χωρὶς ὄρεξιν καὶ δὲν ἀξίζει νὰ τύχῃ κανενὸς ἀγαθοῦ ἀπὸ τὸν Θεόν. Δὲν γνωρίζομεν, ὅτι ὅλα τὰ (πνευματικά μας) ζητήματα μᾶς θυμίζουν τὸν σπόρον καὶ τὴν καρποφορίαν του; Ὅπως δηλαδὴ ὁ γεωργὸς σπείρει μὲν τὸν σπόρον εἰς τὸ χωράφι του, ὕστερα ὅμως περιμένει τὸ ἔλεος τοῦ Θεοῦ, στέλλει δὲ ὁ Θεός, ἐν συνεχείᾳ, τὴν δωρεάν του μὲ τὰς εἰς τὸν κατάλληλον χρόνον βροχὰς καὶ τοὺς εὐνοϊκοὺς ἀνέμους, διὰ νὰ φυτρώσουν, νὰ αὐξηθοῦν καὶ νὰ τελειοποιηθοῦν τὰ σπέρματα ποὺ ἔρριξεν εἰς τὴν γῆν καὶ τοιουτοτρόπως τὸν βοηθεῖ ὁ Θεὸς νὰ κερδίσῃ ἀπὸ τὰ ὀλίγα πολλά.

Τὸ ἴδιον λοιπὸν συμβαίνει καὶ εἰς ἡμᾶς. Ἐφ' ὅσον σπείρομεν εἰς τὰ καλὰ ἔργα πλουσίαν τὴν προαίρεσίν μας καὶ μὲ μεγαλοψυχίαν, τότε καὶ ἡ Χάρις ποὺ θὰ εὕρωμεν ἀπὸ τὸν Θεὸν θὰ εἶναι ἀνάλογος, μὲ τὴν ὁποίαν εἰς τὸ ἑξῆς θὰ ἠμπορέσωμεν, χωρὶς στενοχώριαν καὶ κόπον, νὰ κατορθώσωμεν ὅλα τὰ ἀγαθά. Τὸ ἴδιον βλέπομεν νὰ συμβαίνῃ καὶ εἰς τὰς τέχνας· ἐκεῖνος δηλαδή, ποὺ προσέρχεται διὰ νὰ μάθῃ μίαν τέχνην, εἰς τὰς ἀρχὰς κοπιάζει καὶ ἀποτυγχάνει καὶ πολλὰς φορὰς φθάνει μέχρι τοῦ θανάτου· παρ' ὅλα ταῦτα ὅμως δὲν χάνει τὸ θάρρος του, οὔτε ἀπογοητεύεται, ἀλλὰ καὶ πάλιν ἐπιχειρεῖ ἐκ νέου. Καὶ ὅσας φορὰς ἀποτύχῃ, τόσας φορὰς ζητεῖ νὰ διορθωθῇ, φανερώνων τὴν καλήν του προαίρεσιν εἰς τὸν τεχνίτην. Διότι ἐὰν λιποψυχήσῃ καὶ ὑποχωρήσῃ, δὲν θὰ μάθῃ τίποτε· ἀπ' ἐναντίας, τότε μόνον θὰ συνηθίσῃ σιγὰ - σιγὰ εἰς τὴν τέχνην καὶ θὰ τὴν μάθῃ τελείως, ὅταν ἐπιδείξῃ ὑπομονὴν καὶ ἐργάζεται μετὰ κόπου καὶ ἐπιμονῆς, διορθωνόμενος ἀπὸ τὸν τεχνίτην, ὁσάκις κάνει λάθη· ἀφοῦ δὲ μάθῃ καλὰ - καλὰ τὴν τέχνην, τότε πλέον ἐκτελεῖ μὲ ἄνεσιν τὴν ἐργασίαν του, ὥστε ἀπὸ αὐτὴν νὰ κερδίζῃ τὴν ζωήν του. Ἔτσι λοιπὸν ὀφεί-

λει νὰ ἐνεργῇ καὶ ἐκεῖνος, ποὺ θέλει νὰ ἀρχίσῃ κάποιαν ἀρετήν· εἰς τὴν ἀρχήν, δηλαδή, νὰ ὁπλισθῇ μὲ γενναιότητα καὶ νὰ δείξῃ μεγάλην προαίρεσιν, ἔπειτα νὰ συνεχίζῃ ὑπομονετικὰ τὴν ἐργασίαν τοῦ καλοῦ καὶ νὰ παρακαλῇ τὸν Θεὸν συνεχῶς νὰ τὸν βοηθῇ καὶ νὰ τὸν προστατεύῃ· νὰ μὴ ἀδιαφορῇ κατὰ τὰς ἀποτυχίας, ἢ νὰ ἀπελπίζεται καὶ νὰ ἐγκαταλείπῃ τὴν προσπάθειαν, διότι ἔτσι δὲν θὰ ἠμπορέσῃ ποτὲ νὰ κατορθώσῃ κάτι ἀγαθόν. Ἀλλὰ πρέπει νὰ σηκώνεται, ὁσάκις συμβῇ νὰ πέσῃ, καὶ νὰ αὐξάνῃ τὴν προθυμίαν του διὰ τῆς ἐλπίδος καὶ ἀναμένων μὲ ὑπομονὴν τὸ ἔλεος τοῦ Θεοῦ.

Αὐτό, δηλαδή, εἶναι ἐκεῖνο, ποὺ εἶπεν ὁ Ἀββᾶς Μωϋσῆς· Πῶς ἡ δύναμις αὐτῶν, ποὺ θέλουν νὰ ἀποκτήσουν τὰς ἀρετάς, εἶναι ἡ ἑξῆς· ἂν πέσουν, νὰ μὴ χάσουν τὸ θάρρος των, ἀλλὰ πάλιν νὰ φροντίσουν νὰ βάλουν νέαν ἀρχὴν εἰς τὴν προσπάθειάν των. Καὶ ἡμεῖς λοιπόν, ἐφ' ὅσον κατὰ τὴν ἐργασίαν τῶν ἀρετῶν καταβάλλωμεν ὅλην τὴν δύναμίν μας, ὑπομείνωμεν τὸν Κύριον δεικνύοντες εἰς Αὐτὸν μεγαλόψυχον προαίρεσιν, καὶ ἐπικαλούμενοι τὴν βοήθειάν Του ὁπωσδήποτε θὰ μᾶς ἐνισχύσῃ μὲ τὸ ἔλεός Του καὶ θὰ μᾶς παράσχῃ πλουσίαν τὴν Χάριν Του, ὁπόταν θὰ κατορθώσωμεν εὐκόλως καὶ χωρὶς κόπον κάθε ἀγαθόν.

2. Ἦτο, κάποτε, ἕνας νέος Μοναχός· οὗτος λοιπόν, ὅταν ἤρχιζε τὴν ἀκολουθίαν του, κατελαμβάνετο ἀπὸ ρίγη καὶ πυρετὸν καὶ ἠνωχλεῖτο ἀπὸ σφοδρὸν πονοκέφαλον. Ἔλεγε — τότε — εἰς τὸν ἑαυτόν του ὁ Μοναχὸς ἐκεῖνος· τώρα εἶμαι ἄρρωστος καὶ ἴσως μετ' ὀλίγον ἀποθάνω· ἂς κάμω λοιπὸν τὴν ἀκολουθίαν μου, πρὶν ἀποθάνω. Μὲ τὴν σκέψιν αὐτὴν ἐπίεζε τὸν ἑαυτόν του καὶ ἔτσι ἐτελείωνε τὴν ἀκολουθίαν του. Μόλις δὲ ἐτελείωνε τὴν προσευχήν του, ἐσταματοῦσεν ὁ πυρετὸς καὶ ὁ πονοκέφαλος· ὅταν, πάλιν, ἤρχετο ἡ ὥρα τῆς ἀκολουθίας, ἤρχιζε καὶ πάλιν ἡ δοκιμασία του. Ὁ Μοναχὸς ὅμως ἔχων τὴν προσοχήν του ἐστραμμένην εἰς αὐτὸν τὸν σκοπόν, ἐπίεζε τὸν ἑαυτόν του διὰ νὰ κάμῃ τὴν ἀκολουθίαν του. Μὲ αὐτὴν τὴν ἐπιμονὴν καὶ ὑπομονήν του, μετὰ ἀπὸ ὀλίγον χρόνον, ἀπηλλάγη ἀπὸ τὸν πόλεμον, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ.

3. Κάποιος Γέρων ἐπεσκέφθη κάποτε τὸν Ἀββᾶν Ἀχιλλᾶν καὶ τὸν βλέπει νὰ φτύνῃ αἷμα ἀπὸ τὸ στόμα του. Τὸν ἐρώτησε λοιπόν:

— Τί εἶναι αὐτό, Ἀββᾶ;

— Εἶναι ἕνας λόγος — ἀπήντησε — κάποιου ἀδελφοῦ, ποὺ μὲ ἐλύπησεν· ἠγωνίσθην νὰ μὴ φανερώσω τὸν πικρὸν αὐτὸν λόγον καὶ παρεκάλεσα τὸν Θεὸν νὰ πάρῃ ἀπὸ ἐπάνω μου τὸν πόλεμον. Καὶ ὁ λόγος αὐτὸς ἔγινεν αἷμα εἰς τὸ στόμα μου, τὸν ἔπτυσα λοιπόν, ἀνεκουφίσθην καὶ ἐλησμόνησα τὴν λύπην μου.

4. Ἕνας Μοναχὸς ἐπείνασεν ἀπὸ τὸ πρωῒ καὶ ἐπολέμησεν ἐναντίον τοῦ λογισμοῦ του, νὰ μὴ φάγῃ ἕως ὅτου ἔλθῃ ἡ τρίτη ὥρα.* Ὅταν

* Τρίτη ὥρα εἶναι σήμερον ἡ ἐνάτη πρὸ μεσημβρίας.

ἔφθασεν ἡ τρίτη ὥρα, ἠγωνίσθη πάλιν νὰ μὴ φάγῃ, ἕως ὅτου ἔλθῃ ἡ ἕκτη· καὶ ὅταν ἔφθασε καὶ ἡ ἕκτη, ἔβρεξε τὰ παξιμάδια του καὶ εἶπεν εἰς τὸν λογισμόν του· ἂς περιμένωμεν μέχρι τῆς ἐνάτης ὥρας. Ὅταν ἦλθε, πράγματι, ἡ ἐνάτη ὥρα ἔκαμε προσευχήν. Τότε δὲ εἶδε τὴν σατανικὴν ἐνέργειαν νὰ ἐξέρχεται ὡς καπνὸς ἀπὸ τὸ ἐργόχειρον, καὶ νὰ ἀναβαίνῃ εἰς τὸν ἀέρα. Ἀμέσως τότε ἐσταμάτησε καὶ ἡ πεῖνα του.

5. Ἕνας Γέρων, χάριν ἀσκήσεως, ἔθεσεν ὡς ὅρον εἰς τὸν ἑαυτόν του νὰ μὴ πίῃ ὕδωρ ἐπὶ τεσσαράκοντα ἡμέρας. Ἂν δὲ κάποτε ἔκανε ζέστη καὶ ἠνωχλεῖτο πάρα πολὺ ἀπὸ τὴν δίψαν, ἔπλυνε τὸ κανάτι του καὶ τὸ ἐγέμιζε μὲ νερὸν καὶ τὸ ἐτοποθετοῦσεν ἀπέναντί του.

— Διὰ ποῖον λόγον τὸ κάνεις αὐτό; Τὸν ἠρώτησεν ἕνας ἀδελφός.

—Διὰ νὰ ὑποφέρω περισσότερον, προσθέτων εἰς τὸ μαρτύριον τῆς δίψης καὶ τὴν θέαν τοῦ νεροῦ, — ἀπήντησεν ὁ Γέρων — χωρὶς νὰ τὸ πίνω καὶ ἔτσι νὰ λαμβάνω ἀπὸ τὸν Θεὸν περισσότερον μισθόν.

6. Εἶπε Γέρων· δι' αὐτὸ δὲν προκόβομεν οὔτε καὶ γνωρίζομεν τὴν πραγματικὴν πνευματικήν μας κατάστασιν, διότι δὲν ἔχομεν ὑπομονὴν εἰς τὸ ἔργον, τὸ ὁποῖον ἀρχίζομεν, ἀλλὰ θέλομεν νὰ ἀποκτήσωμεν τὴν ἀρετὴν χωρὶς κόπον. Ἐξ αἰτίας αὐτοῦ εἴμεθα καὶ εὐμετάβολοι, ἀλλὰ καὶ εὐκολομετακίνητοι, μεταβαίνοντες, χωρὶς δυσκολίαν, ἀπὸ τόπου εἰς τόπον, ἐπειδὴ νομίζομεν ὅτι εἶναι δυνατὸν νὰ εὕρωμεν κάποιον τόπον, ὅπου δὲν ὑπάρχει ὁ διάβολος.

7. Ὁ ἴδιος εἶπε πάλιν· ἐὰν ἕνας Μοναχὸς κοπιάζῃ δι' ὀλίγας ἡμέρας, ἀμελῇ δὲ κατόπιν, καὶ ἐκ νέου κοπιάζει καὶ πάλιν ἀδιαφορεῖ, ὁ Μοναχὸς αὐτὸς ποτέ του δὲν κατορθώνει τίποτε, οὔτε καὶ ἀποκτᾷ ὑπομονήν.

Η'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΓΑΠΗΤΕ· ἐκ νεότητός σου ἐπίλεξαι παιδείαν, καὶ ἕως πολιῶν εὑρήσεις φρόνησιν· ἐκ νεότητός σου σπεῖρον τὸν ἀγρόν σου, καὶ φρόντισον αὐτοῦ μήποτε ἀναβῇ εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα· ποίησον ἐν αὐτῷ καρπὸν καλόν, καὶ τῷ ἐπιχορηγοῦντί σοι τὴν ἰσχὺν δὸς δόξαν.

Ἑ ρ μ η ν ε ί α

ΑΓΑΠΗΤΕ· νὰ προτιμήσῃς τὴν παιδείαν ἀπὸ τότε ποὺ εἶσαι ἀκόμη νέος, καὶ νὰ εἶσαι βέβαιος ὅτι μέχρι τῶν γηρατείων σου θὰ σὲ συντροφεύῃ ἡ σύνεσις (Σοφ. Σειρ. στ', 18)· ἀπὸ τὰ νειάτα σου νὰ σπείρῃς εἰς τὸν ἀγρὸν τῆς ψυχῆς σου τὰ σπέρματα τῆς ἀρετῆς καὶ νὰ φροντίζῃς μήπως φυτρώσουν καὶ ὑψωθοῦν εἰς αὐτὸν ἀγκάθια, ὡς νὰ ἦτο χέρσος. Κάνε καλὸν καρπὸν εἰς αὐτὸν καὶ δόξασε Ἐκεῖνον ποὺ σοῦ δίδει δύναμιν.

Θ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

Ο ΘΕΜΕΛΙΟΣ πάντων τῶν ἀγαθῶν, καὶ ἡ ἀνάκλησις τῆς ψυχῆς ἐκ τῆς αἰχμαλωσίας τοῦ ἐχθροῦ, καὶ ἡ ὁδὸς ἡ πρὸς τὸ φῶς καὶ τὴν ζωὴν ἀπάγουσα, ταῦτα

τὰ δύο εἰσί· τὸ συνάξαι ἑαυτὸν εἰς ἕνα τόπον, καὶ τὸ ἀεὶ νηστεῦσαι, τουτέστι τὸ κανονίσαι ἑαυτὸν ἐν ἐγκρατείᾳ γαστρὸς σοφῶς καὶ φρονίμως, ἐν ἡσύχῳ τόπῳ καὶ ἀδιαλείπτῳ σχολῇ καὶ μελέτῃ τοῦ Θεοῦ· ὁ ταῦτα τὰ δύο κρατήσας, εἰς μέγα προκόψει, καὶ ἐντεῦθεν κατορθώσει τὰς πάσας ἀρετάς.

2. Δειλὸς ἄνθρωπος σημαίνει ὅτι δύο νόσους νοσεῖ· ὀλιγοπιστίαν καὶ φιλοσωματίαν· ὁ δὲ τούτων καταφρονῶν, δῆλός ἐστιν, ὅτι τῷ Θεῷ πιστεύει ὁλοψύχως, καὶ τὰ μέλλοντα ἐκδέχεται. Ἡ εὐτολμία τῆς καρδίας καὶ ἡ καταφρόνησις τῶν κινδύνων, ἀπὸ ἑνὸς τῶν δύο τούτων γίνεται· ἢ ἐκ τῆς σκληροκαρδίας, ἢ ἐκ τῆς πολλῆς πρὸς τὸν Θεὸν πίστεως· καὶ τῇ μὲν σκληροκαρδίᾳ ἀκολουθεῖ ὑπερηφανία· τῇ δὲ πίστει, ταπείνωσις καρδίας.

Ἑρμηνεία

ΤΟ ΘΕΜΕΛΙΟΝ ὅλων τῶν ἀγαθῶν καὶ ἡ ἀπελευθέρωσις τῆς ψυχῆς ἀπὸ τὴν αἰχμαλωσίαν τοῦ ἐχθροῦ, καὶ ὁ δρόμος, ποὺ ὁδηγεῖ πρὸς τὸ φῶς καὶ τὴν ζωήν, κατορθώνονται μὲ τὰ δύο ἑπόμενα· μὲ τὸ νὰ ἐγκατασταθῇς μονίμως εἰς ἕνα τόπον καὶ μὲ τὸ νὰ νηστεύῃς πάντοτε. Δηλαδὴ μὲ τὸ νὰ ρυθμίσῃς τὴν ζωήν σου σοφῶς καὶ συνετῶς, ἀσκούμενος εἰς ἐγκράτειαν σαρκὸς καί, διαμένων εἰς ἥσυχον τόπον, ὁ νοῦς σου νὰ ἀπασχολῆται διαρκῶς μὲ τὸν Θεὸν καὶ τὴν μελέτην Του. Αὐτὸς ποὺ θὰ ἐφαρμόσῃ τοὺς δύο αὐτοὺς ὅρους θὰ προκόψῃ πολύ, καὶ ἀπ' ἐδῶ θὰ ξεκινήσῃ, διὰ νὰ κατορθώσῃ ὅλας τὰς ἀρετάς.

2. Δειλὸς ἄνθρωπος σημαίνει ὅτι πάσχει ἀπὸ δύο ἀσθενείας· ἀπὸ ὀλιγοπιστίαν καὶ ἀπὸ ἄμετρον ἀγάπην πρὸς τὸ σῶμα του· ἐκεῖνος δὲ ποὺ καταφρονεῖ αὐτὰ εἶναι φανερὸν ὅτι πιστεύει μὲ ὅλην του τὴν ψυχὴν εἰς τὸν Θεὸν καὶ περιμένει τὰ μέλλοντα (τὴν αἰώνιον ζωήν). Τὸ θάρρος τῆς καρδίας καὶ ἡ περιφρόνησις τῶν κινδύνων ὀφείλεται εἰς ἓν ἐκ τῶν δύο· ἢ εἰς τὴν σκληροκαρδίαν, ἢ εἰς τὴν πολλὴν πίστιν πρὸς τὸν Θεόν. Τὴν σκληροκαρδίαν ὅμως τὴν συνοδεύει ἡ ὑπερηφάνεια, ἐνῷ τὴν πίστιν (τὴν συνοδεύει) ἡ ταπείνωσις τῆς καρδίας.





ΥΠΟΘΕΣΙΣ ΚΘ΄

Περὶ τοῦ ὅτι τῷ ἀγωνιζομένῳ ἰσχυρῶς καὶ οἱ δαίμονες ἀντιπαρατάττονται· τῶν δὲ ἀμελούντων ὡς ὑποχειρίων αὐτοῖς ἀμελοῦσι· καὶ ὅτι οἱ τὸ ἀγαθὸν θέλοντες, συνεργὸν εὑρίσκουσι τὸν Θεόν, ὃς καὶ τοὺς πολέμους συγχωρεῖ συμφερόντως.

Περὶ τοῦ ὅτι τὸν ἀγωνιζόμενον μὲ ὅλην τὴν δύναμιν του καὶ οἱ δαίμονες τὸν πολεμοῦν μὲ μανίαν· ἐνῷ ἀδιαφοροῦν διὰ τοὺς ἀμελεῖς, ἐπειδὴ τοὺς ἔχουν ὑποχειρίους· αὐτοὶ ποὺ θέλουν τὸ ἀγαθὸν εὑρίσκουν σύμμαχόν των τὸν Θεόν, ὁ Ὁποῖος καὶ τοὺς πολέμους ἐπιτρέπει πρὸς τὸ πνευματικόν μας συμφέρον.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΔΙΗΓΗΣΑΤΟ τις τῶν Πατέρων, ὅτι φιλόπονός τις Μοναχὸς προσεῖχεν ἑαυτῷ, συνέβη δὲ αὐτὸν μικρὸν ἀμελῆσαι· ἐν δὲ τῷ ἀμελεῖν, καταγνοὺς ἑαυτοῦ εἶπε· ψ υ χ ή, ἕ ω ς π ό τ ε ἀ μ ε λ ε ῖ ς τ ῆ ς σ ω τ η ρ ί α ς σ ο υ, καὶ οὐ φοβῇ τὸ κρῖμα τοῦ Θεοῦ, μὴ καταληφθῇς ἐν τῇ ἀμελείᾳ ταύτῃ, καὶ παραδοθῇς ταῖς αἰωνίαις κολάσεσιν; Ταῦτα λέγων ἐν ἑαυτῷ, διήγειρεν ἑαυτὸν εἰς τὸ ἔργον τοῦ Θεοῦ. Ἐν μιᾷ οὖν ποιοῦντος αὐτοῦ τὴν σύναξιν, ἦλθον οἱ δαίμονες καὶ ἐθορύβουν αὐτόν· ὁ δὲ λέγει πρὸς αὐτούς· ἕως πότε θλίβετέ με; οὐκ ἠρκέσθητε εἰς τὴν ἀμέλειαν τοῦ παρελθόντος χρόνου; λέγουσιν αὐτῷ οἱ δαίμονες· ὅτε ἦς ἐν ἀμελείᾳ, καὶ ἡμεῖς ἠμελοῦμέν σου· ὡς δὲ διηγέρθης καθ᾿ ἡμῶν, καὶ ἡμεῖς ἠγέρθημεν κατὰ σοῦ. Ταῦτα ἀκούσας, διήγειρεν ἑαυτὸν εἰς τὸ ἔργον τοῦ Θεοῦ καὶ προέκοπτε χάριτι τοῦ Χριστοῦ.

2. Διηγήσατό τις γέρων, ὅτι ἀδελφός ποτε ἐν Αἰγύπτῳ διάγων, περιεπάτει ἐν ὁδῷ· καὶ ἑσπέρας αὐτὸν καταλαβούσης, εἰσῆλθεν εἰς μνημεῖον κοιμηθῆναι διὰ τὸ ψῦχος· παρήρχοντο δὲ δύο δαίμονες, καὶ λέγει ὁ εἷς πρὸς τὸν ἕτερον· βλέπεις ποῖον θάρσος ἔχει ὁ Μοναχὸς οὗτος, ὅτι εἰς μνημεῖον κοιμᾶται; ἀλλὰ δεῦρο σιάνωμεν αὐτόν· καὶ ἀπεκρίθη ὁ ἄλλος· τί θέλομεν σιάναι αὐτόν; οὗτος ἡμέτερός ἐστι, ποιῶν τὰ θελήματα ἡμῶν, τρώγων καὶ πίνων καὶ καταλαλῶν καὶ τῆς συνάξεως

ἀμελῶν· μᾶλλον ἀνθ' οὗ ἐξαργοῦμεν εἰς τοῦτον; ἄγωμεν, θλίψωμεν τοὺς θλίβοντας ἡμᾶς, καὶ διὰ τῆς εὐχῆς καὶ λοιπῆς ἀσκήσεως πολεμοῦντας ἡμᾶς νύκτα καὶ ἡμέραν.

3. Εἶπε γέρων· εἰ θέλεις νόμῳ Θεοῦ ζῆσαι, ὦ ἄνθρωπε, εὑρήσεις ἀντιλήπτορα τὸν νομοθέτην· εἰ δὲ θέλεις παρακοῦσαι τῶν ἐντολῶν τοῦ Θεοῦ ἑκών, εὑρήσεις τὸν διάβολον συντρέχοντά σου τῇ πτώσει. Εἶπε πάλιν· δὸς πρόθεσιν καὶ λαμβάνεις δύναμιν.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ ἀπὸ τοὺς Πατέρας διηγήθη ὅτι ἔζη κάποτε ἕνας Μοναχὸς φιλόπονος, ὁ ὁποῖος ἐπρόσεχε πολὺ τὴν διαγωγήν του· συνέβη ὅμως νὰ ἀμελήσῃ, ἐπ' ὀλίγον, τὰ πνευματικά του καθήκοντα. Ἀμέσως ὅμως ἀντελήφθη τὸ σφάλμα του καὶ κατηγορῶν τὸν ἑαυτόν του εἶπε· ψυχή μου, μέχρι πότε θὰ ἀμελῇς τὴν σωτηρίαν σου καὶ δὲν φοβεῖσαι τὴν δικαίαν κρίσιν τοῦ Θεοῦ, μήπως ἔλθῃ τὸ τέλος σου, ἐνῷ σὺ θὰ ἀμελῇς, ὁπόταν θὰ παραδοθῇς εἰς τὴν αἰώνιον κόλασιν; Μὲ αὐτοὺς τοὺς λόγους πρὸς τὸν ἑαυτόν του, ἐξύπνησε καὶ πάλιν τὴν ψυχήν του ἀπὸ τὴν ἀμέλειαν, εἰς τὴν ἐκτέλεσιν τῶν ἐντολῶν τοῦ Θεοῦ.

Μίαν ἡμέραν λοιπόν, τὴν ὥραν ποὺ ἔκανε τὴν ἀκολουθίαν του, ἦλθον οἱ δαίμονες καὶ τὸν ἐνωχλοῦσαν μὲ θόρυβον. Τότε λέγει πρὸς αὐτοὺς ὁ Μοναχός·

—Ἕως πότε θὰ μὲ στενοχωρῆτε; δὲν ἱκανοποιηθήκατε ἀπὸ τὴν ἀμέλειαν, ποὺ ἔδειξα κατὰ τὸ παρελθόν;

—Ὅταν εὑρίσκεσο εἰς τὴν ἀμέλειαν — ἀπήντησαν εἰς αὐτὸν οἱ δαίμονες — καὶ ἡμεῖς δὲν ἐνδιεφερόμεθα διὰ σέ· μόλις ὅμως ἐπαναστάτησες ἐναντίον μας, ἐπαναστατήσαμεν καὶ ἡμεῖς ἐναντίον σου.

Μόλις ἤκουσεν αὐτὰ ἀπὸ τοὺς δαίμονας ὁ Μοναχός, ἐπέμεινεν ἀκόμη περισσότερον εἰς τὴν ἐκτέλεσιν τῶν ἐντολῶν τοῦ Θεοῦ, προκόπτων εἰς τὴν ἀρετήν, μὲ τὴν Χάριν τοῦ Χριστοῦ.

2. Ἕνας Γέρων διηγήθη ὅτι κάποτε κάποιος Μοναχός, ποὺ ἔμενεν εἰς τὴν Αἴγυπτον, ἐβάδιζεν εἰς τὸν δρόμον· ὅταν ἐβράδυασεν, ἐμβῆκεν εἰς ἕνα τάφον διὰ νὰ κοιμηθῇ, ἐπειδὴ ἔκανε κρύο. Ἐκείνην τὴν στιγμὴν ἐπερνοῦσαν δύο δαίμονες καὶ λέγει ὁ ἕνας πρὸς τὸν ἄλλον·

— Βλέπεις τί θάρρος ἔχει αὐτὸς ὁ Μοναχός, ἀφοῦ καὶ εἰς τάφον ἀκόμη κοιμᾶται; Ἔλα ὅμως νὰ τὸν πειράξωμεν.

— Διατί νὰ τὸν πειράξωμεν; ἀπήντησεν ὁ ἄλλος· εἶναι ἰδικός μας, ἀφοῦ κάνει τὰ θελήματά μας, τρώγει καὶ πίνει καὶ κατηγορεῖ τοὺς ἄλλους καὶ παραμελεῖ τὰς ἀκολουθίας του. Διατί λοιπὸν νὰ καθυστερήσωμεν μὲ αὐτόν; Ἂς ὑπάγωμεν νὰ βασανίσωμεν αὐτοὺς ποὺ μᾶς στενοχωροῦν καὶ μᾶς πολεμοῦν ἡμέραν καὶ νύκτα μὲ τὴν προσευχὴν καὶ τὴν ὑπόλοιπον ἄσκησιν.

3. Ἕνας Γέρων εἶπεν: Ἄνθρωπε, ἐὰν θέλῃς νὰ ζήσῃς μὲ τὸν νόμον τοῦ Θεοῦ, θὰ εὕρῃς ὡς βοηθὸν τὸν ἴδιον τὸν Νομοθέτην· ἐὰν πάλιν

ἀποφασίσῃς νὰ παραλύσῃς τὰς ἐντολὰς τοῦ Θεοῦ μὲ τὴν θέλησίν σου, τότε θὰ συναντήσῃς τὸν διάβολον νὰ σὲ συντρέχῃ εἰς τὴν πτῶσιν. Ὁ ἴδιος Γέρων, εἰς ἄλλην περίπτωσιν, εἶπε· δῶσε τὴν καλήν σου προαίρεσιν, καὶ παίρνεις δύναμιν (ἀπὸ τὸν Θεόν).

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΧΡΗ ἀδελφὸν πάσῃ φυλακῇ ἀεὶ τηρεῖν τὴν ἑαυτοῦ καρδίαν καὶ τὰς αἰσθήσεις· διότι ἐν μεγάλῳ πολέμῳ ἐσμὲν ἐν τῷδε τῷ βίῳ καὶ ὁ ἐχθρὸς μαίνεται, μάλιστα κατὰ τῶν ἀγωνιζομένων, καὶ περιέρχεται, κατὰ τὴν γραφήν, ζητῶν τίνα καταπίῃ· ᾧ δεῖ ἀνθίστασθαι κραταιῶς, τὴν ἄνωθεν συμμαχίαν ἐπικαλούμενον· ὁ δὲ εἰρηνεύων πρὸς τὰ πάθη, πῶς πολεμήσει πρὸς αὐτά, ἤδη ἑαυτὸν δοῦλον πεπρακὼς ταῖς ἡδοναῖς καὶ μετὰ πάσης εὐνοίας φόρους τελῶν τῷ τυράννῳ; ὅπου γὰρ ἔχθρα, ἐκεῖ καὶ πόλεμος· καὶ ὅπου πόλεμος, ἐκεῖ ἀγών· καὶ ἔνθα ἀγών, ἐκεῖ οἱ στέφανοι.

Εἰ οὖν βούλεταί τις ἐλευθερωθῆναι τῆς πικρᾶς δουλείας, πόλεμον συναψάτω πρὸς τὸν ἐχθρόν· οὕτω γὰρ καὶ οἱ ἅγιοι, νικήσαντες αὐτόν, τῶν ἐπουρανίων ἀγαθῶν ἠξιώθησαν· ἀλλ᾽ ἴσως ἐρεῖ τις· εἰ ἄρα ὅπου ἔχθρα κατὰ τῶν παθῶν, ἐκεῖ καὶ ὁ πόλεμος, ὡς ἔφης, πέφυκε γίνεσθαι, πῶς θεωροῦμεν τοὺς φιληδόνους σφόδρα πολεμουμένους ὑπὸ τῶν ἀτίμων παθῶν, καὶ μὴ συγχωρουμένους μετανοεῖν; πρὸς ὃν εἴποιμι ἄν· ὅτι οὐκ οἶμαι τὸν πόλεμον τοῦτον, ἀγαπητέ, εἶναι κατὰ ἀρετὴν καὶ κατὰ ἀντίστασιν τοῦ τυράννου, ἀλλὰ πάθος μᾶλλον ὑπάρχειν δουλοπαθείας καὶ φιληδονίας· ὅθεν οὐδὲ τῇ προαιρέσει οἱ τοιοῦτοι διήρηνται κατὰ τοῦ ἐχθροῦ.

Οἱ γὰρ πολεμοῦντες οὐδὲ μίαν πρὸς ἀλλήλους ἔχουσι συμφωνίαν· ἐπὶ δὲ τῶν ἑαυτοὺς ἐκδόντων τοῖς τοῦ ἐχθροῦ θελήμασι καὶ πεπρακότων ταῖς ἡδοναῖς, πῶς ἐπ᾽ αὐτῶν πόλεμος κληθείη κυρίως; Εἰ δὲ καὶ πολεμοῦνται, οὐχ ὡς ἀρετῆς ἀντιποιούμενοι καὶ θλίβοντες τὸν πολέμιον, ἀλλὰ ἀπορίᾳ τοῦ συναλλάσσοντος τὸ συνάλλαγμα τῆς παρανομίας, καὶ ὅπως τοὺς συνήθεις φόρους τελέσωσι καὶ μηδὲ πρὸς μικρὸν ἀνανεύσωσι τῆς πλινθουργίας τῶν αἰσχίστων ἐπιθυμιῶν, αἷς δουλεύειν οἰκείᾳ θελήσει ἑαυτοὺς ἐξέδωκαν· ᾧ γάρ τις, φησίν, ἥττηται, τούτῳ καὶ δεδούλωται. Οἱ γὰρ τοιοῦτοι οὐ βίᾳ ἄγονται μὴ θέλοντες, ἀλλὰ καὶ μισθοὺς παρέχουσιν, ἵνα τὸ θέλημα τοῦ ἀποπλανήσαντος αὐτοὺς ἐπιτελέσωσι· διὸ καὶ ἐπιτυχόντες τοῦ κακοῦ, οὐδὲ μίαν μεταμέλειαν ἢ ἐγκράτειαν ἢ ἀσφάλειαν ὑπὲρ τοῦ μὴ πάλιν περιπεσεῖν ἐνδύκνυνται.

Τῶν δὲ ἀγωνιζομένων ὁ πόλεμος οὐχ οὕτως· πολεμούμενοι γάρ, ἀντιπολεμοῦσι· καὶ πυρούμενοι, ὑπομένουσι· καὶ αὐτῆς τῆς ὕλης παρούσης, ἀποστρέφονται διὰ τὸν φόβον τοῦ Κυρίου· καὶ ἐάν τις αὐτῶν ὑποσκελισθῇ, θᾶττον ἀνίσταται. Οἱ γὰρ συσχεθέντες ὑπὸ βαρβάρων καὶ ὑπὸ τυραννικὴν χεῖρα γενόμενοι, ὅσοι μὲν τοῖς τῶν αἰχμαλωτευσάντων αὐτοὺς ἐπιτηδεύμασι χαίρουσιν, οὗτοι καὶ ἄνευ δεσμῶν καὶ φυλακῆς τοῖς πολεμίοις προσμένουσι γεγηθότες, καὶ ὑπερμαχοῦσιν αὐτῶν, καὶ κατάσκοποι κατὰ τῶν ὁμοφύλων καθίστανται.

Ὅσοι δὲ ἀνιῶνται ἐπὶ τῇ αἰχμαλωσίᾳ ᾗ περιέπεσον καὶ τοῖς τῶν βαρβάρων ἤθεσιν ἀπαρέσκονται καὶ τῇ ἀθέσμῳ πολιτείᾳ αὐτῶν, καὶ φεύγειν ἀπ᾽ αὐτῶν κατεπείγονται, καὶ καιρὸν ἐπιτηροῦσι, καθ᾽ ὃν πρὸς τοὺς οἰκείους ἀνασωθῶσι, καὶ τὴν πρώτην ἐλευθερίαν ἀπολάβωσι καὶ τοὺς ὁμογενεῖς εὔχονται εἰς συμμαχίαν ἐλθεῖν·

οὗτοι καὶ διασωθέντες ἐκ τῶν πολεμίων, εὐθὺς ἀντίπαλοι αὐτῶν εὑρίσκονται, καὶ τῶν ὁμοφύλων ὑπερμαχοῦσι, καὶ τῶν ἐναντίων σὺν αὐτοῖς περιγίνονται. Ὅσοι οὖν βούλονται τῆς πικρᾶς τοῦ ἐχθροῦ ἐλευθερωθῆναι δουλείας, ὀφείλουσιν ἀντιτάξασθαι τοῖς ἑαυτοῦ θελήμασι καὶ πόλεμον φανερὸν πρὸς αὐτὸν ἄρασθαι, εἰπόντες πρὸς αὐτὸν διαθέσει καρδίας τὰ τῶν παίδων ῥήματα, ὅτι γνωστὸν ἔστω σοι, διάβολε, ὡς ἡμεῖς τῆς φωνῆς σου ἔτι οὐκ ἀκουσόμεθα, οὐδὲ ταῖς ἡδοναῖς σου λατρεύσομεν.

Χρὴ δὲ ἐν τῷ ἀγῶνι, καὶ τὴν θείαν ἐπικαλεῖσθαι βοήθειαν, μετὰ τῶν παίδων πάλιν καὶ αὐτοὺς λέγοντας πρὸς τὸν Θεόν· «Κύριε, ἐξακολουθοῦμεν νῦν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου· μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου· καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε· καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά, καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη· καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος ὁ Θεὸς μόνος, καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην·» κἂν ὑπερμανὴς γενόμενος ὁ τύραννος ἐκκαύσῃ τὴν κάμινον τῶν ἡδονῶν ἑπταπλασίως, ἀλλὰ θαρσείτωσαν οἱ ἐπὶ Κύριον πεποιθότες· ὅτι ἡ κάμινος μετ' ὀλίγον εἰς δρόσον μεταβληθήσεται, καὶ ὃν πάλαι ἐδεδοίκεσαν τύραννον, αὐτὸς τοῦ λοιποῦ τὴν σκιὰν αὐτῶν τρομάσσει διὰ τὴν ἐξ ὕψους ἐπιγενομένην αὐτοῖς βοήθειαν.

Ἑρμηνεία

ΠΡΕΠΕΙ ὁ ἀδελφὸς νὰ φρουρῇ, μὲ κάθε προφυλακτικὸν μέσον, τὴν καρδίαν καὶ τὰς αἰσθήσεις του· διότι, ἐνόσῳ ζῶμεν εἰς αὐτὴν τὴν ζωήν, εὑρισκόμεθα εἰς μεγάλον πόλεμον καὶ μαίνεται ὁ ἐχθρός, πρὸ παντὸς κατὰ τῶν ἀγωνιζομένων, καὶ τρέχει ἐδῶ καὶ ἐκεῖ, ὅπως λέγει ἡ Ἁγία Γραφή, ζητῶν ποῖον νὰ καταπίῃ (Α΄ Πετρ. ε΄, 8). Ἐναντίον λοιπὸν αὐτοῦ τοῦ ἐχθροῦ πρέπει νὰ ἀντιστέκεται μὲ δύναμιν ἐπικαλούμενος τὴν συμμαχίαν τοῦ Θεοῦ· ἐκεῖνος ὅμως ποὺ ἔχει συμβιβασθῆ μὲ τὰ πάθη του, πῶς θὰ τὰ πολεμήσῃ, ἐφ' ὅσον ἐπώλησε τὸν ἑαυτόν του ὡς δοῦλον εἰς τὰς ἡδονάς, καὶ μετὰ πάσης προθυμίας πληρώνει φόρους εἰς τὸν τύραννον; Διότι ὅπου ὑπάρχει ἐχθρότης, ἐκεῖ ὑπάρχει καὶ πόλεμος, καὶ ὅπου πόλεμος, ἐκεῖ διεξάγεται ἀγών· καὶ ὅπου ἀγών, ἐκεῖ προσφέρονται οἱ στέφανοι.

Ἐὰν λοιπὸν θέλῃ κανεὶς νὰ ἐλευθερωθῇ ἀπὸ τὴν πικρὰν δουλείαν, ἂς ἀναλάβῃ πόλεμον ἐναντίον τοῦ ἐχθροῦ· διότι ἔτσι ἔκαναν καὶ οἱ ἅγιοι, ἀφοῦ δὲ ἐνίκησαν τὸν ἐχθρόν, ἠξιώθησαν τῶν ἐπουρανίων ἀγαθῶν. Ἴσως ὅμως ἐρωτήσῃ κάποιος: Ἐὰν πράγματι ὅπου ὑπάρχει ἔχθρα κατὰ τῶν παθῶν, ἐκεῖ εἶναι φυσικὸν νὰ συμβαίνῃ καὶ πόλεμος, ὅπως εἶπες, πῶς βλέπομεν τοὺς φιληδόνους νὰ πολεμῶνται μετὰ σφοδρότητος ἀπὸ τὰ ἄτιμα πάθη, καὶ νὰ μὴ δύνανται νὰ μετανοήσουν; Εἰς αὐτὸν θὰ ἠμποροῦσα νὰ ἀπαντήσω: Δὲν νομίζω, ἀγαπητέ μου, ὅτι αὐτὸς ὁ πόλεμος γίνεται συμφώνως μὲ τὴν ἀρετὴν καὶ μὲ πνεῦμα ἀντιστάσεως ἐναντίον τοῦ τυράννου, ἀλλὰ τὸ πιθανώτερον εἶναι πῶς θὰ ὑποκρύπτεται εἰς τὸν πολεμοῦντα πάθος φιληδονίας, εἰς τὸ ὁποῖον θὰ εἶναι δοῦλος· δι' αὐτὸ οἱ τοι-

οὗτοι δουλοπαθεῖς οὔτε κατὰ τὴν προαίρεσιν δὲν ἔχουν ἐξεγερθῆ ἐναντίον τοῦ ἐχθροῦ.

Διότι οἱ πολεμοῦντες εἰς οὐδεμίαν συμφωνίαν ἔρχονται μεταξύ των· δι' ἐκείνους ὅμως, οἱ ὁποῖοι παρέδωσαν τοὺς ἑαυτούς των εἰς τὰ θελήματα τοῦ ἐχθροῦ καὶ ἐπωλήθησαν εἰς τὰς ἡδονάς, πῶς θὰ ἦτο δυνατὸν νὰ ὀνομασθῇ διὰ τὴν περίπτωσίν των πραγματικὸς πόλεμος; Ἐὰν δὲ πολεμῶνται, αὐτὸ δὲν ὀφείλεται εἰς τὴν φροντίδα των διὰ τὴν ἀρετὴν καὶ νὰ στενοχωροῦν τὸν ἐχθρόν των ἀλλὰ εἰς τὴν σκληρότητα αὐτοῦ ὁ ὁποῖος τοὺς παρασύρει εἰς τὴν παρανομίαν νὰ πληρώνουν τὸν συνήθη φόρον τῆς ἁμαρτίας καὶ δὲν τοὺς ἀφίνει νὰ ἀναπνεύσουν ἀπὸ τὴν διάπραξιν τῶν αἰσχροτάτων ἐπιθυμιῶν, εἰς τὰς ὁποίας θεληματικῶς παρεδόθησαν ὡς δοῦλοι· διότι, ὅπως λέγει καὶ τὸ ρητόν: Ἀπὸ ὅποιον πάθος ἐνικήθη ὁ ἄνθρωπος, εἰς αὐτὸ ὑποδουλώνεται (Β΄ Πετρ. β΄, 19). Διότι αὐτοὶ περὶ τῶν ὁποίων ὁμιλοῦμεν δὲν ὁδηγοῦνται βιαίως, χωρὶς νὰ θέλουν, ἀλλὰ καὶ χρήματα δίδουν, διὰ νὰ πραγματοποιήσουν τὸ θέλημα αὐτοῦ, ποὺ τοὺς ἀπεπλάνησε· δι' αὐτὸ καὶ ἀφοῦ ἐπιτύχουν τὴν κακὴν πρᾶξιν, ποὺ ἐπιδιώκουν, οὐδεμίαν μετάνοιαν παρουσιάζουν, οὔτε καμμίαν ἐγκράτειαν ἢ προφύλαξιν λαμβάνουν, διὰ νὰ μὴ περιπέσουν πάλιν εἰς τὸ ἴδιον σφάλμα.

Τῶν πραγματικῶν ὅμως ἀγωνιστῶν ὁ πόλεμος δὲν εἶναι ἔτσι· διότι αὐτοὶ ἀντιπολεμοῦν, καθὼς πολεμοῦνται· καὶ φλεγόμενοι (ἀπὸ τὴν κακὴν ἐπιθυμίαν) δὲν ὑποκύπτουν ἀλλὰ ὑπομένουν· καὶ ἐνῷ ὑπάρχει ἐνώπιόν των τὸ ὑλικὸν τῆς ἁμαρτίας, τὸ ἀποστρέφονται διὰ τὸν φόβον τοῦ Κυρίου· ἐὰν δὲ κανεὶς ἐξ αὐτῶν πέσῃ πρὸς στιγμήν, γρήγορα σηκώνεται πάλιν. Οἱ αἰχμαλωτισθέντες ἀπὸ βαρβάρους καὶ εὑρισκόμενοι κάτω ἀπὸ τὸ χέρι τοῦ τυράννου, ὅσοι μὲν ἀπὸ αὐτοὺς χαίρονται διὰ τὰς ἐπιτυχίας τῶν ἐχθρῶν, ποὺ τοὺς ᾐχμαλώτισαν, αὐτοὶ μένουν εὐχαρίστως κοντὰ εἰς τοὺς ἐχθρούς, χωρὶς δεσμὰ καὶ φυλακήν, ἀγωνίζονται διὰ τὴν νίκην τῶν ἐχθρῶν καὶ μάλιστα χρησιμοποιοῦνται καὶ ὡς κατάσκοποι εἰς βάρος τῶν συμπατριωτῶν των.

Ἀντιθέτως ὅμως, ὅσοι στενοχωροῦνται διὰ τὴν αἰχμαλωσίαν, εἰς τὴν ὁποίαν περιέπεσαν, δὲν μένουν εὐχαριστημένοι ἀπὸ τὰ ἤθη τῶν βαρβάρων καὶ τὴν παράνομον πολιτείαν των, καὶ βιάζονται νὰ φύγουν ἀπὸ αὐτούς, καὶ εὐκαιρίαν ἀναμένουν νὰ σωθοῦν καὶ πάλιν πρὸς τοὺς συντρόφους των, νὰ ἐπιστρέψουν καὶ νὰ ἀποκτήσουν τὴν προηγουμένην ἐλευθερίαν των καὶ εὔχονται νὰ ἔλθουν οἱ πατριῶται των εἰς βοήθειάν των ὡς σύμμαχοι· αὐτοὶ μόλις διασωθοῦν ἀπὸ τοὺς ἐχθρούς, ἀμέσως καθίστανται ἀντίπαλοί των, μάχονται μαζὶ μὲ τοὺς πατριώτας των καὶ μαζί των καταβάλλουν τοὺς ἐχθρούς. Ὅσοι λοιπὸν θέλουν νὰ ἐλευθερωθοῦν ἀπὸ τὴν πικρὰν δουλείαν τοῦ ἐχθροῦ, ὀφείλουν νὰ ἀντισταθοῦν πρὸς τὰ θελήματά του καὶ νὰ ἀναλάβουν φανερὸν κατ' αὐτοῦ πόλεμον, ἀφοῦ εἴπουν εἰς αὐτὸν μὲ ὅλην των τὴν καρδίαν, τοὺς λόγους τῶν Παίδων· ἂς γίνῃ

γνωστὸν εἰς σέ, διάβολε, ὅτι ἡμεῖς δὲν θὰ ἀκούσωμεν πλέον τὴν φωνήν σου, οὔτε θὰ ὑπηρετήσωμεν τὰς ἡδονάς σου.

Πρέπει δέ, κατὰ τὸν ἀγῶνα, νὰ ἐπικαλοῦνται οἱ ἀγωνισταὶ καὶ τὴν θείαν βοήθειαν, λέγοντες, πάλιν, μαζὶ μὲ τοὺς Παῖδας πρὸς τὸν Θεόν· «Κύριε, βαδίζομεν ὀπίσω Σου τώρα μὲ ὅλην μας τὴν καρδίαν, καὶ Σὲ φοβούμεθα καὶ ζητοῦμεν τὸ πρόσωπόν Σου· μὴ μᾶς ἐντροπιάσῃς, ἀλλὰ δέξου μας μὲ ἐπιείκειαν καὶ σῶσε μας, κατὰ τὸ πλῆθος τῆς εὐσπλαγχνίας σου καὶ τῶν θαυμάτων σου· δόξασε τὸ ὄνομά Σου, Κύριε, καὶ ἂς ἐντραποῦν ὅσοι κακομεταχειρίζονται τοὺς δούλους Σου· εἴθε νὰ καταισχυνθοῦν μαζὶ μὲ κάθε δυναστείαν τους καὶ νὰ συντριβῇ ἡ δύναμίς των. Ἂς μάθουν, ὅτι σὺ εἶσαι Κύριος, ὁ μόνος ἀληθινὸς Θεός, καὶ δοξασμένος εἰς ὁλόκληρον τὴν οἰκουμένην». Καὶ ἐὰν ὁ τύραννος γίνῃ ἔξω φρενῶν καὶ πυρακτώσῃ ἑπτὰ φορὰς ἰσχυρότερον τὴν κάμινον τῶν ἡδονῶν, ἂς ἔχουν θάρρος ὅσοι ἐστήριξαν τὰς ἐλπίδας των εἰς τὸν Κύριον. Διότι ἡ κάμινος θὰ μεταβληθῇ ἐντὸς ὀλίγου εἰς δρόσον, καὶ ὁ τύραννος, τὸν ὁποῖον παλαιότερον εἶχον φοβηθῆ, αὐτὸς ἀπ' ἐδῶ καὶ ἐμπρὸς καὶ ἀπὸ τὴν σκιάν των θὰ τρομάζῃ, ἐξ αἰτίας τῆς βοηθείας ποὺ τοὺς ἐδόθη ἀπὸ ὑψηλά.

Γ' Τοῦ Ἀββᾶ Ἰσαὰκ τοῦ Σύρου

ΟΤΑΝ θελήσῃς ἀρχὴν ποιήσασθαι καλῆς ἐργασίας, πρῶτον ἑτοίμασον σεαυτὸν πρὸς τοὺς πειρασμοὺς τοὺς ἐπιέναι σοι μέλλοντας· ἔθος γὰρ τῷ ἐχθρῷ, ὅταν ἴδῃ τινὰ μετὰ θερμῆς πίστεως ἀρξάμενον ἀγαθῆς πολιτείας, προσυπαντᾷ αὐτῷ ποικίλοις καὶ φοβεροῖς πειρασμοῖς, ὅπως ἐντεῦθεν δειλιάσας ὁ ἄνθρωπος ἀποστῇ τῆς ἀγαθῆς προαιρέσεως. Παραχωρεῖ δὲ ὁ Θεὸς πειρασθῆναί σε, ὅπως ἐπιμόνως κρούσῃς τὴν θύραν αὐτοῦ, καὶ φόβῳ τῶν θλιβερῶν ἐνσπαρῇ ἡ μνήμη αὐτοῦ ἐν τῇ σῇ διανοίᾳ, καὶ πλησιάσῃς αὐτῷ διὰ τῶν ἐντεύξεων, καὶ ἁγιασθῇ σου ἡ καρδία τῇ διηνεκεῖ αὐτοῦ μνήμῃ· καὶ δεομένου σου, εἰσακούσεταί σου, καὶ μαθήσῃ ὅτι Θεός ἐστιν ὁ ἐξαιρούμενός σε· καὶ αἰσθανθήσῃ τοῦ πλάσαντός σε καὶ ἐνισχύοντος καὶ φυλάσσοντος. Ἡ γὰρ σκέπη τοῦ Θεοῦ καὶ ἡ πρόνοια ἐπὶ πάντας ἀνθρώπους κυκλοῖ· οὐχ ὁρᾶται δέ, εἰμὴ ὑπὸ τῶν καθαρισάντων ἑαυτοὺς ἐκ τῆς ἁμαρτίας, καὶ ἐν τῷ Θεῷ ἐχόντων τὴν μελέτην διὰ παντός· ἐξαιρέτως δὲ φανεροῦται τούτοις ἡ βοήθεια καὶ ἡ πρόνοια τοῦ Θεοῦ, ὅταν εἰσέλθωσιν εἰς πειρασμὸν μέγαν ὑπὲρ τῆς ἀληθείας· τότε γὰρ ἐναργῶς λίαν ταύτης αἰσθάνονται τῇ τοῦ νοὸς αἰσθήσει.

Τινὲς δὲ καὶ σωματικοῖς ὀφθαλμοῖς εἶδον αὐτήν, κατὰ τὴν ἀναλογίαν τῶν πειρασμῶν καὶ τὴν ἀντίληψιν γνωρίσαντες, καὶ πρὸς ἀνδρείαν ἐντεῦθεν διαναστάντες, ὡς ἐπὶ τοῦ Ἰακὼβ μανθάνομεν, καὶ Ἰησοῦ τοῦ Ναυῆ, καὶ τῶν Τριῶν Παίδων, καὶ Πέτρου τοῦ Ἀποστόλου, καὶ τῶν λοιπῶν ἁγίων, τῶν διὰ Χριστὸν ἀθλησάντων· οἷς ὀφθαλμοφανῶς ἐν ἀνθρωπίνῳ ἐφαίνετο σχήματι, θαρσοποιοῦσα καὶ ἀλείφουσα πρὸς τὴν εὐσέβειαν. Καὶ πρὸς τοὺς Πατέρας δὲ τοὺς τὴν ἔρημον πολίσαντας, καὶ τοὺς δαίμονας ἐξ αὐτῆς ἀπελάσαντας, Ἀγγέλων ἀποτελέσαντας σκήνωμα, συνεχῶς ἐφοίτων οἱ Ἅγιοι Ἄγγελοι, καὶ παντοίως αὐτῶν ἀντελαμβάνοντο, καὶ συνήργουν ἐν πᾶσι, καὶ ἐνίσχυον, καὶ τῶν πειρασμῶν ἐλυτροῦντο, τῶν ὑπὸ τῆς ἀγριότητος τῶν δαιμόνων ἐπαγομένων αὐτοῖς. Καὶ ἄχρι δὲ τοῦ νῦν οὐκ ἀφίσταται ἡ παρὰ Θεοῦ

βοήθεια τῶν ἀνθρώπων, τῶν ἑαυτοὺς ὁλοκλήρως ἐκδεδωκότων εἰς τὴν αὐτοῦ εὐαρέστησιν, ἀλλ' ἐγγύς ἐστι πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν.

Ἑρμηνεία

ΟΤΑΝ θελήσῃς νὰ κάμῃς ἀρχὴν καλῆς ἐργασίας πρωτίστως νὰ ἑτοιμάσῃς τὸν ἑαυτόν σου νὰ ἀντιμετωπίσῃ τοὺς πειρασμούς, ποὺ πρόκειται νὰ ἔλθουν ἐναντίον σου· διότι ὁ ἐχθρὸς συνηθίζει, ὅταν ἴδῃ κάποιον ὅτι ἀρχίζει, μὲ θερμὴν πίστιν,τὴν εὐάρεστον ζωήν, νὰ τὸν ἐμποδίζῃ μὲ διαφόρους καὶ φοβεροὺς πειρασμούς, ὥστε νὰ δειλιάσῃ ἀπὸ αὐτοὺς ὁ ἄνθρωπος καὶ νὰ ἐγκαταλείψῃ τὴν ἀγαθὴν προαίρεσιν τῆς καρδίας του.

Παραχωρεῖ δὲ καὶ ὁ Θεὸς νὰ πέσῃς εἰς πειρασμόν, διὰ νὰ κτυπήσῃς μὲ ἐπιμονὴν τὴν θύραν τοῦ ἐλέους Του καί, ἀπὸ τὸν φόβον τῶν θλίψεων, νὰ ἐμφυτευθῇ ἐντὸς τῆς διανοίας σου ἡ ἐνθύμησις τοῦ Θεοῦ, καὶ νὰ τὸν πλησιάσῃς διὰ τῶν προσευχῶν, ὁπόταν θὰ ἁγιασθῇ ἡ καρδία σου ἀπὸ τὴν διαρκῆ ἐνθύμησιν τοῦ ὀνόματος τοῦ Θεοῦ· ὅταν δὲ τὸν παρακαλῇς μὲ πίστιν, θὰ σὲ εἰσακούσῃ καὶ θὰ μάθῃς ὅτι ὁ Θεὸς εἶναι αὐτὸς ποὺ σὲ ἐλύτρωσε. Καὶ τότε θὰ καταλάβῃς ὅτι ὁ Πλάστης σου σὲ ἐνισχύει καὶ σὲ φρουρεῖ. Διότι ἡ σκέπη τοῦ Θεοῦ καὶ ἡ πρόνοιά Του περιλαμβάνει ὅλους τοὺς ἀνθρώπους. Δὲν γίνεται ὅμως ὁρατὴ παρὰ μόνον ἀπὸ ἐκείνους ποὺ ἐκαθαρίσθησαν ἀπὸ τὴν ἁμαρτίαν καὶ μελετοῦν συνεχῶς τὸν νόμον τοῦ Θεοῦ· κατ' ἐξαίρεσιν φανερώνεται εἰς αὐτοὺς ἡ βοήθεια καὶ ἡ πρόνοια τοῦ Θεοῦ, ὅταν εἰσέλθουν εἰς μεγάλον πειρασμὸν χάριν τῆς ἀληθείας. Τότε δηλαδὴ αἰσθάνονται πολὺ καθαρά, μὲ τὴν αἴσθησιν τοῦ νοός, τὴν βοήθειαν τοῦ Θεοῦ.

Μερικοὶ δὲ εἶδον αὐτὴν τὴν βοήθειαν καὶ μὲ τοὺς σωματικοὺς ὀφθαλμούς των, ἀναλόγως τῶν πειρασμῶν. Τοιουτοτρόπως ἐγνώρισαν ὅτι ὁ Θεὸς τοὺς ὑπερασπίζει καὶ ἀπὸ αὐτὸ ὑπεκινήθησαν εἰς γενναίας πράξεις ὅπως πληροφορούμεθα ἀπὸ τὸν Ἰακώβ, καὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ καὶ τοὺς Τρεῖς Παῖδας, τὸν Ἀπόστολον Πέτρον, καὶ τοὺς ὑπολοίπους ἁγίους, ποὺ ἤθλησαν διὰ τὸν Χριστόν· εἰς αὐτοὺς ἡ Θεία Βοήθεια ἐφαίνετο ὀφθαλμοφανῶς, ὑπὸ μορφὴν ἀνθρωπίνην, ἐνθαρρύνουσα αὐτοὺς καὶ προετοιμάζουσα διὰ τὸν ἀγῶνα τῆς εὐσεβείας. Καὶ πρὸς τοὺς Πατέρας, ποὺ κατῴκησαν εἰς τὴν ἔρημον καὶ ἐξεδίωξαν ἀπὸ αὐτὴν τοὺς δαίμονας καὶ ποὺ ἀπετέλεσαν μὲ τὴν ἀρετήν των κατοικητήριον Ἀγγέλων, παρουσιάζοντο συνεχῶς οἱ Ἅγιοι Ἄγγελοι καὶ παντοιοτρόπως τοὺς ἐπροστάτευον καὶ τοὺς ἐβοήθουν εἰς ὅλα· τοὺς ἐνίσχυον δὲ καὶ τοὺς ἐλύτρωνον ἀπὸ τοὺς πειρασμοὺς καὶ ἀπὸ τὴν ἀγριότητα τῶν δαιμόνων, ποὺ ἐφέροντο μετὰ μανίας ἐναντίον των.

Καὶ μέχρι σήμερον ἡ βοήθεια τοῦ Θεοῦ δὲν ἀπομακρύνεται ἀπὸ τοὺς ἀνθρώπους, ποὺ ὁλοκληρωτικὰ ἀφιέρωσαν τοὺς ἑαυτούς των εἰς τὴν εὐαρέστησιν τοῦ Θεοῦ, ἀλλ' εὑρίσκεται πλησίον εἰς ὅλους τοὺς ἐπικαλουμένους Αὐτόν.

Δ´. Τοῦ Ἁγίου Μαξίμου

ΔΙΑ πέντε αἰτίας φασὶ παραχωρεῖσθαι ὑπὸ Θεοῦ πολεμεῖσθαι ἡμᾶς ὑπὸ τῶν δαιμόνων· καὶ πρώτην μὲν εἶναι, φασίν, ἵνα πολεμοῦντες καὶ ἀντιπολεμοῦντες εἰς διάκρισιν τῆς ἀρετῆς καὶ τῆς κακίας ἔλθωμεν· δευτέραν δέ, ἵνα πολέμῳ καὶ πόνῳ τὴν ἀρετὴν κτώμενοι, βεβαίαν καὶ ἀμετάπτωτον ἕξωμεν· τρίτην δέ, ἵνα προκόπτοντες εἰς τὴν ἀρετήν, μὴ ὑψηλοφρονῶμεν, ἀλλὰ μάθωμεν ταπεινοφρονεῖν· τετάρτην δέ, ἵνα πειραθέντες τῆς κακίας, τέλειον μῖσος αὐτὴν μισήσωμεν· πέμπτην δὲ ἐπὶ πάσαις, ἵνα ἀπαθεῖς γενόμενοι, μὴ ἐπιλαθώμεθα τῆς οἰκείας ἀσθενείας, μήτε τῆς τοῦ βοηθήσαντος δυνάμεως.

Ἑρμηνεία

ΛΕΓΟΥΝ ὅτι διὰ πέντε αἰτίας παραχωρεῖ ὁ Θεὸς νὰ πολεμούμεθα ἀπὸ τοὺς δαίμονας· καὶ πρώτη μὲν αἰτία λέγουν ὅτι εἶναι νὰ διακρίνωμεν τὴν ἀρετὴν ἀπὸ τὴν κακίαν πολεμοῦντες καὶ ἀντιπολεμούμενοι· δευτέρα δὲ διὰ νὰ ἀποκτήσωμεν μὲ πόλεμον καὶ κόπον τὴν ἀρετήν, ὥστε νὰ ἔχωμεν αὐτὴν βεβαίαν καὶ σταθεράν· τρίτη διὰ νὰ μὴ ὑψηλοφρονήσωμεν, ὅταν θὰ προκόπτωμεν εἰς τὴν ἀρετήν, ἀλλὰ νὰ μάθωμεν νὰ εἴμεθα ταπεινοί· τετάρτη διὰ νὰ μισήσωμεν ὁλοκληρωτικὰ τὴν κακίαν, ἀφοῦ τὴν δοκιμάσωμεν. Καὶ τέλος πέμπτη, ἐκτὸς ὅλων αὐτῶν, εἶναι νὰ μὴ λησμονήσωμεν τὴν ἀδυναμίαν μας, οὔτε τὴν δύναμιν τοῦ Θεοῦ ποὺ μᾶς ἐβοήθησεν διὰ νὰ φθάσωμεν εἰς τὴν ἀπάθειαν.

Ε´. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ πειραζόμενος ὑπὸ δαιμόνων ἀπῆλθε πρός τινα γέροντα, καὶ ἀνήγγειλεν αὐτῷ τοὺς πειρασμούς, οὓς ὑπέμεινε· καὶ λέγει αὐτῷ ὁ γέρων· ἀδελφέ, μὴ πτοησάτωσάν σε οἱ συμβαίνοντές σοι πειρασμοί· ὅσον γὰρ ὁρῶσιν οἱ ἐχθροὶ τὴν ψυχὴν ἀνιοῦσαν καὶ συναπτομένην τῷ Θεῷ, χαλεπαίνουσι φθόνῳ τηκόμενοι· ἀμήχανον δὲ μὴ παρεῖναι τὸν Θεὸν καὶ τοὺς Ἀγγέλους αὐτοῦ ἐν τῷ πειράζεσθαι τὸν ἄνθρωπον, καὶ χεῖρα βοηθείας ὀρέγειν. Σὺ οὖν μὴ διαλίπῃς πρὸς αὐτὸν ἀεὶ ἀνανεύων, καὶ μετὰ ταπεινώσεως ἐπικαλούμενος αὐτὸν εἰς βοήθειαν, ἅμα δὲ καὶ λαμβάνων εἰς ἔννοιαν ἐν τῷ πειρασμῷ τὴν ἄμαχον αὐτοῦ δυναστείαν καὶ τὴν ἡμετέραν ἀσθένειαν, καὶ τοῦ ἐχθροῦ ἡμῶν τὴν ὠμότητα· καὶ τῆς τοῦ Θεοῦ ἀντιλήψεως τυγχάνεις τάχιον.

2. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· πῶς οἱ ἐν τῷ κόσμῳ βιωτικοὶ νηστείας ἀμελοῦντες, καὶ προσευχῆς καταφρονοῦντες, ἀγρυπνιῶν ἀπεχόμενοι, πάσης βρώσεως ἐμφορούμενοι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν ποιοῦντες εἰς τὸ δοῦναι καὶ λαβεῖν, ἀλλήλους κατεσθίοντες, ὅρκοις καὶ ἐπιορκίαις τὸ πλεῖστον τῆς ἡμέρας ἀναλίσκοντες, οὐ πίπτουσιν, οὐδὲ λέγουσιν ὅτι ἡμάρτομεν, οὐδὲ τῆς κοινωνίας ἑαυτοὺς ἀφορίζουσιν, ἡμεῖς δὲ οἱ Μοναχοὶ νηστείαις καὶ ἀγρυπνίαις καὶ χαμαικοιτίαις καὶ ξηροφαγίαις ἀεὶ προσηλούμενοι, καὶ πάσης ἀναπαύσεως σαρκικῆς ἐστερημένοι, πενθοῦμεν καὶ θρηνοῦμεν καὶ λέγομεν, ὅτι ἀπολώλαμεν, καὶ τῆς γεέννης ὑπεύθυνοι ἐσμέν;
Ὁ δὲ γέρων στενάξας εἶπε· καλῶς εἶπας, ἀδελφέ, ὅτι οὐ πίπτουσιν οἱ κο-

σμικοί· πεσόντες γὰρ ἅπαξ ἐξαίσιον καὶ χαλεπὸν πτῶμα, οὔτε ἀναστῆναι δύνανται, οὔτε ἔχουσιν ὅθεν πέσωσι, τῇ πρώτῃ πτώσει διὰ πολλὴν ἄγνοιαν ἐναπομείναντες, καὶ μηδὲ εἰδότες ὅτι πεπτώκασι· τίς δέ ἐστι μέριμνα τῷ διαβόλῳ παλαίειν τοῖς ἀεὶ κάτω κειμένοις; Οἱ δὲ Μοναχοὶ φανερῶς ἀντιπαραταξάμενοι τῷ ἐχθρῷ, μάχονται ἀεὶ αὐτῷ· διὸ καί ποτε μὲν νικῶσι, ποτὲ δὲ νικῶνται· καὶ οὐ παύονται πίπτοντες, ἐγειρόμενοι, θλίβοντες, θλιβόμενοι, βάλλοντες, βαλλόμενοι, ἕως αὐτοῦ χάριτι Θεοῦ περιγένωνται, καὶ ἀνίσχυρον αὐτὸν ἐν ἑαυτοῖς καὶ ἀσθενῆ ἀπεργάσωνται. Τότε γὰρ τελείως πρὸς Θεὸν εἰρηνεύσαντες, καὶ τῆς αὐτοῦ γαλήνης καὶ χαρᾶς ἔνδοθεν διηνεκῶς ἀπολαύοντες, ἀναπαύονται.

3. Εἶπεν ὁ Ἀββᾶς Ποιμὴν περὶ τοῦ Ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ, ὅτι παρεκάλεσε τὸν Θεὸν καὶ ἤρθη τὰ πάθη ἀπ' αὐτοῦ, καὶ γέγονεν ἀμέριμνος· καὶ ἀπελθὼν εἶπε τινὶ γέροντι· ὁρῶ ἐμαυτὸν ἀναπαυόμενον, καὶ μηδένα πόλεμον ἔχοντα· καὶ λέγει αὐτῷ ὁ γέρων· ὕπαγε, παρακάλεσον τὸν Θεόν, ὥς τε τὸν πόλεμόν σοι ἐλθεῖν· διὰ γὰρ τῶν πολέμων προκόπτει ἡ ψυχή. Παρεκάλεσεν οὖν καὶ οὐκέτι ηὔξατο ἀρθῆναι αὐτὸν ἀπ' αὐτοῦ, ἀλλ' ἔλεγε· Κύριε, δός μοι ὑπομονὴν ἐν τοῖς πολέμοις.

4. Εἶπεν ὁ Ἀββᾶς Κόπρις· μακάριος ὁ ὑπομένων κόπον μετὰ εὐχαριστίας. Ὁ αὐτὸς ἀσθενήσας ἐπὶ πολὺν χρόνον κλινήρης ἦν· καὶ ηὐχαρίστει καὶ ἐκώλυε τὸ ἴδιον θέλημα.

5. Εἶπε γέρων, ὅτι ἀδελφός τις ἐπειράζετο ὑπὸ λογισμοῦ ἐπὶ ἔτη ἐννέα· καὶ ἀπὸ εὐλαβείας διέκρινεν ἑαυτὸν λέγων· ἀπώλεσά μου τὴν ψυχήν, ἑαυτὸν αἴτιον τοῦ πειρασμοῦ λογιζόμενος. Ὕστερον οὖν βαρυνθεὶς καὶ ἀπογνούς, ὡς οὐκ ὤφειλε, τὴν ἑαυτοῦ σωτηρίαν, εἶπεν· ὑπάγω εἰς τὸν κόσμον ἐπεὶ ἀπωλόμην. Ὡς οὖν ὥρμησεν ἀπελθεῖν, ἦλθεν αὐτῷ φωνὴ κατὰ τὴν ὁδὸν λέγουσα· τὰ ἐννέα ἔτη, ἐν οἷς ἐπειράσθης, στεφάνους σοι προεξένησαν· διὸ ἐπίστρεψον εἰς τὸν τόπον σου, καὶ κουφίζω σε ἀπὸ τῶν λογισμῶν· καὶ ἐπιστρέψας ὁ ἀδελφὸς εὗρεν ἀνάπαυσιν· ἐξ οὗ μανθάνομεν ὡς τοὺς στεφάνους πόλεμοι προξενοῦσιν.

6. Εἶπε γέρων· εἰς τὰς ἀρχὰς τῆς ἀποταγῆς τοῦ Μοναχοῦ, οὐ παραχωροῦνται οἱ δαίμονες βιαίως πειράζειν τὸν ἄνθρωπον, ἵνα μὴ πτοηθεὶς καὶ ξενισθεὶς τῷ πράγματι, ταχέως ὑποστρέψῃ εἰς τὸν κόσμον· ὅταν δὲ τῷ χρόνῳ καὶ τῷ ἔργῳ προκόψῃ ὁ Μοναχός, τότε ἐπαφίενται αὐτῷ οἱ πόλεμοι τῶν σαρκικῶν ἐπιθυμιῶν καὶ λοιπῶν ἡδονῶν, τάχα δὲ καὶ τοῦ θυμοῦ καὶ μίσους καὶ ἑτέρων παθῶν· καὶ τότε ἀνάγκην ἔχει ὁ ἄνθρωπος ταπεινοῦσθαι καὶ πενθεῖν, ἑαυτὸν μόνον κατακρίνων καὶ μεμφόμενος· καὶ οὕτω διὰ τῶν πειρασμῶν μανθάνει ὑπομονὴν καὶ ἐμπειρίαν καὶ διάκρισιν, καὶ προσφεύγει λοιπὸν τῷ Θεῷ μετὰ δακρύων. Τινὲς δὲ θορυβηθέντες ἐπὶ τῷ πράγματι καὶ τῇ ἀφορήτῳ καταβαρηθέντες λύπῃ, εἰς τὸν τῆς ἀπογνώσεως βυθὸν κατηνέχθησαν, καὶ τῇ καρδίᾳ εἰς τὸν κόσμον πάλιν ὑπέστρεψαν, τινὲς δὲ καὶ τῷ σώματι. Ἡμεῖς δέ, ἀδελφοί, μηδέποτε ἀπελπίσωμεν ἢ ὀλιγωρήσωμεν, ἀλλὰ γενναίως καὶ μακροθύμως τοὺς πειρασμοὺς ὑπομείνωμεν, εὐχαριστοῦντες τῷ Θεῷ ἐπὶ πᾶσι τοῖς συμβαίνουσιν εἰς ἡμᾶς. Ἡ γὰρ πρὸς Θεὸν εὐχαριστία πάντα λύει τὰ μηχανήματα τοῦ ἐχθροῦ.

Ὥς περ γὰρ ὁ τὰς χεῖρας ἔχων πεπισσωμένας, οὐκ ἄλλως αὐτὰς ἐκκαθαίρεται, εἰμὴ δι' ἐλαίου, οὕτω καὶ ἡμεῖς, μολυνθέντες ὑπὸ τῆς ἁμαρτίας, διὰ τοῦ ἐ-

λέους καὶ τῆς φιλανθρωπίας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πάλιν καθαριζόμεθα. Αὐτῷ οὖν ἐν παντὶ πειρασμῷ προσερχώμεθα, καὶ τὴν αὐτοῦ βοήθειαν ἐκτενῶς ἐπικαλώμεθα, ἐπὶ πᾶσιν εὐχαριστοῦντες· καὶ ὀψόμεθα τὸν ἐχθρὸν ἡττώμενον εὐχερῶς, καὶ ἀσθενῆ πρὸς ἡμᾶς γινόμενον καὶ ἀδύνατον.

7. Εἶπε γέρων· εἰ τὰ κακὰ ποιοῦσιν ἡμῖν συγχωρεῖ ὁ Θεὸς μακροθυμῶν ἐφ' ἡμῖν, οὐ πολλῷ μᾶλλον συνεργήσει ἡμῖν εἰ θελήσομεν ποιεῖν τὰ καλά;

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἐνοχλούμενος ἀπὸ δαίμονας μετέβη εἰς ἕνα Γέροντα καὶ τοῦ ἐξωμολογήθη τοὺς πειρασμούς, ποὺ ὑπέμενεν. Ὁ Γέρων τοῦ λέγει:

—Ἀδελφέ, νὰ μὴ σὲ φοβίζουν οἱ πειρασμοί, ποὺ σοῦ συμβαίνουν· διότι ὅσον βλέπουν οἱ ἐχθροὶ τὴν ψυχὴν νὰ ἀνέρχεται καὶ νὰ ἐπικοινωνῇ μὲ τὸν Θεόν, τόσον στενοχωροῦνται καὶ λυώνουν ἀπὸ τὸν φθόνον των. Εἶναι δὲ ἀδύνατον νὰ μὴ παρευρίσκεται ὁ Θεὸς καὶ οἱ Ἄγγελοί Του, ὅταν ὁ ἄνθρωπος εὑρίσκεται εἰς πειρασμὸν καὶ ζητῇ χεῖρα βοηθείας. Σὺ λοιπὸν μὴ σταματᾷς νὰ ἀνυψώνῃς συνεχῶς πρὸς Αὐτὸν τὸ βλέμμα σου καὶ μὲ ταπείνωσιν νὰ Τὸν ἐπικαλῆσαι νὰ σὲ βοηθήσῃ· σκεπτόμενος δέ, συγχρόνως, κατὰ τὴν ὥραν τοῦ πειρασμοῦ, τὴν ἀκατανίκητον δύναμιν τοῦ Θεοῦ, τὴν ἀσθένειάν μας καὶ τὴν σκληρότητα τοῦ ἐχθροῦ μας, θὰ ἐπιτύχῃς γρήγορα καὶ τὴν βοήθειαν τοῦ Θεοῦ.

2. Ἕνας ἀδελφὸς ἠρώτησε Γέροντα λέγων:

— Πῶς οἱ κοσμικοί, καίτοι παραμελοῦν τὴν νηστείαν, καταφρονοῦν τὴν προσευχήν, ἀπέχουν ἀπὸ ἀγρυπνίαν, τρώγουν τὰ πάντα, ἐκπληροῦν τὰς ἐπιθυμίας των κατὰ τὰς μεταξύ των σχέσεις εἰς τὸ δοῦναι καὶ λαβεῖν, καταβροχθίζουν ὁ ἕνας τὸν ἄλλον, ἐξοδεύουν τὸ μεγαλύτερον μέρος τῆς ἡμέρας εἰς ὅρκους καὶ ἐπιορκίας, ἐν τούτοις δὲν πίπτουν, οὔτε λέγουν ὅτι ἡμαρτήσαμεν, οὔτε ἀποκλείονται ἀπὸ τὴν θείαν κοινωνίαν; Ἐνῷ ἡμεῖς οἱ Μοναχοὶ ἂν καὶ εἴμεθα πάντοτε προσηλωμένοι εἰς τὰς νηστείας, τὰς ἀγρυπνίας, τὰς ξηροφαγίας, κοιμώμενοι κατὰ γῆς, ἐστερημένοι ἀπὸ κάθε σαρκικὴν ἀνάπαυσιν, πενθοῦμεν καὶ θρηνοῦμεν καὶ παρ' ὅλα αὐτὰ λέγομεν ὅτι εἴμεθα χαμένοι καὶ καταδικασμένοι διὰ τὴν γέενναν τοῦ πυρός;

Ὁ Γέρων ἀνεστέναξε καὶ ἀπήντησε:

— Καλῶς εἶπας, ἀδελφέ, ὅτι δὲν πίπτουν οἱ κοσμικοί· διότι ὅταν πέσουν μίαν φορὰν εἰς ἐλεεινὴν καὶ φοβερὰν πτῶσιν, οὔτε νὰ σηκωθοῦν πλέον ἠμποροῦν, ἀλλ' οὔτε καὶ ἔχουν ἀπὸ ποῦ νὰ πέσουν, ἐφ' ὅσον παρέμειναν ἀρκετὸν καιρόν, ἀπὸ πολλὴν ἄγνοιαν, εἰς τὴν πρώτην πτῶσιν καὶ δὲν ἀντελήφθησαν κἂν ὅτι ἔχουν πέσει. Διατί δὲ νὰ φροντίζῃ ὁ διάβολος νὰ παλαίῃ πρὸς ἐκείνους, ποὺ κείτονται συνεχῶς χάμω;

Οἱ Μοναχοὶ ὅμως παρετάχθησαν φανερὰ ἐναντίον τοῦ ἐχθροῦ καὶ μάχονται συνεχῶς μὲ αὐτόν· δι' αὐτὸ καὶ ἄλλοτε μὲν νικοῦν, ἄλλοτε δὲ νικῶνται· καὶ δὲν σταματοῦν συνεχῶς νὰ πίπτουν καὶ νὰ σηκώνωνται,

νὰ στενοχωροῦν καὶ νὰ στενοχωροῦνται, νὰ κτυποῦν καὶ νὰ κτυπῶνται, ἕως ὅτου, μὲ τὴν Χάριν τοῦ Θεοῦ, νικήσουν τὸν ἐχθρὸν καὶ τὸν καταστήσουν, διὰ τὸν ἑαυτόν των, ἀνίσχυρον καὶ ἀσθενῆ. Διότι τότε πλέον, ἀφοῦ εἰρηνεύσουν τελείως πρὸς τὸν Θεόν, καὶ ἀπολαύουν συνεχῶς εἰς τὴν ψυχήν των τὴν γαλήνην Του καὶ τὴν χαράν Του, ἀναπαύονται.

3. Ὁ Ἀββᾶς Ποιμὴν εἶπε διὰ τὸν Ἀββᾶν Ἰωάννην τὸν Κολοβόν, ὅτι παρεκάλεσε τὸν Θεὸν καὶ ἔφυγαν ἀπὸ ἐπάνω του τὰ πάθη καὶ ἔγινεν ἀμέριμνος. Μετέβη λοιπὸν εἰς ἕνα Γέροντα καὶ τοῦ εἶπε· Βλέπω τὸν ἑαυτόν μου νὰ ἀναπαύεται καὶ νὰ μὴ ἔχῃ κανένα πόλεμον. Ὁ Γέρων τοῦ ἀπήντησε· πήγαινε νὰ παρακαλέσῃς τὸν Θεόν, διὰ νὰ ἐπανέλθῃ εἰς σὲ ὁ πόλεμος, διότι μὲ τοὺς πολέμους προκόπτει ἡ ψυχή. Παρεκάλεσε λοιπὸν ὁ Ἀββᾶς Ἰωάννης καὶ ποτὲ πλέον δὲν προσηυχήθη νὰ φύγῃ ἀπὸ αὐτὸν ὁ πόλεμος, ἀλλ' ἔλεγε συνεχῶς· Κύριε, δός μου ὑπομονὴν εἰς τοὺς πολέμους.

4. Ὁ Ἀββᾶς Κόπρις εἶπε· εἶναι μακάριος αὐτὸς ποὺ ὑπομένει κόπον καὶ εὐχαριστεῖ τὸν Θεόν. Ὁ ἴδιος ἠσθένησε κάποτε ἐπὶ πολὺν χρόνον καὶ παρέμεινεν εἰς τὸ κρεββάτι. Κατὰ τὸ διάστημα αὐτὸ ηὐχαρίστει τὸν Θεὸν καὶ δὲν ἱκανοποίει τὸ θέλημά του.

5. Ἕνας Γέρων εἶπεν, ὅτι κάποιος ἀδελφὸς ἐπειράζετο ἀπὸ λογισμὸν ἐπὶ ἐννέα ἔτη καὶ ἀπὸ εὐλάβειαν κατέκρινε τὸν ἑαυτόν του λέγων· ἔχασα τὴν ψυχήν μου, θεωρῶν τὸν ἑαυτόν του αἴτιον τοῦ πειρασμοῦ. Ὕστερα ἀπὸ καιρόν, ἐπειδὴ ἐβαρύνθη καὶ ἀπελπισθείς, ἐνῷ δὲν ἔπρεπε, διὰ τὴν σωτηρίαν του, εἶπεν· ἂς ὑπάγω εἰς τὸν κόσμον, ἀφοῦ ἔπεσα εἰς ἀπώλειαν. Καθὼς λοιπὸν ἐκίνησε νὰ φύγῃ, τοῦ ἦλθε μία φωνὴ εἰς τὸν δρόμον· τὰ ἐννέα ἔτη — τοῦ ἔλεγεν ἡ φωνὴ αὐτὴ — κατὰ τὰ ὁποῖα εὑρίσκεσο εἰς πειρασμόν, σοῦ ἐχάρισαν στεφάνους. Δι' αὐτὸ γύρισε εἰς τὸν τόπον σου καὶ θὰ σὲ ἐλαφρώσω ἀπὸ τοὺς λογισμούς. Πράγματι ὁ ἀδελφὸς ἐπέστρεψε καὶ ἀνεπαύθη. Ἀπὸ αὐτὸ μανθάνομεν, πῶς οἱ πόλεμοι παρέχουν στεφάνους εἰς τοὺς ἀγωνιζομένους.

6. (Ἕνας Γέρων εἶπεν· εἰς τὴν ἀρχὴν ποὺ ὁ Μοναχὸς θὰ ἐγκαταλείψῃ τὸν κόσμον διὰ νὰ ἐπιδοθῇ εἰς τὴν ἄσκησιν, ὁ Θεὸς δὲν ἐπιτρέπει εἰς τοὺς δαίμονας νὰ τὸν πειράζουν βιαίως τὸν ἄνθρωπον αὐτόν, διὰ νὰ μὴ φοβηθῇ καὶ παραξενευθῇ ἀπὸ αὐτὸ τὸ πρᾶγμα, ὁπόταν θὰ ἐπιστρέψῃ γρήγορα πάλιν εἰς τὸν κόσμον.) Ὅταν ὅμως ὁ Μοναχός, σὺν τῷ χρόνῳ, προκόψῃ καὶ εἰς τὸ πνευματικὸν ἔργον, τότε ἐξαπολύονται ἐναντίον του οἱ πόλεμοι τῶν σαρκικῶν ἐπιθυμιῶν καὶ τῶν λοιπῶν ἡδονῶν, ἴσως δὲ καὶ τοῦ θυμοῦ καὶ τοῦ μίσους καὶ τῶν ἄλλων παθῶν· καὶ τότε ὁ ἄνθρωπος ἔχει ἀνάγκην νὰ ταπεινώνεται καὶ νὰ πενθῇ κατακρίνων καὶ κατηγορῶν τὸν ἑαυτόν του μόνον. Τοιουτοτρόπως, διὰ τῶν πειρασμῶν, μανθάνει ὑπομονήν, ἀποκτᾷ ἐμπειρίαν καὶ διάκρισιν καὶ προσφεύγει, τοῦ λοιποῦ, μετὰ δακρύων εἰς τὸν Θεόν.

Μερικοὶ θορυβηθέντες ἀπὸ τοὺς πειρασμοὺς καὶ ὑποκύψαντες ὑπὸ τὸ ἀσήκωτον βάρος τῆς λύπης, ἐβυθίσθησαν εἰς τὸν βυθὸν τῆς ἀπελπι-

σίας, καὶ ἐγύρισαν πάλιν εἰς τὸν κόσμον, διὰ τῆς προαιρέσεως καὶ τῶν σκέψεών των, ἐνῷ ἄλλοι ἐπέστρεψαν εἰς τὸν κόσμον καὶ σωματικῶς. Ἡμεῖς ὅμως, ἀδελφοί μου, οὐδέποτε νὰ ἀπελπισθῶμεν ἢ νὰ ἀδιαφορήσωμεν, ἀλλ' ἂς ὑπομείνωμεν μὲ γενναιότητα καὶ μακροθυμίαν τοὺς πειρασμούς, εὐχαριστοῦντες τὸν Θεὸν δι' ὅλα ὅσα μᾶς συμβαίνουν. Διότι ἡ εὐχαριστία πρὸς τὸν Θεὸν ἀχρηστεύει ὅλας τὰς δολοπλοκίας τοῦ ἐχθροῦ.

Ὅπως ἀκριβῶς αὐτὸς ποὺ ἔχει τὰ χέρια του γεμᾶτα πίσσαν δὲν ἠμπορεῖ νὰ τὰ καθαρίσῃ παρὰ μόνον μὲ ἔλαιον, τοιουτοτρόπως καὶ ἡμεῖς· ἀπὸ τὴν στιγμὴν ποὺ ἐμολύνθημεν ἀπὸ τὴν ἁμαρτίαν μόνον μὲ τὸ ἔλεος καὶ τὴν φιλανθρωπίαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καθαριζόμεθα πάλιν. Ἂς προσερχώμεθα λοιπὸν ἐνώπιόν Του εἰς κάθε πειρασμὸν καὶ ἂς ἐπικαλούμεθα μὲ ἐπιμονὴν τὴν βοήθειάν Του εὐχαριστοῦντες δι' ὅλα· καὶ τότε θὰ ἴδωμεν νὰ νικᾶται μὲ εὐκολίαν ὁ ἐχθρὸς καὶ νὰ κάθεται ἀσθενὴς καὶ ἀδύνατος ἀπέναντί μας.

7. Εἶπε Γέρων· ἐὰν μᾶς συγχωρῇ ὁ Θεός, μολονότι πράττομεν κακὰς πράξεις, μακροθυμῶν ἀπέναντί μας, δὲν θὰ μᾶς βοηθήσῃ, πολὺ περισσότερον, ἐὰν θελήσωμεν νὰ πράξωμεν τὰ καλά;

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραὶμ

Ο ΒΟΥΛΟΜΕΝΟΣ Θεῷ εὐαρεστῆσαι, καὶ κληρονόμος Θεοῦ διὰ πίστεως γενέσθαι, καὶ Υἱὸς Θεοῦ καὶ αὐτὸς προσαγορευθῆναι γεννηθεὶς ἐκ Πνεύματος Ἁγίου, πρὸ πάντων τῆς μακροθυμίας καὶ τῆς ὑπομονῆς δραξάμενος ὀφείλει τὰς ἀπαντώσας θλίψεις καὶ ἀνάγκας γενναίως καὶ εὐχαρίστως ὑποφέρειν, ἤτοι σωματικὰς νόσους καὶ πάθη, ὀνειδισμοὺς καὶ ὕβρεις ὑπὸ ἀνθρώπων ἢ ἀοράτους πολέμους διαφόρους, τοὺς ἐπαγομένους τῇ ψυχῇ ὑπὸ τῶν τῆς πονηρίας πνευμάτων, βουλομένων εἰς χαύνωσιν καὶ ὀλιγωρίαν ταύτην ἀπαγαγεῖν, τοῦ Θεοῦ οἰκονομικῶς συγχωροῦντος ἕκαστον δοκιμασθῆναι ἐν διαφόροις θλίψεσιν, ἵνα φανερωθῶσιν οἱ ἐξ ὅλης ψυχῆς ἀγαπῶντες αὐτόν, εἰ πάντα τὰ ἐπιφερόμενα ὑπὸ τοῦ πονηροῦ γενναίως καὶ εὐχαρίστως ὑπομένουσι, καὶ τῆς πρὸς αὐτὸν ἐλπίδος καὶ πίστεως οὐκ ἀφίστανται, ἀλλὰ πάντοτε τὴν λύτρωσιν τῶν λυπηρῶν διὰ τῆς χάριτος, ἐν πίστει καὶ ὑπομονῇ πολλῇ ἀπεκδέχονται· δι' ὧν καὶ ἐξελθεῖν δυνήσονται πάντα πειρασμόν, καὶ οὕτω τῆς ἐπαγγελίας τυχεῖν, ἄξιοι τῆς Βασιλείας γενόμενοι καὶ αὐτοί, ὡς τοῖς ἴχνεσι πάντων τῶν ἀπ' αἰῶνος Ἁγίων καὶ αὐτοῦ τοῦ Κυρίου ἀκολουθήσαντες, καὶ κοινωνοὶ αὐτοῖς οὐ μόνον τῶν παθημάτων, ἀλλὰ καὶ τῆς δόξης γενόμενοι.

Κατανόησον γὰρ καὶ ἴδε πῶς ἐξ ἀρχῆς οἱ Πατέρες πάντες, ἤγουν Πατριάρχαι, καὶ Προφῆται, καὶ Ἀπόστολοι, καὶ Μάρτυρες, διὰ τῆς ὁδοῦ τῶν θλίψεων τῶν πειρασμῶν διελθόντες, καὶ πάντα τὰ δυσχερῆ καρτερῶς καὶ μετὰ χαρᾶς ὑπομείναντες, διὰ τὴν προσδοκωμένην τῆς μισθαποδοσίας ἐλπίδα, οὕτως ἠδυνήθησαν εὐαρεστῆσαι Θεῷ· καθὼς καὶ ἡ γραφὴ λέγει· «τέκνον, εἰ προσῆλθες δουλεύειν Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρει»· ἤτοι εἰς Θεὸν ἀφορῶν, καὶ τῇ εἰς αὐτὸν ἐλπίδι νευρούμενος· φησὶ δὲ καὶ ὁ Ἀπόστολος· «εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί»· καὶ ἀλλαχοῦ λέγει· «τὰ ἐπιφερόμενά σοι πάντα ὡς ἀγαθὰ πρόσδε-

ξαι, εἰδὼς ὅτι ἄνευ Θεοῦ οὐδὲν γίνεται»· καὶ ὁ Κύριος μακαρίζει τοὺς δι' αὐτὸν ἀγωνιζομένους καὶ δεινότατα πάσχοντας ἢ φανερῶς ὑπὸ ἀνθρώπων, ἢ κρυπτῶς ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας ἀνταγωνιζομένων, ὡς εἴρηται, πρὸς τὴν τὸν Θεὸν ἀγαπῶσαν ψυχήν, καὶ τὰς διαφόρους θλίψεις ἐπιφερόντων, πρὸς τὸ ἐμποδίσαι αὐτῇ τὴν εἰς τὴν ζωὴν εἴσοδον, εἰς ὀλιγωρίαν καὶ ἀπελπισίαν ὀλισθησάσῃ. Οἱ οὖν πειρασμοὶ ἐλέγχουσι τὰς τὸν Θεὸν ἀγαπώσας καὶ μὴ ἀγαπώσας ψυχάς, καὶ οὗτοι ἢ ἀξίας Αὐτοῦ ἢ ἀναξίας Αὐτοῦ ἀπεργάζονται.

Τοίνυν πρὸ παντὸς τὴν ὑπομονὴν καὶ ἐλπίδα πᾶσα ψυχὴ ἡ Θεῷ βουλομένη εὐαρεστῆσαι, γενναίως κρατείτω· καὶ οὕτω δυνήσεται ὑπομεῖναι καὶ διεξελθεῖν πᾶσαν ἐπανάστασιν τοῦ πονηροῦ καὶ ἐπήρειαν. Οὐδὲ γὰρ εἰς τοσοῦτον παραχωρεῖ ὁ Θεὸς ψυχὴν τὴν εἰς αὐτὸν ἐλπίζουσαν καὶ Αὐτὸν ὑπομένουσαν πειρασθῆναι, ὥς τε ἐξαπορηθῆναι βαρυνθεῖσαν ὑπὲρ ὃ δύναται. Οὔτε δὲ ὁ πονηρὸς ὅσον βούλεται πειράζει καὶ θλίβει τὴν ψυχήν, ἀλλ' ὅσον παραχωρεῖται αὐτῷ ὑπὸ τοῦ Θεοῦ· οἶδε γὰρ ὁ πλάστης ἡμῶν πόσον ὀφείλει εἰς δοκιμασίαν καὶ πύρωσιν εἰσελθεῖν ἡ ψυχή, καὶ τοσοῦτον καὶ παραχωρεῖ.

Εἰ γὰρ ὁ κεραμεὺς πλάσας τὰ σκεύη ἐπίσταται πόσον ἐν τῷ πυρὶ χρὴ ἐᾶσαι αὐτά, εἰ μὴ γὰρ διέλθωσι διὰ πυρός, εὔχρηστα τοῖς ἀνθρώποις οὐ γίνεται, καὶ οὔτε ὑπὲρ τὸ δέον αὐτὰ ἀφίησιν ἐν τῇ καμίνῳ, ἵνα μὴ κατακαέντα διαφθαρῇ, οὔτε πάλιν ἐλλιπῶς ἔχοντα ἐκβάλλει, ἵνα μὴ εὔθραυστα ὁμοίως καὶ ἄχρηστα ᾖ· καὶ τοῖς ὑποζυγίοις δὲ οὐ πᾶσιν ἐπίσης, ἀλλὰ πρὸς τὴν δύναμιν ἑκάστου ζώου τὸν φόρτον ἐπιτιθέαμεν· καὶ ἡ ναῦς δέ, ἔχει τινὰ σημεῖα, δι' ὧν δηλοῖ μέχρι τίνος δεξαμένη τὸν γόμον, ἀβλαβῶς ἐκ τοῦ πλοὸς διασώζει.

Εἰ οὖν ἐπὶ τῶν φαινομένων καὶ φθειρομένων τοσαύτην γνῶσιν καὶ διάκρισιν τοῖς ἀνθρώποις ὁ Θεὸς ἔδωκεν, ἵνα ἀσφαλῶς αὐτὰ διοικῶσιν, οὐ πολλῷ μᾶλλον Αὐτὸς ὁ χορηγὸς τῆς σοφίας καὶ τῆς συνέσεως ἐπίσταται πόσων καὶ ποίων δοκιμασιῶν δέονται αἱ ψυχαὶ αἱ αὐτῷ εὐαρεστῆσαι βουλόμεναι, ἵνα καὶ εὔχρηστοι αὐτῷ, καὶ ἐπιτήδειοι πρὸς τὴν Βασιλείαν τῶν οὐρανῶν γένωνται; Ὥς περ γὰρ τὸ εἶδος τῆς κανάβης οὐ χρησιμεύει ἄλλως εἰς τὸ γενέσθαι ὑπ' αὐτοῦ νήματα λεπτότατα, ἐὰν μὴ ἐπὶ πολὺ κοπανισθῇ· καὶ ὅσον βασανίζεται καὶ ξέεται, τοσοῦτον καθαρώτερον καὶ ἐπιτηδειότερον γίνεται, οὕτω καὶ ἡ φιλόθεος ψυχή· ἐν πολλοῖς πειρασμοῖς καὶ θλίψεσιν ἐξεταζομένη καὶ λεπτυνομένη, καὶ ὑπομένουσα γενναίως, καθαρωτέρα καὶ χρησιμωτέρα εἰς τὴν πνευματικὴν ἐργασίαν καθίσταται, καὶ τέλος εἰς τὴν τῆς Βασιλείας εἴσοδον μετὰ χαρᾶς εἰσελθοῦσα, κληρονόμος ἔσται τῆς ἐπουρανίου τῶν ἀγαθῶν παστάδος, εἰς τοὺς ἀπεράντους αἰῶνας.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ ποὺ θέλει νὰ εὐαρεστήσῃ τὸν Θεὸν καὶ νὰ ἀναδειχθῇ, διὰ πίστεως, κληρονόμος Θεοῦ, καὶ νὰ ὀνομασθῇ Υἱὸς τοῦ Θεοῦ γεννηθεὶς ἐκ Πνεύματος Ἁγίου, πρέπει, πρὶν ἀπ' ὅλα, νὰ ὁπλισθῇ μὲ ὑπομονὴν καὶ μακροθυμίαν καὶ νὰ ὑπομένῃ μὲ γενναιότητα καὶ εὐχαρίστως τὰς θλίψεις καὶ τὰς ἀνάγκας, ποὺ θὰ συναντήσῃ, δηλαδὴ τὰς σωματικὰς νόσους καὶ τὰ πάθη, τοὺς ἐξευτελισμοὺς καὶ τὰς ὕβρεις τῶν ἀνθρώπων,

ἢ τοὺς διαφόρους ἀοράτους πολέμους, ποὺ φέρονται ἐναντίον τῆς ψυχῆς ἀπὸ τὰ πνεύματα τῆς πονηρίας, ποὺ ἐπιδιώκουν νὰ τὴν παρασύρουν εἰς ἀμέλειαν καὶ ἀδυναμίαν.

Ὅλα αὐτὰ τὰ ἐπιτρέπει ὁ Θεὸς κατ' οἰκονομίαν, διὰ νὰ δοκιμασθῇ ἕκαστος μὲ διαφόρους θλίψεις, καὶ νὰ φανερωθοῦν αὐτοί, ποὺ ἀγαποῦν τὸν Θεὸν μὲ ὅλην των τὴν ψυχήν, ἐφ' ὅσον ὑπομείνουν ὅλας τὰς ἐπιθέσεις τοῦ πονηροῦ γενναίως καὶ εὐχαρίστως καὶ δὲν ἀπομακρυνθοῦν ἀπὸ τὴν πρὸς τὸν Θεὸν ἐλπίδα καὶ πίστιν των, ἀλλὰ πάντοτε θὰ ἀναμένουν, μὲ πίστιν καὶ πολλὴν ὑπομονήν, νὰ λυτρωθοῦν διὰ τῆς Χάριτος, ἀπὸ τὰ λυπηρά. Μὲ ὅλα αὐτὰ θὰ ἠμπορέσουν νὰ ἀντεπεξέλθουν κατὰ παντὸς πειρασμοῦ καὶ τοιουτοτρόπως νὰ ἐπιτύχουν τὴν ὑπόσχεσιν, καθιστάμενοι καὶ οἱ ἴδιοι ἄξιοι τῆς ἐπουρανίου Βασιλείας, ἀφοῦ ἐβάδισαν ἐπάνω εἰς τὰ ἴχνη τῶν ἀπὸ πολλῶν αἰώνων ἁγίων καὶ τοῦ ἰδίου τοῦ Κυρίου καὶ ἐγένοντο κοινωνοὶ ὄχι μόνον τῶν παθημάτων των, ἀλλὰ καὶ τῆς δόξης των.

Πρόσεξε λοιπὸν νὰ ἀντιληφθῇς καὶ ἰδὲ πῶς ἀπὸ τὴν ἀρχὴν ὅλοι οἱ Πατέρες, δηλαδὴ Πατριάρχαι, καὶ Προφῆται, καὶ Ἀπόστολοι, καὶ Μάρτυρες, ἀφοῦ ἐπέρασαν ἀπὸ τὴν ὁδὸν τῶν θλίψεων καὶ τῶν πειρασμῶν καὶ ἀφοῦ ὑπέμειναν μὲ χαρὰν καὶ καρτερικότητα τὰς διαφόρους δυσκολίας ἔτσι μόνον ἠδυνήθησαν νὰ εὐαρεστήσουν τὸν Θεόν, χάρις εἰς τὴν ἀναμενομένην ἐλπίδα τῆς ἀποδόσεως εἰς τὸν ἀγωνιζόμενον τοῦ μισθοῦ τῶν κόπων του. Ἡ ἀλήθεια αὐτὴ εἶναι σύμφωνος καὶ μὲ τὸ ῥητὸν τῆς Ἁγίας Γραφῆς· «Τέκνον, ἐὰν ἐπλησίασες πρὸς τὸν Κύριον διὰ νὰ τὸν ὑπηρετήσῃς ὡς δοῦλος, ἑτοίμασε τὴν ψυχήν σου νὰ δεχθῇ τὴν δοκιμασίαν τοῦ πειρασμοῦ· κατεύθυνε τὴν καρδίαν σου καὶ ὑπόμενε». (Σοφ. Σειρ. β', 1—2). Αὐτὸ σημαίνει ὅτι πρέπει νὰ ἐλπίζῃς εἰς τὸν Θεὸν καὶ μὲ τὴν ἐλπίδα Του αὐτὴν νὰ ἐνισχύεσαι.

Λέγει δὲ καὶ ὁ Ἀπόστολος· «ἐὰν στερῆσθε τῆς παιδαγωγούσης δοκιμασίας, τῆς ὁποίας μέτοχοι ἔγιναν ὅλοι, ἄρα εἶσθε νόθοι καὶ ὄχι υἱοὶ γνήσιοι» (Ἑβρ. ιβ', 8). Εἰς ἄλλο πάλιν σημεῖον λέγει ἡ ἁγ. Γραφὴ «ὅλας τὰς κατὰ σοῦ ἐπιθέσεις νὰ τὰς δεχθῇς ὡς ἀγαθά, γνωρίζων ὅτι χωρὶς τὴν θέλησιν τοῦ Θεοῦ τίποτα δὲν γίνεται». Ἀλλὰ καὶ ὁ ἴδιος ὁ Κύριος μακαρίζει ὅσους ἀγωνίζονται δι' Αὐτὸν καὶ ὑποφέρουν φοβερὰς δοκιμασίας ἢ φανερῶς ἀπὸ τοὺς ἀνθρώπους ἢ κρυφὰ ἀπὸ τὰ πνεύματα τῆς πονηρίας, τὰ ὁποῖα, ὅπως ἐλέχθη, ἀγωνίζονται ἐναντίον τῆς ψυχῆς, ποὺ ἀγαπᾷ τὸν Θεόν, καὶ ῥίπτουν ἐπάνω της τὰς διαφόρους θλίψεις, διὰ νὰ ἐμποδίσουν τὴν εἴσοδόν της εἰς τὴν ζωήν, ἐφ' ὅσον θὰ ἔχῃ γλιστρήσει εἰς τὴν ἀμέλειαν καὶ τὴν ἀπελπισίαν. Οἱ πειρασμοὶ λοιπὸν δοκιμάζουν καὶ ξεχωρίζουν τὰς ψυχάς, ποὺ ἀγαποῦν τὸν Θεόν, ἀπὸ τὰς ψυχάς, ποὺ δὲν τὸν ἀγαποῦν, καὶ τοιουτοτρόπως ἀναδεικνύουν ποῖοι εἶναι ἄξιοι τοῦ Θεοῦ καὶ ποῖοι ἀνάξιοι Αὐτοῦ.


Κάθε ψυχὴ λοιπόν, ποὺ θέλει νὰ φανῇ εὐάρεστος ἐνώπιον τοῦ Θεοῦ, ἂς κρατῇ γενναίως, πρὸ παντός, τὴν ὑπομονὴν καὶ τὴν ἐλπίδα καὶ ἔτσι μὲ αὐτὰς τὰς ἀρετὰς θὰ ἠμπορέσῃ νὰ ὑπομείνῃ καὶ νὰ ἀντιμετωπίσῃ ὅλην

τὴν ἐνόχλησιν καὶ ἐπανάστασιν τοῦ πονηροῦ. Διότι οὔτε καὶ ὁ Θεὸς παραχωρεῖ ἡ ψυχὴ ποὺ ἐλπίζει εἰς Αὐτὸν καὶ εἰς Αὐτὸν ὑπομένουσα, νὰ περιπέση εἰς τόσον μεγάλον πειρασμόν, ὥστε νὰ περιέλθη εἰς δύσκολον θέσιν βαρυνομένη μὲ θλίψεις περισσοτέρας τῶν ὅσων δύναται νὰ σηκώση. 'Αλλ' οὔτε καὶ ὁ πονηρὸς πειράζει καὶ στενοχωρεῖ τὴν ψυχὴν ὅσον θέλει, ἀλλ' ὅσον τοῦ ἐπιτρέπεται ἀπὸ τὸν Θεόν· διότι γνωρίζει ὁ Πλάστης μας πόσον ἡ ψυχὴ πρέπει νὰ εἰσέλθη εἰς δοκιμασίαν καὶ στενοχωρίαν, καὶ τόσον μόνον παραχωρεῖ.

Ἂς λάβωμεν ὡς παράδειγμα τὸν κεραμοποιόν· ὁ κεραμοποιός, ἀφοῦ πλάση τὰ πήλινα σκεύη, γνωρίζει πόσον πρέπει νὰ τὰ ἀφήση εἰς τὴν φωτιάν, διότι ἐὰν δὲν περάσουν ἀπὸ τὴν φωτιάν, δὲν ἠμποροῦν νὰ τὰ χρησιμοποιήσουν οἱ ἄνθρωποι, καὶ οὔτε περισσότερον ἀπὸ ὅ,τι πρέπει τὰ ἀφήνει εἰς τὸ καμίνι, μὴ τυχὸν καὶ καταστραφοῦν ἀπὸ τὴν φωτιάν, οὔτε πάλιν τὰ βγάζει ἀπὸ τὸ καμίνι πρὸ τῆς ὡρισμένης ὥρας, διὰ νὰ μὴ σπάζουν εὔκολα καὶ γίνωνται ἄχρηστα. Καὶ τὰ ὑποζύγια ἐπίσης δὲν τὰ φορτώνομεν μὲ τὸ ἴδιον βάρος ὅλα, ἀλλὰ ἀναλόγως τῆς ἀντοχῆς ἑκάστου ζώου. Καὶ τὸ πλοῖον πάλιν ἔχει ὡρισμένα σημεῖα, μὲ τὰ ὁποῖα φανερώνει μέχρι ποῦ πρέπει νὰ φορτωθῆ, ὥστε χωρὶς βλάβην νὰ διαπλεύση τὸ πέλαγος.

Ἐὰν λοιπὸν ὁ Θεὸς ἔδωσεν εἰς τοὺς ἀνθρώπους τόσην γνῶσιν καὶ διάκρισιν, διὰ νὰ διοικοῦν ἀσφαλῶς τὰ φαινόμενα καὶ φθειρόμενα πράγματα τοῦ κόσμου αὐτοῦ, δὲν θὰ γνωρίζη πολὺ περισσότερον Αὐτὸς οὗτος ὁ χορηγὸς τῆς σοφίας καὶ τῆς συνέσεως πόσας καὶ ποίας δοκιμασίας ἔχουν ἀνάγκην αἱ ψυχαί, ποὺ θέλουν νὰ εἶναι εὐάρεστοι εἰς Αὐτόν, διὰ νὰ τοῦ εἶναι καὶ χρήσιμοι, ἀλλὰ καὶ διὰ νὰ εἶναι ἄξιοι τῆς Βασιλείας τῶν οὐρανῶν; Διότι ὅπως ἀκριβῶς τὸ φυτὸν τῆς καννάβεως δὲν γίνεται χρήσιμον, διὰ τῆς κατασκευῆς του εἰς νήματα λεπτότατα, ἐὰν πρωτίστως δὲν κοπανισθῆ ἐπὶ πολύ· ὅσον δὲ περισσότερον βασανίζεται καὶ ξένεται, τόσον καθαρώτερον καὶ χρησιμώτερον γίνεται, κατὰ τὸν ἴδιον τρόπον καὶ ἡ φιλόθεος ψυχή. Ταλαιπωρουμένη καὶ λεπτυνομένη, διὰ πολλῶν πειρασμῶν καὶ θλίψεων, καὶ ὑπομένουσα γενναίως, ἀναδεικνύεται καθαρωτέρα καὶ χρησιμωτέρα εἰς τὴν πνευματικὴν ἐργασίαν, καὶ τέλος, ἀφοῦ εἰσέλθη χαρούμενη εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν, θὰ γίνη παντοτεινὰ κληρονόμος τῶν ἐπουρανίων θαλάμων.





ΥΠΟΘΕΣΙΣ Λʹ

Περὶ τοῦ ὅτι οὐ δεῖ εἰς πάντα ἃ πταίομεν τοὺς δαίμονας αἰτιᾶσθαι, ἀλλ' ἑαυτούς· τοὺς γὰρ προσέχοντας, οὐδὲ οἱ δαίμονες βλάψαι δύνανται, μεγάλης οὔσης τῆς παρὰ Θεοῦ βοηθείας· καὶ ὅτι πρὸς τὴν δύναμιν τῶν ἀνθρώπων καὶ ὁ Θεὸς συγχωρεῖ τοὺς πολέμους.

Περὶ τοῦ ὅτι δὲν πρέπει εἰς ὅλα ὅσα ἁμαρτάνομεν, νὰ θεωρῶμεν ὡς αἰτίους τοὺς δαίμονας, ἀλλὰ τοὺς ἑαυτούς μας· διότι ἐκείνους, οἱ ὁποῖοι προσέχουν, οὔτε οἱ δαίμονες ἠμποροῦν νὰ βλάψουν, ἐπειδὴ εἶναι μεγάλη ἡ παρὰ Θεοῦ βοήθεια· ἀναλόγως δὲ πρὸς τὴν δύναμιν τῶν ἀνθρώπων, ὁ Θεὸς ἐπιτρέπει καὶ τοὺς πολέμους.



Αʹ. Ἐν τῷ Γεροντικῷ



ΙΠΕΝ ὁ Ἀββᾶς Ἀντώνιος, ὅτι ὁ Θεὸς οὐκ ἀφίησι τοὺς πολέμους ἐπὶ τὴν γενεὰν ταύτην, ὥς περ ἐπὶ τοὺς ἀρχαίους· οἶδε γὰρ ὅτι ἀσθενεῖς εἰσι καὶ οὐ βαστάζουσιν.

2. Ἠρώτησεν Ἀβραὰμ ὁ τοῦ Ἀββᾶ Ἀγάθωνος τὸν Ἀββᾶν Ποιμένα λέγων· τί ποιήσω ὅτι σφόδρα οἱ δαίμονες πολεμοῦσί με; καὶ ἀπεκρίθη ὁ γέρων· σὲ πολεμοῦσιν οἱ δαίμονες; οὐ πολεμοῦσι μεθ' ἡμῶν ἐφ' ὅσον τὰ θελήματα ἡμῶν ποιοῦμεν· τὰ γὰρ θελήματα ἡμῶν δαίμονες γεγόνασι καὶ αὐτά εἰσι τὰ θλίβοντα ἡμᾶς, ἵνα πληρώσωμεν αὐτά· εἰ δὲ θέλεις μαθεῖν μετὰ τίνων ἐπολέμησαν οἱ δαίμονες, γνῶθι ὅτι μετὰ Μωϋσέως καὶ τῶν ὁμοίων.

3. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Παμβὼ λέγων· διατί κωλύουσί με οἱ δαίμονες ποιῆσαι ἀγαθὸν τῷ πλησίον; ἀπεκρίθη ὁ γέρων· μὴ λέγε οὕτως· εἰ δὲ μή γε τὸν Θεὸν ψεύστην ποιεῖς· ἀλλὰ μᾶλλον εἰπέ, ὅτι οὐ θέλω ὅλως ποιῆσαι ἔλεος· προλαβὼν γὰρ εἶπεν ὁ Θεός· «ἔδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ».

4. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σισώην· τί ποιήσω διὰ τὰ πάθη καὶ τοὺς δαίμονας; καὶ εἶπεν ὁ γέρων· ἕκαστος ἡμῶν πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας.

5. Εἶπεν ἡ ἁγία Συγκλητική· ὅσον προκόπτουσιν οἱ ἀθληταί, τοσούτῳ μείζοσι συνάπτονται ἀνταγωνισταῖς.

6. Ἐπολεμήθη ποτὲ ὁ Ἀββᾶς Μωϋσῆς εἰς πορνείαν πάνυ· καὶ μηκέτι ἰσχύων καθίσαι εἰς τὸ κελλίον, ἀπῆλθε καὶ ἀνήγγειλε τῷ Ἀββᾷ Ἰσιδώρῳ· ὁ δὲ γέρων παρεκάλεσεν αὐτὸν ἵνα ὑποστρέψῃ εἰς τὸ κελλίον αὐτοῦ· ὁ δὲ οὐ κατεδέξατο λέγων· οὐκέτι ἰσχύω, Ἀββᾶ· καὶ λαβὼν αὐτὸν μεθ' ἑαυτοῦ, ἀνήγαγεν εἰς τὸ δῶμα, καὶ λέγει αὐτῷ· πρόσχες εἰς δυσμάς· καὶ προσχών, εἶδε πλῆθος δαιμόνων, καὶ ἦσαν τεταραγμένοι καὶ θορυβοῦντες τοῦ πολεμεῖν. Ἔφη αὐτῷ πάλιν ὁ Ἀββᾶς Ἰσίδωρος· βλέψον καὶ πρὸς ἀνατολάς· καὶ ἀναβλέψας, εἶδεν ἀναρίθμητα πλήθη Ἁγίων Ἀγγέλων δεδοξασμένων· καὶ εἶπεν αὐτῷ ὁ γέρων· ἰδοὺ οὗτοι εἰσὶν οἱ ἀποστελλόμενοι τοῖς ἁγίοις παρὰ Κυρίου εἰς βοήθειαν· οἱ δὲ εἰς δυσμάς εἰσιν οἱ πολεμοῦντες αὐτούς· πλείους οὖν εἰσιν οἱ μεθ' ἡμῶν· διὸ θάρσει καὶ μηκέτι φοβοῦ· καὶ οὕτως εὐχαριστήσας τῷ Θεῷ ὁ Ἀββᾶς Μωϋσῆς ἔλαβε θάρσος καὶ ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ.

7. Εἶπε γέρων· εἰς τὰς ἀρχὰς τῆς ἀποταγῆς τοῦ Μοναχοῦ, οὐ παραχωροῦνται οἱ δαίμονες βιαίως πειράσαι τὸν ἄνθρωπον, ἵνα μὴ ξενισθεὶς καὶ πτοηθεὶς ἐπὶ τούτῳ, ταχέως ὑποστρέψῃ εἰς τὸν κόσμον· ὅταν δὲ τῷ χρόνῳ καὶ τῷ ἔργῳ προκόψῃ, τότε ἐπαφίενται αὐτῷ οἱ πόλεμοι τῶν σαρκικῶν ἐπιθυμιῶν καὶ ἡδονῶν· καὶ λυπούμενος, ἀνάγκην ἔχει ταπεινοῦσθαι καὶ πενθεῖν, καὶ ἑαυτὸν κατακρίνειν καὶ μέμφεσθαι ἐφ' οἷς ἥμαρτε καὶ ἁμαρτάνει· καὶ οὕτω διὰ τῶν πειρασμῶν τούτων γυμνασθείς, μανθάνει ὑπομονὴν καὶ ἐμπειρίαν καὶ διάκρισιν, καὶ προσφεύγει λοιπὸν τῷ Θεῷ μετὰ δακρύων· κἀκεῖνος πάντα λύει τὰ μηχανήματα τοῦ ἐχθροῦ, καὶ κατὰ μικρὸν μικρὸν φέρει αὐτὸν εἰς ἀνάπαυσιν· τινὲς δὲ ὀλιγωρήσαντες ἢ διεχειρίσαντο ἑαυτούς, ἢ εἰ ςτὸν κόσμον ὑπέστρεψαν, ὑπὸ τῆς λύπης καταποθέντες.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἀντώνιος εἶπεν, ὅτι ὁ Θεὸς δὲν ἐξαπολύει εἰς αὐτὴν τὴν γενεὰν τοὺς πολέμους, μὲ τὴν ἰδίαν σφοδρότητα, ποὺ τοὺς ἐξαπέλυεν εἰς τοὺς ἀρχαίους· διότι γνωρίζει ὅτι οἱ σημερινοὶ ἄνθρωποι εἶναι ἀδύνατοι καὶ δὲν ἀντέχουν.

2. Ὁ Ἀβραάμ, ὁ ὑποτακτικὸς τοῦ Ἀββᾶ Ἀγάθωνος, ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

— Τί νὰ κάνω, ποὺ οἱ δαίμονες μὲ πολεμοῦν σφοδρῶς;

— Σὲ πολεμοῦν οἱ δαίμονες; ἀπήντησεν ὁ Γέρων· δὲν πολεμοῦν μαζί μας ἐφ' ὅσον κάνομεν τὰ θελήματά μας· διότι τὰ θελήματά μας ἔγιναν δαίμονες καὶ αὐτὰ εἶναι ποὺ μᾶς στενοχωροῦν, διὰ νὰ τὰ ἱκανοποιήσωμεν· ἐὰν δὲ θέλῃς νὰ μάθῃς μὲ ποίους ἐπολέμησαν οἱ δαίμονες, μάθε ὅτι ἐπολεμήσαμεν μὲ τὸν Μωϋσῆν καὶ τοὺς ὁμοίους του.

3. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Παμβώ:

— Διατί μὲ ἐμποδίζουν οἱ δαίμονες νὰ κάμω τὸ ἀγαθὸν πρὸς τὸν πλησίον μου;

— Νὰ μὴ λέγῃς ἔτσι, ἀπήντησεν ὁ Γέρων· διαφορετικὰ κάμνεις ψεύστην τὸν Θεόν. Προτιμότερον νὰ λέγῃς: Καθόλου δὲν θέλω νὰ κάμω καλὸν εἰς τὸν ἄλλον. Διότι ὁ Θεὸς προγνωρίζων τὴν πονηρίαν μας εἶπε εἰς

τὴν Ἁγίαν Γραφὴν «Σᾶς ἔδωσα τὴν δύναμιν νὰ πατῆτε ἐπάνω σὲ ὄφεις καὶ σκορπιούς, καὶ ἐπάνω εἰς ὅλην τὴν δύναμιν τοῦ ἐχθροῦ» (Λουκ. ι', 19).

4 Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σισώην:

— Τί νὰ κάμω ἐναντίον τῶν παθῶν μου καὶ τῶν δαιμόνων;

— Καθένας μας ἐνοχλεῖται ἀπὸ τὰς ἐπιθυμίας του (Ἰακώβ. α', 14), ἀπήντησεν ὁ Γέρων.

5 Ἡ ἁγία Συγκλητικὴ εἶπεν· ὅσον οἱ ἀθληταὶ γίνονται καλύτεροι, τόσον καὶ πρὸς ἰσχυροτέρους ἀντιπάλους συναγωνίζονται.

6. Κάποτε ὁ Ἀββᾶς Μωϋσῆς ἐπολεμήθη πάρα πολὺ ἀπὸ λογισμοὺς πορνείας· καὶ μὴ δυνάμενος πλέον νὰ καθίσῃ εἰς τὸ κελλί του, ἔφυγε καὶ ἐξωμολογήθη τοὺς λογισμούς του εἰς τὸν Ἀββᾶν Ἰσίδωρον. Ὁ Γέρων τὸν παρεκάλεσε νὰ ἐπιστρέψῃ πάλιν εἰς τὸ κελλίον του. Ἐκεῖνος ὅμως δὲν ἤθελε καθόλου νὰ ἀκούσῃ τὴν σύστασιν, ἀπαντῶν πρὸς τὸν Ἀββᾶν Ἰσίδωρον· δὲν ἀντέχω πλέον, Ἀββᾶ. Τότε ὁ Ἀββᾶς Ἰσίδωρος τὸν ἐπῆρε κοντά του καὶ ἀνέβηκε εἰς τὴν στέγην τοῦ κελλίου καὶ τοῦ λέγει:

— Κοίταξε πρὸς δυσμάς.

Πράγματι ἐκοίταξε μὲ προσοχὴν πρὸς τὰ ἐκεῖ καὶ εἶδε πλῆθος δαιμόνων νὰ προκαλοῦν ταραχὴν καὶ νὰ θορυβοῦν μὲ τὸ νὰ κάνουν πόλεμον.

Τοῦ λέγει πάλιν ὁ Ἀββᾶς Ἰσίδωρος·

— Τώρα κοίταξε καὶ πρὸς ἀνατολάς.

Ὅταν ἐστράφη πρὸς ἀνατολὰς ὁ ἀββᾶς Μωϋσῆς εἶδεν ἀναρίθμητα πλήθη ἁγίων Ἀγγέλων, ποὺ περιεβάλλοντο μὲ δόξαν.

Εἶπε τότε πρὸς τὸν Μωϋσῆν ὁ Γέρων·

— Νά! αὐτοὺς ποὺ βλέπεις εἶναι ἐκεῖνοι, ποὺ ἀποστέλλει ὁ Κύριος νὰ βοηθήσουν τοὺς ἁγίους ποὺ ἀγωνίζονται· ἐκείνους ὅμως ποὺ εἶδες, προηγουμένως, πρὸς δυσμὰς εἶναι αὐτοὶ ποὺ τοὺς πολεμοῦν· περισσότεροι λοιπὸν εἶναι οἱ σύμμαχοί μας. Δι' αὐτὸ νὰ ἔχῃς θάρρος καὶ νὰ μὴ φοβῆσαι.

Ἔπειτα ἀπὸ αὐτὰ ὁ Ἀββᾶς Μωϋσῆς ηὐχαρίστησε τὸν Θεόν, ἐπῆρε θάρρος καὶ ἐγύρισεν εἰς τὸ κελλί του.

7 Ἕνας Γέρων εἶπεν: Εἰς τὸν πρῶτον καιρὸν ποὺ ὁ Μοναχὸς ἀπαρνεῖται τὸν κόσμον, οἱ δαίμονες δὲν ἔχουν δικαίωμα νὰ ἐνοχλήσουν μὲ βιαιότητα τὸν ἄνθρωπον, διὰ νὰ μὴ παραξενευθῇ καὶ φοβηθῇ καὶ ἔτσι ξαναγυρίσῃ γρήγορα εἰς τὸν κόσμον. Ὅταν ὅμως, σὺν τῷ χρόνῳ, προχωρήσῃ καὶ εἰς τὰ ἔργα τῆς ἀσκήσεως, τότε ἐξαπολύονται ἐναντίον του οἱ πόλεμοι τῶν σαρκικῶν ἐπιθυμιῶν καὶ τῶν ἡδονῶν· ὁπόταν λυπεῖται καὶ αἰσθάνεται τὴν ἀνάγκην νὰ ταπεινωθῇ καὶ νὰ πενθήσῃ, καὶ νὰ κατακρίνῃ τὸν ἑαυτόν του καὶ νὰ τὸν κατηγορήσῃ δι' ὅσα ἡμάρτησε καὶ ἁμαρτάνει. Ἔτσι γυμνάζεται ἀπὸ τοὺς πειρασμούς, μανθάνει ὑπομονήν, ἀποκτᾷ ἐμπειρίαν καὶ διάκρισιν καὶ καταφεύγει πλέον μὲ δάκρυα ἐνώπιον τοῦ Θεοῦ. Τότε καὶ ὁ Θεὸς διαλύει τὰς μηχανορραφίας τοῦ ἐχθροῦ καὶ ὀλίγον κατ' ὀλίγον τὸν ὁδηγεῖ εἰς ἀνάπαυσιν. Μερικοί, παραμελήσαντες τὴν προσ-

πάθειάν των ἢ αὐτοκτόνησαν ἀπὸ τὴν μεγάλην των λύπην ἢ ἐξαναγύρισαν εἰς τὸν κόσμον, ἐπειδὴ τοὺς κατέβαλεν ἡ μεγάλη στενοχωρία.

Β'. Τοῦ 'Αββᾶ Κασσιανοῦ

ΕΙΠΕΝ ὁ 'Αββᾶς Σερῖνος, ὅτι οὐ πάντες ἅμα οἱ δαίμονες πάντα τὰ πάθη τοῖς ἀνθρώποις ὑποβάλλουσιν, ἀλλ' ἓν ἕκαστον πάθος εἰδικὰ καὶ ὡρισμένα πνεύματα ἔχει τὰ τοῦτο ὑποβάλλοντα. Ἄλλα μὲν γὰρ ταῖς ἀκαθαρσίαις καὶ τοῖς τῶν ἡδονῶν ῥύποις τέρπονται καὶ ταῖς δυσωδίαις· ἄλλα δὲ ταῖς βλασφημίαις· ἄλλα τῇ ὀργῇ καὶ μανίᾳ χαίρουσιν· ἕτερα τῇ λύπῃ· ἄλλα τῇ κενοδοξίᾳ· ἕτερα δὲ τῇ ὑπερηφανίᾳ· καὶ ἓν ἕκαστον τῶν πνευμάτων τούτων ἐκεῖνο φιλεῖ συνεχῶς ὑποβάλλειν, ὅπερ καὶ τὴν ψυχὴν ἡδέως δεχομένην ὁρᾷ.

Καὶ πᾶσι δὲ οὐκ ἐπίσης παρενοχλοῦσιν ἢ τὴν ἑαυτῶν κακίαν ἐπισπείρουσιν, ἀλλ' ἐνηλλαγμένως καὶ κατὰ τὰς τῶν καιρῶν καὶ προσώπων καὶ τόπων ἐπιτηδειότητας, ἀλλήλοις τε ἢ συνεργοῦσιν ἢ παραχωροῦσιν ἐνίοτε, οὔτε λείαν μὲν ἀκολουθίαν καὶ τάξιν πρὸς ἀλλήλους φυλάττοντες· «ζητήσεις γάρ φησι παρὰ κακοῖς σύνεσιν, καὶ οὐχ εὑρήσεις· καὶ οἱ ἐχθροὶ ἡμῶν ἀνόητοι». Ὅμως πρὸς ὀλίγον ὁμόνοιάν τινα παρέχοντες ἀλλήλοις, εἰς τὸν καθ' ἡμῶν πόλεμον, καὶ καιρῶν καὶ τόπων παραχωροῦντες, ὡς εἴρηται. Οὐδεὶς γὰρ δύναται ἅμα ὑπὸ κενοδοξίας ἐμπαίζεσθαι, καὶ ὑπὸ ἐπιθυμίας πορνείας ἐμπυρίζεσθαι, οὔτε ἐν τῇ ὑπερηφανίᾳ ὀγκοῦσθαι, καὶ τῇ γαστριμαργίᾳ ταπεινοῦσθαι, ἢ γέλωτι καὶ καγχασμοῖς νηπίων ἐκλύεσθαι, καὶ ὁμοῦ τοῖς τῆς ὀργῆς κέντροις παροξύνεσθαι· ἀλλ' ἐπάναγκές ἐστιν ἕκαστον τῶν πνευμάτων τὴν ἰδίαν τάξιν φυλάττειν, καὶ οὕτω πολεμεῖν τὸν ἄνθρωπον καὶ ὅτε ἡττηθὲν ἀναχωρήσει, ἄλλῳ πνεύματι σφοδροτέρῳ τὴν μάχην παραχωρεῖ.

Χρὴ δὲ γινώσκειν καὶ τοῦτο· ὅτι οὐ πάντες οἱ δαίμονες τῆς αὐτῆς εἰσιν ἀγριότητος ἢ τῆς αὐτῆς ἰσχύος, ἀλλὰ διάφορος αὐτοῖς μετὰ τῆς ἐνεργείας καὶ ἡ δύναμις καὶ ἡ τῆς ἐπιθυμίας ἰδιότης. Τοῖς γὰρ ἀθληταῖς τοῦ Χριστοῦ ἀρχομένοις μὲν τῆς ἀρετῆς καὶ ἔτι ἀσθενέσιν ὑπάρχουσιν, ἀσθενέστερα καὶ προσπαλαίουσι πνεύματα· τούτων δὲ νικηθέντων, κατὰ βαθμὸν ἀεὶ μείζονες αὐτοὺς ἀνταγωνισταὶ διαδέχονται. Εἰ γὰρ μὴ κατὰ σύγκρισιν τῆς ἀνθρωπίνης δυνάμεως καὶ ἡ δυσχέρεια τῆς πάλης ἐγίνετο, οὐδεὶς τῶν ἀγωνιζομένων ἠδυνήθη ἂν ὑπομεῖναι τῶν τοιούτων καὶ τοσούτων πολεμίων τὴν δεινὴν ἀγριότητα· οὔτε ταῖς ἐπιβουλαῖς αὐτῶν ἀντιστῆναι ὅλως ἴσχυσεν ἄνθρωπος, εἰ μὴ τῷ τοιούτῳ ἀγῶνι φιλάνθρωπος μεσίτης καὶ ἀγωνοθέτης καὶ δικαστὴς προὐκάθητο ὁ Χριστός, ἐξισῶν τῇ ἡμετέρᾳ δυνάμει τὰ παλαίσματα, καὶ τὰς ὑπερβαλλούσας τῶν ἀντιπάλων ὁρμὰς κωλύων καὶ ἀποστρέφων, καὶ μὴ συγχωρῶν ἡμᾶς, κατὰ τὸ γεγραμμένον, πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ ποιῶν μετὰ τοῦ πειρασμοῦ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν.

Ταύτην δὲ τὴν πάλην καὶ αὐτοὺς τοὺς δαίμονας οὐκ ἄνευ καμάτου καὶ πόνου πιστεύομεν ἐκτελεῖν· ἔχουσι γὰρ καὶ οὗτοι μέριμναν καὶ λύπην, καὶ μάλιστα ὅταν ἰσχυροῖς τισι καὶ ὑπομονητικοῖς καὶ ἀντιζήλοις ἀνδράσι πρὸς μάχην συμβάλωσι. Τούτοις δὲ καὶ ὁ 'Απόστολος μαρτυρεῖ λέγων· «οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας», καὶ τὰ ἑξῆς· καὶ πάλιν· «οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων»· καὶ ἐν ἑτέρῳ· «τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι·» ὅπου δὲ ἀγών, καὶ πάλη, καὶ μάχη, ἀναγκαῖόν ἐστιν ἑκατέροις τοῖς

ἐναντίοις μέρεσι μέριμναν, καὶ κόπον, καὶ πόνον ἐγγίνεσθαι· καὶ ὥς περ ἡμεῖς νικήσαντες μὲν αὐτοὺς χαίρομεν, ἡττηθέντες δὲ λυπούμεθα, οὕτω κἀκεῖνοι πάσχουσι· καὶ ἐφ' οἷς μὲν ἡμᾶς νικήσωσι, τέρπονται· ἐφ' οἷς δὲ πολλὰ μοχθήσαντες μὴ ἰσχύσωσι καθ' ἡμῶν, ἀλλ' ἡττηθῶσι, μεταστρέφεται εἰς αὐτοὺς ἡ αἰσχύνη τῆς ἥττης, ἥτις ἡμᾶς ἔμενε, καὶ πληροῦται τὸ γεγραμμένον· «ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ»· καὶ πάλιν· «ἡ θήρα ἣν ἔκρυψε συλλαβέτω αὐτόν».

Ταῦτα γὰρ πάντα καὶ ὁ Προφήτης Δαβὶδ ἐπιστάμενος καὶ τὸν ἀόρατον τοῦτον πόλεμον τοῖς ἔνδον ὀφθαλμοῖς καθορῶν, καὶ εἰδὼς ὅτι χαίρουσιν οἱ ἐχθροὶ ἐπὶ τῇ πτώσει ἡμῶν, ἔλεγε πρὸς τὸν Θεόν· «φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον· μήποτε εἴπῃ ὁ ἐχθρός μου ἴσχυσα πρὸς αὐτόν· οἱ θλίβοντές με ἀγαλλιάσονται, ἐὰν σαλευθῶ»· καὶ αὖθις· «μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως, μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, εὖγε, εὖγε τῇ ψυχῇ ἡμῶν· μηδὲ εἴποισαν· κατεπίομεν αὐτόν»· καὶ τὴν αἰσχύνην δὲ αὐτῶν, ἣν ἡττηθέντες αἰσχύνονται, ἐντυγχάνων τῷ Θεῷ κατ' αὐτῶν ἔψαλλεν· «αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες κακά μοι». Καὶ ὁ Ἱερεμίας· «αἰσχυνθείησαν, φησίν, οἱ ἐχθροί μου, καὶ μὴ αἰσχυνθείην ἐγώ· ἐπάγαγε αὐτοῖς ὀργὴν θυμοῦ σου, καὶ δισσὸν σύντριμμα σύντριψον αὐτούς· καὶ γὰρ ἀληθῶς δισσῶς συντριβήσονται, ὅταν ὑφ' ἡμῶν ἡττηθῶσιν οἱ δαίμονες· ἓν μέν, ὅτι ἀνθρώπων κατορθούντων ἁγιωσύνην, ἐκεῖνοι ταύτην κεκτημένοι ἀπώλεσαν· ἕτερον δέ, ὅτι πνεύματα ὄντες, ὑπὸ τῶν σαρκικῶν καὶ γηΐνων ἡττῶνται.

Ἑρμηνεία

† Ο ΑΒΒΑΣ Σερῖνος εἶπεν ὅτι δὲν διεγείρουν ὅλοι μαζὶ οἱ δαίμονες συγχρόνως ὅλα τὰ πάθη εἰς τοὺς ἀνθρώπους, ἀλλὰ τὸ κάθε πάθος ἔχει τὸ εἰδικὸν καὶ ὡρισμένον πονηρὸν πνεῦμα, ποὺ ἐμπνέει τὸ ἀντίστοιχον πάθος εἰς τοὺς ἀνθρώπους.

Ἄλλα δηλαδὴ πονηρὰ πνεύματα εὐχαριστοῦνται μὲ τὰς ἀκαθαρσίας καὶ τοὺς ῥύπους καὶ τὰς δυσωδίας τῶν ἡδονῶν· ἄλλα, πάλιν, μὲ τὰς βλασφημίας· ἄλλα χαίρονται μὲ τὴν ὀργὴν καὶ τὴν μανίαν· ἄλλα μὲ τὴν λύπην· ἄλλα μὲ τὴν κενοδοξίαν· ἄλλα μὲ τὴν ὑπερηφάνειαν. Καὶ κάθε ἕνα ἀπὸ αὐτὰ τὰ πονηρὰ πνεύματα προτιμᾷ νὰ ὑποβάλλῃ συνεχῶς τὸ πάθος ἐκεῖνο, ποὺ βλέπει ὅτι ἡ ψυχὴ τὸ δέχεται εὐχαρίστως.

Ἐπίσης δὲν παρενοχλοῦν ὅλους τοὺς ἀνθρώπους κατὰ τὸν ἴδιον τρόπον, οὔτε καὶ σπείρουν ὁμοίως τὴν κακίαν των εἰς ὅλους, ἀλλὰ διαφορετικὰ καὶ ἀναλόγως τῶν εἰδικῶν συνθηκῶν, ποὺ παρουσιάζουν αἱ περιστάσεις, τὰ πρόσωπα καὶ οἱ τόποι· μεταξύ των τὰ πονηρὰ πνεύματα ἢ συνεργάζονται ἢ συνήθως τὸ ἕνα παραχωρεῖ τὴν σειράν του εἰς τὸ ἄλλο, χωρὶς ὅμως, ὡς τόσον, νὰ παρατηρῆται συμφωνία καὶ τάξις εἰς τὰς μεταξύ των σχέσεις. Διότι, ὅπως λέγει καὶ τὸ ῥητόν, «θὰ ἀναζητήσῃς εἰς τοὺς κακοὺς τὴν σύνεσιν καὶ δὲν θὰ τὴν εὕρῃς· καὶ οἱ ἐχθροί μας εἶναι ἀνόητοι» (Ἡσ. νστ΄ 11—Δευτ. λβ΄, 31). Παρὰ ταῦτα ὁμονοοῦν, κάπως, μεταξύ των, κατὰ τὴν διεξαγωγὴν τοῦ ἐναντίον μας πολέμου των, ὅταν παραχωροῦν, ὅπως ἐλέχθη, τὰς εὐκαιρίας καὶ τοὺς τόπους τῆς διεγέρσεως τῶν παθῶν. Διότι κανεὶς δὲν εἶναι δυνατὸν τὴν ἰδίαν

στιγμὴν νὰ ἐμπαίζεται ἀπὸ τὴν κενοδοξίαν, καὶ νὰ φλογίζεται ἀπὸ τὴν ἐπιθυμίαν τῆς πορνείας, οὔτε, πάλιν, νὰ φουσκώνῃ ἀπὸ ὑπερηφάνειαν καὶ νὰ ἐξευτελίζεται ἀπὸ τὴν γαστριμαργίαν, ἢ νὰ γελᾷ καὶ νὰ καγχάζῃ ὡς μωρὸν παιδί, συγχρόνως δὲ νὰ ἐξάπτεται ἀπὸ τὰ κεντρίσματα τῆς ὀργῆς. ('Αλλ' εἶναι ἀνάγκη κάθε ἕνα ἀπὸ τὰ πονηρὰ πνεύματα νὰ ἐπιτίθεται μὲ τὴν σειράν του ἐναντίον τοῦ ἀνθρώπου καὶ ἔτσι νὰ τὸν πολεμῇ· καὶ ὅταν συμβῇ νὰ νικηθῇ καὶ νὰ ἀποχωρήσῃ ἀπὸ τὸν πολεμούμενον, τότε παραχωρεῖ τὴν μάχην εἰς ἄλλο ἐπιθετικώτερον πονηρὸν πνεῦμα.)

Πρέπει δὲ νὰ γνωρίζωμεν καὶ τοῦτο· ὅλοι οἱ δαίμονες δὲν ἔχουν τὴν ἰδίαν ἀγριότητα ἢ τὴν ἰδίαν δύναμιν, ἀλλὰ διαφέρει, μεταξύ των, μαζὶ μὲ τὴν (εἰδικὴν) ἐνέργειαν καὶ ἡ δύναμις, μὲ τὴν ὁποίαν πολεμοῦν καὶ ἡ ἰδιότης τῆς ἐπιθυμίας τὴν ὁποίαν ἐμπνέουν. Ὅταν δηλαδὴ οἱ ἀθληταὶ τοῦ Χριστοῦ ἀρχίζουν τὸν ἀγῶνα τῆς ἀρετῆς, καὶ ἐνῷ εἶναι ἀκόμη ἀσθενεῖς, πολεμοῦν ἐναντίον ἀσθενεστέρων πονηρῶν πνευμάτων· ὅταν δὲ αὐτὰ τὰ ἀσθενέστερα πνεύματα νικηθοῦν, τὰ διαδέχονται πάντοτε μεγαλύτεροι, κατὰ τὴν ἐπιθετικότητα, ἀντίπαλοι. Διότι ἐὰν ἡ δύσκολος πάλη δὲν διεξήγετο ἀναλόγως πρὸς τὴν ἀνθρωπίνην δύναμιν, τότε κανεὶς ἐκ τῶν ἀγωνιζομένων δὲν θὰ ἠμποροῦσε νὰ ὑπομείνῃ τὴν φοβερὰν ἀγριότητα τόσων φοβερῶν καὶ ἀναριθμήτων ἐχθρῶν.

Οὔτε θὰ ἦτο δυνατὸν ὁ ἄνθρωπος νὰ ἀντισταθῇ καθ' ὁλοκληρίαν πρὸς τὴν ἐχθρικήν των μανίαν, ἐὰν κατὰ τὸν ἀγῶνα αὐτὸν δὲν μᾶς προησπίζετο ὁ Χριστὸς ὡς φιλάνθρωπος μεσίτης καὶ ἀγωνοθέτης καὶ δικαστής, ἐξισώνων τὸν ἀγῶνα κατὰ τοῦ ἐχθροῦ πρὸς τὴν δύναμίν μας, ἐμποδίζων δὲ καὶ ἀπομακρύνων ἀπὸ ἡμᾶς τὰς ὑπερβολικὰς ὁρμὰς τῶν ἀντιπάλων, καὶ μὴ ἐπιτρέπων, ὅπως λέγει ἡ Ἁγία Γραφή, νὰ δοκιμάσωμεν πειρασμοὺς μεγαλυτέρους ἀπὸ τὴν δύναμίν μας, ἀλλὰ κατορθώνων ὥστε ἡ διεξαγωγὴ τοῦ ἀγῶνος νὰ εἶναι ἀνάλογος πρὸς τὴν ἀντοχήν μας, διὰ νὰ ἠμποροῦμεν νὰ τὸν ἀντέξωμεν.

Πιστεύομεν, ἐπίσης, ὅτι αὐτὸν τὸν πόλεμον καὶ αὐτοὶ οἱ δαίμονες τὸν διεξάγουν μὲ κούρασιν καὶ πόνον· διότι καὶ αὐτοὶ ἔχουν μέριμναν καὶ λύπην, πρὸ παντός, ὅταν κατὰ τὴν μάχην συγκρούωνται μὲ ἄνδρας ὑπομονητικοὺς καὶ ἰσχυρούς, οἱ ὁποῖοι δὲν ὑποχωροῦν. Αὐτὸ τὸ ἐπικυρώνει καὶ ὁ Ἀπόστολος, ὅταν μᾶς λέγῃ· «δὲν ἔχομεν νὰ πολεμήσωμεν μὲ ἀνθρώπους, ποὺ ἔχουν αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ σκότους» (Ἐφεσ. στ΄, 12) καὶ τὰ λοιπά. Καὶ ὅταν, πάλιν, μᾶς λέγῃ ἀλλοῦ· «ἔτσι ἀγωνίζομαι πραγματικὰ καὶ οὐχὶ ὡς νὰ δέρνω ἀέρα» (Α΄ Κορ. θ΄, 26)· καὶ εἰς ἄλλο σημεῖον ὁ ἴδιος Ἀπόστολος γράφει· «ἔχω ἀγωνισθῇ τὸν καλὸν ἀγῶνα». (Β΄ Τιμ. δ΄, 7).

Ὅπου δὲ διεξάγεται ἀγὼν καὶ πάλη καὶ μάχη, κατ' ἀνάγκην καὶ εἰς τὰς δύο ἀντιπάλους παρατάξεις παρατηρεῖται ἀγωνιώδης προσπάθεια καὶ κόπος καὶ πόνος· καὶ ὅπως ἀκριβῶς ἡμεῖς χαίρομεν, ὅταν νικήσωμεν, ἐνῷ λυπούμεθα, ὅταν νικηθῶμεν, τὰ ἴδια πάσχουν καὶ οἱ δαίμονες· καὶ ἐφ' ὅσον μὲν μᾶς νικήσουν, εὐχαριστοῦνται. Εἰς ὅσας ὅμως περιπτώ-

σεις, ἂν καὶ ἐκοπίασαν πάρα πολύ, δὲν κατορθώσουν τίποτε ἐναντίον μας καὶ νικηθοῦν, τότε ἡ ἐντροπὴ διὰ τὴν ἧτταν, ποὺ εἶχε καταλάβει ἡμᾶς, μεταβαίνει εἰς ἐκείνους καὶ ἐφαρμόζεται πλέον τὸ ρητόν· «ξαναγυρίζει ὁ πόνος του εἰς τὸ κεφάλι του» (Ψαλμ. ζ', 16) ἢ τὸ ἄλλο· «ἡ παγίδα, ποὺ ἔστησεν, ἂς συλλάβη τὸν ἴδιον» (Ψαλμ. λδ', 8).

Αὐτὰ λοιπὸν ὅλα τὰ ἐγνώριζε καλῶς ὁ Προφήτης Δαβὶδ καὶ ἔβλεπε μὲ τὰ μάτια τῆς ψυχῆς του τὸν ἀόρατον αὐτὸν πόλεμον καὶ ἐπειδὴ ἤξευρε καλὰ πόσον χαίρονται οἱ ἐχθροί μας διὰ τὴν πτῶσιν μας, ἔλεγε πρὸς τὸν Θεόν· «φώτισε τοὺς ὀφθαλμούς μου, μὴ τυχὸν ὁ ὕπνος μὲ ὁδηγήση εἰς τὸν θάνατον· μὴ τυχὸν καυχηθῇ, κάποτε, ὁ ἐχθρός μου λέγων· τὸν ἐνίκησα· αὐτοὶ ποὺ μὲ στενοχωροῦν, θὰ χαροῦν ἐὰν πέσω». Καὶ πάλιν· «ἂς μὴ χαροῦν ἐναντίον μου ὅσοι μὲ ἐχθρεύονται ἄδικα· ἂς μὴ εἴπουν εἰς τὴν καρδίαν των· εὖγε εἰς τὴν ψυχήν μας· ἀκόμη ἂς μὴ εἴπουν· τὸν ἐκατάπιαμεν». Ἐπίσης τὴν ἐντροπὴν αὐτῶν, διὰ τὴν ὁποίαν ἐντρέπονται, ὅταν νικηθοῦν, ὁσάκις ηὔχετο, ἐναντίον των, ἐνώπιον τοῦ Θεοῦ, ἔψαλλεν· «ἂς αἰσχυνθοῦν καὶ ἂς ἐντραποῦν ὅσοι ἐπιζητοῦν τὴν δυστυχίαν μου» (Ψαλμ. λδ', 21—26). Καὶ ὁ Προφήτης Ἱερεμίας λέγει· «εἴθε νὰ ἐντραποῦν οἱ ἐχθροί μου καὶ νὰ μὴ ἐντραπῶ ἐγώ· ρίψε κατ' αὐτῶν τὴν ὀργὴν τοῦ θυμοῦ σου καὶ σύντριψέ τους μὲ διπλῆν συντριβήν» (Ἱερεμ. ιζ', 18). Καὶ πράγματι διπλὰ συντρίβονται οἱ δαίμονες, ὅταν νικηθοῦν ἀπὸ ἡμᾶς. Ἡ πρώτη συντριβὴ γίνεται ὅταν οἱ ἄνθρωποι ἐπιτυγχάνουν τὴν ἁγιωσύνην τὴν ὁποίαν ἐκεῖνοι, ἂν καὶ κατεῖχαν, τὴν ἔχασαν· ἡ δὲ δευτέρα προέρχεται ἀπὸ τὸ ὅτι ἂν καὶ οἱ δαίμονες εἶναι πνεύματα, ἐν τούτοις νικῶνται ἀπὸ γηΐνους καὶ σαρκικοὺς ἀνθρώπους.

Γ'. Τοῦ Ἁγίου Μαξίμου

ΤΙΝΕΣ μέν φασιν, ὅτι οὐκ ἂν ἦν τὸ κακὸν ἐν τοῖς οὖσιν, εἰ μή τις ἂν ἑτέρα δύναμις ἦν ἡ ἀνθέλκουσα ἡμᾶς ἐπ' αὐτό· αὕτη δέ ἐστιν οὐδὲν ἕτερον, ἢ τῶν κατὰ φύσιν τοῦ νοῦ ἐνεργειῶν ἡ ἀμέλεια. Διόπερ οἱ τούτων τὴν ἐπιμέλειαν ποιούμενοι, τὰ μὲν καλὰ ἀεὶ ποιοῦσι, τὰ δὲ κακὰ οὐδέποτε. Εἰ οὖν θέλεις καὶ σύ, ἄπωσαι τὴν ἀμέλειαν, καὶ συναπελαύνεις τὴν κακίαν, ἥτις ἐστὶν ἡ ἐσφαλμένη κρίσις τῶν νοημάτων, ᾗ ἐπακολουθεῖ ἡ παράχρησις τῶν πραγμάτων. Κατὰ φύσιν ἐστὶ τοῦ ἐν ἡμῖν λογικοῦ μέρους τό τε ὑποταγῆναι τῷ θείῳ λόγῳ, καὶ τὸ ἄρχειν τοῦ ἐν ἡμῖν ἀλόγου μέρους. Αὕτη οὖν ἡ τάξις ἐν πᾶσι φυλαχθήτω, καὶ οὔτε τὸ κακὸν ἔσται ἐν τοῖς οὖσιν, οὔτε τὸ ἐπ' αὐτὸ ἀνθέλκον εὑρεθήσεται.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ λέγουν, ὅτι δὲν θὰ ὑπῆρχε τὸ κακὸν εἰς τοὺς ἀνθρώπους, ἂν κάποια ἄλλη δύναμις δὲν μᾶς ἔσυρε πρὸς αὐτό· αὐτὴ δὲ ἡ δύναμις δὲν εἶναι τίποτε ἄλλο ἀπὸ τὴν ἀμέλειαν διὰ τὰς φυσικὰς ἐνεργείας τοῦ νοῦ. Δι' αὐτὸ ὅσοι φροντίζουν δι' αὐτάς, διαρκῶς ἐκτελοῦν τὰς καλὰς πράξεις, οὐδέποτε δὲ τὰς κακάς. Ἂν λοιπὸν καὶ σὺ θέλης, διῶξε μακρὰν ἀπὸ σὲ τὴν ἀμέλειαν, καὶ μαζὶ θὰ διώξης τὴν κακίαν, ἡ ὁποία εἶναι

ἡ ἐσφαλμένη κρίσις τῶν νοημάτων, συνοδευομένη ἀπὸ κακὴν χρῆσιν τῶν πραγμάτων. Ἡ φυσικὴ τάξις τοῦ λογικοῦ μέρους τῆς ψυχῆς μας συνίσταται εἰς τὴν ὑποταγήν μας εἰς τὸν θεῖον λόγον, καὶ εἰς τὴν ἐξουσίαν ἐπὶ τοῦ ἀλόγου μέρους τοῦ ἑαυτοῦ μας (δηλαδὴ τῶν παθῶν). Αὐτὴ λοιπὸν ἡ τάξις ἂς διατηρηθῇ εἰς ὅλας τὰς περιπτώσεις, καὶ τότε οὔτε τὸ κακὸν θὰ ὑπάρχῃ εἰς τοὺς ἀνθρώπους, ἀλλὰ καὶ ἡ δύναμις ποὺ μᾶς σύρει πρὸς αὐτὸ δὲν θὰ ἐμφανισθῇ ποτέ.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Ἡσαΐου, ὅτι ποτὲ ἔλαβε θαλλίον, καὶ ἀπῆλθεν εἰς τὴν ἅλωνα, καὶ λέγει τῷ γεούχῳ· δός μοι σῖτον· ὁ δὲ εἶπεν αὐτῷ· καὶ σὺ ἐθέρισας, Ἀββᾶ; ἔφη ὁ γέρων· οὐχί· λέγει αὐτῷ ὁ γεοῦχος· πῶς οὖν σῖτον θέλεις λαβεῖν μὴ θερίσας; ἀπεκρίθη ὁ γέρων· οὐκοῦν ἐὰν μή τις θερίσῃ, οὐ λαμβάνει μισθόν; λέγει ὁ γεοῦχος· οὐχί· καὶ οὕτως ἀνεχώρησεν ὁ γέρων· οἱ δὲ ἀδελφοὶ ἰδόντες τί ἐποίησεν, ἔβαλον αὐτῷ μετάνοιαν, παρακαλοῦντες μαθεῖν τί τοῦτο ἐποίησε· καὶ ἀπεκρίθη αὐτοῖς ὁ γέρων· ὑπόδειγμα τοῦτο ἐποίησα, ὅτι ἐὰν μή τις ἐργάσηται, οὐ λαμβάνει μισθὸν παρὰ τοῦ Θεοῦ.

2. Γέρων τις ἐκάθητο ἐν τῇ ἐρήμῳ, ἔχων τὸ διάστημα ἀπὸ τοῦ ὕδατος μίλια δώδεκα· καὶ ἀπερχόμενος ἐν μιᾷ γεμίσαι, ὠλιγώρησε καὶ εἶπε· τίς χρεία τοῦ κόπου τούτου; ἔρχομαι καὶ μένω πλησίον τοῦ ὕδατος· καὶ τοῦτο εἰπὼν ἐν ἑαυτῷ, ᾔσθετό τινος ἀκολουθοῦντος· καὶ στραφεὶς εἶδε τὸν ἀκολουθοῦντα, ἀριθμοῦντα τὰ βήματα αὐτοῦ· καὶ ἠρώτησεν αὐτὸν ὁ γέρων εἰπών· τίς εἶ; ὁ δὲ εἶπεν· Ἄγγελος Κυρίου εἰμί, καὶ ἀπεστάλην μετρῆσαι τὰ βήματά σου, καὶ δοῦναί σοι τὸν μισθόν· καὶ τοῦτο ἀκούσας ὁ γέρων, εὐψυχήσας, προθυμότερος γέγονε· καὶ προσέθηκεν ἐσώτερον μίλια πέντε, ἤτοι κατοικήσας τῆς ἐρήμου ἐνδότερον καὶ τοῦ ὕδατος μίλια δεκαεπτὰ διϊστάμενος.

3. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Χαιρήμονος τοῦ εἰς Σκῆτιν, ὅτι ἀπεῖχε τὸ σπήλαιον αὐτοῦ ἀπὸ τῆς Ἐκκλησίας μίλια τεσσαράκοντα, ἀπὸ δὲ τοῦ ὕδατος καὶ τοῦ ἕλους, ὅθεν δηλαδὴ ἐπορίζοντο τὰ θαλλία, μίλια δώδεκα· καὶ οὐκ ὠλιγώρησεν ὁ γέρων ἐκ τοῦ τοσούτου κοπιῶν εἰς τὸν πορισμὸν τοῦ ἐργοχείρου αὐτοῦ καὶ τοῦ ὕδατος, καὶ εἰς τὸ παραβάλλειν κατὰ Κυριακὴν ἐν τῇ Ἐκκλησίᾳ ὡς σύνηθες.

Ἑρμηνεία

ΔΙΑ τὸν ἀββᾶν Ἡσαΐαν διηγοῦντο τὰ ἑξῆς: Κάποτε ἐπῆρεν ἕνα ζεμπίλι, ἐπῆγεν εἰς τὸ ἁλώνι καὶ λέγει εἰς τὸν γεωργόν.

— Δῶσε μου σιτάρι.

— Μήπως καὶ σὺ ἐθέρισες, Ἀββᾶ; ἠρώτησεν ὁ γεωργός.

— Ὄχι, ἀπεκρίθη ὁ γέρων.

— Πῶς λοιπὸν θέλεις νὰ πάρῃς, χωρὶς νὰ θερίσῃς; εἶπε πάλιν ὁ γεωργός.

Ὁ Γέρων ἀπήντησεν·

— Ὥστε λοιπόν, ἂν δὲν θερίσῃ κανείς, δὲν παίρνει μισθόν;

— Βεβαίως ὄχι· ἀπήντησεν ὁ γεωργός.

Μετὰ τὴν ἀπάντησιν αὐτὴν ὁ Γέρων ἀνεχώρησεν. Οἱ ἀδελφοί, ὅταν εἶδον αὐτό, ποὺ ἔκαμε, ἔβαλαν μετάνοιαν καὶ τὸν παρεκάλεσαν νὰ τοὺς εἴπῃ τὸ νόημα τῆς πράξεώς του αὐτῆς. Ὁ Γέρων ἀπήντησε:

— Τὸ ἔκαμα ὡς παράδειγμα, διὰ νὰ ἀντιληφθῆτε, ὅτι ἂν κανεὶς δὲν ἐργασθῇ, δὲν λαμβάνει μισθὸν ἀπὸ τὸν Θεόν.

2. Ἕνας Γέρων ἀσκητὴς ἐκάθητο εἰς τὴν ἔρημον, τὸ δὲ κελλίον του ἀπεῖχεν ἀπὸ τὸ νερὸν δώδεκα μίλια περίπου. Κάποτε λοιπόν, καθὼς ἐπήγαινε νὰ πάρῃ νερὸν ἀπὸ τὴν πηγήν, ἐβαρυγκόμησε καὶ εἶπε μόνος του· ποία ἡ ἀνάγκη αὐτοῦ τοῦ κόπου; θὰ ἔλθω νὰ ἐγκατασταθῶ κοντὰ εἰς τὴν πηγήν. Μόλις ἐσκέφθη αὐτό, ἀντελήφθη νὰ τὸν ἀκολουθῇ κάποιος. Ἐγύρισε καὶ εἶδε τὸν ἄγνωστον νὰ μετρᾷ τὰ βήματά του. Τὸν ἐρωτᾷ τότε ὁ Γέρων·


— Ποῖος εἶσαι;

— Ἄγγελος Κυρίου εἶμαι, ἀπήντησε, καὶ μὲ ἔστειλεν ὁ Θεὸς νὰ μετρήσω τὰ βήματά σου καὶ νὰ σοῦ δώσω τὸν ἀνάλογον μισθόν.

Ὅταν ἤκουσεν αὐτὸ ὁ Γέρων ἐπῆρε θάρρος, ἔγινε προθυμότερος καὶ ἀνεχώρησε βαθύτερον εἰς τὴν ἔρημον ἄλλα πέντε μίλια· δηλαδή, ἀφοῦ ἐγκατεστάθη εἰς τὴν νέαν του κατοικίαν, ἀπεῖχε πλέον ἀπὸ τὴν πηγὴν τοῦ ὕδατος δεκαεπτὰ μίλια.

3. Διὰ τὸν Ἀββᾶν Χαιρήμονα τῆς Σκήτης διηγοῦντο ὅτι τὸ σπήλαιόν του ἦτο μακρὰν ἀπὸ τὴν Ἐκκλησίαν σαράντα μίλια, ἀπὸ δὲ τὴν πηγὴν τοῦ ὕδατος καὶ τὸ ἕλος ἀπ' ὅπου ἐμάζευε τὸ ψαθὶ δώδεκα μίλια· καὶ ὅμως ὁ Γέρων ποτὲ δὲν ἐβαρυγγόμησεν ἀπὸ τὸν τόσον κόπον, διὰ νὰ ἐξοικονομήσῃ τὸ ἐργόχειρόν του καὶ τὸ ἀπαραίτητον ὕδωρ καὶ διὰ νὰ μεταβαίνῃ, ὅπως εἶχε συνήθειαν, κάθε Κυριακὴν εἰς τὴν Ἐκκλησίαν.





ΥΠΟΘΕΣΙΣ ΛΑʹ

Περὶ τοῦ ὅτι δεῖ τὸν τῇ ἀσκήσει προσελθόντα, μετὰ τὸ ἱκανῶς ἐγγυμνασθῆναι ταῖς ἀρεταῖς, τότε τὰ τῶν Μοναχῶν ἀμφιέννυσθαι· καθ' ὅτι τίμιον τὸ σχῆμα καὶ ψυχωφελὲς καὶ σωτήριον.

Περὶ τοῦ ὅτι πρέπει αὐτὸς ποὺ προσῆλθεν εἰς τὸν ἀσκητικὸν βίον, τότε μόνον νὰ ἐνδύεται τὸ Μοναχικὸν ἔνδυμα, ἀφοῦ ἐκγυμνασθῇ ἀρκετὰ εἰς τὰς ἀρετὰς καὶ ὅτι τὸ Μοναχικὸν σχῆμα εἶναι τίμιον, ψυχωφελὲς καὶ σωτήριον.



Αʹ. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωαννικίου



Ωι θαυμαστῷ Ἰωαννικίῳ, ἔτος ἤδη δωδέκατον τῆς ἐν τῇ ἐρήμῳ διατριβῆς ἠνύετο, καὶ πρόρρησις αὐτῷ ἄνωθεν ἧκει ἐκεῖθεν μὲν ἀναζεῦξαι, ἐν τῷ Ἐριστῇ δὲ καλουμένῳ ἀσκητηρίῳ σκηνῶσαι, καὶ τὸ τῶν Μοναχῶν ἔνδυμα περιθέσθαι· (ἔτι γὰρ τῶν μεγάλων ἀγώνων τοῦ Μοναχικοῦ σχήματος τὰ προλαβόντα, καί περ τοιαῦτα ὄντα καὶ τηλικαῦτα, προγυμνάσματα ἦν)· θέρους τοίνυν τὸ προρρηθὲν ἀσκητήριον καταλαμβάνει, καὶ τὰ τῆς ἀποκαλύψεως Στεφάνῳ τῷ τῶν ἐν αὐτῷ Μοναχῶν ἀφηγουμένῳ πιστεύει· ὁ δέ, τῇ ὑστεραίᾳ μηδὲν μελήσας, εὐχάς τε αὐτῷ καὶ ἱερολογίας τὰς συνήθεις ἐπιλέγει, καὶ στολὴν τὴν μοναχικὴν ἀμφιέννυσι. Τὸ τοιοῦτον τοιγαροῦν τῶν Μοναχῶν σχῆμα ἐνδὺς ὁ μονάζων καὶ πρὸ τοῦ σχήματος, ἐξ ἀγώνων πρὸς ἀγῶνας ἀπεδύσατο μείζονας, καὶ εἰς τραχυτέραν ἐπέδωκεν ἄσκησιν.

Ἑ ρ μ η ν ε ί α

ΟΤΑΝ ὁ θαυμαστὸς Ἰωαννίκιος διέτρεχε τὸ δωδέκατον ἔτος τῆς διαμονῆς του εἰς τὴν ἔρημον, φθάνει εἰς αὐτὸν προφητεία ἀπὸ τὸν οὐρανόν, διὰ τῆς ὁποίας ἐκαλεῖτο νὰ ἀναχωρήσῃ ἀπὸ τὸν τόπον ἐκεῖνον καὶ νὰ στήσῃ τὴν καλύβην του εἰς τὸ ἀσκητήριον τῆς Ἐριστῆς, συγχρόνως δὲ νὰ φορέσῃ καὶ τὸ Μοναχικὸν ἔνδυμα (διότι ἀκόμη ἐπεδίδετο εἰς τοὺς πρὸ τοῦ Μοναχικοῦ σχήματος μεγάλους ἀγῶνας, ἂν καὶ ἦσαν οἱ τοιοῦτοι ἀγῶνες του προγυμνάσματα τόσον ἀξιόλογα καὶ μεγάλα).

Κατὰ τὸ θέρος λοιπὸν φθάνει εἰς τὸ ὑποδειχθὲν ὑπὸ τοῦ Θεοῦ ἀσκητήριον καὶ ἐμπιστεύεται εἰς τὸν Στέφανον, τὸν ἡγούμενον τῶν ἐκεῖ Μοναχῶν, τὰ ἀποκαλυφθέντα εἰς αὐτὸν ὑπὸ τοῦ Θεοῦ. Ὁ Στέφανος, χωρὶς νὰ ἀμελήσῃ καθόλου, τὸν ἐνδύει τὴν ἐπομένην ἡμέραν μὲ τὸ Μοναχικὸν ἔνδυμα, ἀφοῦ ἔψαλε τὰς συνήθεις εὐχὰς καὶ ἱερολογίας τῆς κουρᾶς τοῦ Μοναχοῦ. Ἀφοῦ λοιπὸν ἐνεδύθη τὸ σχῆμα τῶν Μοναχῶν, ὁ μονάζων καὶ πρὸ τοῦ σχήματος, ἀπεδύθη εἰς μεγαλυτέρους, ἀπὸ τοὺς προηγουμένους, ἀγῶνας καὶ ἐπεδόθη εἰς σκληροτέραν ἄσκησιν.

Β'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Ἀλυπίου

ΤΟΝ Μέγαν Ἀλύπιον τῆς φήμης ἔκδηλον πανταχοῦ ποιούσης, πολλαὶ πρὸς μετάνοιαν ἀνεκαλοῦντο ψυχαὶ οὐκ ἀνδρῶν μόνον, ἀλλὰ καὶ γυναικῶν. Ἐπεὶ οὖν οὐκ εὐαρίθμητοι ἦσαν, οἴκους δύο ἀλλήλων διεστῶτας ἀνίστησιν, ἐν οἷς τὰ ἑκατέρας φύσεως σώματα διαιρεῖ (οὐδὲ γὰρ ἂν εἴποιμι καὶ τὰ πνεύματα), κανόνα καὶ ἐντολὴν ταῖς ὁσίαις δούς, ἀρρένων ὄψεσι μήτ' αὐτὰς ὀφθῆναι, μήτ' ἰδεῖν πώποτε· αἷς οὕτω τῆς ἐντολῆς ἐμέλησε ταύτης, ὥς τε καὶ προτραπὲν αὐταῖς πολλάκις πρὸς τοῦ Ὁσίου, κατά τινα δὴ περίστασιν, ἢ καὶ ζωῆς ἀπόγνωσιν, ὀφθῆναι τοῖς κατὰ σάρκα γεννησαμένοις, αἱ δὲ οὐχ εἵλοντο, Πατρὸς ἐντολὴν ἰσχυροτέραν καὶ φυσικῆς ἀνάγκης δεῖξαι βουλόμεναι.

Ταύταις οὖν ἡ τοῦ Ὁσίου Μήτηρ ἐτύγχανε συναυλιζομένη· ἢ τὸν μὲν αὐτὸν ταῖς ἄλλαις μετῄει κανόνα, κοινωνῆσαι δὲ καὶ τοῦ σχήματος οὐκ ἐπείθετο, καί περ θαυμαστή τις οὖσα τὴν ἀρετήν, ὡς ἐν ἄλλοις ὁ λόγος ἐδήλωσεν, ἀλλὰ καὶ πολλὰ πολλάκις τοῦ παιδὸς ἀξιοῦντος ἀνήκοος ἦν, ταὐτὸν εἶναι λέγουσα τὴν Διάκονον τῇ Μοναστρίᾳ. Ἀλλὰ θεῖόν τι ἐνύπνιον οὕτως αὐτὴν παραχρῆμα καταπειθῆ ποιεῖ, ὡς καὶ δέησιν τοῦτο πρὸς τὸν παῖδα θέσθαι θερμήν.

Ἔδοξε γοῦν ἐν ὕπνοις συνῳδίας τινὸς ἁρμονίου τῶν ἱερῶν τούτων γυναικῶν ψαλλουσῶν ἀκούειν· εἶτα ἡσθεῖσα τῷ πνεύματι, βουληθῆναι τὸν οἶκον εἰσδραμεῖν, ἔνθα αἱ χοροστασίαι αὗται, καὶ μίαν καὶ τὴν αὐτὴν τῶν ᾀδουσῶν ἐκείνων γενέσθαι· μὴ ἀνεθῆναι δὲ παρὰ τοῦ τὴν εἴσοδον ἐπιτετραμμένου, οὐκ ἐξὸν εἶναι λέγοντος ταῖς παιδίσκαις συνάπτεσθαι τοῦ Θεοῦ τὴν μὴ τοῦ αὐτοῦ μετέχουσαν σχήματος. Πρὸς ταῦτα ἐκείνη δῆθεν αἰσχυνθεῖσα, καὶ θορύβου μεστὴ γενομένη, τοῦ ὕπνου λύεται· αὐτίκα δὲ τῷ Ἁγίῳ προσελθοῦσα τὴν ὄψιν τε διηγεῖτο, καὶ ἰσχυρῶς ἠξίου τυχεῖν, ὃ πρότερον μετ' ἴσης ἀπηγόρευε τῆς ἐνστάσεως· καὶ τὸ λοιπὸν κοινωνοῦσα ἦν καὶ τοῦ σχήματος, αἷς τοῖς ἄλλοις πᾶσιν εἶχεν ὁμοίως· ἢ καὶ πολλὰ δικαιοσύνης γεννήματα σπείρασα, νῦν τῶν ἀφθάρτων ἡδέως ἀπολαύει καρπῶν.

Ἑρμηνεία

Η ΦΗΜΗ εἶχε καταστήσει παντοῦ γνωστὸν τὸν Μέγαν Ἀλύπιον καὶ δι' αὐτὸ τὸν ἐπεσκέπτοντο πολλοί, ὄχι μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες, ἀποφασισμένοι νὰ ἀκολουθήσουν τὴν ὁδὸν τῆς μετανοίας.

Ἐπειδὴ λοιπὸν δὲν ἦσαν ὀλίγοι οἱ προσελθόντες, οἰκοδομεῖ δύο οἰκήματα, μακρὰν τὸ ἕνα ἀπὸ τὸ ἄλλο, εἰς τὰ ὁποῖα μοιράζει τὰ διαφορετικῆς φύσεως σώματα, χωριστὰ δηλαδὴ τοὺς ἄνδρας ἀπὸ τὰς γυναῖκας

(ὄχι ὅμως καὶ τὰ πνεύματα τῶν ἀσκουμένων). Εἰς τὰς ἀσκουμένας γυναῖκας ἔδωσε κανόνα καὶ ἐντολὴν νὰ μὴ ἐμφανισθοῦν ποτὲ ἐνώπιον ἀνδρῶν, ἀλλ' οὔτε καὶ αὐταὶ νὰ ἴδουν ἄνδρας· τόσον δὲ πολὺ ἐπρόσεξαν καὶ ἐσεβάσθησαν τὴν ἐντολὴν αἱ ὅσιαι ἐκεῖναι γυναῖκες, ὥστε καίτοι ὁ ἴδιος ὁ Ὅσιος τὰς προέτρεψε πολλάκις νὰ ἐμφανισθοῦν εἰς τοὺς γονεῖς των, λόγῳ ἐκτάκτου περιστάσεως ἢ καὶ θανάτου, ἐκεῖναι δὲν ἐδέχθησαν, θέλουσαι οὕτω νὰ ἀποδείξουν τὴν ἐντολὴν τοῦ πνευματικοῦ των Πατρὸς ἰσχυροτέραν καὶ ἀπὸ αὐτὴν ἀκόμη τὴν φυσικὴν ἀνάγκην.

Μεταξὺ αὐτῶν τῶν ὁσίων γυναικῶν διέμενε καὶ ἡ μήτηρ τοῦ ὁσίου Ἀλυπίου· αὐτὴ λοιπὸν ἂν καὶ ἐφήρμοζε τὸν ἴδιον κανόνα, ὅπως καὶ αἱ ἄλλαι, ἐν τούτοις δὲν ἐπείθετο νὰ λάβῃ τὸ μοναχικὸν σχῆμα, ἂν καὶ βεβαίως ἦτο ἀξιοθαύμαστος ἡ ἀρετή της, ὅπως ἐλέχθη εἰς ἄλλην περίπτωσιν· παρήκουε δὲ συνεχῶς εἰς τὰς πολλὰς καὶ ἐπιμόνους ἀξιώσεις τοῦ υἱοῦ της ἰσχυριζομένη ὅτι εἶναι τὸ ἴδιον πρᾶγμα εἰς τὸ Μοναστήριον ἡ ὑπηρέτρια μὲ τὴν Μοναχήν.

Κάποιο ὅμως θεϊκὸν ὄνειρον τὴν ἔκαμε νὰ ὑπακούσῃ ἀμέσως εἰς τὴν ἐντολήν, ὥστε ἐκείνη πλέον νὰ παρακαλῇ περὶ τούτου θερμῶς τὸν υἱόν της. Τῆς ἐφάνη δηλαδή, κατὰ τὸ ἀποκαλυπτικὸν αὐτὸ ὄνειρον, ὅτι ἤκουε νὰ ψάλλουν αἱ ἱεραὶ αὐταὶ γυναῖκες μίαν ἁρμονικὴν ψαλμῳδίαν· τόσον δὲ ηὐχαριστήθη ἀπὸ τὴν ψαλμῳδίαν αὐτήν, ὥστε ἠθέλησε νὰ εἰσέλθῃ εἰς τὸ δωμάτιον, ὅπου ἐλάμβανε χώραν ἡ θαυμαστὴ ἐκείνη χοροστασία, καὶ νὰ ἑνωθῇ καὶ αὐτὴ μὲ τὰς ψαλλούσας ἐκείνας γυναῖκας. Ἐνῷ δὲ ἐκινεῖτο διὰ νὰ εἰσέλθῃ, τὴν ἠμπόδισεν ὁ φρουρός.

— Δὲν ἐπιτρέπεται — τῆς εἶπε — νὰ ἐπικοινωνῇ μὲ τὰς δούλας τοῦ Θεοῦ, ἐκείνη ποὺ δὲν φέρει τὸ ἴδιον μὲ αὐτὰς σχῆμα.

Ἡ μήτηρ τοῦ Ὁσίου, μετὰ τὸ ὅραμα αὐτό, ἐντράπηκε καὶ ἐταράχθη· ἀμέσως δὲ ἐξύπνησε καὶ χωρὶς ἀναβολὴν τρέχει πρὸς τὸν Ἅγιον, τοῦ διηγήθη τὸ ὄνειρον καὶ ἐζήτει ἐπιμόνως νὰ λάβῃ ἐκεῖνο ποὺ προηγουμένως μὲ τὴν ἰδίαν ἔντασιν ἠρνεῖτο.

Οὕτω πλέον μετεῖχε καὶ τοῦ ἰδίου σχήματος μὲ τὰς ἄλλας, μὲ τὰς ὁποίας πρὸ πολλοῦ ὡμοίαζεν ἡ ζωή της καὶ ἡ ἄσκησίς της· ἀφοῦ δὲ ἔσπειρε πολλὰ φυτὰ ἀρετῆς, ἀπολαμβάνει τώρα μὲ εὐφροσύνην εἰς τὸν οὐρανὸν τοὺς ἀφθάρτους καρπούς.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ γέρων· πιστεύσατέ μοι, τέκνα, λέγοντι, ὅτι καθόσον μέγας ἔπαινος καὶ μεγάλη δόξα Βασιλεῖ ἀποτασσομένῳ καὶ γινομένῳ Μοναχῷ, κατὰ τοσοῦτον μεγάλη αἰσχύνη ἐστὶ Μοναχῷ ἐῶντι τὸ σχῆμα καὶ γινομένῳ Βασιλεῖ· ἐπειδὴ τὰ νοητὰ τῶν αἰσθητῶν ἀσυγκρίτως ἐστὶ τιμιώτερα.

2. Ἐγένετό τις μέγας διορατικὸς γέρων, καὶ διεβεβαιώσατο οὕτως· ὅτι τὴν

δύναμιν, ἣν εἶδον ἐπὶ τοῦ φωτίσματος ἑστῶσαν, τὴν αὐτὴν εἶδον καὶ ἐπὶ τοῦ ἐνδύματος τοῦ Μοναχοῦ, ὅταν λαμβάνῃ τὸ σχῆμα.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων εἶπε: Τέκνα, πιστεύσατέ με ὅταν σᾶς λέγω, ὅτι ὅσον μεγάλος ἔπαινος καὶ δόξα ἀνήκουν εἰς ἕνα Βασιλέα, ποὺ ἐγκαταλείπει τὴν Βασιλείαν καὶ γίνεται Μοναχός, ἄλλη τόσον μεγάλη ἐντροπὴ εἶναι διὰ τὸν Μοναχόν, ποὺ περιφρονεῖ τὸ μοναχικὸν σχῆμα καὶ γίνεται Βασιλεύς· καὶ τοῦτο διότι τὰ νοητὰ εἶναι ἀσυγκρίτως πολυτιμότερα ἀπὸ τὰ αἰσθητά.

2. Ὑπῆρχε κάποτε ἕνας μεγάλος διορατικὸς γέρων, ὁ ὁποῖος διεβεβαίωνεν, ὅτι, τὴν δύναμιν τῆς (Χάριτος), ποὺ εἶδα νὰ ἵσταται πλησίον τοῦ βαπτιζομένου κατὰ τὴν ὥραν τοῦ βαπτίσματος, τὴν εἶδα καὶ κατὰ τὴν ὥραν, ποὺ λαμβάνει ὁ Μοναχὸς τὸ ἀγγελικὸν σχῆμα.


Δ'. Τοῦ Ἁγίου Ἐφραίμ

ΑΔΕΛΦΕ, μὴ ὀλιγώρει περὶ τοῦ χρόνου τοῦ λαβεῖν σε τὸ σχῆμα· τισὶ γὰρ ὁ ἐχθρὸς ὑποβάλλει ἐπιθυμίαν ἄλογον, τοῦ παρὰ τὸν καιρὸν ἀξιωθῆναι τοῦ σχήματος· σὺ δέ, ἀγαπητέ, ὡς τῷ Θεῷ ἀρέσαι σπουδάζων, μακροθύμησον καὶ ἄκουσον τοῦ Ἀποστόλου λέγοντος· «ἐὰν καὶ δύνῃ ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι τῇ δουλείᾳ»· ἔμβλεψε δὲ καὶ εἰς τὰς ἀρχαίας γενεὰς καὶ ἴδε, ὅτι οἱ Ἅγιοι πάντες διὰ τῆς μακροθυμίας καὶ ὑπομονῆς ἐπέτυχον ἐπαγγελιῶν, καὶ παρακάλει ἑαυτὸν καθ' ἑκάστην ἡμέραν, ὅπως συγκληρονόμος αὐτοῖς εὑρεθῇς ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

Ἀναλόγισαι γὰρ ὅτι ὁ Πατριάρχης Ἰακὼβ οὐχὶ διὰ τὴν Ῥαχὴλ ἔτη δεκατέσσαρα ἐδούλευσε Λάβαν τῷ Σύρῳ ἐν τῇ Μεσοποταμίᾳ ἐν τῷ καύσωνι τῆς ἡμέρας καὶ τῷ παγετῷ τῆς νυκτός; Ὁμοίως δὲ καὶ Ἰωσὴφ ὁ ἠγαπημένος οὐκ ἔτη ἱκανὰ ἐδούλευσεν ἐν γῇ ἀλλοτρίᾳ; καὶ γὰρ γέγραπται· «ἦν Ἰωσὴφ ἐτῶν δεκαεπτά, ποιμαίνων τὰ πρόβατα μετὰ τῶν ἀδελφῶν αὐτοῦ»· εἶτα πάλιν λέγει· «καὶ ἦν Ἰωσὴφ ἐτῶν τριάκοντα ὅτε ἔστη ἐνώπιον Φαραώ». Καὶ Μωϋσῆς δὲ ὁ θεράπων Κυρίου, τεσσαράκοντα ἔτη παρῴκησεν ἐν γῇ Μαδιάμ· καὶ υἱοὶ Ἰσραὴλ διὰ τεσσαράκοντα ἐτῶν εἰσῆλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας· πρὸ δὲ τούτων πάντων ἴδε τὸν Ἀβραὰμ μετὰ πόσα ἔτη τὴν ἐπαγγελίαν ἐκομίσατο· καὶ πάντες δὲ οἱ Ἅγιοι μακροθυμήσαντες, τῶν ἐπηγγελμένων ἐπέτυχον. Καὶ αὐτὸς οὖν ὑπόμεινον ἐν ταπεινώσει τὸν Κύριον, καὶ ἐν καιρῷ εὐθέτῳ ὑψώσει σε, καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου καὶ τὸ κρῖμά σου, ὡς μεσημβρίαν.

Εἰ δὲ ἠξιώθης τοῦ Ἁγίου ἐνδύματος τοῦ Μοναχοῦ, μὴ ἐπαίρου κατὰ τῶν ὑπομενόντων εἰς τὸ ἐπιὸν ἔτος· οὐ γὰρ τὸ οἴεσθαί τινα πρῶτον εἶναι ἔστιν ἀρετή, ἀλλὰ τὸ ὑπομεῖναι ἄχρι τέλους. Μὴ οὖν λαβὼν τὸ σχῆμα εἴπῃς ἐν σεαυτῷ· ἀ π η λ λ ά γ η ν ν ῦ ν τ ῶ ν ἁ μ α ρ τ ι ῶ ν, ἀλλὰ μᾶλλον ἀπὸ τοῦ νῦν πλεῖον πόνησον εἰς τὰς ἀρετάς, ἵνα μὴ σεαυτὸν τὰ μέγιστα ζημιώσῃς. Ἄχρι γὰρ τοῦ παρόντος πολλάκις καὶ ἐξ ἀνάγκης τοῦ μειζοτέρου, οὐκ ἠμέλησας τῆς σεαυτοῦ σωτηρίας· ἄχρι τοῦ νῦν, ἐν τῷ ἐξωτέρῳ θόλῳ ἧς· νυνὶ δὲ ἐν τῷ ἐσωτερικῷ θόλῳ εἰσελήλυθας.

Ἀπὸ τοῦ νῦν φανήσεται ἀκριβῶς ποίαν ὁδὸν ἐπιποθεῖς· τὴν πλατεῖαν καὶ


Ο ΑΓΙΟC
ΕΦΡΑΙΜ
Ο CΥΡΟC
ΕΑΝ ΜΗ ΑΠΟ
ΤΑΞΗCΘΕΠΗ
ΤΩΝ ΤΥ
ΚΟCΜΥ Ȣ
ΔΥΝΑCΘΕ ΓΕ
ΝΕCΘΕ ΜΟ
ΝΑΧΟΙ.
Δημ.
Ρίτσος

εὐρύχωρον τὴν ἀπάγουσαν εἰς τὴν ἀπώλειαν, ἢ τὴν στενὴν καὶ τεθλιμμένην τὴν ἀπάγουσαν εἰς τὴν ζωὴν τὴν αἰώνιον. Μὴ οὖν ἀμελήσῃς σεαυτοῦ, ἵνα μὴ ἀπολέσῃς καὶ ἃ ἐκοπίασας· μήποτε δὲ θελήσῃς ἐξελθεῖν τοῦ κελλίου, ἄνευ κατανωτίου, ἤγουν μανδύου, κἂν τι ἔργον λίαν ᾖ κατεπεῖγον, ἀλλὰ τοῦτο περιθέμενος σεαυτῷ, οὕτως ἐξέρχου· εὐσχημοσύνην γάρ σοι παρέχει· τὸ γὰρ γυμνῷ τῷ λευΐτωνι, εἴτε τῷ κολοβίῳ νεανιευόμενον περιπατεῖν, αἰσχρόν ἐστι τῷ Μοναχῷ· γέγραπται γάρ· «ζῶσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου καὶ περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι».

Ἑρμηνεία

ΑΔΕΛΦΕ, μὴ ἀνυπομονῆς νὰ λάβῃς τὸ ἀγγελικὸν σχῆμα· διότι ὁ ἐχθρὸς ἐμπνέει εἰς μερικοὺς τὴν παράλογον ἐπιθυμίαν νὰ ἀξιωθοῦν τοῦ Μοναχικοῦ σχήματος ὅταν δὲν εἶναι ἀκόμη κατάλληλος ὁ καιρὸς (λόγῳ ἡλικίας). Σὺ ὅμως, ἀγαπητέ, ἐφ' ὅσον θέλεις νὰ ἀρέσῃς εἰς τὸν Θεόν, μακροθύμησε καὶ ἄκουσε τὸν Ἀπόστολον, ποὺ λέγει· «ἂν καὶ ἠμπορῇς νὰ γίνῃς ἐλεύθερος, νὰ προτιμήσῃς μᾶλλον τὴν δουλείαν» (Α' Κορ. ζ', 21). Ρίψε δὲ τὸ βλέμμα σου καὶ εἰς τὰς περασμένας γενεὰς καὶ ἰδὲ ὅτι ὅλοι οἱ Ἅγιοι μὲ τὴν μακροθυμίαν καὶ τὴν ὑπομονὴν ἔλαβον ὑποσχέσεις παρὰ τοῦ Θεοῦ, καὶ νὰ παρακινῇς καθημερινῶς τὸν ἑαυτόν σου, νὰ εὑρεθῇς, κάποτε, εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν συγκληρονόμος μὲ αὐτούς.

Σκέπτεσαι δηλαδή, ὅτι ὁ Πατριάρχης Ἰακὼβ εἰργάσθη ὡς δοῦλος εἰς τὴν Μεσοποταμίαν, ἐπὶ δεκατέσσαρα ἔτη, πλησίον τοῦ Λάβαν τοῦ Σύρου, ὑπομένων τὴν ζέστην τῆς ἡμέρας καὶ τὴν παγωνιὰν τῆς νυκτὸς διὰ τὴν Ραχαήλ; Καθ' ὅμοιον τρόπον δὲν παρέμεινεν ὡς δοῦλος εἰς ξένην χώραν ἐπὶ ἀρκετὰ ἔτη καὶ ὁ ἠγαπημένος Ἰωσήφ; Σχετικῶς λέγει ἡ Ἁγία Γραφή· «ἦτο ὁ Ἰωσὴφ δεκαεπτὰ ἐτῶν, ὅταν ἔβοσκε τὰ πρόβατα μὲ τοὺς ἀδελφούς του»· καὶ ἐν συνεχείᾳ λέγει· «καὶ ἦτο ὁ Ἰωσὴφ τριάντα ἐτῶν, ὅταν παρουσιάσθη ἐμπρὸς εἰς τὸν Φαραώ». Καὶ ὁ Μωϋσῆς δὲ ὁ ὑπηρέτης τοῦ Κυρίου ἔμεινεν ὡς πρόσφυξ εἰς τὴν γῆν Μαδιὰμ σαράντα χρόνους. Καὶ οἱ Ἑβραῖοι μετὰ πορείαν σαράντα ἐτῶν εἰσῆλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Πρὶν ἀπὸ ὅλους αὐτοὺς ἰδὲ τὸν Ἀβραὰμ μετὰ ἀπὸ πόσα ἔτη ἔλαβεν ἀπὸ τὸν Θεὸν τὰ ὑποσχεθέντα. Καὶ γενικῶς, ὅλοι οἱ Ἅγιοι δι' ἀγογγύστου ἀναμονῆς ἐκέρδισαν τὰς θεϊκὰς ὑποσχέσεις· καὶ σὺ λοιπὸν ὑπόμεινε, μὲ ταπείνωσιν, τὸν Κύριον, καὶ θὰ σὲ ὑψώσῃ, ὅταν ἔλθῃ ἡ κατάλληλος εὐκαιρία καὶ θὰ παρουσιάσῃ ὡς φῶς τὴν ἀρετήν σου καὶ ἡ κρίσις διὰ σὲ θὰ λάμψῃ ὅπως τὸ μεσημέρι ὁ ἥλιος.

Ἄν, πάλιν, ἠξιώθης νὰ δεχθῇς τὸ ἅγιον ἔνδυμα τοῦ Μοναχοῦ, μὴ ὑπερηφανεύεσαι εἰς βάρος ἐκείνων ποὺ παρέμειναν νὰ γίνουν μεγαλόσχημοι κατὰ τὸ ἑπόμενον ἔτος· διότι δὲν εἶναι ἀρετὴ τὸ νὰ νομίζῃ κανεὶς πὼς εἶναι πρῶτος, ἀλλὰ τὸ νὰ ὑπομείνῃ τοὺς πειρασμοὺς μέχρι τέλους. Μὴ εἴπῃς λοιπὸν εἰς τὸν ἑαυτόν σου, ὅταν θὰ λάβῃς τὸ μοναχικὸν σχῆμα· τώρα ἐγὼ ἔχω ἀπαλλαγὴ ἀπὸ τὴν ἁμαρτίαν· προτιμότερον θὰ εἶναι νὰ κοπιάσῃς, ἀπὸ τὴν στιγμὴν αὐτήν, περισσότερον διὰ τὰς ἀρετάς, διὰ νὰ

μὴ ζημιώσῃς ὑπερβολικὰ τὸν ἑαυτόν σου. Διότι μέχρι τώρα πολλάκις καὶ ἀπὸ ἐπιθυμίαν τοῦ μεγαλυτέρου σχήματος δὲν ἠμέλησες διὰ τὴν σωτηρίαν σου· μέχρι τώρα ἦσουν εἰς τὸν ἐξωτερικὸν θόλον· τώρα ὅμως εἰσῆλθες εἰς τὸν ἐσωτερικὸν θόλον.

Ἀπὸ τώρα θὰ φανῇ ἀκριβῶς ποίαν ὁδὸν ποθεῖς ἰσχυρῶς· τὴν εὐρύχωρον καὶ πλατεῖαν, ποὺ ὁδηγεῖ εἰς τὴν ἀπώλειαν, ἢ τὴν στενὴν καὶ κοπιαστικήν, ποὺ ὁδηγεῖ εἰς τὴν αἰώνιον ζωήν. Μὴ ἀμελήσῃς λοιπὸν διὰ τὴν ψυχήν σου, διὰ νὰ μὴ χάσῃς καὶ ἐκεῖνα, διὰ τὰ ὁποῖα ἐκοπίασες. Ποτὲ δὲ νὰ μὴ θελήσῃς νὰ ἐξέλθῃς ἀπὸ τὸ κελλίον σου, χωρὶς τὸ κατανώτιον, δηλαδὴ τὸν μανδύαν, ἔστω καὶ ἐὰν πρόκειται διὰ κάποιαν βιαστικὴν ἐργασίαν· ἀλλὰ ρίψε το ἐπάνω σου καὶ ἔτσι νὰ ἐξέρχεσαι. Διότι τὸ νὰ περιπατῇ γυμνὸς μὲ τὸ ζωστικὸν εἴτε μὲ τὸ κολόβιον ὡς νεαρός, εἶναι αἰσχρὸν δι' ἕνα Μοναχόν. Εἶναι, κάπου μάλιστα, γραμμένον· «βάλε τὴν ζώνην σου, φόρεσε τὰ ὑποδήματά σου, ἐνδύσου τὸ ἱμάτιόν σου καὶ ἀκολούθησέ με».

Ε'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΙ μὴ πρότερον ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐθεράπευσε πάντα τὰ πάθη τοῦ ἀνθρώπου, δι' ὃν ἐπεδήμησεν, οὐκ ἀνῆλθεν ἐπὶ τὸν σταυρόν· πρὶν ἢ γὰρ ἐλθεῖν τὸν Κύριον ἐν σαρκί, ἦν ὁ ἄνθρωπος τυφλὸς καὶ ἄλαλος καὶ παραλυτικὸς καὶ κωφός, λεπρὸς καὶ χωλός, καὶ θανατωθεὶς ἐν πάσαις ταῖς παραφύσεσιν. Ὅτε δὲ ἐποίησε τὸ ἔλεος καὶ ἐπεδήμησε δι' ἡμᾶς, ἤγειρε τὸν νεκρόν· καὶ ἐποίησε τὸν χωλὸν περιπατῆσαι, καὶ τὸν τυφλὸν ἀναβλέψαι, καὶ τὸν ἄλαλον λαλῆσαι, καὶ τὸν κωφὸν ἀκοῦσαι, καὶ ἀνέστησε τὸν ἄνθρωπον καινόν, πάσης ἀσθενείας ἐλεύθερον· καὶ τότε ἀνῆλθεν ἐπὶ τὸν Σταυρόν. Καὶ ἐκρέμασαν σὺν αὐτῷ δύο λῃστάς· καὶ ὁ μὲν ἐκ δεξιῶν ἐδόξαζεν αὐτὸν καὶ παρεκάλει λέγων· «μνήσθητί μου, Κύριε, ἐν τῇ Βασιλείᾳ σου»· ὁ δὲ ἐξ εὐωνύμων ἐβλασφήμει αὐτόν, δηλοῦντος τοῦ λόγου, ὅτι πρὶν ὁ νοῦς αὐτοῦ ἀνανήψῃ ἐκ τῆς ἀμελείας, μετὰ τῆς ἔχθρας ἐστίν.

Ἐὰν δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀναστήσῃ αὐτὸν ἐκ τῆς ἀμελείας αὐτοῦ, καὶ δώσῃ αὐτῷ ἀναβλέψαι καὶ διακρῖναι πάντα, οὕτω δυνήσεται ἀναβῆναι ἐπὶ τὸν σταυρόν· τότε ἡ ἔχθρα βλασφημοῦσα διαμένει ἐν ῥήμασι βαρέσιν, ἐλπίζουσα ὅτι ὁ νοῦς χαυνωθεὶς ἀποστήσεται τοῦ κόπου καὶ ἐπιστρέψει πάλιν εἰς τὴν ἀμέλειαν· τοῦτό ἐστι τὸ τῶν δύο λῃστῶν, οὓς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐχώρισε τῆς πρὸς ἀλλήλους φιλίας· ὧν ὁ εἷς ὠνείδιζεν αὐτόν, προσδοκῶν, ὡς εἶπον, ἴσως ἀποστῆσαι αὐτὸν τῆς ἐλπίδος· ὁ δὲ ἄλλος ὑπέμεινε παρακαλῶν, ἕως ἤκουσε· «σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ» καὶ φαγὼν ἐκ τοῦ ξύλου τῆς ζωῆς.

Ἑρμηνεία

ΠΡΙΝ νὰ θεραπεύσῃ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὰ πάθη τοῦ ἀνθρώπου, διὰ τὸν ὁποῖον ἦλθεν εἰς τὸν κόσμον, δὲν θὰ ἀνήρχετο ἐπάνω εἰς τὸν Σταυρόν. Διότι προτοῦ νὰ ἔλθῃ ὁ Κύριος εἰς τὸν κόσμον ὡς ἔνσαρκος, ὁ ἄνθρωπος ἦτο τυφλὸς καὶ ἄλαλος καὶ παράλυτος, καὶ κωφός, λεπρὸς καὶ κουτσὸς καὶ θανατωμένος ἐξ ὁλοκλήρου ἀπὸ τὰς ἁμαρτίας. Ὅταν ὅμως μᾶς εὐσπλαγχνίσθη καὶ ἦλθεν εἰς τὸν κόσμον δι' ἡμᾶς,

ἀνέστησε τὸν νεκρόν· καὶ ἔκαμε τὸν κουτσὸν νὰ περιπατήσῃ, καὶ τὸν τυφλὸν νὰ ἀναβλέψῃ, καὶ τὸν ἄλαλον νὰ λαλήσῃ, καὶ τὸν κωφὸν νὰ ἀκούσῃ, καὶ ἀνέστησε τὸν ἄνθρωπον νέον, ἀπηλλαγμένον ἀπὸ κάθε ἀσθένειαν· καὶ τότε ἀνῆλθεν εἰς τὸν Σταυρόν.

Καὶ ἐκρέμασαν μαζί του δύο λῃστάς· καὶ ἐκεῖνος ποὺ ἐκρεμάσθη εἰς τὰ δεξιά Του, τὸν ἐδόξαζε καὶ τὸν παρεκάλει· «ἐνθυμήσου με, Κύριε, εἰς τὴν Βασιλείαν Σου»· ἐνῷ ὁ ἐξ ἀριστερῶν τὸν ἐβλασφήμει· ὁ λόγος φανερώνει, ὅτι πρὶν ἀνανήψῃ ὁ νοῦς ἀπὸ τὴν ἀμέλειαν, εὑρίσκεται μὲ τὴν ἔχθραν.

Μόνον δὲ ἐὰν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀναστήσῃ τὸν νοῦν ἀπὸ τὴν ἀμέλειάν του, καὶ τοῦ δώσῃ τὴν δύναμιν νὰ ἀναβλέψῃ καὶ νὰ διακρίνῃ ὅλα, θὰ ἠμπορέσῃ ἔτσι νὰ ἀναβῇ ἐπάνω εἰς τὸν σταυρὸν τῆς αὐταπαρνήσεως.

Τότε ἡ ἔχθρα, ποὺ βλασφημεῖ ὅπως ὁ ἀγνώμων λῃστής, ἐκδηλώνεται εἰς λόγους βαρεῖς, ἐλπίζουσα πῶς ὁ νοῦς θὰ ἀποκάμῃ θὰ παραιτηθῇ ἀπὸ τὸν κόπον τῆς ἀσκήσεως καὶ θὰ ἐπιστρέψῃ πάλιν εἰς τὴν ἀμέλειαν. Αὐτὴ εἶναι ἡ συμβολικὴ σημασία τῶν δύο λῃστῶν, τοὺς ὁποίους ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διεχώρισεν ἀπὸ τὴν μεταξύ των φιλίαν· καὶ ἀπὸ τοὺς ὁποίους ὁ μὲν ἕνας ἐνέπαιζε τὸν Ἰησοῦν, ἀναμένων, ὅπως ἀνέφερα προηγουμένως, μήπως τὸν ἀπομακρύνῃ ἀπὸ τὴν ἐλπίδα, ἐνῷ ὁ ἄλλος ὑπέμεινε νὰ παρακαλῇ, μέχρις ὅτου ἤκουσε· «σήμερον μαζί μου θὰ εἶσαι εἰς τὸν Παράδεισον»· ὁπόταν ἠξιώθη νὰ δοκιμάσῃ ἀπὸ τὸ ξύλον τῆς αἰωνίου ζωῆς.

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Διόσκορος· ἀδελφοί, χάριτι Θεοῦ ἐλάβομεν τὸ Ἅγιον σχῆμα, καὶ τοσοῦτον ἤδη χρόνον φοροῦμεν αὐτό. Σπουδάσωμεν οὖν ἵνα εὑρεθῶμεν καὶ ἐν τῇ ὥρᾳ τῆς ἀνάγκης ἔχοντες τὸ ἔνδυμα τοῦ γάμου· ἐὰν γὰρ φορέσωμεν ἡμῶν τὸ οὐράνιον ἔνδυμα, οὐκ ἂν φανῶμεν γυμνοί· ἐὰν δὲ μὴ εὑρεθῶμεν φοροῦντες αὐτό, τί ποιήσομεν, ἀδελφοί; πάντως ἀκούσομεν καὶ ἡμεῖς τὴν φωνὴν ἐκείνην τὴν λέγουσαν· «ἐκβάλετε τούτους εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων». Ὢ τῆς μεταμελείας τῆς μελλούσης ἡμῖν προσγίνεσθαι! ὢ τῆς αἰσχύνης, καὶ τῆς ἀφορήτου λύπης τῆς ἐσομένης ἡμῖν, ἡνίκα ἴδωμεν τοὺς μὲν Πατέρας ἡμῶν εἰς τὴν τῶν οὐρανῶν Βασιλείαν ἁρπαζομένους, ἡμᾶς δὲ ἑαυτοὺς ὑπὸ τῶν τιμωρητικῶν ἀγγέλων ἐκβαλλομένους εἰς τὸ ἐξώτερον σκότος καὶ τὸ πῦρ τὸ αἰώνιον.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Διόσκορος εἶπεν· ἀδελφοί, μὲ τὴν Χάριν τοῦ Θεοῦ ἐλάβομεν τὸ ἅγιον σχῆμα καὶ ἤδη τόσον χρόνον τὸ φοροῦμεν. Ἂς φροντίσωμεν λοιπὸν νὰ εὑρεθῶμεν καὶ κατὰ τὴν ὥραν τῆς κρίσεως ἐνδεδυμένοι καὶ μὲ τὸ ἔνδυμα τοῦ γάμου· διότι ἐὰν φορέσωμεν τὸ οὐράνιον ἔνδυμά μας, δὲν θὰ φανῶμεν γυμνοί· ἐὰν ὅμως εὑρεθῶμεν τὴν στιγμὴν ἐ-

κείνην νὰ μὴ τὸ φορῶμεν, τί θὰ κάμωμεν, ἀδελφοί; Ὁπωσδήποτε θὰ ἀκούσωμεν καὶ ἡμεῖς τὴν φωνὴν ἐκείνην νὰ μᾶς λέγῃ· «ὁδηγήσατε αὐτοὺς εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ θὰ εἶναι ὁ θρῆνος καὶ ὁ τριγμὸς τῶν ὀδόντων».

Ἀλλοίμονον! Πόσον θὰ μετανοήσωμεν τότε ἀνωφελῶς διὰ τὴν ἀμέλειάν μας! Πόσην ἐντροπὴν καὶ ἀνυπόφορον λύπην θὰ αἰσθανώμεθα, ὅταν ἴδωμεν τοὺς μὲν Πατέρας μας νὰ ἁρπάζωνται εἰς τὴν οὐράνιον Βασιλείαν, τοὺς ἑαυτούς μας δὲ νὰ ὁδηγοῦνται ἀπὸ τοὺς ἀγγέλους τῆς τιμωρίας εἰς τὸ φοβερὸν σκότος καὶ τὸ αἰώνιον πῦρ.





ΥΠΟΘΕΣΙΣ ΛΒ΄

Περὶ τοῦ ὅτι δεῖ τὸν πιστόν, τὸν πρέποντα βίον τῷ σχήματι ἐπιδείκνυσθαι· ὁ γὰρ μὴ κατὰ τὸ σχῆμα πολιτευόμενος οὐ πιστός· καὶ ὅτι οὐκ ἐκ τοῦ χρόνου, ἀλλ' ἐκ τοῦ τρόπου τὸ κατὰ Θεὸν γῆρας χαρακτηρίζεται.

Περὶ τοῦ ὅτι πρέπει ὁ πιστὸς νὰ παρουσιάζῃ τὸν τρόπον τοῦ βίου, ποὺ ἁρμόζει εἰς τὸ σχῆμα του· διότι ἐκεῖνος, ποὺ δὲν ζῇ σύμφωνα μὲ τὸ σχῆμα του, δὲν εἶναι πιστός· ἐπίσης τὸ κατὰ Θεὸν γῆρας δὲν χαρακτηρίζεται ἀπὸ τὸν χρόνον, ἀλλὰ ἀπὸ τὸν τρόπον μὲ τὸν ὁποῖον ζῇ ὁ ἄνθρωπος



Α΄. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς



ΛΕΓΕΝ ἡ μακαρία Συγκλητική, ὅτι δέον ἡμᾶς μὴ ἐπιπόλαιον ποιεῖσθαι τῆς ψυχῆς τὴν θεραπείαν, ἀλλ' ὅλην αὐτὴν διόλου κοσμεῖν, μάλιστα τοῦ βάθους μὴ ἀμελησάσας. Τὰς τρίχας τῆς κεφαλῆς περιείλομεν; συναφέλωμεν αὐταῖς καὶ τοὺς ἐν τῇ νοητῇ κεφαλῇ σκόλοπας, ἤγουν τῇ ψυχῇ· τὸ μὲν γὰρ τρίχωμα ἡμῶν ἦν ὁ κατὰ τὸν βίον κόσμος, οἷον τιμαί, δόξαι, χρημάτων κτήσεις, λαμπραὶ ἐσθῆτες, λουτρῶν ἀνέσεις, βρωμάτων ἀπολαύσεις, καὶ αἱ λοιπαὶ φαντασίαι τοῦ κόσμου καὶ ἡδοναί· ταῦτα δὲ διὰ τῆς ἀφαιρέσεως τῶν τριχῶν ἀποβάλλειν ἐδόξαμεν.

Μηκέτι οὖν ἐξ αὐτῶν τι ἐπιδειξώμεθα, ἵνα μὴ καὶ τοῖς ὁρῶσι σκανδάλου γενώμεθα αἴτιαι· ἕως μὲν γὰρ ἐν ταῖς αὐλαῖς τῶν κοσμικῶν πραγμάτων ἐσκέποντο τὰ θηρία, ἐδόκουν λανθάνειν· νῦν δὲ γυμνωθέντα πᾶσιν εἰσὶν ἔκδηλα. Διὰ τοῦτο ἐν Παρθένῳ ἢ ἐν Μοναχῷ προφανῆ τυγχάνει καὶ τὰ εὐτελέστατα ἁμαρτήματα· ὥς περ γὰρ ἐν καθαρῷ οἰκήματι τὸ εἰσελθὸν θηρίον, κἂν βραχύτατόν ἐστι, φανερὸν πᾶσι γίνεται, οὕτω καὶ ἐφ' ἡμῶν· καὶ τὸ ἐλάχιστον πταῖσμα γνώριμον πᾶσιν ἐστίν· ἐν δὲ τοῖς κοσμικοῖς, ὥς περ ἐν ἀκαθάρτοις σπηλαίοις, καὶ τὰ μέγιστα τῶν ἰοβόλων ἐμφωλεύοντα λανθάνει ὑπὸ τῆς συνεχοῦς ὕλης καλυπτόμενα.

Δέον οὖν ἡμᾶς ἀεὶ καθαίρειν τὸν οἶκον ἡμῶν τῆς ψυχῆς, καὶ περιβλέπε-

σθαι μή τι τῶν ψυχοφθόρων ζωϋφίων ἐν τοῖς νοητοῖς παρεισέλθοι ταμείοις, θυμιᾶν τε τὸν τόπον ἀεὶ τῷ ἁγίῳ θυμιάματι, τῇ προσευχῇ. Ὡς γὰρ τὰ ἰοβόλα ζῷα ὑπὸ τῆς ὀσμῆς τῶν δριμυτέρων φαρμάκων ἐλαύνονται, οὕτω λογισμὸν ρυπαρὸν εὐχὴ μετὰ νηστείας ἐκδιώκειν πέφυκεν. Ἐξορίᾳ ἑαυτὰς παρεδώκαμεν, τουτέστιν ἔξω τῶν κοσμικῶν ὅρων γεγόναμεν· οὗ τινος οὖν ἑαυτὰς ἐξεβάλομεν, τὰ ἐκείνου μηκέτι ζητήσωμεν· ἐκεῖ δόξαν εἴχομεν, ὧδε ὀνειδισμόν· ἐκεῖ δαψίλειαν τροφῶν, ἐνταῦθα καὶ ἄρτου ἔνδειαν· ἐν τῷ κόσμῳ οἱ πταίοντες καὶ μὴ βουλόμενοι, ἐν φυλακῇ βάλλονται· καὶ ἡμεῖς διὰ τὰς ἁμαρτίας ἡμῶν ἑαυτὰς φυλακίσωμεν, ἵνα τὸ ἑκούσιον τῆς γνώμης τῆς μελλούσης ἡμᾶς ἐλευθερώσῃ κολάσεως.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγεν, ὅτι ἡμεῖς πρέπει νὰ μὴ φροντίζωμεν ἐπιπολαίως διὰ τὴν σωτηρίαν τῆς ψυχῆς μας, ἀλλὰ δι' ὅλων τῶν πράξεών μας νὰ τὴν στολίζωμεν καί, πρὸ παντός, νὰ μὴ ἀμελῶμεν τὸ βάθος. Ἀφηρέσαμεν κατὰ τὴν μοναχικὴν κουρὰν τὰς τρίχας τῆς κεφαλῆς μας; Ἄς φροντίσωμεν νὰ ἀφαιρέσωμεν συγχρόνως καὶ τὰ ἀγκάθια τῆς νοητῆς κεφαλῆς, δηλαδὴ τῆς ψυχῆς. Διότι τὰ μαλλιά μας συμβολίζουν τὸν κοσμικὸν βίον, δηλαδὴ τὰς τιμάς, τὰς δόξας, τὴν ἀπόκτησιν χρημάτων, τὰ λαμπρὰ φορέματα, τὰς ἀνέσεις τῶν λουτρῶν, τὰς ἀπολαύσεις τῶν φαγητῶν, καὶ ὅλας, ἐν γένει, τὰς ματαιοδοξίας καὶ τὰς ἡδονὰς τοῦ κόσμου. Ὅλα αὐτὰ ἐφάνημεν ὅτι τὰ ἀφηρέσαμεν διὰ τῆς κουρᾶς τῶν μαλλιῶν μας.

Ἀπ' ἐδῶ λοιπὸν καὶ εἰς τὸ ἑξῆς ἂς μὴ παρουσιάζωμεν εἰς τὴν ζωήν μας κάτι ἀπὸ ὅλα αὐτά, διὰ νὰ μὴ σκανδαλίζωμεν καὶ αὐτοὺς ποὺ μᾶς βλέπουν. Διότι ἕως ὅτου τὰ θηρία αὐτὰ ἐσκεπάζοντο εἰς τὰς αὐλὰς τῶν πραγμάτων τοῦ κόσμου, ἐδημιούργουν τὴν ἐντύπωσιν ὅτι δὲν ὑπάρχουν· τώρα ὅμως ποὺ ἀπεγυμνώθησαν, εἶναι ὁλοφάνερα εἰς ὅλους. Δι' αὐτὸν τὸν λόγον ἀκριβῶς καὶ εἰς τὴν Παρθένον ἢ τὸν Μοναχὸν φαίνονται καθαρὰ καὶ τὰ πιὸ ἀσήμαντα ἁμαρτήματα· ὅπως ἀκριβῶς εἰς καθαρὰν οἰκίαν, ὅταν θὰ εἰσέλθῃ ἕνα ζῷον, γίνεται ἀμέσως ἀντιληπτὸν εἰς ὅλους, ὅσον μικρὸν καὶ ἐὰν εἶναι, τὸ ἴδιον συμβαίνει καὶ μὲ ἡμᾶς· καὶ τὸ παραμικρότερον σφάλμα γίνεται εἰς ὅλους γνωστόν. Εἰς τοὺς κοσμικοὺς ὅμως δὲν συμβαίνει τὸ ἴδιον, διότι οὗτοι ὁμοιάζουν μὲ ἀκάθαρτα σπήλαια, ὅπου δὲν γίνονται ἀντιληπτὰ καὶ τὰ μεγαλύτερα ἀπὸ τὰ δηλητηριώδη ἑρπετά, ποὺ φωλιάζουν ἐντὸς αὐτῶν, διότι σκεπάζονται μὲ τὴν ὕλην ποὺ συνεχῶς ὑπάρχει μέσα εἰς αὐτά.

Πρέπει λοιπὸν ἡμεῖς πάντοτε νὰ καθαρίζωμεν τὸν οἶκον τῆς ψυχῆς μας καὶ νὰ ἐξετάζωμεν προσεκτικὰ ὁλόγυρά μας, μήπως τρυπώσῃ εἰς τὰ ἄδυτα τοῦ νοός μας κανένα ψυχοφθόρον ζωΰφιον καὶ νὰ θυμιάζωμεν πάντοτε τὸν τόπον μὲ ἅγιον θυμίαμα, δηλαδὴ μὲ τὴν προσευχήν. Διότι ὅπως τὰ φαρμακερὰ ζῷα ἐκδιώκονται μὲ τὰ δραστικώτερα φάρμακα, ἔτσι εἶναι φυσικὸν καὶ ἡ προσευχὴ μὲ τὴν νηστείαν νὰ ἐκδιώκουν τὸν αἰσχρὸν λογισμόν. Αὐτοεξωρίσθημεν, δηλαδὴ ἐβγήκαμεν ἔξω ἀπὸ τὰς

συνθήκας τῆς κοσμικῆς ζωῆς· ἀπὸ ὅπου λοιπὸν ἀπεμακρύναμεν τὸν ἑαυτόν μας, μὲ τὴν θέλησίν μας, ποτὲ πλέον νὰ μὴ ζητήσωμεν ἐκεῖνα ποὺ ἀνήκουν εἰς τὸν κόσμον. ('Εκεῖ εἴχομεν δόξαν, ἐδῶ περιφρόνησιν· ἐκεῖ ἀφθονίαν τροφῶν, ἐδῶ ἔλλειψιν καὶ αὐτοῦ τοῦ ἄρτου· ὅσοι διαπράττουν ἀδικήματα εἰς τὸν κόσμον, ρίπτονται καὶ παρὰ τὴν θέλησίν των εἰς τὰς φυλακάς· καὶ ἡμεῖς λοιπὸν ἂς αὐτοφυλακισθῶμεν τώρα διὰ τὰς ἁμαρτίας μας, ὥστε νὰ μᾶς ἐλευθερώσῃ ἀπὸ τὴν μέλλουσαν κόλασιν ἡ ἀπόφασις τὴν ὁποίαν ἐλάβαμεν μὲ τὴν ἰδικήν μας προαίρεσιν.)

Β'. Ἐν τῷ Γεροντικῷ

ΗΡΩΤΗΘΗ γέρων ὁποῖον δεῖ εἶναι τὸν Μοναχόν· καὶ εἶπεν· ἐὰν ὡς κατ' ἐμέ, μόνος πρὸς μόνον, ἤγουν πρὸς μόνον τὸν Θεὸν ἀποβλέπῃ.

2. Ὁ αὐτὸς ἐρωτηθεὶς πάλιν τί δεῖ τὸν Μοναχὸν ποιεῖν, ἀπεκρίθη· παντὸς ἀγαθοῦ ἐργασίαν, καὶ παντὸς κακοῦ ἀποχήν.

3. Εἶπεν ὁ αὐτός, ὅτι αἰσχύνη ἐστὶ τοῦ Μοναχοῦ, ἐὰν ἐάσας τὰ ἑαυτοῦ ξενιτεύσῃ διὰ τὸν Θεόν, καὶ μετὰ ταῦτα εἰς κόλασιν ἀπέλθῃ.

Ἑρμηνεία

ΗΡΩΤΗΘΗ, κάποτε, ἕνας Γέρων· Ὁποῖος πρέπει νὰ εἶναι ὁ Μοναχός;

— Κατὰ τὴν γνώμην μου, ἀπήντησε ὁ Γέρων, ἂν μόνος πρὸς μόνον, δηλαδὴ ἂν ἀποβλέπῃ πρὸς μόνον τὸν Θεόν.

2. Ὅταν πάλιν ὁ ἴδιος ἠρωτήθη τί πρέπει νὰ κάνῃ ὁ Μοναχός, ἀπήντησε· νὰ ἐργάζεται κάθε ἀγαθὸν καὶ νὰ ἀπέχῃ ἀπὸ κάθε κακόν.

† 3. Ὁ ἴδιος Γέρων εἶπεν, ὅτι εἶναι ἐντροπὴ διὰ τὸν Μοναχὸν ἐὰν ἐγκαταλείψῃ τὰ πάντα καὶ ξενιτευθῇ διὰ τὸν Θεόν, καὶ ἀπέλθῃ, κατόπιν ὅλων αὐτῶν, εἰς τὴν κόλασιν.

Γ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΟΝΑΧΟΝ οὐχ ἡ κουρὰ καὶ ἡ περιβολὴ συνίστησιν, ἀλλ' ὁ οὐράνιος πόθος καὶ ἡ ἔνθεος πολιτεία· ἐν τούτοις γὰρ ὁ Μοναχὸς γνωρίζεται· ὁμοίως δὲ καὶ κοσμικὸν ἄνδρα οὐχ ἡ κόμη καὶ ἡ ἐσθὴς δείκνυσιν, ἀλλ' ὁ κακὸς τρόπος, καὶ τὸ κεχηνέναι πρὸς τὰς κοσμικὰς καὶ ὑλώδεις ἐπιθυμίας· ἐν τούτοις γὰρ ἡ ψυχὴ ἐναγὴς ἀποκαθίσταται. Ἐὰν ἀπετάξω τῷ κόσμῳ, ἐπιμελοῦ τοῦ ἔργου σου, ἵνα τοῦ ζητουμένου μαργαρίτου ἐπιτύχῃς· τινὲς γὰρ ἀποταξάμενοι τῷ κόσμῳ, ἀνεχώρησαν· οἱ μὲν στρατείας καταλείψαντες· οἱ δὲ πλοῦτον διασκορπίσαντες· ἔσχατον δέ, ἰδίῳ ἀχθέντες θελήματι, κατέπεσον· οὐδὲν γὰρ χαλεπώτερον τοῦ κρατεῖσθαι τινὰ τῷ οἰκείῳ θελήματι καὶ τῇ ἑαυτοῦ συνέσει στοιχεῖν.

Οὗτοι οὖν, τῇ μὲν αὐθεντικῇ καὶ δημοσίᾳ πύλῃ ἔδοξαν ὑποχωρῆσαι τῶν τοῦ βίου πραγμάτων· τῇ δὲ παραθύρῳ εὑρηνται ἐνδότερον· καὶ γὰρ καὶ οἱ υἱοὶ Ἰσραήλ, μετὰ τὸ ἐξελθεῖν ἐκ τῆς σιδηρᾶς καμίνου, ἤτοι τῆς Αἰγύπτου καὶ διασωθῆναι διὰ τῆς Ἐρυθρᾶς θαλάσσης, καὶ ἀπολαῦσαι τῶν τοσούτων καὶ τηλικούτων δωρεῶν τοῦ Θεοῦ,

θελήματι ἰδίῳ ἀχθέντες, εἰς τὴν ἤπειρον ἐναυάγησαν· καὶ ἐκ τοῦ τοσούτου πλήθους τῶν ἠριθμημένων, ἤγουν τῶν ἑξήκοντα μυριάδων, δύο μόνοι εἰς τὴν γῆν τῆς ἐπαγγελίας ἐσώθησαν, Χάλεβ καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, οἱ τὸ λόγιον Κυρίου μὴ παραπικράναντες, καὶ τὴν βουλὴν τοῦ ὑψίστου ὁσίως φυλάξαντες. Ὥς περ οὐκ ἔστι διὰ χρημάτων γράμματα ἢ τέχνην ὠνήσασθαι ἄνευ κόπου, οὕτως οὐκ ἔστι γενέσθαι Μοναχὸν δίχα ἐπιμελείας καὶ ἐπιμόνου ὑπομονῆς.

Νῆφε οὖν, ἀδελφέ, ὡς καλὸς στρατιώτης, καὶ μὴ ἀμέλει τοῦ δοθέντος σοι χαρίσματος, μή ποτε δι᾽ ἀμφότερα κολασθήσῃ, ὡς ἀνθρώπους λυπήσας, τοὺς κατὰ σάρκα γονεῖς, καὶ τῷ Θεῷ μὴ ἀρέσας· ἀλλ᾽ ἀγωνίζου, ὅπως καὶ οἱ ὁρῶντες σε δοξάσωσι τὸν Θεὸν ἐπὶ τῇ ἀγαθῇ σου διαγωγῇ· γέγραπται γάρ· «οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται»· καὶ πάλιν· «εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον». Εἰ γὰρ τὸν κόσμον κατέλιπες, καὶ τοὺς κατὰ σάρκα γονεῖς καὶ συγγενεῖς καὶ φίλους καὶ Πατρίδα καὶ πλοῦτον διὰ τὸν Κύριον, τί σοι τὸ ὄφελος ἐάν περ καὶ ὧδε ἐλθὼν τοῦ σωθῆναι τὰ ἐναντία πράττῃς; καὶ ἁμαρτάνεις μὲν ἔναντι Κυρίου, καὶ ἀργὸν τὸ ὄνομα τοῦ Μοναχοῦ παράκεισαι· παρὰ δὲ τῶν ἀνθρώπων μακαρίζῃ, τῶν ποτε γνωρίμων σου, λεγόντων· μακάριος ὁ δεῖνα, ὅτι ἐμίσησε τὸν κόσμον τοῦτον καὶ τὴν δόξαν αὐτοῦ καὶ τὴν ἀπάτην αὐτοῦ, καὶ οὐκέτι φροντίζει γηΐνου τινός· ἀνεχώρησε γὰρ καὶ γέγονε Μοναχός· καὶ ἰδοὺ σὺ ὧδε ἀμονάχως διάγεις.

Σκοπήσωμεν ποία αἰσχύνη καταλήψεται ἡμᾶς, ἐάν περ οἱ μακαρίζοντες νῦν ἡμᾶς προάξωσιν ἡμῶν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν, καὶ ἐὰν οἱ νῦν προσκυνοῦντες ἡμᾶς καὶ λέγοντες «εὔξασθε ὑπὲρ τῶν ἁμαρτωλῶν, δοῦλοι Χριστοῦ», αὐτοὶ μὲν εὑρεθῶσιν ἐν ἀνέσει, ἡμεῖς δὲ ἐν στενοῖς διὰ τὰ πλημμελήματα ἡμῶν· οὐ γὰρ ἐπίσης ἐκείνοις καὶ ἡμεῖς κριθησόμεθα· «ᾧ γὰρ ἐνεπιστεύθη, φησί, πολύ, πολὺ καὶ ἀπαιτηθήσεται· καὶ ὁ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας αὐτό, δαρήσεται πολλάς».

Διό, ἀγαπητέ, νήψωμεν παρακαλῶ, ὡς ἔτι καιρὸν ἔχομεν· ἰδοὺ γὰρ τὸ στάδιον ἀνέῳκται πᾶσι, καὶ ὁ ἀγωνοθέτης λέγει διὰ τοῦ Ἀποστόλου· «οὕτω τρέχετε ἵνα καταλάβητε· καὶ πᾶς ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται»· καὶ πάλιν φησίν· «οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ». Ἀδελφέ, γίνωσκε ὅτι ὁ **θέλων γενέσθαι Μοναχός, καὶ ὕβριν καὶ ἐξουδένωσιν καὶ ζημίαν οὐχ ὑποφέρων, οὐ δύναται γενέσθαι Μοναχός.**

Ἀγαπητὲ ἀδελφέ, ἐὰν ἀποταξάμενος τῷ βίῳ γένῃ Μοναχός, νῆφε, ὅτι πολλαὶ αἱ μεθοδεῖαι τοῦ ἐχθροῦ· μήποτε εὑρὼν ἐν σοὶ χώραν διὰ τῆς ἀμελείας, ὑποβάλῃ σοι τοιαῦτα, καὶ ἐκτρέψῃ σε τῆς εὐθείας ὁδοῦ λέγων· ἰδοὺ ἀπεχώρισας σεαυτὸν τῶν ἀνθρώπων, καὶ ἐκάθισας ἐν κελλίῳ· τί οὖν; οὐχὶ καὶ τὰ θηρία ἡσυχάζουν εἰς τοὺς φωλεοὺς αὐτῶν; Σὺ οὖν ἐπιτίμησον αὐτῷ καὶ εἰπέ· ὁ Κύριός σε, διάβολε, καταργήσοι, ὅτι τὸν ἄνθρωπον ὃν ἐποίησε κατ᾽ εἰκόνα ἰδίαν καὶ ὁμοίωσιν, θηρίοις ἀλόγοις αὐτὸς παρεικάσας, οὐ παύῃ, ἐχθρὲ τῆς ἀληθείας καὶ τοῦ γένους ἡμῶν πολέμιε, διαστρέφων τὰς ὀρθὰς ὁδοὺς τοῦ Κυρίου;

Ἄκουε οὖν, μισόκαλε, τὴν διαφορὰν τοῦ Μοναχοῦ πρὸς τὸν κοσμικόν· ὁ

θέλων γενέσθαι Μοναχός, πρῶτον ἀποτάσσεται τῷ κόσμῳ, εἶτα καὶ τοῖς ἰδίοις θελήμασι, καὶ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ τῷ Σωτῆρι ἡμῶν Χριστῷ· οὐ φιλονικεῖ, οὐ καταρᾶται, οὐκ ὀμνύει, οὐ δυσφημεῖ, οὐ μελετᾷ λόγους ψευδεῖς διὰ τῆς φλυάρου φιλοσοφίας· ἐγκρατεύεται, οὐ σπαταλᾷ· φίλους ἔχει τοὺς Θεῷ δουλεύοντας ὁμοίως αὐτῷ, ἐχθρὸν δὲ ἀνθρώπων μὲν οὐδένα, μόνον δὲ σὲ τὸν διάβολον. Οὐκ ἐκθλίβει τινάς, οὐκ ἀδικεῖ· μᾶλλον δὲ καὶ ἀδικούμενος, εὐχαρίστως φέρει· τῇ ἀνεξικακίᾳ ἐμπρέπει. Οὐ μαίνεται ἐπὶ τῷ συναγάγαι πλοῦτον· πῶς γὰρ ὁ σκορπίσας ὃν εἶχε, καὶ τὴν πτωχείαν αὐθαιρέτως ἑλόμενος, καὶ ταύτην ἔχων δόξαν καὶ καύχημα; οὐ πραγματεύεται, οὐ φροντίζει οἴκου, ἢ πῶς ἀρέσῃ γυναικί· οὐ μεριμνᾷ πῶς στρατεύσει τοὺς ἑαυτοῦ υἱούς, ἢ τὴν θυγατέρα ἐκδίδωσιν ἀνδρί· οὐ δέδεται περισπασμοῖς, ἀλλὰ σχολάζει τῇ ἑαυτοῦ σωτηρίᾳ.

Οὐ ζητεῖ δόξαν παρὰ ἀνθρώπων, οὐκ ἐπαίρεται, ἀλλὰ ταπεινοφρονεῖ μᾶλλον· καὶ χρηστὸς καὶ ἐπιεικὴς πρὸς πάντας ἐστί· ψάλλει, καὶ οὐ μετεωρίζεται· καὶ ἀντὶ αὐλῶν καὶ τυμπάνων καὶ μουσικῶν, τῇ ψαλμῳδίᾳ καὶ τῇ προσευχῇ κέχρηται· ἀντὶ τοῦ γελᾶν, πενθεῖ καὶ δακρύει ἐν τῷ ἐνδοτάτῳ ταμείῳ, καὶ τοῦ οἴκου καὶ τῆς ψυχῆς ἄφεσιν ἁμαρτιῶν αἰτούμενος. Οὐχ ὑπὲρ ἑαυτοῦ δὲ μόνον, ἀλλὰ καὶ ὑπὲρ ὅλου τοῦ κόσμου προσεύχεται. Οὐ παραβάλλει ματαίαις θεωρίαις, ἀλλὰ ἁγίοις ἀνδράσι. Τὰς χεῖρας οὐκ εἰς τάβλην ἐκτείνει τὴν ἐρημοῦσαν οἴκους καὶ ψυχὰς τῶν τερπομένων ἐν αὐτῇ, ἀλλ' εἰς τὸ κατὰ Θεὸν ἔργον καὶ ἀνάγνωσιν τῶν θείων γραφῶν. Ἀμεριμνεῖ γονέων, συγγενῶν καὶ πάντων τῶν γηΐνων πραγμάτων· ἀεὶ ἐνθυμεῖται τὴν μέλλουσαν κρίσιν καὶ τὰς τοῦ Σωτῆρος ἐπαγγελίας· καὶ τῇ μνήμῃ ταύτῃ ἀναζωπυρεῖται τὸ ἐν αὐτῷ, καὶ φυγαδεύει τὴν λύπην καὶ ἀκηδίαν· ἥκει σωματικὴ ἀρρωστία, καὶ χαίρει ὅτι ἐγγὺς ὁ στέφανος.

Ἀνθίσταται πάσαις ταῖς τοῦ σώματος ἡδοναῖς, ἀναλογιζόμενος τὴν πικρίαν τῶν αἰωνίων κολάσεων, αἳ τοὺς ἡδυπαθεῖς περιμένουσι· λοιδορούμενος εὐλογεῖ· βλασφημούμενος παρακαλεῖ· συκοφαντούμενος μακροθυμεῖ· βασανιζόμενος ὑποφέρει, ἐνθυμούμενος τὰ τοῦ Σωτῆρος παθήματα. Ταῦτα καὶ πλείονα τούτων καὶ μείζονα τὰ ἔργα τοῦ ἀληθινοῦ Μοναχοῦ· καὶ πῶς σύ, μισάνθρωπε καὶ μισόκαλε, τὸν τοιοῦτον βίον τῷ κοσμικῷ παρεικάζεις; ἀπόστηθι οὖν ἀπ' ἐμοῦ, πονηρέ· ὁ Κύριός σοι ἐπιτάσσει δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου. Οὕτως οὖν, ἀγαπητέ, ἀνθίστασο τῷ τοιαῦτά σοι ὑποβάλλοντι καὶ φεύξεται ἀπὸ σοῦ, συνεργίᾳ τῆς χάριτος.

Ἑρμηνεία

ΤΟΝ ΜΟΝΑΧΟΝ δὲν τὸν κάνει ἡ κουρὰ καὶ τὸ ἔνδυμα, ἀλλὰ ὁ πόθος τῶν οὐρανίων καὶ ἡ σύμφωνος μὲ τὸ θέλημα τοῦ Θεοῦ ζωή· ἀπὸ αὐτὰ γνωρίζεται ὁ πραγματικὸς μοναχός. Κατὰ τὸν ἴδιον τρόπον ὁ κοσμικὸς ἄνθρωπος δὲν γνωρίζεται ἀπὸ τὸ κτένισμα καὶ τὴν ἐνδυμασίαν, ἀλλὰ ἀπὸ τὸν κακὸν τρόπον ζωῆς καὶ τὴν ἀπληστίαν του διὰ τὰς κοσμικὰς καὶ ὑλικὰς ἀπολαύσεις· διότι αὐτὰ κάνουν ἁμαρτωλὴν τὴν ψυχήν. Ἐὰν ἐγκατέλειψες τὸν κόσμον, φρόντιζε διὰ τὴν πνευματικὴν ἐργασίαν σου, ὥστε νὰ ἀποκτήσῃς τὸν μαργαρίτην ποὺ ἐπιζητεῖς· διότι μερικοὶ ἐγκατέλειψαν τὸν κόσμον καὶ ἀνεχώρησαν ἐξ αὐτοῦ· ἄλλοι περιεφρόνησαν στρατιωτικὰ ἀξιώματα καὶ ἄλλοι διεσκόρπισαν τὰ πλούτη των. Ἐπειδὴ

ὅμως εἰς τὸ τέλος παρεσύρθησαν ἀπὸ τὸ θέλημά των, κατέπεσον· διότι δὲν ὑπάρχει χειρότερον ἁμάρτημα νὰ αἰχμαλωτίζεται κανεὶς ἀπὸ τὸ θέλημά του καὶ νὰ πορεύεται μὲ ὅσα ὁ ἴδιος μόνος του κρίνει ὡς ὀρθά.

Αὐτοὶ λοιπὸν ἐφάνησαν ὅτι ἐγκατέλειψαν τὸν κοσμικὸν βίον ἀπὸ τὴν κυρίαν καὶ δημοσίαν εἴσοδον· εἰς τὴν πραγματικότητα ὅμως διὰ τοῦ παραθύρου εἰσῆλθον καὶ εὑρίσκονται πολὺ πιὸ μέσα. Ὅπως καὶ οἱ Ἰσραηλῖται, ἀφοῦ ἐξῆλθον ἀπὸ τὸ σιδερένιο καμίνι, δηλαδὴ τὴν Αἴγυπτον, καὶ ἀφοῦ διεσώθησαν διὰ μέσου τῆς Ἐρυθρᾶς θαλάσσης καὶ ἀπήλαυσαν τὰς τόσας πολλὰς καὶ τόσον μεγάλας δωρεὰς τοῦ Θεοῦ, ἐπειδὴ παρεσύρθησαν ἀπὸ τὸ θέλημά των, ἐναυάγησαν ἐπάνω εἰς τὴν στερεὰν γῆν. Καὶ ἀπὸ τόσον μεγάλον πλῆθος τῶν καταμετρηθέντων κατὰ τὴν ἔξοδον, δηλαδὴ τῶν ἑξακοσίων χιλιάδων*, δύο μόνον κατώρθωσαν νὰ φθάσουν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὁ Χάλεβ δηλαδὴ καὶ ὁ Ἰησοῦς τοῦ Ναυῆ, οἱ ὁποῖοι δὲν παρήκουσαν τοὺς λόγους τοῦ Κυρίου καὶ ἐξετέλεσαν μὲ εὐλάβειαν τὸ θέλημα τοῦ Ὑψίστου. Ὅπως δὲν εἶναι δυνατὸν μὲ χρήματα νὰ ἀγοράσῃ κανεὶς γράμματα ἢ τέχνην χωρὶς νὰ κοπιάσῃ, ἔτσι δὲν εἶναι δυνατὸν νὰ γίνῃ κανεὶς τέλειος Μοναχός, χωρὶς ἐπιμέλειαν καὶ ἐπίμονον ὑπομονήν.

Πρόσεχε λοιπόν, ἀδελφέ, σὰν καλὸς στρατιώτης καὶ μὴ ἀμελῇς διὰ τὸ χάρισμα ποὺ σοῦ ἐδόθη, μὴ τυχὸν κάποτε τιμωρηθῇς καὶ διὰ τὰ δύο, ἐπειδὴ δηλαδὴ ἐλύπησας ὡς ἀνθρώπους τοὺς κατὰ σάρκα γονεῖς σου καὶ ἐπειδὴ δὲν εὐηρέστησας τὸν Θεόν. Ἀλλὰ νὰ ἀγωνίζεσαι, ὥστε καὶ αὐτοὶ ποὺ σὲ βλέπουν νὰ δοξάσουν τὸν Θεόν, διὰ τὴν ἐνάρετον ζωήν σου· διότι εἶναι γραμμένον· «Ὅσοι σὲ φοβοῦνται, θὰ μὲ ἴδουν καὶ θὰ εὐχαριστηθοῦν» (Ψαλμ. ριη΄, 74) καὶ ἀλλοῦ, πάλιν, γράφει· «εἰς αὐτούς, ποὺ ἀγαποῦν τὸν νόμον σου ὑπάρχει εἰρήνη πολλή, καὶ δὲν εὑρίσκεται εἰς τὴν ζωήν των αἰτία σκανδάλου» (Ψαλμ. ριη΄, 165). Ἐὰν δηλαδὴ ἐγκατέλειψες τὸν κόσμον, τοὺς γονεῖς σου, τοὺς συγγενεῖς σου, καὶ φίλους καὶ Πατρίδα καὶ πλούτη χάριν τοῦ Κυρίου, ποῖον θὰ εἶναι τὸ κέρδος σου, ὅταν ἔλθῃς ἐδῶ, εἰς τὸν Μοναχικὸν βίον, διὰ νὰ σωθῇς, καὶ κάμνῃς τὰ ἀντίθετα; Καὶ τότε θὰ ἁμαρτάνῃς μὲν ἀπέναντι τοῦ Κυρίου καὶ θὰ προσβάλλῃς τὸ ὄνομα τοῦ Μοναχοῦ. Ὡς τόσον θὰ μακαρίζεσαι, χωρὶς νὰ τὸ ἀξίζῃς, ἀπὸ τοὺς ἀνθρώπους, ποὺ ἄλλοτε σὲ ἐγνώριζαν καὶ ποὺ θὰ λέγουν· καλότυχος ὁ τάδε, διότι ἐμίσησεν αὐτὸν τὸν κόσμον καὶ τὴν δόξαν του καὶ τὴν ἀπάτην του καὶ δὲν φροντίζει πλέον διὰ κανὲν γήϊνον, ἐφ' ὅσον ἔφυγε καὶ ἔγινε Μοναχός. Νά ὅμως ποὺ ἐσὺ ἐδῶ περνᾷς τὴν ζωήν σου ὄχι ὡς Μοναχός, ἀλλὰ τελείως διαφορετικά.

Ἂς σκεφθῶμεν ποία ἐντροπὴ θὰ μᾶς καταλάβῃ, ἂν αὐτοὶ ποὺ τώρα μᾶς μακαρίζουν, πορευθοῦν πρὶν ἀπὸ ἡμᾶς εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν, καὶ ἐὰν αὐτοὶ τώρα ποὺ μᾶς προσκυνοῦν καὶ μᾶς λέγουν·

* Οἱ ἐκ τῆς Αἰγύπτου ἐξελθόντες Ἰσραηλῖται ὑπελογίζοντο εἰς ἑξήκοντα μυριάδας ἤτοι ἑξακοσίας χιλιάδας ἄνδρας χωρὶς τὰς γυναῖκας καὶ τὰ παιδία.

«προσευχηθῆτε δι' ἡμᾶς τοὺς ἁμαρτωλούς, δοῦλοι τοῦ Χριστοῦ», εὑρεθοῦν τότε εἰς ἄνεσιν, ἐνῷ ἡμεῖς εἰς στενοχωρίαν διὰ τὰ σφάλματα ποὺ διεπράξαμεν. Διότι δὲν θὰ κριθῶμεν καὶ ἡμεῖς καὶ ἐκεῖνοι μὲ τὰ ἴδια κριτήρια, ὅπως λέγει (καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ)· «εἰς ὅποιον ἐδόθη περισσοτέρα χάρις, θὰ ἀπαιτηθοῦν καὶ περισσότεροι καρποί· καὶ ἐκεῖνος ποὺ γνωρίζει τὸ θέλημα τοῦ Κυρίου του καὶ δὲν τὸ κάνει, θὰ τιμωρηθῇ πολὺ» (Λουκ. ιβ', 47).

Δι' αὐτό, ἀγαπητέ, ἄς προσέξωμεν, παρακαλῶ, ἐφ' ὅσον ἀκόμη ἔχομεν καιρόν· διότι ἰδοὺ τὸ στάδιον τῶν πνευματικῶν ἀγώνων εἶναι ἀνοικτὸν εἰς ὅλους καὶ ὁ ἀγωνοθέτης παραγγέλλει, διὰ τοῦ Ἀποστόλου· «ἔτσι τρέχετε, διὰ νὰ νικήσητε· καὶ ἐκεῖνος ποὺ ἀγωνίζεται, ἀπὸ ὅλα ἐγκρατεύεται». Καὶ εἰς ἄλλο πάλιν μέρος λέγει· «κανεὶς στρατιώτης δὲν περιπλέκεται εἰς τὰς κοσμικὰς ὑποθέσεις, διὰ νὰ εἶναι εὐάρεστος εἰς αὐτὸν ποὺ τὸν ἐστρατολόγησεν· ἂν κανεὶς δὲ ἀγωνίζεται ὡς ἀθλητής, δὲν στεφανώνεται, ἂν δὲν ἀθλήσῃ νόμιμα» (Β' Τιμ. β', 5). Ἀδελφέ, γνώριζε, ὅτι ἐκεῖνος ποὺ θέλει νὰ γίνῃ Μοναχὸς καὶ δὲν ὑποφέρει προσβολὴν καὶ περιφρόνησιν καὶ ζημίαν, δὲν ἠμπορεῖ νὰ γίνῃ Μοναχός.

Ἀγαπητὲ ἀδελφέ, ἐὰν ἀρνηθῇς τὸν κοσμικὸν βίον καὶ γίνῃς Μοναχός, πρόσεχε, διότι οἱ τρόποι ποὺ χρησιμοποιεῖ ὁ ἐχθρός, διὰ νὰ σὲ παγιδεύσῃ, εἶναι πολλοί. Πρόσεχε μήπως, ἀπὸ ἀμέλειάν σου, εὕρῃ εὐκαιρίαν εἰς σὲ καί, διὰ νὰ σὲ ἀπομακρύνῃ ἀπὸ τὴν εὐθεῖαν ὁδόν, σοῦ ἐμπνεύσῃ σκέψεις ὅπως αὐταί: ἰδοὺ ἀπεμακρύνθης ἀπὸ τοὺς ἀνθρώπους καὶ ἐκάθισες μόνος σου εἰς τὸ κελλίον· καὶ λοιπὸν τί σπουδαῖον εἶναι αὐτό; μήπως καὶ τὰ θηρία δὲν ἡσυχάζουν εἰς τὰς φωλεάς των; Σὺ ὅμως, ὅταν δεχθῇς αὐτὴν τὴν ἐπίθεσιν, νὰ ἐλέγξῃς μὲ αὐστηρότητα τὸν ἐχθρὸν τῆς ψυχῆς μας καὶ νὰ τοῦ εἴπῃς: Εἴθε νὰ σὲ καταργήσῃ, διάβολε, ὁ Κύριος, διότι τὸν ἄνθρωπον, τὸν ὁποῖον ἔπλασεν ὁ Θεὸς κατ' εἰκόνα καὶ ὁμοίωσίν Του, σὺ τὸν ἐξομοιώνεις μὲ ἄγρια θηρία καὶ δὲν παύεις, ἐχθρὲ τῆς ἀληθείας καὶ πολέμιε τοῦ γένους μας, νὰ διαστρέφῃς τὰς ὀρθὰς ὁδοὺς τοῦ Κυρίου.

Ἄκουε λοιπόν, μισόκαλε, ποία εἶναι ἡ διαφορὰ μεταξὺ τοῦ κοσμικοῦ καὶ τοῦ Μοναχοῦ: Ἐκεῖνος, ποὺ θέλει νὰ γίνῃ Μοναχός, πρῶτον ἀρνεῖται τὸν κόσμον, ἔπειτα τὰ θελήματά του, σηκώνει τὸν σταυρόν του καὶ ἀκολουθεῖ τὸν Σωτῆρα ἡμῶν Χριστόν. Δὲν φιλονικεῖ, δὲν καταρᾶται, δὲν ὁρκίζεται, δὲν κακολογεῖ κανένα, δὲν καταγίνεται εἰς τὴν μελέτην φιλοσοφικῶν φλυαριῶν· ἐγκρατεύεται, δὲν σπαταλᾷ· φίλους ἔχει αὐτούς, ποὺ δουλεύουν τὸν Θεόν, ὅπως αὐτός· κανένα δὲν θεωρεῖ ἐχθρὸν τῶν ἀνθρώπων, παρὰ μόνον σέ, τὸν διάβολον. Δὲν στενοχωρεῖ κανένα, οὔτε ἀδικεῖ· μᾶλλον ὅταν ἀδικεῖται, ὑπομένει μὲ εὐχαρίστησιν· εἶναι ἀνεξίκακος. Δὲν καταλαμβάνεται ἀπὸ τὴν μανίαν τοῦ πλουτισμοῦ· διότι πῶς εἶναι δυνατὸν νὰ καταληφθῇ ἀπὸ αὐτὴν τὴν μανίαν, αὐτὸς ποὺ ἐσκόρπισε τὰ ἰδικά του, ἐξέλεξε μὲ τὴν θέλησίν του τὴν πτωχείαν, καὶ αὐτήν, ὥρα, ἔχει ὡς δόξαν καὶ καύχημα; Δὲν ἀσχολεῖται μὲ συναλλαγάς, δὲν

φροντίζει δι' οἰκίαν, οὔτε ἐνδιαφέρεται πῶς θὰ ἀρέσῃ εἰς γυναῖκα· δὲν μεριμνᾷ πῶς θὰ τακτοποιήσῃ εἰς τὸν στρατὸν τοὺς υἱούς του, ἢ πῶς θὰ ἐξεύρῃ σύζυγον διὰ τὴν θυγατέρα του· δὲν δεσμεύεται ἀπὸ περισπασμούς, ἀλλὰ παραμένει ἐλεύθερος, διὰ νὰ ἀσχολῆται συνεχῶς μὲ τὴν σωτηρίαν τῆς ψυχῆς του.

Δὲν ἐπιζητεῖ δόξαν ἀπὸ τοὺς ἀνθρώπους, οὔτε ὑπερηφανεύεται, ἀλλ' ὅσον δύναται ταπεινοφρονεῖ περισσότερον· εἶναι ὠφέλιμος καὶ συγκαταβατικὸς πρὸς ὅλους· ψάλλει καὶ δὲν ἀφήνει τὴν σκέψιν του νὰ πλανᾶται ἀσκόπως· ἀντὶ δὲ νὰ χρησιμοποιῇ αὐλοὺς καὶ τύμπανα καὶ διάφορα ἄλλα μουσικὰ ὄργανα, ἀσχολεῖται μὲ τὴν ψαλμῳδίαν καὶ τὴν προσευχήν. Ἀντὶ νὰ γελᾷ, πενθεῖ καὶ κλαίει εἰς τὸ πλέον ἀπόκρυφον σημεῖον καὶ τοῦ οἴκου καὶ τῆς ψυχῆς, ζητῶν ἀπὸ τὸν Θεὸν νὰ συγχωρήσῃ τὰς ἁμαρτίας του.

Δὲν προσεύχεται δὲ μόνον διὰ τὸν ἑαυτόν του, ἀλλὰ καὶ δι' ὅλον τὸν κόσμον. Δὲν ἀσχολεῖται μὲ ματαίας θεωρίας, ἀλλὰ μελετᾷ τὴν ζωὴν ἁγίων ἀνδρῶν. Δὲν ἁπλώνει τὰ χέρια του πρὸς χαρτοπαιξίαν, ποὺ ἐρημώνει τὰ σπίτια καὶ τὰς ψυχὰς ὅσων εὐχαριστοῦνται εἰς αὐτήν, ἀλλὰ εἰς τὴν κατὰ Θεὸν ἐργασίαν, καὶ τὴν ἀνάγνωσιν τῶν θείων Γραφῶν. Δὲν μεριμνᾷ διὰ γονεῖς, συγγενεῖς καὶ τὰ διάφορα γήϊνα πράγματα· ἐνθυμεῖται διαρκῶς τὴν μέλλουσαν κρίσιν καὶ τὰς ὑποσχέσεις τοῦ Σωτῆρος· καὶ μὲ αὐτὰς τὰς σκέψεις ἀναθερμαίνεται ὁ ἐσωτερικός του κόσμος, διώχνει μακράν του τὴν λύπην, τὴν ἀποχαύνωσιν· τοῦ ἔρχεται σωματικὴ ἀρρώστεια καὶ χαίρεται, διότι πλησιάζει ὁ στέφανος.

Ἀντιστέκεται ἐναντίον ὅλων τῶν σωματικῶν ἡδονῶν, φέρων εἰς τὸν νοῦν του τὴν πικρίαν τῶν αἰωνίων κολάσεων, ποὺ ἀναμένουν αὐτοὺς ποὺ ἐπιζητοῦν τὰς ἡδονάς. Εὐλογεῖ ἐκείνους ποὺ τὸν ἐμπαίζουν, παρακαλεῖ δι' αὐτοὺς ποὺ τὸν βλασφημοῦν, μακροθυμεῖ ἀπέναντι ἐκείνων, ποὺ τὸν συκοφαντοῦν· ὑποφέρει ἀγογγύστως τὰ διάφορα βάσανα, παρηγορούμενος ἀπὸ τὴν ἐνθύμησιν τῶν παθημάτων τοῦ Σωτῆρος. Αὐτὰ καὶ περισσότερα καὶ ἀπὸ αὐτὰ μεγαλύτερα εἶναι τὰ ἔργα τοῦ πραγματικοῦ Μοναχοῦ. Καὶ πῶς, σὺ διάβολε, ποὺ μισεῖς τὸν ἄνθρωπον καὶ τὸ καλόν, ἐξομοιώνεις μίαν τοιαύτην ζωὴν πρὸς τὴν κοσμικὴν ζωήν; Φύγε λοιπὸν μακρὰν ἀπὸ ἐμέ, πονηρέ· ὁ Κύριος σὲ διατάσσει, δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, (ὥστε νὰ δυνηθῶ) νὰ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου.

Ἔτσι λοιπόν, ἀγαπητέ μου, νὰ ἀντιστέκεσαι εἰς ἐκεῖνον, ποὺ σοῦ ἐμπνέει τοιαύτας σκέψεις, καὶ θὰ φύγῃ ἀπὸ κοντά σου, μὲ τὴν βοήθειαν τῆς θείας Χάριτος.

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΟΥΑΙ ἡμῖν, ὅτι τὸ ἐν ἀκαθαρσίας μαινόμενον σῶμα ἡμῶν οἱ φιλόχριστοι τῶν ἀνθρώπων προσκυνοῦσι καὶ κατασπάζονται· ἡμεῖς δὲ ἐσμὲν τάφοι κεκονιαμένοι, τὴν θανατηφόρον ἁμαρτίαν ἐξόζοντες· οὐαὶ ἡμῖν, ὅτι μωροὶ ὄντες καὶ ἄφρονες, τοὺς ἐπαίνους τῶν ἁγίων καὶ οὐ τὰς ἐργασίας αὐτῶν ἀγαπῶμεν καὶ ἁρπάζομεν· καὶ ρυ-

ποῦντες ἀεὶ τὰς ψυχὰς ἡμῶν τοῖς ἀκαθάρτοις λογισμοῖς, ὑπονοίας ἔχειν ἁγίων καὶ ταῖς προσηγορίαις ἐκείνων τιμᾶσθαι βουλόμεθα.

Ἑ ρ μ η ν ε ί α

ΑΛΛΟΙΜΟΝΟΝ ΜΑΣ, διότι τὸ σῶμα μας ποὺ μολύνεται ἀπὸ ἀκαθαρσίας, προσκυνοῦν καὶ κατασπάζονται οἱ φιλόχριστοι ἄνθρωποι· ἡμεῖς ὅμως εἴμεθα τάφοι ὡραιοκτισμένοι ἐξωτερικὰ ποὺ ἀναδίδομεν τὴν δυσωδίαν τῆς θανατηφόρου ἁμαρτίας. Ἀλλοίμονόν μας, διότι ἐνῷ εἴμεθα ἀνόητοι καὶ ἀπερίσκεπτοι, ἀγαπῶμεν ὄχι τὰς ἐργασίας τῶν ἁγίων, ἀλλὰ τοὺς ἐπαίνους, καὶ σπεύδομεν νὰ τοὺς ἁρπάξωμεν· Ἐνῷ δὲ ρυπαίνομεν συνεχῶς τὰς ψυχάς μας μὲ λογισμοὺς ἀκαθάρτους, θέλομεν νὰ θεωρούμεθα ἅγιοι καὶ νὰ τιμώμεθα μὲ τοὺς ἐπαινετικοὺς τίτλους ἐκείνων.

Ε'. Τοῦ Ἀββᾶ Μάρκου

ΓΙΝΩΣΚΕ, ἀδελφέ, ὅτι ὁ μὴ ἑαυτὸν τελείως τῷ σταυρῷ ἐπιδιδοὺς ἐν φρονήματι ταπεινώσεως καὶ ἐξουδενώσεως, καὶ ρίψας ἑαυτὸν ὑπὸ πάντων καταπατεῖσθαι καὶ καταφρονεῖσθαι, ἀδικεῖσθαί τε, καταγελᾶσθαι καὶ χλευάζεσθαι, καὶ ταῦτα πάντα μετὰ χαρᾶς διὰ τὸν Κύριον ὑπομένων, καὶ μὴ ἐκδικῶν ὅλως τὰ ἀνθρώπινα, δόξαν ἢ τιμήν, ἢ ἔπαινον, ἢ ἡδονὴν βρώσεως, ἢ πόσεως, ἢ ἐνδύματος, Μοναχὸς ἀληθινὸς γενέσθαι οὐ δύναται.

Τοιούτων οὖν ἡμῖν ἀγώνων καὶ ἄθλων καὶ στεφάνων προκειμένων, μέχρι πότε ἡμεῖς ὑπὸ τῆς ἐσχηματισμένης εὐσεβοῦς μορφώσεως διαχλευαζόμεθα, μετὰ ἐπιθέσεως τῷ Κυρίῳ δουλεύοντες, ἄλλο τοῖς ἀνθρώποις νομιζόμενοι, καὶ ἄλλο τῷ τὰ κρυπτὰ γινώσκοντι φαινόμενοι; Ἅγιοι γὰρ παρὰ πολλῶν νομιζόμενοι, ἄγριοι τὸ ἦθος ἀκμὴν τυγχάνομεν, μόρφωσιν εὐσεβείας ἀληθοῦς ἔχοντες, τὴν δὲ δύναμιν αὐτῆς ἐνώπιον τοῦ Θεοῦ μὴ κεκτημένοι· ἐν τῇ νομιζομένῃ τοῦ ἔξωθεν ἀνθρώπου δικαιοσύνῃ στηριζόμενοι, καὶ τοῖς φαινομένοις ἐπιτηδεύμασι τοῖς ἀνθρώποις ἀρέσκειν βουλόμενοι, καὶ τὰς παρ' αὐτῶν τιμὰς καὶ ἐπαίνους θηρώμενοι, τὴν δὲ κατὰ συνείδησιν πολιτείαν ὅλως ἀγνοοῦντες. Παρθένοι καὶ ἁγνοὶ παρὰ πολλῶν νομιζόμενοι, καὶ παρὰ τῷ κατανοοῦντι τὰ κρυπτὰ ἐν ἀκαθαρσίαις συγκαταθέσεως λογισμῶν πορνικῶν ἔνδοθεν μολυνόμενοι, καὶ ταῖς ἐνεργείαις τῶν παθῶν βορβορούμενοι· καὶ διὰ τὴν ἐσχηματισμένην ἡμῶν ἄσκησιν, ἔτι καὶ τοῖς ἐπαίνοις τῶν ἀνθρώπων ὑπτιούμενοι καὶ τὸν νοῦν ἐκτυφλούμενοι.

Ἥξει πάντως ὁ τὰ κρυπτὰ τοῦ σκότους ἀποκαλύπτων, καὶ φανερῶν τὰς βουλὰς τῶν καρδιῶν, ὁ ἀπαραλόγιστος δικαστής, ὁ τὸ σχῆμα τὸ ἔξωθεν περιαιρῶν, καὶ τὴν ἀλήθειαν τὴν ἔνδοθεν κεκρυμμένην φανερῶν· ὃς τοὺς οὕτω καθ' ὑπόκρισιν πολιτευσαμένους, ἐπὶ τῆς ἄνω Ἐκκλησίας τῶν ἁγίων καὶ πάσης τῆς ἐπουρανίου στρατιᾶς θριαμβεύσει, καὶ δεινῶς αἰσχυνομένους εἰς τὸ ἐξώτερον παραπέμψει σκότος, κατὰ τὰς μωρὰς ἐκείνας παρθένους, αἵτινες τὴν μὲν ἔξωθεν τοῦ σώματος παρθενίαν ἐφύλαξαν (περὶ γὰρ ταύτης οὐδὲν ἐνεκλήθησαν, ἀλλὰ καὶ ἔλαιον μερικῶς ἐν τοῖς ἀγγείοις εἶχον, τουτέστιν ἀρετῶν τινων τῶν φαινομένων καὶ κατορθωμάτων ἐτύγχανον μέτοχοι· διὸ καὶ αἱ λαμπάδες αὐτῶν ἧπτον μέχρι τινός), διὰ δὲ ἀμέ-

λειαν καὶ ἄγνοιαν καὶ ῥαθυμίαν, πρόνοιαν οὐκ ἐποιήσαντο καὶ τὸν κρυπτόμενον ἔσωθεν τῶν παθῶν ἐσμὸν καθᾶραι, ἀλλ' ὑπὸ τῶν ἀντικειμένων ἐνεργειῶν ἐφθείροντο αὐτῶν τὰ νοήματα, καὶ ἐν τῇ τῶν λογισμῶν συγκαταθέσει ἐκοινώνουν αὐτοῖς· διὸ καὶ τοιούτου τέλους ἔτυχον, νυμφίου χαρᾶς στερηθεῖσαι, καὶ νυμφῶνος ἐπουρανίου ἀποκλεισθεῖσαι.

Ταῦτα οὖν λογιζόμενοι καὶ διακρίνοντες καὶ δοκιμάζοντες, γνῶμεν ἐν τίσιν ἐσμέν, ἵνα ὡς ἔτι καιρὸν μετανοίας ἔχομεν, ἑαυτοὺς διορθωσώμεθα, ὅπως τὰ καλὰ ἡμῶν ἔργα καθαρῶς ἐπιτελούμενα, καὶ σαρκικῷ φρονήματι μὴ ἐπιμιγνύμενα, τῷ ἐπουρανίῳ ἀρχιερεῖ Χριστῷ εὐπρόσδεκτα γένηται, καὶ μὴ ἀπόβλητα ὡς θυσία ἐπίμωμος.

Ἑρμηνεία

(ΓΝΩΡΙΖΕ, ἀδελφέ, ὅτι ἐκεῖνος ὁ ὁποῖος δὲν παραδίδει τελείως τὸν ἑαυτόν του ἵνα σταυρωθῇ μὲ ταπείνωσιν καὶ περιφρόνησιν τοῦ ἑαυτοῦ του, ὁ ὁποῖος δὲν ἐξουθενώνει τόσον πολὺ τὸν ἑαυτόν του ὥστε ἀπὸ ὅλους νὰ καταπατῆται καὶ νὰ περιφρονῆται καὶ νὰ ἀδικῆται καὶ νὰ περιγελᾶται καὶ νὰ ἐμπαίζεται, καὶ ὅλα αὐτὰ νὰ τὰ δέχεται μὲ χαρὰν καὶ ὑπομονὴν διὰ τὸν Κύριον, ὁ ὁποῖος δὲν περιφρονεῖ ὅλας τὰς ἐπιθυμίας τῶν ἀνθρώπων, ἤτοι δόξαν, ἢ τιμήν, ἢ ἔπαινον, ἢ ἡδονικὰ φαγητὰ ἢ ποτὰ ἢ ἐνδύματα, δὲν εἶναι δυνατὸν νὰ γίνῃ ἀληθινὸς Μοναχός.)

Ὅταν λοιπὸν παρουσιάζωνται ἐνώπιόν μας τέτοιοι ἀγῶνες, καὶ βραβεῖα καὶ στέφανοι, μέχρι πότε θὰ ἐμπαιζώμεθα ἀπὸ τὴν προσποιητὴν εὐσεβῆ μόρφωσιν, δουλεύοντες μὲ δόλον τὸν Κύριον, θεωρούμενοι ἀπὸ τοὺς ἀνθρώπους διαφορετικοὶ ἀπὸ ἐκεῖνοι ποὺ εἴμεθα πράγματι καὶ διαφορετικοὶ ἐμφανιζόμενοι ἐνώπιον Ἐκείνου, ποὺ γνωρίζει τὰ κρυπτὰ τῶν ἀνθρώπων; Διότι ἐνῷ θεωρούμεθα ὡς ἅγιοι ἀπὸ τοὺς πολλούς, εἴμεθα ἀκόμη κατὰ τὸ ἦθος ἄγριοι, ἔχοντες μόρφωσιν πραγματικῆς εὐσεβείας, χωρὶς ὅμως νὰ ἔχωμεν ἀποκτήσει ἐνώπιον τοῦ Θεοῦ τὴν δύναμίν της.

Στηριζόμεθα εἰς τὴν ἐξωτερικὴν δικαιοσύνην τοῦ ἀνθρώπου, θέλοντες νὰ ἀρέσωμεν εἰς τοὺς συνανθρώπους μας μὲ φαινομενικὰς καλωσύνας, προκειμένου νὰ ἐπιδιώκωμεν τὰς τιμὰς καὶ τοὺς ἐπαίνους των, ἐνῷ ἀγνοοῦμεν καθ' ὁλοκληρίαν τὴν κατὰ συνείδησιν ἐσωτερικὴν ζωὴν τῆς ἀρετῆς. Ἀπὸ τοὺς πολλοὺς θεωρούμεθα ὡς παρθένοι καὶ ἁγνοί· δι' Ἐκεῖνον ὅμως, ποὺ γνωρίζει τὰ κρυπτά, εἴμεθα μολυσμένοι, εἰς τὴν ψυχήν, ἀπὸ τὴν συγκατάθεσιν εἰς τοὺς πορνικοὺς λογισμοὺς καὶ ἀπὸ τὰς ἐνεργείας τῶν παθῶν. Ἐξ αἰτίας δὲ τῆς προσποιητῆς αὐτῆς ἀσκήσεως καὶ ἀκόμη ἀπὸ τοὺς ἐπαίνους τῶν ἀνθρώπων, πίπτομεν κάτω καὶ τυφλώνεται ὁ νοῦς μας.

Θὰ ἔλθῃ ὅμως ὁπωσδήποτε Ἐκεῖνος, ποὺ ἀποκαλύπτει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώνει τὰς διαθέσεις τῶν καρδιῶν μας, ὁ ἀλάνθαστος δικαστής, Ἐκεῖνος, ποὺ ἀφαιρεῖ τὴν ἐξωτερικὴν ἐμφάνισιν καὶ παρουσιάζει τὴν ἐσωτερικὴν ἀλήθειαν. Αὐτός, ὅσους ἐπολιτεύθησαν μὲ ὑποκρισίαν, θὰ τοὺς ἀποκαλύψῃ ἐπάνω εἰς τὴν ἐπουράνιον Ἐκκλησίαν, ἐνώ-

πιον τῶν ἁγίων καὶ ὁλοκλήρου τῆς ἐπουρανίου στρατιᾶς. Καὶ ἐνῷ οὗτοι θὰ ἐντρέπωνται φοβερά, θὰ τοὺς ἐξαποστείλη εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπως καὶ τὰς ἀπερισκέπτους ἐκείνας νέας, ποὺ ἐφύλαξαν μὲν τὴν ἐξωτερικὴν παρθενίαν τοῦ σώματος (ἄλλωστε οὐδόλως κατηγορήθησαν δι' αὐτήν, ἀλλὰ καὶ εἰς τὰ δοχεῖα των εἶχον ὀλίγον ἔλαιον, δηλαδὴ διέθετον μερικὰς ἀρετὰς καὶ μερικὰ κατορθώματα, ἀπὸ ὅσα φαίνονται εἰς τοὺς ἀνθρώπους· δι' αὐτὸ καὶ αἱ λαμπάδες των ἤναπτον δι' ὀλίγον), πλὴν ὅμως, ἀπὸ ἀμέλειαν, ἄγνοιαν καὶ ραθυμίαν δὲν ἐφρόντισαν νὰ καθαρίσουν καὶ τὸ πλῆθος τῶν παθῶν, ποὺ ἐκρύπτοντο εἰς τὸ ἐσωτερικὸν τῆς ψυχῆς των, δι' αὐτὸ καὶ ἐφθείροντο σιγὰ - σιγά, ἀπὸ διαβολικὰς ἐνεργείας, τὰ νοήματά των, καὶ ἐπεκοινώνουν μὲ αὐτὰς διὰ τῆς συγκαταθέσεως μὲ τοὺς λογισμούς των. Ἐξ αἰτίας δὲ αὐτῆς τῆς πνευματικῆς ἀδρανείας ἔτυχον τοιούτου τέλους, νὰ στερηθοῦν τὴν χαρὰν τοῦ Νυμφίου καὶ νὰ ἀποκλεισθοῦν ἀπὸ τὸν ἐπουράνιον Νυμφῶνα (Ματθ. κε', 1—13).

Αὐτὰ λοιπὸν ἂς σκεπτώμεθα, ἂς διακρίνωμεν καὶ ἂς δοκιμάζωμεν, διὰ νὰ ἀντιληφθῶμεν εἰς ποίαν κατάστασιν εὑρισκόμεθα καὶ νὰ διορθωθῶμεν, ἐν ὅσῳ ἔχομεν καιρὸν μετανοίας, ὁπόταν τὰ καλά μας ἔργα πραγματοποιούμενα μετὰ ψυχικῆς καθαρότητος, καὶ μὴ μολυνόμενα ἀπὸ τὸ σαρκικὸν φρόνημα θὰ γίνουν εὐπρόσδεκτα ἀπὸ τὸν ἐπουράνιον Ἀρχιερέα Χριστόν, χωρὶς νὰ ἀπορριφθοῦν ὡς ἁμαρτωλὴ θυσία.

ΣΤ'. Τοῦ Ἀββᾶ Κασσιανοῦ, ἐκ τῆς παραινέσεως τοῦ Ὁσίου Πατρὸς Πινουφρίου, ἣν πρός τινα ἀποτασσόμενον πεποίηται

ΑΔΕΛΦΕ, ἔγνως πόσον χρόνον πρὸ τῶν θυρῶν διατελέσας, σήμερον προσεδέχθης; ἐπίγνωθι τοίνυν ὅτι τούτου χάριν ἀνεβαλλόμεθα τοῦ δέξασθαί σε· οὐχ ὅτι τῆς σωτηρίας σου καὶ πάντων τῶν εἰς Χριστὸν ἐπιστρεφόντων οὐκ ἐπιποθοῦμεν, ἀλλ' ἵνα μὴ προπετῶς καὶ ὡς ἔτυχεν ὑποδεχόμενοι, ἡμεῖς μὲν παρὰ Θεῷ κουφότητος καὶ εὐχερείας δίκας ὑφέξομεν, σὲ δὲ ὑπεύθυνον βαρυτέρας τιμωρίας ποιήσωμεν, εἰ πρὸς τὸ παρὸν προπετῶς ὑποδεχθείς, καὶ μὴ μαθὼν τὸ βάρος καὶ τὴν ἀκρίβειαν τοῦ ἐπαγγέλματος, μετὰ ταῦτα χαῦνος καὶ ῥάθυμος ἀποδειχθείης. Ὥς περ γὰρ τοῖς πιστῶς δουλεύουσι τῷ δεσπότῃ δόξα καὶ τιμὴ πρὸς τὸ μέλλον ἐπήγγελται, οὕτω τιμωρίαι βαρύταται ἑτοιμάζονται τοῖς χλιαρῶς καὶ ῥαθύμως προσερχομένοις ταύτῃ τῇ πολιτείᾳ. Βέλτιον γάρ ἐστι, κατὰ τὴν γραφήν, μὴ εὔξασθαι, ἢ εὔξασθαι καὶ μὴ ἀποδοῦναι· καὶ πάλιν εἴρηται· «ἐπικατάρατος ὁ ποιῶν τὸ ἔργον τοῦ Κυρίου ἀμελῶς». Διὰ τοῦτο πρὸ πάντων ὀφείλεις μαθεῖν τὴν αἰτίαν τῆς ἀποταγῆς· ἐὰν γὰρ ταύτην καταλάβῃς, δύνασαι γνῶναι καὶ τί σε δεῖ ποιεῖν.

Ἡ ἀποταγὴ οὐδὲν ἄλλο καθέστηκεν, εἰμὴ σταυροῦ καὶ θανάτου ἐπαγγελία· γίνωσκε οὖν ὅτι ἀπὸ τῆς σήμερον ἡμέρας τεθνηκέναι σε καὶ ἐσταυρῶσθαι τῷ κόσμῳ καὶ τὸν κόσμον σοι, κατὰ τὸν Ἀπόστολον· καὶ καταμάνθανε τίς ἡ δύναμις τῆς σταυ-

ρώσεως, ἐπειδὴ οὐκέτι λοιπὸν σὺ ζῇς, ἀλλ' ἐκεῖνος ἐν σοὶ ζῇ ὁ ὑπὲρ σοῦ σταυρωθείς. Τούτῳ τοίνυν τῷ τύπῳ καὶ τῷ σχήματι, ᾧ ὁ δεσπότης ὑπὲρ ἡμῶν ἐκρεμάσθη, καὶ ἡμᾶς ὁμοίως ἐπάναγκές ἐστιν ἐν τῷ βίῳ τούτῳ διάγειν, καθὼς εὔχεται ὁ μακάριος Δαβὶδ ἐκ τοῦ φόβου τοῦ Θεοῦ παρακαλῶν καθηλωθῆναι τὰς σάρκας αὐτοῦ.

Ὡς γὰρ ὁ τὸ σῶμα ἔχων καθηλωμένον ἐν τῷ ξύλῳ ἀκίνητός ἐστι πρὸς πᾶσαν ἐργασίαν, ἣν ἂν ἐθέλοι, οὕτως ὁ τῷ θείῳ φόβῳ ἔχων τὸν λογισμόν, ἀκίνητός ἐστι πρὸς πᾶν θέλημα σαρκικόν· καὶ ὥς περ ὁ σταυρῷ προσηλωμένος οὐκέτι τὰ παρόντα λογίζεται, οὔτε τοῖς ἰδίοις θελήμασι συνδιατίθεται, οὐχ ἐπιθυμίᾳ ταράσσεται, οὐ φροντίδι τοῦ κτᾶσθαι κατατέμνεται, οὐχ ὑπερηφανίᾳ φυσιοῦται, οὐ φιλονεικίᾳ, οὐ φθόνῳ ἐξάπτεται, οὐ περὶ τῶν παρουσῶν ἀτιμιῶν ἀλγεῖ, οὐ τὰς παρελθούσας ὕβρεις ἀναλογίζεται (μικρὸν γὰρ ὕστερον τὴν ἐκ τοῦ βίου ἔξοδον προσδέχεται διὰ τοῦ σταυροῦ), οὕτως ὁ ἀποταξάμενος γνησίως τῷ κόσμῳ, καὶ τῷ θείῳ φόβῳ ὡς ἐν σταυρῷ προσηλωμένος, καὶ τὴν ἐκ τοῦ βίου τούτου μετάστασιν καθ' ἑκάστην ἐκδεχόμενος, ἀκινήτους καὶ ἀνενεργήτους ἔχει πάσας τὰς ἐπιθυμίας καὶ τὰς σαρκικὰς διαθέσεις.

Φυλάττου τοιγαροῦν μήποτε τούτων ἀναλαβεῖν ἐπιθυμήσῃς, ὧν ἀποτασσόμενος ἀποβέβληκας· κατὰ γὰρ τὴν ἀπόφασιν τοῦ δεσπότου «ὁ βαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, οὐκ εὔθετός ἐστιν ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν»· καὶ ὁ πρὸς τὰ ταπεινά τε καὶ γήϊνα τοῦ κόσμου τούτου πράγματα ἀπὸ τῆς ὑψηλῆς πολιτείας καταβαίνων πάλιν, παρ' ἐντολὴν τοῦ Χριστοῦ πράττει, τοῦ δώματος καταβαίνων, καὶ ἆραί τι τῶν τοῦ οἴκου ἐπιχειρῶν.

Φυλάττου, μήποτε τὴν ὑπερηφανίαν, ἣν νῦν ἀρχόμενος τῇ θέρμῃ τῆς ταπεινώσεως κατεπάτησας, ἀνεγείρῃς αὖθις κατὰ σεαυτοῦ, ὅταν τὸ ψαλτήριον μάθῃς ἤ τινα τῆς γραφῆς, καὶ κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν, ἃ κατέλυσας πάλιν οἰκοδομῶν, παραβάτην ἑαυτὸν ἀποδείξῃς· ἀλλὰ μᾶλλον ὡς ἐνήρξω καὶ ὡμολόγησας τὴν ταπείνωσιν ἐνώπιον Θεοῦ καὶ Ἀγγέλων, ἕως τέλους διατήρησον.

Ὁμοίως τὴν ὑπομονήν, ἣν ἐπεδείξω ἵνα δεχθῇς ἐν τῷ Μοναστηρίῳ, ἐπὶ πολλὰς ἡμέρας πρὸ τῶν θυρῶν διακαρτερῶν, καὶ μετὰ δακρύων ἱκετεύων, σπούδασον ἐπαυξῆσαι· ἄθλιον γὰρ ὄντως ὀφείλοντά σε καθ' ἑκάστην προστιθέναι τῇ πρώτῃ θέρμῃ, καὶ ἐπὶ τὸ τέλειον ἀναβαίνειν, ἀφαιρεῖν ἀπ' αὐτῆς, καὶ πρὸς τὰ κάτω ἐπαναλύειν. Οὐ γὰρ ὁ ἐναρξάμενος τοῦ καλοῦ μακάριος, ἀλλ' ὅς τις ἕως τέλους ἐν τούτῳ διαμεμένηκεν· ὁ γὰρ ἐπὶ γῆς συρόμενος ὄφις τὴν ἡμετέραν ἀεὶ τηρεῖ πτέρναν, τουτέστι τῇ ἡμετέρᾳ ἐξόδῳ ἀεὶ ἐπιβουλεύει· καὶ ἕως τέλους τῆς ζωῆς ἡμῶν ὑποσκελίζειν ἡμᾶς ἐπιχειρεῖ· καὶ τούτου χάριν τὸ ἐνάρξασθαι καλῶς οὐδὲν ὠφελήσει, οὐδὲ ἡ ἀρχὴ τῆς ἀποταγῆς καὶ θερμότης, εἰ μὴ καὶ τὸ τέλος ὡσαύτως γένηται· καὶ ἡ τοῦ Χριστοῦ δὲ ταπείνωσις, ἣν ἐνώπιον αὐτοῦ νῦν ἐπηγγείλω, οὐκ ἄλλως βεβαιωθήσεται, εἰ μὴ ἕως τέλους ταύτην ἐπιδείξῃ.

Εἰ οὖν κατὰ τὴν γραφὴν προσῆλθες δουλεύειν Θεῷ, ἑτοίμασον τὴν καρδίαν σου μὴ πρὸς ἀνέσεις καὶ τέρψεις, ἀλλὰ πρὸς πειρασμοὺς καὶ θλίψεις· «διὰ πολλῶν γὰρ θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν· καὶ στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν». Πρόσχες οὖν τοῖς ὀλίγοις καὶ καλοῖς, καὶ ἐκ παραδείγματος αὐτῶν κανόνιζε τὸν σεαυτοῦ βίον· μὴ πρόσχῃς τοῖς ῥαθύμοις καὶ καταφρονηταῖς κἂν πολλοὶ ὦσι· «πολλοὶ γάρ, φησι, κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί»· καὶ μικρὸν τὸ ποίμνιον, ᾧ εὐδόκησεν ὁ

πατὴρ δοῦναι τὴν Βασιλείαν· μὴ μικρὸν γὰρ νόμιζε εἶναι ἁμάρτημα, ἐπαγγέλλεσθαι τελειότητα, καὶ τοῖς ἀμελεστέροις καὶ ραθύμοις ἀκολουθεῖν.

Ἑρμηνεία

† ΑΔΕΛΦΕ, ἔχεις ὑπ' ὄψιν σου πόσον χρόνον προηγουμένως παρέμεινες ἐμπρὸς εἰς τὰς θύρας τοῦ Μοναστηρίου πρὶν σήμερον μόλις γίνῃς δεκτός; Ἐννόησον λοιπόν, ὅτι ἀνεβάλλομεν νὰ σὲ δεχθῶμεν διὰ τὸν ἑξῆς λόγον· ὄχι διότι δὲν ποθοῦμεν μὲ ὅλην μας τὴν καρδίαν τὴν σωτηρίαν σου, καθὼς καὶ ὅλων ὅσοι ἐπιστρέφουν εἰς τὸν Χριστόν, ἀλλὰ ἡμεῖς μὲν νὰ μὴ δώσωμεν λόγον ἐνώπιον τοῦ Θεοῦ δι' ἐπιπολαιότητα καὶ ἐλαφρόνοιαν, ἐὰν σὲ ἐδεχώμεθα ἀσυλλόγιστα καὶ χωρὶς δοκιμήν, σὲ δὲ νὰ καταστήσωμεν ὑπεύθυνον βαρυτέρας τιμωρίας, ἐὰν ἤθελες φανῇ εἰς τὸ μέλλον ἀμελὴς καὶ ἀδιάφορος, ὅταν θὰ ἐγίνεσο ἀμέσως δεκτός, χωρὶς σοβαρὰν σκέψιν καὶ πρὶν μάθῃς τὸ βάρος καὶ τὰς εὐθύνας τῆς μοναχικῆς ὑποσχέσεως.

Διότι ὅπως ἀκριβῶς ἔχουν δοθῆ ὑποσχέσεις δόξης καὶ τιμῆς εἰς τὸ μέλλον δι' ὅσους ὑπηρετοῦν μετὰ πίστεως τὸν Δεσπότην, τοιουτοτρόπως ἑτοιμάζονται καὶ βαρύταται τιμωρίαι δι' ἐκείνους, ποὺ προσέρχονται εἰς τὴν μοναχικὴν αὐτὴν πολιτείαν μὲ χλιαρότητα καὶ ραθυμίαν. Διότι εἶναι πολὺ προτιμότερον, κατὰ τὴν Ἁγίαν Γραφήν, νὰ μὴ τάξῃ ὁ ἄνθρωπος εἰς τὸν Θεόν, παρὰ νὰ τάξῃ καὶ νὰ μὴ ἐκπληρώσῃ τὸ τάξιμόν του (Ἐκκλ. ε', 4).

Ἀλλοῦ πάλιν ἔχει λεχθῆ· «ὑπὸ κατάραν θὰ εὑρίσκεται ἐκεῖνος, ποὺ ἐκτελεῖ μὲ ἀμέλειαν τὸ ἔργον τοῦ Κυρίου» (Ἱερεμ. λα', 10). Δι' αὐτὸ πρέπει προηγουμένως νὰ μάθῃς τὴν αἰτίαν τῆς φυγῆς σου ἀπὸ τὴν κοσμικὴν ζωήν· διότι μόνον ἐὰν τὴν ἀντιληφθῇς καλῶς, θὰ ἠμπορέσῃς νὰ μάθῃς καὶ τί πρέπει νὰ κάνῃς.

Ἡ ἄρνησις τοῦ κόσμου τίποτε ἄλλο δὲν εἶναι, παρὰ ὑπόσχεσις θυσίας, τὴν ὁποίαν συμβολίζει ὁ σταυρός, καὶ θανάτου· γνώριζε λοιπόν, ὅτι ἀπὸ τὴν σημερινὴν ἡμέραν ἔχεις ἀποθάνει καὶ ὅτι ὁ κόσμος ἔχει σταυρωθῆ διὰ σέ, καθὼς καὶ σὺ διὰ τὸν κόσμον, ὅπως λέγει καὶ ὁ Ἀπόστολος· καὶ μάθε ἀκόμη πολὺ καλὰ ποία εἶναι ἡ δύναμις τῆς σταυρώσεως, ἀφοῦ πλέον δὲν ζῇς σύ, ἀλλὰ μέσα εἰς σὲ ζῇ Ἐκεῖνος, ποὺ ἐσταυρώθη διὰ σέ. Μὲ αὐτὸν λοιπὸν τὸν τύπον καὶ τὸ σχῆμα, μὲ τὸ ὁποῖον ὁ Δεσπότης ἐκρεμάσθη χάριν ὅλων ἡμῶν, εἶναι ἀνάγκη καὶ ἡμεῖς ἐντελῶς καθ' ὅμοιον τρόπον νὰ ζήσωμεν εἰς τὸν κόσμον αὐτόν, ὅπως εὔχεται ὁ μακάριος Δαυῒδ παρακαλῶν νὰ σταυρωθοῦν αἱ σάρκες του ἀπὸ τὸν φόβον τοῦ Θεοῦ (Ψαλμ. ριη', 120).

Διότι ὅπως αὐτός, ποὺ ἔχει καρφωμένον τὸ σῶμα του ἐπάνω εἰς τὸ ξύλον, δὲν δύναται νὰ κινηθῇ διὰ νὰ κάμῃ ὅποιαν ἐργασίαν θέλει, τοιουτοτρόπως καὶ ἐκεῖνος ποὺ ἔχει αἰχμαλωτισμένον τὸν λογισμόν του ἀπὸ τὸν φόβον τοῦ Θεοῦ δὲν ἠμπορεῖ νὰ κινηθῇ διὰ νὰ ἐκτελέσῃ τὰς διαφόρους σαρκικὰς ἐπιθυμίας. Καὶ ὅπως ἀκριβῶς ὅποιος εἶναι προσηλωμέ-

νος ἐπάνω εἰς ἕνα σταυρὸν δὲν σκέπτεται πλέον τὰ παρόντα οὔτε παρασύρεται ἀπὸ τὰ θελήματά του, οὔτε ἀπὸ ἐπιθυμίαν ταράσσεται, οὔτε βασανίζεται ἀπὸ τὴν φροντίδα νὰ ἀποκτήσῃ περιουσίαν, οὔτε φουσκώνει ἀπὸ ὑπερηφάνειαν, οὔτε ἐξάπτεται ἀπὸ φθόνον καὶ φιλονεικίαν, οὔτε διὰ τὰς ἀτιμίας αὐτοῦ τοῦ κόσμου πονεῖ οὔτε σκέπτεται τὰς ὕβρεις καὶ τὰς προσβολὰς ποὺ ἐπέρασε (διότι περιμένει, μετὰ ἀπὸ ὀλίγον, νὰ φύγῃ ἀπὸ τὸν κόσμον αὐτόν, μὲ τὸν σταυρικὸν θάνατον), ἔτσι καὶ αὐτὸς ποὺ ἠρνήθη πραγματικὰ τὸν κόσμον καὶ προσηλώθη εἰς τὸν θεῖον φόβον, ὅπως ἐπάνω εἰς ἕνα σταυρόν, καὶ καθημερινῶς ἀναμένει τὴν ἀναχώρησίν του ἀπὸ αὐτὸν τὸν κόσμον, ἔχει ἀκινητοποιήσει καὶ ἀδρανήσει ὅλας του τὰς ἐπιθυμίας καὶ σαρκικὰς διαθέσεις.

Πρόσεξε λοιπὸν μὴ τυχὸν ἐπιθυμήσῃς νὰ πάρῃς κάτι ἀπὸ ὅσα ἐπέταξες μακράν σου, ὅταν ἐγκατέλειψες τὸν κόσμον. Διότι συμφώνως μὲ τὴν ἀπόφασιν τοῦ Δεσπότου, ποὺ λέγει «ὅποιος βάλει τὸ χέρι του εἰς τὸ ἄροτρον καὶ γυρίσει πρὸς τὰ ὀπίσω, δὲν εἶναι κατάλληλος διὰ τὴν Βασιλείαν τῶν οὐρανῶν» (Λουκ. θ΄, 62), καὶ ἐκεῖνος ποὺ θὰ κατέλθῃ καὶ πάλιν πρὸς τὰ ταπεινὰ καὶ γήϊνα πράγματα αὐτοῦ τοῦ κόσμου, τὸ κάνει παρὰ τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ ὁμοιάζει μὲ ἐκεῖνον ποὺ καταβαίνει ἀπὸ τὴν στέγην καὶ ἐπιχειρεῖ νὰ πάρῃ κάτι ἀπὸ τὰ πράγματα τῆς οἰκίας.

Πρόσεξε μὴ τυχὸν ὀρθώσῃς καὶ πάλιν ἐναντίον σου τὴν ὑπερηφάνειαν, τὴν ὁποίαν κατεπάτησας εἰς τὴν ἀρχήν, μὲ τὴν θέρμην τῆς ταπεινώσεως, ἐξ αἰτίας τοῦ ψαλτηρίου ποὺ ἔμαθες, ἢ τῶν ἐλαχίστων τῆς Ἁγίας Γραφῆς, ὁπόταν, τότε, σύμφωνα μὲ τοὺς λόγους τοῦ Ἀποστόλου, θὰ ἀποδείξῃς τὸν ἑαυτόν σου παραβάτην (Γαλατ. β΄, 18), ἐφ' ὅσον ξανακτίζῃς καὶ πάλιν ὅσα προηγουμένως ἐγκρέμισες. Εἶναι προτιμότερον ὅπως ἤρχισες καὶ ὡμολόγησες τὴν ταπείνωσιν ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν Ἀγγέλων, ἔτσι ἕως τὸ τέλος νὰ τὴν διατηρήσῃς.

Ἐπίσης καὶ τὴν ὑπομονήν, τὴν ὁποίαν ἐπέδειξες διὰ νὰ σὲ δεχθοῦν εἰς τὸ Μοναστήριον, μὲ τὸ νὰ περιμένῃς ἐπὶ πολλὰς ἡμέρας ἔξω ἀπὸ τὴν θύραν καὶ νὰ ἱκετεύῃς μὲ δάκρυα, φρόντισε νὰ τὴν ἐπαυξήσῃς. Διότι πράγματι εἶναι ἄθλιον, ἐνῷ ὀφείλεις νὰ προσθέτῃς καθημερινῶς νέον εἰς τὸν πρῶτον σου θερμὸν ζῆλον καὶ νὰ προχωρῇς πρὸς τὴν τελειότητα, νὰ ἀφαιρῇς ἀπὸ αὐτὸν καὶ νὰ ἐπιστρέφῃς καὶ πάλιν πρὸς τὰ κάτω. Μακάριος δὲν εἶναι ἐκεῖνος, ποὺ ἤρχισε νὰ ἐργάζεται τὸ καλόν, ἀλλ' ἐκεῖνος ποὺ ἔμεινε σταθερὸς εἰς αὐτὸ μέχρι τέλους· διότι ὁ ὄφις ποὺ σύρεται ἐπάνω εἰς τὴν γῆν παρακολουθεῖ πάντοτε τὴν πτέρναν μας, δηλαδὴ σκέπτεται πῶς νὰ μᾶς ἑτοιμάσῃ κάτι κακὸν κατὰ τὴν στιγμὴν τοῦ θανάτου μας, καὶ προσπαθεῖ νὰ μᾶς καταβάλῃ μέχρι τέλους τῆς ζωῆς μας. Δι' αὐτὸ ἀκριβῶς δὲν θὰ μᾶς ὠφελήσῃ τόσον τὸ νὰ ἀρχίσωμεν καλῶς οὔτε ἡ ἀρχὴ τῆς ἀναχωρήσεώς μας ἀπὸ τὸν κόσμον καὶ ἡ πρώτη θερμότης, ἂν καὶ τὸ τέλος δὲν εἶναι ἀνάλογον. Ὡσαύτως καὶ ἡ ταπείνωσις, τὴν ὁποίαν

τώρα ὑπεσχέθης χάριν τοῦ Χριστοῦ, δὲν θὰ ἀποδειχθῇ κατ' ἄλλον τρόπον, παρὰ μόνον ἐφ' ὅσον μέχρι τέλους ταύτην ἐπιδείξῃς.

Ἐὰν λοιπόν, σύμφωνα μὲ τὴν Ἁγίαν Γραφήν, προσῆλθες εἰς τὸ Μοναστήριον διὰ νὰ ὑπηρετήσῃς πραγματικὰ τὸν Κύριον, ἑτοίμασε τὴν καρδίαν σου, ὄχι δι' ἀνέσεις καὶ ἀπολαύσεις, ἀλλὰ διὰ πειρασμοὺς καὶ θλίψεις. Διότι διὰ μέσου πολλῶν θλίψεων πρέπει νὰ εἰσέλθωμεν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν· ἡ δὲ ὁδὸς ποὺ ὁδηγεῖ εἰς τὴν ζωὴν εἶναι στενὴ καὶ γεμάτη ἀπὸ στενοχωρίας, καὶ ἐκεῖνοι ποὺ τὴν ἀκολουθοῦν εἶναι πολὺ ὀλίγοι (Ματθ. ζ', 14).

Πρόσεχε λοιπὸν τοὺς ὀλίγους καὶ τοὺς καλοὺς καὶ φρόντιζε μὲ τὸ παράδειγμά των νὰ ρυθμίζῃς τὴν ζωήν σου· μὴ προσέξῃς τοὺς ὀκνηροὺς καὶ ἐκείνους ποὺ τὴν καταφρονοῦν, ὅσοι πολλοὶ καὶ ἂν εἶναι. Διότι, ὅπως λέγει καὶ ὁ Κύριος· «πολλοὶ ἔχουν κληθῆ διὰ νὰ σωθοῦν, ἀλλὰ ὀλίγοι εἶναι οἱ ἐκλεκτοὶ» (Ματθ. κβ', 14). Ἀκόμη ἂς ἐνθυμούμεθα ὅτι εἶναι μικρὸν τὸ ποίμνιον, εἰς τὸ ὁποῖον ὁ Κύριος συγκατετέθη νὰ δώσῃ τὴν Βασιλείαν του (Λουκ. ιβ', 32). Μὴ νομίζῃς ὅτι εἶναι μικρὸν τὸ ἁμάρτημα νὰ ὑποσχεθῇς τελειότητα καὶ νὰ ἀκολουθῇς τὸ παράδειγμα τῶν ἀμελεστέρων καὶ τῶν ῥαθύμων.

Ζ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΜΟΝΑΧΟΣ ἐστιν ὁ ἔξω τοῦ κόσμου καθήμενος καὶ ἀεὶ δεόμενος τοῦ Θεοῦ τυχεῖν τῶν μελλόντων ἀγαθῶν· πλοῦτος Μοναχοῦ ἐστιν ἡ Παράκλησις, ἡ γενομένη ἐκ τοῦ πένθους, καὶ ἡ χαρὰ ἡ ἐκ πίστεως ἡ ἐν τῷ ταμείῳ τῆς ψυχῆς λάμπουσα· πενθικός ἐστιν ὁ ἐν πείνῃ καὶ δίψῃ διάγων πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, διὰ τὴν ἐλπίδα τῶν ἀποκειμένων ἀγαθῶν· τὸν γὰρ διὰ τὸν Θεὸν πεινῶντα, μεθύσκει αὐτὸν ὁ Θεὸς τῆς παρακλήσεως αὐτοῦ· καὶ τὸν δι' αὐτὸν γυμνητεύοντα, ἐνδύει τὴν τῆς ἀφθαρσίας καὶ δόξης στολήν.

Δεῖ τὸν Μοναχὸν ἐν πᾶσι τοῖς ἑαυτοῦ πράγμασι καὶ σχήμασι καὶ κινήμασι τύπον ὠφελείας εἶναι πᾶσι τοῖς ὁρῶσιν αὐτόν· δεῖ γὰρ αὐτὸν ἔχειν πρὸ πάντων ὑπεροψίαν τῶν βρωμένων, ἀκριβῆ ἀκτημοσύνην, καταφρόνησιν τελείαν τῆς σαρκός, νηστείαν ὑψηλὴν καὶ ἀνένδοτον, σωφροσύνην ἄκραν, διαμονὴν ἐν τῇ ἡσυχίᾳ, εὐταξίαν τῶν αἰσθήσεων καὶ παραφυλακήν, πάσης ἔριδος καὶ θυμοῦ ἀλλοτρίωσιν, ἐν λόγοις βραχύτητα, μνησικακίας ἄγνοιαν, ἁπλότητα μετὰ διακρίσεως, τῆς παρούσης ζωῆς περιφρόνησιν, τῆς μελλούσης ἐπιπόθησιν, τὸ φεύγειν τὸν κόσμον καὶ τοὺς ἐν κόσμῳ, μᾶλλον δὲ καὶ πάντας τοὺς ἔξω, καὶ μὴ θέλειν γινώσκεσθαι ὑπ' αὐτῶν, μηδὲ δεσμεύειν ἑαυτὸν ἐν φιλίᾳ καὶ ἑταιρίᾳ τινὸς ἐκ τούτων, μηδὲ ἐρευνᾶν ἢ καταδέχεσθαι ὅλως ἀκούειν περὶ τῶν πραγμάτων αὐτῶν· τὸ μὴ ἀγαπᾶν τὴν τιμήν, μηδὲ χαίρειν ξενίοις, ἤγουν δώροις, ἀλλ' ἔχειν τὸν τόπον τῆς οἰκήσεως ἥσυχον, καὶ τοῖς πολλοῖς ἀγνοούμενον, καὶ ἀδιαλείπτως ἐγκαρτερεῖν ταῖς προσευχαῖς, τὸ διηνεκῶς φροντίζειν καὶ μελετᾶν περὶ τῆς χώρας τῆς ἀληθοῦς καὶ μακαρίας· τὸ ἔχειν τὸ πρόσωπον στυγνὸν καὶ ἐρρικνωμένον, καὶ δακρύειν διηνεκῶς νυκτὸς καὶ ἡμέρας.

Αὗταί εἰσιν αἱ ἀρεταὶ τοῦ Μοναχοῦ ὡς ἐν συντόμῳ εἰπεῖν, αἱ μαρτυροῦσαι αὐτῷ τὴν ἀπὸ τοῦ κόσμου παντελῆ θνῆσιν, καὶ τὴν πρὸς Θεὸν ἐγγύτητα. Ὁ οὖν

ἐπιμελούμενος τῆς ἑαυτοῦ ζωῆς, ζητησάτω ἀκριβῶς εἰ λείπει τι αὐτῷ ἐκ τῶν ἀπηριθμημένων· καὶ εἰ εὕρῃ αὐτὸν ἐνδεῆ ἑνὸς τούτων, γινωσκέτω μήπω τὸ τοῦ Μοναχοῦ ὄνομα τελείως ἐμπρέπειν αὐτῷ. Ὅταν δὲ πάντα τὰ εἰρημένα κτήσηται, τότε καὶ ἡ γνῶσις τῶν λοιπῶν, ὧν οὐκ ἐμνήσθην, δοθήσεται αὐτῷ· καὶ ἔσται τοῖς ἄλλοις ἀνθρώποις αἴτιος δοξολογίας τῆς εἰς Θεόν, κἀντεῦθεν ἑτοιμάσει τῇ ψυχῇ αὐτοῦ τόπον ἀνέσεως πρὸ τοῦ ἐξελθεῖν ἐκ τοῦδε τοῦ βίου.

Ἑ ρ μ η ν ε ί α

ΜΟΝΑΧΟΣ, εἶναι ἐκεῖνος, ποὺ μένει μακρὰν ἀπὸ τὸν κόσμον καὶ παρακαλεῖ ἀδιαλείπτως τὸν Θεὸν νὰ ἀπολαύσῃ τὰ μέλλοντα ἀγαθά. Πλοῦτος τοῦ Μοναχοῦ εἶναι ἡ παρηγορία, ἡ ὁποία προέρχεται ἀπὸ τὸ πένθος καὶ ἡ χαρά, ποὺ γεννᾶται ἀπὸ τὴν πίστιν, ἡ ὁποία λάμπει εἰς τὰ βάθη τῆς ψυχῆς. Διάθεσιν δὲ πένθους δοκιμάζει ἡ ψυχὴ ἐκείνου ποὺ περνᾷ ὅλας τὰς ἡμέρας τῆς ζωῆς του μὲ πεῖναν καὶ δίψαν, χάριν τῆς ἐλπίδος τῶν ἀγαθῶν ποὺ τὸν περιμένουν. Διότι αὐτὸν ποὺ πεινᾷ διὰ τὸν Θεόν, ὁ Θεὸς τὸν πλημμυρίζει μὲ τὴν γλυκεῖαν παρηγορίαν του· καὶ ἐκεῖνον ποὺ διέρχεται τὴν ζωήν του γυμνὸς χάριν τοῦ Θεοῦ, τὸν ἐνδύει ὁ Θεὸς μὲ στολὴν δόξης, ποὺ τὸν κάνει ἄφθαρτον.

Ὁ Μοναχὸς πρέπει νὰ εἶναι παράδειγμα ὠφελείας δι' ὅλους, ὅσοι βλέπουν τὸν τρόπον τῆς ζωῆς του. Πρῶτον ἐξ ὅλων τὸν Μοναχὸν πρέπει νὰ τὸν διακρίνῃ ἡ περιφρόνησις πρὸς τὰ ὁρώμενα ὑλικὰ ἀγαθὰ καὶ νὰ ἔχῃ πραγματικὴν ἀκτημοσύνην, νὰ καταφρονῇ τελείως τὴν σάρκα του, νὰ νηστεύῃ μὲ αὐστηρότητα καὶ ἐπιμονήν, καὶ νὰ φυλάσσῃ ἀπόλυτον σωφροσύνην. Νὰ ζῇ εἰς τὴν ἡσυχίαν, νὰ ἐπαγρυπνῇ ἐπὶ τῶν αἰσθήσεων καὶ νὰ τὰς ἔχῃ πειθαρχημένας· νὰ ἀποξενώνεται ἀπὸ κάθε φιλονεικίαν καὶ νὰ μὴ θυμώνῃ, νὰ εἶναι ὀλιγόλογος,νὰ μὴ γνωρίζῃ καθόλου τὴν μνησικακίαν, νὰ εἶναι ἁπλὸς ἀλλὰ καὶ διακριτικός, νὰ περιφρονῇ τὴν παροῦσαν ζωὴν καὶ νὰ ἐπιποθῇ τὴν μέλλουσαν. Πρέπει νὰ ἀπομακρύνεται ἀπὸ τὸν κόσμον καὶ τοὺς κοσμικούς, ἀλλὰ καὶ ἀπὸ ὅλους, ὅσοι εἶναι ἔξω ἀπὸ τὸ ἀσκητήριόν του καὶ νὰ μὴ θέλῃ νὰ γνωρίζεται ἀπὸ αὐτούς, οὔτε νὰ δεσμεύεται μαζί τους μὲ φιλίαν ἢ νὰ κάνῃ συντροφιὰν μὲ κάποιον ἀπὸ αὐτούς, οὔτε νὰ ἐξετάζῃ ἢ νὰ καταδέχεται νὰ ἀκούῃ διὰ τὰς ὑποθέσεις των.

Ὁ Μοναχὸς ὀφείλει νὰ μὴ ἀγαπᾷ τὰς τιμὰς τῶν ἀνθρώπων, οὔτε νὰ εὐχαριστῆται νὰ δέχεται δῶρα, ἀλλὰ νὰ διατηρῇ εἰς ἡσυχίαν τὸ μέρος ὅπου κατοικεῖ καὶ νὰ μὴ τὸ γνωρίζουν οἱ πολλοί· νὰ ἐπιδίδεται δὲ εἰς τὰς προσευχάς, χωρὶς νὰ σταματᾷ, καὶ νὰ φροντίζῃ νὰ μελετᾷ διαρκῶς διὰ τὴν ἀληθινὴν καὶ εὐτυχισμένην χώραν (δηλαδὴ τὴν Βασιλείαν τῶν οὐρανῶν). Τὸ πρόσωπον τοῦ Μοναχοῦ ἂς εἶναι πάντοτε αὐστηρὸν καὶ ρυτιδωμένον καὶ δακρυσμένον ἡμέραν καὶ νύκτα.

Αὐταὶ εἶναι, μὲ κάθε δυνατὴν συντομίαν, αἱ ἀρεταὶ τοῦ Μοναχοῦ, ποὺ θὰ ἀποδείξουν ὅτι ἀπέθανε τελείως διὰ τὸν κόσμον καὶ προσήγγισε τὸν Θεόν. Ἐκεῖνος λοιπὸν ποὺ φροντίζει διὰ τὴν πνευματικήν του ζωήν,

ἂς ἐξετάσῃ, μετὰ προσοχῆς, μήπως τοῦ λείπει τίποτε ἀπὸ ὅσα ἀπηρίθμησα· καὶ ἐὰν εὕρῃ, ὅτι σὲ κάτι ὑστερεῖ, ἂς γνωρίζῃ ὅτι δὲν τοῦ ἁρμόζει τὸ ὄνομα τοῦ Μοναχοῦ. Ὅταν δὲ ἀποκτήσῃ ὅλα ὅσα ἀνέφερα, τότε θὰ τοῦ ἐπιτρέψῃ ὁ Θεὸς νὰ γνωρίσῃ καὶ τὰ ὑπόλοιπα, ὅσα δὲν ἀνέφερα ὁπόταν θὰ γίνῃ αἰτία νὰ δοξολογοῦν οἱ ἄλλοι ἄνθρωποι τὸν Θεόν, καὶ ἀπὸ τὸν κόσμον αὐτὸν πλέον θὰ ἔχῃ ἑτοιμάσει διὰ τὴν ψυχήν του τόπον ἀνέσεως.

Η'. Τοῦ Ἁγίου Μαξίμου

ΚΟΣΜΟΝ λέγει ἡ γραφὴ τὰ ὑλικὰ πράγματα· καὶ κοσμικοί εἰσιν οἱ τούτοις τὸν νοῦν ἐνασχολοῦντες, πρὸς οὓς καὶ λέγει ἐντρεπτικώτερον· «μὴ ἀγαπᾶτε τὸν κόσμον· ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, καὶ ἡ ἐπιθυμία τῆς σαρκός, καὶ ἡ ἀπάτη τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλ' ἐκ τοῦ κόσμου εἰσί», καὶ τὰ ἑξῆς.

2. Μοναχός ἐστιν ὁ τῶν ὑλικῶν πραγμάτων τὸν νοῦν ἀποχωρίσας, καὶ δι' ἐγκρατείας καὶ ἀγάπης καὶ ψαλμῳδίας καὶ προσευχῆς προσκαρτερῶν τῷ Θεῷ.

3. Μηδείς σε ἀπατήσῃ, Μοναχέ, ὅτι ἔνι σωθῆναι ἡδονῇ καὶ κενοδοξίᾳ δουλεύοντα.

4. Τὰ τῶν κοσμικῶν κατορθώματα, πτώματά εἰσι τῶν Μοναχῶν· καὶ τὰ τῶν Μοναχῶν κατορθώματα πτώματά εἰσι τῶν κοσμικῶν· οἷον τὰ τῶν κοσμικῶν κατορθώματα, πλοῦτος ἐστί, καὶ δόξα, καὶ δυναστεία, καὶ τρυφή, καὶ εὐσαρκία, καὶ εὐτεκνία, καὶ τὰ τούτων ἀκόλουθα· εἰς ἅπερ ἐλθὼν ὁ Μοναχός, ἀπώλετο. Τὰ δὲ τοῦ Μοναχοῦ κατορθώματα ἀκτημοσύνη, ἀδοξία, ἀδυναμία, ἐγκράτεια, καὶ κακοπάθεια, καὶ τὰ τούτοις ἀκόλουθα, εἰς ἅπερ ἐλθὼν ὁ φιλόκοσμος παρὰ πρόθεσιν, πτῶμα ἡγεῖται μέγα, καὶ κινδυνεύει πολλάκις καὶ ἀγχόνῃ χρήσασθαι· τινὲς δὲ καὶ ἐχρήσαντο.

5. Ὁ μὲν τοῖς πράγμασιν ἀποταξάμενος, οἷον τῇ γυναικὶ καὶ τοῖς χρήμασι καὶ τοῖς ἑξῆς, τὸν ἔξω ἄνθρωπον ἐποίησε Μοναχόν, οὔπω δὲ καὶ τὸν ἔσω· ὁ δὲ τοῖς τούτων ἐμπαθέσι νοήμασι, τὸν ἔσω ἄνθρωπον· ὅς ἐστιν ὁ νοῦς· καὶ τὸν μὲν ἔξω ἄνθρωπον, εὐκόλως τις ποιεῖ Μοναχόν, μόνον ἐὰν θελήσῃ· οὐκ ὀλίγος δὲ ἀγών, τὸν ἔσω ἄνθρωπον ποιῆσαι Μοναχόν.

6. Τίς ἐστιν ἄρα ἐν τῇ γενεᾷ ταύτῃ ὁ παντάπασιν ἀπαλλαγεὶς τῶν ἐμπαθῶν νοημάτων καὶ τῆς καθαρᾶς διὰ παντὸς καὶ ἀΰλου καταξιωθεὶς προσευχῆς; ὅπερ ἐστὶ σημεῖον τοῦ ἔνδον Μοναχοῦ.

7. Πολλὰ πάθη ἐν ταῖς ψυχαῖς ἡμῶν κέκρυπται· τότε δὲ ἐλέγχονται, ὅταν τὰ πράγματα ἀναφαίνωνται.

Ἑρμηνεία

Η ΑΓΙΑ ΓΡΑΦΗ, ὅταν λέγῃ κόσμον, ἐννοεῖ τὰ ὑλικὰ πράγματα· κατὰ συνέπειαν κοσμικοὶ εἶναι οἱ ἀπασχολοῦντες, τὸν νοῦν των μὲ αὐτά· πρὸς αὐτοὺς λοιπὸν ἀπευθυνομένη λέγει μὲ τρόπον αὐστηρότερον· «νὰ μὴ ἀγαπᾶτε τὸν κόσμον· διότι κάθε τι τὸ κοσμικόν, καὶ ἡ σαρκικὴ ἐπιθυμία, καὶ αἱ ἀπατηλαὶ ἐντυπώσεις τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου δὲν προέρχονται ἀπὸ τὸν Θεόν, ἀλλὰ ἀπὸ τὸν κόσμον» (Α' Ἰωάν. β', 15—16) καὶ ὅσα ἐν συνεχείᾳ ἀναφέρονται εἰς τὴν Ἁγίαν Γραφήν.

2. Μοναχὸς εἶναι ἐκεῖνος ποὺ ἀπεμάκρυνε τὸν νοῦν του ἀπὸ τὰ ὑλικὰ πράγματα καὶ διὰ τῆς ἐγκρατείας, τῆς ἀγάπης, τῆς ψαλμῳδίας καὶ τῆς προσευχῆς, παραμένει σταθερῶς πλησίον τοῦ Θεοῦ.

3. Μοναχέ, πρόσεξε νὰ μὴ σὲ ἐξαπατήσῃ κανεὶς ὅτι εἶναι δυνατὸν νὰ σωθῇς, ἐφ' ὅσον εἶσαι δοῦλος τῆς ἡδονῆς καὶ τῆς κενοδοξίας.

4. Τὰ κατορθώματα τῶν κοσμικῶν γίνονται αἰτία πτώσεως διὰ τοὺς Μοναχούς· καὶ τὰ κατορθώματα τῶν Μοναχῶν ἐπιφέρουν τὴν πτῶσιν τῶν κοσμικῶν. Π. χ., κοσμικὰ κατορθώματα εἶναι ὁ πλοῦτος, ἡ δόξα, ἡ ἐξουσία, ἡ ἀπόλαυσις, τὰ ὡραῖα σώματα καὶ τὰ καλὰ παιδιά, καθὼς καὶ ὅλα τὰ σχετικὰ μὲ αὐτά· ὅταν ὅμως ὁ Μοναχὸς ἐπιδιώξῃ αὐτά, ἐχάθη. Τὰ κατορθώματα ὅμως τοῦ Μοναχοῦ εἶναι ἡ ἀκτημοσύνη, ἡ ἀποφυγὴ τῆς δόξης καὶ ἡ ταπείνωσις, ἡ ἀδυναμία, ἡ ἐγκράτεια, αἱ κακοπάθειαι καὶ ὅλα τὰ σχετικὰ μὲ αὐτά. Ὁσάκις ὅμως αὐτὸς ποὺ ἀγαπᾷ τὸν κόσμον περιέλθῃ εἰς αὐτὴν τὴν κατάστασιν, χωρὶς βεβαίως νὰ ἔχῃ πρόθεσιν, τὸ θεωρεῖ μεγίστην πτῶσιν καὶ πολλὰς φορὰς κινδυνεύει καὶ νὰ ἀπαγχονισθῇ· μερικοὶ δέ, πράγματι, καὶ ἐκρεμάσθησαν.

5. Ἐκεῖνος, ποὺ κατώρθωσε νὰ ἀπαρνηθῇ ὑλικὰ πράγματα, ὅπως γυναῖκα, χρήματα καὶ τὰ σχετικά, ἔκαμε μόνον τὸν ἐξωτερικὸν ἄνθρωπον Μοναχόν, ὄχι ὅμως ἀκόμη καὶ τὸν ἐσωτερικόν· ὅποιος ὅμως κατώρθωσε νὰ κατανικήσῃ καὶ τὰ ἐμπαθῆ νοήματα, αὐτὸς τότε ἔκαμε Μοναχὸν καὶ τὸν ἐσωτερικόν του ἄνθρωπον, ὁ ὁποῖος εἶναι ὁ νοῦς. Καὶ τὸν μὲν ἔξω ἄνθρωπον εὐκόλως κανεὶς τὸν κάνει Μοναχόν, ἀρκεῖ νὰ θελήσῃ· χρειάζεται ὅμως μεγάλος ἀγών, διὰ νὰ κάμῃ καὶ τὸν ἔσω ἄνθρωπον Μοναχόν.

6. Ποῖος ἄραγε εἶναι ἐκεῖνος, ποὺ κατώρθωσεν, εἰς τὴν γενεὰν αὐτήν, νὰ ἀπαλλαγῇ τελείως ἀπὸ τὰ ἐμπαθῆ νοήματα, καὶ νὰ καταξιωθῇ νὰ ἀσχολῆται συνεχῶς μὲ τὴν καθαρὰν καὶ ἄϋλον προσευχήν; Αὐτὸ ἀκριβῶς εἶναι τὸ γνώρισμα τοῦ ἐσωτερικοῦ Μοναχοῦ.

7. Μέσα εἰς τὰς ψυχάς μας εὑρίσκονται κρυμμένα πολλὰ πάθη· φανερώνονται δὲ τότε μόνον, ὅταν παρουσιασθοῦν καὶ τὰ πράγματα, ποὺ τροφοδοτοῦν καὶ διεγείρουν τὰ πάθη αὐτά.

Θ'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΕΝ ὁ Ἀββᾶς Ἰωάννης ὁ Κίλιξ, ὁ τῆς Ῥαϊθοῦ ἡγούμενος, τοῖς ὑπ' αὐτὸν ἀδελφοῖς· τέκνα, ὡς ἐφύγομεν τὸν κόσμον, φύγωμεν καὶ τὰς ἐπιθυμίας τῆς σαρκός· ὁ γὰρ ταύτας φυγών, ἐκεῖνός ἐστι Μοναχὸς ἀληθῶς.

Ἀπίδωμεν οὖν πρὸς τοὺς Πατέρας ἡμῶν μετὰ ποίας σκληραγωγίας καὶ ἡσυχίας ἐκάθισαν ὧδε, καὶ μιμησώμεθα αὐτούς, καὶ μὴ ρυπώσωμεν τὸν τόπον τοῦτον, ὃν ἐκεῖνοι ἐκαθάρισαν ἀπὸ δαιμόνων καὶ ἡγίασαν. Μάθωμεν ὅτι ὁ τόπος οὗτος ἀσκητῶν ἐστιν, οὐ πραγματευτῶν, καὶ ἀξίως σπουδάσωμεν πολιτεύεσθαι.

Καὶ τοῦτο δὲ γινώσκετε· ὅτι εἰ μὲν θελήσετε ἀκολουθῆσαι τοῖς Πατράσι, καὶ φυλάξαι τὰς ἐντολὰς τοῦ Θεοῦ, πέμπει τὴν χάριν αὐτοῦ, καὶ φυλάττει τὸν τόπον τοῦτον· εἰ δὲ οὐ φυλάξετε, οὐ μὴ μείνητε ἐν τῷ τόπῳ τούτῳ· καὶ ἡμεῖς γὰρ τὰς ἐντολὰς τοῦ Κυρίου καὶ τῶν Πατέρων τὰς παραγγελίας τηροῦντες ἑστήκαμεν, δο-

κοῦντες καὶ μετὰ τὴν ἀποβίωσιν αὐτοὺς μεθ' ἡμῶν εἶναι, καὶ πάντα κατοπτεύειν τὰ καθ' ἡμᾶς. Οὕτως οὖν καὶ ὑμεῖς ποιήσατε καὶ σώζεσθε ἐκ πάντων τῶν κακῶν.

2. Ἔλεγέ τις τῶν γερόντων Θηβαῖος, ὅτι ἐγὼ τέκνον γέγονα ἱερέως τῶν Ἑλλήνων· παῖς οὖν ὑπάρχων, ἐν μιᾷ ὡς εἶδον τὸν πατέρα μου εἰσερχόμενον συνήθως εἰς τὸ εἰδωλεῖον ὥς τε θυσίαν ἐπιτελέσαι, εἰσῆλθον ὀπίσω αὐτοῦ· καὶ εἶδον τὸν σατανᾶν καθήμενον, καὶ πᾶσαν τὴν στρατιὰν αὐτοῦ κύκλῳ παρεστῶσαν· καὶ ἰδοὺ εἷς τῶν ἀρχόντων αὐτοῦ παρελθὼν εἰς τὸ μέσον, προσεκύνει αὐτόν· ὁ δὲ εἶπεν αὐτῷ· πόθεν σὺ ἔρχῃ; καὶ ἀπεκρίθη ἐκεῖνος· εἰς τήν δε τὴν χώραν ἤμην, καὶ ἐξήγειρα πολέμους, καὶ πολλὴν ἔκχυσιν αἱμάτων ἐποίησα, καὶ ἦλθον τοῦ ἀναγγεῖλαί σοι· καὶ εἶπεν ὁ διάβολος· ἐν πόσῳ χρόνῳ τοῦτο ἐποίησας; ὁ δὲ ἔφη· ἐν τριάκοντα ἡμέραις· καὶ ἀκούσας ὁ σατανᾶς, ἐκέλευσεν αὐτὸν μαστιχθῆναι εἰπών· ἐν τοσούτῳ χρόνῳ τοῦτο μόνον ἐποίησας;

Ὁμοίως καὶ ἕτερος παρελθών, εἶπεν· ἐγὼ ἐν τῇ θαλάσσῃ ἤμην καὶ ἐξήγειρα ἀνέμους, καὶ κατεπόντισα πλοῖα, καὶ πολλοὺς ἀνθρώπους ἀπέκτεινα, καὶ ἦλθον τοῦ ἀναγγεῖλαί σοι· ἐπερωτήσας δὲ καὶ αὐτὸν ἐν πόσῳ καιρῷ τοῦτο ἐποίησε καὶ μαθὼν ὅτι ἐν ἡμέραις εἴκοσιν, μαστιχθῆναι ὁμοίως τῷ πρώτῳ ἐκέλευσεν, ὅτι μηδέν ἄλλο ἤνυσεν ἐν τοσούτῳ καιρῷ· εἶτα καὶ ἄλλος προσῆλθεν, ὅς ἐν πόλει τινί, γάμου γινομένου, μάχην ἀναμεταξὺ ποιήσας, πολλὴν αἱματοχυσίαν εἰργάσατο, καὶ αὐτὸν τὸν νυμφίον σὺν τῇ νύμφῃ ἀναιρεθῆναι παρασκευάσας· ἔφασκε δὲ ἐν ἡμέραις δέκα τὸ τοιοῦτον ἔργον ἀνύσαι· καὶ αὐτὸς δὲ αἰτιαθεὶς κατὰ τοὺς προτέρους, ὡς χρονοτριβήσας, ἐμαστίχθη. Μετὰ τούτους οὖν παρῆλθεν εἰς τὸ μέσον καὶ ἕτερος· καὶ ἠρώτησεν αὐτὸν ὁ διάβολος, πόθεν καὶ σὺ ἔρχῃ;

Ὁ δὲ εἶπεν· ἐν τῇ ἐρήμῳ ἤμην, ἰδοὺ τεσσαράκοντα ἔτη πολεμῶν πρὸς ἕνα Μοναχόν· καὶ τῇ νυκτὶ ταύτῃ κατέβαλον αὐτὸν εἰς πορνείαν· ἐκεῖνος δὲ ὡς ἤκουσε τοῦτο, ἀναστὰς εὐθὺς κατεφίλησεν αὐτόν, καὶ ἄρας ὃν ἐφόρει στέφανον, ἐπέθηκε τῇ κεφαλῇ αὐτοῦ· καὶ ἐνεχθέντος θρόνου, καὶ τεθέντος πλησίον αὐτοῦ, καθεσθῆναι αὐτὸν ἐποίησεν, εὐχαριστῶν αὐτῷ καὶ λέγων, ὅτι τὸ μέγα τοῦτο πρᾶγμα ἠδυνήθης ποιῆσαι. Ἰδὼν οὖν ἐγώ, φησὶν ὁ γέρων, τὸ γεγονὸς καὶ κατανοήσας οἷον μέγα ἐστὶ τὸ τάγμα τῶν Μοναχῶν καὶ τοῖς δαίμοσι φοβερόν, ἐξῆλθον εὐδοκίᾳ Θεοῦ καὶ γέγονα Μοναχός.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἰωάννης ὁ Κίλιξ, ὁ ἡγούμενος τῆς Μονῆς εἰς τὴν Ραϊθώ*, ἔλεγεν εἰς τοὺς ἀδελφοὺς τῆς Μονῆς τὰ ἑξῆς:

---

* Ἡ Ραϊθὼ κεῖται εἰς τὸν τόπον ἐκεῖνον εἰς τὸν ὁποῖον, ὡς ἀναφέρει ἡ θεία Γραφὴ εἰς τὸ βιβλίον τῆς Ἐξόδου, ἦσαν αἱ δώδεκα πηγαὶ τῶν ὑδάτων καὶ τὰ ἑβδομήκοντα δένδρα τῶν φοινίκων. Κατὰ τὴν Βυζαντινὴν ἐποχὴν ὁ τόπος οὗτος ἐκαλεῖτο Ἐλάνα, σήμερον δὲ ὑπὸ μὲν τῶν Τούρκων καλεῖται Ραϊθοὺ ὑπὸ δὲ τῶν Ἀράβων Ἐλ Τώρ· εὑρίσκεται δὲ ἐν τῇ Πετραίᾳ Ἀραβίᾳ καὶ παρὰ τὰ σύνορα αὐτῆς μὲ τὴν Εὐδαίμονα Ἀραβίαν ἀπέχει δὲ τοῦ Ὄρους Σινᾶ περὶ τὰ 60 μίλλια. Ἐν τῇ Ραϊθὼ ἡσύχαζε πληθὺς Ὁσίων πατέρων ἀναιρεθέντων ὑπὸ τῶν Βλεμύων (βλέπε ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας» Τόμος Α' σελ. 281).

— Τέκνα, ὅπως ἐφύγαμεν ἀπὸ τὸν κόσμον, ἔτσι ἂς φύγῃ ὁ νοῦς μας καὶ ἀπὸ τὰς ἐπιθυμίας τῆς σαρκός· διότι πραγματικὸς Μοναχὸς εἶναι ἐκεῖνος, ποὺ ἀπηλλάγη ἀπὸ αὐτὰς τὰς ἐπιθυμίας.

Ἂς ἀναλογισθῶμεν λοιπὸν τοὺς Πατέρας μας, μὲ πόσην σκληραγωγίαν καὶ ἡσυχίαν παρέμεναν ἐδῶ καὶ ἂς τοὺς μιμηθῶμεν· ἂς μὴ ρυπαίνωμεν αὐτὸν τὸν τόπον, ποὺ ἐκεῖνοι ἐκαθάρισαν ἀπὸ τοὺς δαίμονας καὶ τὸν ἡγίασαν. Ἂς ἐννοήσωμεν καλῶς, ὅτι αὐτὸς ὁ τόπος εἶναι τόπος ἀσκητῶν καὶ ὄχι πραγματευτῶν, καὶ ἂς φροντίσωμεν νὰ πολιτευθῶμεν ἀξίως.

Ἀκόμη καὶ τοῦτο νὰ γνωρίζετε· ὅτι ἐὰν θελήσετε νὰ ἀκολουθήσετε τοὺς Πατέρας καὶ νὰ φυλάξετε τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ ὁ Θεὸς θὰ στέλλῃ τὴν Χάριν του καὶ θὰ φυλάσσῃ τὸν τόπον αὐτόν· ἐὰν ὅμως δὲν τὰ τηρήσετε, τότε οὔτε καὶ εἰς τὸν τόπον αὐτὸν θὰ μείνετε. Καὶ ἡμεῖς παρεμείναμεν ἐδῶ φυλάσσοντες τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ τηροῦντες τὰς παραγγελίας τῶν Πατέρων, πιστεύοντες, ὅτι καὶ μετὰ τὴν εἰς Κύριον ἐκδημίαν των παρέμεναν μαζί μας καὶ παρηκολούθουν ὅλα τὰ ζητήματά μας. Ἔτσι λοιπὸν καὶ σεῖς νὰ κάνετε καὶ θὰ ἀπαλλαγῆτε ἀπὸ ὅλα τὰ κακά.

2. Ἕνας Γέρων ἀπὸ τὴν Θηβαΐδα διηγεῖτο τὰ ἑξῆς· ἐγὼ ἤμουν παιδὶ ἑνὸς ἱερέως τῶν εἰδώλων. Ὅταν λοιπὸν ἀκόμη ἤμουν μικρός, καθὼς εἶδον μίαν ἡμέραν τὸν πατέρα μου νὰ εἰσέρχεται εἰς τὸν εἰδωλολατρικὸν ναόν, διὰ νὰ τελέσῃ θυσίαν, εἰσῆλθον καὶ ἐγὼ μετὰ ἀπὸ αὐτόν. Καὶ εἶδον νὰ κάθεται ὁ Σατανᾶς καὶ ὁλόγυρά του νὰ στέκεται ὁλόκληρη ἡ στρατιά του. Εἰς μίαν στιγμὴν προχωρεῖ κοντά του ἕνας ἀπὸ τοὺς ἄρχοντάς του καὶ τὸν προσκυνοῦσε. Ὁ Σατανᾶς τοῦ λέγει:

—Ἀπὸ ποῦ ἔρχεσαι σύ;

—Ἤμουν εἰς αὐτὴν τὴν χώραν — ἀπήντησε — καὶ ἐξήγειρα μεταξὺ τῶν κατοίκων πολέμους καὶ προεκάλεσα πολλὴν αἱματοχυσίαν· καὶ τώρα ἦλθα νὰ σοῦ τὸ ἀναφέρω.

—Εἰς πόσον χρόνον τὸ ἐπέτυχες αὐτό; ἐρωτᾷ πάλιν ὁ Σατανᾶς.

— Εἰς διάστημα τριάκοντα ἡμερῶν.

Μόλις ἤκουσε τὴν ἀπάντησιν αὐτὴν ὁ Σατανᾶς διέταξε νὰ μαστιγωθῇ λέγων συγχρόνως:

— Εἰς τόσον χρόνον αὐτὸ μόνον κατώρθωσες;

Μετὰ ἀπὸ αὐτὸν ἐπλησίασε μὲ τὸν ἴδιον τρόπον τὸν Σατανᾶν καὶ ἄλλος καὶ τοῦ εἶπεν:

—Ἐγὼ εὑρισκόμουν εἰς τὴν θάλασσαν καὶ ἐσήκωσα ἀνέμους, κατεπόντισα πλοῖα καὶ ἐθανάτωσα πολλοὺς ἀνθρώπους· ἦλθα λοιπὸν νὰ σοῦ τὸ ἀναφέρω.

Ὅταν τὸν ἠρώτησεν εἰς πόσον χρόνον ἐπέτυχεν αὐτὸ καὶ ἔμαθεν ὅτι τὸ ἐπέτυχεν εἰς εἴκοσιν ἡμέρας, διέταξε νὰ μαστιγωθῇ καὶ αὐτός, ὅπως καὶ ὁ πρῶτος, διότι τίποτε ἄλλο δὲν κατώρθωσεν εἰς τόσον διάστημα.

Ἐν συνεχείᾳ προσῆλθε καὶ ἄλλος, ὅστις ἀνέφερεν, ὅτι εἰς μίαν

πόλιν, ἐνῷ ἐγίνετο γάμος, προεκάλεσε μάχην μεταξὺ τῶν ἀνθρώπων, μὲ πολλὴν αἱματοχυσίαν, ἐπιτυχὼν μάλιστα νὰ φονευθοῦν καὶ ὁ γαμβρὸς μὲ τὴν νύμφην. Ἔλεγε δὲ ὅτι αὐτὸ τὸ κατώρθωσεν εἰς δέκα ἡμέρας. Καὶ αὐτὸς ὅμως, ὅπως καὶ οἱ προηγούμενοι, εὑρέθη ἔνοχος διὰ χρονοτριβὴν καὶ ἐμαστιγώθη.

Ἔπειτα ἀπὸ αὐτούς, ποὺ ἐμαστιγώθησαν, προσῆλθεν εἰς τὸ μέσον καὶ ἕνας ἄλλος διάβολος. Τὸν ἐρωτᾷ τότε ὁ Σατανᾶς·

— Καὶ σὺ ἀπὸ ποῦ μᾶς ἔρχεσαι;

— Ἐγὼ εὑρισκόμουν εἰς τὴν ἔρημον — ἀπήντησεν ἐκεῖνος — καὶ σαράντα ὁλόκληρα χρόνια ἐπολέμουν ἕνα Μοναχόν· μόλις δὲ αὐτὴν τὴν νύκτα τὸν ἐνίκησα καὶ ἔπεσεν εἰς τὴν ἁμαρτίαν τῆς πορνείας.

Μόλις ὁ Σατανᾶς ἤκουσεν αὐτὸ τὸ κατόρθωμα, ἐσηκώθη, τὸν κατεφίλησεν, ἀφήρεσε τὸ στεφάνι ἀπὸ τὸ κεφάλι του καὶ τὸ ἐφόρεσεν εἰς τὸν νικητὴν τοῦ Μοναχοῦ· ἀφοῦ δὲ ἔφεραν ἕνα θρόνον καὶ τὸν ἐτοποθέτησαν πλησίον του, τὸν ἔβαλε νὰ καθήσῃ δίπλα του καὶ τοῦ ἔλεγεν εὐχαριστημένος:

— Μπράβο! πῶς τόσον μεγάλο ἔργον ἠμπόρεσες νὰ κάμῃς;

Ὅταν ἐγὼ εἶδον ὅλα αὐτὰ — εἶπεν ὁ Γέρων ἀπὸ τὴν Θηβαΐδα — ἀντελήφθην πόσον μεγάλο εἶναι, εἰς ἀξίαν, τὸ τάγμα τῶν Μοναχῶν καὶ πόσον φοβίζει τοὺς δαίμονας. Χωρὶς ἀναβολήν, κατόπιν αὐτῶν, ἐβγῆκα ἀπὸ τὸν εἰδωλολατρικὸν ναὸν καὶ μὲ τὴν Χάριν τοῦ Θεοῦ ἔγινα Μοναχός.

Ι΄. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΟΙ, τὸν χρόνον ὃν διήξαμεν τῷ μονήρει βίῳ ἀριθμοῦμεν, τὴν δὲ ἀμέλειαν, ἣν κατειργασάμεθα ἐν αὐτῷ, ἀγνοοῦντες ἐπαιρόμεθα· ἔπαινος ἀνδρὶ οὐχ ὁ χρόνος μόνον, ἀλλ᾽ ἡ κατὰ Θεὸν προκοπή· προκοπὴ δὲ οὐ πολιαί, ἀλλὰ τὸν ἐνάρετον βίον κεκτῆσθαι.

Ἐπιλαβοῦ, Μοναχέ, τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων, ἤγουν ἐπὶ πάσης τῆς ἄνω καὶ κάτω κτίσεως· «ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ». Τί δέ ἐστιν ὁ Μοναχός, ἢ τίνι ὡμοίωται; Ὁ Μοναχὸς ἔοικεν ἀνδρὶ καταφερομένῳ ἐξ ὕψους, ὃς εὑρὼν σχοινίον κρεμάμενον ἐν ὑψηλῷ διαθέματι, δραξάμενος ἀπεκρέμασεν ἑαυτόν, καὶ βοᾷ ἀδιαλείπτως πρὸς Κύριον τοῦ βοηθηθῆναι, εἰδὼς ὅτι, ἐὰν ἐξατονήσας ἀπολύσῃ τὰς ἀμφοτέρας χεῖρας, πεσεῖται καὶ θανατωθήσεται.

Ἀγαπητοὶ ἀδελφοί, Ἀγγέλων σχῆμα φοροῦντες μὴ τῷ διαβόλῳ συναμιλλώμεθα, ἀλλὰ τὸν Ἀγγελικὸν βίον ζηλῶμεν ὡς δυνατόν· τῷ γὰρ σχήματι ὀφείλει ἐπακολουθεῖν ὁ τρόπος καὶ τὰ ἔργα· χωρὶς γὰρ τῶν ἔργων, τὸ σχῆμα οὐδέν ἐστιν. Ἆρα οὖν οἱ Ἄγγελοι ἐν οὐρανῷ ἐν ἔριδι καὶ ζήλῳ διάγουσι, καθὼς νῦν ὁρῶμεν ἐν ἡμῖν τοῖς Μοναχοῖς ταῦτα γινόμενα;

Σπουδάσωμεν, ἀδελφοί, μὴ γίνεσθαι τοῖς ἔξωθεν πρόσκομμα καὶ σκάνδαλον· μὴ βλασφημείσθω τὸ καλὸν σχῆμα δι᾽ ἡμᾶς, μᾶλλον δὲ εὐφημείσθω. Ἆρα τί ἀπολογησόμεθα τῷ κριτῇ ἐν τῇ φοβερᾷ ὥρᾳ τῆς ἐξετάσεως, εἰ οὕτως ἀμελοῦμεν τῆς

ἑαυτῶν σωτηρίας; τί γὰρ ἔδει αὐτὸν ποιῆσαι ἡμῖν, καὶ οὐκ ἐποίησεν; ὅτι αὐτὸν τὸν Θεὸν Λόγον ἐν δούλου μορφῇ ταπεινὸν οὐκ εἴδομεν, ἵνα καὶ ἡμεῖς ταπεινοὶ γενώμεθα; ἢ ὅτι ἐμπτυσμένον τὸ ἀπερινόητον αὐτοῦ πρόσωπον οὐκ ἐθεασάμεθα, ἵνα καὶ ἡμεῖς ὑβριζόμενοι ἢ ἐπιπληττόμενοι μὴ ἀγριαίνωμεν;

Ἀλλ' ὅτι οὐκ εἴδομεν τὸν ἅγιον αὐτοῦ νῶτον διδόμενον εἰς μάστιγας, ἵνα καὶ ἡμεῖς ὑπείκωμεν κατὰ πάντα τοῖς ἡγουμένοις ἡμῶν καὶ πᾶσι τοῖς Μοναχοῖς; ἢ ὅτι οὐκ εἴδομεν τὸ πρόσωπον αὐτοῦ τὸ ἐπιβλέπον ἐπὶ τὴν γῆν, καὶ ποιοῦν αὐτὴν τρέμειν, ῥαπιζόμενον, ἵνα καὶ ἡμεῖς ἐξουθενούμενοι ὑποφέρωμεν καὶ μὴ θηριώμεθα; Ἀλλ' ὅτι οὐκ ἠκούσαμεν αὐτοῦ λέγοντος, ὅτι ἐγὼ ἀπ' ἐμαυτοῦ οὐδὲν ποιῶ; καὶ πάλιν· ἦλθον οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός, ἵνα καὶ ἡμεῖς μὴ ὦμεν αὐθάδεις καὶ αὐτεξούσιοι; ἀλλὰ καὶ πάλιν οὐκ ἠκούσαμεν αὐτοῦ λέγοντος· «ἐγὼ οὐκ ἀπειθῶ οὐδὲ ἀντιλέγω· καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ»· καὶ πάλιν· «οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι». Καὶ πολλὰ ἕτερα τοιαῦτα φάσκοντος, ἵνα καὶ ἡμεῖς τοιοῦτοι γενέσθαι ἀγωνισώμεθα; Ἀδύνατον γὰρ ἄλλως εὐδοκιμῆσαι καὶ σωθῆναι, εἰμὴ ἐν τῷ μιμήσασθαι τὸν Κύριον ἐν παντί. Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, τὸ ἐκλεκτὸν ποίμνιον τοῦ Χριστοῦ, νήψωμεν ὡς καιρὸν ἔχομεν, καὶ κατὰ τὸ σχῆμα πολιτευσώμεθα, ἵνα καὶ τὴν Ἀγγελικὴν ἀξίαν ἀπολάβωμεν ὕστερον.

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ, μετροῦμεν τὸν χρόνον, ποὺ ἐπεράσαμεν εἰς τὸν μοναχικὸν βίον· ἀγνοοῦντες ὅμως τὴν ἀμέλειαν, ποὺ ἐπεδείξαμεν κατὰ τὸ διάστημα αὐτό, ὑπερηφανευόμεθα. Ἔπαινος ὅμως δι' ἕνα ἄνδρα δὲν εἶναι μόνον ὁ χρόνος τῆς ἀσκήσεως, ἀλλὰ ἡ κατὰ Θεὸν προκοπή· ὡς προκοπὴ δὲ νοεῖται ὄχι ἡ λεύκανσις τῶν τριχῶν, ἀλλὰ τὸ νὰ ἀποκτήσῃ κανεὶς ἐνάρετον βίον.

Φρόντισε νὰ κατακτήσῃς, Μοναχέ, τὴν αἰώνιον ζωήν, εἰς τὴν ὁποίαν ἐκλήθης, καὶ χάριν τῆς ὁποίας ἔδωσες τὴν καλὴν ὁμολογίαν ἐνώπιον ὁλοκλήρου τῆς ἄνω καὶ κάτω κτίσεως· «ἀκόμη λοιπὸν ὀλίγη ὑπομονὴ καὶ ὁ ἀναμενόμενος θὰ ἔλθῃ καὶ δὲν θὰ ἀργήσῃ». (Ἡσ. κστ΄, 20—21 καὶ Ἀμβακοὺμ β΄, 3). Τί εἶναι δὲ ὁ Μοναχός; ἢ μὲ ποῖον εἶναι ὅμοιος;

Ὁ Μοναχὸς ὁμοιάζει μὲ ἕνα ἄνδρα, ποὺ πίπτει ἀπὸ ὑψηλά· εὑρίσκει λοιπὸν ἕνα σχοινί, κρεμασμένον ἀπὸ ὑψηλὸν στήριγμα, τὸ ἁρπάζει, κρεμιέται ἀπὸ αὐτὸ καὶ φωνάζει, ἔκτοτε, συνεχῶς πρὸς τὸν Κύριον, νὰ τὸν βοηθήσῃ, διότι γνωρίζει, ὅτι ἐὰν κουρασθῇ καὶ ἀφήσῃ καὶ τὰ δύο του χέρια, θὰ πέσῃ καὶ θὰ σκοτωθῇ.

Ἀγαπητοὶ ἀδελφοί, ἀφοῦ φοροῦμεν τὸ Ἀγγελικὸν σχῆμα, ἂς μὴ συναγωνιζώμεθα μὲ τὸν διάβολον, ἀλλ' ἂς ἐπιδιώκωμεν, ὅσον τὸ δυνατόν, τὸν βίον τῶν Ἀγγέλων. Διότι τὸ σχῆμα πρέπει νὰ συνοδεύεται ἀπὸ τὸν τρόπον καὶ τὰ ἔργα· χωρὶς τὰ ἔργα, τὸ σχῆμα καμμίαν ἀξίαν δὲν ἔχει. Μήπως τάχα ζοῦν εἰς τὸν οὐρανὸν οἱ Ἄγγελοι μὲ φιλονικίαν καὶ φθόνον, καθὼς τώρα βλέπομεν νὰ συμβαίνουν αὐτὰ μεταξὺ τῶν Μοναχῶν;

Ἂς φροντίσωμεν, ἀδελφοί, νὰ μὴ γινώμεθα ἐμπόδιον καὶ σκάν-

δαλον εἰς τοὺς κοσμικούς· ἂς μὴ βλασφημῆται τὸ καλὸν σχῆμα, ἐξ αἰτίας μας, ἀλλ' ὅσον τὸ δυνατὸν περισσότερον ἂς εὐφημῆται. Ἄραγε τί θὰ ἀπολογηθῶμεν ἐνώπιον τοῦ Κριτοῦ, κατὰ τὴν φοβερὰν ὥραν τῆς Κρίσεως, ἐὰν ἔτσι ἀμελῶμεν τὴν σωτηρίαν μας; Τί ἔπρεπε νὰ κάμῃ ὁ Θεὸς δι' ἡμᾶς, καὶ δὲν τὸ ἔκαμεν; Μήπως αὐτὸν τοῦτον τὸν Θεὸν Λόγον δὲν εἴδομεν ταπεινόν, ἐν μορφῇ δούλου, διὰ νὰ γίνωμεν καὶ ἡμεῖς ταπεινοί; Ἢ μήπως δὲν εἴδαμεν νὰ ἐμπτύεται τὸ ἀκατάληπτον Αὐτοῦ πρόσωπον, ὥστε νὰ μὴ ὀργιζώμεθα καὶ ἡμεῖς, ὅταν ὑβριζώμεθα, ἢ ὅταν μᾶς ἐπιπλήττουν;

Ἀλλὰ μήπως δὲν εἴδαμεν τὰ ἅγια νῶτα Αὐτοῦ νὰ μαστιγώνωνται, διὰ νὰ ὑπακούωμεν καὶ ἡμεῖς εἰς ὅλα ἐνώπιον τῶν Ἡγουμένων μας καὶ τῶν ἄλλων Μοναχῶν; Ἢ μήπως δὲν εἴδομεν τὸ πρόσωπόν Του, τὸ ὁποῖον ὅταν βλέπῃ τὴν γῆν, τὴν κάμνει νὰ τρέμῃ (Ψαλμ. ργ'. 32), νὰ ῥαπίζεται, ὥστε καὶ ἡμεῖς νὰ ὑπομένωμεν, ὁσάκις μᾶς προσβάλλουν, καὶ νὰ μὴ γινώμεθα ὅπως τὰ θηρία; Μήπως, τάχα, δὲν Τὸν ἠκούσαμεν νὰ λέγῃ, πὼς ἐγὼ τίποτε δὲν κάνω μὲ τὴν θέλησίν μου; καὶ ἀλλοῦ πάλιν, ὅτι ἦλθον εἰς τὸν κόσμον ὄχι νὰ κάμω τὸ θέλημά μου, ἀλλὰ τὸ θέλημα τοῦ Ἐπουρανίου Πατρός, ποὺ μὲ ἔστειλεν (Ἰωάν. ε', 30—31), ὥστε καὶ ἡμεῖς νὰ μὴ εἴμεθα αὐθάδεις καὶ νὰ μὴ ἐνεργῶμεν αὐθαιρέτως; Μήπως, τάχα, δὲν τὸν ἠκούσαμεν νὰ λέγῃ ἀλλοῦ· «ἐγὼ δὲν ἀπειθαρχῶ, οὔτε ἀντιλέγω· μάθετε ἀπὸ ἐμέ, ὅτι εἶμαι πρᾶος καὶ ἔχω ταπεινὴν καρδίαν»· (Ματθ. ια'. 29)· καὶ πάλιν· «δὲν ἦλθον νὰ ὑπηρετηθῶ, ἀλλὰ νὰ ὑπηρετήσω» (Ματθ. κ', 28). Καὶ ἐν γένει νὰ λέγῃ πολλὰ τοιαῦτα ὅμοια, διὰ νὰ ἀγωνισθῶμεν καὶ ἡμεῖς νὰ γίνωμεν τοιοῦτοι;

Διότι εἶναι ἀδύνατον μὲ ἄλλον τρόπον νὰ εὐδοκιμήσωμεν καὶ νὰ σωθῶμεν, παρὰ μόνον ἐφ' ὅσον μιμηθῶμεν εἰς ὅλα τὸν Κύριον. Σᾶς παρακαλῶ λοιπόν, ἀδελφοί μου, σεῖς ποὺ εἴσθε τὸ ἐκλεκτὸν ποίμνιον τοῦ Χριστοῦ, ἂς συνέλθωμεν, ἐφ' ὅσον ἔχομεν καιρόν, καὶ ἂς πολιτευθῶμεν, σύμφωνα μὲ τὸ σχῆμα ποὺ φέρομεν, διὰ νὰ ἀπολαύσωμεν μετὰ ταῦτα καὶ τὴν Ἀγγελικὴν ἀξίαν.





ΥΠΟΘΕΣΙΣ ΛΓ΄

Περὶ τοῦ ὅτι δεῖ τὸν πιστὸν τὰ παρὰ τοῦ πνευματικοῦ αὐτοῦ πατρὸς καταδέχεσθαι προθύμως ὡς συμφέροντα, κἂν λυπηρὰ ἢ καὶ ἐπώδυνα· πρὸς γὰρ τὸν σκοπὸν αὐτοῦ καὶ τὰς θλίψεις καὶ τὸ παρὰ Θεοῦ ἔλεος δίδοται.

Περὶ τοῦ ὅτι ὁ πιστὸς πρέπει μετὰ προθυμίας νὰ παραδέχεται ὅσα τοῦ ὑποδεικνύει ὁ πνευματικός του πατήρ, διότι εἶναι συμφέροντα, ἔστω καὶ ἐὰν τοῦ προκαλοῦν λύπην ἢ εἶναι κοπιαστικά· διότι πρὸς τὸν σκοπὸν αὐτὸν καὶ διὰ τὴν ἀνακούφισιν ἀπὸ τὰς θλίψεις δίδεται καὶ ἀπὸ τὸν Θεὸν τὸ ἔλεος.



Α΄. Γρηγορίου τοῦ Διαλόγου



ΤΗΝ ΤΗΣ ΜΟΝΗΣ προστασίαν μετὰ τὸν Ἅγιον Ὀνωρᾶτον διαδεξάμενος, ἐν μιᾷ κατὰ τοῦ θεοφιλοῦς Λιβερτίνου βαρυτάτῳ θυμῷ ἐξήφθη, ὡς ἐπιβαλεῖν αὐτῷ καὶ τὰς ἑαυτοῦ χεῖρας· καὶ μὴ εὑρὼν ῥάβδον δι' ἧς αὐτὸν μαστιγώσει, ἄρας τὸ ὑποπόδιον, τούτῳ τὴν κεφαλὴν αὐτοῦ καὶ τὸ πρόσωπον ἱκανῶς ἔτυψε, καὶ ὅλον μελανὸν καὶ πεφυσημένον πεποίηκε. Σφοδρῶς οὖν ὁ Λιβερτῖνος μαστιγωθείς, ἀπελθὼν ἐν τῇ ἰδίᾳ κλίνῃ ἡσύχαζεν. Ἦν δέ τι πρᾶγμα τοῦ Μοναστηρίου ὡρισμένον τῇ ἑξῆς πραχθῆναι ἡμέρᾳ. Τῇ ἐπαύριον οὖν πληρωθέντων τῶν ἑωθινῶν ὕμνων, ὁ Λιβερτῖνος εἰς τὴν τοῦ ἡγουμένου κλίνην ἀπῆλθε, καὶ μετὰ πάσης ταπεινοφροσύνης εὐχὴν ᾐτήσατο.

Γινώσκων οὖν ὁ ἡγούμενος πῶς παρὰ πάντων ἐτιμᾶτο καὶ ἠγαπᾶτο ὁ Λιβερτῖνος διὰ τὸ ὑπερβάλλον τῆς αὐτοῦ ἀρετῆς, ἐνόμισεν ὅτι διὰ τὴν ὕβριν, ἣν αὐτῷ ἐπήγαγε, τῆς μονῆς ὑποχωρῆσαι βούλεται· διὸ καὶ ἠρώτησεν αὐτὸν ποῦ βούλεται ἀπελθεῖν· ὁ δὲ ἀποκριθεὶς εἶπε· τοῦ Μοναστηρίου πρᾶγμα ὡρισμένον ἐστί, Πάτερ, ὅπερ ἐᾶσαι οὐ δύναμαι· χθὲς γὰρ ὥρισα σήμερον ἐκεῖσε εὑρεθῆναι. Τότε ἐκεῖνος κατα-

νοήσας τὴν ἑαυτοῦ σκληρότητα, τὴν δὲ ταπεινοφροσύνην καὶ πρᾳότητα τοῦ Λιβερτίνου, ἐκ βάθους καρδίας ἐστέναξε, καὶ τῆς κλίνης ἐξαναστάς, τοὺς τοῦ Λιβερτίνου πόδας ἐκράτησε καὶ ἑαυτὸν ἡμαρτηκέναι ὡμολόγησεν, ὅτι τηλικούτῳ ἀνδρὶ τοιαύτην ὠμοτάτην βάσανον ἐπενεγκεῖν ἐτόλμησε· τοὐναντίον δὲ καὶ ὁ Λιβερτῖνος ἑαυτὸν εἰς τὴν γῆν ὑποστρώσας, καὶ τοῖς ἐκείνου ποσὶ προσκυλινδούμενος, τὸ γεγονὸς οὐκ ἐκείνου, ἀλλὰ τοῦ ἰδίου πταίσματος εἶναι ἔλεγε καὶ ἑαυτὸν ᾐτιᾶτο, καὶ ἄξια παθεῖν ὧν ἥμαρτεν ἀπεφαίνετο. Ὁ οὖν Πατὴρ εἰς μεγίστην ἐκ τούτου ἐπανῆλθε πρᾳότητα, καὶ γέγονε τῷ διδασκάλῳ πρὸς ἀρετὴν ὁδηγὸς ἡ τοῦ μαθητευομένου ταπείνωσις.

Ἀπολυθεὶς οὖν, εἰς τὸ ὡρισμένον ἀπῆλθε πρᾶγμα, καὶ πολλοὶ τῶν γνωρίμων αὐτοῦ ἄνδρες εὐγενεῖς τε καὶ τίμιοι, ἰδόντες αὐτὸν οὕτως ἔχοντα καὶ οὕτω μελανὸν καὶ πεφυσημένον τὸ πρόσωπον, ἠρώτων πόθεν αὐτῷ τοῦτο συνέβη· πρὸς οὓς ἀπεκρίθη, ὅτι χθὲς πρὸς ἑσπέραν, τῶν ἁμαρτιῶν μου ποιουσῶν, εἰς τὸ ὑποπόδιον τοῦ σκαμνίου προσκόψας, τοῦτο ἔπαθον· καὶ οὕτως ὁ δίκαιος οὔτε τοῦ Πατρὸς τὸν θυμὸν ἐδημοσίευσεν, οὔτε τῇ ἁμαρτίᾳ τοῦ ψεύδους ὑπέπεσεν.

Ταύτην οὖν, Πέτρε, τὴν δύναμιν τῆς ὑπομονῆς παρὰ πολὺ μείζονα εἶναι πιστεύω τῶν θαυμάτων καὶ τῶν σημείων, ὧν ὁ μέγας οὗτος ἀνὴρ ἐποίησεν.

Ἑ ρ μ η ν ε ί α

ΜΙΑΝ ΗΜΕΡΑΝ, ἐκεῖνος ποὺ διεδέχθη τὸν ἅγιον Ὀνωρᾶτον εἰς τὴν θέσιν τοῦ Ἡγουμένου τῆς Μονῆς, κατελήφθη ἀπὸ τόσον μεγάλον θυμὸν καὶ ὀργὴν ἐναντίον τοῦ θεοφιλοῦς Λιβερτίνου, ὥστε νὰ φθάσῃ εἰς τὸ σημεῖον νὰ τὸν κτυπήσῃ μὲ τὰ χέρια του· καὶ ἐπειδὴ δὲν εὕρισκε ραβδὶ διὰ νὰ τὸν μαστιγώσῃ, ἐσήκωσε τὸ σκαμνὶ καὶ τὸν ἐκτύπησε μὲ τόσην δύναμιν εἰς τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ὥστε τοῦ τὸ ἔπρηξε καὶ τὸ ἐμελάνιασε. Μετὰ τὸ ἰσχυρὸν αὐτὸ κτύπημα, ὁ Λιβερτῖνος ἐπῆγε καὶ ἡσύχασεν εἰς τὸ κρεβάτι του. Ἐν τῷ μεταξὺ εἶχε προγραμματισθῆ μία ἐργασία τοῦ Μοναστηρίου διὰ τὴν ἐπομένην ἡμέραν· πρωΐ - πρωΐ τότε ὁ Λιβερτῖνος, ἀφοῦ ἐτελείωσεν ἡ ἀκολουθία τοῦ ὄρθρου, μετέβη εἰς τὸ δωμάτιον τοῦ Ἡγουμένου καὶ μὲ ὅλην τὴν ταπεινοφροσύνην τοῦ ἐζήτησε τὴν εὐχήν του.

Ὁ Ἡγούμενος, ἐπειδὴ ἐγνώριζε πόσον ὅλοι ἐτίμων καὶ ἠγάπων τὸν Λιβερτῖνον, διὰ τὴν ὑπερβολικὴν ἀρετήν του, ἐνόμισεν ὅτι θέλει νὰ φύγῃ ἀπὸ τὸ Μοναστήρι, διὰ τὴν προσβολήν, ποὺ τοῦ ἐπροξένησε· δι᾿ αὐτὸ λοιπὸν τὸν ἠρώτησε, ποῦ θέλει νὰ ὑπάγῃ.

— Πάτερ —ἀπήντησε μὲ ἠρεμίαν ὁ Λιβερτῖνος — ἔχω προγραμματίσει μίαν ἐργασίαν τοῦ Μοναστηρίου, τὴν ὁποίαν δὲν δύναμαι νὰ ἀφήσω, διότι χθὲς ὥρισα νὰ εὑρεθῶ ἐκεῖ σήμερον.

Ὁ Ἡγούμενος ἀνεγνώρισεν ὅτι εἶχε φερθῆ σκληρὰ πρὸς τὸν Λιβερτῖνον καθὼς καὶ τὴν ταπεινοφροσύνην καὶ πρᾳότητα αὐτοῦ. Ἀνεστέναξεν ἀπὸ τὴν καρδίαν του καὶ ἀμέσως ἐσηκώθηκεν ἀπὸ τὸ κρεββάτι του, ἔπεσεν εἰς τὰ πόδια τοῦ ὑποτακτικοῦ του, τὰ ἐκράτησε μὲ σεβασμόν, καὶ

ὡμολόγησεν ὅτι ἡμάρτησε, μὲ τὸ νὰ τολμήσῃ νὰ προξενήσῃ τόσον σκληρότατον πόνον εἰς ἕνα τόσον σπουδαῖον ἄνδρα· ἐξ ἀντιθέτου καὶ ὁ Λιβερτῖνος ἔπεσεν εἰς τὴν γῆν ἐμπρὸς εἰς τὰ πόδια τοῦ Ἡγουμένου, ἰσχυριζόμενος ὅτι αὐτό, ποὺ ἔγινε, δὲν ὠφείλετο εἰς ἐκεῖνον (τὸν Ἡγούμενον δηλαδή), ἀλλ' εἰς ἰδικόν του πταίσιμον· ἐθεώρει δὲ τὸν ἑαυτόν του αἴτιον καὶ διετύπωνε τὴν γνώμην, ὅτι αὐτὰ ποὺ ἔπαθεν ἦσαν ἄξια τῶν σφαλμάτων του.

Κατόπιν αὐτοῦ τοῦ περιστατικοῦ ὁ Ἡγούμενος ἀπέκτησε μεγίστην πρᾳότητα καὶ ἡ ταπείνωσις τοῦ μαθητοῦ ἔγινε διὰ τὸν διδάσκαλον ὁδηγὸς πρὸς τὴν ἀρετήν.

Ἀφοῦ λοιπὸν ἔλαβε τὴν ἄδειαν, μετέβη εἰς τὴν καθωρισμένην ὑπηρεσίαν· πολλοί, τότε, ἀπὸ τοὺς γνωστούς του, ἄνθρωποι εὐγενεῖς καὶ ἀξιοσέβαστοι, καθὼς τὸν ἔβλεπαν νὰ ἔχῃ μελανιασμένον καὶ πρησμένον τὸ πρόσωπόν του, τὸν ἠρώτων τί τοῦ συνέβη.

— Χθὲς τὸ βράδυ—ἀπαντοῦσεν ἐκεῖνος—ἐξ αἰτίας τῶν ἁμαρτιῶν μου, ἐσκόνταψα εἰς τὸ σκαμνὶ καὶ ἔπαθα αὐτὸ ποὺ βλέπετε.

Ἔτσι ὁ δίκαιος ἐκεῖνος ἄνθρωπος οὔτε τὸν θυμὸν τοῦ Ἡγουμένου ἐφανέρωσεν, ἀλλ' οὔτε καὶ εἰς τὴν ἁμαρτίαν τοῦ ψεύδους περιέπεσεν.

Αὐτὴ λοιπὸν ἡ δύναμις τῆς ὑπομονῆς πιστεύω, Πέτρε, ὅτι εἶναι κατὰ πολὺ μεγαλυτέρα ἀπὸ τὰ θαύματα καὶ τὰ σημεῖα ποὺ ἐπραγματοποίησεν ὁ μεγάλος ἄνθρωπος (ὁ Λιβερτῖνος).

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

Ο ΜΕΓΑΣ Παχώμιος, ἔτι νέος ὢν καὶ τῷ Ἁγίῳ Παλάμωνι ὑποτασσόμενος, εἰς πάντα τῷ διδασκάλῳ ἀδιακρίτως καὶ προθύμως ὑπήκουε καὶ ἠκολούθει αὐτῷ μετὰ ταπεινῆς καρδίας ἐν ταῖς μεγίσταις ἐκείναις καὶ ὑπερφυέσι σκληραγωγίαις. Πρὸς οὖν ταῖς ἄλλαις κακοπαθείαις πολλάκις πεμπόμενος ξύλα ἀναλέξασθαι ἀπὸ τοῦ ὄρους, ἀνυπόδετος ὤν, ἤλγει τοὺς πόδας, ἐπὶ πολὺ τῶν σκολόπων αὐτῷ πειρομένων, καὶ ὑπέμενε χαίρων, μνημονεύων τῶν ἐν ταῖς χερσὶ καὶ τοῖς ποσὶ τοῦ Σωτῆρος ἡμῶν ἥλων ἐπὶ τοῦ Σταυροῦ αὐτῷ συνηλωθέντων.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Παχώμιος, ὅταν ἀκόμη ἦτο νέος, ὑποτακτικὸς εἰς τὸν Ἅγιον Παλάμωνα, ὑπήκουεν εἰς τὸν διδάσκαλόν του πρόθυμα καὶ χωρὶς οὐδεμίαν ἀντιλογίαν, τὸν ἠκολούθει δὲ μὲ ταπεινὴν καρδίαν εἰς ἐκείνας τὰς ἀνυπερβλήτους καὶ ἀξιοθαυμάστους σκληραγωγίας. Ἐκτὸς λοιπὸν τῶν ἄλλων κακοπαθειῶν (εἰς τὰς ὁποίας ὑπεβάλλετο ἑκουσίως) ἐστέλλετο πολλάκις εἰς τὸ βουνόν, διὰ νὰ μαζεύσῃ ξύλα· καθὼς λοιπὸν ἐπερπατοῦσε ξυπόλητος καὶ τὰ ἀγκάθια, ὡς καρφιά, τοῦ ἐτρυποῦσαν τὰ πόδια, ὑπέμενε μὲ χαρὰν τὸ μαρτύριον, ἐνθυμούμενος τὰ καρφιά, μὲ τὰ ὁποῖα ἐκάρφωσαν ἐπάνω εἰς τὸν Σταυρὸν τὰ χέρια καὶ τὰ πόδια τοῦ Σωτῆρος ἡμῶν.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀντωνίου τοῦ νέου ἐπὶ τῶν εἰκονομάχων

Ο ΟΣΙΟΣ Πατὴρ οὗτος Ἀντώνιος, ἐξ ἀρχοντικῆς ἀξίας τῇ μοναδικῇ προσελθὼν πολιτείᾳ, καὶ ὑπερφυεῖς ἀγῶνας καθ' ἑαυτὸν ἐν ἡσυχίᾳ ἀγωνισάμενος ἐπὶ χρόνους μακρούς, μετὰ ταῦτα, ἀναγινώσκων ποτὲ τὴν τῶν ἀρετῶν θείαν Κλίμακα, εὑρίσκει ἐν τῷ τέλει τοῦ περὶ ὑπακοῆς λόγου λέγοντα τὸν διδάσκαλον· «ὅς τις καθ' ἡσυχίαν καθήμενος ἐπέγνω τὴν ἑαυτοῦ ἀσθένειαν, καὶ μετελθὼν πέπρακεν ἑαυτὸν ὑπακοῇ, οὗτος, τυφλὸς ὤν, ἀκόπως πρὸς Χριστὸν ἀνέβλεψε». Τοῦτο τοίνυν τὸ ρητὸν ἐν διανοίᾳ περιστρέφων, ἔλεγεν ἐν ἑαυτῷ· μετὰ τοσούτους κόπους καὶ καμάτους ἀσκήσεως, ἀκμὴν τυφλός; καὶ πότε ἄρα ἀναβλέψαι προθυμηθῶμεν; καὶ καταλιπὼν τὴν μονιὰν καὶ τὸν ἀναχωρητικὸν βίον, δίδωσιν ἑαυτὸν εἰς κοινοβιακὸν στάδιον.

Ἐλθὼν οὖν εἰς τὸ κατὰ τὴν Κίον τῆς Βιθυνῶν ἐπαρχίας διαβόητον κοινόβιον, ἔμεινεν εἰς τὸ ξενοδοχεῖον ἐπὶ ἡμέρας τινὰς ὡς εἷς τῶν πτωχῶν, μηδενὶ μηδὲν εἰρηκώς· ἐπεὶ δὲ ἐτρέφετο μετὰ τῶν πενήτων ἐφ' ἑκάστης, μὴ ἀνασχόμενος δωρεὰν ἄρτον ἐσθίειν, ἀνήρχετο εἰς τὸ πλησίον ὄρος καὶ ἐποίει φορτίον φρυγάνων, καὶ φέρων τοῖς ἰδίοις ὤμοις, ἐτίθει παρὰ τὸν πυλῶνα· ὅπερ ἰδὼν ὁ ἐπιτεταγμένος τὴν τῶν ξένων φροντίδα, λέγει αὐτῷ· τί ποιεῖς, Ἀββᾶ; οὐ χρείαν ἔχει τὸ Μοναστήριον τοῦ κόπου σου· οἱ ἐνταῦθα παραγινόμενοι ἀγάπην ἐσθίουσιν, εὐχαριστοῦντες τῷ Θεῷ. Λέγει πρὸς αὐτὸν ὁ Ἀντώνιος· καί γε ἐγὼ ἔγνωκα· ἀλλ' ἐπειδὴ ἀργὸς οὐ φέρω καθέζεσθαι, τοῦτο προθέσει ἰδίᾳ ποιῶ καὶ ἀναπαύομαι. Ἐπιμένοντος δὲ αὐτοῦ τῷ πυλῶνι τούτῳ τῷ τρόπῳ καὶ μηδὲν λέγοντος, ἀναφέρει ὁ ξενοδόχος τὰ κατ' αὐτὸν τῷ ἡγουμένῳ· ἦν δὲ οὗτος Ἰγνάτιος ὁ ἀοίδιμος, ὁ καὶ τὸ Μοναστήριον ἰδίοις κόποις ἐν Κυρίῳ δειμάμενος.

Λέγει οὖν ὁ Πατὴρ πρὸς τὸν ξενοδόχον· ἐρώτησον αὐτὸν τί ζητῶν προσκαρτερεῖ τῷ πυλῶνι; ἐρωτηθεὶς δὲ ὁ Ἀντώνιος πρὸς τοῦ ἀδελφοῦ, ἔφη· ξένος μέν εἰμι τῶν ἐνταῦθα, βούλομαι δὲ σὺν Θεῷ μεθ' ὑμῶν συνοικῆσαι ὠφελείας χάριν. Ταῦτα μαθὼν ὁ ἡγούμενος ἐκέλευσεν αὐτὸν εἰσελθεῖν· καὶ θεασάμενος, ἐπέγνω αὐτὸν ὅς τις ἦν· (ἦν γὰρ ἔχων ἀκοὴν τῆς ὑψηλῆς αὐτοῦ πολιτείας)· εἶτα λέγει αὐτῷ· τί πρὸς ἡμᾶς ἐσκύλης, Ἀββᾶ; ἔφη αὐτῷ ὁ Ἀντώνιος· ἵνα γένωμαι ὡς εἷς ἐξ ὑμῶν τῇ ἀρετῇ, ἐλλιπῶς ἔχων πρὸς ταύτην ἕως ἄρτι.

Λέγει πρὸς αὐτὸν ὁ προεστώς· οὐ δύνασαι γενέσθαι ὑποτακτικός, τοσούτοις ἔτεσιν ἑαυτῷ ζήσας καὶ Θεῷ· πολλοὶ γὰρ ἰδίῳ θελήματι στηριζόμενοι, ἤ τινι ἂν τῶν λοιπῶν ἀρετῶν ἐπεχείρησαν, κατώρθωσαν ταύτην· λέγω δὴ ἐγκράτειαν, νηστείαν, ἀκτημοσύνην, κακουχίαν σώματος· οὓς πολλάκις ὁ κοινοβιακὸς δοκιμάσας νόμος, διὰ τὸ τῆς ταπεινοφροσύνης ἐνδέον, ἀδοκίμους ἀπέφηνε καὶ ἐν οἷς ἐδόκουν εἶναι καλοῖς· ἔφη ὁ Ἀντώνιος· τοῦτο κἀγὼ μαθὼν ἐκ τῆς θεοπνεύστου τῶν Πατέρων διδασκαλίας, ὡς μήπω τῶν οὐδῶν ἐπιβὰς τῆς ἀρετῆς, φέρων ἐμαυτὸν ὑμῖν παραδέδωκα εἰς δουλείαν, ὡς ἂν δι' ὑμῶν ἀρχὴν βάλω ἐν Χριστῷ τῆς παρ' ἡμῖν ἐπιστημονικῶς εὐθετουμένης ζωῆς.

Μετὰ οὖν τὸ εἰπεῖν ταῦτα, εἰσδεχθεὶς ὁ Ἀντώνιος, ἐπετράπη παρὰ τοῦ ἡγουμένου τὴν τῆς Ἐκκλησίας ἐν πρώτοις ποιεῖσθαι ὑπηρεσίαν, ὡς βαρυτάτην οὖσαν, καὶ τοῖς πολλοῖς παραιτητέαν. Ἐπιμείνας οὖν ἐν τῇ διακονίᾳ ταύτῃ χρόνον τινά,

καὶ μὴ ἀρκεσθεὶς τῇ ἐντεῦθεν αὐτῷ προσγινομένῃ ταλαιπωρίᾳ, προσελθὼν λέγει τῷ προεστῶτι· ἐγὼ διὰ κόπον περισσότερον ἦλθον ἐνταῦθα, καὶ ἥν μοι ἐπέτρεψας ἐκτελεῖν διακονίαν, ἐλαφρά ἐστι πρὸς ἐμέ.

Ταῦτα ἀκούσας ὁ ἡγούμενος, παραδίδωσιν αὐτὸν τῷ πρωτεργάτῃ τῶν ἀμπέλων, πρὸς τὸ κλαδεύειν αὐτὰς σὺν τοῖς λοιποῖς ἀδελφοῖς. Ἀπείρως οὖν ἔχων πρὸς τὴν τοιαύτην ὑπουργίαν, πολλαχῶς ἔπληττε τοὺς ἑαυτοῦ δακτύλους· ὅθεν καὶ δυσαχθῶς πρὸς τὸ ἐπιτήδευμα διέκειτο· ὅμως ἐπιμείνας τὸν ἅπαντα χρόνον τοῦ κλάδου, πάλιν τῷ καιρῷ τῆς σκαφῆς ἀμφεπονεῖτο περὶ αὐτάς, κοπιῶν ἰσχυρότατα· ἤδη δὲ τῶν καρπῶν περκαζόντων, τὴν τούτων φυλακὴν αὐτὸς ἐγχειρίζεται.

Ἐρχόμενοι τοίνυν τινὲς τῶν ἀδελφῶν, οἱ ἀμελέστεροι, ἢ κατὰ δοκιμὴν ἴσως, ἐζήτουν σταφυλὰς λαβεῖν· πρὸς οὓς ἔλεγε· συγχωρήσατέ μοι, ἀδελφοί, ὅτι οὐκ ἐπετράπην τοῦτο ποιεῖν· ἰδοὺ αἱ ἄμπελοι πρόκεινται ὑμῖν καὶ εἰ βούλεσθε, λάβετε ἀφ᾿ ἑαυτῶν· καὶ ἐὰν ἄρητε, πάλιν ἀνάγκη μοι ἐπίκειται, ἵνα ἐξαγγείλω τῷ ἡγουμένῳ· κἀκεῖνος γὰρ καθ᾿ ἑκάστην μετὰ τῶν λοιπῶν τοὺς λογισμοὺς αὐτοῦ τῷ προεστῶτι ἐξήγγελλε.

Ταῦτα ἀκούοντες οἱ ἀδελφοὶ ἀνεχώρουν ἄπρακτοι. Οἷα δὲ καὶ πρὸς ἑαυτὸν διεξήει· καθεζόμενος τὸ μεσημβρινὸν ἐν τῇ σκηνῇ, καὶ τοὺς φθεῖρας ἀποσυνάγων ἐκ τοῦ ἰδίου ἐνδύματος, ἔλεγε πρὸς τοὺς ἑαυτοῦ λογισμούς· ὄντι μοι καθ᾿ ἡσυχίαν, ἐλέγετε ὅτι οὐδὲν ὠφελεῖς ἐνταῦθα ταλαιπωρούμενος, καὶ ἄμισθον ἐποιεῖτε τὴν ἐν μονῇ διαγωγήν· ἠγάγετέ με ἐνταῦθα καὶ πάλιν ἐκείνης τοὺς πόνους μακαρίζετε, βουλόμενοί με τῆς τῶν ἀδελφῶν διαστῆσαι ζωῆς; Ταῦτα μετὰ δακρύων ἐν πόνοις καρδίας λογιζόμενος πολλάκις καὶ πρὸς ἑαυτὸν λέγων, ὑπό τινος Πνευματικοῦ γέροντος κατελαμβάνετο· ὑφ᾿ οὗ καὶ λόγοις παρεμυθεῖτο φιλαδελφίας καὶ οὕτως ὑπέφερε τοὺς πειρασμοὺς ὁ Ἀντώνιος διὰ τὴν μέλλουσαν μισθαποδοσίαν.

Μετὰ γοῦν τὸ παρελθεῖν τὸν καιρὸν τοῦ τρυγητοῦ, παραδίδοται δουλεύειν εἰς τὸ τραπεζαρεῖον, ἔνθα δὴ καὶ συνέβαινεν αὐτῷ κοπιᾶν περισσοτέρως, ἕως τρίτης ὥρας σχεδὸν τῆς νυκτὸς τυρβαζομένῳ ἐν τῇ τῶν εἰσιόντων καὶ ἐξιόντων ὑποδοχῇ καὶ λειτουργίᾳ, ὑφ᾿ ὧν πολλάκις καὶ ἀτιμίαις ἐπλύνετο, οἷα φιλεῖ πολλάκις ἐπὶ τῶν τοιούτων συμβαίνειν. Γυμναζόμενος δὲ ἐν ταῖς τοιαύταις διακονίαις χρόνον ἤδη συχνόν, τό τε ἱμάτιον ἑαυτοῦ καὶ τὰ ὑποδήματα κατέτριψεν, ἅπερ ὑποδήματα κατεδέξατο φορέσαι, διὰ τὴν τοῦ μακαρίτου Ἐπισκόπου Παύλου παράκλησιν· τὸν γὰρ πρὸ τοῦ τῆς ἀσκήσεως ἅπαντα χρόνον γυμνοποδῶν ἦν.

Τότε οὖν, ὡς εἶπον, τούτων κατατριβέντων, τοῦ χειμῶνος ἐνστάντος, ἐπήγνυτο ὑπὸ τοῦ κρύους, τοῦ ἡγουμένου τέως ἀναβαλλομένου δοῦναι αὐτῷ τὴν ἀναγκαίαν τοῦ σώματος σκέπην δοκιμαστικῶς, εἰς ὠφέλειαν τῶν ἀφερεπόνων καὶ αὐτοῦ περισσότερον μισθόν. Ὅθεν δὴ καὶ οἱ πόδες αὐτοῦ ἐκ τῆς πρὸς τὰ μάρμαρα ὁμιλίας ῥῆξιν ὑπομείναντες ἄλγος αὐτῷ οὐ τὸ τυχὸν ἐνεποίουν. Θεωροῦντες δὲ οἱ ἀδελφοὶ τὴν πολλὴν αὐτοῦ βίαν καὶ ἀνάγκην, ὁ μὲν κώδιον αὐτῷ ἐπέρριπτεν, ὁ δὲ καλίγια εἰς τὸ ὑποδήσασθαι, ὧν οὐδὲν ὁ πύκτης δεχόμενος, εἰς τὴν τοῦ προεστῶτος ἑώρα κρίσιν, λέγων τοῖς ἀδελφοῖς· γινώσκειν οἶδα τὸν Πατέρα ἡμῶν, ὧν ἐπιδέομαι ὑστερούμενος· αὐτῷ οὖν καταλιμπάνω τὴν περὶ ἐμοῦ οἰκονομίαν, ἕως ὅτου ὁ Θεὸς πληροφορήσει αὐτόν, χάριν τῆς ἐμῆς ταπεινώσεως.

Ἐν τούτοις τοιγαροῦν τῆς χειμερίου τροπῆς διαλυθείσης, καὶ τοῦ ἔαρός τε

καὶ θέρους παραλλαξάντων, καὶ αὐτοῦ ἀπρονοήτου ἔτι διαθλεῖν ἐγκαταλειφθέντος, ἡττηθεὶς τῇ πολιορκίᾳ τῶν ἐντὸς λογισμῶν καὶ τῶν ἐκτὸς ἐλλείψεων, πρόσεισι τῷ γυμναστῇ καί φησι· δέσποτα, ἐὰν οὐχ ἱκανοῖ τὸ Μοναστήριον δοῦναι καὶ ἐμοὶ τὰ πρὸς τὴν χρείαν, ἐπίτρεψον καὶ διὰ φίλων ποιήσω τὴν ἐμαυτοῦ ὑπηρεσίαν· ὁ δὲ θεῖος ἐκεῖνος ποιμήν, εἰς ὅπερ ἐβούλετο τοῦτον ἑαλωκώς, λέγει πρὸς αὐτόν· πᾶσαν τὴν περιοικίδα ἐν Χριστῷ τρέφει τὸ Μοναστήριόν μου, καὶ σὲ οὐχ ἰσχύει ἐνδῦσαι καὶ ὑποδῆσαι; ἤκουον πάλαι περὶ σοῦ ὅτι ἀγωνιστὴς εἶ, καὶ ὑπομονητικὸς ἐν ταῖς σωματικαῖς περιστάσεσι· νυνὶ δέ, οὐδὲν ὧν ἤκουσα θεωρῶ ἐπὶ σέ· πάντα τὰ ἐν τῷ κόσμῳ περιόντα σοι κατέλιπες διὰ τὸν Θεόν, καὶ εἰς κόπους ἑαυτὸν καὶ πτωχείαν δέδωκας, ἡσυχάσας ἐν τῇ ἐρήμῳ καλῶς ἐπὶ πλείστους χρόνους, καὶ τὰς ἀνάγκας ὑπομείνας τοῦ σώματος, καὶ ἵνα ἔλθῃς πρὸς ἡμᾶς ὀλιγόψυχος γέγονας καὶ ἀκαρτέρητος ἐν τοῖς μικροῖς ταύτοις γυμνάσμασιν, ἀνέσεις ἐπιζητῶν ὡς εἷς τῶν ἀμελεστέρων καὶ μὴ σαφῶς ἀποβλεπόντων εἰς τὴν μεγάλην τοῦ Χριστοῦ μισθαποδοσίαν; καὶ ἐξουδενώσας αὐτόν, ἀπεριλόγητον εἴασεν ἀπελθεῖν.

Τοὺς τοιούτους οὖν καυτῆρας ὁ ἀθλητὴς τοῦ Χριστοῦ δεξάμενος Ἀντώνιος, διέμεινεν ἐγκαρτερῶν τοῖς κατὰ Θεὸν θλιβεροῖς, καθ' ἑκάστην δάκρυσιν ἑαυτὸν κατακλύζων, καὶ ἐγκρατείᾳ τῇ τοῦ σώματος διαφόρως ἀποκαθαίρων· συνεχωρήθη γὰρ αὐτῷ παρὰ τοῦ ποιμένος νηστεύειν τε καὶ ἀγωνίζεσθαι, ὡς βούλεται, ἵνα μὴ δόξῃ κατόπιν ἐληλακέναι τῆς καθ' ἡσυχίαν αὐτοῦ προτέρας διαγωγῆς· ὅθεν οὐδ' ἐπὶ κλίνης κοιτάζεσθαι κατεδέξατο, ἀλλ' ἐπὶ καθισματίου κτιστοῦ μικρὸν ὑπτιούμενος μετελάμβανε τοῦ ὕπνου, καὶ πρὸ τῆς ὥρας τοῦ κρούσματος αὖθις ἀνιστάμενος, ηὔχετό τε καὶ ἐστιχολόγει καὶ τοῖς ἀγαθοῖς τῆς ψυχῆς ἐπιμελῶς ἐνετρύφα.

Ἐπεὶ οὖν ὁ Ἀντώνιος δόκιμος διὰ τὴν μεγάλην αὐτοῦ ὑπομονὴν τῷ τε πατρὶ καὶ τοῖς ἀδελφοῖς ἐκρίνετο, ἐλάμβανον αὐτὸν καὶ οἱ γηπόνοι τῶν ἀδελφῶν, καὶ τὴν μάκελλαν ἐγχειρίζοντες ἐπέτρεπον αὐτῷ ἐκριζοῦν καὶ ἀποτέμνειν τὰς νάπας τε καὶ τοὺς θάμνους, κάθιδρως δὲ τῷ κόπῳ καὶ κεκμηκὼς ὅλος γινόμενος, κρυφίοις καρδίας χείλεσιν ἔλεγε πρὸς τὸν Θεόν· «ἴδε, Κύριε, τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου». Καὶ γοῦν ἐν μιᾷ νυκτὶ βλέπει καθ' ὕπνους ἄνδρα τινὰ ἔνδοξον, τρυτάνην ἐπιφερόμενον, ἧς ἡ εὐώνυμος πλάστιγξ ἐδόκει φέρειν τὰ αὐτοῦ ἀπὸ νεότητος ἁμαρτήματα, ἡ δὲ ἑτέρα τὴν μάκελλαν τῶν κατὰ Θεὸν αὐτοῦ κόπων, ἥτις καὶ βαρήσασα, διεσκόρπισε τὰ τῶν παραπτωμάτων εἴδη· καὶ ἀποκριθεὶς ὁ ἀνὴρ ἐκεῖνος ἔφη τῷ Ἀντωνίῳ· ἰδοὺ ἐδέξατο Κύριος ὁ Θεὸς τοὺς κόπους σου, καὶ συνεχώρησε τὰς ἁμαρτίας σου.

Μετὰ ταῦτα ἑωρακὼς ὁ προεστὼς τὴν ἐν τοσούτῳ χρόνῳ ὑπομονὴν αὐτοῦ, καὶ ὅτι ἱκανῶς ἐπυρώθη τοῖς τῆς ὑποταγῆς ἐμπύροις ἀθλήμασι, καὶ τέθεικε λοιπὸν τὸν λογισμὸν ἑαυτοῦ ὑπομεῖναι διὰ Θεὸν πᾶν ὃ ἂν ἐπαχθῇ αὐτῷ μεγαλοψύχως, προσκαλεσάμενος κατ' ἰδίαν λέγει αὐτῷ· ὁ Θεὸς τὸν μισθὸν παράσχοι, Πάτερ, τῶν ὠφεληθεισῶν ψυχῶν τῇ σῇ πρὸς ἡμᾶς ἀφίξει καὶ κατὰ Θεὸν πολιτείᾳ, ὅτι οὐδέπω οὕτως ἐβελτιώθησαν οἱ ὑπ' ἐμὲ ἀδελφοί, ὡς ἐπὶ τῇ σῇ θεοπέμπτῳ παρουσίᾳ καὶ τελείᾳ ὑπακοῇ· καὶ ἐκβαλὼν δέδωκεν αὐτῷ ἱμάτιον καὶ ὑποδήματα, καὶ εἴ τι τούτοις ἑπόμενόν ἐστι· καὶ ἦν ἐξ ἐκείνου ὡς οἱ λοιποὶ τῶν ἀδελφῶν, ἔχων τὴν χρείαν τοῦ σώματος· εἴ τι γὰρ ᾔδει ὁ ἡγούμενος ὅτι λείπει αὐτῷ, κρυφίως εἰς τὸ κοιτάριον αὐτοῦ ἀπετίθει, ὅπερ ἀναστρέφων εὕρισκεν ὁ Ἀντώνιος.


Ὁ ἅγιος Ἀντώνιος
ὁ νέος
Δ. ΡΙΤΣΟΣ

Ἑρμηνεία

Ο ΟΣΙΟΣ οὗτος Πατὴρ Ἀντώνιος προσῆλθεν εἰς τὸν Μοναχικὸν βίον, ἐνῷ προηγουμένως εἶχεν ἀξίωμα ἄρχοντος, ἐπὶ πολλὰ δὲ χρόνια ἐπεδόθη μόνος του, διὰ τῆς ἡσυχίας, εἰς σκληροτάτους ἀγῶνας. Κάποτε ἐδιάβασε τὴν Κλίμακα τῶν ἀρετῶν* καὶ ἐπρόσεξεν, εἰς τὸ τέλος, τὸν λόγον περὶ ὑπακοῆς, ποὺ λέγει ὁ διδάσκαλος· «ὅποιος διάγει ἐν ἀσκητικῇ ἡσυχίᾳ καὶ ἀναγνωρίσῃ τὴν ἀσθένειάν του καὶ σπεύσῃ νὰ πωλήσῃ τὸν ἑαυτόν του, ὡς δοῦλον, εἰς τὴν ὑπακοὴν Γέροντος, αὐτός, ἐνῷ ἦτο τυφλός, ἀνέβλεψεν ἔξαφνα χωρὶς κόπον πρὸς τὸν Χριστόν». Τὸ ῥητὸν αὐτὸ ἐγυρόφερνε συνεχῶς εἰς τὴν σκέψιν του καὶ ἐμονολόγει· μετὰ ἀπὸ τόσους κόπους καὶ ἀσκητικοὺς ἀγῶνας, νὰ εἶμαι ἀκόμη τυφλός; καὶ πότε, ἄραγε, περιμένωμεν νὰ ἀναβλέψωμεν; Ὑπὸ τὸ κράτος δὲ τῶν σκέψεων αὐτῶν ἐγκατέλειψε τὴν μοναχικήν του καλύβην καὶ τὸν ἀναχωρητικὸν βίον καὶ παρεδόθη εἰς τὸ κοινοβιακὸν στάδιον.

Ἔρχεται λοιπὸν εἰς τὸ πλησίον τῆς Κίου τῆς Βιθυνίας περίφημον Κοινόβιον καὶ ἔμεινεν εἰς τὸν ξενῶνα τῆς Μονῆς, ὡς εἷς ἐκ τῶν πτωχῶν, χωρὶς νὰ εἴπῃ εἰς οὐδένα τίποτε· ἐπειδὴ δὲ ἐτρέφετο, μαζὶ μὲ τοὺς πένητας, δωρεὰν καθημερινῶς, ἐστενοχωρεῖτο, διότι δὲν ἠνείχετο νὰ τρώγῃ τὸ ψωμὶ δωρεάν. Ἀνήρχετο λοιπὸν εἰς τὸ γειτονικὸν βουνόν, ἐμάζευε φρύγανα καί, μεταφέρων αὐτὰ ἐπὶ τῶν ὤμων του, τὰ ἐτοποθέτει δίπλα εἰς τὴν εἴσοδον τῆς Μονῆς. Τὸ πρᾶγμα αὐτὸ τὸ ἀντελήφθη ὁ Μοναχός, ποὺ εἶχεν ὡς διακόνημα τὴν περιποίησιν τῶν ξένων, καὶ τοῦ λέγει:

—Ἀββᾶ, τί κάνεις; Τὸ Μοναστήρι δὲν ἔχει ἀνάγκην ἀπὸ τὸν κόπον σου· ὅσοι ἔρχονται ἐδῶ διατρέφονται δωρεάν, καὶ εὐχαριστοῦν τὸν Θεόν.

— Καὶ ἐγὼ τὸ γνωρίζω αὐτὸ — ἀπήντησεν ὁ Ἀντώνιος — ἀλλ' ἐπειδὴ δὲν εὐχαριστοῦμαι νὰ παραμένω ἀργός, τὸ κάνω αὐτὸ μόνος μου καὶ ἀναπαύομαι.

Ἐπειδὴ ὅμως ὁ Ἀντώνιος ἐπέμενε νὰ ἐκτελῇ ἑκουσίως αὐτὴν τὴν ὑπηρεσίαν καὶ νὰ μὴ λέγῃ τίποτε, ἀναφέρει ὁ ξενοδόχος τὴν ὑπόθεσιν εἰς τὸν Ἡγούμενον.

Ἦτο δὲ τότε Ἡγούμενος τοῦ Μοναστηρίου ὁ ἀοίδιμος Ἰγνάτιος, ὁ ἴδιος, ποὺ μὲ τὴν βοήθειαν τοῦ Κυρίου, ᾠκοδόμησε τὸ Μοναστήριον.

Ἀφοῦ ἤκουσεν ὁ Ἡγούμενος, λέγει πρὸς τὸν ξενοδόχον· Ἐρώτησέ τον τί ζητεῖ καὶ καρτερεῖ ὑπομονητικὰ ἔξω ἀπὸ τὸ Μοναστήρι;

Ὅταν ὁ ξενοδόχος μετεβίβασε τὴν ἐρώτησιν αὐτὴν τοῦ Ἡγουμένου εἰς τὸν Ἀντώνιον, ἐκεῖνος ἀπήντησε:

— Δὲν εἶμαι ἀπ' ἐδῶ· εἶμαι ξένος, ἐπιθυμῶ δέ, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ κατοικήσω μαζί σας, διὰ νὰ ὠφεληθῶ.

Μόλις ἐπληροφορήθη τὴν ἀπάντησιν αὐτὴν ὁ Ἡγούμενος, τοῦ

* Πρόκειται διὰ τὸ σύγγραμμα τοῦ Ἁγίου Ἰωάννου τῆς Κλίμακος.

παρήγγειλε νὰ ἔλθῃ διὰ νὰ τὸν ἴδῃ· καθὼς δὲ τὸν ἐκοίταξεν εἰς τὸ πρόσωπον, τὸν ἀνεγνώρισεν ἀμέσως ποῖος ἦτο (διότι ἐξ ἀκοῆς ἐγνώριζε διὰ τὸν ἐνάρετον βίον του) καὶ τοῦ λέγει:

—'Αββᾶ, διατί ἐταλαιπωρήθης τόσον διὰ νὰ ἔλθῃς κοντά μας;

— Διὰ νὰ γίνω, ὅπως καὶ σεῖς, κατὰ τὴν ἀρετήν, ἀπήντησεν ὁ 'Αββᾶς 'Αντώνιος, ἐπειδὴ μέχρι τώρα ὑστερῶ.

— Δὲν εἶναι δυνατὸν νὰ γίνῃς ὑποτακτικός, ἐφ' ὅσον τόσα χρόνια ἔζησες μόνος σου μὲ τὸν Θεόν· διότι πολλοὶ — συνέχισεν ὁ 'Ηγούμενος — στηριζόμενοι εἰς τὴν θέλησίν των, ὁποιανδήποτε ἀπὸ τὰς ἄλλας ἀρετὰς ἐπεχείρησαν νὰ κατορθώσουν, τὸ ἐπέτυχον· ὅπως, π. χ., τὴν ἐγκράτειαν, τὴν νηστείαν, τὴν ἀκτημοσύνην, τὴν σωματικὴν κακουχίαν. 'Ωστόσον αὐτοὶ ἀπεδείχθησαν ἀδόκιμοι καὶ εἰς ἐκεῖνα ἀκόμη ποὺ ἐθεωροῦντο καλοί, ὅταν ἐδοκιμάσθησαν μὲ τὸν κοινοβιακὸν νόμον, διότι τοὺς ἔλειπεν ἡ ταπεινοφροσύνη.

—'Ακριβῶς, Πάτερ, αὐτὸ ἔμαθα καὶ ἐγὼ ἀπὸ τὴν θεόπνευστον διδασκαλίαν τῶν Πατέρων, ὅτι δηλαδὴ ἀκόμη δὲν κατώρθωσα οὔτε τὰ κατώφλια τῆς ἀρετῆς νὰ διαβῶ ὡς ἐρημίτης καὶ δι' αὐτὸ ἦλθα ἕως ἐδῶ καὶ παρέδωσα τὸν ἑαυτόν μου εἰς πνευματικὴν δουλείαν, ὥστε, μὲ τὴν βοήθειάν σας, νὰ βάλω τὴν ἀρχήν, ὅπως θέλει ὁ Χριστός, μιᾶς ζωῆς καθοδηγουμένης συνετῶς ἀπὸ σᾶς.

Κατόπιν αὐτῆς τῆς ἐξομολογήσεως ἐγένετο δεκτὸς ὁ 'Αντώνιος εἰς τὸ Μοναστήριον καὶ ἔλαβεν ἐντολὴν ἀπὸ τὸν 'Ηγούμενον νὰ ἐκτελῇ, κατ' ἀρχήν, τὴν ὑπηρεσίαν τῆς 'Εκκλησίας, τὴν ὁποίαν, ὡς βαρυτάτην καὶ ἐπίπονον, ἀπέφευγον οἱ πολλοί. 'Αφοῦ λοιπὸν παρέμεινεν εἰς τὸ διακόνημα αὐτὸ ἀρκετὸν χρόνον, καὶ δὲν ἱκανοποιήθη ἀπὸ τὴν ἐκ τοῦ διακονήματος αὐτοῦ ταλαιπωρίαν, προσῆλθε, μίαν ἡμέραν, εἰς τὸν 'Ηγούμενον καὶ τοῦ λέγει:

—'Εγώ, Πάτερ, ἦλθον ἐδῶ χάριν περισσοτέρου κόπου, ἐνῷ τὸ διακόνημα ποὺ μοῦ ἀνέθεσες εἶναι ἐλαφρὸν δι' ἐμέ.

Μόλις ἤκουσεν αὐτὸ ὁ 'Ηγούμενος, τὸν παραδίδει εἰς τὸν ὑπεύθυνον διὰ τὴν φροντίδα τῶν ἀμπέλων, διὰ νὰ κλαδεύῃ αὐτὰς μὲ τοὺς ὑπολοίπους ἀδελφούς. Καθὼς ὅμως ἦτο τελείως ἄπειρος εἰς τὴν ἐργασίαν αὐτήν, ἐτραυμάτιζε συνεχῶς τὰ δάκτυλά του· δι' αὐτὸ καὶ ἐστενοχωρεῖτο μὲ αὐτὸ τὸ διακόνημα. 'Ωστόσον ὑπέμενε τὴν ταλαιπωρίαν καθ' ὅλον τὸ διάστημα τοῦ κλαδεύματος. 'Αλλὰ καὶ ὅταν ἦλθεν ἡ περίοδος τοῦ σκαψίματος τῶν ἀμπελιῶν, πάλιν ἐκοπίαζε πάρα πολὺ μὲ τὸ σκάψιμο. Ὅταν, τέλος, ὡρίμαζαν τὰ σταφύλια, τοῦ ἀνέθεσαν νὰ τὰ φυλάττῃ.

'Ερχόμενοι λοιπὸν εἰς τὸ ἀμπέλι μερικοὶ ἀπὸ τοὺς ἀδελφούς, οἱ ἀμελέστεροι ἤ, διὰ νὰ τὸν δοκιμάσουν, ἐζήτουν νὰ κόψουν σταφύλια. Πρὸς αὐτοὺς ἔλεγεν ὁ 'Αββᾶς 'Αντώνιος. Συγχωρήσατέ με, ἀδελφοί μου, ἀλλὰ δὲν ἔχω τοιαύτην ἐντολήν· ἐμπρός σας ὑπάρχουν τὰ κλήματα καί, ἐὰν θέλετε, κόψετε μόνοι σας· πάντως ὅμως ἐὰν πάρετε, εἶναι ἀναγκαῖον, δι' ἐμέ, νὰ τὸ φανερώσω εἰς τὸν 'Ηγούμενον. Διότι καὶ ὁ 'Αββᾶς 'Αντώνιος,

ὅπως καὶ οἱ ἄλλοι, ἐξωμολογεῖτο καθημερινῶς τοὺς λογισμούς του εἰς τὸν Ἡγούμενον. Μόλις ἤκουον αὐτὰ οἱ ἀδελφοὶ ἀνεχώρουν ἄπρακτοι.

Ἐν τῷ μεταξὺ καὶ μὲ τὸν ἑαυτόν του, ὡς ἑξῆς, περίπου, συνωμίλει. Ὅταν, κατὰ τὴν μεσημβρίαν, ἐκάθητο εἰς τὸ κελλί του καὶ ἐμάζευε ψεῖρες ἀπὸ τὰ ἐνδύματά του, ἐμονολόγει, ἀπαντῶν προφανῶς εἰς τοὺς λογισμούς του· ὅταν ἡσύχαζα μόνος εἰς τὴν ἔρημον, μοῦ ἐλέγατε· δὲν ὠφελεῖσαι ἐδῶ ὅσον καὶ νὰ ταλαιπωρῆσαι καὶ παρουσιάζετε τὴν ἀσκητικήν μου μοναξιὰν χωρὶς ἀξίαν. Τώρα, ποὺ μὲ ἐφέρατε ἐδῶ, μακαρίζετε, τάχα, τοὺς κόπους τῆς μοναχικῆς ἐκείνης ζωῆς, ἐπειδὴ θέλετε νὰ μὲ ἀποσπάσετε ἀπὸ τὴν κοινοβιακὴν ζωὴν τῶν ἀδελφῶν. Αὐτὰ ἐσκέπτετο πολλάκις μὲ πόνον καρδίας καὶ μὲ δάκρυα ἐμονολόγει. Συχνάκις μάλιστα ἐγίνετο ἀντιληπτὸς ἀπὸ κάποιον πνευματικὸν Γέροντα, ὁ ὁποῖος μὲ θερμὰ λόγια ἀγάπης τὸν παρηγόρει καὶ ἔτσι ὁ Ἀντώνιος ὑπέφερε τοὺς πειρασμοὺς χάριν τῆς ἀπολαύσεως τῶν μελλόντων ἀγαθῶν.

Ἀφοῦ λοιπὸν ἐπέρασε καὶ ὁ τρύγητός, τοῦ ἀνέθεσαν νὰ ὑπηρετῇ εἰς τὴν τραπεζαρίαν· ἐκεῖ μάλιστα ἐκοπίαζε περισσότερον, διότι μέχρι σχεδὸν τῆς τρίτης ὥρας τῆς νυκτὸς* ἀπησχολεῖτο μὲ τὴν ὑποδοχὴν καὶ περιποίησιν τῶν εἰσερχομένων καὶ ἐξερχομένων, ἀπὸ τοὺς ὁποίους, συνήθως, περιελούζετο μὲ ὕβρεις καὶ ἀπρεπεῖς φράσεις, ὅπως πολλάκις συμβαίνει εἰς τὰς περιπτώσεις αὐτάς. Ἀπὸ τὸν πολὺ δὲ χρόνον, ποὺ ἐγυμνάζετο εἰς αὐτὰ τὰ διακονήματα, ἐφθάρη καὶ τὸ ἱμάτιόν του καὶ τὰ ὑποδήματά του, τὰ ὁποῖα ἐδέχθη νὰ φορέσῃ, κατόπιν ἐπιμόνου παρακλήσεως τοῦ μακαρίτου Ἐπισκόπου Παύλου, διότι καθ' ὅλον τὸν πρὸ τῆς ἀσκήσεως χρόνον ἐβάδιζεν ἀνυπόδητος.

Τότε λοιπόν, ὅπως εἶπον, ἐπειδὴ ἐφθάρησαν τὰ ἐνδύματα καὶ τὰ ὑποδήματά του, καὶ ἔφθασεν ὁ χειμών, ἐπάγωνεν ἀπὸ τὸ κρύον· ὁ Ἡγούμενος, μέχρι τῆς στιγμῆς ἐκείνης, ἀνέβαλε νὰ τοῦ δώσῃ τὸν ἀπαραίτητον ἱματισμόν, διὰ νὰ σκεπάσῃ τὸ σῶμα του. Αὐτὸ τὸ ἔκανε διὰ νὰ τὸν δοκιμάσῃ, νὰ ὠφελήσῃ τοὺς ὀκνηροτέρους καὶ νὰ ἐξασφαλίσῃ εἰς τὸν Ἀντώνιον περισσότερον μισθόν. Δι' αὐτὸ καὶ τὰ πόδια του, ἀπὸ τὸ περπάτημα ἐπάνω εἰς τὰ μάρμαρα, ἔσκασαν καὶ ἐπροξενοῦσαν πολὺν πόνον. Οἱ ἀδελφοὶ βλέποντες τὸν Ἀντώνιον πόσον ἐβίαζε τὸν ἑαυτόν του, ἀλλὰ καὶ πόσην ἀνάγκην εἶχε, τὸν ἐλυποῦντο καὶ ἄλλος τοῦ ἔρριπτεν ἕνα κομμάτι δέρμα, ἄλλος ὑποδήματα, διὰ νὰ τὰ φορέσῃ, τὰ ὁποῖα ὅμως ὁ ἀγωνιστὴς οὐδόλως ἐδέχετο καὶ ἀποβλέπων εἰς τὴν κρίσιν τοῦ Ἡγουμένου ἔλεγε πρὸς τοὺς ἀδελφούς· Γνωρίζω ὅτι ὁ Πατήρ μας ἠξεύρει ποῖα πράγματα ὑστεροῦμαι καὶ ἔχω ἀνάγκην· εἰς αὐτὸν λοιπὸν ἀφήνω νὰ μὲ οἰκονομήσῃ, ὥσπου νὰ τὸν πληροφορήσῃ ὁ Θεός, χάριν τῆς ταπεινώσεώς μου.

---

* Δωδεκάτη ὥρα κατὰ τὸ βυζαντινὸν ὡρολόγιον εἶναι πάντοτε ἡ ὥρα τῆς δύσεως τοῦ ἡλίου ἡ δὲ τρίτη ὥρα τῆς νυκτὸς εἶναι τρεῖς ὧραι μετὰ τὴν δύσιν τοῦ ἡλίου.

Ἐν τῷ μεταξὺ ἐπέρασεν ὁ χειμὼν καὶ τὸ θέρος διεδέχθη τὴν ἄνοιξιν καὶ αὐτὸς ἔμενεν ἀκόμη ἀφρόντιστος νὰ ἀγωνίζεται· νικημένος λοιπὸν ἀπὸ τὴν πολιορκίαν τῶν ἐσωτερικῶν λογισμῶν καὶ τῶν ἐξωτερικῶν ἐλλείψεων προσέρχεται εἰς τὸν γυμναστήν του, δηλαδὴ τὸν Ἡγούμενον, καὶ τοῦ λέγει:

— Δέσποτα, ἐὰν τὸ Μοναστήριον δὲν ἠμπορεῖ νὰ δώσῃ καὶ εἰς ἐμὲ τὰ ἀναγκαῖα, τότε ἐπίτρεψέ μου νὰ ἱκανοποιήσω τὰς ἀνάγκας μου μὲ δωρεὰς τῶν φίλων.

Τότε ὁ καλὸς ἐκεῖνος Ποιμήν, ἀφοῦ ἔφερε τὸν Ἀντώνιον εἰς τὸ σημεῖον ποὺ ἐπεδίωκε, τοῦ ἀπαντᾷ.

— Τὸ Μοναστήρι μου, μὲ τὴν βοήθειαν τοῦ Χριστοῦ, διατρέφει ὁλόκληρον τὴν περιοχήν· καὶ δὲν θὰ εἶχε τὴν δύναμιν νὰ σὲ ἐνδύσῃ καὶ νὰ σὲ ὑποδήσῃ; Ἀπὸ καιρὸν ἐπληροφορούμην διὰ σέ, ὅτι εἶσαι ἀγωνιστής, καὶ ὑπομένεις τὰς σωματικὰς δοκιμασίας· τώρα ὅμως δὲν βλέπω ἐπάνω σου τίποτε ἀπὸ ὅσα ἤκουσα. Ὅλα ὅσα εἶχες εἰς τὸν κόσμον τὰ ἐγκατέλειψες ἀπὸ ἀγάπην πρὸς τὸν Θεὸν καὶ ὑπέβαλες τὸν ἑαυτόν σου εἰς τοὺς ἀσκητικοὺς κόπους καὶ τὴν πτωχείαν· ἔζησες δὲ εἰς τὴν ἀσκητικὴν ἡσυχίαν τῆς ἐρήμου καλὰ ἐπὶ ἀρκετὰ χρόνια ὑπομείνας τὰς σωματικὰς στερήσεις. Καὶ μὲ τὸ νὰ ἔλθῃς τώρα κοντά μας ἔγινες ὀλιγόψυχος καὶ ἀνυπόμονος εἰς τὰ μικρὰ αὐτὰ γυμνάσματα, ἐπιζητεῖς δὲ ἀνέσεις, ὡς νὰ εἶσαι ἀπὸ τοὺς ἀμελεστέρους ποὺ δὲν προσβλέπουν μὲ βεβαιότητα εἰς τὴν μεγάλην μισθαποδοσίαν τοῦ Χριστοῦ; Καὶ ἀφοῦ τὸν ἐταπείνωσε, τὸν ἄφησε νὰ φύγῃ, χωρὶς νὰ ἠμπορῇ νὰ δικαιολογηθῇ.

Ἀφοῦ λοιπὸν ὁ ἀθλητὴς τοῦ Χριστοῦ Ἀντώνιος ἐδέχθη τέτοιου εἴδους καυτηριάσματα, ἔμεινε ὑπομένων μὲ ἐγκαρτέρησιν τὰ κατὰ Θεὸν θλιβερά, καὶ μὲ βουρκωμένα τὰ μάτια καθημερινῶς ἐπεδίωκε διαφοροτρόπως τὴν ἐσωτερικὴν καθαρότητα μὲ τὴν σωματικὴν ἐγκράτειαν. Διότι τοῦ ἐπετράπη ἀπὸ τὸν Ἡγούμενον νὰ νηστεύῃ καὶ νὰ ἀγωνίζεται, ὅπως θέλει, διὰ νὰ μὴ φανῇ ὅτι ἀπεμακρύνθη ἀπὸ τὸν προηγούμενον τρόπον τῆς ζωῆς του εἰς τὴν ἡσυχίαν τῆς ἐρήμου. Δι' αὐτὸ καὶ δὲν ἐπέτρεψεν εἰς τὸν ἑαυτόν του νὰ κοιμᾶται εἰς κρεβάτι, ἀλλὰ ἐξαπλωμένος ὀλίγον, εἰς ἕνα κτιστὸν κάθισμα, ἐκοιμᾶτο ἐλάχιστα καὶ πάλιν ἐσηκώνετο, πρὶν νὰ κτυπήσῃ τὸ τάλαντον*. Προσηύχετο, ἀνεγίνωσκε στίχους τοῦ ψαλτηρίου καὶ ἀπελάμβανε συνεχῶς τὰ ἀγαθὰ τῆς ψυχῆς.

---

* Τάλαντον ἢ Σήμαντρον ἐννοοῦμεν κατὰ τὴν μοναστηριακὴν παράδοσιν ἕνα ξύλινον ἢ ἕνα μεταλλικὸν ἀντικείμενον εἰδικῶς κατασκευασμένον καὶ τὸ ὁποῖον κρουόμενον ρυθμικῶς διὰ σφύρας ἢ κοπάνου ἐκ ξύλου ἢ ἐκ σιδήρου ἀναδίδει ἦχον διὰ νὰ ἐγερθοῦν οἱ μοναχοὶ ἐκ τοῦ ὕπνου ἢ ἀργότερα διὰ νὰ συναχθοῦν εἰς τὴν Ἐκκλησίαν. Ἐπίσης κρούεται τὸ ἀπόγευμα διὰ τὸν ἑσπερινὸν ἢ καὶ διὰ τὴν ἀγρυπνίαν. Τὸ τάλαντον εἶναι πολὺ ἀρχαιότερον τῶν κωδώνων, ποὺ ἔχομεν σήμερον εἰς τοὺς Ὀρθοδόξους ναοὺς καὶ ὑπὸ τῶν ὁποίων ἀντικατεστάθη.

Ἐπειδὴ δὲ ὁ Ἀντώνιος ἐθεωρεῖτο ἀπὸ τὸν Ἡγούμενον καὶ τοὺς ἀδελφοὺς πάρα πολὺ ὑπομονητικός, τὸν ἔπαιρναν οἱ γεωργοὶ τοῦ Μοναστηρίου καὶ τοῦ ἔδιδαν τὴν τσάπαν, μὲ ἐντολὴν νὰ ἐκριζώνῃ καὶ κόπτῃ τὰ ἀγριόχορτα καὶ τοὺς θάμνους· μουσκεμένος δὲ ἀπὸ τὸν ἱδρῶτα καὶ κατάκοπος ἐψιθύριζεν ἀπὸ τὰ βάθη τῆς καρδίας του πρὸς τὸν Θεόν· «ἰδέ, Κύριε, τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου καὶ συγχώρησε τὰς ἁμαρτίας μου» (Ψαλ. κδ΄, 18). Καὶ μίαν νύκτα λοιπὸν βλέπει εἰς τὸν ὕπνον του ἕνα ἐπίσημον καὶ λαμπρὸν ἄνδρα, ποὺ ἐκράτει ζυγαριάν. Εἰς τὴν ἀριστερὰν πλάστιγγα τῆς ζυγαριᾶς αὐτῆς τοῦ ἐφάνη ὅτι εἶχον τοποθετηθῆ ὅλα τὰ ἁμαρτήματά του, ἀπὸ τῆς νεότητος αὐτοῦ· εἰς τὸν ἄλλον δίσκον εἶχε τοποθετηθῆ ἡ τσάπα τῶν κατὰ Θεὸν κόπων του, ἡ ὁποία ἐβάρυνε καὶ διεσκόρπισεν ὅλα τὰ εἴδη τῶν παραπτωμάτων του. Τότε ὁ ἐπίσημος ἐκεῖνος ἀνὴρ ἀπευθυνόμενος πρὸς τὸν Ἀντώνιον τοῦ εἶπε· Νά, ποὺ ὁ Θεὸς ἐδέχθη τοὺς κόπους σου καὶ συνεχώρησε τὰς ἁμαρτίας σου.

Μετὰ καιρὸν βλέπων ὁ Ἡγούμενος τὴν μακροχρόνιον ὑπομονὴν τοῦ Ἀντωνίου καὶ ὅτι ἀρκετὰ ἐβασανίσθη εἰς τὰ κουραστικὰ ἀγωνίσματα τῆς ὑποταγῆς καὶ ὅτι ἔβαλε πλέον καλὰ εἰς τὴν σκέψιν του νὰ ὑπομένῃ διὰ τὸν Θεόν, μὲ μεγαλοψυχίαν, ὅ,τιδήποτε ἤθελε τοῦ ἐπιβληθῇ, τὸν ἐκάλεσε κοντά του καὶ ἰδιαιτέρως τοῦ λέγει:

— Πάτερ, εἴθε ὁ Θεὸς νὰ σοῦ δώσῃ τὸν μισθὸν διὰ τὰς ψυχάς, ποὺ ὠφελήθησαν μὲ τὸν ἐρχομόν σου εἰς τὸ Μοναστήρι μας καὶ τὴν θεάρεστον ζωήν σου· διότι ποτὲ δὲν εἶχον τόσον πολὺ τελειοποιηθῆ οἱ ὑποτακτικοί μου, ὅσον μὲ τὴν ἰδικήν σου θεόσταλτον παρουσίαν καὶ τελείαν ὑπακοήν.

Ἐνῷ δὲ τοῦ ἔλεγεν αὐτά, ἔβγαλεν ἀπὸ τὴν ἱματιοθήκην καὶ τοῦ προσέφερεν ἱμάτιον καὶ ὑποδήματα καὶ ὅλα τὰ σχετικὰ εἴδη τοῦ ἱματισμοῦ.

Ἀπὸ τότε εἶχε καὶ αὐτὸς ὅ,τι εἶχον ὅλοι οἱ Μοναχοί, δηλαδὴ ὅλα τὰ εἴδη διὰ τὰς σωματικὰς ἀνάγκας του. Διότι ὁ Ἡγούμενος μόλις ἀντελαμβάνετο ὅτι τοῦ λείπει κάτι, τὸ ἐτοποθετοῦσε κρυφὰ εἰς τὸ στρῶμα του καὶ ὅταν ἐπέστρεφεν ὁ Ἀντώνιος τὸ εὕρισκεν.

Δ΄. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἀρσένιος τῷ Ἀββᾷ Ἀλεξάνδρῳ· ὅταν ἀποσχίσῃς τὰ θαλλία σου, ἐλθὲ γεῦσαι μετ' ἐμοῦ· ἐὰν δὲ ἔλθωσι ξένοι, φάγε μετ' αὐτῶν. Ὁ οὖν Ἀββᾶς Ἀλέξανδρος ὁμαλῶς εἰργάζετο καὶ ἐπιεικῶς· καὶ ὡς γέγονεν ἡ ὥρα, ἀκμὴν εἶχε θαλλία. Ἰδὼν οὖν ὁ Ἀρσένιος ὅτι ἐχρόνισεν, ἔφαγε, λογισάμενος ὅτι πάντως ξένους ἔσχεν· ὡς δὲ γέγονεν ὀψέ, ἦλθεν ὁ Ἀββᾶς Ἀλέξανδρος καὶ ἰδὼν αὐτὸν ὁ γέρων εἶπε· ξένους ἔσχες; ἀπεκρίθη ἐκεῖνος· οὐχί· καὶ ὁ γέρων πάλιν ἠρώτησε· πῶς οὐκ ἦλθες εἰς τὴν ὥραν; ὁ δὲ ἔφη· ὅτι εἶπές μοι, ὅταν ἀποσχίσῃς τὰ θαλλία σου ἐλθέ· καὶ τηρῶν τὸν λόγον σου οὐκ ἦλθον, ὅτι ἄρτι ἐπλήρωσα. Καὶ ἀκούσας ὁ γέρων ἐθαύμασε τὴν ἀκρίβειαν αὐτοῦ, καὶ εἶπεν αὐτῷ· ταχύτερον κατάλυε, ἵνα καὶ

τὴν σύναξίν σου βάλλῃς, καὶ τοῦ ὕδατός σου μεταλαμβάνῃς, εἰ δὲ μή γε, ταχέως ἔχει τὸ σῶμά σου ἀσθενῆσαι.

2. Παρέβαλεν ὁ Ἀββᾶς Ἀβραὰμ τῷ Ἀββᾷ Ἄρει· καὶ καθημένων αὐτῶν, ἦλθεν ἀδελφὸς πρὸς τὸν γέροντα καὶ λέγει αὐτῷ· εἰπέ μοι, τί ποιήσω ἵνα σωθῶ; ὁ δὲ λέγει αὐτῷ· ὕπαγε, ποίησον τὸν ἐνιαυτὸν τοῦτον κατ' ὀψὲ ἐσθίων ἄρτον καὶ ἅλας· καὶ μετὰ τοῦτο, δεῦρο πάλιν καὶ λαλῶ σοι. Καὶ ἀπελθών, ἐποίησεν οὕτως. Καὶ μετὰ τὸν ἐνιαυτόν, ἦλθε πάλιν ὁ ἀδελφὸς πρὸς τὸν γέροντα· ἔτυχε δὲ πάλιν καὶ ὁ Ἀββᾶς Ἀβραὰμ ἐκεῖ· καὶ εἶπε πάλιν ὁ γέρων τῷ ἀδελφῷ· ὕπαγε, νήστευσον καὶ τοῦτον τὸν ἐνιαυτὸν δύο δύο. Καὶ ὡς ἀπῆλθεν ὁ ἀδελφός, λέγει ὁ Ἀββᾶς Ἀβραὰμ τῷ Ἀββᾷ Ἄρει· διὰ τί ὅλοις τοῖς ἀδελφοῖς μετὰ ζυγοῦ ἐλαφροῦ λαλεῖς, τῷ δὲ ἀδελφῷ τούτῳ φορτία βαρέα ἐπιτίθεις; ἀπεκρίθη ὁ γέρων· οἱ ἀδελφοί, καθὼς ἔρχονται ζητοῦντες, οὕτω λέγω αὐτοῖς· οὗτος δὲ ἐργάτης ἐστὶ καὶ τὸν Θεὸν ἔρχεται ἀκοῦσαι· καὶ εἴ τι ἂν εἴπω αὐτῷ, μετὰ σπουδῆς ποιεῖ· διὰ τοῦτο κἀγὼ λαλῶ αὐτῷ τὸν λόγον τοῦ Θεοῦ.

3. Διηγήσαντο περὶ τοῦ Ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ, ὅτι ἀναχωρήσας πρὸς Θηβαῖον γέροντα εἰς σκῆτιν, ἐκάθητο ἐν τῇ ἐρήμῳ· λαβὼν δὲ ὁ Ἀββᾶς αὐτοῦ ξύλον ξηρόν, ἐφύτευσε καὶ εἶπεν αὐτῷ· καθ' ἡμέραν πότιζε τοῦτο λαγήνιον ὕδατος, ἕως καρπὸν ποιήσῃ· ἦν δὲ μακρὰν ἀπ' αὐτῶν τὸ ὕδωρ, ὡς ἀπὸ ὀψὲ ἀπελθεῖν καὶ ἐλθεῖν πρωΐ. Μετὰ δὲ τρία ἔτη ἔζησε τὸ ξύλον καὶ ἐξήνεγκε καρπὸν κάρυα· καὶ λαβὼν ὁ γέρων τὸν καρπὸν αὐτοῦ, ἤνεγκεν εἰς τὴν Ἐκκλησίαν λέγων τοῖς ἀδελφοῖς· λάβετε, φάγετε καρπὸν ὑπακοῆς.

4. Ἦλθέ τις τῶν Θηβαίων πρὸς τὸν Ἀββᾶν Σισώην, θέλων γενέσθαι Μοναχός· ἠρώτησε δὲ αὐτὸν ὁ γέρων, εἰ ἔχει τινὰ ἐν τῷ κόσμῳ· ὁ δὲ ἔφη· ἔχω ἕνα υἱόν· καὶ λέγει αὐτῷ ὁ γέρων· ὕπαγε, ρίψον αὐτὸν εἰς τὸν ποταμόν, καὶ τότε γίνει Μοναχός. Ὡς οὖν ἀπῆλθε ρίψαι αὐτόν, ἔπεμψεν ἀδελφὸν ὁ γέρων ὄπισθεν αὐτοῦ, ἵνα, εἰ ὁρμήσει τοῦτο ποιῆσαι, κωλύσῃ αὐτόν. Ὡς οὖν ὁρμήσας ρίψαι τὸν υἱὸν αὐτοῦ ἐκωλύετο ὑπὸ τοῦ ἀδελφοῦ, ἐπιδραμόντος αὐτῷ, ἔλεγε πρὸς τὸν ἀδελφόν· ἔασόν με· ὁ Ἀββᾶς μοι εἶπε ρίψαι αὐτόν· ὁ δὲ ἀδελφὸς ἔφη· ἀλλὰ πάλιν εἶπε, μὴ ρίψῃς αὐτόν· καὶ καταλιπὼν αὐτόν, ἦλθε πρὸς τὸν γέροντα καὶ γέγονε δόκιμος Μοναχός. Ὅμοιον καὶ τὸ τοῦ Πατερμουθίου διήγημα, ὃ διηγήσατο ὁ Ἅγιος Κασσιανός.

5. Διηγήσατό τις τῶν Πατέρων, ὅτι σχολαστικός τις ἀπὸ Θεουπόλεως εὐλαβὴς προσήδρευέ τινι Ἐγκλείστῳ, καὶ παρεκάλει αὐτὸν ἵνα δέξηται αὐτὸν καὶ ποιήσῃ Μοναχόν· καὶ εἶπεν αὐτῷ ὁ γέρων· ὕπαγε, πώλησον τὰ ὑπάρχοντά σου καὶ δὸς πτωχοῖς, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, καὶ τότε ἐλθόντα δέχομαί σε· ἐκεῖνος δὲ ἀπελθὼν καὶ ποιήσας ὡς προσετάγη, ἐπανῆλθε· καὶ λέγει πάλιν αὐτῷ ὁ γέρων· καὶ ταύτην τὴν ἐντολὴν ἔχεις φυλάξαι, ἵνα μὴ λαλῇς· ὁ δὲ συνέθετο· καὶ ἐποίησε πέντε ἔτη καὶ οὐκ ἐλάλησε. Ἤρξαντο οὖν δοξάζειν αὐτὸν οἱ τοῦτον εἰδότες· καὶ μαθὼν τοῦτο ὁ γέρων λέγει αὐτῷ· οὐκ ὠφελῇ ὧδε, ἀλλὰ πέμψω σε εἰς κοινόβιον εἰς Αἴγυπτον· καὶ ἔπεμψεν αὐτόν· ἀπιόντι δέ, οὐκ εἶπεν αὐτῷ λαλῆσαι ἢ μὴ λαλῆσαι· αὐτὸς δὲ τηρῶν τὴν ἐντολήν, ἔμεινε μὴ λαλῶν. Ὁ δὲ Ἀββᾶς, ὁ δεξάμενος αὐτόν, θέλων πείρᾳ δοκιμάσαι, καὶ μαθεῖν, εἰ ἀληθῶς ἄλαλός ἐστι, πέμπει αὐτὸν εἰς ἀπόκρισιν ἐν τῇ πλημμύρᾳ τοῦ ποταμοῦ, ἵνα ἀναγκασθῇ ὑποστρέψας εἰπεῖν, ὅτι οὐκ ἠδυνήθην περάσαι. Ὁ δὲ ἀπελθὼν εἰς τὸν ποταμόν, ἔκλινε γόνυ· καὶ ἰδοὺ

ἔρχεται κροκόδειλος, καὶ βαστάζει αὐτὸν καὶ ἀποφέρει εἰς τὸ πέραν. Ἔπεμψε δὲ καὶ ἀδελφὸν ὁ Ἀββᾶς ὄπισθεν αὐτοῦ, ἵνα ἴδῃ τί ποιεῖ· καὶ ἰδὼν τὸ γενόμενον, ὑποστρέψας ἀνήγγειλε τῷ Ἀββᾷ καὶ τοῖς ἀδελφοῖς, καὶ ἀκούσαντες ἐξεπλάγησαν. Μετὰ δὲ χρόνον τινὰ συνέβη αὐτὸν κοιμηθῆναι· καὶ πέμψας ὁ Ἀββᾶς πρὸς τὸν Ἔγκλειστον τὸν ἀποστείλαντα αὐτόν, ἐμήνυσεν αὐτῷ· εἰ καὶ ἄλαλον ἔπεμψας ἡμῖν, ἀλλ' ὅμως Ἄγγελον Θεοῦ· ἀντεδήλωσε δὲ ὁ Ἔγκλειστος, ὅτι οὐκ ἦν φύσει ἄλαλος, ἀλλὰ τηρῶν τὴν ἐντολήν, ἣν ἐξ ἀρχῆς ἔδωκα αὐτῷ, τούτου χάριν ἔμεινεν ἄλαλος· καὶ ἀκούσαντες ἐθαύμασαν καὶ ἐδόξασαν τὸν Θεόν.

6. Γέρων τις εἶχε μαθητὴν ὠνητὸν αὐτοῦ, ὃς τελείαν εἶχε τὴν ὑπακοήν· ἐν μιᾷ οὖν εἶπεν αὐτῷ ὁ γέρων· ὕπαγε, καὶ ἀναφθέντος τοῦ κλιβάνου σφοδρῶς, λαβὼν τὸ βιβλίον τὸ ἀναγινωσκόμενον ἐν τῇ συνάξει, ῥίψον εἰς τὸν κλίβανον· ὁ δὲ ἀπελθὼν ἐποίησεν ἀδιακρίτως· καὶ ῥιφθέντος τοῦ βιβλίου ἐσβέσθη ὁ κλίβανος.

7. Ἔλεγον οἱ γέροντες, ὅτι ἐὰν ἔχῃ τις πίστιν εἴς τινα καὶ δώσῃ ἑαυτὸν ὑποταγῆναι αὐτῷ, οὐ χρείαν ἔχει προσέχειν ἐντολαῖς Θεοῦ, ἀλλὰ τῷ Πατρὶ αὐτοῦ συγχωρεῖν τὰ θελήματα αὐτοῦ, καὶ οὐκ ἔχει ἔγκλημα παρὰ Θεῷ· οὐδὲ γὰρ οὕτω ζητεῖ ὁ Θεὸς παρὰ τῶν ἀρχαρίων, ὡς τὸν δι' ὑπακοῆς σκυλμόν.

8. Ἀδελφὸς ἐν σκήτει ὑπάγων εἰς θέρος, παρέβαλε μεγάλῳ γέροντι καὶ εἶπεν αὐτῷ· εἰπέ μοι, Ἀββᾶ, τί ποιήσω ὑπάγων εἰς τὸ θέρος; λέγει αὐτῷ ὁ γέρων· καὶ ἐάν σοι εἴπω, πείθῃ μοι; ἀπεκρίθη ὁ ἀδελφός· ναί, ἀκούσω σου· λέγει αὐτῷ ὁ γέρων· εἰ πείθῃ μοι, ἀπόταξαι τῷ θερισμῷ τούτῳ· καὶ ὑποστρέψας, εἴσελθε εἰς τὸ κελλίον σου, καὶ ποίησον τὴν πεντηκοστήν, καθ' ἑσπέραν ἐσθίων ἄρτον μετὰ ξηροῦ ἅλατος· καὶ μετὰ τοῦτο ἐλθὲ καὶ ἀναγγελῶ σοι τί ὀφείλεις ποιῆσαι.

Ὁ δὲ ἀδελφός, ἀπελθὼν καὶ ποιήσας ὡς προσετάγη, μετὰ τὴν πεντηκοστὴν ἦλθε πάλιν πρὸς τὸν γέροντα· ὁ δὲ γέρων, εἰδὼς ὅτι ἐργάτης ἐστίν, ἀπήγγειλεν αὐτῷ πῶς δεῖ καθίσαι ἐν τῷ κελλίῳ. Ἔβαλεν οὖν ἑαυτὸν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν ἡμέρας τρεῖς, κλαίων ἐνώπιον τοῦ Θεοῦ. Εἶτα ἔλεγον αὐτῷ οἱ λογισμοί· ὑψώθης, μέγας γέγονας· ὁ δὲ ἔφερε καὶ αὐτὸς τὰ ἐλαττώματα αὐτοῦ ἐνώπιον αὐτοῦ λέγων· καὶ ποῦ εἰσι πᾶσαι αἱ πλημμέλειαί μου; καὶ ἀπηριθμεῖτο αὐτάς· ἔλεγον οὖν αὐτῷ πάλιν οἱ λογισμοὶ μεταβαλόντες· πολλὰς ἐποίησας πλημμελείας, καὶ οὐ δύνασαι σωθῆναι. Ἀντέφερε δὲ καὶ αὐτός· ἀλλὰ ποιῶ μικρὰς λειτουργίας τῷ Θεῷ, καὶ πιστεύω εἰς τὴν ἄφατον αὐτοῦ ἀγαθότητα, ὅτι ποιήσει μετ' ἐμοῦ ἔλεος.

Ἐπὶ πολὺ οὖν οὕτως αὐτοῦ πολεμουμένου καὶ πολεμοῦντος, τέλος ἡττηθέντα τὰ πνεύματα, παρέστησαν αὐτῷ αἰσθητῶς λέγοντα· ἐχειμάσθημεν ὑπὸ σοῦ· ὁ δὲ ἔφη αὐτοῖς· διατί; ἀπεκρίθησαν ἐκεῖνα· ἐὰν ὑψώσωμέν σε, τρέχεις εἰς ταπείνωσιν· ἐὰν δὲ ταπεινώσωμεν, σεαυτὸν ἀνάγεις εἰς ὕψος· καὶ ἐπιτιμηθέντα ὑπ' αὐτοῦ γέγονεν ἄφαντα.

9. Ἄνθρωπός τις βιωτικός, ἔχων παιδία τρία, ἐάσας αὐτὰ ἐν τῇ πόλει, ἀνεχώρησεν εἰς Μοναστήριον· διαγαγὼν δὲ ἐν τῷ Μοναστηρίῳ ἔτη τρία, ἤρξατο ὀχλεῖσθαι ὑπὸ τῶν λογισμῶν, ἐμβαλλόντων αὐτῷ μνήμην τῶν παίδων αὐτοῦ καὶ πόθον, καὶ ἐλυπεῖτο δι' αὐτὰ σφόδρα· οὐκ ἦν δὲ ἀναγγείλας τῷ Ἀββᾷ ἐξ ἀρχῆς, ὅτι τέ-

χνα ἔχει. Βλέπων οὖν αὐτὸν ὁ Ἀββᾶς στυγνάζοντα, λέγει αὐτῷ· τί ἔχεις, ὅτι στυγνὸς εἶ; καὶ διηγήσατο τῷ Πατρί, ὅτι τρία παιδία ἔχω ἐν τῇ πόλει, καὶ θέλω αὐτὰ ἐνέγκαι εἰς τὴν μονήν· καὶ ἐπέτρεψεν ὁ πατήρ.

Ἀπελθὼν οὖν ὁ ἀδελφός, εὗρεν ὅτι τὰ μὲν δύο ἐξ αὐτῶν ἐκοιμήθησαν, τὸ δὲ ἓν ἔζη· καὶ λαβὼν καὶ ἐπιζητήσας τὸν Ἀββᾶν εὗρεν αὐτὸν ἐν τῷ ἀρτοκοπείῳ, καὶ προσήγαγεν αὐτῷ τὸ παιδίον· ὁ δὲ Ἀββᾶς, λαβὼν τὸ παιδίον, περιεπτύξατο καὶ ἐναγκαλισάμενος κατεφίλει· καὶ λέγει τῷ πατρὶ αὐτοῦ· ἀγαπᾷς αὐτό; ἀπεκρίθη, ναί· καὶ εἶπεν ὁ Ἀββᾶς· ἆρον οὖν, καὶ βάλε αὐτὸ εἰς τὸν φοῦρνον, ὡς καίεται· καὶ λαβὼν ἐκεῖνος εὐθέως τὸν ἴδιον παῖδα, ταῖς οἰκείαις χερσὶν ἔρριψεν εἰς τὸν φοῦρνον· ἐγένετο δὲ παραχρῆμα ὡς δρόσος ἡ φλὸξ καὶ οὐκ ἐκάη ὁ παῖς· ὁ δὲ πατὴρ αὐτοῦ ἀπηνέγκατο δόξαν ὡς ὁ Πατριάρχης Ἀβραάμ.

10. Εἶπε γέρων· ἀρχὴν τῶν μαθημάτων αὐτοῦ ὁ Σωτὴρ θλῖψιν καὶ στενοχωρίαν ἔσχεν· ὁ δὲ τὴν ἀρχὴν φεύγων, ἔφυγε γνῶσιν Θεοῦ· ὡς γὰρ τὰ γράμματα ἀρχὴν παιδεύσεως διδοῦσι τοῖς παιδίοις τοῦ εἰδέναι ἐπιστήμην, οὕτω καὶ ὁ Μοναχός, ἐν κόποις καὶ θλίψεσιν ὑπακοὴν ἔχων, γίνεται Θεοῦ συγκληρονόμος καὶ υἱὸς Θεοῦ.

11. Ὁ Ἀββᾶς Ποιμὴν ἀκούσας τὰ περὶ τοῦ Ἀββᾶ Νισθερῶ, νέου ὄντος καὶ ἐν κοινοβίῳ καθεζομένου, ἐπεθύμησεν ἰδεῖν αὐτόν, καὶ ἐδήλωσε τῷ Ἀββᾷ αὐτοῦ, ἵνα ἀποστείλῃ αὐτόν. Ἐλθόντα οὖν αὐτὸν σὺν τῷ οἰκονόμῳ τῆς μονῆς, ἠρώτησεν ὁ γέρων· Ἀββᾶ Νισθερῶ, πόθεν ἐκτήσω τὴν ἀρετὴν ταύτην; ὅτι ὅτε δήποτε εἰ συμβῇ θλῖψις εἰς τὸ κοινόβιον, οὐ λαλεῖς οὐδὲ μεσάζεις; Καὶ πολλὰ βιασθεὶς ὁ ἀδελφὸς ὑπὸ τοῦ γέροντος, εἶπε· συγχώρησόν μοι, Ἀββᾶ· ὅτε εἰσῆλθον τὴν ἀρχὴν εἰς τὸ κοινόβιον, εἶπον τῷ λογισμῷ μου· ὅτι σὺ καὶ ὁ ὄνος ἕν ἐστε· ὥς περ οὖν ὁ ὄνος δέρεται καὶ οὐ λαλεῖ, ὑβρίζεται καὶ οὐδὲν ἀποκρίνεται, οὕτω καὶ σύ· καθὼς καὶ ὁ ψαλμῳδὸς λέγει· «κτηνώδης ἐγενήθην παρὰ σοί, κἀγὼ διὰ παντὸς μετὰ σοῦ».

12. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ἄνθρωπος συνοικῶν τῷ πλησίον, ὀφείλει εἶναι ὡς στήλη λιθίνη, ὑβριζόμενος καὶ μὴ ὀργιζόμενος, δοξαζόμενος καὶ μὴ ἐπαιρόμενος.

13. Ἔλεγον περὶ τοῦ μικροῦ Ἰωάννου τοῦ Θηβαίου τοῦ μαθητοῦ τοῦ Ἀββᾶ Ἀμμώη, ὅτι δώδεκα ἔτη ἐποίησεν ὑπηρετῶν τῷ γέροντι, ὅτε ἠσθένει, καὶ μετ' αὐτοῦ ἦν εἰς τὸ χαράδριον καθήμενος, καὶ ὠλιγώρει ὁ γέρων ἐπάνω αὐτοῦ· καὶ πολλὰ κοπιάσαντος μετ' αὐτοῦ, οὐδέποτε εἶπεν αὐτῷ σωθείης. Ὅτε δὲ ἔμελλε τελευτᾶν, καθεζομένων τῶν γερόντων, ἐκράτησε τὴν χεῖρα αὐτοῦ καὶ λέγει αὐτῷ· σωθείης, σωθείης· καὶ παρέδωκεν αὐτὸν τοῖς γέρουσι λέγων· οὗτος Ἄγγελός ἐστι καὶ οὐκ ἄνθρωπος.

14. Τὶς τῶν Πατέρων παρεκάλεσε τὸν Θεόν, ἵνα αὐτὸν πληροφορήσῃ εἰς ποῖον ἔφθασε μέτρον· καὶ ἀπεκάλυψεν αὐτῷ ὁ Θεός, ὅτι εἰς τόδε τὸ κοινόβιον ἔστιν ἀδελφός σοῦ βελτίων. Καὶ ἀναστὰς ὁ γέρων ἀπῆλθεν εἰς τὸ κοινόβιον· καὶ ἀκούσαντες οἱ ἡγούμενοι ἀπήντησαν αὐτῷ μετὰ χαρᾶς· ἦν γὰρ μέγας καὶ ὀνομαστός· καὶ εἶπεν αὐτοῖς ὁ γέρων· θέλω ἰδεῖν ὅλους τοὺς ἀδελφοὺς καὶ ἀσπάσασθαι· καὶ κελεύσαντος τοῦ ἡγουμένου, ἦλθον οἱ ἀδελφοί· καὶ οὐκ ἦλθε περὶ οὗ ἐπληροφορήθη ὁ γέρων· καὶ ἀποκριθεὶς εἶπεν· ἔστιν ἄλλος ἀδελφός; καὶ λέγει· ναί, ἀλλὰ σαλός

ἐστι, καὶ εἰς τὸν κῆπον ἀσχολεῖται· ἔφη ὁ γέρων· καλέσατε αὐτόν· καὶ ἐκάλεσαν.

Καὶ ἐγένετο, ὡς εἶδεν αὐτὸν ὁ γέρων, ἀναστὰς ἠσπάσατο αὐτόν· καὶ λαβὼν αὐτὸν κατ' ἰδίαν, ἐπερώτησεν αὐτὸν τίς ἐστιν ἡ ἐργασία σου; ἀνάγγειλόν μοι· ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἐγὼ ἄνθρωπός εἰμι σαλός· καὶ πολλὰ παρακληθεὶς ὑπὸ τοῦ γέροντος, εἶπεν αὐτῷ, ὅτι τὸν βοῦν τῆς μηχανῆς ὁ Ἀββᾶς εἰς τὸ κελλίον μου βάλλει μετ' ἐμοῦ, καὶ καθ' ἡμέραν τὰ σχοινία τοῦ ψιαθίου, οὗ ἐργάζομαι, κόπτει· καὶ ἰδοὺ τριάκοντα ἔτη τοῦτο ὑπομένω, καὶ οὐδέποτε συνεχώρησα τὸν λογισμόν μου ἔχειν τι κατὰ τοῦ Ἀββᾶ μου, οὐδὲ τὸν βοῦν ἔδειρα ποτέ, ἀλλὰ μακροθυμῶν πάλιν ἔπλεκον τὰ σχοινία εὐχαριστῶν τῷ Θεῷ· καὶ ἀκούσας ὁ γέρων ἐθαύμασεν· ἐκ τούτου γὰρ ἔγνω καὶ τὴν λοιπὴν ἐργασίαν αὐτοῦ.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἀρσένιος εἶπε πρὸς τὸν Ἀββᾶν Ἀλέξανδρον.

—Ὅταν ἀποτελειώσῃς τὸ σχίσιμον τῶν θαλλίων σου*, ἔλα νὰ φάγωμεν· ἐὰν ὅμως σὲ ἐπισκεφθοῦν ξένοι, τότε φάγε μαζί των.

Ὁ Ἀββᾶς λοιπὸν Ἀλέξανδρος εἰργάζετο μὲ προσοχὴν καὶ ἠρεμίαν, χωρὶς νὰ βιάζεται· καὶ ὅταν ἔφθασεν ἡ ὥρα τοῦ φαγητοῦ, ἀκόμη εἶχε φοινικοβλαστούς.

Ὁ Ἀββᾶς Ἀρσένιος, ἀφοῦ εἶδεν ὅτι ἀργοπορεῖ ὁ Ἀββᾶς Ἀλέξανδρος, ἔφαγε, διότι ἐσκέφθη ὅτι ὁπωσδήποτε θὰ εἶχεν ἐπισκέπτας.

Ἀργά, πρὸς τὸ βράδυ, ἦλθεν ὁ Ἀββᾶς Ἀλέξανδρος καὶ ὁ Γέρων τοῦ λέγει:

— Ξένους εἶχες;

—Ὄχι, ἀπήντησεν ἐκεῖνος.

— Διατί λοιπὸν δὲν ἦλθες τὴν ὥραν τοῦ φαγητοῦ; ἠρώτησεν ἐκ δευτέρου ὁ Ἀββᾶς Ἀρσένιος.

— Διότι μοῦ εἶπες· ἔλα, ἀφοῦ τελειώσῃς τὸ σχίσιμον τῶν φοινικοβλαστῶν· καὶ ἐγὼ ἐφαρμόζων τὴν ἐντολήν σου δὲν ἦλθον ἐνωρίτερον, ἐπειδὴ μόλις τώρα ἐτελείωσα.

Ὅταν ἤκουσεν αὐτὰ ὁ Ἀββᾶς Ἀρσένιος, ἐθαύμασε τὴν ἀκρίβειαν τοῦ Ἀββᾶ Ἀλεξάνδρου καὶ τοῦ λέγει:

— Νὰ τρώγῃς συχνότερα, διὰ νὰ κάνῃς καὶ τὸν κανόνα σου καὶ νὰ πίνῃς καὶ νερόν, εἰδ' ἄλλως γρήγορα θὰ ἀρρωστήσῃ τὸ σῶμα σου.

2. Ἐπεσκέφθη, κάποτε, ὁ Ἀββᾶς Ἀβραὰμ τὸν Ἀββᾶν Ἄρην καὶ ἐνῷ ἐκάθηντο ἦλθεν ἕνας ἀδελφὸς καὶ τοῦ λέγει:

---

* Θαλλία εἶναι οἱ βλαστοὶ τῶν φοινίκων, τοὺς ὁποίους ἐχρησιμοποίουν οἱ Πατέρες διὰ νὰ κατασκευάζουν ψιάθια, κοφίνους κ.λ.π. Τοὺς βλαστοὺς αὐτοὺς τοὺς ἔσχιζον πρῶτα, τοὺς διετήρουν ὑγροὺς μέσα εἰς ὕδωρ καὶ οὕτω ἔπλεκον. Ἐπειδὴ δὲ τὰ ζεμπίλια κατεσκευάζοντο κατ' αὐτὸν τὸν τρόπον, κατήντησε θαλλίον νὰ σημαίνῃ καὶ ζεμπίλι.

— Εἰπέ μου, σὲ παρακαλῶ, τί νὰ κάμω, διὰ νὰ σωθῶ;

— Πήγαινε, τοῦ ἀπήντησεν ὁ Γέρων, κάθισε εἰς τὸ κελλίον σου ἕνα χρόνον τρώγων κάθε βράδυ ψωμὶ καὶ ἁλάτι καὶ κατόπιν ἔλα πάλιν καὶ σοῦ λέγω.

Πράγματι, ὁ ἀδελφὸς ἀνεχώρησε καὶ ἔκαμεν ὅπως τοῦ ὑπεδείχθη.

Μετὰ ἕνα χρόνον ἐπανῆλθε πάλιν ὁ ἀδελφός· κατὰ σύμπτωσιν παρευρίσκετο καὶ ὁ Ἀββᾶς Ἀβραὰμ ἐκεῖ.

Καὶ εἶπε πάλιν ὁ Γέρων πρὸς τὸν ἀδελφόν.

— Πήγαινε, νήστευσον καὶ αὐτὸν τὸν χρόνον, τρώγων κάθε δύο ἡμέρας.

Ὅταν ἀνεχώρησεν ὁ ἀδελφός, ὁ Ἀββᾶς Ἀβραὰμ ἠρώτησε τὸν Ἀββᾶν Ἄρην.

— Διατί πρὸς ὅλους τοὺς ἄλλους ἀδελφούς, ὅταν ὁμιλῇς, τοὺς θέτεις ὑπὸ ἐλαφρὸν ζυγόν, ἐνῷ τὸν ἀδελφὸν αὐτὸν τὸν φορτώνεις μὲ φορτώματα βαριά;

— Εἰς τοὺς ἀδελφούς, ποὺ ἔρχονται, ἀπαντῶ σύμφωνα μὲ ὅ,τι μοῦ ζητοῦν. Ἐνῷ αὐτὸς ἐδῶ εἶναι πραγματικὸς ἀγωνιστὴς καὶ ἔρχεται νὰ ἀκούσῃ τὸν Θεόν· καὶ ὅ,τι νὰ τοῦ εἴπω τὸ ἐκτελεῖ μὲ ἐπιμέλειαν καὶ ἀκρίβειαν· δι' αὐτὸ καὶ ἐγὼ λαλῶ εἰς αὐτὸν τὸν λόγον τοῦ Θεοῦ.

3. Διὰ τὸν Ἀββᾶν Ἰωάννην τὸν Κολοβὸν διηγήθησαν τὸ ἑξῆς περιστατικόν:

Κάποτε ἐπεσκέφθη ἕνα Γέροντα, ποὺ ἐμόναζεν εἰς μίαν σκήτην τῆς Θηβαΐδος* καὶ παρέμεινε πλησίον του εἰς τὴν ἔρημον.

Μίαν ἡμέραν λοιπὸν ἐπῆρεν ὁ πνευματικὸς Πατὴρ τοῦ Γέροντος ἐκείνου ἕνα ξερὸ ξύλο καὶ τὸ ἐφύτευσε.

— Κάθε ἡμέραν, τοῦ εἶπε, νὰ τὸ ποτίζῃς μὲ μίαν στάμναν νερό, μέχρις ὅτου δώσῃ καρπόν.

Τὸ νερὸ δὲ ἀπὸ τὸ κελλὶ ἦτο πολὺ μακρυὰ καὶ ἐχρειάζετο νὰ ξεκινήσῃ κανεὶς ἀπὸ τὸ βράδυ διὰ νὰ ἐπιστρέψῃ τὸ πρωΐ. Μετὰ τρία ἔτη τὸ ξερὸ κλαδὶ ἐφύτρωσε καὶ ἔδωσε καὶ καρποὺς καρύδια.

Τότε ὁ πνευματικὸς Πατὴρ τοῦ ὑπάκουου ὑποτακτικοῦ ἐπῆρε τὸν καρπὸν αὐτὸν καὶ ἀφοῦ τὸν ἔφερεν εἰς τὴν Ἐκκλησίαν τῆς σκήτης, εἶπε πρὸς τοὺς ἀδελφούς.

— Πάρετε νὰ φᾶτε ἀπὸ τὸν καρπὸν τῆς ὑπακοῆς.

4. Ἦλθε, κάποτε, κάποιος ἀπὸ τοὺς ἀσκητὰς τῆς Θηβαΐδος πρὸς τὸν Ἀββᾶν Σισώην, μὲ τὴν ἐπιθυμίαν νὰ γίνῃ Μοναχός. Ὁ Γέρων τὸν ἠρώτησεν:

— Ἔχεις κανένα ἄλλον εἰς τὸν κόσμον;

— Ἔχω ἕνα υἱόν, ἀπήντησεν ἐκεῖνος.

---

* Πρὸς γέροντα δηλαδὴ ὁ ὁποῖος ἐμόναζεν εἰς τὴν Θηβαΐδα τῆς Ἄνω Αἰγύπτου.

— Τότε πήγαινε, ρίξε τον εἰς τὸν ποταμὸν καὶ ἔλα νὰ γίνῃς Μοναχός. Ἐκεῖνος ἀνεχώρησε, διὰ νὰ ἐκτελέσῃ τὴν διαταγὴν τοῦ Ἀββᾶ Σισώη. Ἐν τῷ μεταξὺ ὅμως ὁ Γέρων ἔστειλεν ἀπὸ πίσω του ἕνα ἄλλον, διὰ νὰ τὸν ἐμποδίσῃ, ἐὰν πράγματι ἐπιχειρήσῃ νὰ τὸ κάμῃ.

Καθὼς λοιπὸν πραγματικῶς ἡτοιμάζετο νὰ ρίψῃ τὸ παιδί του εἰς τὸν ποταμὸν προσέτρεξεν ὁ ἀδελφός, ὁ ὁποῖος τὸν ἠμπόδιζεν.

—Ἄφησέ με — διεμαρτύρετο ἐκεῖνος — ὁ Ἀββᾶς μου εἶπε νὰ τὸν ρίψω εἰς τὸν ποταμόν.

—Ὁ ἴδιος ὅμως Ἀββᾶς, ἀπήντησεν ὁ ἀδελφός, σοῦ παραγγέλλει, μὲ ἐμένα, νὰ μὴ τὸν ρίψῃς.

Τότε ἄφησε τὸ παιδὶ καὶ ἐπέστρεψεν εἰς τὸν Γέροντα, καὶ ἔγινε δόκιμος Μοναχός.

Ὅμοιον εἶναι καὶ τὸ διήγημα τοῦ Πατερμουθίου, τὸ ὁποῖον διηγήθη ὁ Ἀββᾶς Κασσιανός.

5. Ἕνας ἀπὸ τοὺς Πατέρας διηγήθη τὴν ἑξῆς ἱστορίαν: Κάποιος μορφωμένος καὶ εὐλαβὴς ἄνθρωπος ἀπὸ τὴν Θεούπολιν* ἐπεσκέπτετο, συνεχῶς, κάποιον Ἔγκλειστον** καὶ τὸν παρεκάλει νὰ τὸν δεχθῇ καὶ νὰ τὸν κάμῃ Μοναχόν.

— Πήγαινε — τοῦ εἶπεν ὁ Γέρων — πώλησε τὴν περιουσίαν σου καὶ μοίρασέ την εἰς τοὺς πτωχούς, ὅπως παραγγέλλει ὁ Κύριος, καὶ ὅταν θὰ ἐπιστρέψῃς, θὰ σὲ δεχθῶ.

Πράγματι ὁ εὐλαβὴς ἐκεῖνος ἄνθρωπος ἀνεχώρησεν, ἔκαμεν ὅπως διετάχθη ἀπὸ τὸν Ἔγκλειστον καὶ ἐπέστρεψε.

— Τώρα ὅμως θὰ πρέπει νὰ φυλάξῃς καὶ μίαν ἀκόμη ἐντολήν, εἶπε πρὸς αὐτὸν ὁ Ἔγκλειστος· νὰ μὴ ὁμιλῇς.

Ὁ ἄνθρωπος συνεφώνησεν εἰς αὐτὸ καὶ παρέμεινε μαζὶ μὲ τὸν Ἔγκλειστον ἐπὶ πέντε ὁλόκληρα ἔτη χωρὶς νὰ εἴπῃ οὔτε μίαν λέξιν.

Ὅσοι λοιπὸν τὸν ἐγνώριζον, ἤρχισαν νὰ τὸν ἐπαινοῦν. Μόλις τὸ ἔμαθεν ὁ Γέρων τοῦ λέγει:

— Παιδί μου, δὲν ὠφελεῖσαι πλέον ἐδῶ· δι' αὐτὸ θὰ σὲ στείλω εἰς τὴν Αἴγυπτον, εἰς ἕνα Κοινόβιον.

Πράγματι δὲ τὸν ἔστειλεν. Ὅταν ὅμως ἀνεχώρει, δὲν τοῦ εἶπε νὰ ὁμιλῇ ἢ νὰ μὴ ὁμιλῇ. Αὐτὸς ἐπροτίμησε νὰ τηρήσῃ τὴν ἐντολὴν καὶ παρέμεινεν εἰς τὸ Κοινόβιον, χωρὶς νὰ ὁμιλῇ.

Ὁ Ἡγούμενος τοῦ Κοινοβίου, ποὺ τὸν ἐδέχθη, ἠθέλησε νὰ ἀντιληφθῇ ὁ ἴδιος προσωπικῶς, ἐὰν πραγματικῶς εἶναι ἐκ φύσεως ἄλαλος.

---

* Θεούπολις ὠνομάσθη ἡ Ἀντιόχεια μετὰ τὴν ἀνοικοδόμησίν της ὑπὸ τοῦ Ἰουστινιανοῦ, τὴν ὁποίαν εἶχον καταστρέψει οἱ Πέρσαι τὸ 540 μ. Χ.

** Ἔγκλειστοι ὠνομάζοντο οἱ μοναχοὶ ἐκεῖνοι, οἵτινες ἀσκήσεως χάριν ἐνεκλείοντο εἰς τὸ κελλίον αὐτῶν καὶ οὐδόλως ἐξήρχοντο ἀπ' αὐτοῦ, ἐλάμβανον δὲ τὴν τροφήν των διά τινος θυρίδος.

Τὸν ἀποστέλλει λοιπὸν εἰς μίαν ὑπηρεσίαν, διὰ τὴν ἐκτέλεσιν τῆς ὁποίας ἦτο ὑποχρεωμένος νὰ περάση τὸν ποταμόν, ὁ ὁποῖος ὅμως τὴν ἐποχὴν ἐκείνην ἦτο πλημμυρισμένος*, ὥστε νὰ ἀναγκασθῆ νὰ γυρίση πίσω εἰς τὸ Κοινόβιον καὶ νὰ εἴπη, πὼς δὲν ἠμπόρεσα νὰ περάσω.

Ὁ εὐλαβὴς ἐκεῖνος Μοναχὸς μόλις ἐπλησίασε τὸν ποταμὸν καὶ τὸν εἶδε πλημμυρισμένον, ἐγονάτισε καὶ ἀμέσως ἔρχεται ἕνας κροκόδειλος, τὸν παίρνει ἐπάνω εἰς τὴν ράχιν του καὶ τὸν περνᾶ εἰς τὴν ἀπέναντι ὄχθην.

Ἐν τῷ μεταξὺ ὁ Ἡγούμενος ἔστειλε κάποιον Μοναχὸν ἀπὸ πίσω του, διὰ νὰ ἴδη τί θὰ κάμη. Μόλις λοιπὸν εἶδεν αὐτὸ τὸ καταπληκτικὸν θαῦμα ὁ Μοναχός, ἐγύρισε καὶ τὸ ἀνέφερεν εἰς τὸν Ἡγούμενον καὶ τοὺς ἀδελφούς, οἱ ὁποῖοι κατεπλάγησαν καὶ αὐτοί.

Μετὰ καιρόν, ὅταν ἀπέθανεν ὁ Μοναχός, ὁ Ἡγούμενος ἐμήνυσε πρὸς τὸν Ἔγκλειστον, ποὺ τὸν ἀπέστειλεν:

—Ἂν καὶ δὲν εἶχε φωνὴν αὐτὸς ποὺ μᾶς ἔστειλες, ἐν τούτοις ἦτο ἄγγελος Θεοῦ.

Τότε καὶ ὁ Ἔγκλειστος ἀπήντησεν εἰς τὸν Ἡγούμενον.

— Δὲν ἦτο ἐκ φύσεως ἄλαλος· δὲν ὡμίλει ὅμως χάριν τῆς ἐντολῆς ποὺ τοῦ ἔδωσα, ὅταν ἦλθε διὰ πρώτην φορὰν κοντά μου.

Ὅταν ἤκουσαν εἰς τὸ Κοινόβιον τὸ κατόρθωμα αὐτὸ ἐθαύμασαν καὶ ἐδόξασαν τὸν Θεόν.

6. Ἕνας Γέρων εἶχεν ἕνα μαθητὴν ἀγορασμένον, ὁ ὁποῖος εἶχε τελείαν ὑπακοὴν εἰς αὐτόν. Μίαν ἡμέραν λοιπὸν τοῦ λέγει ὁ Γέρων:

— Πήγαινε, ἄναψε καλὰ τὸν φοῦρνον, πάρε τὸ βιβλίον, ποὺ διαβάζομεν εἰς τὴν σύναξιν καὶ ρίξέ το μέσα εἰς τὸν φοῦρνον.

Πράγματι ὁ μαθητὴς ἔκαμεν ὅπως ἀκριβῶς τὸν διέταξεν ὁ Γέρων, χωρὶς οὐδεμίαν ἀντίρρησιν.

Μόλις ὅμως ἔρριξε τὸ βιβλίον εἰς τὸν φοῦρνον, ἀμέσως ὁ φοῦρνος ἔσβυσεν.

7. Οἱ Γέροντες ἔλεγον ὅτι ἐὰν ἔχη κανεὶς ἐμπιστοσύνην εἰς κάποιον καὶ ὑποταχθῆ τελείως εἰς αὐτόν, δὲν εἶναι ἀνάγκη πλέον νὰ προσέχη εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀλλὰ νὰ ὑποτάσση τὰ θελήματά του εἰς τὸν Πνευματικόν του Πατέρα καὶ δὲν θὰ ἔχη ἁμαρτίαν ἀπέναντι τοῦ Θεοῦ. Διότι τίποτε ἄλλο δὲν ζητεῖ ὁ Θεὸς ἀπὸ τοὺς ἀρχαρίους, παρὰ τὸν βασανισμὸν τῆς ὑπακοῆς.

8. Ἕνας ἀδελφὸς ποὺ ἐπήγαινεν ἀπὸ τὴν σκήτην, διὰ νὰ θερίση, ἦλθε πρὸς κάποιον ἀξιόλογον Γέροντα καὶ τὸν ἠρώτησεν:

— Εἰπέ μου, Ἀββᾶ, τί πρέπει νὰ κάνω τώρα, ποὺ πηγαίνω εἰς τὸ θέρος;

—Ἐὰν σοῦ εἴπω, θὰ ὑπακούσης; τοῦ λέγει ὁ Γέρων.

---

* Πρόκειται διὰ τὸν Νεῖλον ποταμὸν καὶ βλέπε περὶ τούτου τὴν ὑποσημείωσιν τῆς σελίδος 59.

— Ναί, θὰ σὲ ἀκούσω.

— Τότε — ἐπανέλαβεν ὁ Γέρων — ἐφ' ὅσον εἶσαι διατεθειμένος νὰ ὑπακούσῃς, παράτησε αὐτὸν τὸν θερισμόν, γύρισε καὶ κλείσου εἰς τὸ κελλί σου, ἐπὶ πεντήκοντα ἡμέρας, τρώγων καθ' ἑκάστην ἑσπέραν ἄρτον μόνον μὲ ἁλάτι· καὶ μετὰ ἀπὸ αὐτὸ ἔλα καὶ θὰ σοῦ εἰπῶ τί ἄλλο πρέπει νὰ κάμῃς.

Ὁ ἀδελφὸς ἐπέστρεψε, πράγματι, καὶ ἔκαμεν ὅπως διετάχθη· μετὰ δὲ τὰς πεντήκοντα ἡμέρας ἐπεσκέφθη πάλιν τὸν Γέροντα. Ὁ Γέρων, γνωρίζων ὅτι ὁ ἀδελφὸς εἶναι ἀγωνιστής, τοῦ ἔδωσεν ὁδηγίας πῶς πρέπει νὰ καθίσῃ εἰς τὸ κελλίον. Ἔρριψε λοιπὸν τὸ πρόσωπόν του εἰς τὴν γῆν καὶ ἐπὶ τρεῖς ἡμέρας ἔκλαιεν ἐνώπιον τοῦ Θεοῦ. Τοῦ ἔλεγον τότε οἱ λογισμοί· τώρα πλέον ἀνέβης ὑψηλά, ἔγινες μεγάλος. Ὁ ἀδελφὸς τότε ἔφερεν εἰς τὴν σκέψιν του τὰς ἁμαρτίας του καὶ ἔλεγε μονολογῶν· καὶ ποῦ εἶναι ὅλα τὰ ἁμαρτήματά μου; καὶ ἀνέφερε μίαν πρὸς μίαν τὰς ἁμαρτίας του· τότε οἱ λογισμοὶ πάλιν μετέβαλλον τακτικὴν καὶ τοῦ ἔλεγον· ἔκαμες πολλὰς ἁμαρτίας καὶ δὲν δύνασαι νὰ σωθῇς. Ὁ ἀδελφὸς ὅμως ἀπαντοῦσε· θὰ κάνω ὅμως ἐνώπιον τοῦ Θεοῦ ὀλίγας προσευχὰς καὶ κανόνα καὶ πιστεύω εἰς τὴν ἀπέραντον εὐσπλαγχνίαν Του, ὅτι θὰ μὲ ἐλεήσῃ.

Ἀφοῦ λοιπὸν ἐπὶ πολὺν καιρὸν ἐπολέμει καὶ ἐπολεμεῖτο, κατ' αὐτὸν τὸν τρόπον, εἰς τὸ τέλος τὰ πονηρὰ πνεύματα κατενικήθησαν, ἐνεφανίσθησαν ἐνώπιόν του ὀφθαλμοφανῶς καὶ τοῦ εἶπον. Μᾶς ἐνίκησες. Διατί; ἠρώτησεν ὁ ἀδελφός. Καὶ τὰ πονηρὰ πνεύματα ἀπήντησαν. Ἐὰν σὲ ὑψώσωμεν, τρέχεις καὶ ταπεινώνεσαι· ἐὰν πάλιν σὲ ταπεινώσωμεν, τότε ἀνεβαίνεις εἰς ὕψος. Καὶ τότε ἀφοῦ τὰ ἐπετίμησεν ὁ ἀδελφός, ἐξηφανίσθησαν.

9. Κάποτε ἕνας βιοπαλαιστής, ποὺ εἶχε τρία παιδιά, τὰ ἄφησεν εἰς τὴν πόλιν καὶ ἀνεχώρησεν εἰς Μοναστήριον. Ἀφοῦ διέμεινε τρία ἔτη εἰς τὸ Μοναστήριον, ἤρχισε νὰ ἐνοχλῆται ἀπὸ τοὺς λογισμούς, οἱ ὁποῖοι τοῦ ἔφερον τὴν ἐνθύμησιν τῶν παιδιῶν του καὶ τοῦ ἐξυπνοῦσαν τὸν πόθον δι' αὐτά. Ἐδοκίμαζε λοιπὸν μεγάλην λύπην διὰ τὰ παιδιά του. Εἰς τὸν Ἡγούμενον τοῦ Μοναστηρίου δὲν εἶπε τίποτε ἀπὸ τὴν ἀρχήν, ποὺ εἰσῆλθεν, ὅτι ἔχει παιδιά.

Ὁ Ἡγούμενος λοιπόν, καθὼς τὸν ἔβλεπε συχνὰ λυπημένον, τοῦ λέγει μίαν ἡμέραν:

— Τί ἔχεις καὶ εἶσαι στενοχωρημένος;

— Ἔχω τρία παιδιὰ εἰς τὸν κόσμον — ἀπήντησεν ὁ Μοναχὸς — καὶ θέλω νὰ τὰ φέρω εἰς τὸ Μοναστήρι.

Ὁ Ἡγούμενος τοῦ τὸ ἐπέτρεψεν.

Ὁ ἀδελφὸς ἐπέστρεψεν εἰς τὴν πόλιν· τὰ δυὸ παιδιά του εἶχον ἀποθάνει, ἐν τῷ μεταξύ, καὶ μόνον τὸ ἕνα ἔζη. Τὸ παραλαμβάνει λοιπὸν καὶ ἐπιστρέφει ἀμέσως εἰς τὸ Μοναστήριον. Ἀνεζήτησε τὸν Ἡγούμενον καὶ τὸν εὗρεν εἰς τὸ ἀρτοποιεῖον ὅπου καὶ τοῦ παρουσίασε τὸ παιδί του.

Ὁ Ἡγούμενος τότε ἀγκάλιασε καὶ κατεφίλει τὸ παιδί· εἰς μίαν στιγμὴν λέγει πρὸς τὸν πατέρα του.

— Τὸ ἀγαπᾷς τὸ παιδί;

— Μάλιστα, ἀπήντησεν ὁ πατέρας.

— Πάρε το λοιπὸν καὶ ρίξε το εἰς τὸν φοῦρνον, τώρα ποὺ καίει.

Καὶ ὁ ἀδελφὸς ἀμέσως παίρνει τὸ ἴδιο τὸ παιδί του, μὲ τὰ ἴδια του τὰ χέρια καὶ τὸ ἔρριξεν εἰς τὸν φοῦρνον.

Καὶ (ὢ τοῦ θαύματος) ἀμέσως ἔγινε δροσιὰ ἡ φλόγα τοῦ φούρνου καὶ δὲν ἐκάη τὸ παιδί.

Ὁ πατέρας τοῦ παιδιοῦ ἐκέρδισε τὴν δόξαν, ποὺ εἶχεν ὁ Πατριάρχης Ἀβραάμ.

10. Ἕνας Γέρων εἶπεν· Ὁ Σωτὴρ εἶχεν ὡς ἀρχὴν τῶν μαθημάτων του τὴν θλῖψιν καὶ τὴν στενοχωρίαν· ὅποιος δὲ ἀποφεύγει τὴν ἀρχήν, ἀπέφυγε νὰ γνωρίσῃ τὸν Θεόν. Ὅπως δηλαδὴ τὰ γράμματα ἐξασφαλίζουν εἰς τὰ παιδιὰ τὰς πρώτας ἀρχὰς τῆς παιδείας, διὰ νὰ μάθουν ἐπιστήμην, τοιουτοτρόπως καὶ ὁ Μοναχός, ὅταν ὑπακούῃ, παρὰ τοὺς κόπους καὶ τὰς θλίψεις, ἀποβαίνει συγκληρονόμος τοῦ Θεοῦ καὶ υἱὸς τοῦ Θεοῦ.

11. Ὁ Ἀββᾶς Ποιμήν, ἀκούσας ὅσα ἐλέγοντο διὰ τὸν Ἀββᾶν Νισθερώ, ποὺ ἦτο νέος καὶ παρέμενεν εἰς Κοινόβιον, ἐπεθύμησε νὰ τὸν ἴδῃ. Ἐξεδήλωσε τὴν ἐπιθυμίαν του αὐτὴν εἰς τὸν Ἡγούμενόν του καὶ τὸν παρεκάλεσε νὰ τοῦ τὸν στείλῃ. Πράγματι ὅταν ἦλθε, μαζὶ μὲ τὸν οἰκονόμον τῆς Μονῆς, τὸν ἠρώτησεν ὁ Γέρων:

—Ἀββᾶ Νισθερώ, ἀπὸ ποῦ ἀπέκτησες αὐτὴν τὴν ἀρετήν; ὁποτεδήποτε δηλαδὴ καὶ ἐὰν συμβῇ θλῖψις εἰς τὸ Κοινόβιον, νὰ μὴ ὁμιλῇς καὶ νὰ μὴ μεσολαβῇς;

Ἐπειδὴ δὲ ἐπιέσθη πάρα πολὺ ὁ ἀδελφὸς ἀπὸ τὸν Γέροντα, ἀπήντησε.

— Συγχώρησέ με, Ἀββᾶ· ὅταν, διὰ πρώτην φοράν, εἰσῆλθον εἰς τὸ Κοινόβιον, εἶπον εἰς τὸν λογισμόν μου, ὅτι σὺ καὶ ὁ ὄνος εἶσθε ἕνα πρᾶγμα· ὅπως λοιπὸν τὸν ὄνον τὸν δέρνουν καὶ δὲν ὁμιλεῖ, τὸν ὑβρίζουν καὶ δὲν ἀπαντᾷ, ἔτσι καὶ σύ· ὅπως λέγει ὁ ψαλμῳδός· «πλησίον σου ἔγινα ὅπως τὸ κτῆνος καὶ ἐγὼ θὰ εἶμαι πάντοτε μαζί Σου» (Ψαλμ. οβ', 22).

12. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν· ἕνας ἄνθρωπος, ποὺ συγκατοικεῖ μὲ ἄλλον, πρέπει νὰ εἶναι ὅπως μία στήλη ἀπὸ μάρμαρον· νὰ ὑβρίζεται καὶ νὰ μὴ ὀργίζεται, νὰ ἐπαινῆται καὶ νὰ μὴ ὑπερηφανεύεται.

13. Διὰ τὸν μικρὸν Ἰωάννην τὸν Θηβαῖον, τὸν μαθητὴν τοῦ Ἀββᾶ Ἀμμώη, διηγοῦντο τὰ ἑξῆς: Ἐπὶ δώδεκα ἔτη ἐξυπηρέτει ἕνα ἀσθενῆ γέροντα καὶ παρέμενε μαζί του εἰς τὴν ρεματιάν· ὡστόσον ὁ γέρων τὸν περιφρονοῦσε καὶ ἐνῷ πάρα πολὺ ἐκοπίασε μαζί του, ἐν τούτοις οὔτε μίαν φορὰν δὲν τοῦ ἀπηύθυνε τὸν χαιρετισμὸν «σωθείης»*. Ὅταν ὁ γέ-

---

* Βλέπε ὑποσημείωσιν σελίδος 211.

ρων αὐτὸς ἐπρόκειτο νὰ ἀποθάνῃ καὶ ἐκάθηντο γύρω του οἱ ἄλλοι γέροντες, ἐκράτησε τὸ χέρι τοῦ μικροῦ Ἰωάννου καὶ τοῦ λέγει· σωθείης, σωθείης, σωθείης. Τὸν παρέδωσε δὲ εἰς τοὺς γέροντας λέγων πρὸς αὐτούς· αὐτὸς ἐδῶ εἶναι Ἄγγελος, δὲν εἶναι ἄνθρωπος.

14. Κάποιος Πατὴρ παρεκάλεσε τὸν Θεὸν νὰ τὸν πληροφορήσῃ εἰς ποῖον μέτρον ἀρετῆς ἔφθασεν. Ὁ δὲ Θεὸς ἀπεκάλυψεν εἰς αὐτὸν ὅτι εἰς τὸ τάδε Κοινόβιον ὑπάρχει ἕνας ἀδελφὸς καλύτερός σου. Ἀμέσως ὁ Γέρων ἐξεκίνησε, διὰ νὰ μεταβῇ εἰς τὸ Κοινόβιον. Μόλις ἐπληροφορήθησαν αὐτὸ τὸ πρᾶγμα ὁ Ἡγούμενος καὶ οἱ Γέροντες τοῦ Κοινοβίου, τὸν προϋπήντησαν μετὰ χαρᾶς, διότι ἦτο μεγάλος καὶ ὀνομαστός. Ἀφοῦ εἰσῆλθεν εἰς τὸ Κοινόβιον ὁ Γέρων, λέγει πρὸς αὐτούς·

— Θέλω νὰ ἰδῶ ὅλους τοὺς ἀδελφοὺς καὶ νὰ τοὺς ἀσπασθῶ.

Κατόπιν ἐντολῆς τοῦ Ἡγουμένου προσῆλθον ὅλοι οἱ ἀδελφοί, χωρὶς ὅμως νὰ παρουσιασθῇ ἐκεῖνος, διὰ τὸν ὁποῖον τὸν ἐπληροφόρησεν ὁ Θεός.

— Ἄλλος ἀδελφὸς δὲν ὑπάρχει εἰς τὸ Κοινόβιον; ἐρωτᾷ τὸν Ἡγούμενον.

— Ναί· εἶναι ἀκόμη ἕνας — ἀπήντησεν ὁ Ἡγούμενος — ἀλλὰ εἶναι πνευματικῶς καθυστερημένος καὶ ἀσχολεῖται μὲ τὸν κῆπον.

— Φώναξέ τον, εἶπεν ὁ Γέρων.

Πράγματι τὸν ἐφώναξαν καὶ μόλις τὸν εἶδεν ὁ Γέρων ἐσηκώθη ἀπὸ τὸ κάθισμά του καὶ τὸν ἠσπάσθη. Ἀφοῦ δὲ τὸν ἐπῆρεν ἰδιαιτέρως, τὸν ἠρώτησε μετ' ἐπιμονῆς.

— Ποία εἶναι ἡ πνευματική σου ἐργασία; φανέρωσέ μου αὐτήν.

— Εἶμαι ἕνας ἀνόητος ἄνθρωπος, Γέροντά μου, ἀπήντησεν ἐκεῖνος.

Ἀφοῦ δὲ τὸν παρεκάλεσε πάρα πολὺ ὁ Γέρων, ἀπεκάλυψεν ἐπὶ τέλους τὰ ἑξῆς·

— Ὁ Ἡγούμενος βάζει εἰς τὸ κελλὶ μαζί μου τὸ βόδι, ποὺ σύρει τὸ μαγγάνι τοῦ πηγαδιοῦ· καὶ καθημερινῶς μοῦ κόβει τὰ σχοινιὰ τῆς ψάθας, ποὺ ἐργάζομαι· αὐτὴν τὴν δοκιμασίαν τὴν ὑπομένω τώρα ἐπὶ τριάντα ἔτη καὶ ποτὲ δὲν ἐπέτρεψα εἰς τὸν λογισμόν μου νὰ βαρυγγομήσῃ κατὰ τοῦ Ἡγουμένου μου, ἀλλ' οὔτε καὶ ποτὲ ἔδειρα τὸ βόδι, διὰ τὴν ζημίαν. Ἐμακροθυμοῦσα καὶ ἔπλεκα πάλιν τὰ σχοινιὰ εὐχαριστῶν τὸν Θεόν.

Μόλις ἤκουσεν αὐτὰ ὁ Γέρων ἐθαύμασε, διότι ἀπὸ αὐτὸ ἀντελήφθη καὶ τὴν ὑπόλοιπον πνευματικὴν ἐργασίαν τοῦ ἀδελφοῦ.

Ε'. Τοῦ Ἁγίου Ἐφραίμ

ΕΑΝ καθέζῃ, ἀδελφέ, ἐν ὑποταγῇ Πατέρων, ἐν τούτῳ σου φαίνεται τὸ ἑδραῖον τῆς πίστεως· οὐκ ἐν τῷ θεραπεύεσθαί σε καὶ ἀκούειν λόγους ἡμέρους καὶ πράους, ἀλλ' ὅταν ἐξουθενούμενος καὶ τυπτόμενος ὑπομένῃς· καὶ θηρίον γὰρ κολα-

κευόμενον, ἡμεροῦται καὶ πραΰνεται. Μὴ τοίνυν πικραίνου πρὸς τὸν παιδεύοντα, εἰ ἄρα γε σκεῦος ἐκλογῆς βούλει γενέσθαι, ἀλλ' ἐν πᾶσιν ὑποτάσσου μετ' ἐπιεικείας τῷ διδασκάλῳ σου, καθὼς καὶ αὐτὸς ὁ Κύριος ἐνανθρωπήσας ἐν ταπεινώσει ὑπετάσσετο πρῶτον μὲν τῇ Μητρί, καὶ τῷ δοκοῦντι πατρί, καθὼς ὁ Εὐαγγειστὴς διδάσκει ἡμᾶς λέγων· «καὶ ἦν ὑποτασσόμενος αὐτοῖς»· καὶ τῷ ἀληθινῷ Πατρὶ τῷ οὐρανίῳ «ὑπήκοος ἐγένετο μέχρι θανάτου, θανάτου δὲ σταυροῦ», κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν.

Δέχου εὐχαρίστως τὰς ἐπερχομένας σοι θλίψεις καὶ τὰς παρὰ τοῦ προεστῶτος παιδείας· «τίς γάρ ἐστι, φησὶν υἱός, ὃν οὐ παιδεύει πατήρ; εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί»· ἐδάρης; χαῖρε ἐν τούτῳ, καὶ διόρθωσαι τὸ πταῖσμα· ἀλλὰ ἀδίκως ἐδάρης; περισσὸς ὁ μισθός· καὶ γὰρ οἱ Ἀπόστολοι τὴν σωτηρίαν τῷ κόσμῳ καταγγέλλοντες, κατὰ πόλιν ὡς κακοῦργοι ἐτύπτοντο, καὶ οὐκ ὠργίζοντο οὐδὲ ἠγανάκτουν, «ἀλλ' ἔχαιρον ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι».

Ἀλλ' ἴσως ἐρεῖ τις τῶν ἀμελεστέρων· λυποῦμαι ὅτι τοῦτό μοι συνέβη, μετὰ τοσούτους κόπους, οὓς ἐκοπίασα ἐν τῷ Μοναστηρίῳ· πρὸς ὃν εἴποιμι ἄν· ὅτι τοῦτό σε λυπεῖ, δοῦλε Κυρίου; Ἐντεῦθεν οὖν ἐπίγνωθι ὅτι μετὰ τοσαῦτα ἔτη καὶ τοὺς πολλοὺς καμάτους οὓς λέγεις, οὔπω τὰ πάθη ἐνίκησας. Εἰ γὰρ δοκεῖ τις εἶναί τι μηδὲν ὤν, ἑαυτὸν φρεναπατᾷ· ὡς γὰρ ὁ κυβερνήτης ἐν καιρῷ κλύδωνος ἐλέγχεται οἷος τὴν τέχνην ἐστὶν οὕτω καὶ ὁ Μοναχὸς ἐν καιρῷ ἀτιμίας καὶ ἐπιπλήξεως, κἂν τε μετὰ χαρᾶς αὐτὰς ὑποφέρῃ ὡς κερδαίνων τὰ μέγιστα, κἄν τε δάκνηται ἐπ' αὐταῖς καὶ λυπῆται· ὁ γὰρ μεγαλαυχῶν καὶ λέγων, ἔχω τοσαῦτα ἔτη ἐν τῷ μοναδικῷ βίῳ, τὴν δὲ ἐργασίαν τοῦ ἐπαγγέλματος μὴ ἐνδειξάμενος μηδὲ κατορθώσας τοὺς τρόπους τοῦ σεμνοῦ βίου, οὗτος περιφέρει ἐργαλεῖα, ὧν τὴν τέχνην οὐ μεμάθηκε.

Γεγήρακας ἐν τῷ σχήματι; ὡς οὖν ἔμπειρος τοῦ τοιούτου βίου, τύπος γενοῦ τοῖς νέοις καὶ ἀπείροις· ἐκπλαγείτωσαν καὶ οἱ λοιποὶ ἐπὶ τῇ σῇ ὑπομονῇ καὶ ἀνεξικακίᾳ· χαιρέτω καὶ τὸ Πνεῦμα τὸ Ἅγιον τὸ ἐνοικοῦν ἐν σοί, ἐπὶ τῇ μεγάλῃ σου καρτερίᾳ· μάλιστα οὖν εὐχαριστεῖν σοι πρέπει, ὅτι πάντα ὑπὲρ τοῦ συμφέροντος πάσχεις.

Λογίζομαι γὰρ ὅτι ὁ ἀναδεξάμενός σου τὴν προστασίαν, οὐ χαίρει ἐπὶ τῷ σῷ μώμῳ, ὡς λόγον ὑπὲρ σοῦ μέλλων δοῦναι τῷ Κυρίῳ, χαρὰ δὲ αὐτῷ ἐστιν ἐάν περ τέλειόν σε παραστήσῃ τῷ Κυρίῳ· διὸ εὐγνωμόνως ὑπομένειν ὀφείλεις πάντα τὰ παρ' αὐτοῦ, κἂν ἀλγεινὰ ᾖ, ὡς ἰατρευόμενος, οὐχὶ κολαζόμενος. Εἰ δὲ μικρὰν θλῖψιν καὶ πειρασμὸν οὐ φέρεις διὰ τὸν Κύριον, πῶς μέγαν ὑπομείνῃς; καὶ ἢ ὕβριν ἢ ῥάπισμα ἢ πληγὴν οὐ καταδέχῃ, πῶς τὸν σταυρόν σου βαστάσεις, ὃν φέρειν ἐξ ἀρχῆς ἐπηγγείλω; καὶ εἰ τὸν σταυρὸν οὐ βαστάζεις, πῶς τῆς ἐπουρανίου δόξης κληρονόμος γενήσῃ μετὰ τῶν λεγόντων «ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν τῇ διαθήκῃ σου»· καὶ πάλιν· «ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς».

Ἀδελφὲ ἀγαπητέ· ἐπελαθόμεθα ὧν ὑπέμεινεν ὁ πάντων ἡμῶν δεσπότης δι' ἡμᾶς; ὑβρίσθη, ἐξουθενώθη, ἤκουσε δαιμόνιον ἔχεις, καὶ οὐκ ὠργίσθη· ἐρραπίσθη, ἐκολαφίσθη, ἐνεπαίχθη, σταυρῷ προσηλώθη, ὄξους μετὰ χολῆς ἐγεύσατο, λόγχῃ

τὴν πλευρὰν ἐνύγη, ταῦτα πάντα ὑπέμεινε διὰ τὴν ἡμῶν σωτηρίαν, καὶ ἡμεῖς δι' αὐτὸν οὐδὲ μικρὰν ὕβριν ὑποφέρομεν; Πῶς οὖν αὐτῷ ἀπαντήσωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως; ποίαν δὲ ἀπολογίαν εὑρήσομεν, ὅταν ἡμῖν πρὸς ταῖς ἄλλαις εὐεργεσίαις ἁπάσαις αἷς ἐποίησε μεθ' ἡμῶν, καὶ ταῦτα προσφέρῃ; καὶ τίνα ἀντισήκωσιν ἀπαιτεῖ; Ἀνανήψωμεν οὖν, ἀγαπητέ, τῆς τοσαύτης χαυνότητος, καὶ ἀναλαβόντες καρδίαν γενναίαν καὶ στερεάν, εἴπωμεν καὶ αὐτοὶ μετὰ τοῦ Ἀποστόλου, ὅτι οὐ μόνον δεθῆναι ἢ πληγῆναι ὑπὲρ Χριστοῦ, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχομεν· εἰ γὰρ συμπάσχομεν, καὶ συνδοξασθησόμεθα πάντως καὶ συγκληρονόμοι αὐτῷ τῆς Βασιλείας ἐσόμεθα.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, ἐὰν εἶσαι ὑποτακτικὸς εἰς Πατέρας, ἡ ἀκλόνητος πίστις σου θὰ φανῇ ἀπὸ αὐτά· ὄχι, δηλαδή, μὲ τὸ νὰ σὲ περιποιοῦνται καὶ νὰ ἀκούῃς λόγους γλυκεῖς καὶ εὐγενικούς, ἀλλὰ μὲ τὸ νὰ ὑπομένῃς ὅταν σὲ δέρουν καὶ σὲ προσβάλλουν· διότι καὶ ἕνα θηρίον, ὅταν τὸ κολακεύῃς, ἐξημερώνεται καὶ καταπραΰνεται. Νὰ μὴ πικραίνεσαι λοιπὸν ἐναντίον ἐκείνου ποὺ σὲ στενοχωρεῖ, ἂν θέλῃς νὰ γίνῃς σκεῦος ἐκλογῆς, ἀλλὰ νὰ ὑποτάσσεσαι εἰς ὅλα, μὲ ἠρεμίαν, εἰς τὸν διδάσκαλόν σου, ὅπως καὶ ὁ Κύριος, ὅταν ἔγινεν ἄνθρωπος ὑπετάσσετο, μὲ ταπείνωσιν, πρῶτον μὲν εἰς τὴν Μητέρα Του καὶ εἰς ἐκεῖνον ποὺ ἐνομίζετο ὡς πατήρ Του, καθὼς μᾶς πληροφορεῖ καὶ ὁ ἱερὸς Εὐαγγελιστής, λέγων· «καὶ ὑπετάσσετο εἰς αὐτοὺς» (Λουκ. 6΄, 51)· ἐν συνεχείᾳ δὲ πρὸς τὸν πραγματικὸν ἐπουράνιον Πατέρα Του, «πρὸς τὸν ὁποῖον ὑπήκουσε μέχρι θανάτου, θανάτου μάλιστα σταυρικοῦ» (Φιλιπ. 6΄, 8) κατὰ τὴν πληροφορίαν τοῦ Ἀποστόλου.

Νὰ δέχεσαι λοιπὸν μὲ εὐχαρίστησιν τὰς θλίψεις, ποὺ σὲ εὑρίσκουν καὶ τὰς παιδαγωγικὰς δοκιμασίας τοῦ Ἡγουμένου· διότι, ὅπως λέγει καὶ ἡ Ἁγία Γραφή, «ποῖος εἶναι ὁ υἱὸς ἐκεῖνος, τὸν ὁποῖον δὲν ὑποβάλλει εἰς παιδαγωγοῦσαν δοκιμασίαν ὁ πατήρ; ἐὰν δὲ εἶσθε χωρὶς παιδαγωγοῦσαν δοκιμασίαν, τῆς ὁποίας ὅλοι ἔχουν γίνει μέτοχοι, τότε εἶσθε νόθα καὶ ὄχι γνήσια τέκνα» (Ἑβρ. ιβ΄, 8). Σὲ ἔδειραν; Νὰ χαίρῃς δι' αὐτὸ καὶ νὰ διορθώσῃς τὸ σφάλμα σου· ἀλλὰ σὲ ἔδειραν ἀδίκως; Τότε ὁ μισθός σου γίνεται πολὺ μεγαλύτερος. Διότι καὶ οἱ Ἀπόστολοι, ὅταν ἐκήρυττον εἰς τὸν κόσμον τὴν σωτηρίαν, ἐδέροντο ὡς κακοῦργοι εἰς τὰς διαφόρους πόλεις· καὶ ὅμως οὔτε ὠργίζοντο, οὔτε ἀγανακτοῦσαν· «ἀλλὰ ἔχαιρον, διότι ἠξιώθησαν νὰ ἀτιμασθοῦν πρὸς χάριν τοῦ ὀνόματος τοῦ Χριστοῦ» (Πράξ. ε΄, 41).

Ἀλλ' ἴσως θὰ εἴπῃ κανεὶς ἀπὸ τοὺς ἀμελεστέρους· λυποῦμαι, διότι μοῦ συνέβη αὐτό, μετὰ ἀπὸ τόσους κόπους, ποὺ ἐκοπίασα εἰς τὸ Μοναστήριον. Πρὸς αὐτὸν θὰ ἦτο δυνατὸν νὰ εἴπωμεν· Αὐτό, πράγματι, σὲ στενοχωρεῖ, δοῦλε τοῦ Θεοῦ; Κατάλαβε λοιπὸν ἀπὸ αὐτό, ὅτι μετὰ ἀπὸ τόσα χρόνια καὶ πολλοὺς κόπους, τοὺς ὁποίους ἐπικαλεῖσαι, δὲν ἐνίκησες ἀκόμη τὰ πάθη. Διότι ἐὰν κάποιος ἔχῃ τὴν γνώμην πὼς εἶναι κάτι, ἐνῷ

δὲν εἶναι τίποτε, ἐξαπατᾷ τὸν ἑαυτόν του, ὡς φρενοβλαβής· διότι ὅπως ἀκριβῶς ὁ καπετάνιος φανερώνει ποία εἶναι ἡ ἐπαγγελματική του ἱκανότης τὴν ὥραν τῆς τρικυμίας, τοιουτοτρόπως καὶ ὁ Μοναχὸς φανερώνει ποῖς εἶναι τὴν ὥραν, ποὺ τὸν προσβάλλουν καὶ τὸν ἐπιπλήττουν· ἄν, δηλαδή, ἀνέχεται μὲ χαρὰν τὰς δοκιμασίας αὐτάς, ὅπως θὰ ἔχαιρεν ἐὰν ἐκέρδιζε μεγάλα κέρδη, ἢ ἂν στενοχωρῆται ἀπὸ αὐτὰς καὶ λυπεῖται. Διότι ἐκεῖνος, ὁ ὁποῖος λέγει καυχησιολογίας, ὅτι ἔχει, δηλαδή, τόσα χρόνια εἰς τὸν μοναχικὸν βίον, ἀλλὰ δὲν παρουσίασεν ἀποδείξεις τῆς ἐργασίας του, οὔτε καὶ κατώρθωσε νὰ ἀποκτήση τοὺς τρόπους τοῦ σεμνοῦ βίου, αὐτὸς εἶναι ὡσὰν νὰ περιφέρη ἐργαλεῖα, τὰ ὁποῖα δὲν ἔχει μάθει ἀκόμη νὰ χρησιμοποιῆ.

Ἔχεις γηράσει εἰς τὸν μοναχικὸν βίον; Ὡς ἔμπειρος λοιπὸν τοῦ βίου αὐτοῦ, νὰ γίνεσαι ὑπόδειγμα διὰ τοὺς νέους, ποὺ εἶναι ἀκόμη ἄπειροι. Ἂς ἐκπλαγοῦν ὅλοι οἱ ἄλλοι ἀπὸ τὴν ὑπομονήν σου καὶ τὴν ἀνεξικακίαν σου· ἂς χαρῇ καὶ τὸ Ἅγιον Πνεῦμα, ποὺ κατοικεῖ μέσα σου, ἀπὸ τὴν καρτερικότητά σου· περισσότερον λοιπὸν ἀπὸ κάθε ἄλλον πρέπει νὰ εὐχαριστῇς, διότι πάσχεις ὅλα διὰ τὸ πνευματικόν σου συμφέρον.

Ἔχω τὴν γνώμην ὅτι ἐκεῖνος ποὺ ἀνέλαβε τὴν πνευματικὴν προστασίαν σου, δὲν χαίρει διὰ τὸ ἐλάττωμά σου, ἐπειδὴ πρόκειται νὰ δώση λόγον, διὰ τὴν σωτηρίαν σου, εἰς τὸν Κύριον. Ἀπ' ἐναντίας θὰ εἶναι ὅλος χαρά, ἐὰν σὲ παρουσιάση τέλειον εἰς τὸν Κύριον· δι' αὐτὸ ἔχεις ὑποχρέωσιν νὰ ὑπομένης μὲ εὐγνωμοσύνην ὅσα προέρχονται ἀπὸ αὐτόν, καὶ ἂν ἀκόμη εἶναι λυπηρά, ὡς μέσα πρὸς ἰατρείαν, καὶ ὄχι ὡς κολαστήρια. Ἐὰν δὲν ἔχης τὴν δύναμιν νὰ ἀνεχθῇς μικρὰν θλῖψιν ἢ πειρασμὸν χάριν τοῦ Κυρίου, τότε πῶς θὰ ὑπομείνης τὸν μεγάλον; Καὶ ἐὰν δὲν ἀνέχεσαι μίαν ὕβριν ἢ ἕνα ράπισμα ἢ μίαν πληγήν, πῶς θὰ κρατήσης τὸν σταυρόν, τὸν ὁποῖον εὐθὺς ἐξ ἀρχῆς ὑπεσχέθης νὰ φέρης εἰς τοὺς ὤμους σου; Καὶ ἐὰν δὲν βαστάζης τὸν σταυρόν, πῶς τότε θὰ γίνης κληρονόμος τῆς ἐπουρανίου δόξης, μαζὶ μὲ ἐκείνους, ποὺ θὰ λέγουν· «ὅλα αὐτὰ μᾶς ἦλθαν καὶ δὲν σὲ ἐλησμονήσαμεν καὶ δὲν παρέβημεν τὸν Νόμον Σου» (Ψαλμ. μγ', 18—23). Καὶ πάλιν· «Πρὸς χάριν Σου, ὅλην τὴν ἡμέραν θανατωνόμεθα καὶ ἐθεωρούμεθα ὡς πρόβατα, ποὺ τὰ ὁδηγοῦν πρὸς σφαγήν».

Ἀγαπητὲ ἀδελφέ, ἐλησμονήσαμεν ὅσα ὁ Δεσπότης ὅλων ἡμῶν ὑπέμεινε δι' ἡμᾶς; Ὑβρίσθη, προσεβλήθη, ἤκουσεν ἀπὸ τοὺς Φαρισαίους δαιμόνιον ἔχεις, καὶ ὅμως δὲν ὠργίσθη· τὸν ἐρράπισαν, τὸν ἐκολάφισαν, τὸν περιέπαιξαν, τὸν ἐκάρφωσαν εἰς τὸν Σταυρόν, ἐγεύθη ξίδι μὲ χολήν, τοῦ ἐκέντησαν τὴν πλευράν, καὶ ὅλα αὐτὰ τὰ ὑπέμεινε διὰ τὴν σωτηρίαν μας, καὶ ἡμεῖς νὰ μὴ ὑπομείνωμεν, πρὸς χάριν Του, μίαν μικρὰν προσβολήν; Πῶς λοιπὸν θὰ τὸν ἀντικρύσωμεν, κατὰ τὴν Δευτέραν Παρουσίαν; Ποίαν ἀπολογίαν θὰ εὕρωμεν, ὅταν μαζὶ μὲ τὰς ἄλλας εὐεργεσίας, ποὺ ἔκαμε δι' ἡμᾶς, παρουσιάση καὶ αὐτά; Καὶ δι' ὅλα αὐτὰ ποῖον ἀντι-

στάθμισμα ζητεῖ; Ἂς συνέλθωμεν λοιπόν, ἀγαπητέ, ἀπὸ τὴν κατάπτωσιν καὶ ἀφοῦ ἀναλάβωμεν γενναίαν καὶ στερεὰν καρδίαν, ἂς εἴπωμεν μαζὶ μὲ τὸν Ἀπόστολον, ὅτι εἴμεθα πρόθυμοι ὄχι μόνον νὰ δεθῶμεν καὶ νὰ πληγωθῶμεν, διὰ τὸν Χριστόν, ἀλλὰ καὶ νὰ ἀποθάνωμεν ἀκόμη· διότι ἐὰν εἴμεθα πρόθυμοι νὰ συμπάσχωμεν μαζί Του, τότε ὁπωσδήποτε καὶ θὰ συνδοξασθῶμεν μαζί Του, καὶ θὰ γίνωμεν, μαζί Του, συγκληρονόμοι τῆς Βασιλείας τῶν οὐρανῶν.





ΥΠΟΘΕΣΙΣ ΛΔ΄

Ὅτι δεῖ καὶ μέχρι θανάτου τοῖς ἐν Κυρίῳ προεστῶσι πείθεσθαι, καὶ ἀγαπᾶν τε αὐτοὺς καὶ φοβεῖσθαι.

Πρέπει, καὶ μέχρι θανάτου ἀκόμη, νὰ ὑπακούωμεν εἰς τοὺς ἐν Κυρίῳ προεστῶτας, νὰ ἀγαπῶμεν δὲ καὶ νὰ σεβώμεθα αὐτούς.



Α΄. Γρηγορίου τοῦ Διαλόγου



ΟΤΕ τοῦ Ἁγίου Βενεδίκτου ἐν τῷ ἑαυτοῦ κελλίῳ ἡσυχάζοντος, ὁ αὐτοῦ μαθητὴς Πλάκιδος ἐπὶ τῷ ἀντλῆσαι ὕδωρ εἰς τὸν ἐπιχωρίως Λάκκον ὀνομαζόμενον παραγέγονε. Τὸ οὖν σκεῦος ἐν ᾧ τὸ ὕδωρ ἀντλῆσαι ἠβούλετο, ἐκ τῆς αὐτοῦ χειρὸς πεσόν, ὑπὸ τῆς τοῦ ὕδατος ρύμης ἐφέρετο· θέλων δὲ ὁ ἀδελφὸς ἐκ τοῦ ὕδατος ἀφαρπάσαι τὸ κεράμιον, καὶ αὐτὸς ὀλισθήσας πέπτωκεν ἐν τοῖς ὕδασι, καὶ ὑπὸ τῆς σφοδρᾶς τῶν ὑδάτων κινήσεως ἐπὶ τὰ ἔνδον τοῦ Λάκκου ὡσεὶ τόξου βολὴν ἐφέρετο. Ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος ἐν τῷ ἑαυτοῦ κελλίῳ σχολάζων, ὡς εἴρηται, ἔγνω τὸ συμβάν, καὶ τὸν μαθητὴν Μαῦρον καλέσας, ἔφη πρὸς αὐτόν· ἀδελφὲ Μαῦρε, σπεῦσον, ὅτι ὁ ἀδελφὸς Πλάκιδος εἰς τὸν Λάκκον ἐνέπεσε, καὶ ἡ τῶν ὑδάτων φορὰ παρέσυρεν αὐτὸν μήκοθεν.

Ὁ οὖν Μαῦρος τῆς τοῦ Πατρὸς ἀκούσας κελεύσεως, τρέχων ἀπήει· καὶ ἐν τῷ τόπῳ γενόμενος, εἶδε τὸν Πλάκιδον πόρρω ὑπὸ τῆς τῶν ὑδάτων ἀπαχθέντα φορᾶς.

Ἀδιστάκτῳ οὖν πίστει, ταῖς τοῦ Πατρὸς θαρρήσας εὐχαῖς, ἐπέβη τοῖς ὕδασι, καὶ ὡς ἐπὶ ξηρᾶς δρομαίως ἐβάδιζεν, ἕως τὸν Πλάκιδον κατέλαβεν ὑπὸ τῶν ὑδάτων φερόμενον· καὶ δραξάμενος τῶν τῆς κεφαλῆς αὐτοῦ τριχῶν, εἷλκεν αὐτὸν ἐπὶ τῶν ὑδάτων ὁμοίως βαδίζων ἕως εἰς τὴν χέρσον ἐγένοντο. Ἐν ἑαυτῷ οὖν ὁ Μαῦρος τότε γενόμενος, καὶ ἐπιγνοὺς ὅτι ἐπάνω τῶν ὑδάτων ἔδραμε, καὶ ὅτι ἀδύνατον αὐτῷ πάντως ἦν τοῦτο, εἰ μὴ ἡ τοῦ σημειοφόρου Πατρὸς εὐχὴ τοῦτον ἐνίσχυσε, θαυμάσας ἐτρόμασσε τὸ γενόμενον, καὶ ὑποστρέψας πρὸς τὸν Πατέρα ἀνήγγειλεν αὐτῷ τὸ τελεσθὲν θεῖον τεράστιον.

Ὁ δὲ Ἅγιος τὸ θαῦμα τοῦτο οὐ τῇ ἑαυτοῦ ἁγιότητι, ἀλλὰ τῇ ἐκείνου ὑπακοῇ ἐπέγραφεν· ὁ δὲ Μαῦρος τὴν τοῦ Ἁγίου κέλευσιν ἔφασκε τοῦτο πεπραχέναι· ἔλεγε γὰρ μὴ εἶναι ἑαυτὸν ἐν αὐτῇ τῇ δυνάμει, ἐν ᾗ ὅτε ἐπέβη τοῖς ὕδασι. Προσχὼν δὲ ὁ Μοναχὸς Πλάκιδος τῇ τούτων θεομιμήτῳ ταπεινολογίᾳ καὶ προσφιλεστάτῃ ἀμφιλογίᾳ, ἔλεγεν· ἐγὼ ἐν ὅσῳ ἐσυρόμην ἀπὸ τοῦ βάθους ἐπὶ τὴν χέρσον, ἐπάνω τῆς κεφαλῆς μου τοῦ Ἀββᾶ μου τὴν μηλωτὴν ἐθεώρουν καὶ αὐτόν με ἐκ τῶν ὑδάτων ἐκβάλλοντα κατενόουν.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ ὁ Ἅγιος Βενέδικτος ἡσύχαζεν εἰς τὸ κελλίον του· ὁ Πλάκιδος, ὁ μαθητής του, ἦλθεν εἰς τὸν Λάκκον, ὅπως τὸν ὀνομάζουν οἱ ἐντόπιοι, διὰ νὰ πάρῃ νερό. Τὸ δοχεῖον ὅμως, μὲ τὸ ὁποῖον ἐπρόκειτο νὰ πάρῃ τὸ νερό, τοῦ ἔπεσεν ἀπὸ τὰ χέρια του καὶ παρεσύρετο ἀπὸ τὴν ὁρμὴν τοῦ ρεύματος. Εἰς τὴν προσπάθειάν του ὁ Πλάκιδος νὰ ἁρπάσῃ τὴν στάμναν ἀπὸ τὸ ρεῦμα, ἐγλίστρησε καὶ αὐτὸς καὶ ἔπεσεν εἰς τὰ νερά· ἀπὸ δὲ τὴν ὁρμὴν τῶν ὑδάτων τοῦ ρεύματος παρεσύρθη, πρὸς τὸ ἐσωτερικὸν τοῦ Λάκκου, εἰς ἀπόστασιν βολῆς τόξου περίπου.

Ὁ ἄνθρωπος ὅμως τοῦ Θεοῦ ἅγιος Βενέδικτος, ποὺ ὅπως εἴπομεν ἡσύχαζεν εἰς τὸ κελλίον του, ἐγνώρισεν αὐτὸ ποὺ συνέβη εἰς τὸν Πλάκιδον καὶ ἀφοῦ ἐφώναξε τὸν Μαῦρον, τὸν μαθητήν, τοῦ εἶπε·

— Τρέξε, ἀδελφὲ Μαῦρε, διότι ὁ ἀδελφὸς Πλάκιδος ἔπεσεν εἰς τὸν Λάκκον καὶ τὸ ρεῦμα τοῦ ὕδατος τὸν παρέσυρε μακράν.

Ὁ Μαῦρος λοιπόν, μόλις ἤκουσε τὴν ἐντολὴν τοῦ Πνευματικοῦ του Πατρός, ἐξεκίνησε τρέχων καὶ μόλις ἔφθασεν εἰς τὸν τόπον τοῦ δυστυχήματος, εἶδε, πράγματι, τὸν Πλάκιδον νὰ ἔχῃ παρασυρθῇ μακράν, ἀπὸ τὴν ὁρμὴν τοῦ νεροῦ.

Τότε λοιπὸν μὲ ἀδίστακτον πίστιν καὶ στηρίζων τὸ θάρρος του εἰς τὰς εὐχὰς τοῦ πνευματικοῦ του Πατρός, περιεπάτησεν ἐπάνω εἰς τὰ ὕδατα καὶ ἔτρεχεν, ὡς νὰ ἐβάδιζεν ἐπάνω εἰς τὴν ξηράν, μέχρις ὅτου ἔφθασε τὸν Πλάκιδον, ὁ ὁποῖος παρεσύρετο ἀπὸ τὴν ὁρμὴν τῶν ὑδάτων· ἀφοῦ δὲ τὸν ἥρπασεν ἀπὸ τὰς τρίχας τῆς κεφαλῆς του, τὸν ἔσυρεν ἐπάνω εἰς τὸν νερό, βαδίζων κατὰ τὸν ἴδιον τρόπον, μέχρις ὅτου ἔφθασαν εἰς τὴν ξηράν.

Μόνον τότε ὅμως συνῆλθεν ὁ Μαῦρος καὶ ἀντελήφθη ὅτι ἔτρεξεν ἐπάνω εἰς τὸ νερὸ καὶ ὅτι αὐτὸ τὸ κατόρθωμα δὲν ὠφείλετο εἰς αὐτόν, διότι τοῦτο θὰ τοῦ ἦτο τελείως ἀδύνατον νὰ τὸ ἐπιτύχῃ ὁ ἴδιος, ἂν δὲν τὸν ἐνίσχυεν ἡ εὐχὴ τοῦ θαυματουργοῦ Πατρός. Ἐθαύμασε λοιπὸν καὶ ἐτρόμαξε δι' αὐτό, ποὺ ἔγινε καὶ ἐγύρισε πρὸς τὸν Πατέρα του, διηγούμενος εἰς αὐτὸν τὸ τεράστιον θαῦμα, ποὺ τοῦ συνέβη.

Ὁ ἅγιος πάλιν Βενέδικτος, τὸ θαῦμα αὐτὸ δὲν τὸ ἀπέδιδεν εἰς τὴν ἁγιότητά του, ἀλλὰ εἰς τὴν ὑπακοὴν τοῦ Μαύρου. Ὁ Μαῦρος ἀντέλεγεν ὅτι ἡ διαταγὴ τοῦ Ἡγουμένου εἶχε πραγματοποιήσει τὸ θαῦμα. Διότι

— ἰσχυρίζετο — δὲν αἰσθάνεται εἰς τὴν ψυχήν του τὴν δύναμιν, ποὺ εἶχεν ὅταν περιεπάτησεν ἐπάνω εἰς τὰ ὕδατα.

Ἐν τῷ μεταξὺ ὁ Μοναχὸς Πλάκιδος, ὁ ὁποῖος παρηκολούθει μετὰ προσοχῆς τὴν θεομίμητον ταπεινολογίαν τῶν δύο τούτων ἀνδρῶν, καὶ τὴν πολυαγάπητον, μεταξύ των, συζήτησιν, ἐπενέβη καὶ εἶπεν:

—Ἐγώ, καθὼς ἐσυρόμουν ἀπὸ τὸ βάθος, ποὺ μὲ εἶχε παρασύρει τὸ ρεῦμα, πρὸς τὴν ξηράν, ἔβλεπον ἐπάνω ἀπὸ τὸ κεφάλι μου τὸ ἐπανωφόρι τοῦ Ἀββᾶ μου (τοῦ Ἁγίου Βενεδίκτου) καὶ ἔνοιωθα τὸν ἴδιον νὰ μὲ τραβᾷ ἀπὸ τὰ ὕδατα.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου

ΕΙΔΩΣ ὁ Μέγας Θεοδόσιος, ὅτι τοῖς κατὰ Θεὸν ζῆν ἑλομένοις, οὐδὲν οὕτως ἀτεχνῶς πρὸς τὸ καὶ κτήσασθαι ἀρετὴν καὶ φυλάξαι κτηθεῖσαν, ὡς μνήμη θανάτου συνεργεῖν δύναται, τί ποιεῖ; τάφον ἤδη κατασκευάσαι τοῖς οἰκείοις μαθηταῖς ἐπιτρέπει· ἅμα μέν, ἵνα μνημεῖον αὐτοῖς, ὥς περ δὴ καὶ καλεῖται, τοῦ τέλους γίνηται καὶ οὕτω μᾶλλον αὐτοὺς ἐναγωνίους ποιῇ καὶ κεντρίζῃ πρὸς ἀρετὴν ἐμπονώτερον, ἅμα δὲ καὶ θνήσκοντας ὑποδέχηται, πλὴν ἀλλὰ καὶ προβλέπων τι τῶν μελλόντων καὶ προνοούμενος. Ὡς οὖν ηὐτρέπιστο ὁ τάφος, παρίστατο μὲν αὐτὸς ἄνωθεν, οἱ μαθηταὶ δὲ αὐτὸν περιίσταντο, καὶ ὃς ὀξυτέρῳ τῆς διανοίας ὄμματι τὸ ἐκβησόμενον καθορῶν, χαριέντως οὕτω πως φησὶ πρὸς αὐτοὺς ἀπιδών· ὁ μὲν τάφος ἤδη ἕτοιμος, τὶς δ᾽ ἂν εἴη ὅ γε τοῦτον ἐξ ὑμῶν ἐγκαινίσων;

Καὶ ὁ μὲν οὕτως πως τῷ χαρίεντι τοῦ λόγου καὶ ἡδονὴν ἐπιμίσγων.

Βασίλειος δέ τις, τὸ μὲν ἀξίωμα ἱερεύς, τῷ δὲ περὶ τὰ καλὰ ζήλῳ διαφανεῖς σώζων τοὺς πατρικοὺς χαρακτῆρας, καὶ τὸν γεγενηκότα πνευματικῶς οὐδὲν ἧττον ὑποφαίνων ἀπὸ τῶν τῆς ἀρετῆς ὁμοιώσεων ἢ τοὺς σαρκικοὺς πατέρας οἱ ὑπ᾽ αὐτῶν οὕτω τικτόμενοι, ἄλλως τε καὶ εἰδὼς μὴ εἰς κενὸν εἰρῆσθαι τῷ διδασκάλῳ τὸ πρόβλημα, πρῶτος τὸν λόγον ἁρπάσας, ἕτοιμος περὶ τὴν τοῦ θανάτου αἵρεσιν καὶ πρόθυμος ἦν, ὥς περ οὐκ ἀβουλήτου τινὸς προκειμένου, ἀλλ᾽ ἐπικερδοῦς λίαν καὶ ὠφελίμου· αὐτίκα γοῦν εἰς γόνυ κλιθείς, καὶ πρὸς γῆν ἐρείσας τὸ πρόσωπον, εὐλόγησον δή με, Πάτερ, φησίν, ἐγὼ δέ σοι, τοῦ δε τοῦ τάφου πρῶτος ἐγκαινιστὴς ἔσομαι.

Ὁ μὲν οὖν ᾔτει, ὁ δὲ ἐδίδου· καὶ ὁ μὲν τάφος εἶχεν αὐτόν, ἐκέλευε δὲ ὁ Πατὴρ πάντα ἐπ᾽ αὐτῷ ποιεῖν, ὅσα νόμος ἐν τεθνεῶσίν ἐστι, τρίτα, φημί, καὶ ἔνατα, καὶ ἀκολούθως δὴ τεσσαρακοστά. Ἤδη δὲ τῶν τεσαράκοντα πέρας ἐχουσῶν, ὁ Βασίλειος μήτε πυρετῷ ληφθείς, μήτε κεφαλὴν ἢ ἄλλο τι τῶν τοῦ σώματος μερῶν ἀλγήσας μηδέν, ὥς περ ὕπνον τινὰ μαλακὸν καὶ ἥδιστον ἀφυπνώσας, πρὸς Κύριον ἐξεδήμει, ἆθλον τῆς ὑπακοῆς καὶ τῆς τοῦ μεταβῆναι πρὸς τὰ ἐκεῖ προθυμίας, (ὃ τοῖς μὴ ἡδέως ἔχειν πρὸς τὰ ἐνταῦθα δήλωσις ἀκριβής), τὸ πρῶτος ἐμφανισθῆναι Θεῷ καὶ στεφθῆναι πρῶτος ἀπενεγκάμενος.

Τεσσαράκοντα οὖν ἐφεξῆς ἡμέρας κατὰ τὰς ἑσπερίους ᾠδὰς μεταξὺ τοῦ ἱεροῦ τῶν μαθητῶν χοροῦ καὶ ὁ θεῖος οὗτος Βασίλειος ἑστὼς καὶ συνάδων, ὑπὸ τοῦ Μεγάλου Θεοδοσίου ἐβλέπετό τε καὶ ἠκούετο· καὶ τῶν μὲν ἄλλων οὐδεὶς ἕτερος οὔτε

τῆς φωνῆς ἀκούων, οὔτε τὴν μορφὴν ἐκείνου θεώμενος ἦν, μόνος δέ τις Ἀέτιος, ἀνὴρ καὶ αὐτὸς τῷ διδασκάλῳ κατ' ἴχνος βαίνων, καὶ μαθητὴς εἶναι Θεοδοσίου οὐκ ἀπὸ τοῦ τὰ ἐκείνου εἰδέναι καὶ διηγεῖσθαι μόνον, ἀλλ' ἀπὸ τοῦ καὶ μιμεῖσθαι μᾶλλον βουλόμενος, ὁρᾶν μὲν οὐκ εἶχεν αὐτόν, τῆς δὲ φωνῆς ἤκουεν. Ἤρετο οὖν τὸν διδάσκαλον, εἰ καὶ αὐτὸς τῆς τοῦ τελευτήσαντος ἀκούει φωνῆς· ὁ δὲ καὶ ἀκούειν ἔφησε καὶ ὁρᾶν, καὶ εἰ βούλοιτο καὶ αὐτῷ δείξειν, καθ' ὃν ἂν φανείη καιρόν.

Ἡ μὲν οὖν νὺξ ἐπελάμβανε, καὶ ἡ σύναξις ἐτελεῖτο, καὶ ὁ τοῦ Θεοῦ ἄνθρωπος ἑώρα πάλιν ἀκριβῶς τὸν Βασίλειον τοῖς ἱσταμένοις καὶ ᾄδουσι συνεστῶτά τε καὶ συνᾴδοντα· καὶ τῷ δακτύλῳ τοῦτον τῷ Ἀετίῳ παραδεικνύς, εἶτα καὶ εὐχὴν συνῆπτεν, ἄνοιξον, Κύριε, λέγων, καὶ τοῦδε τοὺς ὀφθαλμοὺς καὶ ἰδέτω σου τὸ μέγα τοῦτο τῶν μεγάλων ἔργων μυστήριον. Τοῦ δὲ αὐτίκα θεασαμένου καὶ ἐπιγνόντος, πρὸς δὲ καὶ ἐπιδραμόντος καὶ περιλαβεῖν ἐκ πόθου θελήσαντος, ὁ Βασίλειος οὐκ ἄληπτος μόνον ἀλλ' ἤδη καὶ ἀφανὴς ἦν, τοῦτο εἰς ἀκοὰς εἰρηκώς· σώζοισθε, ὦ Πατέρες καὶ ἀδελφοί, σώζοισθε· ἐμὲ δὲ ὄψεσθε τὸ λοιπὸν οὐκέτι. Ὥς τε τὸ ὑπὸ Χριστοῦ λεχθὲν ἐν Εὐαγγελίοις «ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται», δείκνυσι τὸ πραχθὲν ἀληθέστατον καὶ πιστότατον.

Ἑρμηνεία

ΕΠΕΙΔΗ ὁ μέγας Θεοδόσιος ὁ Κοινοβιάρχης ἐγνώριζεν, ὅτι δι' ἐκείνους οἱ ὁποῖοι ἐπροτίμησαν νὰ ζοῦν κατὰ Θεόν, τίποτε ἄλλο δὲν συντελεῖ εἰς τὸ νὰ ἀποκτήσουν τὴν ἀρετὴν καὶ νὰ τὴν φυλάξουν ὅταν τὴν ἀποκτήσουν, ὅσον ἡ ἐνθύμησις τοῦ θανάτου, τί κάμνει; δίδει τὴν ἄδειαν εἰς τοὺς ὑποτακτικούς του νὰ κατασκευάσουν τάφον, ἀφ' ἑνὸς μὲν διὰ νὰ ὑπενθυμίζῃ εἰς αὐτοὺς τὸν θάνατον, διὰ τοῦτο ἄλωστε ὁ τάφος λέγεται καὶ μνημεῖον, ἀφ' ἑτέρου δὲ διὰ νὰ τοὺς καθιστᾷ περισσότερον ἐπιμόνους εἰς τοὺς πνευματικοὺς ἀγῶνας καὶ νὰ κεντρίζῃ ἰσχυρότερον τὸν ζῆλον των πρὸς τὴν ἀρετήν, ἀλλὰ καί, συγχρόνως, νὰ τοὺς ὑποδέχεται ὁ τάφος ὅταν ἀποθνήσκουν· ἐκτὸς ὅμως ἀπὸ αὐτὰ ὅλα καὶ κάτι προέβλεψεν ἀπὸ τὰ μέλλοντα καὶ ἐφρόντιζεν, ἐκ τῶν προτέρων, δι' αὐτό.

Μόλις λοιπὸν ἠτοιμάσθη ὁ τάφος ὁ μὲν ἅγιος Θεοδόσιος ἐστέκετο ἀπὸ ἐπάνω, οἱ δὲ ὑποτακτικοί του ὁλόγυρα ἀπὸ αὐτόν· τότε προβλέπων τί ἐπρόκειτο νὰ συμβῇ μὲ τὸ διαπεραστικὸν βλέμμα τῆς διανοίας, στρέφεται πρὸς τοὺς μαθητὰς καὶ τοὺς λέγει, ἀστειευόμενος δῆθεν.

—Ὁ τάφος εἶναι πλέον ἕτοιμος· ποιός ὅμως θὰ εἶναι ἀπὸ σᾶς, αὐτὸς ποὺ θὰ τὸν ἐγκαινιάσῃ;

Καὶ ὁ μὲν Μέγας Θεοδόσιος συνεκάλυψε μὲ τὸν ἀστεϊσμὸν καὶ τὴν εὐχαρίστησιν ἐκ τοῦ προβλεπομένου.

Πράγματι κάποιος ἱερεὺς Βασίλειος, ὁ ὁποῖος, μὲ τὸν ζῆλον πρὸς τὸ καλόν, ἀπεδείκνυεν ὁλοφάνερα ὅτι εἶχεν ὅλα τὰ πατρικὰ γνωρίσματα, τὰ ὁποῖα ἐφανέρωσαν καὶ τὸν πνευματικόν του γεννήτορα, ἀπὸ τὴν ὁμοιότητα τῆς ἀρετῆς, ὅπως ἀκριβῶς τὰ φυσικὰ παιδιὰ προδίδουν τοὺς σαρκικούς των γονεῖς ἀπὸ τὴν φυσιογνωμίαν, ἐμάντευσεν, ὅτι δὲν ἔκανε ἀσκόπως τὸν ὑπαινιγμὸν ὁ Διδάσκαλος· καὶ δι' αὐτό, ἕτοιμος διὰ τὴν ἐκλογὴν τοῦ

θανάτου καὶ πρόθυμος, ὡς νὰ ἐπρόκειτο, ὄχι δι' ἀνεπιθύμητον, ἀλλὰ δι' ὠφέλιμον καὶ ἐπικερδὲς γεγονός, ἥρπασεν ἀμέσως τὸν λόγον καὶ γονατίσας πρὸ τοῦ πνευματικοῦ του Πατρός, μέχρι σημείου ποὺ τὸ κεφάλι του νὰ ἀκουμπήση εἰς τὸ ἔδαφος, εἶπε:

— Πάτερ, τὴν εὐχήν σου· ἐγώ, πρὸς χάριν σου, θὰ ἐγκαινιάσω τὸν τάφον πρῶτος.

Ὁ Βασίλειος ἐζήτει καὶ ὁ ἅγιος Θεοδόσιος παρεχώρει τὴν χάριν.

Πράγματι λοιπὸν ἐτέθη ζωντανὸς εἰς τὸν τάφον καὶ ὁ Πατὴρ διέταξε νὰ τελεσθοῦν εἰς αὐτὸν ὅλα τὰ νόμιμα διὰ τοὺς νεκρούς, ἐννοεῖται, τὰ μνημόσυνα τὴν τρίτην, τὴν ἐνάτην καί, ἐν συνεχείᾳ, τὴν τεσσαρακοστὴν ἡμέραν. Ἤδη δὲ ἀφοῦ ἐτελείωσε τὸ σαρανταήμερον, ὁ Βασίλειος, χωρὶς νὰ πονέση τὸ κεφάλι του ἢ ἄλλο σημεῖον τοῦ σώματός του, οὔτε καὶ νὰ καταληφθῇ ἀπὸ πυρετόν, ὡς νὰ ἐκοιμήθη ὕπνον γλυκὺν καὶ μαλακόν, ἀνεχώρησε πρὸς τὸν Κύριον, ἀποκομίσας ὡς βραβεῖον διὰ τὴν ὑπακοήν του καὶ τὴν προθυμίαν του, νὰ μεταβῇ πρὸς τὴν αἰωνιότητα (ἀκριβὲς γνώρισμα ὅσων δὲν εὐχαριστοῦνται ἀπὸ τὰ ἐγκόσμια), νὰ ἐμφανισθῇ πρῶτος ἐνώπιον τοῦ Θεοῦ καὶ νὰ στεφανωθῇ.

Κατὰ τὰς ἑπομένας λοιπὸν τεσσαράκοντα ἡμέρας, κατὰ τὴν ὥραν ποὺ ἐψάλλοντο οἱ ὕμνοι τοῦ Ἑσπερινοῦ, ἐνεφανίζετο μεταξὺ τοῦ ἱεροῦ χοροῦ τῶν μαθητῶν, ὁ θεῖος αὐτὸς Βασίλειος, ψάλλων καὶ αὐτός. Ὁ Μέγας Θεοδόσιος καὶ τὸν ἔβλεπε καὶ τὸν ἤκουεν· ἀπὸ τοὺς ἄλλους ὅλους κανεὶς δὲν ἔβλεπε τὴν μορφήν του, οὔτε τὸν ἤκουεν, ἐκτὸς ἀπὸ κάποιον Ἀέτιον, ἄνδρα, ποὺ ἠκολούθει τὰ ἴχνη τοῦ διδασκάλου καὶ ἦτο μαθητὴς τοῦ Μεγάλου Θεοδοσίου ὄχι μόνον ἀπὸ τὸ νὰ γνωρίζῃ καὶ νὰ διηγῆται τὰ κατορθώματά του, ἀλλὰ καὶ ἀπὸ τὸ νὰ ἐπιθυμῇ νὰ τὰ μιμῆται· αὐτὸς λοιπὸν ὁ Ἀέτιος δὲν ἔβλεπε μὲν τὴν μορφὴν ἤκουεν ὅμως τὴν φωνὴν τοῦ Βασιλείου. Ἠρώτησε λοιπὸν τὸν διδάσκαλον, ἐὰν ἀκούῃ καὶ αὐτὸς τὴν φωνὴν τοῦ ἀποθανόντος.

—Ὄχι μόνον τὸν ἀκούω, ἀλλὰ καὶ τὴν μορφήν του βλέπω — ἀπήντησεν ὁ ἅγιος Θεοδόσιος, καὶ ἐὰν θέλῃς νὰ σοῦ τὸν δείξω, κατὰ τὴν ὥραν, ποὺ θὰ ἐμφανισθῇ.

Πράγματι λοιπόν, καθὼς ἡ νὺξ ἐπροχώρει καὶ ἐτελεῖτο ἡ ἀκολουθία, ὁ ἄνθρωπος τοῦ Θεοῦ βλέπει, πάλιν, ὁλοκάθαρα τὸν Βασίλειον, νὰ στέκεται καὶ νὰ ψάλλῃ μαζὶ μὲ τοὺς ψάλτας. Τότε τὸν ἔδειξε μὲ τὸν δάκτυλόν του καὶ εἰς τὸν Ἀέτιον, ἐνῷ συγχρόνως παρεκάλει τὸν Θεὸν λέγων· Ἄνοιξε, Κύριε, καὶ αὐτοῦ τοὺς ὀφθαλμοὺς ἵνα ἴδῃ τὸ μέγα τοῦτο μυστήριον τῶν μεγάλων Σου ἔργων. Ὁ Ἀέτιος μόλις τὸν εἶδε καὶ τὸν ἀνεγνώρισεν, ἔτρεξεν ἀπὸ πόθον νὰ τὸν ἐναγκαλισθῇ. Τότε ὅμως ὁ Βασίλειος ὄχι μόνον ἔγινεν ἄπιαστος, ἀλλὰ καὶ ἐξηφανίσθη, ἀφοῦ εἶπε τοῦτο μόνον εἰς ἐπήκοον ὅλων· εὔχομαι νὰ σωθῆτε, Πατέρες μου καὶ ἀδελφοί, εὔχομαι νὰ σωθῆτε*· ἐμὲ δὲν θὰ μὲ ξαναϊδῆτε πλέον. Οὕτως ἀποδεικνύε-

* Σώζοισθε=εὔχομαι νὰ σωθῆτε. Περὶ τοῦ συνήθους τούτου μεταξὺ τῶν πα-

ται ἀληθέστατον καὶ ἀξιοπιστότατον αὐτό, ποὺ εἶπεν ὁ Κύριος εἰς τὸ Εὐαγγέλιον· «Ἐκεῖνος, ποὺ πιστεύει εἰς ἐμέ, καὶ ἐὰν ἀκόμη ἀποθάνῃ θὰ ζήσῃ» (Ἰωάν. ια', 25).

Γ'. Ἐν τῷ βίῳ τῆς Ὁσίας Θεοδώρας

ΛΙΜΝΗ τις ὑπῆρχεν ἐγγὺς τῆς μονῆς, ἐν ᾗ ἡ μακαρία Θεοδώρα ἠσκεῖτο· ταύτῃ τῇ λίμνῃ κροκόδειλος ἐμφιλοχωρῶν, ᾧ ἂν ἐντύχοι αὐτῇ παραβάλλοντι, ἀνθρώπῳ ἢ κτήνει μικρῷ τε καὶ μείζονι, δεῖπνον εὐθὺς ἐποιεῖτο. Οὕτως οὖν κατέστη τοῖς ἐπιχωριάζουσιν ἐπίφοβον τὸ κακόν, ὡς καὶ αὐτὸν τὸν τῆς Ἀλεξανδρέων πόλεως Ὕπαρχον Γρηγόριον, στρατιώτας παρακαθίσαι τῷ τόπῳ εἴργειν τοὺς δι' ἐκείνης ὁδεύοντας.

Εἰδὼς οὖν ὁ τῆς μονῆς προεστὼς οἷος ἦν ὁ τῆς Θεοδώρας βίος, καὶ ὡς μικροῦ καὶ Ἀγγέλοις αὐτοῖς ἁμιλλώμενος, καὶ ὡς οὐκ ἂν εἴη καὶ χάριτος θείας ἄμοιρος, μετάκλητον αὐτὴν ποιησάμενος, τέκνον, εἶπε, Θεόδωρε, (ὡς γὰρ ἀνὴρ ἡ ἁγία διῆγεν ἐν τῇ μονῇ) τὸ κεράμιον ἄρας, ὕδωρ ἡμῖν ἀπὸ τῆς ὧδε λίμνης ἐπείχθητι ἀγαγεῖν· ἡ δὲ πείθεσθαι τοῖς ἡγουμένοις Ἀποστολικὴν εἰδυῖα παραίνεσιν, ἐπλήρου τὸ κελευσθέν· καὶ πολλῶν αὐτὴν ἐκχωρεῖν τοῦ τόπου διακελευομένων, εἰ μὴ θανατᾷ προδηλότατα, ἐκείνη πίστει τῇ εἰς Θεὸν θαρροῦσα, καὶ ὑπακοῆς ἔργον ἀνύουσα, ζωὴν μᾶλλον οἶδεν οὐχὶ θάνατον προξενεῖν, πάντας ὁμοῦ διαφυγοῦσα τοὺς εἴργοντας, τῇ λίμνῃ προσβάλλει· καὶ (ὢ τῶν παραδόξων ἔργων σου, Κύριε!) ἐπάνω τοῦ θηρὸς ὡρᾶτο βασταζομένη, ἀρυσαμένη τε ὕδωρ καὶ τὸ ἐν χερσὶν ἄγγος πλήσασα, ἔποχος πάλιν ὑπ' ἐκείνου τοῦ θηρὸς ὡρᾶτο βασταζομένη, καὶ τῇ ξηρᾷ παραδίδοται. Καὶ οὕτως ἐκείνη μὲν ἀπαθὴς τῇ γῇ διασώζεται, τὸ δὲ θηρίον παρ' αὐτῆς ἐπιτιμηθέν, εἰσπράττεται δίκην τῶν μέχρι τότε τολμηθέντων αὐτῷ, καὶ παραυτίκα τῷ τόπῳ πεσὸν ὡρᾶτο νεκρόν.

Γίνεται οὖν τὸ πρᾶγμα καὶ τοῖς ἄλλοις ἐπίδηλον, ἅτε τοῖς ὀφθαλμοῖς τοῦτο παραλαβόντων, πολλῶν ἀκοαῖς χαρίσασθαι βουληθέντων, καὶ πάντας εἶχε Θεὸς δι' ἐκείνης εὐχαριστοῦντας αὐτῷ.

Ἑρμηνεία

ΠΛΗΣΙΟΝ εἰς τὸ Μοναστήρι, ποὺ ἠσκήτευεν ἡ μακαρία Θεοδώρα, ὑπῆρχε μία λίμνη· εἰς αὐτὴν τὴν λίμνην ἐκρύπτετο κάποιος κροκόδειλος, ὁ ὁποῖος κατέτρωγεν ἀμέσως ὁποιονδήποτε ἐπλησίαζεν, εἴτε ἄνθρωπος, εἴτε ζῷον μικρὸν ἢ μεγάλον. Τόσον δὲ πολὺ ἐπικίνδυνον ἔγινε τὸ κακὸν διὰ τοὺς περιοίκους, ὥστε ὁ ἴδιος ὁ Ὕπαρχος τῆς Ἀλεξανδρείας ὁ Γρηγόριος ἐτοποθέτησε στρατιώτας εἰς τὸν τόπον ἐκεῖνον διὰ νὰ ἐμποδίζουν τοὺς διαβάτας ποὺ διήρχοντο ἀπ' ἐκεῖ, νὰ πλησιάζουν τὴν λίμνην.

Ὁ Ἡγούμενος λοιπὸν τῆς Μονῆς, γνωρίζων καλῶς τὸν βίον τῆς Θεοδώρας, ὅτι ὀλίγον ὑπελείπετο διὰ νὰ εἶναι ἐφάμιλλος τῶν Ἀγγέ-

---

τέρων τῆς ἐποχῆς ἐκείνης χαιρετισμοῦ βλέπε ἐν τῇ ὑποσημειώσει τῆς σελίδος 135 τοῦ ἀνὰ χεῖρας Τόμου.

λων, καὶ ὅτι, ὡς ἐκ τούτου, ἡ Θεοδώρα δὲν θὰ ἦτο ἄμοιρος τῆς θείας Χάριτος ἔστειλε καὶ τὴν ἐκάλεσε πλησίον του.

— Τέκνον, Θεόδωρε, τῆς εἶπεν· (διότι ὡς ἄνδρας ἔζη εἰς τὸ Μοναστήριον), πάρε τὴν στάμναν καὶ πήγαινε νὰ μᾶς φέρῃς νερὸ ἀπὸ τὴν λίμνην ποὺ εἶναι ἐδῶ κοντά.

Ἡ Θεοδώρα, ποὺ ἐγνώριζε τὴν ἀποστολικὴν συμβουλὴν νὰ πειθαρχῶμεν εἰς τοὺς Ἡγουμένους (Ἑβρ. ιγ΄ 17), ἔσπευσε νὰ ἐκτελέσῃ τὴν διαταγήν. Καὶ ἐνῷ πολλοὶ τὴν παρεκίνουν νὰ φύγῃ ἀπὸ ἐκεῖνον τὸν τόπον, διότι διαφορετικὰ θὰ ἐθανατώνετο ἀπὸ τὸ θηρίον, ἐκείνη στηρίζουσα τὸ θάρρος της εἰς τὴν πίστιν πρὸς τὸν Θεὸν καὶ ἀσκοῦσα τὸ ἔργον τῆς ὑπακοῆς, ποὺ μόνον προσφέρει ζωὴν καὶ δὲν προξενεῖ θάνατον, ἀφοῦ διέφυγεν ἀπὸ ὅλους ποὺ τὴν ἠμπόδιζον, ἔρχεται εἰς τὴν λίμνην. Καὶ ἐκεῖ (ὢ τῶν παραδόξων ἔργων Σου, Κύριε) τὴν βλέπουν νὰ τὴν παίρνῃ ἐπάνω εἰς τὴν ράχιν του τὸ θηρίον, νὰ παίρνῃ νερὸ καὶ νὰ γεμίζῃ τὴν στάμναν ποὺ ἐκράτει εἰς τὰ χέρια της· καὶ ἀφοῦ ἐτελείωσε τὴν βλέπουν πάλιν ἐπάνω εἰς τὴν ράχιν τοῦ θηρίου νὰ ἐξέρχεται εἰς τὴν ξηράν. Καὶ ἔτσι ἡ μὲν Θεοδώρα διασώζεται εἰς τὴν ξηράν, χωρὶς νὰ πάθῃ τίποτε· τὸ δὲ θηρίον, ἐπιτιμηθὲν ὑπὸ τῆς Θεοδώρας εἰσπράττει τὴν δικαίαν τιμωρίαν του δι' ὅσα εἶχε κάμει ἕως τότε καὶ πίπτει νεκρὸν ἐπὶ τόπου.

Τὸ γεγονὸς ταχύτατα διεδόθη καὶ εἰς τοὺς ἄλλους ἀπὸ ἐκείνους, ποὺ τὸ εἶδον μὲ τὰ μάτια των καὶ ἠθέλησαν νὰ χαροποιήσουν καὶ τοὺς ἄλλους, καὶ ὅλοι, χάρις εἰς τὸ κατόρθωμα τῆς Θεοδώρας, ηὐχαρίστουν τὸν Θεόν.

Δ΄. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἰσίδωρος, ὅτι χρὴ τοὺς μαθητευομένους, καὶ ὡς πατέρας φιλεῖν τοὺς ὄντως διδασκάλους, καὶ ὡς ἄρχοντας φοβεῖσθαι, καὶ μήτε διὰ τὴν ἀγάπην ἐκλύειν τὸν φόβον, μήτε διὰ τὸν φόβον ἀμαυροῦν τὴν ἀγάπην.

2. Ἔλεγον περὶ Ἰωάννου τοῦ μαθητοῦ τοῦ Ἀββᾶ Παύλου, ὅτι εἶχε μεγάλην ὑπακοήν· ἦν δὲ ἔν τινι τόπῳ μνημεῖα, καὶ ᾤκει ἐκεῖ ὕαινα· ὁ δὲ γέρων εἶδε κατὰ τὸν τόπον βόλβιτα· καὶ λέγει τῷ Ἰωάννῃ ἀπελθεῖν καὶ ἐνεγκεῖν αὐτά· ὁ δὲ εἶπε· τί ποιήσω, Ἀββᾶ, διὰ τὴν ὕαιναν; ὁ δὲ γέρων χαριεντιζόμενος εἶπεν· ἐὰν ἔλθῃ ἐπάνω σου, δῆσον αὐτήν, καὶ φέρε ὧδε.

Ἀπῆλθεν οὖν ὁ ἀδελφὸς ἐκεῖ ὀψέ· καὶ ἰδοὺ ἦλθεν ἡ ὕαινα ἐπάνω αὐτοῦ· ὁ δέ, κατὰ τὸν λόγον τοῦ γέροντος, ὥρμησε κρατῆσαι αὐτήν, καὶ ἔφυγεν ἡ ὕαινα, καὶ ὁ Ἰωάννης διώκων αὐτὴν ἔλεγεν· ὁ Ἀββᾶς μου εἶπεν ἵνα σε δεσμήσω· καὶ κρατήσας αὐτὴν ἔδησεν. Ἐθλίβετο δὲ ὁ γέρων καὶ ἐκάθητο περιμένων αὐτόν· καὶ ἰδοὺ ἦλθεν ἔχων τὴν ὕαιναν δεδεμένην· καὶ ἰδὼν ὁ γέρων ἐθαύμασε· καὶ θέλων ταπεινῶσαι αὐτόν, ἔτυψε λέγων· σαλέ, κύνα σαλὸν ἤνεγκάς μοι ὧδε; καὶ λύσας αὐτὴν ὁ γέρων ἀφῆκεν ἀπελθεῖν.

3. Ὁ Μακάριος Σέριδος, ἔχων κοινόβιον εἰς Θαναθᾶ, εἶχεν ἀγαπητόν τινα οἰκοῦντα ἐν Ἀσκάλωνι, ἔχοντα καὶ μαθητήν. Ποτὲ οὖν χειμῶνος ὄντος, ἔπεμψε τὸν μαθητὴν αὐτοῦ ὁ γέρων πρὸς τὸν Ἀββᾶν Σέριδον μετὰ γραμμάτων, ἐπὶ τῷ ἐνέγκαι

αὐτῷ σκυτάλην χαρτῶν· ἐλθόντος δὲ τοῦ μαθητοῦ εἰς τὸ Κοινόβιον, συνέβη γενέσθαι ὄμβρον πολύν, ὥς τε καὶ τὸν ποταμὸν Θύαθον αὐξῆσαι εἰς ὅλην τὴν πλημμύραν αὐτοῦ. Ὡς οὖν ἔδωκεν ὁ νέος τὰ γράμματα, ἐζήτει τοὺς χάρτας ἵνα ἀπέλθῃ· ὁ δὲ Ἀββᾶς εἶπεν αὐτῷ· ὁρᾷς τὴν βροχήν, καὶ ποῦ ἔχεις ἄρτι ἀπελθεῖν; ἀπεκρίθη ὁ νέος· ἐντολὴν ἔχω καὶ οὐ δύναμαι μεῖναι· ὡς δὲ ἐπέμενεν ἐνοχλῶν αὐτῷ, δέδωκε τοὺς χάρτας· καὶ λαβὼν παράθεσιν ἐκ τοῦ Ἀββᾶ, ἀπῆλθε. Λέγει οὖν ὁ Ἀββᾶς πρὸς ἡμᾶς· ὑπάγετε ὄπισθεν αὐτοῦ καὶ ἴδετε τί ποιεῖ εἰς τὸν ποταμόν.

Ἠκολουθήσαμεν οὖν αὐτῷ· ἦν δὲ σὺν ἡμῖν καὶ ὁ Ἀββᾶς Δωρόθεος· καὶ βλέπομεν, ὅτι ὡς ἔφθασεν εἰς τὸν ποταμόν, ἀπεδύσατο τὰ ἱμάτια αὐτοῦ καὶ ἐν αὐτοῖς ἐντυλίξας τὰ χαρτία, καὶ δήσας ἐπάνω τῆς κεφαλῆς αὐτοῦ, ἐστράφη πρὸς ἡμᾶς καὶ εἶπεν· εὔξασθε ὑπὲρ ἐμοῦ· καὶ ρίπτει ἑαυτὸν εἰς τὸν ποταμὸν ἐκεῖνον εἰς ὃν μόλις ἠδυνάμεθα ἀτενίσαι. Ἡμεῖς μὲν οὖν προσεδοκῶμεν αὐτὸν πάντως κινδυνεῦσαι, ὁ δὲ ἔμενε πυκτεύων καὶ ἀντιβαίνων τῇ φορᾷ τοῦ ὕδατος· καὶ μακράν που κατασυρείς, ἔφθασεν εἰς τὸ ἄλλο μέρος τοῦ ποταμοῦ· καὶ ἐνδυσάμενος τὰ ἱμάτια αὐτοῦ, καὶ βαλὼν ἡμῖν ἐκεῖθεν μετάνοιαν, ἀπῄει τρέχων πρὸς τὸν Ἀββᾶν αὐτοῦ.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἰσίδωρος εἶπεν, ὅτι οἱ δόκιμοι πρέπει τοὺς πραγματικοὺς διδασκάλους των νὰ τοὺς ἀγαποῦν ὡς Πατέρας των καὶ νὰ τοὺς φοβοῦνται ὡς ἄρχοντας· καὶ οὔτε νὰ καταργοῦν τὸν φόβον ἐξ αἰτίας τῆς ἀγάπης, ἀλλ' οὔτε καὶ νὰ ἀμαυρώνουν τὴν ἀγάπην ἀπὸ τὸν φόβον.

2. Διὰ τὸν μαθητὴν τοῦ Ἀββᾶ Παύλου τὸν Ἰωάννην, ἔλεγον ὅτι εἶχε μεγάλην ὑπακοήν. Ὑπῆρχον λοιπὸν εἰς ἕνα γειτονικὸν τόπον μνημεῖα καὶ εἰς αὐτὰ κατοικοῦσε μία ὕαινα*. Ὁ Γέρων εἶδε βολβοὺς εἰς τὴν περιοχὴν ἐκείνην καὶ λέγει εἰς τὸν Ἰωάννην νὰ ὑπάγῃ καὶ νὰ τοὺς φέρῃ.

—Ἀββᾶ, τί θὰ κάνω μὲ τὴν ὕαιναν; ἠρώτησεν ὁ Ἰωάννης.

—Ἐὰν ἐπιτεθῇ ἐναντίον σου — ἀπήντησεν ἀστειευόμενος ὁ Γέρων — νὰ τὴν δέσῃς καὶ νὰ τὴν φέρῃς ἐδῶ.

Ὁ ἀδελφὸς Ἰωάννης ἐπῆγε, πράγματι, εἰς τὸ μέρος ἐκεῖνο ἀργά, πρὸς τὸ βράδυ· καὶ ἰδοὺ ἡ ὕαινα ὥρμησε κατ' ἐπάνω του· ἐκεῖνος ὅμως σύμφωνα μὲ τὴν διαταγὴν τοῦ Γέροντός του, ὥρμησε νὰ τὴν συλλάβῃ, καὶ ἡ ὕαινα ἔφυγεν· ὁ Ἰωάννης τὴν κατεδίωκε καὶ ἔλεγεν· ὁ Ἀββᾶς μου, μοῦ εἶπε νὰ σὲ δέσω· καὶ ἀφοῦ τὴν ἔπιασε, τὴν ἔδεσε.

Ὁ Γέρων ἐν τῷ μεταξὺ ἐστενοχωρεῖτο ἀπὸ τὴν ἀργοπορίαν του καὶ ἐκάθητο ἔξω ἀπὸ τὸ κελλί του καὶ τὸν ἐπερίμενε. Καὶ ἰδοὺ ἔρχεται ὁ Ἰωάννης κρατῶν τὴν ὕαιναν δεμένην. Μόλις εἶδεν αὐτὸ ὁ Γέρων, ἐθαύμασε. Θέλων ὅμως νὰ τὸν ταπεινώσῃ, τὸν ἐκτύπησε καὶ τοῦ λέγει·

— Κουτέ, ἕνα παλιόσκυλο μοῦ ἔφερες ἐδῶ;

Ἀφοῦ δὲ τὴν ἔλυσεν ὁ Γέρων, τὴν ἄφησε νὰ φύγῃ.

---

* Ὕαινα εἶναι ζῶον ἄγριον τῆς Ἀφρικῆς, ζῶν καὶ εἰς Αἴγυπτον κατὰ τὴν ἐποχὴν ἐκείνην.

3. Ὁ Μακάριος Σέριδος, ὁ ὁποῖος συνετήρει εἰς Θαναθᾶ Κοινόβιον, εἶχεν ἕνα ἀγαπητὸν φίλον, ὁ ὁποῖος εἶχε καὶ ὑποτακτικόν, καὶ κατοικοῦσεν εἰς τὸν Ἀσκάλωνα.

Κάποτε λοιπὸν εἰς καιρὸν χειμῶνος ἔστειλεν ὁ Γέρων αὐτὸς τὸν ὑποτακτικόν του πρὸς τὸν Ἀββᾶν Σέριδον μὲ γράμματα, διὰ νὰ τοῦ φέρη ἕνα κύλινδρον (σκυτάλην χαρτῶν) μὲ παπύρους*.

Ὅταν εἰσῆλθεν ὁ ὑποτακτικὸς εἰς τὸ κοινόβιον ἐξέσπασε ραγδαιοτάτη βροχή, ὥστε νὰ πλημμυρίση ὁ ποταμὸς Θύαθος** καὶ νὰ κατακλύση ὁλόκληρον τὴν περιοχήν.

Μόλις λοιπὸν ὁ ὑποτακτικὸς παρέδωσε τὰ γράμματα, ἐζήτει ἀμέσως τοὺς παπύρους, διὰ νὰ ἀναχωρήση.


— Δὲν βλέπεις τὴν βροχήν; τοῦ λέγει ὁ Ἡγούμενος. Ποῦ θὰ ὑπάγης μὲ αὐτὸν τὸν καιρόν;

Ὁ ὑποτακτικὸς ὅμως ἐπέμενε, λέγων πρὸς τὸν Ἡγούμενον.

—Ἔχω ἐντολὴν καὶ δὲν ἠμπορῶ νὰ μείνω. Ἐπειδὴ λοιπὸν ὁ ὑποτακτικὸς μὲ τὴν ἐπιμονήν του ἐγίνετο ἐνοχλητικός, τοῦ ἔδωσε τὸν κύλινδρον μὲ τοὺς παπύρους ὁ Ἡγούμενος. Ὁ ὑποτακτικὸς ἔλαβε τότε τὴν εὐλογίαν τοῦ Ἡγουμένου καὶ ἔφυγε. Μᾶς λέγει τότε ὁ Ἡγούμενος· πηγαίνετε ἀπὸ πίσω του νὰ ἰδῆτε τί θὰ κάνη εἰς τὸν ποταμόν.

Πράγματι λοιπὸν τὸν ἠκολουθήσαμεν· μαζί μας δὲ ἦτο καὶ ὁ Ἀββᾶς Δωρόθεος· καὶ βλέπομεν ὅτι μόλις ἔφθασεν εἰς τὸν ποταμόν, ἔβγαλε τὰ ροῦχα του καὶ ἐτύλιξε μέσα εἰς αὐτὰ τὰ χαρτιά, καὶ ἀφοῦ τὰ ἔδεσεν ἐπάνω εἰς τὸ κεφάλι του ἐγύρισε πρὸς ἡμᾶς καὶ μᾶς εἶπε· «προσευχηθῆτε γιὰ μένα»· ἀμέσως δὲ ρίπτεται εἰς τὸν πλημμυρισμένον ἐκεῖνον ποταμόν, μέσα εἰς τὸν ὁποῖον μόλις ἠμπορούσαμεν νὰ τὸν διακρίνωμεν.

Ἡμεῖς ἐπεριμέναμεν ὁπωσδήποτε νὰ διατρέξη μεγάλον κίνδυνον· ὡστόσον ἐκεῖνος παρέμεινεν ἀγωνιζόμενος καὶ ἀντεστέκετο πρὸς τὸ ρεῦμα τοῦ ποταμοῦ. Τέλος παρασυρθεὶς κάπου μακρὰν ἔφθασε πάντως εἰς τὴν ἀπέναντι ὄχθην τοῦ ποταμοῦ, ἀφοῦ δὲ ἐφόρεσε τὰ ροῦχα του μᾶς ἔβαλεν ἀπὸ ἐκεῖ μετάνοιαν καὶ ἔφυγεν τρέχων πρὸς τὸν Ἀββᾶν του.



* Ἡ σκυτάλη ἦτο μικρὰ στρογγυλὴ ράβδος γύρω ἀπὸ τὴν ὁποίαν ἐτύλισσον τὸν χάρτην τῆς ἐποχῆς ἐκείνης (πάπυρον, περγαμηνὴν κλπ).

** Ὁ Θύαθος ἦτο μικρὸς ποταμὸς τῆς Παλαιστίνης.



ΥΠΟΘΕΣΙΣ ΛΕ΄

Ὅτι δεῖ ἐν ἁπλότητι ὑποτάσσεσθαι τοῖς ἐν Κυρίῳ προεστῶσι καὶ τὰς αὐτῶν κρίσεις ὡς ἐκ Θεοῦ ἀβασανίστως δέχεσθαι, καὶ μὴ ἀνακρίνειν αὐτὰς ἢ ἐπιδιορθοῦν, κἂν οὐ συμφέρουσαι ἴσως πρὸς τὸ παρὸν φαίνωνται.

Ὅτι πρέπει νὰ ὑποτασσώμεθα μὲ ἁπλότητα εἰς τοὺς ἐν Κυρίῳ προεστῶτας καὶ νὰ δεχώμεθα τὰς ἐντολάς των ὡς προερχομένας ἐκ Θεοῦ, χωρὶς νὰ τὰς ἐλέγχωμεν καὶ χωρὶς νὰ τὰς πολυεξετάζωμεν ἢ νὰ διορθώνωμεν, ἔστω καὶ ἂν πρὸς τὸ παρὸν φαίνωνται ὅτι δὲν μᾶς συμφέρουν.



Α΄. Γρηγορίου τοῦ Διαλόγου



ΕΥΛΑΒΕΣΤΑΤΟΣ Ἐπίσκοπος Φουρτουνᾶτος ἄνθρωπόν τινα δαιμονιῶντα διὰ προσευχῆς αὐτοῦ τῆς τοῦ δαίμονος μάστιγος ἠλευθέρωσε. Τὸ οὖν πονηρὸν πνεῦμα, ἀπελαθὲν τοῦ ἀνθρώπου, ἤδη λοιπὸν τῆς ἡμέρας οὔσης πρὸς ἑσπέραν, εἰς ξένον σχηματισθέν, περιήει τὴν πόλιν, κράζον οὕτω καὶ λέγον· ὢ, τί πεποίηκε Φουρτουνᾶτος ὁ Ἐπίσκοπος! ἰδοὺ ξένον ἄνθρωπον ἐκ τοῦ κελλίου αὐτοῦ ἐξέβαλε· ζητῶ οὖν ποῦ ὤφειλον ἀναπαυθῆναι, καὶ ἐν τῇ πόλει αὐτοῦ τόπον οὐχ εὑρίσκω.

Ταύτης δὲ τῆς φωνῆς ἀνήρ τις ἀκούσας, παρὰ τῇ πυρᾷ καθεζόμενος σὺν τῇ γυναικὶ αὐτοῦ καὶ τῷ παιδί, ἐκάλεσε τοῦτον· καὶ ἐπιζητήσας τί αὐτῷ ὁ Ἐπίσκοπος ἐποίησεν, ἐν τῷ ἰδίῳ οἴκῳ αὐτὸν εἰσεδέξατο, καὶ τῇ πυρᾷ σὺν αὐτοῖς παρακαθεσθῆναι ἐκέλευσε. Καθίσαντος οὖν καὶ πρὸς ἀλλήλους αὐτῶν ὁμιλούντων, τὸ πονηρὸν πνεῦμα ἐν τῷ παιδίῳ αὐτοῦ εἰσελθὸν ἔρριψεν αὐτὸ ἐν τῇ πυρᾷ καὶ παραχρῆμα ἀπέκτεινε. Τότε οὖν ὁ δυστυχὴς ἐκεῖνος ἔγνω τίνα μὲν ὁ Ἐπίσκοπος ἐξήγαγε, τίνα δὲ αὐτὸς ὑπεδέξατο καὶ ἐκ τῶν ἔργων ἔμαθε, μὴ τοῦ Ἐπισκόπου ἑαυτὸν νομίζειν κρείττονα καὶ φιλανθρωπότερον.

Ἑρμηνεία

Ο ΕΥΛΑΒΕΣΤΑΤΟΣ Ἐπίσκοπος Φουρτουνᾶτος ἠλευθέρωσε, μὲ τὴν προσευχήν του, ἕνα δαιμονιζόμενον ἄνθρωπον, ἀπὸ τὴν μάστιγα

τοῦ δαίμονος. Τὸ πονηρὸν πνεῦμα, λοιπόν, μόλις ἐξεδιώχθη ἀπὸ τὸν ἄνθρωπον, ὅταν πλέον ἐπλησίαζε τὸ βράδυ, μετεσχηματίσθη εἰς ξένον, καὶ περιήρχετο τὴν πόλιν, κράζον καὶ λέγον· ὤ! τί ἔχει κάμει ὁ Ἐπίσκοπος Φουρτουνᾶτος! Ἐπέταξεν ἔξω ἀπὸ τὸ κελλί του ἕνα ξένον ἄνθρωπον· ζητῶ λοιπὸν κάποιο μέρος νὰ ἠμπορέσω νὰ ἀναπαυθῶ καὶ δὲν εὑρίσκω εἰς τὴν πόλιν αὐτὴν τόπον.

Κάποιος ἄνθρωπος, ποὺ ἤκουσε τὴν φωνὴν αὐτήν, καὶ ὁ ὁποῖος ἐκάθητο κοντὰ εἰς τὴν φωτιὰν μαζὶ μὲ τὴν γυναῖκα του καὶ τὸ παιδί του, τὸν ἐφώναξε καὶ ἀφοῦ τὸν ἠρώτησε τί τοῦ ἔκαμεν ὁ Ἐπίσκοπος, τὸν ἐδέχθη μέσα εἰς τὸ σπίτι του καὶ τὸν παρεκάλεσε νὰ καθίσῃ κοντά των δίπλα στὴ φωτιά.

Ἀφοῦ λοιπὸν ἐκάθησε καὶ ἐνῷ συνωμίλουν μεταξύ των, τὸ πονηρὸν πνεῦμα εἰσῆλθε μέσα εἰς τὸ παιδί, τὸ ἔρριψεν εἰς τὴν φωτιὰν καὶ ἀμέσως τὸ ἐσκότωσε.

Τότε πλέον ὁ δυστυχὴς ἐκεῖνος ἀντελήφθη ποῖον ἐξεδίωξεν ὁ Ἐπίσκοπος καὶ ποῖον αὐτὸς ὑπεδέχθη· ἐκ τῶν ἔργων δὲ ἐδιδάχθη νὰ μὴ θεωρῇ τὸν ἑαυτόν του καλύτερον ἀπὸ τὸν Ἐπίσκοπον καὶ περισσότερον φιλάνθρωπον.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου

ΕΝ ΤΗι ΛΑΥΡΑι τοῦ Ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου ἦν τις ἀδελφός, τὸ γένος Ἀσιανός, τὴν κλῆσιν Αὐξέντιος, ἐπιτηδείως ἔχων πρὸς τὴν τῶν ἡμιόνων διακονίαν. Οὗτος οὖν ὑπὸ Δομετιανοῦ τοῦ τῆς μονῆς οἰκονόμου προτρεπόμενος ὥς τε τὴν διακονίαν ὑπελθεῖν ταύτην, ἀνεβάλλετό τε καὶ οὐχ ὑπήκουεν. Ἀναγκαίου δὲ καὶ χρησίμου τοῦ πράγματος ὄντος, παραλαβὼν καὶ Ἰωάννην μεθ' ἑαυτοῦ καὶ Κυρίωνα τοὺς πρεσβυτέρους ὁ οἰκονόμος, ἠξίου καὶ αὖθις σὺν αὐτοῖς τὸν Αὐξέντιον ὑπελθεῖν τὴν διακονίαν· ἐπεὶ δὲ καὶ οὕτως ἀνήκοος ἦν, τοῦ Σαββάτου ἤδη διαγεγονότος, ἡνίκα τῷ μεγάλῳ ἐξῆν ἐντυχεῖν, ἀναφέρει τὰ κατὰ τὸν Αὐξέντιον ὁ οἰκονόμος πάντα τῷ Ἁγίῳ, κἀκεῖνος μεταστέλλεται μὲν εὐθέως τὸν ἀδελφόν, ὑπακούειν δὲ παραινεῖ, καὶ μὴ οὕτως ἀνένδοτον εἶναι καὶ ἀπειθῆ, τῷ ἰδίῳ μόνῳ στοιχοῦντα θελήματι, καὶ τὴν κοινῇ τοῖς ἀδελφοῖς χρησιμεύουσαν διακονίαν ἀποποιούμενον.

Τοῦ δὲ μηδὲ παράκλησιν μηδὲ μόνην ὄψιν αἰδεσθέντος τοιαύτην, ἀλλὰ καὶ οὕτως ἀναδυομένου σαφῶς, καὶ ποίαν οὐχὶ κινοῦντος πρόφασιν, ἵνα θέλημα τὸ ἑαυτοῦ κύριον δείξῃ, καὶ νῦν μὲν τὸ ἀλλοδαπὸν εἶναι καὶ τῆς ἐπιχωρίου φωνῆς ἀνομίλητον αἰτιωμένου, νῦν δὲ τὰς τῆς σαρκὸς ἐπιβουλὰς καὶ τὰς ποικίλας τοῦ πονηροῦ τέχνας μήποτέ με, φησίν, ἔξω τῶν ὑμετέρων ὀφθαλμῶν ἐφευρὼν ὑποσκελίσῃ, καὶ κακίας τῆς ἑαυτοῦ ἔργον δείξῃ· πρὸς δὲ καὶ ὅπως μὴ φροντίσι καὶ θορύβοις συνεθισθείς, ἀπᾴδων τοῦ λοιποῦ καὶ ἀσύμφωνος πρὸς ἡσυχίαν καὶ γαλήνην ψυχῆς διαμείνω. Τοιαῦτα λέγοντος, καὶ τὴν τῆς ψυχῆς βλάβην ὡς δυσωπῆσαι ἱκανὴν οὖσαν προβαλλομένου, ὁ μέγας πάλιν Εὐθύμιος, ἀλλὰ δεηθησόμεθα οὖν, τέκνον, φησί, τοῦ Θεοῦ, ὥς τε μηδενὶ τῶν βλαπτόντων διὰ τὴν ὑπακοὴν ἁλώσιμον ὀφθῆναί σε· αὐτοῦ γάρ ἐστιν ἡ φωνή, «οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι»· καὶ «οὐ ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός».

Πρὸς ταῦτα ἔτι μᾶλλον τραχυνομένου τοῦ Αὐξεντίου καὶ μηδαμῶς εἴκοντος, βαρύτερον αὐτῷ προσενεχθεὶς ὁ θεῖος Εὐθύμιος, ἡμεῖς μέν, ὦ τέκνον, εἶπεν, ὅπερ δὴ καὶ αὐτῷ σοι λυσιτελεῖν ἐδόκει συνεβουλεύσαμεν, σὺ δὲ μένων ἐπὶ τῆς αὐτῆς ἀπειθείας, ὅσον οὔπω τίς ὁ τῆς ἀπειθείας καρπὸς γνώσῃ. Οὔπω τέλος εἶχε τῷ μεγάλῳ τὰ εἰρημένα, καὶ κλόνον, οὐκ οἶδ' ὅθεν, ὁ Αὐξέντιος τοῦ σώματος ὑποστάς, ἄθλιος ἐπὶ τὴν γῆν καταπίπτει, δακρύων διὰ τὴν συμφορὰν μόνον ἄξιος. Οἱ γοῦν παρόντες τῶν ἀδελφῶν, ἐπικλασθέντες αὐτῷ τὰς ψυχὰς οὕτως ἐλεεινῶς ἔχοντι, ἐδέοντο Εὐθυμίου, ἱκέτευον, ἠντιβόλουν βοηθῆσαι κειμένῳ καὶ παρακοῆς ὑποστάντι πικρὰν ἔκπτωσιν. Ὁ δέ, πρὸς οὕτως ἀπειθῆ καὶ ἀνήκοον, ἕτοιμος ἦν ὑπακούειν· καὶ λαβόμενος αὐτοῦ τῶν χειρῶν, ἀνίστησι τὸν Αὐξέντιον, ὑπότρομον ἔτι καὶ διὰ πάντων μικροῦ τῶν μελῶν τὴν τιμωρίαν ὑπέχοντα· εἶτα καὶ καθάπερ τι φάρμακον αὐτῷ τὸ τοῦ Σταυροῦ σημεῖον ἐπιβαλών, λύει τῷ ἀνθρώπῳ τὸ πάθος, καὶ ὑγιᾶ παραχρῆμα δείκνυσιν.

Ἀνενεγκὼν οὖν ὁ Αὐξέντιος, καὶ τῆς μὲν παρακοῆς εἰς μνήμην ἐλθών, συνεὶς δὲ καὶ τὸ κατασκῆψαν εἰς αὐτὸν πάθος, καὶ ὅτι μόνος ἦν ἀπειθείας ἔργον μὴ ἀγνοήσας, ἔτι μείζονα δίκην ὑπὸ τοῦ συνειδότος ἐπράττετο καὶ μεταμέλειά τις αὐτὸν εἰσῄει δεινή· ἀμέλει καὶ προσπίπτει τῷ Εὐθυμίῳ, τοῦτο μὲν συγγνώμην τῶν ἤδη γεγενημένων αἰτῶν, τοῦτο δὲ καὶ πρὸς τὸ μέλλον ἀσφάλειαν. Τοῦ δὲ καὶ συγγνόντος εὐθέως αὐτῷ, (ἡ γὰρ πρὸς ὀργὴν τραπεῖσα μόλις ψυχή, πῶς οὐκ ἔμελλεν ἑτοίμως δραμεῖν εἰς συμπάθειαν;) καὶ τὸ μέλλον δι' εὐχῆς ἀσφαλισαμένου, μεθ' ἡδονῆς ἐκεῖνος καὶ προθυμίας τὴν τῶν ἡμιόνων ἀναιρεῖται διακονίαν. Οὕτως ἡ παιδεία Κυρίου, κατὰ τὴν θείαν φάναι γραφήν, ἀνοίγει τε τὰ ὦτα καὶ νοῦν ἀκριβῶς προστίθησι· καὶ ὁ πρὸ τοῦ ταπεινωθῆναι τὴν ἀπείθειαν πλημμελήσας, μετὰ τὴν ἐκ παιδείας ταπείνωσιν ἕτοιμος πρὸς ὑπακοὴν ἐγνωρίζετο.

Ἑρμηνεία

ΕΙΣ ΤΗΝ Λαύραν τοῦ ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου ἦτο κάποιος ἀδελφός, ποὺ κατήγετο ἀπὸ τὴν Ἀσίαν καὶ ὠνομάζετο Αὐξέντιος· ἦτο δὲ κατάλληλος νὰ περιποιῆται τοὺς ἡμιόνους.

Αὐτὸς λοιπὸν ὁ Αὐξέντιος προετρέπετο ἀπὸ τὸν Δομετιανόν, τὸν οἰκονόμον τῆς Μονῆς, νὰ ἀναλάβῃ αὐτὸ τὸ διακόνημα, ἀλλ' αὐτὸς ἀνέβαλλε καὶ δὲν ὑπήκουεν. Ἐπειδὴ ὅμως τὸ διακόνημα αὐτὸ ἦτο ἀναγκαῖον καὶ χρήσιμον, παίρνει μαζί του ὁ οἰκονόμος τοὺς πρεσβυτέρους Ἰωάννην καὶ Κυρίωνα, καὶ ἠξίωνε καὶ πάλιν ἀπὸ τὸν Αὐξέντιον, μαζὶ μὲ τοὺς δύο πρεσβυτέρους, νὰ ἀναλάβῃ τὸ διακόνημα. Ἀφοῦ καὶ ἔτσι δὲν ὑπήκουσεν, καὶ ἀφοῦ πλέον ἐπέρασεν τὸ Σάββατον, ὅτε, καὶ ἐπετρέπετο νὰ συναντήσουν τὸν Μέγαν Εὐθύμιον, τὰ ἀναφέρει ὅλα ὁ οἰκονόμος εἰς τὸν Ἅγιον. Ὁ Μέγας Εὐθύμιος τότε στέλλει ἀμέσως καὶ καλεῖ τὸν Αὐξέντιον καὶ τὸν συμβουλεύει νὰ ὑπακούῃ καὶ νὰ μὴ εἶναι ἀνυποχώρητος καὶ ἀπείθαρχος, ἀκολουθῶν μόνον τὸ ἰδικόν του θέλημα καὶ ἀρνούμενος ὑπηρεσίαν, ἡ ὁποία εἶναι χρήσιμος δι' ὅλους τοὺς ἀδελφούς.

Ὁ Αὐξέντιος ὅμως οὔτε εἰς τὰς παρακλήσεις τοῦ Εὐθυμίου ὑπήκουσεν, ἀλλ' οὔτε καὶ τὸ πρόσωπόν του ἐσεβάσθη. Ἐξηκολούθει λοιπὸν

νὰ ἐπιμένῃ καὶ νὰ ἐπικαλῆται διαφόρους προφάσεις, διὰ νὰ ἀποδείξῃ ὡς ὀρθὸν τὸ θέλημά του. Οὕτως ἄλλοτε μὲν ἰσχυρίζετο ὅτι εἶναι ξένος καὶ δὲν γνωρίζει νὰ ὁμιλῇ τὴν γλῶσσαν τοῦ τόπου, ἄλλοτε ὅτι ἐφοβεῖτο τὰς ἐπιβουλὰς τῆς σαρκὸς καὶ τὰς διαφόρους τέχνας τοῦ πειρασμοῦ — μήπως, ἔλεγε, μὲ εὕρῃ ὁ πονηρὸς μακρὰν ἀπὸ τὴν ἐπίβλεψίν σας καὶ μὲ καταβάλῃ καὶ μὲ καταστήσῃ ὄργανον τῆς κακίας του.— Ἀκόμη — ἰσχυρίζετο ὁ Αὐξέντιος — φοβοῦμαι, μήπως συνηθίσω εἰς τὰς φροντίδας καὶ τοὺς θορύβους καὶ ἔτσι πλέον παραμείνω ξένος καὶ ἀδιάφορος πρὸς τὴν ἡσυχίαν καὶ τὴν γαλήνην τῆς ψυχῆς. Αὐτὰ λοιπὸν ἔλεγε καὶ προέβαλλε τὴν βλάβην τῆς ψυχῆς, ὡς ἱκανὴν νὰ μεταπείσῃ τὸν Μέγαν Εὐθύμιον.

Εἰς αὐτὰς τὰς δικαιολογίας ὁ Μέγας Εὐθύμιος τοῦ ἀπήντησε·

— Τέκνον μου, ἡμεῖς θὰ παρακαλέσωμεν τὸν Θεόν, ὥστε νὰ μὴ σὲ βλάψῃ τίποτε καί, λόγῳ τῆς ὑπακοῆς ποὺ θὰ ἐπιδείξῃς, νὰ μὴ κυριευθῇς ἀπὸ κανένα κακόν, ἐξ ὅσων φοβεῖσαι. Διότι φωνὴ τοῦ Θεοῦ εἶναι αὐτὴ ποὺ λέγει «δὲν ἦλθον νὰ ὑπηρετηθῶ, ἀλλὰ νὰ ὑπηρετήσω» (Ματθ. κ΄, 28) καὶ ὅτι «δὲν ἐκτελῶ τὸ θέλημα τὸ ἰδικόν μου, ἀλλὰ τὸ θέλημα τοῦ Πατρός, ποὺ μὲ ἀπέστειλεν εἰς τὸν κόσμον» (Ἰωάν. ε΄, 30).

Παρὰ ταῦτα ὁ Αὐξέντιος περισσότερον ἐπέμενε καὶ οὐδόλως ὑπεχώρει· δι' αὐτὸ καὶ ὁ ἅγιος Εὐθύμιος τοῦ ὡμίλησεν αὐστηρῶς πλέον·

—Ἡμεῖς, τέκνον μου, τοῦ εἶπε, σὲ συνεβουλεύσαμεν ἐκεῖνο, ποὺ θὰ ἦτο καὶ διὰ σὲ ὠφέλιμον· σὺ ὅμως ἐπιμένων εἰς τὴν ἀνυπακοήν, θὰ γνωρίσῃς, ἐντὸς ὀλίγου, ποῖος εἶναι ὁ καρπὸς τῆς ἀπειθαρχίας.

Δὲν εἶχε προφθάσει νὰ τελειώσῃ τοὺς λόγους του ὁ Μέγας Εὐθύμιος καὶ ἀμέσως ὁ Αὐξέντιος, δὲν γνωρίζω ἀπὸ ποίαν αἰτίαν, ἤρχισε νὰ τρέμῃ καὶ πίπτει εἰς τὴν γῆν, ἀξιοδάκρυτος διὰ τὴν συμφοράν του.

Ὅσοι λοιπὸν ἐκ τῶν ἀδελφῶν τῆς Λαύρας παρευρίσκοντο, συνεκινήθησαν ἀπὸ τὴν ἐλεεινὴν κατάστασιν τοῦ Αὐξεντίου καὶ παρεκάλουν τὸν ἅγιον Εὐθύμιον, τὸν ἱκέτευον καὶ ἐδέοντο ἐπιμόνως αὐτοῦ, νὰ βοηθήσῃ τὸν ἀδελφόν, ὁ ὁποῖος εἶχε πέσει κάτω, ὑφιστάμενος πικρὰν τὴν τιμωρίαν τῆς παρακοῆς.

Ὁ ἅγιος Εὐθύμιος ἐφάνη πρόθυμος νὰ δεχθῇ τὰς παρακλήσεις καὶ νὰ προσφέρῃ τὴν βοήθειάν του πρὸς ἕνα τόσον ἀπειθῆ καὶ ἀνυπάκουον ἀδελφόν. Ἀφοῦ λοιπὸν ἔπιασε τὸν Αὐξέντιον ἀπὸ τὰ χέρια, τὸν ἐσήκωσεν, ἐνῷ ἀκόμη ἐκεῖνος ἔτρεμε καὶ ἔφερεν εἰς ὅλα τὰ μέλη του τὴν τρεμούλαν ὡς τιμωρίαν διὰ τὴν παρακοήν του. Μετὰ ἀντὶ διὰ φάρμακον ἀποτελεσματικόν, τὸν σημειώνει μὲ τὸ σημεῖον τοῦ Σταυροῦ, ἀπαλλάσσει τὸν ἄνθρωπον ἀπὸ τὸ πάθος καὶ ἀμέσως τὸν παρουσιάζει καὶ πάλιν ὑγιᾶ.

Ὅταν λοιπὸν συνῆλθεν ὁ Αὐξέντιος, καὶ ἐνεθυμήθη τὴν παρακοήν του, ἀντελήφθη δὲ καλῶς τὸ κακὸν τὸ ὁποῖον τὸν εἶχεν εὕρει καὶ ἐννόησεν ὅτι τοῦτο ἦτο ἀποτέλεσμα τῆς ἀπειθείας του, ἀκόμη μεγαλύτερον ἔλεγχον ἐδέχετο ἀπὸ τὴν συνείδησίν του καὶ τὸν ἐκυρίευε φοβερὰ μεταμέλεια. Ἀμέσως λοιπὸν πίπτει ἐμπρὸς εἰς τὸν ἅγιον Εὐθύμιον, ἀφ' ἑνὸς

μὲν διὰ νὰ τοῦ ζητήση συγγνώμην δι' ὅσα ἔπραξεν, ἀφ' ἑτέρου δὲ νὰ τὸν παρακαλέση νὰ τὸν ἀσφαλίση, μὲ τὰς εὐχάς του, διὰ τὸ μέλλον. Ὁ ἅγιος Εὐθύμιος ἀμέσως τὸν συγχωρεῖ (διότι ἡ πρὸς ὀλίγον τραπεῖσα εἰς ὀργὴν ψυχή του, πῶς δὲν θὰ μετεβάλλετο ἀμέσως εἰς συμπάθειαν;), καὶ τὸν ἐξησφάλισε, διὰ τῆς προσευχῆς του, εἰς τὸ μέλλον. Τότε ὁ Αὐξέντιος, χωρὶς ἀναβολήν, ἀναλαμβάνει τὴν φροντίδα τῶν ἡμιόνων.

Ἔτσι ἡ παιδαγωγοῦσα τιμωρία τοῦ Κυρίου, ὅπως λέγει καὶ ἡ Ἁγία Γραφή, ἀνοίγει τὰ αὐτιὰ τοῦ ἀνθρώπου καὶ τοῦ βάζει μυαλό· καὶ αὐτός, ποὺ ἔσφαλλε, πρὶν νὰ ταπεινωθῇ, μὲ ἀπείθειαν, μετὰ τὴν ταπείνωσιν τῆς ἐκ Θεοῦ τιμωρίας, ἀνεδείχθη πρόθυμος εἰς τὴν ὑπακοήν.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

Ο ΜΑΘΗΤΗΣ τοῦ Μεγάλου Θεόδωρος, περὶ οὗ καὶ ἐν ἄλλοις εἴρηται, εἰ καὶ νεώτερος ἦν, ἀλλ' οὖν ἐνεδυναμοῦτο τῷ πνεύματι, καὶ ταῖς ἀρεταῖς προέκοπτε λίαν, μιμούμενος ἐν πᾶσι τὸν διδάσκαλον αὐτοῦ, καὶ ὑποτασσόμενος αὐτῷ διὰ τὸν Θεόν, ὡς αὐτῷ τῷ Κυρίῳ. Ἐπεὶ δὲ εἴωθεν ὡς τὰ πολλὰ ἡ ψυχὴ τοῖς ἐναντίοις πρὸς μακροθυμίαν ἀλείφεσθαι, ἐδοκίμαζε πολλάκις αὐτόν, ἐν οἷς αὐτῷ ἐπέταττε, κελεύων μὲν αὐτῷ τινὰ τῶν ἔργων ποιεῖν, εἶτα πάλιν ἐφιστάμενος καὶ ψέγων, ἐφ' οἷς αὐτὸς ὡς μετὰ πολλῆς προθυμίας εἰργάζετο, εἰς ἕτερον πάλιν μεθίστα, οὐ καλῶς φάσκων τὸ πρότερον παρ' αὐτοῦ γεγενῆσθαι, καὶ τὸν τῆς αὐταρεσκείας λογισμὸν πολεμεῖν αὐτῷ συνεχῶς ἐπεφώνει.

Αὐτὸς δὲ τὴν πατρικὴν ἐπίπληξιν συνετῶς δεχόμενος, ἀτάραχος ἔμενε, μηδὲν ὅλως ἀντιλέγειν τολμῶν ἢ δικαιολογεῖσθαι πρὸς αὐτόν· ἑτέρους δὲ περὶ αὐτοῦ πληροφορῶν ἔλεγεν, ὅτι ἄριστός ἐστι τεχνίτης, καὶ δοῦλος δόκιμος τοῦ Χριστοῦ· πολλὰ γὰρ παρὰ τοῖς ἀπείροις ἑτέρως φαινόμενα, ἑτέρως παρὰ τῶν ἐπιστημόνων δέχεται τὴν διόρθωσιν· ἐγὼ τοίνυν ὁ ἁμαρτωλός, πενθεῖν ἑαυτὸν ὀφείλω, ἕως ἂν ὁ Κύριος κατευθύνῃ μου τὴν καρδίαν πρὸς τὸ ἀγαθὸν καὶ ἄξιος γένωμαι τῆς τῶν Ἁγίων Πατέρων ὑπακοῆς· ἄνευ γὰρ τῆς τοῦ Κυρίου βοηθείας τὰ ἔργα τοῦ ἀνθρώπου, καὶ ἡ ἐφ' ἑαυτῷ μάλιστα πεποίθησις, σποδός ἐστι καὶ τέφρα.

Ἑρμηνεία

Ο ΜΑΘΗΤΗΣ τοῦ Μεγάλου Παχωμίου, ὁ Θεόδωρος, διὰ τὸν ὁποῖον ἔχομεν ὁμιλήσει καὶ ἀλλοῦ*, ἂν καὶ ἦτο ἀκόμη νέος κατὰ τὴν ἡλικίαν, ὅμως ἐνεδυναμοῦτο εἰς τὸ πνεῦμα καὶ ἐπρόκοπτε πολὺ εἰς τὰς ἀρετάς, μιμούμενος εἰς ὅλα τὸν διδάσκαλόν του καὶ ὑποτασσόμενος εἰς αὐτόν, διὰ τὸν Θεόν, ὡς νὰ ὑπετάσσετο εἰς αὐτὸν τοῦτον τὸν Κύριον. Ἐπειδὴ δὲ ἡ ψυχὴ συνηθίζει νὰ παρακινῆται εἰς μακροθυμίαν ἀπὸ τὰς ἐναντιώσεις τὰς ὁποίας συναντᾷ, τὸν ἐδοκίμαζε πολλάκις εἰς ἐκεῖνο, ποὺ

---

* Περὶ Θεοδώρου τοῦ μαθητοῦ τοῦ μεγάλου Παχωμίου γίνεται λόγος ἐν τοῖς πρόσθεν εἰς ὑπόθεσιν ΙΕ' (σελ. 205) ὑπόθεσιν ΙΣΤ' (σελ. 221) τοῦ ἀνὰ χεῖρας Τόμου.

τὸν διέτασσεν. Οὕτως ἐνῷ κατ' ἀρχὴν τὸν διέτασσε νὰ ἐκτελῇ μερικὰ ἀπὸ τὰ ἔργα, κατόπιν ἐπανήρχετο καὶ ἀφοῦ τοῦ ἔκανε παρατηρήσεις, δι' ἐκεῖνα τὰ ἔργα, τὰ ὁποῖα ὁ Θεόδωρος μὲ πολλὴν προθυμίαν ἐξετέλει, τὸν ὑπεχρέωνε νὰ ἀσχοληθῇ μὲ ἄλλο ἔργον, ἰσχυριζόμενος ὅτι τὸ προηγούμενον δὲν τὸ εἶχε κάνει καλά· ὅλα αὐτὰ δὲ τὰ ἔλεγεν ὁ Παχώμιος διὰ νὰ καταπολεμῇ συνεχῶς μέσα εἰς τὸν Θεόδωρον τὸν λογισμὸν τῆς αὐταρεσκείας.

Ἀλλὰ καὶ ὁ Θεόδωρος, ἐνῷ ἐδέχετο μὲ σύνεσιν τὴν πατρικὴν ἐπίπληξιν, δὲν ἐταράσσετο καὶ δὲν ἐτόλμα νὰ ἀντιλογήσῃ ἢ νὰ δικαιολογήσῃ τὸν ἑαυτόν του· πληροφορῶν δὲ ἄλλους (διὰ τὸν Γέροντά του) ἔλεγεν ὅτι εἶναι ἄριστος τεχνίτης καὶ δοῦλος δοκιμασμένος τοῦ Χριστοῦ· διότι πολλά, ποὺ φαίνονται διαφορετικὰ εἰς τοὺς ἀπείρους, διαφορετικὰ διορθώνονται ἀπὸ αὐτοὺς ποὺ γνωρίζουν. Ἐγὼ λοιπὸν ὁ ἁμαρτωλὸς — συνέχιζεν ὁ Θεόδωρος — εἶμαι ὑποχρεωμένος νὰ πενθῶ διὰ τὸν ἑαυτόν μου ἕως ὅτου ὁ Κύριος ὁδηγήσῃ τὴν καρδίαν μου εἰς τὸ ἀγαθὸν καὶ φανῶ ἄξιος τῆς ὑπακοῆς τῶν Ἁγίων Πατέρων. Διότι χωρὶς τὴν βοήθειαν τοῦ Κυρίου τὰ ἔργα τοῦ ἀνθρώπου, ὅταν μάλιστα τὰ στηρίζῃ εἰς τὴν αὐτοπεποίθησίν του, εἶναι σκόνη καὶ στάχτη.

Δ' Ἐν τῇ διηγήσει τῶν περιόδων τοῦ Ἁγίου Πέτρου τοῦ Ἀποστόλου τῇ ἱστορηθείσῃ ὑπὸ τοῦ Ἁγίου Κλήμεντος

Ο ΤΩΝ Ἀποστόλων Κορυφαῖος Πέτρος, ὡς ἤδη τὸν βίον ἀπολιπεῖν ἔμελλε, συνηθροισμένων μιᾷ τῶν ἀδελφῶν πάντων ἐν Ρώμῃ τῆς χειρὸς ἐμοῦ Κλήμη λαβόμενος, στὰς ἐν μέσῳ τῆς Ἐκκλησίας, ἀκούσατέ μου, ἔφη, τέκνα καὶ ἀδελφοί· τοῦ μὲν ἐμοῦ δρόμου τὸ τέλος ἐγγύς, Κλήμεντα δὲ τοῦτον Ἐπίσκοπον ὑμῖν χειροτονῶ σήμερον, ᾧ καὶ τὴν ἐμὴν τῶν λόγων πιστεύω καθέδραν καὶ μεταδίδωμι τῆς ἐξουσίας, τοῦ δεσμεῖν καὶ λύειν· δήσει γὰρ ὃ δεῖ δεθῆναι, καὶ λύσει πάντως ὃ δεῖ λυθῆναι, ὡς τὸν τῆς Ἐκκλησίας Κανόνα καλῶς εἰδώς.

Αὐτοῦ οὖν ἀκούσατε, εἰδότες ὅτι ὁ τὸν ἀληθείας προκαθεζόμενον λυπῶν εἰς Χριστὸν ἁμαρτάνει καὶ τὸν Πατέρα τῶν ὅλων παροργίζει Θεόν, οὗ εἵνεκεν οὐ ζήσεται· ἀλλ' ὑμεῖς τὴν ὀφειλομένην τιμὴν καὶ εὐπείθειαν διὰ παντὸς ἀποδιδόναι τῷ ὑμῶν Πατρὶ μὴ ἐλλίποιτε· οὕτω γὰρ καὶ ὑμεῖς ποιμαινόμενοι καλῶς ἕξετε, καὶ οὗτος ποιμὴν ἀληθῶς ἔσται καὶ οὐ μισθωτός, τοῦ ποιμνίου ἐπιμελούμενος· ὃ γὰρ εἶπον καὶ πάλιν ἐρῶ· ὅτι ὁ τὸν ποιμένα καὶ διδάσκαλον ἐν τοῖς κατὰ Θεὸν λυπῶν, τὸ τοῦ Θεοῦ Πνεῦμα λυπεῖ, οὗ τὴν καθέδραν οὗτος καὶ τὸν τόπον ἐπέχει· καὶ ὁ τοὺς αὐτοῦ λόγους ἀθετῶν, Χριστὸν ἀθετεῖ καὶ παραβάτης νόμου εὑρίσκεται.

Ἑρμηνεία

Ο ΚΟΡΥΦΑΙΟΣ τῶν Ἀποστόλων Πέτρος, ὅταν πλέον ἐπρόκειτο νὰ ἐγκαταλείψῃ αὐτὴν τὴν ζωήν, καθὼς εἶχον συναθροισθῇ μίαν ἡμέραν ὅλοι οἱ ἀδελφοὶ τῆς Ρώμης, ἐπῆρεν ἀπὸ τὸ χέρι ἐμὲ τὸν Κλήμεντα καὶ ἀφοῦ ἐστάθη εἰς τὸ μέσον τῆς Ἐκκλησίας εἶπε.

Τέκνα καὶ ἀδελφοί· ἀκούσατέ με· τὸ τέλος τοῦ δρόμου μου πλησιάζει· τὸν Κλήμεντα τοῦτον χειροτονῶ Ἐπίσκοπόν σας, εἰς τὸν ὁποῖον καὶ ἐμπιστεύομαι τὴν καθέδραν τῶν κηρυγμάτων μου καὶ τοῦ μεταδίδω τὴν ἐξουσίαν νὰ δεσμῇ καὶ νὰ λύῃ· θὰ δένῃ κατόπιν τῆς ἐξουσίας αὐτῆς, ἐκεῖνο ποὺ πρέπει νὰ δεθῇ καὶ θὰ λύῃ ἐκεῖνο ποὺ πρέπει νὰ λυθῇ, ὡς γνωρίζων καλῶς τὸν κανόνα τῆς Ἐκκλησίας.

Αὐτὸν λοιπὸν θὰ ἀκούετε, γνωρίζοντες ὅτι ἐκεῖνος ποὺ προκαλεῖ λύπην εἰς αὐτόν, ποὺ ὑπερασπίζεται τὴν ἀλήθειαν, (τὸν Ἐπίσκοπον), ἁμαρτάνει εἰς Χριστὸν καὶ παροργίζει τὸν Πατέρα τῶν ὅλων Θεόν, ἐξ αἰτίας τοῦ ὁποίου δὲν θὰ ζήσῃ· ἀλλὰ σεῖς μὴ παραλείπετε νὰ ἀποδίδετε πάντοτε εἰς τὸν πνευματικὸν πατέρα τὴν ὀφειλομένην τιμὴν καὶ ὑπακοήν· ἔτσι καὶ σεῖς ὡς ποιμαινόμενοι θὰ εὐτυχῆτε καὶ αὐτὸς θὰ εἶναι πραγματικὸς Ποιμὴν καὶ ὄχι μισθωτός, φροντίζων διὰ τὸ ποίμνιον. Δι' αὐτὸ ἐκεῖνο ποὺ εἶπα, θὰ τὸ ἐπαναλάβω καὶ πάλιν· ὅτι αὐτὸς ποὺ προκαλεῖ λύπην, δι' ὅσα ἀναφέρονται εἰς τὸν Θεόν, εἰς τὸν ποιμένα καὶ διδάσκαλον, στενοχωρεῖ τὸ Πνεῦμα τοῦ Θεοῦ, τοῦ Ὁποίου τὸν θρόνον κατέχει καὶ εἶναι ἀντιπρόσωπός Του. Καὶ αὐτὸς ποὺ ἀθετεῖ τοὺς λόγους τοῦ Ἐπισκόπου, τὸν Χριστὸν περιφρονεῖ καὶ παραβάτης τοῦ νόμου γίνεται.

Ε'. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΕΙΤΟ τις τῶν γερόντων, ὅτι ὁ Ἅγιος Βασίλειος ἐν κοινοβίῳ παραβαλών, μετὰ τὴν πρέπουσαν διδασκαλίαν, λέγει τῷ ἡγουμένῳ· ἔχεις ἀδελφὸν ὧδε ἔχοντα ὑπακοήν; ὁ δὲ λέγει αὐτῷ· πάντες δοῦλοί σού εἰσι καὶ σπουδάζουσι σωθῆναι, δέσποτα· πάλιν λέγει ὁ Ἅγιος· ἔχεις ἐν ἀληθείᾳ τινὰ ἔχοντα ὑπακοήν; ὁ δὲ ἤνεγκεν αὐτῷ ἕνα ἀδελφόν, καὶ ἐχρήσατο αὐτῷ εἰς τὸ ἄριστον ὑπηρέτῃ ὁ Ἅγιος Βασίλειος. Μετὰ δὲ τὸ φαγεῖν, ἔδωκεν ὁ ἀδελφὸς τῷ Ἁγίῳ νίψασθαι· καὶ νιψάμενος λέγει αὐτῷ ὁ Ἅγιος· δεῦρο, κἀγὼ δώσω σοι νίψασθαι· ὁ δὲ κατεδέξατο αὐτοῦ ἐπιχέοντος τὸ ὕδωρ· εἶτα πάλιν ἔφη αὐτῷ ὁ Ἅγιος Βασίλειος· ὅταν εἰσέρχωμαι εἰς τὸ ἱερατεῖον, ὑπόμνησόν με ἵνα σε χειροτονήσω Διάκονον· ὁ δὲ ἀδιακρίτως καὶ εἰς τοῦτο ὑπήκουσε· καὶ χειροτονήσας αὐτὸν πρεσβύτερον ὁ Ἅγιος, ἔλαβε μεθ' ἑαυτοῦ εἰς τὸ Ἐπισκοπεῖον, διὰ τὴν ὑπακοὴν αὐτοῦ.

2. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Σιλουανοῦ, ὅτι εἶχε μαθητὴν Μάρκον ὀνόματι· καὶ ἦν ἔχων ὑπακοὴν μεγάλην· ἦν δὲ καλλιγράφος, καὶ ἠγάπα αὐτὸν ὁ γέρων διὰ τὴν ὑπακοὴν αὐτοῦ· εἶχε δὲ καὶ ἄλλους ἕνδεκα μαθητάς, καὶ ἐθλίβοντο ὅτι ἠγάπα ἐκεῖνον ὑπὲρ αὐτούς, καὶ ἀνήγγειλαν τοῖς γέρουσιν. Ἦλθον δὲ ἐν μιᾷ οἱ γέροντες πρὸς τὸν Ἀββᾶν Σιλουανόν, καὶ ἐνεκάλουν αὐτῷ περὶ τῶν μαθητῶν αὐτοῦ· ὁ δέ, λαβὼν αὐτούς, ἐξῆλθε, καὶ διερχόμενος τὰ κελλία τῶν ἀδελφῶν, ἔκρουεν εἰς ἕκαστον κελλίον λέγων· ὁ δεῖνα ἀδελφέ, δεῦρο ὅτι χρήζω σου· καὶ εἷς ἐξ αὐτῶν οὐχ ἠκολούθησεν αὐτῷ εὐθύς.

Ὡς οὖν διερχόμενος ἦλθεν ἐπὶ τὴν κέλλαν τοῦ Μάρκου, ἔκρουσε καὶ ἐκεῖ ὁμοίως λέγων· Μάρκε· ὁ δὲ ἀκούσας τῆς φωνῆς τοῦ γέροντος, εὐθὺς ἐπήδησεν ἔξω· καὶ πέμψας αὐτὸν εἰς διακονίαν, λέγει τοῖς γέρουσι· ποῦ εἰσιν οἱ ἀδελφοί, Πατέρες; καὶ ἐλθὼν εἰς τὴν κέλλαν τοῦ Μάρκου ἐψηλάφησε τὸ ἐργόχειρον αὐτοῦ, καὶ εὗρεν

ὅτι ἔβαλε τὴν χεῖρα τῷ ποιῆσαι, καὶ ὡς ἐφώνησεν αὐτὸν ὁ γέρων, οὐκ ἔστρεψε τὸν κάλαμον πληρῶσαι αὐτό, ἀλλ' ἀφῆκεν ἡμιτελές· καὶ ἐξενεγκών, ὑπέδειξε τοῦτο τοῖς γέρουσιν· οἱ δὲ εἶπον αὐτῷ· ὄντως ὃν σὺ ἀγαπᾷς, Ἀββᾶ, καὶ ἡμεῖς αὐτὸν ἀγαπῶμεν· ὅτι καὶ ὁ Θεὸς αὐτὸν ἀγαπᾷ.

3. Ἔλεγον πάλιν περὶ τοῦ αὐτοῦ Ἀββᾶ Σιλουανοῦ, ὅτι ποτὲ περιπατῶν ἐν τῇ σκήτει μετὰ τῶν γερόντων, καὶ θέλων αὐτοῖς τὴν ὑπακοὴν τοῦ μαθητοῦ αὐτοῦ δεῖξαι, δι' ἣν καὶ αὐτὸν ἀγαπᾷ, θεωρήσας μικρὸν σύαγρον, λέγει αὐτῷ· θεωρεῖς τὸ μικρὸν βουβάλιον ἐκεῖνο, τέκνον; ἀπεκρίθη αὐτῷ ὁ ἀδελφός· ναί, Ἀββᾶ· καὶ πάλιν ὁ γέρων· θεωρεῖς καὶ τὰ κέρατα αὐτοῦ προσασπίθαμά εἰσι; καὶ εἶπε· ναί, Ἀββᾶ· καὶ ἐθαύμασαν οἱ γέροντες τὴν ἀπόκρισιν αὐτοῦ καὶ ᾠκοδομήθησαν ἐν τῇ ὑπακοῇ αὐτοῦ.

4. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Μούη, ὅτι εἶχε μαθητὴν τὸν Ἀββᾶν Σαΐν· καὶ ἔλεγεν αὐτῷ ὁ γέρων πειράζων· ὕπαγε, σύλησον· καὶ ὑπῆγε καὶ ἐσύλα τοὺς ἀδελφοὺς διὰ τὴν ὑπακοήν, εὐχαριστῶν τῷ Κυρίῳ ἐπὶ πᾶσιν· ὁ δὲ γέρων λαμβάνων αὐτὰ κρύφα πάλιν παρεῖχε τοῖς ἀδελφοῖς.

5. Διηγήσατο γέρων λέγων, ὅτι ἀπῆλθον πρὸς τὸν Ἀββᾶν Σισώην οἰκοῦντα ἐν τῷ Κλύσματι, καὶ παρεκάλεσα αὐτὸν εἰπεῖν λόγον, καὶ εἶπε· συγχώρησόν μοι, ἰδιώτης ἄνθρωπός εἰμι· ἀλλὰ παρέβαλον πρὸς τὸν Ἀββᾶν Ὢρ καὶ τὸν Ἀββᾶν Ἀθρέ· ἦν δὲ ἐν ἀσθενείᾳ ὁ Ἀββᾶς Ὢρ, δέκα καὶ ὀκτὼ ἔτη· καὶ ἔβαλον αὐτοῖς μετάνοιαν εἰπεῖν μοι λόγον· καὶ εἶπεν ὁ Ἀββᾶς Ὢρ· τί ἔχω εἰπεῖν σοι; ἄπελθε καὶ ὃ βλέπεις ποίησον· ὁ Θεὸς ἐκείνου ἐστὶ τοῦ εἰς πάντα ἑαυτὸν βιαζομένου. Οὐκ ἦσαν δὲ ἀπὸ μιᾶς ἐνορίας ὁ Ἀββᾶς Ὢρ καὶ ὁ Ἀββᾶς Ἀθρέ· ἐγένετο δὲ μεγάλη εἰρήνη μεταξὺ αὐτῶν, ἕως ἐξῆλθον ἀπὸ τοῦ σώματος· ἦν γὰρ μεγάλη ἡ ὑπακοὴ τοῦ Ἀββᾶ Ἀθρέ, καὶ ἡ ταπεινοφροσύνη τοῦ Ἀββᾶ Ὢρ. Ἐποίησα δὲ ὀλίγας ἡμέρας ἐκεῖ, ἀνιχνεύων τὴν πολιτείαν αὐτῶν, καὶ εἶδον μὲν καὶ ἄλλα θαυμαστὰ ἔργα, καὶ τοῦτο δὲ ὃ διηγήσομαι.

Ἤνεγκεν αὐτοῖς τις μικρὸν ὀψάριον· καὶ ἠβουλήθη αὐτὸ ποιῆσαι ὁ Ἀββᾶς Ἀθρὲ τῷ γέροντι· εἶχε δὲ τὴν μάχαιραν κόπτων τὸ ὀψάριον· καὶ ἐκάλεσεν αὐτὸν ὁ Ἀββᾶς Ὢρ. καὶ ἀφῆκε τὴν μάχαιραν μέσον τοῦ ὀψαρίου, καὶ οὐκ ἔκοψε τὸ ἐπίλοιπον· καὶ ἐθαύμασα τὴν μεγάλην ὑπακοὴν αὐτοῦ, διότι οὐκ εἶπε· μακροθύμησον ἕως κόψω τὸ ὀψάριον· εἶπον δὲ τῷ Ἀββᾷ Ἀθρέ· ποῦ εὗρες τὴν ὑπακοὴν ταύτην; καὶ εἶπέ μοι· οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ γέροντός ἐστι· καὶ εἰ θέλεις δεῦρο βλέπε τὴν ὑπακοὴν αὐτοῦ. Ἥψησεν οὖν τὸ ὀψάριον, καὶ ἠχρείωσεν αὐτὸ θέλων, καὶ παρέθηκε τῷ γέροντι καὶ ἔφαγε μηδὲν λαλήσας· εἶπε δὲ αὐτῷ ὁ Ἀββᾶς Ἀθρέ· καλόν ἐστι, γέρον; καὶ ἀπεκρίθη· καλόν ἐστι πάνυ. Εἶτα ἤνεγκεν αὐτῷ ἕτερον μικρόν, καλῶς πάνυ ἐσκευασμένον· καὶ ἐσθίοντι τῷ γέροντι εἶπεν· ἠχρείωσα αὐτό, γέρον· καὶ ἀπεκρίθη· ναί, ἠχρείωσας αὐτὸ μικρόν· καὶ μετὰ τοῦτο εἶπέ μοι ὁ Ἀββᾶς Ἀθρέ· οἶδας ὅτι ἡ ὑπακοὴ τοῦ γέροντός ἐστι; καὶ ἐξῆλθον ἀπ' αὐτῶν καὶ εἴ τι εἶδον ἐποίησα τὴν δύναμίν μου φυλάξαι.

Ἑρμηνεία

ΕΝΑΣ ἀπὸ τοὺς Γέροντας διηγεῖτο, ὅτι κάποτε ὁ Ἅγιος Βασί-

λειος ἦλθεν εἰς ἕνα κοινόβιον. Μετὰ τὴν ἁρμόζουσαν διδασκαλίαν, λέγει πρὸς τὸν Ἡγούμενον:

—Ἔχεις ἐδῶ ἀδελφόν, μὲ τελείαν ὑπακοήν;

—Ὅλοι εἶναι δοῦλοι σου, καὶ φροντίζουν νὰ σωθοῦν, δέσποτά μου, ἀπήντησεν ὁ Ἡγούμενος. Ὁ Ἅγιος ἠρώτησε καὶ πάλιν.

—Ἔχεις κανένα, ποὺ νὰ εἶναι πραγματικὰ ὑπάκουος;

Ὁ Ἡγούμενος τοῦ ἔφερε τότε κάποιον Μοναχὸν ποὺ τὸν ἐχρησιμοποίησεν ὡς ὑπηρέτην του εἰς τὸ γεῦμα ὁ Ἅγιος Βασίλειος.

Μετὰ τὸ φαγητὸν ὁ ἀδελφὸς ἐβοήθησε τὸν Ἅγιον νὰ πλυθῇ· ἀφοῦ ἐπλύθη, λέγει ὁ Ἅγιος πρὸς τὸν ἀδελφόν.

—Ἔλα τώρα νὰ σὲ βοηθήσω καὶ ἐγὼ νὰ πλυθῇς. Καὶ ὁ ἀδελφὸς ἐδέχθη ἀδιαμαρτυρήτως νὰ τοῦ χύσῃ νερὸ ὁ Ἅγιος, διὰ νὰ πλυθῇ. Κατόπιν λέγει πάλιν ὁ Ἅγιος εἰς τὸν Μοναχόν.

—Ὅταν θὰ εἰσέλθω εἰς τὸ ἱερὸν τῆς Ἐκκλησίας νὰ μοῦ ὑπενθυμίσῃς νὰ σὲ χειροτονήσω Διάκονον.

Ὁ Μοναχὸς καὶ εἰς αὐτὸ ὑπήκουσε χωρὶς συζήτησιν. Ὁ Ἅγιος Βασίλειος τότε τὸν ἐχειροτόνησε Πρεσβύτερον καὶ τὸν ἐπῆρε μαζί του εἰς τὴν ἐπισκοπήν, χάριν τῆς ὑπακοῆς του.

2. Διὰ τὸν Ἀββᾶν Σιλουανὸν ἔλεγον ὅτι εἶχεν ἕνα ὑποτακτικόν, ὀνομαζόμενον Μᾶρκον, ὁ ὁποῖος διεκρίνετο διὰ τὴν μεγάλην ὑπακοήν του. Οὗτος εἶχεν ὡς ἔργον τὴν καλλιγραφικὴν ἀντιγραφὴν βιβλίων. Ὁ ἀββᾶς Σιλουανὸς τὸν ἠγάπα διὰ τὴν ὑπακοήν του. Εἶχεν, ἐπίσης, καὶ ἄλλους ἕνδεκα ὑποτακτικούς, ποὺ ἐστενοχωροῦντο, διότι ἠγάπα τὸν Μᾶρκον περισσότερον ἀπὸ αὐτούς· ἀνέφεραν λοιπὸν τὸ παράπονόν των εἰς τοὺς Γέροντας.

Μίαν ἡμέραν ἐπεσκέφθησαν οἱ Γέροντες τὸν ἀββᾶν Σιλουανὸν καὶ τὸν ἤλεγχον διὰ τὴν στάσιν του ἀπέναντι τῶν μαθητῶν του. Ἀντὶ νὰ τοὺς ἀπαντήσῃ ὁ Ἀββᾶς Σιλουανός, τοὺς ἐπῆρε μαζί του καὶ περνῶν ἕνα - ἕνα τὰ κελλία τῶν ἀδελφῶν, ἐκτυποῦσε τὴν θύραν λέγων: ἀδελφὲ τάδε, ἔλα, διότι σὲ χρειάζομαι. Ἀλλὰ κανεὶς ἀπὸ αὐτοὺς δὲν τὸν ἠκολούθησεν ἀμέσως.

Ὅταν λοιπὸν ἦλθε καὶ εἰς τὸ κελλὶ τοῦ Μάρκου, ἐκτύπησε καὶ τοῦ εἶπε, ὅπως καὶ εἰς τοὺς ἄλλους· Μάρκε...Ὁ ὑποτακτικὸς μόλις ἤκουσε τὴν φωνήν του ἐπήδησεν ἀμέσως ἔξω ἀπὸ τὸ κελλί. Ἀφοῦ λοιπὸν τὸν ἔστειλεν εἰς ὑπηρεσίαν, λέγει τότε πρὸς τοὺς Γέροντας ὁ Ἀββᾶς Σιλουανός:

— Ποῦ εἶναι, Πατέρες, οἱ ἄλλοι ἀδελφοί;

Εἰσῆλθε δὲ εἰς τὸ κελλὶ τοῦ Μάρκου καὶ παρετήρησε τὸ ἐργόχειρόν του· ἐπρόσεξε δὲ ὅτι εἶχεν ἀρχίσει νὰ κάμνῃ κάτι ἐπάνω εἰς τὸ ἐργόχειρον, καὶ μόλις τὸν ἐφώναξεν ὁ Ἀββᾶς, δὲν ἐκίνησε τὸ χέρι του διὰ νὰ ὁλοκληρώσῃ τὸ γράψιμον. Τότε φέρει ἔξω τὸ ἐργόχειρον καὶ τὸ ἐπιδεικνύει εἰς τοὺς Γέροντας. Μόλις τὸ εἶδον οἱ Γέροντες τοῦ εἶπον:

— Πραγματικῶς ἔχεις δίκαιον νὰ τὸν ἀγαπᾷς, 'Αββᾶ· καὶ ἡμεῖς τὸν ἀγαπῶμεν, διότι καὶ ὁ Θεὸς τὸν ἀγαπᾷ διὰ τὴν ὑπακοήν του.

3. Διὰ τὸν ἴδιον, πάλιν, 'Αββᾶν Σιλουανόν, διηγοῦντο ὅτι ἐπεριπατοῦσε, κάποτε, εἰς τὴν σκήτην μὲ τοὺς Γέροντας· θέλων δὲ νὰ δείξῃ τὴν ὑπακοὴν τοῦ ὑποτακτικοῦ του, διὰ τὴν ὁποίαν καὶ τὸν ἀγαποῦσε, μόλις εἶδεν ἕνα μικρὸν ἀγριόχοιρον, λέγει εἰς τὸν ὑποτακτικόν του.

— Βλέπεις, τέκνον, ἐκεῖνο τὸ μικρὸ βουβάλι;

—Μάλιστα, Γέροντά μου· ἀπαντᾷ ὁ ὑποτακτικός.

— Βλέπεις καὶ τὰ κέρατά του πόσες πιθαμὲς μεγάλα εἶναι; ἠρώτησεν ἐκ δευτέρου ὁ Γέρων.

— Ναί, Γέροντά μου.

Καὶ ἐθαύμασαν οἱ Γέροντες ἀπὸ τὴν ἀπάντησιν τοῦ ὑποτακτικοῦ καὶ ὠφελήθησαν ἀπὸ τὴν ὑπακοήν του.

+ ④ Διὰ τὸν 'Αββᾶν Μούην ἔλεγον, ὅτι εἶχε μαθητὴν τὸν 'Αββᾶν Σαΐν. Τοῦ ἔλεγε λοιπὸν ὁ Γέρων, διὰ νὰ τὸν δοκιμάζῃ· πήγαινε καὶ κλέψε· καὶ ἐπήγαινε καὶ ἔκλεπτε τοὺς ἀδελφοὺς χάριν τῆς ὑπακοῆς εὐχαριστῶν πάντοτε τὸν Κύριον. 'Ο Γέρων ἔπαιρνε πάλιν κρυφὰ τὰ κλοπιμαῖα καὶ τὰ ἐπέστρεφεν εἰς τοὺς ἀδελφοὺς τῆς Σκήτης.

5. Ἕνας Γέρων διηγήθη τὰ ἑξῆς: Μετέβην κάποτε, πρὸς τὸν 'Αββᾶν Σισώην, ποὺ κατοικοῦσεν εἰς τὸ Κλύσμα* καὶ τὸν παρεκάλεσα νὰ μοῦ εἴπῃ διδακτικὸν λόγον.

—Συγχώρεσέ με, μοῦ ἀπήντησεν ὁ 'Αββᾶς Σισώης, ἐγὼ εἶμαι ἀγράμματος καὶ ἀμαθὴς ἄνθρωπος.

Κατόπιν ἐπῆγα πρὸς τὸν 'Αββᾶν Ὦρ καὶ τὸν 'Αββᾶν 'Αθρέ. Ἦτο δὲ ὁ 'Αββᾶς Ὦρ ἄρρωστος ἐπὶ δέκα ὀκτὼ ἔτη. Τοὺς ἔβαλα μετάνοιαν καὶ τοὺς παρεκάλεσα νὰ μοῦ εἴπουν διδακτικὸν λόγον.

— Τί ἠμπορῶ νὰ σοῦ εἰπῶ; Μοῦ ἀπήντησεν ὁ 'Αββᾶς Ὦρ. Πήγαινε καὶ ὅ,τι βλέπεις κάνε. 'Ο Θεὸς εἶναι κοντὰ εἰς ἐκεῖνον ποὺ βιάζει τὸν ἑαυτόν του εἰς ὅλα τὰ καλὰ ἔργα.

'Ο 'Αββᾶς Ὦρ καὶ ὁ 'Αββᾶς 'Αθρὲ δὲν προήρχοντο ἀπὸ μίαν ἐπαρχίαν· καὶ ὅμως μεταξύ των ὑπῆρχε μεγάλη εἰρήνη, ἕως ὅτου αἱ ψυχαί των ἐξῆλθον ἀπὸ τὰ σώματά των. Ἦτο δὲ μεγάλη ἡ ὑπακοὴ τοῦ 'Αββᾶ 'Αθρέ, ὅπως καὶ ἡ ταπεινοφροσύνη τοῦ 'Αββᾶ Ὦρ. Παρέμεινα δὲ μαζί των ὀλίγας ἡμέρας ἐξετάζων μετὰ προσοχῆς τὸν τρόπον τῆς ζωῆς των καὶ εἶδον πολλὰ ἀξιοθαύμαστα ἔργα των, ἐκ τῶν ὁποίων τοῦτο μόνον θὰ διηγηθῶ.

Μίαν ἡμέραν τοὺς ἔφερε κάποιος ἕνα μικρὸ ψάρι καὶ ἠθέλησεν ὁ 'Αββᾶς 'Αθρὲ νὰ τὸ μαγειρεύσῃ διὰ τὸν Γέροντα. Ἤρχισε δὲ νὰ τὸ τεμαχίζῃ μὲ τὸ μαχαίρι καὶ ἐν τῷ μεταξὺ τὸν ἐφώναξεν ὁ 'Αββᾶς Ὦρ. Καὶ

* Κλύσμα εἶναι ἡ παραλία, ὁ τόπος ποὺ κατακλύζεται ἀπὸ τὰ κύματα. Ἐνταῦθα ἴσως νοεῖται καὶ τὸ Σουέζ, ὅπερ εἰς τὴν ἀρχαίαν ἐποχὴν ἐλέγετο Κλύσμα καὶ τὸ ὁποῖον εὑρίσκεται εἰς τὴν Αἴγυπτον, ὅπου ἔζων πολλοὶ μοναχοί.

ἀ μ έ σ ω ς ἄ φ η σ ε τ ὸ μ α χ α ί ρ ι κ α ὶ δ ὲ ν ἐ τ ε μ ά χ ι σ ε τ ὸ ὑ π ό λ ο ι π ο ν. Ἐγὼ ἐθαύμασα τὴν μεγάλην ὑπακοήν του, διότι δὲν εἶπε· περίμενε λιγάκι, ὥσπου νὰ κόψω τὸ ψάρι. Εἶπον τότε εἰς τὸν Ἀββᾶν.

—Ἀββᾶ Ἀθρέ, ποῦ εὑρῆκες αὐτὴν τὴν ὑπακοήν;

— Δὲν εἶναι ἰδική μου· εἶναι τοῦ Γέροντος. Ἂν θέλῃς, ἔλα καὶ βλέπε τὴν ὑπακοήν του.

Ἔψησε λοιπὸν τὸ ψάρι, ὁ Ἀββᾶς Ἀθρέ, τὸ ἐχάλασε θεληματικὰ καὶ τὸ ἔφερεν εἰς τὸν Γέροντα· καὶ ἐκεῖνος τὸ ἔφαγε, χωρὶς νὰ εἴπῃ τίποτε. Τὸν ἠρώτησε δὲ ὁ Ἀββᾶς Ἀθρέ.

— Γέροντα, εἶναι καλὸ τὸ ψαράκι;

— Πάρα πολὺ καλό, ἀπήντησεν ὁ Ἀββᾶς Ὤρ.

Ἔπειτα τοῦ ἔφερεν ἕνα ἄλλο μικρὸ ψαράκι, πολὺ ὡραῖα μαγειρευμένον καὶ καθὼς ἔτρωγεν ὁ Γέρων τοῦ εἶπε:

— Τὸ ἐχάλασα, Γέροντα.

— Ναί, λιγάκι τὸ ἐχάλασες· ἀπήντησεν ὁ Ἀββᾶς Ὤρ.

Κατόπιν αὐτοῦ μοῦ εἶπεν ὁ Ἀββᾶς Ἀθρέ.

— Κατάλαβες λοιπὸν τώρα πῶς ἡ ὑπακοὴ εἶναι τοῦ Γέροντος;

Ἔφυγα λοιπὸν ὠφελημένος ἀπὸ αὐτοὺς τοὺς Ἀββάδες καὶ ἔκανα ὅ,τι ἠμποροῦσα, διὰ νὰ ἐφαρμόσω καὶ ἐγὼ ὅσα εἶδον.

ΣΤ΄ Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· ὁ Ἀββᾶς ἔταξέ με ἔρχεσθαι εἰς τὸ ἀρτοκοπεῖον καὶ ποιεῖν τοὺς ἄρτους τῶν ἀδελφῶν· οἱ δὲ ἐργάται, κοσμικοὶ ὄντες, λαλοῦσιν ἃ μὴ δεῖ, καὶ οὐκ ὠφελοῦμαι ἀκούων ταῦτα· τί οὖν ποιήσω; ὁ δὲ ἀπεκρίθη αὐτῷ λέγων· οὐχ ἑώρακας παιδία γράμματα μανθάνοντα ἐπὶ πλήθους, καὶ ἕκαστον αὐτῶν τὸ ἴδιον μάθημα μελετᾷ, καὶ οὐχὶ τὸ τοῦ ἄλλου; Καὶ σὺ οὖν πρόσεχε σεαυτῷ καὶ τῇ μελέτῃ τῆς καρδίας σου· εἰ δὲ νικᾶσαι ὑπὸ τῶν παθῶν, ἀνάγγειλον τῷ Ἀββᾷ, καὶ ὃ σοι εἴπῃ ποίησον· αὐτὸς γὰρ τὸ συμφέρον σου οἶδεν ὑπὲρ σέ.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ Μοναχὸς ἠρώτησεν ἕνα Γέροντα·

—Ὁ Ἀββᾶς μου μὲ διέταξε νὰ ἔρχωμαι εἰς τὸ ἀρτοποιεῖον, διὰ νὰ παρασκευάζω τοὺς ἄρτους τῶν ἀδελφῶν· οἱ ἐργάται ὅμως, ὡς κοσμικοί, ὁμιλοῦν μεταξύ των αὐτὰ ποὺ δὲν πρέπει, καὶ ἐγὼ δὲν ὠφελοῦμαι μὲ τὸ νὰ ἀκούω αὐτά. Τί πρέπει νὰ κάμω λοιπόν;

Ὁ Γέρων ἀπήντησε:

— Δὲν ἔχεις ἰδεῖ πολλὰ παιδιὰ νὰ μαθαίνουν μαζὶ γράμματα; καὶ ὅμως κάθε ἕνα ἀπὸ αὐτὰ μελετᾷ τὸ μάθημά του, καὶ ὄχι τὸ μάθημα τοῦ ἄλλου. Καὶ σὺ λοιπὸν νὰ προσέχῃς τὸν ἑαυτόν σου καὶ τὴν μελέτην τῆς καρδίας σου. Ἂν πάλιν νικᾶσαι ἀπὸ τὰ πάθη, τότε νὰ ἐξομολογηθῇς εἰς τὸν Γέροντά σου καὶ κάνε αὐτό, ποὺ θὰ σοῦ εἴπῃ, διότι αὐτὸς γνωρίζει τὸ συμφέρον τῆς ψυχῆς σου καλύτερον ἀπὸ σέ.

Ζ' Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ὁ Ἀββᾶς σου ἀποστείλῃ σε ἐπὶ ξένης περὶ πράγματος, εἰπὲ αὐτῷ· ποῦ θέλεις παραβάλω; τίνος χρείαν ἔχεις; καὶ εἴ τι σοι λέγει, ποίησον· μὴ προσθῇς, μηδὲ ἀφέλῃς, μὴ θελήσῃς ποιῆσαι πρᾶγμα εὐεργετικὸν πτωχῷ, εἰ μὴ πρότερον αὐτὸν ἐρωτήσεις· εἰ δὲ ποιήσεις χωρὶς αὐτοῦ ἐν κρυπτῷ, ἁμαρτήσεις.

Ἑρμηνεία

ΕΑΝ ὁ Γέροντάς σου σὲ στείλῃ εἰς ξένον τόπον, ἐρώτησέ τον· Γέροντα, ποῦ θέλεις νὰ ὑπάγω; Τί πρᾶγμα χρειάζεσαι; Νὰ κάνῃς δὲ αὐτό, ποὺ θὰ σοῦ εἰπῇ. Νὰ μὴ προσθέσῃς οὔτε νὰ ἀφαιρέσῃς τίποτε ἀπὸ τὴν ἐντολήν του· οὔτε νὰ θελήσῃς νὰ εὐεργετήσῃς πτωχόν, ἐὰν προηγουμένως δὲν τὸν ἐρωτήσῃς. Ἂν κάνῃς κάτι χωρὶς νὰ σοῦ δώσῃ αὐτὸς τὴν ἄδειαν, θὰ ἁμαρτήσῃς.

Η'. Ἐκ τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· εἰ ἐν τοῖς καλοῖς ἢ καὶ τοῖς μέσοις δεῖ κόπτειν τὸ θέλημα, ἢ καὶ ἐν οἷς παράβασις δοκεῖ φθάνειν ἐντολῆς Θεοῦ; καὶ ὑπὲρ τὴν κατάστασίν μου δὲ ἐὰν εὑρεθῇ ἡ ἐπιταγή, εἰ ὀφείλω παραιτεῖσθαι, ἵνα μὴ λύπην καὶ ταραχὴν ὕστερον ἐνέγκῃ μοι· καὶ ἀπεκρίθη ὁ γέρων· ἀδελφέ, ὁ θέλων εἶναι Μοναχός, οὐκ ὀφείλει ὅλως θέλημα ἔχειν ἔν τινι πράγματι· καὶ τοῦτο διδάσκων ὁ Κύριος εἶπεν· «ἦλθον εἰς τὸν κόσμον, οὐ τὸ ἐμὸν θέλημα ποιῆσαι»· ὁ θέλων γὰρ τόδε ποιεῖν, καὶ τόδε παραιτεῖσθαι, ἢ διακριτικώτερον ἑαυτὸν δείκνυσι τοῦ ἐπιτάσσοντος αὐτῷ, ἢ ὑπὸ δαιμόνων ἐμπαίζεται, ἅπερ ἀμφότερα κακὰ καὶ δαιμονιώδη, ὥς τε ἐν πᾶσιν ὀφείλεις ὑπακούειν· ὁ γὰρ ἐπιτάσσων Ἀββᾶς σου βαστάζει τὸ κρῖμα, ὡς ἀπαιτούμενος λόγον ὑπὲρ σοῦ· ἐὰν δὲ φαίνηταί σοι βαρὺ τὸ ἐπιτασσόμενον, ἐρώτησον αὐτὸν καὶ τῇ διακρίσει αὐτοῦ ἄφες τὸ πρᾶγμα.

Ἐὰν δὲ ἀδελφοὶ ὦσιν οἱ ἐπιτάξαντες καὶ βλέπῃς ἢ νομίζῃς, ὅτι βλάβην ἔχει τὸ πρᾶγμα ἢ ὑπὲρ τὴν δύναμίν σού ἐστι, πάλιν τὸν Ἀββᾶν ἐρώτησον, καὶ ἃ λέγει ποίησον· ἐὰν γὰρ θέλῃς μὴ μόνον τὰ πράγματα, ἀλλὰ καὶ τοὺς ἀνθρώπους διακρίνειν, θλῖψιν σεαυτῷ ἐπισπᾶσαι· ἀλλ' ὅπου μὲν δοκεῖ καλὸν εἶναι τὸ πρᾶγμα, ἐκεῖ δεῖξον τὴν ὑπακοὴν τοῖς ἀδελφοῖς· ὅπου δὲ διστάζει ὁ λογισμός, ἢ ὑπὲρ τὴν δύναμίν σού ἐστιν, ἢ ἔχον βλάβην, ἀνάθου τῷ Ἀββᾷ σου, καὶ ὃ διακρίνει ποίησον· αὐτὸς γὰρ οἶδε τί ποιεῖ, καὶ πῶς φροντίζει σου τῆς ψυχῆς, καὶ ἀναπαύου, πιστεύων ὅτι εἴ τι λέγει σοι, κατὰ Θεόν ἐστι· πᾶν δὲ τὸ κατὰ Θεὸν ὠφέλιμόν ἐστι, καὶ λύπην ἢ ταραχὴν οὐ φέρει· ἐκ γὰρ τοῦ ἀγαθοῦ οὐδὲν κακὸν ἐξέρχεται· «πᾶν γὰρ δένδρον καλόν, καρποὺς καλοὺς ποιεῖ».

Ἔφη ὁ ἀδελφός· τὸ κόψαι τὸ θέλημα τί ἐστιν; ἀπεκρίθη ὁ γέρων· ἀδελφέ· τὸ κόψαι τὸ θέλημα, προκοπή ἐστι κατὰ Θεόν· ἔστι δὲ τοῦτο, ἵνα ἐν μὲν τοῖς δοκοῦσι καλοῖς τὸ ἴδιον κόπτῃ τις θέλημα, τὸ δὲ τῶν Ἁγίων ποιῇ· ἐν δὲ τοῖς κακοῖς, καὶ ἀφ' ἑαυτοῦ φεύγῃ τὰ ἄτοπα.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

— Πρέπει, Γέροντα, νὰ κόπτωμεν τὸ θέλημά μας εἰς τὰ καλὰ ἢ καὶ τὰ μέτρια, ἢ εἰς ὅσα μόνον θεωροῦνται παράβασις τῆς ἐντολῆς τοῦ Θεοῦ; Ἐπίσης ἐὰν ἡ διαταγὴ εἶναι ἀνωτέρα ἀπὸ τὴν κατάστασίν μου, διὰ νὰ μὴ λυπηθῶ καὶ ταραχθῶ ἐκ τῶν ὑστέρων, πρέπει νὰ παραιτηθῶ ἀπὸ τὴν ἐκτέλεσιν;

Ὁ Γέρων ἀπήντησεν.

— Ἀδελφέ, αὐτὸς ποὺ θέλει νὰ εἶναι Μοναχὸς δὲν ἔχει τὸ δικαίωμα νὰ ἔχῃ θέλημα διὰ κανένα πρᾶγμα. Αὐτὸ μᾶς διδάσκει καὶ ὁ Κύριος, ὅταν λέγῃ· «ἦλθα εἰς τὸν κόσμον ὄχι διὰ νὰ κάμω τὸ θέλημά μου» (Ἰωάν. δ΄, 34). Διότι αὐτὸς ποὺ θέλει νὰ ἐκτελῇ τὸ ἕνα καὶ νὰ παραιτῆται ἀπὸ τὸ ἄλλο, ἢ παρουσιάζει τὸν ἑαυτόν του πλέον διακριτικὸν ἀπὸ ἐκεῖνον ποὺ τὸν διατάσσει, ἢ τὸν ἐμπαίζουν οἱ δαίμονες· καὶ τὰ δύο ὅμως εἶναι κακὰ καὶ ὀφείλονται εἰς τὴν ἐνέργειαν τοῦ δαίμονος. Ὥστε εἰς ὅλα ὀφείλεις νὰ ὑπακούῃς. Διότι ὁ Γέροντάς σου, ποὺ σὲ διατάσσει, αὐτὸς θὰ φέρῃ καὶ τὴν εὐθύνην ὡς ὑπεύθυνος διὰ τὴν σωτηρίαν σου. Ἐὰν δὲ σοῦ φαίνεται βαρὺ αὐτὸ ποὺ σὲ διατάσσει, παρακάλεσέ τον καὶ ἄφησε τὴν ὑπόθεσιν εἰς τὴν διάκρισίν του.

Ἐὰν πάλιν αὐτοὶ ποὺ σὲ διέταξαν εἶναι ἀδελφοί, καὶ βλέπῃς ἢ νομίζῃς πὼς τὸ πρᾶγμα εἶναι ἐπιβλαβὲς δι' ἐσὲ ἢ ἀνώτερον ἀπὸ τὴν δύναμίν σου, τότε πάλιν νὰ ἐρωτήσῃς τὸν Γέροντα καὶ κάνε αὐτὰ ποὺ θὰ σοῦ εἰπῇ. Διότι ἐὰν θελήσῃς νὰ διακρίνῃς ὄχι μόνον τὰ πράγματα, ἀλλὰ καὶ τοὺς ἀνθρώπους, τότε θὰ προξενῇς θλῖψιν εἰς τὸν ἑαυτόν σου. Ὅπου τὸ πρᾶγμα (διὰ τὸ ὁποῖον σὲ διατάσσουν) φαίνεται καλὸν ἐκεῖ νὰ ὑπακούσῃς εἰς τοὺς ἀδελφούς· ὅπου ὅμως διστάζει ὁ λογισμός σου, ἢ τὸ πρᾶγμα φαίνεται ἀνώτερον ἀπὸ τὴν δύναμίν σου, ἢ παρουσιάζει βλάβην, τότε νὰ ἐμπιστευθῇς εἰς τὸν Γέροντά σου καὶ κάνε αὐτό, ποὺ ἐκεῖνος θὰ διακρίνῃ ὡς καλόν. Διότι αὐτὸς γνωρίζει τί κάνει καὶ πῶς πρέπει νὰ φροντίσῃ διὰ τὴν ψυχήν σου· νὰ ἀναπαύεται λοιπὸν ἡ ψυχή σου καὶ νὰ ἔχῃς ἐμπιστοσύνην πὼς ὅ,τι καὶ νὰ σοῦ εἰπῇ εἶναι σύμφωνον μὲ τὸ θέλημα τοῦ Θεοῦ. Ὅ,τι δὲ εἶναι κατὰ Θεὸν ὠφέλιμον δὲν φέρει λύπην ἢ ταραχὴν ἐπειδὴ ἀπὸ τὸ ἀγαθὸν κανένα κακὸν δὲν προέρχεται· «διότι κάθε καλὸν δένδρον, παράγει καλοὺς καρποὺς» (Ματθ. ζ΄, 17).

Ἠρώτησεν ὁ ἀδελφὸς πάλιν·

— Τὸ νὰ κόψῃ τὸ θέλημά του κανεὶς τί εἶναι;

† — Ἀδελφέ, τὸ νὰ κόψῃς τὸ θέλημά σου εἶναι προκοπὴ κατὰ Θεόν· ἡ δὲ κοπὴ τοῦ θελήματος συνίσταται εἰς ὅσα μὲν θεωροῦνται καλὰ νὰ μὴ κάνῃ κανεὶς αὐτὸ ποὺ θέλει ὁ ἴδιος, ἀλλὰ νὰ κάνῃ αὐτὸ ποὺ λέγουν οἱ Ἅγιοι. Εἰς δὲ τὴν περίπτωσιν τῶν κακῶν καὶ ἐξ ἰδίας προαιρέσεως νὰ ἀποφεύγῃ τὰ ἄτοπα.



ΥΠΟΘΕΣΙΣ ΛΣΤ΄

Τί τὸ κρῖμα τῆς πρὸς τοὺς ἐν Κυρίῳ διδασκάλους ἀπειθείας καὶ τοῦ γογγυσμοῦ· καὶ ὅτι οὐ δεῖ τὸν χριστιανὸν ἀντιλέγειν ὅλως ἢ δικαιολογεῖσθαι, ἀλλ' ἐν πᾶσιν ἀνθίστασθαι τῷ ἰδίῳ θελήματι, καὶ ἀγαπᾶν τὸν ἔλεγχον καὶ μὴ μισεῖν

Ποία εἶναι ἡ ἁμαρτία τῆς ἀπειθείας καὶ τοῦ γογγυσμοῦ πρὸς τοὺς ἐν Κυρίῳ διδασκάλους· καὶ ὅτι ὁ χριστιανὸς δὲν πρέπει νὰ ἀντιλέγῃ καθόλου ἢ νὰ δικαιολογῆται, ἀλλ' εἰς ὅλας τὰς περιπτώσεις νὰ ἀντιστέκεται εἰς τὸ ἰδικόν του θέλημα καὶ νὰ ἀγαπᾷ τὸν ἔλεγχον καὶ νὰ μὴ τὸν ἀποφεύγῃ



Α΄. Ἀντιόχου τοῦ Παντέκτου



ΔΕΛΦΟΙ· οὐ δεῖ ἡμᾶς γογγύζειν ἐν οἱῳδήποτε πράγματι εὐλόγῳ, ἢ τῷ δοκεῖν ἀλόγῳ, ἀλλ' εὐπειθεῖς εἶναι κατὰ πάντα καὶ εὐχαρίστους, πρός τε Θεόν, καὶ τοὺς κατὰ Θεὸν ἡμῖν ἐπιτάττοντας· εἰ δὲ γογγύζομεν ἔν τινι, ὅμοιοι ἐσόμεθα τοῖς ἀλιτηρίοις καὶ ἀχαρίστοις Ἰουδαίοις, οἵτινες ἐγόγγυζον κατὰ τοῦ θεράποντος αὐτοῦ, καθὼς γέγραπται· «καὶ ἦν ὁ λαὸς γογγύζων ἐπὶ Μωϋσῆν· καὶ εἶπε Μωϋσῆς· οὐ καθ' ἡμῶν ἐστιν ὁ γογγυσμὸς ὑμῶν, ἀλλὰ κατὰ Θεοῦ»· οἳ καὶ διὰ τὸν γογγυσμὸν αὐτῶν ἐν τῇ ἐρήμῳ κατεστρώθησαν.

Καὶ οἱ ἔκγονοι δὲ αὐτῶν τὴν πατρικὴν ἀχαριστίαν καὶ ἀπείθειαν ἀκριβῶς ἀποσώζοντες, ποτὲ μὲν κατὰ τῶν μαθητῶν τοῦ Κυρίου ἐγόγγυζον λέγοντες· διὰ τί μετὰ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε; ποτὲ δὲ καὶ κατὰ τοῦ Σωτῆρος αὐτοῦ ἐγγόγυζον, ὅτι εἶπεν· «ἐγώ εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· πρὸς οὓς ἔφη ὁ Κύριος· οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν»· εὑρὼν δηλονότι τὸν τοιοῦτον εὐπειθῆ καὶ εὐγνώμονα καὶ οὐ γογγυστὴν καθ' ἡμᾶς. Καὶ οἱ πρῶτοι δὲ ἐργάται ἐγγόγυζον κατὰ τοῦ οἰκοδεσπότου διὰ τοὺς ἐσχάτους ἐργάτας τοὺς περὶ τὴν ἑνδεκάτην κληθέντας λέγοντες, ὅτι ἴσους αὐτοὺς ἡμῖν ἐποίησας, καὶ τὰ ἑξῆς· πρὸς οὓς ἀπεκρίθη· «ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησά σοι; ἆρον τὸ σὸν καὶ ὕπαγε»· ποῦ δὲ αὐτὸν ἀποστέλλει; δῆλον ὅτι ὅπου καὶ τοὺς τῆς ἀριστερᾶς μερίδος, εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ

τοῖς Ἀγγέλοις αὐτοῦ· τοῦτο γὰρ καὶ διὰ τοῦ ἐπαγομένου ἐμφαίνει, πονηροὺς αὐτοὺς ἐλέγξας καὶ φθονερούς, ἐν τῷ εἰπεῖν· «εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι».

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ, δὲν πρέπει νὰ γογγύζωμεν δι' ὁποιοδήποτε εὔλογον πρᾶγμα, ἢ ἀκόμη καὶ δι' ἐκεῖνο ποὺ μᾶς φαίνεται παράλογον, ἀλλὰ νὰ εἴμεθα εἰς ὅλα ὑπάκουοι καὶ εὐχάριστοι, καὶ πρὸς τὸν Θεὸν καὶ πρὸς ἐκείνους ποὺ μᾶς διατάσσουν, κατὰ Θεόν· ἐὰν δὲ σὲ κάτι γογγύζωμεν, τότε θὰ ὁμοιάσωμεν μὲ τοὺς ἁμαρτωλοὺς καὶ ἀχαρίστους Ἰουδαίους, ποὺ ἐγόγγυζον κατὰ τοῦ θεράποντος τοῦ Θεοῦ, καθὼς λέγει ἡ Ἁγία Γραφή· «καὶ ἐγόγγυζεν ὁ λαὸς ἐναντίον τοῦ Μωϋσέως· καὶ εἶπεν ὁ Μωϋσῆς· ὁ γογγυσμός σας δὲν στρέφεται ἐναντίον μου, ἀλλ' ἐναντίον τοῦ Θεοῦ» (Ἐξόδ. ιστ΄, 8)· ὅσοι δὲ ἐγόγγυζον, ἐξ αἰτίας τοῦ γογγυσμοῦ των, ἀπέθανον εἰς τὴν ἔρημον.

Καὶ οἱ ἀπόγονοί των διατηροῦντες τὴν πατρικὴν ἀχαριστίαν καὶ ἀνυπακοήν, ἄλλοτε μὲν ἐγόγγυζον κατὰ τῶν μαθητῶν τοῦ Κυρίου, λέγοντες· διατί τρώγετε καὶ πίνετε μαζὶ μὲ τοὺς ἁμαρτωλούς; ἄλλοτε δὲ ἐγόγγυζον κατὰ τοῦ ἰδίου τοῦ Σωτῆρος ἐπειδὴ τοὺς εἶπεν· «ἐγὼ εἶμαι ὁ ἄρτος, ποὺ κατέβηκα ἀπὸ τὸν οὐρανὸν» (Ἰωάν. στ΄, 50—51). Πρὸς αὐτοὺς εἶπεν ὁ Κύριος· «κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθῃ πρὸς ἐμὲ ἐὰν ὁ Ἐπουράνιος Πατήρ μου ὁ ὁποῖος μὲ ἀπέστειλε, δὲν ἑλκύσῃ αὐτὸν» (Ἰωάν. στ΄, 65)· ὅταν εὕρῃ αὐτόν, κατὰ τὴν γνώμην μου, ὑπάκουον καὶ εὐγνώμονα καὶ ὄχι γογγυστήν. Καὶ οἱ πρῶτοι ἐργάται (τῆς παραβολῆς) ἐγόγγυζον διὰ τοὺς τελευταίους ἐργάτας, ποὺ προσεκλήθησαν περὶ τὴν ἑνδεκάτην ὥραν, λέγοντες· διατί ἔκαμες αὐτοὺς ἴσους μὲ ἡμᾶς; καὶ τὰ λοιπὰ (Ματθ. κ΄, 1—15). Πρὸς αὐτοὺς πάλιν ὁ Κύριος ἀπήντησε· «φίλε μου, δὲν σὲ ἀδικῶ· δὲν συνεφώνησα μαζί σου ἕνα δηνάριον; Πάρε τὸ δηνάριόν σου καὶ πήγαινε». Ποῦ ὅμως τὸν ἀποστέλλει; Εἶναι φανερὸν ὅτι τὸν στέλλει ἐκεῖ ποὺ θὰ εὑρίσκωνται οἱ ἄνθρωποι τῆς ἀριστερᾶς μερίδος, εἰς τὸ πῦρ τὸ αἰώνιον, ποὺ ἔχει ἑτοιμασθῆ διὰ τὸν Διάβολον καὶ τοὺς ὑπηρέτας του. Αὐτὸ ἀποδεικνύεται καὶ ἀπὸ τὰ ἑπόμενα, ὅτι, δηλαδὴ τοὺς κατηγορεῖ ὡς πονηροὺς καὶ φθονερούς, «πράγματι τὸ μάτι σας εἶναι πονηρόν, ἐνῷ ἐγὼ εἶμαι ἀγαθὸς» (Ματθ. κ΄, 15).

Β'. Τοῦ Ἀββᾶ Μάρκου

Ο ΤΗι ΕΠΙΤΑΓΗι ἐπιμίσγων λάθρᾳ τὸ ἑαυτοῦ θέλημα, μοιχός ἐστι, καθὼς ἐν τῇ Σοφίᾳ δεδήλωται, καὶ δι' ἔνδειαν φρενῶν ὀδύνας καὶ ἀτιμίας ὑποφέρει· ὥς περ ὕδατος καὶ πυρὸς ἐναντία ἡ σύνοδος, οὕτως ἐναντιοῦνται ἀλλήλαις δικαιολογία καὶ ταπείνωσις. Ἐὰν θέλῃς σωθῆναι, ἀληθῆ λόγον ἀγάπησον, καὶ μηδέποτε ἔλεγχον ἀκρίτως ἀποστραφῇς. Λόγος ἀληθὴς μετέβαλε γεννήματα ἐχιδνῶν, καὶ ὑπέδειξεν αὐτοῖς φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς· ὁ δεχόμενος λόγους ἀληθείας, ὑποδέξεται τὸν Θεὸν Λόγον· φησὶ γὰρ ὁ Κύριος· «ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται».

Παραλυτικός ἐστι, χαλασθεὶς διὰ τοῦ δώματος, ἁμαρτωλὸς παρὰ πιστῶν ἐλεγχόμενος κατὰ Θεόν, καὶ διὰ τὴν ἐκείνων πίστιν λαμβάνων τὴν ἄφεσιν. Ὁ μισῶν ἔλεγχον, δῆλον ὅτι κατὰ πρόθεσιν ἔγκειται τῷ πάθει· ὁ δὲ ἀγαπῶν, κατὰ πρόληψιν περιφέρεται.

Ὥς περ οἱ ἐν θαλάσσῃ πλέοντες ἡδέως ὑπομένουσι τὸν ἡλιακὸν καύσωνα, οὕτως οἱ μισοῦντες τὴν κακίαν ἀγαπῶσιν ἔλεγχον· διότι ἐναντιοῦται ὁ μὲν τοῖς ἀνέμοις, ὁ δὲ τοῖς πάθεσιν. Ὁ γραφικαῖς ἐντολαῖς καὶ νουθεσίαις μὴ παιδευόμενος, τῇ μάστιγι τοῦ ἵππου καὶ τῷ κέντρῳ τοῦ ὄνου ἐλαθήσεται· εἰ δὲ ταῦτα ἀπώσεται, ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας ἀγχθήσεται.

Ἑρμηνεία

ΑΥΤΟΣ, ποὺ ἀνακατεύει κρυφὰ εἰς τὴν διαταγὴν ποὺ ἔλαβε, καὶ τὸ θέλημά του, εἶναι μοιχός, καθὼς φανερώνεται καὶ εἰς τὴν Σοφίαν Σολομῶντος (Σοφ. Σειρ. λβ΄, 17 καὶ Παροιμ. στ΄, 32—33) καὶ ἀπὸ ἔλλειψιν λογικῆς ὑποφέρει κόπους καὶ ταπεινώσεις. Ὅπως ἀκριβῶς εἶναι ἀδύνατος ἡ ἕνωσις τοῦ νεροῦ μὲ τὴν φωτιάν, ἔτσι εἶναι ἀντίθετοι μεταξύ των, ἡ δικαιολογία καὶ ἡ ταπείνωσις. Ἐὰν θέλῃς νὰ σωθῇς, νὰ ἀγαπήσῃς τὸν εἰλικρινῆ λόγον, καὶ ποτέ σου ἀπερισκέπτως νὰ μὴ περιφρονήσῃς τὸν ἔλεγχον. Ἀληθινὸς λόγος μετέβαλε τὰ γεννήματα τῶν ἐχιδνῶν καὶ τοὺς ὑπέδειξε νὰ φύγουν ἀπὸ τὴν μέλλουσαν ὀργήν· ἐκεῖνος ποὺ δέχεται εὐχαρίστως ἀληθινοὺς λόγους, θὰ ὑποδεχθῇ καὶ τὸν ἴδιον τὸν Θεὸν Λόγον· διότι ὁ Κύριος εἶπεν· «αὐτὸς ποὺ δέχεται σᾶς, δέχεται ἐμένα» (Ματθ. ι΄, 40).

Ὁ ἁμαρτωλὸς ποὺ ἐλέγχεται, κατὰ Θεόν, ἀπὸ πιστούς, εἶναι ὁ Παραλυτικὸς ποὺ κατεβιβάσθη ἀπὸ τὴν στέγην καὶ λαμβάνει τὴν ἄφεσιν, χάριν εἰς τὴν πίστιν ἐκείνων. Ἐκεῖνος, ποὺ μισεῖ τοὺς ἐλέγχους, φανερώνει ὅτι θεληματικὰ παραμένει εἰς τὸ πάθος· ὅποιος ὅμως ἀγαπᾷ τοὺς ἐλέγχους συμπεριφέρεται λογικά.

Ὅπως ἀκριβῶς αὐτοί, ποὺ πλέουν εἰς τὴν θάλασσαν ὑπομένουν εὐχαρίστως τὸν καύσωνα τοῦ ἡλίου ,ἔτσι καὶ αὐτοί, ποὺ μισοῦν τὴν κακίαν, ἀγαποῦν τὸν ἔλεγχον· διότι ὁ μὲν ἥλιος ἐναντιώνεται πρὸς τοὺς ἀνέμους, ὁ δὲ ἔλεγχος πρὸς τὰ πάθη. Ἐκεῖνος, ποὺ δὲν θέλει νὰ παιδαγωγῆται ἀπὸ ἐντολὰς καὶ νουθεσίας τῆς Ἁγίας Γραφῆς, θὰ ἀναγκασθῇ μὲ τὸ μαστίγιον τοῦ ἵππου καὶ μὲ τὸ κέντημα τῆς βουκέντρας νὰ βαδίζῃ· ἂν καὶ μὲ αὐτὰ δὲν σωφρονισθῇ τότε θὰ ὁδηγηθῇ μὲ φίμωτρον καὶ χαλινάρι, ποὺ θὰ φορέσουν εἰς τὰς σιαγόνας του (Ψαλμ. λα΄, 9).


Γ'. Τοῦ Ἁγίου Μαξίμου


ΩΣ ΠΕΡ ἴδιον παρακοῆς ἐστιν ἔργον ἡ ἁμαρτία, οὕτως ἴδιον ὑπακοῆς ἐστιν ἔργον ἡ ἀρετή· καὶ ὥς περ τῇ μὲν παρακοῇ παράβασις ἐντολῶν καὶ τοῦ ἐντειλαμένου διαίρεσις, οὕτω τῇ ὑπακοῇ ἐφέπεται συντήρησις ἐντολῶν, καὶ ἡ πρὸς τὸν ἐντειλάμενον ἕνωσις διὰ τῆς ἀγάπης ἐτήρησεν ἀδιαίρετον· ὁ δὲ παραβὰς διὰ παρακοῆς ἐντολήν,

καὶ τὴν ἁμαρτίαν εἰργάσατο, καὶ τῆς κατὰ ἀγάπην ἑαυτὸν πρὸς τὸν ἐντειλάμενον διεῖλεν ἑνώσεως.

Ἑρμηνεία

ΟΠΩΣ ἀκριβῶς ἔργον τῆς παρακοῆς εἶναι ἡ ἁμαρτία, ἔτσι καὶ ἡ ἀρετὴ εἶναι ἔργον τῆς ὑπακοῆς· καὶ ὅπως ἀκριβῶς τὴν παρακοὴν ἀκολουθεῖ ἡ παράβασις τῶν ἐντολῶν καὶ ὁ χωρισμὸς ἀπὸ τὸν Ἐντολοδότην, ἔτσι καὶ τὴν ὑπακοὴν ἀκολουθεῖ ἡ ἐφαρμογὴ τῶν ἐντολῶν καὶ ἡ διὰ τῆς ἀγάπης ἀδιάσπαστος ἕνωσις πρὸς τὸν Ἐντολοδότην. Ἐκεῖνος, ποὺ μὲ τὴν παρακοήν του παρέβη ἐντολὴν καὶ τὴν ἁμαρτίαν διέπραξε καὶ τὸν ἑαυτόν του ἐχώρισεν ἀπὸ τὴν διὰ τῆς ἀγάπης ἕνωσιν πρὸς τὸν Ἐντολοδότην.






ΥΠΟΘΕΣΙΣ ΛΖ΄

Ὅτι οὐ δεῖ τὸν διδάσκαλον κατακρίνειν, κἂν τινα ἐναντία ἴσως ὧν διδάσκει ποιῇ· καὶ γὰρ πολλοὶ μαθηταὶ ἀμελέσι διδασκάλοις ἐμπιστευθέντες, καὶ μὴ κατακρίνοντες αὐτούς, ἀλλ' ἐν Κυρίῳ ὑποτασσόμενοι, αὐτοὶ μὲν ἐσώθησαν, πολλάκις δὲ καὶ τοῖς διδασκάλοις σωτηρίας γεγόνασιν αἴτιοι.

Δὲν πρέπει νὰ κατακρίνωμεν τὸν διδάσκαλον, ἔστω καὶ ἐὰν κάνῃ μερικὰ πράγματα, ἀντίθετα τῶν ὅσων διδάσκει· διότι πολλοὶ μαθηταὶ ἐμπιστευθέντες τοὺς ἑαυτούς των εἰς ἀμελεῖς διδασκάλους, ἐπειδὴ δὲν τοὺς κατέκριναν, ἀλλὰ παρέμειναν εἰς αὐτοὺς ὑποτασσόμενοι ἐν Κυρίῳ, αὐτοὶ μὲν ἐσώθησαν, ἀλλὰ καὶ πολλάκις ἔγιναν αἴτιοι νὰ σωθοῦν καὶ οἱ διδάσκαλοι.

Α΄. Ἐν τῷ Γεροντικῷ



ΗΝ ΤΙΣ ἀναχωρητὴς πάνυ διακριτικός· καὶ ἤθελε μένειν εἰς τὰ κελλία, καὶ οὐχ εὕρισκε πρὸς τὸ παρὸν κελλίον· ἕτερος δὲ γέρων, μαθὼν περὶ τοῦ ἀναχωρητοῦ, καὶ ἔχων ἐκεῖ κελλίον παρὰ μέρος κενόν, παρεκάλεσεν αὐτὸν καθίσαι εἰς τὸ κελλίον ἐκεῖνο, ἕως οὗ εὑρεθῇ ἕτερον· ὁ δὲ ἀπελθὼν ἐκάθισεν ἐν αὐτῷ. Τινὲς δὲ τῶν κατὰ τόπον ἤρχοντο πρὸς αὐτὸν ὡς πρὸς ξένον, φέροντες ὃ ἠδύνατο ἕκαστος, καὶ αὐτὸς δεχόμενος ἐφιλοξένει αὐτούς. Ὁ δὲ γέρων, ὁ δοὺς αὐτῷ τὸ κελλίον, ἤρξατο φθονεῖν καὶ κακολογεῖν αὐτὸν καὶ λέγειν· ἐγὼ πόσα ἔτη ἔχω ὧδε ἐν ἀσκήσει πολλῇ, καὶ οὐδεὶς ἔρχεται πρός με· καὶ οὗτος ὁ ἐπιθέτης ὀλίγας ἡμέρας ἔχει, καὶ πόσοι ἔρχονται πρὸς αὐτόν; καὶ λέγει τῷ μαθητῇ αὐτοῦ· ὕπαγε καὶ εἰπὲ αὐτῷ· ἀναχώρησον ἔνθεν ὅτι χρείαν ἔχω τοῦ κελλίου.

Ὁ δὲ μαθητὴς ἐλθὼν πρὸς αὐτὸν εἶπε· λέγει ὁ Ἀββᾶς μου πῶς ἔχεις; ὁ δὲ ἔφη· εὐχέσθω ὑπὲρ ἐμοῦ ὅτι βεβάρηται ὁ στόμαχός μου· καὶ ὑποστρέψας πρὸς τὸν ἀποστείλαντα λέγει· ὁ γέρων εἶπεν, ὅτι ἰδοὺ βλέπω κελλίον ἕτερον καὶ ὑπάγω. Καὶ μετὰ δύο ἡμέρας λέγει πάλιν τῷ μαθητῇ· ὕπαγε, εἰπὲ αὐτῷ, ὅτι, ἐὰν μὴ ἀναχωρήσῃς, ἐγὼ ἔρχομαι καὶ μετὰ ῥάβδου σε ἐκβάλλω. Ὁ δὲ ἀδελφὸς ἀπελθὼν πάλιν εἶπε τῷ ἀναχωρητῇ· ἤκουσεν ὁ Ἀββᾶς μου ὅτι ἀσθενεῖς, καὶ πάλιν λυπεῖται καὶ ἀπέστει-

λέ με ἐπισκέψασθαί σε· ἀπεκρίθη αὐτῷ ἐκεῖνος· εἰπὲ αὐτῷ, ὅτι διὰ τῶν εὐχῶν σου καλῶς ἔσχον. Ἔρχεται οὖν πρὸς τὸν γέροντα αὐτοῦ καὶ λέγει· εἶπεν ὅτι ἕως τῆς Κυριακῆς ἐκβαίνω θελήματι Θεοῦ.

Ὡς οὖν ἦλθεν ἡ Κυριακὴ καὶ οὐκ ἐξῆλθε τῆς κέλλης ὁ ἀναχωρητής, λαβὼν ῥάβδον ὁ γέρων ἀπῆλθε δεῖραι αὐτὸν καὶ διῶξαι. Ἀπερχομένῳ δέ, εἶπεν ὁ μαθητὴς αὐτοῦ· προλαμβάνω ἐγώ, μήπως εὑρεθῶσιν ἐκεῖ τινες καὶ σκανδαλισθῶσιν· ὁ δὲ ἐπέτρεψε· καὶ προλαβὼν ὁ ἀδελφός, λέγει τῷ ἀναχωρητῇ· ὁ Ἀββᾶς μου ἔρχεται παρακαλέσαι σε καὶ λαβεῖν εἰς τὸ κελλίον. Ἐκεῖνος δὲ ὡς ἤκουσε τὴν ἀγάπην τοῦ γέροντος, ἐξῆλθεν εἰς ὑπάντησιν αὐτοῦ, καὶ βάλλει αὐτῷ μετάνοιαν ἀπὸ μακρόθεν λέγων· ἐγὼ ἔρχομαι πρὸς τὴν ἁγιωσύνην σου, καὶ μὴ σκύλλου, Πάτερ.

Ἰδὼν δὲ ὁ Θεὸς τὴν ἐργασίαν τοῦ νεωτέρου, κατένυξε τὸν Ἀββᾶν αὐτοῦ, καὶ ῥίψας τὴν ῥάβδον ἔτρεχεν εἰς τὸν ἀσπασμὸν αὐτοῦ· καὶ ἠσπάσατο αὐτὸν καὶ ἀπήγαγεν εἰς τὸ κελλίον, ὡς μηδὲν ἀκούσαντα, ὧν αὐτὸς εἶπεν· ἔφη δὲ πρὸς τὸν μαθητήν· οὐδὲν αὐτῷ εἶπας ὧν εἰπόν σοι; ὁ δὲ ἀπεκρίθη· οὐχί· καὶ τοῦτο ἀκούσας ὁ γέρων πάνυ ἐχάρη· καὶ ἔγνω ὅτι τοῦ ἐχθροῦ ἦν ὁ φθόνος, καὶ τότε μὲν ἀνέπαυσε τὸν γέροντα· μετὰ δὲ τοῦτο, προσπίπτει τῷ μαθητῇ αὐτοῦ λέγων· σύ μου Πατήρ, κἀγὼ σοῦ μαθητής· ὅτι διὰ τῆς ἐργασίας σου αἱ ψυχαὶ τῶν δύο ἐσώθησαν.

2. Διηγήσατό τις τῶν γερόντων, ὅτι ἦν τις γέρων μεθυστής· καὶ εἰργάζετο ψιάθιον καθ' ἡμέραν, καὶ ἐπώλει αὐτὸ εἰς τὴν κώμην καὶ ἔπινε τὴν τιμὴν αὐτοῦ. Ὕστερον δὲ ἦλθέ τις πρὸς αὐτὸν ἀδελφός, καὶ ἔμεινε μετ' αὐτοῦ· εἰργάζετο δὲ καὶ αὐτὸς καθ' ἑκάστην ψιάθιον, καὶ ἐλάμβανε καὶ αὐτὸ ὁ γέρων, καὶ ἐπώλει καὶ ἔπινε τὴν τιμὴν τῶν δύο, τῷ δὲ ἀδελφῷ ἔφερε μικρὸν ἄρτον κατοψέ· καὶ ἐπὶ τρία ἔτη τοῦτο ποιοῦντος αὐτοῦ, οὐδὲν ἐλάλησεν αὐτῷ ὁ ἀδελφός. Μετὰ δὲ τοῦτο λέγει ἐν ἑαυτῷ· ἰδοὺ γυμνός εἰμι, καὶ τὸν ἄρτον μου μετὰ ἐνδείας ἐσθίω· ἀναστὰς οὖν πορευθῶ ἐντεῦθεν· πάλιν δὲ ἐλογίσατο ἐν ἑαυτῷ λέγων· ποῦ ἔχω ἀπελθεῖν; καθέζομαι πάλιν· ἐγὼ γὰρ τῷ Θεῷ καθέζομαι κοινόβιον· καὶ εὐθὺς ἐφάνη αὐτῷ Ἄγγελος λέγων· μηδαμοῦ ἀναχωρήσῃς· ἔρχομαι γὰρ αὔριον ἐπὶ σέ.

Τῇ οὖν ἐπαύριον, παρεκάλεσεν ὁ ἀδελφὸς τὸν γέροντα λέγων· Πάτερ, μηδαμοῦ σήμερον ἀπέλθῃς· ἔρχονται γὰρ νῦν οἱ ἐμοὶ λαβεῖν με. Ὡς οὖν ἦλθεν ἡ ὥρα καθ' ἣν ἀπήρχετο ὁ γέρων, εἶπεν αὐτῷ· οὐκ ἔρχονται σήμερον, τέκνον, ἐχρόνισαν γάρ· ὁ δὲ ἔφη· ναί, Ἀββᾶ, πάντως ἔρχονται· καὶ λαλῶν μετὰ τοῦ γέροντος ἐκοιμήθη. Ἰδὼν δὲ ὁ γέρων, ἤρξατο κλαίειν λέγων· οἴμοι, τέκνον, ὅτι ἐν πολλοῖς ἔτεσίν εἰμι ζῶν ἐν ἀμελείᾳ· σὺ δὲ ἐν ὀλίγῳ χρόνῳ τὴν ψυχήν σου ἔσωσας ἐν ὑπομονῇ· καὶ ἀπὸ τότε καὶ αὐτὸς ἐσωφρόνησε καὶ δόκιμος γέγονεν.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ ἔζη ἕνας ἀναχωρητὴς πάρα πολὺ διακριτικός· αὐτὸς ἤθελε νὰ μένῃ εἰς τὰ κελλία, ἀλλὰ πρὸς τὸ παρὸν δὲν εὕρισκε κελλίον. Ἕνας ἄλλος Γέρων, ὅταν ἔμαθε διὰ τὸν ἀναχωρητήν, καὶ ἐπειδὴ εἶχεν ἕνα παράμερον κελλὶ ἄδειο, τὸν παρεκάλεσε νὰ καθίσῃ εἰς ἐκεῖνο τὸ κελλί, μέχρις ὅτου εὕρῃ ἄλλο καλύτερον· πράγματι ὁ ἀναχωρητὴς ἐπῆγε καὶ ἐκάθισεν ἐκεῖ.

Μερικοὶ ὅμως ἀπὸ τοὺς κατοικοῦντας εἰς ἐκεῖνον τὸν τόπον ἤρχοντο

πρὸς τὸν ἀναχωρητήν, ὡς νὰ ἤρχοντο πρὸς ξένον, καὶ ὁ καθεὶς ἐξ αὐτῶν τοῦ ἔφερεν ὅ,τι ἠμποροῦσε· καὶ αὐτὸς τοὺς ἐδέχετο καὶ τοὺς ἐφιλοξένει.

Ὁ Γέρων, ποὺ τοῦ προσέφερε τὸ κελλί, ἤρχισε νὰ τὸν φθονῇ, νὰ τὸν κακολογῇ καὶ νὰ λέγῃ· ἐγώ, ἂν καὶ ἔχω τόσα χρόνια ἐδῶ εἰς αὐστηρὰν ἄσκησιν, ἐν τούτοις οὐδεὶς ἔρχεται πρὸς ἐμέ· καὶ αὐτὸς ὁ ἀπατεὼν ὀλίγας ἡμέρας ἔχει καὶ κοίταξε πόσοι τὸν ἐπισκέπτονται. Ἀμέσως δὲ λέγει πρὸς τὸν μαθητήν του·

— Πήγαινε καὶ εἰπέ του νὰ φύγῃ γρήγορα, διότι τὸ χρειάζομαι τὸ κελλί.

Πράγματι ὁ ὑποτακτικὸς ἐπῆγεν εἰς τὸν ἀναχωρητὴν καὶ τοῦ λέγει:

— Ὁ Γέροντάς μου ἐρωτᾷ πῶς εἶσαι;

— Νὰ εὔχεται δι' ἐμέ, διότι ἔχει βαρύνει τὸ στομάχι μου.

Ὅταν ἐπέστρεψεν εἰς τὸ κελλί του, λέγει πρὸς τὸν Γέροντα, ποὺ τὸν ἔστειλε.

— Μοῦ εἶπεν ὁ Γέρων, ὅτι ἀναζητεῖ ἄλλο κελλίον καὶ φεύγει.

Μετὰ δύο ἡμέρας λέγει πάλιν ὁ Γέρων πρὸς τὸν ὑποτακτικόν του·

— Πήγαινε καὶ εἰπέ του, ὅτι ἐὰν δὲν ἀναχωρήσῃ ἀπὸ τὸ κελλί, ἐγὼ θὰ ἔρθω νὰ τὸν διώξω μὲ τὸ ξύλο.

Ὁ ὑποτακτικὸς ἦλθεν εἰς τὸν ἀναχωρητὴν καὶ τοῦ εἶπε·

— Ἤκουσεν ὁ Γέροντάς μου, ὅτι εἶσαι ἄρρωστος καὶ λυπεῖται καὶ μὲ ἔστειλε νὰ σὲ ἐπισκεφθῶ.

Καὶ ὁ ἀναχωρητὴς τοῦ ἀπήντησεν:

— Εἰπέ του, ὅτι μὲ τὰς εὐχάς του ἔγινα καλά.

Ὅταν ἐπέστρεψεν ὁ ὑποτακτικός, λέγει εἰς τὸν Γέροντά του·

— Μοῦ εἶπεν, ὅτι μέχρι τὴν Κυριακὴν φεύγω μὲ τὸ θέλημα τοῦ Θεοῦ.

Ὅταν λοιπὸν ἔφθασεν ἡ Κυριακὴ καὶ δὲν ἔφυγεν ὁ ἀναχωρητὴς ἀπὸ τὸ κελλί, ἐπῆρεν ὁ Γέρων μίαν ράβδον καὶ ἐπῆγε διὰ νὰ τὸν δείρῃ καὶ νὰ τὸν διώξῃ.

Ἐνῷ ὅμως ἐπήγαινε, τοῦ λέγει ὁ ὑποτακτικός·

— Πηγαίνω, Γέροντα, ἐγὼ γρηγορώτερα, μὴ τυχὸν εὑρίσκονται τίποτε ἄνθρωποι ἐκεῖ καὶ σκανδαλισθοῦν.

Ὁ Γέρων τοῦ τὸ ἐπέτρεψε. Προτρέξας τότε ὁ ὑποτακικὸς λέγει εἰς τὸν ἀναχωρητήν.

— Ἔρχεται ὁ Γέροντάς μου νὰ σὲ παρακαλέσῃ καὶ νὰ σὲ πάρῃ εἰς τὸ κελλί του.

Ὁ ἀναχωρητὴς μόλις ἤκουσε διὰ τὴν τόσην ἀγάπην τοῦ Γέροντος ἐβγῆκεν ἀπὸ τὸ κελλὶ νὰ τὸν προϋπαντήσῃ, καὶ μόλις τὸν εἶδε, τοῦ ἔβαλε μετάνοιαν ἀπὸ μακρυὰ καὶ τοῦ λέγει:

— Μὴ κουράζεσαι, Πάτερ· ἐγὼ ἔρχομαι πρὸς τὴν ἁγιωσύνην σου.

Βλέπων ὁ Θεὸς τὴν καλοπροαίρετον ἐργασίαν τοῦ ὑποτακτικοῦ, συνεκίνησε τὴν καρδίαν τοῦ Γέροντος καὶ ἀφοῦ ἐπέταξε τὴν ράβδον, ἔτρεξε νὰ τὸν ἀσπασθῇ. Πράγματι τὸν ἠσπάσθη καὶ τὸν ἐπῆρε μαζί του

εἰς τὸ κελλίον, ὡς νὰ μὴ εἶχεν ἀκούσει ὁ ἀναχωρητὴς τίποτε ἀπὸ ὅσα εἶπεν ἐναντίον του ὁ Γέρων. Ὅταν ἔφθασαν εἰς τὸ κελλίον ἠρώτησε τὸν ὑποτακτικόν του.

— Τίποτε δὲν τοῦ εἶπες, ἀπὸ ὅσα σοῦ εἶπα;

— Ὄχι, ἀπήντησεν ὁ ὑποτακτικός.

Ὅταν ἐπληροφορήθη αὐτό, ἐχάρη ὁ Γέρων καὶ ἀντελήφθη ὅτι ὁ φθόνος του ὠφείλετο εἰς τὸν διάβολον· καὶ τὸν μὲν ἀναχωρητὴν τὸν ἀνέπαυσε καὶ τὸν ἐπεριποιήθη, ἐν συνεχείᾳ δὲ πίπτει πρὸ τῶν ποδῶν τοῦ ὑποτακτικοῦ του καὶ τοῦ λέγει.

— Σὺ πλέον πρέπει νὰ εἶσαι Γέροντας καὶ ἐγὼ ὑποτακτικός σου, διότι μὲ τὴν ἐργασίαν σου ἐσώθησαν καὶ τῶν δύο μας αἱ ψυχαί.

2. Ἕνας ἀπὸ τοὺς Γέροντας διηγήθη, ὅτι ἔζη κάποτε ἕνας καλόγηρος μέθυσος· ὅλην τὴν ἡμέραν ἔπλεκε τὴν ψάθαν εἰς τὸ κελλί του καὶ τὸ βράδυ ἐπώλει τὸ ἐργόχειρόν του εἰς τὸ χωρίον καὶ ὅσα εἰσέπραττε τὰ ἔπινε κρασί. Μετὰ καιρὸν ἦλθε κοντά του, ὡς ὑποτακτικός, ἕνας ἀδελφὸς καὶ παρέμεινε μαζί του· ἔπλεκε δὲ καὶ αὐτὸς ὅλην τὴν ἡμέραν ψάθαν καὶ τὴν ἐπώλει καὶ αὐτὴν ὁ καλόγηρος καὶ ὅσα εἰσέπραττε καὶ ἀπὸ τὰ δύο ἐργόχειρα τὰ ἔπινε κρασί· εἰς τὸν ὑποτακτικόν του ἔφερε μόνον ὀλίγον ἄρτον ἀργὰ τὸ βράδυ. Ἐπὶ τρία ἔτη συνέβαινε αὐτό, χωρὶς ὁ ὑποτακτικὸς νὰ τοῦ ἀντιμιλήσῃ καθόλου ἢ νὰ διαμαρτυρηθῇ.

Μίαν ἡμέραν λέγει μέσα του ὁ ὑποτακτικός· εἶμαι γυμνὸς καὶ τρώγω τὸ ψωμί μου μὲ μεγάλην στέρησιν· θὰ σηκωθῶ λοιπὸν νὰ φύγω ἀπ' ἐδῶ· ἀλλὰ καὶ πάλιν ἐσκέφθη· ποῦ ἠμπορῶ νὰ ὑπάγω; ἂς μείνω ἐδῶ, διότι ἐγὼ χάριν τοῦ Θεοῦ κοινοβιάζω. Μόλις ἐσκέφθη αὐτὰ ἐμφανίζεται ἐνώπιόν του Ἄγγελος Κυρίου καὶ τοῦ λέγει:

— Πουθενὰ νὰ μὴ ἀναχωρήσῃς, διότι αὔριον θὰ σὲ ἐπισκεφθῶ.

Τὴν ἐπομένην λοιπὸν εἶπεν ὁ ὑποτακτικὸς εἰς τὸν Γέροντα·

— Πάτερ, σὲ παρακαλῶ, νὰ μὴ φύγῃς πουθενὰ σήμερα, διότι ἔρχονται τώρα οἱ ἰδικοί μου νὰ μὲ πάρουν.

Ὅταν ὅμως ἦλθεν ἡ ὥρα, ποὺ ἐσυνήθιζεν ὁ καλόγηρος νὰ φεύγῃ διὰ τὸ χωρίον, λέγει εἰς τὸν ὑποτακτικόν·

— Τέκνον, ὅπως φαίνεται, δὲν θὰ ἔλθουν σήμερον, διότι ἄργησαν.

— Ναί, Γέροντά μου, ὁπωσδήποτε ἔρχονται· ἐνῷ δὲ συνωμίλει μὲ τὸν Ἀββᾶν, ἐκοιμήθη ἐν Κυρίῳ.

Μόλις εἶδεν αὐτὸ τὸ πρᾶγμα ὁ γέρων ἤρχισε νὰ κλαίῃ καὶ νὰ λέγῃ:

— Ἀλλοίμονον, τέκνον μου, ὅτι πολλὰ χρόνια εἶναι ποὺ ζῶ εἰς τὴν ἀμέλειαν· ἐνῷ σὺ μέσα εἰς ὀλίγον διάστημα ἔσωσες τὴν ψυχήν σου, διὰ τῆς ὑπομονῆς. Καὶ ἀπὸ τότε ἐσωφρονίσθη καὶ αὐτὸς καὶ ἔγινε δόκιμος.

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΟΙ, χρὴ τοὺς μαθητευομένους μὴ ἀνηκόους εἶναι ἢ ἀντιλέγοντας ὅλως τοῖς ἐν Κυρίῳ διδασκάλοις, ἀλλὰ πᾶσαν ταπεινοφροσύνην ἐνδείκνυσθαι ἐνώ-

πιον Θεοῦ καὶ ἀνθρώπων. Εἰ δὲ συμβῇ τὸν παιδεύοντα λόγῳ μὲν τὴν ἀρετὴν κηρύττειν, τῆς δὲ κατ' αὐτὴν ἐργασίας παραμελεῖν, μὴ ἐκ ταύτης τῆς ὑποθέσεως δῶμεν χώραν τῷ σατανᾷ, ἐπὶ διαστροφῇ τῆς ἡμετέρας ψυχῆς, ἀλλὰ μνημονεύσωμεν τοῦ εἰπόντος· «ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ Γραμματεῖς καὶ Φαρισαῖοι· πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν ποιεῖν, ποιεῖτε, κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γὰρ καὶ οὐ ποιοῦσι».

Παραγγέλλει δὲ καὶ ὁ Ἀπόστολος Πέτρος λέγων· «μὴ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν ὑποτάσσεσθαι, ἀλλὰ καὶ τοῖς σκολιοῖς· τοῦτο γὰρ χάρις παρὰ Θεῷ, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας πάσχων ἀδίκως· ποῖον γὰρ κλέος εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομένετε; ἀλλ' εἰ ἀγαθοποιοῦντες ὑπομενεῖτε, τοῦτο γὰρ χάρις παρὰ Θεῷ· εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἀπέθανεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως». Ἔχετε, ἀδελφοί, ὑπόδειγμα τῆς ταπεινοφροσύνης καὶ τὸν Προφήτην Σαμουήλ· οὐ γὰρ ὑψώθη τῇ καρδίᾳ κατὰ Ἠλεὶ τοῦ ἱερέως, καί περ τοιαῦτα ἀκούσας ἐκ τοῦ Θεοῦ περὶ τοῦ ἀνδρός, ἀλλ' ἐταπεινοῦτο ὑπὸ τὰς χεῖρας αὐτοῦ.

Γενώμεθα οὖν, ἀγαπητοί, τῆς σωτηρίας ἑαυτῶν, ἕτοιμοι ὄντες εἰς μετάνοιαν παντὶ λόγῳ, ᾧ ἐὰν ἀκούσωμεν, μάλιστα παρὰ τοῦ προεστῶτος ἐν Κυρίῳ. Ὥς περ γὰρ ὕδωρ σβέννυσι πῦρ, οὕτω μετάνοια καθαρὰ σβέννυσι θυμὸν καὶ ὀργὴν ἀποστρέφει· καὶ πειθέτω σε ὁ ἐπὶ τοῦ Ἠλιοὺ πεντηκόνταρχος, ὃς διὰ τῆς ταπεινοφροσύνης ἐξευμενισάμενος τὸν Προφήτην, διεσώθη ἀπὸ τῆς ὀργῆς αὐτὸς καὶ οἱ μετ' αὐτοῦ.

Ἔχετε οὖν, ἀγαπητοί, ὑπακοὴν κατὰ πάντα ἐν Κυρίῳ πρὸς τὸν προεστῶτα, καὶ φυλάττετε τοὺς λόγους αὐτοῦ ἕως τέλους, καὶ μὴ παρίδητε ποτὲ ῥῆσιν στόματος αὐτοῦ, καὶ ἔσται μεθ' ὑμῶν ὁ εἰπών· «ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν». Ἀγαπητοί· ἐὰν καὶ οἱ ἡγούμενοι ἡμῶν σκολιάζωσι πρὸς ἡμᾶς, ὅπερ ἀπείη, ἀλλ' ἡμεῖς ἐν ἀγαθῇ συνειδήσει δουλεύσωμεν αὐτοῖς, ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις δουλεύοντες, εἰδότες ὅτι ἀπὸ Κυρίου ληψόμεθα τὸν μισθόν.

Ἑρμηνεία

ΠΡΕΠΕΙ, ἀδελφοί, οἱ ἀσκούμενοι εἰς τὸν μοναχικὸν βίον, νὰ μὴ εἶναι ἀνυπάκουοι καὶ νὰ μὴ ἀντιλέγουν καθόλου εἰς τοὺς ἐν Κυρίῳ διδασκάλους των, ἀλλὰ νὰ συμπεριφέρωνται μὲ μεγάλην ταπεινοφροσύνην ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων. Ἐὰν δὲ συμβῇ ὁ Γέρων νὰ κηρύσσῃ μὲ λόγια μόνον τὴν ἀρετήν, νὰ παραμελῇ ὅμως τὴν ἐργασίαν της, ἂς μὴ δώσωμεν τὴν εὐκαιρίαν εἰς τὸν διάβολον, ἀπὸ τὴν ὑπόθεσιν αὐτήν, νὰ διαστρέψῃ τὴν ψυχήν μας, ἀλλὰ νὰ ἐνθυμούμεθα τὸν Κύριον, ποὺ εἶπεν· «Ἐπάνω εἰς τὸν θρόνον τοῦ Μωϋσέως ἐκάθησαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι· ὅλα λοιπὸν ὅσα λέγουν εἰς σᾶς νὰ ἐκτελῆτε· νὰ μὴ κάμετε ὅμως κατὰ τὰ ἔργα των, διότι λέγουν μὲν τὸ ὀρθόν, ἀλλὰ δὲν τὸ ἐκτελοῦν» (Ματθ. κγ΄, 1—4).

Ἀλλὰ καὶ ὁ Ἀπόστολος Πέτρος μᾶς παραγγέλλει· «νὰ ὑποτάσσε-

σθε ὄχι μόνον εἰς τοὺς καλοὺς καὶ συγκαταβατικούς ἀλλὰ καὶ εἰς τοὺς δυστρόπους· διότι αὐτὸ εἶναι χάρις ἐνώπιον τοῦ Θεοῦ, ὅτι ἐὰν κανεὶς διὰ νὰ ὑποτάσσεται εἰς τὸ θέλημα τοῦ Θεοῦ, ὑποφέρῃ λύπας, πάσχων ἀδίκως· ποία δηλαδὴ θὰ εἶναι ἡ δόξα σας, ἐὰν ἔχητε ὑπομονὴν ὅταν σᾶς δέρουν, ἀφοῦ ἔχετε διαπράξει σφάλματα; 'Αλλ' ἐὰν θὰ ὑπομείνητε, ἐφ' ὅσον κάνετε τὸ καλὸν καὶ τὸ χρέος σας, αὐτὸ θεωρεῖται χάρις ἐνώπιον τοῦ Θεοῦ· διότι εἰς αὐτὸ ἀκριβῶς ἐκλήθητε, ἐπειδὴ καὶ ὁ Χριστὸς ἀπέθανε δι' ἡμᾶς, ἀφήνων εἰς ἡμᾶς τὴν ζωήν του ὡς ὑπόδειγμα, διὰ νὰ βαδίσωμεν ἀκριβῶς ἐπάνω εἰς τὰ ἴχνη του· ὁ 'Οποῖος ἁμαρτίαν δὲν διέπραξεν οὔτε καὶ εἰς τὸ στόμα Του εὑρέθη δόλος, καὶ ὁ 'Οποῖος χλευαζόμενος δὲν ἀνταπέδιδε τὸν χλευασμόν, πάσχων δὲν ἀπειλοῦσε τοὺς βασανιστάς, ἐνεπιστεύετο δὲ εἰς τὸν Θεόν, ποὺ κρίνει μὲ δικαιοσύνην» (Α' Πετρ. β', 18—23). Ἔχετε, ἀδελφοί, ὡς παράδειγμα ταπεινοφροσύνης καὶ τὸν Προφήτην Σαμουήλ· διότι δὲν ὑπερηφανεύθη κατὰ τοῦ ἱερέως 'Ηλεί, ἂν καὶ ἤκουσε τόσα ἀπὸ τὸν Θεὸν δι' αὐτόν, ἀλλὰ παρέμεινε ταπεινὸς ὑπὸ τὴν ἐξουσίαν του (Α' Βασιλ. γ', 1—21).

Ἂς γινώμεθα λοιπόν, ἀγαπητοί, ἄξιοι τῆς σωτηρίας μας καὶ ἂς εἴμεθα ἕτοιμοι νὰ βάλωμεν μετάνοιαν, διὰ κάθε λόγον, τὸν ὁποῖον θὰ τύχῃ νὰ ἀκούσωμεν, πρὸ παντὸς ἀπὸ τὸν ἐν Κυρίῳ προϊστάμενον ἡμῶν. Διότι ὅπως ἀκριβῶς τὸ νερὸ σβύνει τὴν φωτιάν, ἔτσι καὶ ἡ καθαρὰ μετάνοια σβύνει τὸν θυμὸν καὶ ἀπομακρύνει τὴν ὀργήν· καὶ δι' αὐτὸ νὰ σὲ πείσῃ ὁ πεντηκόνταρχος ἐπὶ τῆς ἐποχῆς τοῦ Προφήτου 'Ηλιού, ποὺ ἐξευμένισε, μὲ τὴν ταπεινοφροσύνην του, τὸν Προφήτην καὶ διεσώθη ἀπὸ τὴν ὀργὴν αὐτὸς καὶ οἱ σύντροφοί του (Βασ. Δ' α', 9—15).

Ἔχετε λοιπόν, ἀγαπητοί, ὑπακοὴν κατὰ πάντα, χάριν τοῦ Κυρίου, πρὸς τὸν προϊστάμενον καὶ τηρήσατε μέχρι τέλους τοὺς λόγους του, καὶ μὴ περιφρονήσετε οὔτε λέξιν, ἀπὸ ὅσα ἐξέρχονται ἐκ τοῦ στόματός του, καὶ τότε θὰ εἶναι πάντοτε μαζί σας Αὐτός, ποὺ εἶπεν· «ὅπου εὑρίσκονται δύο ἢ τρεῖς συγκεντρωμένοι εἰς τὸ ὄνομά μου, ἐκεῖ εἶμαι καὶ ἐγώ, μεταξύ των» (Ματθ. ιη', 20).

'Αγαπητοί, ἂν σφάλλουν ἀπέναντί μας οἱ 'Ηγούμενοι ἡμῶν, τὸ ὁποῖον εὔχομαι νὰ μὴ συμβαίνῃ, ἡμεῖς ἂς ὑπακούωμεν εἰς αὐτοὺς μὲ ἀγαθὴν συνείδησιν, ὡς νὰ δουλεύωμεν εἰς τὸν Κύριον καὶ ὄχι εἰς ἀνθρώπους, γνωρίζοντες καλῶς ὅτι θὰ λάβωμεν ἀπὸ τὸν Κύριον τὸν μισθόν μας.

Γ'. 'Εν τῷ Γεροντικῷ

ΗΝ ΤΙΣ γέρων οἰκῶν εἰς τὰ κελλία τὰ λεγόμενα ἐρημικά, ἔξωθεν 'Αλεξανδρείας· καὶ ἦν ὁ γέρων πάνυ ὀξύχολος καὶ ὀλιγόψυχος. 'Ακούσας οὖν περὶ αὐτοῦ ἀδελφός τις νεώτερος, συντίθεται διαθήκην μετὰ Θεοῦ λέγων· Κύριε· ὑπὲρ ὅλων τῶν κοσμικῶν ὧν ἐποίησα, ὑπάγω καὶ μένω μετὰ τοῦ γέροντος, καὶ δουλεύω καὶ ἀναπαύω αὐτόν. Ὕβριζεν οὖν αὐτὸν ὁ γέρων ὡς κύνα ἐφ' ἑκάστης ἡμέρας. Βλέπων οὖν ὁ Θεὸς τὴν ταπείνωσιν καὶ τὴν ὑπομονὴν τοῦ ἀδελφοῦ, δείκνυσιν αὐτῷ μετὰ ἓξ ἔτη τῆς πρὸς τὸν γέροντα ὑποταγῆς, κατὰ τοὺς ὕπνους, τινὰ βαστάζοντα χάρτην

μέγαν, οὗ τὸ μὲν ἥμισυ ἀπηλειμμένον ἦν, τὸ δὲ ἥμισυ γεγραμμένον, καὶ ὑποδεικνύοντα τῷ ἀδελφῷ τὸν χάρτην καὶ λέγοντα· ἰδοὺ τὸ ἥμισυ τοῦ χρέους σου ἐλείανεν ὁ δεσπότης Θεός, ἀγώνισαι καὶ περὶ τῶν λοιπῶν.

Ἦν δὲ ἄλλος γέρων πνευματικὸς οἰκῶν πλησίον αὐτοῦ, ὃς ἐγίνωσκε τὰ κατὰ τὸν ἀδελφόν· καὶ ἤκουε πάντως, πῶς ὠλιγώρει ὁ γέρων καὶ ἔθλιβε τὸν ἀδελφὸν ἀδίκως, καὶ πῶς ὁ ἀδελφὸς ἔβαλλεν αὐτῷ μετανοίας καὶ ὁ γέρων οὐ διηλλάσσετο αὐτῷ· καὶ καθότι ὑπήντα τῷ ἀδελφῷ ὁ πνευματικὸς οὗτος γέρων, ἠρώτα αὐτόν· τί ἔνι, τέκνον; πῶς ἡ σήμερον παρῆλθεν; ἆρα ἐκερδίσαμεν τίποτε; ἆρα ἠλειώσαμεν ἐκ τοῦ χάρτου; Εἴ ποτε δὲ ἐκ διαλειμμάτων παρῆλθεν ἡμέρα, ἐν ᾗ οὐχ ὑβρίσθη ἢ ἐνεπτύσθη ἢ ἐδιώχθη ὑπὸ τοῦ γέροντος, ἀπήρχετο πρὸς τὸν γέροντα τὸν γείτονα αὐτοῦ ἐν τῇ ἑσπέρᾳ καὶ ἔλεγε κλαίων· οὐαί μοι, Ἀββᾶ, ὅτι κακή μοι ἡμέρα γέγονε σήμερον, καὶ οὐκ ἐκέρδησα τίποτε, ἀλλ' ἐν ἀναπαύσει διῆλθον.

Μετὰ οὖν ἄλλους ἓξ χρόνους ἐκοιμήθη ὁ ἀδελφός· καὶ διεβεβαιώσατο ὁ πνευματικὸς γέρων, ὅτι ἑώρακα αὐτὸν μετὰ τῶν Μαρτύρων ὑπάρχοντα, καὶ μετὰ παρρησίας πολλῆς ὑπὲρ τοῦ γέροντος αὐτοῦ τὸν Θεὸν παρακαλοῦντα καὶ λέγοντα· Κύριε, ὥς περ ἐμὲ ἠλέησας δι' ἐκείνου, ἐλέησον κἀκεῖνον διὰ τοὺς οἰκτιρμούς σου τοὺς πολλούς, καὶ δι' ἐμὲ τὸν δοῦλόν σου. Καὶ μετὰ τεσσαράκοντα ἡμέρας ἔλαβε πρὸς ἑαυτὸν καὶ τὸν γέροντα ἐν τῷ τόπῳ τῆς ἀναπαύσεως· ἰδοὺ ποίαν παρρησίαν ἀπολαμβάνουσιν οἱ διὰ τὸν Θεὸν τὰς θλίψεις ὑπομένοντες.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ Γέρων κατοικοῦσεν ἔξω ἀπὸ τὴν Ἀλεξάνδρειαν, εἰς τὰ λεγόμενα ἐρημικὰ κελλία· ἦτο δὲ πολὺ ὀξύθυμος καὶ ὀλιγόψυχος. Κάποιος λοιπὸν νεώτερος ἀδελφός, ὅταν τὸ ἐπληροφορήθη, ἔκαμε τάξιμον εἰς τὸν Θεὸν καὶ εἶπε:

Κύριε, διὰ τὴν ἐξιλέωσιν τῶν ἁμαρτιῶν, ποὺ διέπραξα ὡς κοσμικός, θὰ ὑπάγω καὶ θὰ μείνω κοντὰ εἰς αὐτὸν τὸν Γέροντα, διὰ νὰ τὸν ὑπηρετῶ καὶ νὰ τὸν ἀναπαύω. Καθημερινῶς λοιπὸν ὁ Γέρων τὸν ὕβριζεν ὡς σκύλον.

Ὁ Θεός, ποὺ ἔβλεπε τὴν ὑπομονὴν καὶ τὴν ταπείνωσιν τοῦ ἀδελφοῦ, τοῦ παρουσιάζει, ἓξ χρόνια μετὰ τὴν ὑποταγήν του εἰς τὸν Γέροντα, ἕνα ἀποκαλυπτικὸν ὄνειρον· κάποιος, εἰς τὸ ἀποκαλυπτικὸν αὐτὸ ὄνειρον, ἐκράτει ἕνα μεγάλο χαρτί, τοῦ ὁποίου τὸ ἥμισυ ἦτο καθαρισμένον ἀπὸ γράμματα καὶ τὸ ἄλλο ἥμισυ ἦτο ἀκόμη γραμμένον. Ἀγωνίσου — τοῦ εἶπεν — καθὼς ἔδειχνε τὸ χαρτὶ εἰς τὸν ἀδελφόν· νά ὁ Δεσπότης Θεὸς σοῦ ἐξήλειψε τὸ ἥμισυ τοῦ χρέους σου, ἀγωνίσου, τώρα καὶ διὰ τὸ ὑπόλοιπον.

Ἐκεῖ πλησίον κατοικοῦσε καὶ ἕνας ἄλλος Γέρων, πνευματικός, ποὺ ἐγνώριζε τὴν περίπτωσιν τοῦ ἀδελφοῦ. Οὗτος ἐπληροφορεῖτο λεπτομερῶς ὅτι ὁ ἰδιότροπος Γέρων ἀδιαφοροῦσε καὶ ἐστενοχώρει ἀδίκως τὸν ἀδελφόν, καὶ ὅτι ὁ ἀδελφὸς ἔβαζε μετάνοιαν καὶ ἐζήτει συγγνώμην, ἀλλὰ ὁ Γέρων δὲν συνεφιλιώνετο. Κάθε φορὰν δὲ ποὺ συναντοῦσε τὸν ἀδελφὸν ὁ πνευματικὸς αὐτὸς Γέρων, τὸν ἠρώτα·

— Τί γίνεται, τέκνον μου; Πῶς ἐπέρασεν ἡ σημερινὴ ἡμέρα; μήπως ἐκερδίσαμεν τίποτε; μήπως ἐσβύσαμεν τίποτε ἀπὸ τὸ χαρτί;

Ἂν δὲ συνέβαινε, κατὰ διαλείμματα, νὰ περάση ἡμέρα, χωρὶς νὰ ὑβρισθῇ ἢ νὰ ἐμπτυσθῇ ἢ νὰ διωχθῇ ὁ ἀδελφὸς ἀπὸ τὸν Γέροντα, ἐπήγαινε, τότε, πρὸς τὸν πνευματικὸν Γέροντα ὁ ἀδελφός, τὸν γείτονά του, κατὰ τὸ βράδυ καὶ τοῦ ἔλεγε κλαίων:

—Ἀλλοίμονόν μου, Ἀββᾶ, διότι ἡ σημερινὴ ἦτο δι' ἐμὲ κακὴ ἡμέρα καὶ δὲν ἐκέρδισα τίποτε· ἐπέρασα μὲ ἀνάπαυσιν σήμερα.

Μετὰ λοιπὸν ἀπὸ ἄλλα ἕξ χρόνια ἐκοιμήθη ὁ ἀδελφός. Κατόπιν μικροῦ διαστήματος ὁ πνευματικὸς Γέρων μᾶς ἐπληροφόρησε περὶ αὐτοῦ:

— Πατέρες — μᾶς εἶπε — τὸν εἶδα νὰ εὑρίσκεται μὲ τοὺς Μάρτυρας καὶ νὰ παρακαλῇ μετὰ παρρησίας πολλῆς τὸν Θεὸν διὰ τὸν Γέροντά του καὶ νὰ λέγῃ. Κύριε, ὅπως μὲ ἐλέησες δι' ἐκείνου, ἐλέησε καὶ ἐκεῖνον, διὰ τῶν πολλῶν Σου οἰκτιρμῶν, καὶ χάριν ἐμοῦ, τοῦ δούλου Σου.

Μετὰ σαράντα ἡμέρας ἐπῆρε μαζί του ὁ ἀδελφὸς καὶ τὸν ἰδιότροπον Γέροντα, εἰς τὸν τόπον τῆς ἀναπαύσεως.

Ἰδοὺ λοιπὸν ποία εἶναι ἡ χάρις, ποὺ κερδίζουν, ὅσοι ὑπομένουν τὰς θλίψεις, χάριν τοῦ Θεοῦ.





ΥΠΟΘΕΣΙΣ ΛΗ'

Περὶ τοῦ ὅτι τοὺς προσέχοντας ἑαυτοῖς καὶ τῇ προνοίᾳ τῇ τοῦ Θεοῦ, ἡ χάρις πολλάκις καὶ διὰ ἰδιωτῶν καὶ ἀγνώστων διδάσκει τὰ δέοντα, καὶ ὅτι οἱ ταπεινόφρονες καὶ παρὰ τῶν τυχόντων μανθάνειν οὐ παραιτοῦνται.

Πολλάκις ἡ Χάρις τοῦ Θεοῦ διδάσκει τὰ πρέποντα, εἰς ὅσους προσέχουν τὸν ἑαυτόν των καὶ ἐμπιστεύονται εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ, μὲ ἁπλοὺς καὶ ἀγνώστους ἀνθρώπους· οἱ ταπεινόφρονες καταδέχονται νὰ διδάσκωνται καὶ ἀπὸ τοὺς τυχόντας.



Α'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Ἐφραίμ



ΑΙΣ θείαις ἀεὶ σχολάζων ὁ Μέγας Ἐφραὶμ φαντασίαις, καὶ τῷ νοῒ τὴν τῆς κρίσεως ἡμέραν ἀδιαλείπτως σχεδὸν ὀπτανόμενος καὶ πενθῶν ἄπαυστα, ἐμάκρυνε κατὰ τὸν ψαλμῳδὸν καὶ αὐτὸς φυγαδεύων, καὶ θόρυβον πάντα βιωτικὸν καὶ κλύδωνα καὶ σάλον ἐκκλίνων, καὶ περὶ τὴν ἔρημον αὐλιζόμενος, ἐκ τόπων δὲ τόπους ἀμείβων, ψυχῶν οἰκοδομῆς χάριν καὶ ὠφελείας, ἅτε καὶ πνεύματι θείῳ κινούμενος, ἀπολιμπάνει ποτὲ τὴν ἐνεγκαμένην, κατὰ τὸν θεῖον καὶ οὗτος κελευσθεὶς Ἀβραάμ, καὶ τὴν Ἐδεσσηνῶν πόλιν καταλαμβάνει, ἅμα μὲν κατὰ προσκύνησιν τῶν ἱερῶν ἐν αὐτῇ λειψάνων τε καὶ τόπων ἐλθών, ἅμα δὲ καὶ κατὰ συντυχίαν ἀνδρὸς τῶν λογίων τινός, ὥς τε γνώσεως καρπὸν ἐκεῖθεν μεταλαβεῖν, ὃ καὶ παρὰ Θεοῦ αἰτεῖται οὕτως εἰπών· «Ἰησοῦ Χριστέ, δέσποτα καὶ Κύριε πάντων, ἀξίωσόν με τὴν πόλιν Ἔδεσσαν εἰσελθόντα, τοιούτῳ ἀνδρὶ συντυχεῖν, ὃς ἱκανὸς ἔσται τὰ πρὸς οἰκοδομὴν ψυχῆς καὶ ὠφέλειαν ἐμοὶ συλλαλῆσαι».

Οὕτως εὐξάμενος, ἐπεὶ πρὸς ταῖς τῆς πόλεως εἰσόδοις ἦν, καὶ τὴν πύλην εἰσῄει, σύννους ἦν καὶ προσεκτικὸς καὶ μεμεριμνημένος, οἷα σκοπῶν, ὅπως μὲν ἐκείνῳ τῷ ἀνδρὶ προσέλθοι, τίνα δὲ πύθοιτο παρ' αὐτοῦ, καὶ ποίας ἀπολαύσοι τῆς ὠφελείας. Οὕτω τοιγαροῦν ἐπὶ συνορίας βαδίζοντι, γυνή τις εὐθὺς συναντᾷ αὐτῷ, καὶ αὐτὴ πόρνη· Θεοῦ δὲ τοῦτο πάντως ἦν, τοῦ διὰ τῶν ἐναντίων πολλάκις οἰκονομοῦντος τὰ ἐναντία μυστικῶς τε καὶ ἀπορρήτως. Ὁ μὲν οὖν ἱερὸς Ἐφραὶμ οὕτω

παρ' ἐλπίδα πᾶσαν ἐντυχὼν τῇ πόρνῃ, ἵστατο πρὸς αὐτὴν ἐξεστηκώς τι καὶ ἀτενὲς ἐνορῶν, ἀλύων τε καὶ παθαινόμενος καθ' ἑαυτὸν τὴν ψυχήν, ὅπως μὴ κατ' εὐχήν, ἀλλὰ παντάπασιν ἀπεναντίας μᾶλλον ἀπέβη τὸ αἰτηθέν· ἡ δέ, οὕτως ἐνορῶντα ἰδοῦσα, ὀξύτατον αὐτῷ πάλιν ἐπιβάλλει τὸν ὀφθαλμόν.

Ἐπεὶ δὲ οὕτω μέχρι πολλοῦ πρὸς ἀλλήλους ἑώρων, βουληθεὶς αὐτὴν ἐντρέψαι καὶ εἰς αἰδῶ πρέπουσαν γυναιξὶν ἀγαγεῖν ὁ μέγας, τί δέ; οὐκ ἐρυθριᾷς, γύναι, φησίν, οὕτω πεπηγόσιν ὀφθαλμοῖς εἰς ἡμᾶς ἐνορῶσα; κἀκείνη· ἀλλ' ἐμὲ οὕτως, ἔφη, προσῆκόν ἐστι πρὸς σὲ βλέπειν· καὶ γὰρ ἐκ σοῦ καὶ τῆς σῆς εἴλημμαι πλευρᾶς, σὲ δὲ οὐ πρὸς ἡμᾶς, ἀλλὰ πρὸς τὴν γῆν μᾶλλον ὁρᾶν δεῖ, ἐξ ἧς πάλιν ἐλήφθης αὐτός. Τούτων ἔξω πάσης προσδοκίας ὁ Ἐφραὶμ ἀκούσας, τῇ τε γυναικὶ μεγάλας ὡμολόγει χάριτας ὠφελείας, καὶ Θεῷ θερμῶς ἀνέπεμπε τὰς εὐχαριστίας, τῷ διὰ τῶν παρ' ἐλπίδα πολλάκις, καὶ αὐτῶν ἐλπίδων κρείττονα ποιεῖν παρὰ πολὺ δυναμένῳ.

Ἑ ρ μ η ν ε ί α

Ο ΜΕΓΑΣ Ἐφραὶμ ἠσχολεῖτο συνεχῶς μὲ τὴν σκέψιν τοῦ Θεοῦ καὶ ἐθεώρει, ἀδιαλείπτως. διὰ τοῦ νοός του, τὴν ἡμέραν τῆς Κρίσεως· δι' αὐτὸ συνεχῶς ἐπένθει καὶ ἔζουσε πολὺν χρόνον κατὰ τὸν ψαλμῳδὸν (Ψαλμ. νδ΄, 8), εἰς τὴν ἔρημον, ὡς νὰ ἦτο ἕνας φυγάς, διὰ νὰ ἀποφύγῃ τοὺς θορύβους καὶ τὰς τρικυμίας τῆς ζωῆς. Μεταβαίνων δὲ ἀπὸ τόπου εἰς τόπον. χάριν ψυχικῆς ὠφελείας καὶ οἰκοδομῆς, διότι εἰς τοῦτο ἐκινεῖτο ἀπὸ τὸ Ἅγιον Πνεῦμα, ἐγκαταλείπει κάποτε τὴν πατρίδα του, διαταχθεὶς ὑπὸ τοῦ Θεοῦ, ὅπως ὁ Ἀβραὰμ (Γενεσ. ιβ΄, 1—5), καὶ ἔρχεται εἰς τὴν Ἔδεσσαν*. Σκοπὸς αὐτοῦ τοῦ ταξιδίου του ὑπῆρξεν ἀφ' ἑνὸς μὲν ἡ προσκύνησις τῶν ἱερῶν λειψάνων τῆς πόλεως καὶ τῶν τόπων, ἀφ' ἑτέρου δὲ ἡ συνάντησις μὲ ἕνα ἀπὸ τοὺς λογίους τοῦ τόπου, διὰ νὰ ἀποκομίσῃ καρπὸν γνώσεως ἀπὸ ἐκεῖ. Δι' αὐτὸ καὶ προσηυχήθη ὡς ἑξῆς εἰς τὸν Θεόν· «Ἰησοῦ Χριστέ, Δέσποτα καὶ Κύριε ὅλων, ἀξίωσέ με μόλις θὰ εἰσέλθω εἰς τὴν πόλιν Ἔδεσσαν νὰ συναντήσω ἕνα τέτοιον ἄνδρα, ποὺ θὰ εἶναι ἱκανὸς νὰ συνομιλήσῃ μαζί μου, διὰ νὰ μὲ οἰκοδομήσῃ ψυχικῶς καὶ νὰ μὲ ὠφελήσῃ».

Μετὰ ἀπὸ αὐτὴν τὴν προσευχήν, ὅταν ἔφθασεν εἰς τὴν εἴσοδον τῆς πόλεως, καὶ εἰσήρχετο ἀπὸ τὴν πύλην, ἐφαίνετο σκεπτικός. Κατείχετο ἀπὸ τὴν φροντίδα καὶ ἐπρόσεχε ποῖον ἄραγε ἄνθρωπον, θὰ συναντοῦσεν, εἰς ἐκπλήρωσιν τῆς προσευχῆς του καὶ περὶ τίνων θὰ ἐζήτει παρ' αὐτοῦ πληροφορίας καὶ ποίαν ὠφέλειαν θὰ ἀπεκόμιζεν ἐκ τῆς συναντήσεως αὐτῆς.

Ἔτσι λοιπὸν καθὼς ἐβάδιζε σκεπτικὸς καὶ ἀπορροφημένος, τὸν συναντᾷ ἔξαφνα μία γυναίκα καὶ αὐτὴ μάλιστα πόρνη. Πάντως ἀπὸ τὸν

* Ἡ Ἔδεσσα ἦτο πόλις τῆς Μεσοποταμίας, εἰς τὴν ὁποίαν ὁ Μέγας Ἐφραὶμ ἵδρυσε Θεολογικὴν Σχολὴν κατὰ τὸ 353 μ.Χ. Εἰς αὐτὴν ἐβασίλευσε παλαιότερον ὁ Ἄβγαρος ἢ Αὔγαρος, ὅστις ἐζήτησε καὶ ἔλαβε τὴν ἀχειροποίητον εἰκόνα τοῦ Κυρίου (τὸ Ἅγιον Μανδήλιον).

Θεὸν ἦτο ἡ συνάντησις αὐτή, ὁ ὁποῖος πολλάκις ἔτσι οἰκονομεῖ τὰς περιστάσεις, ὥστε νὰ ἐπιτυγχάνῃ ἀπὸ τὰ φαινομενικῶς ἀντίθετα πράγματα, τὰ ἀντίθετα τούτων πρὸς σωτηρίαν, κατὰ τρόπον μυστηριώδη καὶ ἀνέκφραστον.

Ὁ ἱερὸς Ἐφραίμ, ἔτσι καθὼς συνήντησε τὴν πόρνην, παρὰ πᾶσαν ἐλπίδα, ἐστάθη ἀπέναντί της καὶ τὴν ἐκοίταζε γεμᾶτος ἀπορίαν, ἐνῷ ἡ ψυχή του μέσα ἐταράσσετο καὶ ὑπέφερε, διότι δὲν ἐπραγματοποιήθη αὐτό, ποὺ μὲ προσευχήν, ἐζήτησεν ἀπὸ τὸν Θεόν, ἀλλ' ἐντελῶς τὸ ἀντίθετον. Ἡ γυναίκα πάλιν, καθὼς τὸν εἶδε νὰ τὴν κοιτάζῃ μὲ τόσην περιέργειαν καὶ ἀπορίαν, τοῦ ρίχνει, ἐκ νέου, διαπεραστικὸν βλέμμα.

Ἀφοῦ λοιπὸν ἔτσι, ἐπ' ἀρκετόν, παρετήρει ὁ ἕνας τὸν ἄλλον, ἠθέλησεν ὁ μέγας ἀσκητὴς νὰ τὴν κάμῃ νὰ ἐντραπῇ καὶ νὰ τὴν ἐπαναφέρῃ εἰς τὴν αἰδημοσύνην, ποὺ ἁρμόζει εἰς τὰς γυναῖκας. Δι' αὐτὸ τῆς λέγει:

— Τί λοιπόν; δὲν κοκκινίζεις, ἀπὸ ἐντροπήν, κυρά μου, παρὰ μὲ βλέπεις μὲ καρφωμένα ἐπάνω μου τὰ μάτια σου;

—Σὲ ἐμένα αὐτὸ ταιριάζει — ἀπήντησεν ἐκείνη — νὰ βλέπω πρὸς ἐσένα· διότι ἀπὸ τὴν ἰδικήν σου πλευρὰν ἐπλάσθηκα· σὺ ὅμως δὲν πρέπει νὰ μᾶς παρατηρῇς τόσον περίεργα, ἀλλὰ νὰ βλέπῃς πρὸς τὴν γῆν ἀπὸ τὴν ὁποίαν ἐπλάσθης σὺ ὁ ἴδιος.

Μόλις ὁ Ὅσιος Ἐφραὶμ ἤκουσε τὰ λόγια αὐτά, χωρὶς νὰ τὸ περιμένῃ, καὶ εἰς τὴν γυναῖκα ὡμολόγει χάριν πολλὴν διὰ τὴν ὠφέλειαν ἀπὸ τὴν ἀπάντησίν της, ἀλλὰ καὶ τὸν Θεὸν εὐχαριστοῦσε θερμῶς, ὁ ὁποῖος πολλὰς φορὰς ἠμπορεῖ νὰ μᾶς ὠφελήσῃ ἀπὸ ἐκεῖ ποὺ δὲν περιμένομεν καὶ μᾶς προξενεῖ μεγαλυτέραν ὠφέλειαν ἀπὸ ὅσην ἐλπίζομεν.

Β΄. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Παχωμίου

ΚΑΤΑΝΟΩΝ ὁ Μέγας Παχώμιος τὸ συνετὸν ἐν ἅπασι Θεοδώρου τοῦ μαθητοῦ αὐτοῦ, ὃς εἰ καὶ νέος ἦν, οὐ κατὰ νέους εἶχε τὸ φρόνημα, ἀλλὰ καὶ ἄλλους τοὺς ἀσθενεστέρους πρὸς τὴν ἄσκησιν συνεκρότει, λίαν ἔχαιρεν ἐπ' αὐτῷ. Ἔθος οὖν ἦν ἅπασι καθ' ἑκάστην ἑσπέραν ἐν ἑνὶ τόπῳ τῆς μονῆς συνερχομένοις, ἐπακούειν τῆς τοῦ μεγάλου διδασκαλίας· συναχθέντων δὲ ἁπάντων ἐπὶ τούτῳ, κελεύει τῷ Θεοδώρῳ, νέῳ ὄντι, ὡς εἴρηται, καὶ μήπω ὑπερβάντι τὰ εἴκοσιν ἔτη, λαλῆσαι τοῖς ἀδελφοῖς τὸν λόγον τοῦ Θεοῦ· ὁ δὲ παραχρῆμα ἄνευ τινὸς ἀντιλογίας ἢ παρακοῆς ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐλάλησεν αὐτοῖς πολλὰ πρὸς ὠφέλειαν συντείνοντα.

Τινὲς τοίνυν τῶν ἀρχαιοτέρων γερόντων, θεασάμενοι τὸ γεγονός, οὐκ ἠβουλήθησαν ἀκοῦσαι αὐτοῦ, εἰπόντες πρὸς ἀλλήλους· ἐπειδὴ ὁ ἀρχάριος οὗτος ἡμᾶς διδάσκει, οὐκ ἀκουσόμεθα αὐτοῦ· καὶ καταλιπόντες τὴν ἐπισυναγωγήν, ἀνεχώρησεν ἕκαστος εἰς τὸ κελλίον αὐτοῦ. Πληρωθείσης δὲ τῆς διδασκαλίας, ἀποστείλας ὁ μέγας ἐκάλεσεν αὐτούς. Ἐλθόντων δὲ αὐτῶν πρὸς αὐτόν, ἠρώτα αὐτοὺς λέγων· τίνος ἕνεκεν, καταλείψαντες τὴν ἀκρόασιν, ἀνεχωρήσατε εἰς τὰ κελλία ὑμῶν; οἱ δὲ εἶπον· ἀλλὰ παιδίον τοσούτων γερόντων καὶ προβεβηκότων ἐν τῇ μονῇ διδάσκαλον κατέστησας;

Ταῦτα ἀκούσας ἐστέναξε μέγα, καὶ κατηφὴς γενόμενος, φησὶ πρὸς αὐτούς·

οἴδατε πόθεν ἡ ἀρχὴ τῶν κακῶν εἰς τὸν κόσμον εἰσῆλθεν; εἰπόντων δὲ αὐτῶν πόθεν; λέγει αὐτοῖς· ἐκ τῆς ὑπερηφανίας, δι' ἧς καὶ ὁ ἑωσφόρος ὁ πρωΐ ἀνατέλλων ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ συνετρίβη ἐπὶ τὴν γῆν· δι' ἧς μετὰ τῶν θηρίων συνώκησε Ναβουχοδονόσορ ὁ βασιλεὺς Βαβυλῶνος· ἢ οὐκ ἠκούσατε τὸ γεγραμμένον, ὅτι βδέλυγμα Κυρίῳ πᾶς ὑψηλοκάρδιος, καὶ ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται; Τοιγαροῦν ἀγνοήσαντες ἐσκυλεύθητε ὑπὸ τοῦ διαβόλου, πᾶσαν ὑμῶν τὴν ἀρετὴν ἀπολέσαντες· μήτηρ γὰρ καὶ ἀρχὴ πάντων τῶν κακῶν ἐστιν ἡ ὑπερηφανία· οὐ γὰρ Θεόδωρον καταλείψαντες ἀπήλθετε, ἀλλὰ τὸν λόγον τοῦ Θεοῦ ἀποφυγόντες, τοῦ Ἁγίου Πνεύματος ἐχωρίσθητε· ἀληθῶς παντὸς οἴκτου ἄξιοι ὑμεῖς· πῶς οὐ συνήκατε ὅτι ὁ σατανᾶς ἦν ὁ συνεργήσας ὑμῖν εἰς τοῦτο ἐλθεῖν;

Ὢ μεγάλου θαύματος! «ὁ Θεὸς ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου δι' ἡμᾶς», καὶ ἡμεῖς, ταπεινοὶ ὄντες κατὰ φύσιν, ἐπαιρόμεθα· ὁ φύσει ὑψηλὸς καὶ λίαν ὑπερμεγέθης, διὰ τῆς ταπεινώσεως τὸν κόσμον περιεποιήσατο, δυνάμενος καὶ βλέμματι τὰ σύμπαντα καταφλέξαι· οἱ δέ, γῆ ὄντες καὶ σποδός, καὶ εἴ τι τοιούτων εὐτελέστερον, φυσιούμεθα, ἀγνοοῦντες ὅτι ἐντεῦθεν εἰς τὰ κατώτατα τῆς γῆς ἑαυτοὺς παραπέμπομεν· οὐκ ἐθεάσασθε κἀμὲ μετὰ πολλῆς ἀκροώμενον τῆς ἀκριβείας; Λέγω γὰρ ὑμῖν ὅτι ἐγὼ ὠφελήθην μεγάλως, ἀκούσας αὐτοῦ· οὐ γὰρ ὡς δοκιμάζων ὑμᾶς ἐπέτρεψα αὐτῷ λαλῆσαι ὑμῖν, ἀλλ' ὡς προσδοκῶν καὶ αὐτὸς ὠφεληθήσεσθαι.

Πόσῳ οὖν μᾶλλον ἔδει ὑμᾶς μετὰ ταπεινοφροσύνης πολλῆς ἀκοῦσαι αὐτοῦ; ἐπ' ἀληθείας λέγω, ὅτι ἐγὼ ὁ ἐν Κυρίῳ Πατὴρ ὑμῶν, ὡς μὴ εἰδὼς δεξιὰν ἢ ἀριστεράν, οὕτως ὑπηκροώμην αὐτοῦ. Ὑμῖν οὖν ἐνώπιον τοῦ Θεοῦ λέγω, ὅτι ἐὰν μὴ μεγίστην ὑπὲρ τοῦ πταίσματος τούτου ἐπιδείξησθε τὴν μετάνοιαν, ὥς τε συγχωρηθῆναι ὑμῖν τὸ παράπτωμα, εἰς ἀπώλειαν ἔσεσθε, καὶ τῆς κακίστης ταύτης ἀρχῆς ἐν ὑμῖν γενομένης οὐ παύσησθε, ἕως ἂν εἰς τὴν ἐσχάτην τῆς κατακρίσεως ἀπόφασιν φθάσητε. Καὶ τούτοις τοῖς λόγοις ἱκανῶς ἐπιστύψας τὸ τῆς ὑπερηφανίας ἕλκος, παρεμυθεῖτο τὴν νόσον μετρίως αὐτοὺς ἰασάμενος· ἦν γὰρ καὶ ἀπότομος ἡνίκα ἔδει, καὶ χρηστὸς πάλιν, καιροῦ καλοῦντος, ἐλέγχων τε καὶ παρορμῶν πρὸς τὸ ἀγαθὸν τοὺς ἁμαρτάνοντας.

2. Ἄλλοτε πάλιν εἰσελθὼν ὁ ὅσιος, ἐκαθέσθη εἰς τὸ ἔργον τῶν ὑφαινομένων ψιαθίων· καὶ ἐλθὸν παιδίον, τυπωθὲν πρὸς ὑπηρεσίαν τῆς ἑβδομάδος, ὁρᾷ ἐργαζόμενον τὸν μέγαν· καὶ λέγει αὐτῷ· μὴ στρέφε οὕτω τὸ λῶμα· κακῶς ἐργάζῃ· ὁ Ἀββᾶς Θεόδωρος ἄλλῳ τύπῳ ὑφαίνει· ὁ δὲ ἀναστὰς λέγει αὐτῷ· καὶ δίδαξόν με τὸν τύπον, τέκνον· καὶ διδαχθείς, πάλιν ἐκαθέσθη ἐργάσασθαι σὺν εὐθυμίᾳ πολλῇ, καταστέλλων καὶ ἐν τούτῳ τὸ πνεῦμα τῆς ὑπερηφανίας· εἰ γὰρ ἦν τὸ τῆς σαρκὸς φρόνημα κεκτημένος, οὐκ ἂν ἐπείσθη, ἀλλὰ γὰρ καὶ ἐπετίμησεν ἂν αὐτῷ, ὡς ὑπὲρ τὰ μέτρα λαλήσαντι.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Παχώμιος ἀντιληφθεὶς καλῶς πόσον συνετὸς ἦτο εἰς ὅλα τὰ ζητήματα ὁ μαθητής του Θεόδωρος, ὁ ὁποῖος ἂν καὶ ἦτο νέος

ἐστήριζε πολλοὺς ἀσθενεστέρους εἰς τὴν ἄσκησιν, ἐχαίρετο δὲ πάρα πολὺ δι' αὐτό.

Ὅλοι, εἰς τὸ Κοινόβιον, συνήθιζον κάθε ἀπόγευμα νὰ συγκεντρώνωνται εἰς ἕνα μέρος τοῦ Μοναστηριοῦ καὶ νὰ ἀκούουν, μετὰ προσοχῆς, τὴν διδασκαλίαν τοῦ Μεγάλου Παχωμίου.

Ἕνα ἀπόγευμα λοιπόν, καθὼς συνεκεντρώθησαν διὰ τὸν σκοπὸν αὐτόν, ὁ Μέγας Παχώμιος διατάσσει τὸν Θεόδωρον, ὁ ὁποῖος, ὅπως ἐλέχθη, ἦτο νέος, ὄχι μεγαλύτερος τῶν εἴκοσι ἐτῶν, νὰ κηρύξῃ εἰς τοὺς ἀδελφοὺς τὸν λόγον τοῦ Θεοῦ. Ὁ Θεόδωρος ἀμέσως, χωρὶς καμμίαν ἀντιλογίαν ἢ παρακοήν, ἐκήρυξε πρὸς τοὺς Μοναχοὺς ἀρκετὰ διὰ τὴν ψυχικήν των ὠφέλειαν.

Μερικοὶ ἀπὸ τοὺς γεροντοτέρους, μόλις εἶδον νὰ ὁμιλῇ ὁ νεαρὸς Θεόδωρος, δὲν ἠθέλησαν νὰ τὸν ἀκούσουν, λέγοντες μεταξύ των. Ἐπειδὴ μᾶς διδάσκει αὐτὸς ὁ ἀρχάριος, ἡμεῖς δὲν θὰ τὸν ἀκούσωμεν. Ἀφοῦ δὲ ἐγκατέλειψαν τὴν συγκέντρωσιν, ἀπεχώρησε καθ' ἕνας εἰς τὸ κελλί του.

Ὅταν ἐτελείωσε τὸ κήρυγμα ἔστειλεν ὁ Μέγας Παχώμιος καὶ τοὺς ἐκάλεσε.

Μόλις ἦλθον ἐνώπιόν του, τοὺς ἠρώτησε·

— Διὰ ποῖον λόγον ἐγκατελείψατε τὸ κήρυγμα καὶ ἐφύγατε εἰς τὰ κελλιά σας;

Ἐκεῖνοι ἀπήντησαν·

— Διότι ὥρισας διδάσκαλον ἕνα παιδί, νὰ διδάξῃ ἡλικιωμένους, ποὺ ἐγήρασαν μέσα εἰς τὸ Μοναστήρι.

Ὅταν ἤκουσεν αὐτὴν τὴν δικαιολογίαν ὁ Μέγας Παχώμιος ἀνεστέναξε βαθειὰ καὶ μὲ διάθεσιν μελαγχολικὴν τοὺς εἶπε:

— Γνωρίζετε ἀπὸ ποῦ προῆλθον εἰς τὸν κόσμον τὰ κακά;

—Ἀπὸ ποῦ; ἠρώτησαν ἐκεῖνοι.

—Ἀπὸ τὴν ὑπερηφάνειαν, ἐξ αἰτίας τῆς ὁποίας ἐξέπεσεν ἀπὸ τὸν οὐρανὸν ὁ ἑωσφόρος, ποὺ ἀνατέλλει τὸ πρωΐ, καὶ συνετρίβη εἰς τὴν γῆν. Ἐξ αἰτίας αὐτῆς τῆς ὑπερηφανείας καὶ ὁ βασιλεὺς τῆς Βαβυλῶνος Ναβουχοδονόσορ κατῴκησε μαζὶ μὲ τὰ θηρία. Ἢ δὲν ἀκούσατε τί λέγει ἡ Ἁγία Γραφή; «Ἐνώπιον τοῦ Κυρίου κάθε ὑψηλόκαρδος εἶναι βδελυγμία» (Παροιμ. ιστ΄, 5) καὶ «ὅποιος ὑψώνει τὸν ἑαυτόν του θὰ ταπεινωθῇ, ἐνῷ ὅποιος ταπεινώνει τὸν ἑαυτόν του θὰ ὑψωθῇ» (Ματθ. κγ΄, 12). Ὥστε λοιπόν, μὲ τὸ νὰ λησμονήσετε αὐτά, ἐνικήθητε ἀπὸ τὸν διάβολον καὶ ἐχάσατε ὅλην σας τὴν ἀρετήν. Διότι μητέρα καὶ ἀρχὴ ὅλων τῶν κακῶν εἶναι ἡ ὑπερηφάνεια· διότι δὲν ἐγκατελείψατε τὸν Θεόδωρον ἀναχωρήσαντες, ἀλλ' ἀπεφύγατε τὸν λόγον τοῦ Θεοῦ, ἀπεχωρίσθητε ἀπὸ τὸ Ἅγιον Πνεῦμα. Εἶσθε πράγματι ἄξιοι οἴκτου. Πῶς δὲν ἐκαταλάβατε ὅτι ὁ σατανᾶς σᾶς παρέσυρε νὰ φθάσετε εἰς τὸ σημεῖον, ποὺ ἤλθετε;

Ὤ, πόσον μεγάλο θαῦμα ἐλησμονήσατε! «Ὁ Θεὸς ἐταπεινώθη καὶ ἔγινεν ὑπήκοος πρὸς χάριν μας μέχρι θανάτου» (Φιλιπ. β΄, 8) καὶ ἡμεῖς, ἂν καὶ ταπεινοὶ ἐκ φύσεως, ὑπερηφανευόμεθα· ὁ κατὰ φύσιν ὑψη-

λὸς καὶ ἀπέραντος, μὲ τὴν ταπείνωσιν εὐηργέτησε τὸν κόσμον, ἐνῷ ἠμποροῦσε μὲ τὸ βλέμμα του νὰ κατακαύσῃ τὰ σύμπαντα· ἐνῷ ἡμεῖς ποὺ εἴμεθα χῶμα καὶ στάχτη καὶ ἀκόμη πιὸ ἀσήμαντοι ἀπὸ αὐτά, ὑπερηφανευόμεθα, ἀγνοοῦντες ὅτι ἔτσι ἐξαποστέλλομεν τοὺς ἑαυτούς μας εἰς τὰ κατάβαθα τῆς γῆς· δὲν παρετηρήσατε ἐμένα μετὰ πόσης προσοχῆς ἤκουα τὴν ὁμιλίαν του; Σᾶς διαβεβαιῶ, ὅτι ἐγὼ ὁ ἴδιος πάρα πολὺ ὠφελήθην ποὺ τὸν ἤκουσα· διότι δὲν τοῦ ἐπέτρεψα νὰ Σᾶς κηρύξῃ, διὰ νὰ Σᾶς δοκιμάσω, ἀλλὰ ἐπειδὴ ἤθελα καὶ ἐγὼ ὁ ἴδιος νὰ ὠφεληθῶ.

Πόσον μᾶλλον λοιπὸν σεῖς ἔπρεπε νὰ τὸν ἀκούσετε μὲ ταπεινοφροσύνην; Σᾶς λέγω ἀληθινά, ἐγὼ ὁ ἐν Κυρίῳ πνευματικὸς Πατήρ σας, ὅτι μὲ τόσην ἀφοσίωσιν τὸν ἤκουον, ὡς νὰ μὴ ἐγνώριζον τὴν δεξιὰν καὶ τὴν ἀριστερὰν ὁδόν. Σᾶς λέγω λοιπὸν ἐνώπιον τοῦ Θεοῦ, ὅτι ἐὰν δὲν δείξετε μεγίστην μετάνοιαν, δι' αὐτὸ τὸ πταῖσμα σας, ὥστε νὰ σᾶς συγχωρηθῇ τὸ παράπτωμα, θὰ πᾶτε χαμένοι, καὶ ἐφ' ὅσον ἔγινε σὲ σᾶς αὐτὴ ἡ κακὴ ἀρχή, δὲν θὰ σταματήσετε, ἕως ὅτου καταστῆτε ἄξιοι τῆς τελευταίας καταδικαστικῆς ἀποφάσεως.

Μὲ τὰ λόγια αὐτὰ ὁ Μέγας Παχώμιος, ἐκαυτηρίασεν ἀρκετὰ τὴν πληγὴν τῆς ὑπερηφανείας, καὶ μὲ πατρικὰς νουθεσίας ἐθεράπευσεν ἀποτελεσματικῶς τὴν νόσον αὐτῶν. Διότι ὁ Μέγας Παχώμιος ἦτο καὶ ἀπότομος, ὅταν ἔπρεπε, ἀλλὰ καὶ μαλακός, πάλιν, ὅταν τὸ ἐκαλοῦσεν ἡ περίστασις, ἄλλοτε μὲν ἐλέγχων τοὺς ἁμαρτάνοντας, ἄλλοτε πάλιν παρορμῶν αὐτοὺς πρὸς τὸ ἀγαθόν.

2. Εἰς ἄλλην περίπτωσιν ὁ Ὅσιος ἐκάθισεν εἰς τὸ ἐργαστήριον, ποὺ ὕφαινον τὰ ψαθία καὶ ἦλθε κοντά του ἕνα παιδί, ποὺ εἶχεν ὁρισθῇ διὰ τὴν ὑπηρεσίαν τῆς ἑβδομάδος. Βλέπει λοιπὸν τὸν Ὅσιον νὰ ἐργάζεται καὶ τοῦ λέγει·

— Μὴ στρίβῃς ἔτσι τὴν ἄκρη· δὲν ἐργάζεσαι καλά. Ὁ Ἀββᾶς Θεόδωρος μὲ ἄλλον τρόπον ὑφαίνει.

Τότε, μὲ ταπεινοφροσύνην, σηκώνεται ἀπὸ τὸ ἐργόχειρον ὁ Μέγας Παχώμιος, καὶ λέγει εἰς τὸ παιδί.

—Τέκνον μου, μάθε καὶ εἰς ἐμὲ τὸν ἄλλον τρόπον.

Ἀφοῦ δέ, πράγματι, ἔμαθεν ἀπὸ τὸ παιδὶ τὸν ἄλλον τρόπον ἐργασίας, ἐκάθισε νὰ ἐργασθῇ καὶ πάλιν μὲ πολλὴν χαράν, ταπεινώνων καὶ εἰς αὐτὴν ἀκόμη τὴν περίπτωσιν τὸ πνεῦμα τῆς ὑπερηφανείας· διότι ἐὰν ἦτο κυριευμένος ἀπὸ τὸ φρόνημα τῆς σαρκός, δὲν θὰ ἐπείθετο, ἀλλὰ θὰ ἐμάλωνε τὸ παιδί, διότι εἶπε περισσότερα ἀπὸ ὅσα ἔπρεπεν.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀρσενίου

Ο ΜΕΓΑΣ Ἀρσένιος, εἰ καὶ πολὺς ἦν τὴν γνῶσιν, τήν τε θύραθεν, φημί, καὶ τὴν καθ' ἡμᾶς, καὶ πάντας, ὡς εἰπεῖν, τοὺς τότε ἐπὶ πολυμαθείᾳ καὶ ἀρετῇ ὑπερέβαινε, δι' ἃ καὶ πάντων ἀνθρώπων προεκρίθη εἰς τὸ παιδεῦσαι τοὺς παῖδας τοῦ Βασιλέως Θεοδοσίου, Ὀνώριον καὶ Ἀρκάδιον, ὅμως καὶ τοιοῦτος ὤν, καὶ ἐν τῇ Σκήτει πολὺν χρόνον ἀσκήσας, καὶ τὴν θείαν γνῶσιν πλείονα προσλαβών, περι-

ουσίᾳ ταπεινώσεως οὐδὲ τοὺς ἀγροικοτέρους ἐπῃσχύνετο ἐρωτᾶν, καὶ παρ' αὐτῶν ὠφέλειαν καρποῦσθαι τὴν κατὰ δύναμιν. Καί ποτέ τις πρὸς Αἰγύπτιόν τινα Μοναχὸν θεασάμενος αὐτὸν λογισμῶν χάριν ἐρωτᾶν καὶ διαπυνθανόμενον, ἐν θαύματί τε τὸ γινόμενον ποιησάμενος, ἤρετο τὴν αἰτίαν· ὁ δὲ ἀπεκρίνατο· παιδείας μὲν ἱκανῶς μετασχεῖν οὐκ ἀρνοῦμαι· τοῦ δὲ ἀγροίκου τοῦ δε, φησί, τὸν ἀλφάβητον οὔπω μεμαθηκέναι ὁμολογῶ, τὴν κατὰ Θεὸν πρᾶξιν καὶ γνῶσιν διὰ τῆς ἀπολογίας ταύτης ὑπαινιττόμενος.

2. Ἄλλοτε πάλιν πλησίον τοῦ ποταμοῦ γενομένῳ τῷ θαυμαστῷ Ἀρσενίῳ καὶ ἀποπλεῖν ἤδη μέλλοντι, γυνή τις αἰθιόπισσα ἐπελάβετο τῆς αὐτοῦ μηλωτῆς· τοῦ δὲ ἐμβριθῶς αὐτῇ καὶ δριμαίως ἐπιτιμήσαντος, ἐκείνη, εἰ Μοναχός, φησιν, εἶ, Ἀρσένιε, ἄπιθι πρὸς τὸ ὄρος· ὅπερ ῥῆμα οὐκ ἄμοιρον ὠφελείας τῷ Ἀρσενίῳ ἔδοξεν.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Ἀρσένιος ἦτο πάρα πολὺ μορφωμένος, καὶ κατὰ τὴν φιλοσοφικὴν συγκρότησιν καὶ κατὰ τὰς χριστιανικὰς γνώσεις· ὅλους δὲ ὑπερέβαινε κατὰ τὴν ἀρετήν, καὶ δι' αὐτὸ ὁ Βασιλεὺς Θεοδόσιος τὸν ἐξέλεξεν ἀπὸ ὅλους τοὺς τότε μορφωμένους ἀνθρώπους, ὡς παιδαγωγὸν τῶν τέκνων του Ὀνωρίου καὶ Ἀρκαδίου. Ἂν καὶ ἦτο δὲ τόσον μορφωμένος καὶ ἠσκήτευσεν, ἐπὶ πολὺν χρόνον, εἰς τὴν σκήτην, ἀπολαύσας περισσοτέραν θείαν γνῶσιν, ἐν τούτοις εἶχε τόσον μεγάλην ταπείνωσιν, ὥστε δὲν ἐντρέπετο νὰ ἐρωτᾷ καὶ τοὺς πλέον ἀμαθεῖς καὶ νὰ λαμβάνῃ παρ' αὐτῶν πᾶσαν δυνατὴν ὠφέλειαν.

Κάποτε κάποιος τὸν εἶδε νὰ ἐρωτᾷ ἕνα Αἰγύπτιον Μοναχὸν καὶ νὰ ζητῇ παρ' αὐτοῦ πληροφορίας περὶ τῶν διαφόρων λογισμῶν. Τόσον δὲ πολὺ σπουδαῖον ἐθεώρησε τὸ γεγονός, ὥστε ἐζήτησε νὰ μάθῃ τὴν αἰτίαν.

Μὲ ἁπλότητα ὁ Μέγας Ἀρσένιος τοῦ ἀπήντησε:

— Δὲν ἀρνοῦμαι, ὅτι εἶμαι κάτοχος ἀρκετῆς μορφώσεως· ὡστόσον ὅμως ὁμολογῶ ὅτι δὲν ἔχω μάθει ἀκόμη τὸ ἀλφάβητον αὐτοῦ τοῦ ἀμορφώτου, ἐννοῶν, μὲ αὐτά, τὴν κατὰ Θεὸν πρᾶξιν καὶ γνῶσιν.

2. Ἄλλοτε πάλιν ὁ ἀξιοθαύμαστος Ἀρσένιος ἔφθασεν εἰς τὸν ποταμὸν καὶ ἐνῷ ἡτοιμάζετο νὰ ἀποπλεύσῃ, μιὰ αἰθιόπισσα τὸν ἔπιασεν ἀπὸ τὸ ἐπανωφόρι του. Ὅταν δὲ ὁ Μέγας Ἀρσένιος τὴν ἐμάλωσε μὲ αὐστηρότητα, ἡ γυναίκα τοῦ ἀπήντησε:

—Ἂν εἶσαι καλόγηρος, Ἀρσένιε, νὰ φύγῃς εἰς τὸ βουνό.

Ὁ Ἀρσένιος ἐθεώρησε τὴν φράσιν αὐτὴν ὠφέλιμον.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΠΟΤΕ ὁ Ἀββᾶς Ἀντώνιος ἐδέξατο Κωνσταντίνου τοῦ Βασιλέως γράμματα, ἵνα ἔλθῃ εἰς Κωνσταντινούπολιν· καὶ ἐσκόπει τί ποιῆσαι· καὶ λέγει τῷ Ἀββᾷ Παύλῳ τῷ μαθητῇ αὐτοῦ· ὀφείλω ἀπελθεῖν; ὁ δὲ λέγει αὐτῷ· ἐὰν ἀπέλθῃς, Ἀντώνιος λέγῃ· εἰ δὲ οὐκ ἀπέλθῃς, Ἀββᾶς Ἀντώνιος· καὶ ὑπήκουσεν αὐτῷ καὶ οὐκ ἀπῆλθεν.

2. Ἀδελφὸς ἠρώτησε μικρὸν Μοναχόν, ἤτοι παιδίον· ἐὰν εἰσὶν οἱ λόγοι

ἀργοί, ἄφες αὐτούς, εἰ δὲ ἀγαθοί, δὸς τόπον τῷ καλῷ καὶ λάλησον· πλὴν κἂν ἀγαθοὶ ὦσι, μὴ χρονίσῃς, ἀλλὰ ταχέως κόψον καὶ ἀναπαύῃ.

3. Εἶπεν ὁ Ἀββᾶς Ὀλύμπιος, ὅτι κατέβη ποτὲ ἱερεὺς τῶν Ἑλλήνων εἰς σκῆτιν· καὶ ἦλθεν εἰς τὸ κελλίον μου καὶ ἐκοιμήθη· καὶ θεασάμενος τὴν διαγωγὴν τοῦ Μοναχοῦ, λέγει μοι· οὕτω διάγοντες, οὐδὲν θεωρεῖτε παρὰ τῷ Θεῷ ὑμῶν; καὶ λέγω αὐτῷ, οὐχί· ἔφη ἐκεῖνος· τέως ἡμῶν ἱερουργούντων τῷ θεῷ ἡμῶν, οὐδὲν κρύπτει ἀφ' ἡμῶν, ἀλλ' ἀποκαλύπτει ἡμῖν τὰ μυστήρια αὐτοῦ· καὶ ὑμεῖς τοσούτους κόπους ποιοῦντες, ἀγρυπνίας, ἡσυχίας, ἀσκήσεις, λέγεις ὅτι οὐδὲν θεωρεῖτε; πάντως, εἰ οὐδὲν θεωρεῖτε, λογισμοὺς πονηροὺς ἔχετε εἰς τὰς καρδίας ὑμῶν, τοὺς χωρίζοντας ὑμᾶς ἀπὸ τοῦ Θεοῦ ὑμῶν, καὶ διὰ τοῦτο οὐκ ἀποκαλύπτεται ὑμῖν τὰ μυστήρια αὐτοῦ. Μετὰ τοῦτο οὖν ἀπῆλθον καὶ ἀνήγγειλα τοῖς γέρουσι τὰ ῥήματα τοῦ τῶν Ἑλλήνων ἱερέως· καὶ ἐθαύμασαν καὶ εἶπον, ὅτι οὕτως ἐστίν· οἱ γὰρ ἀκάθαρτοι λογισμοὶ χωρίζουσι τὸν ἄνθρωπον ἀπὸ τοῦ Θεοῦ.

4. Ἔλεγεν ὁ Ἀββᾶς Μακάριος, ὅτι ὅτε ἤμην νεώτερος, ἀκηδιάσας ἐν τῷ κελλίῳ ἐξῆλθον εἰς τὴν ἔρημον λέγων τῷ λογισμῷ μου· ὃν ἐὰν ὑπαντήσῃς, ἐρώτησον αὐτὸν χάριν ὠφελείας. Καὶ εὗρον παιδίον βόσκον βοΐδια, καὶ λέγω αὐτῷ· τί ποιήσω παιδίον ὅτι πεινῶ; ἀπεκρίθη μοι ἐκεῖνο· καὶ φάγε. Πάλιν εἶπον, ὅτι ἔφαγον, καὶ πάλιν πεινῶ· λέγει μοι ὁ παῖς· καὶ πάλιν φάγε· ἐγὼ δὲ εἶπον αὐτῷ, ὅτι πολλάκις ἔφαγον, καὶ πάλιν πεινῶ· τότε λέγει μοι· τάχα ὄνος εἶ, Ἀββᾶ, ὅτι πάντοτε τρώγειν θέλεις; καὶ ὠφεληθεὶς ἀνεχώρησα.

5. Εἴρηκε γέρων· θέλω διδαχθῆναι ἢ διδάξαι.

6. Εἶπεν ὁ Ἀββᾶς Μακάριος τῷ Ἀββᾷ Ζαχαρίᾳ· εἰπέ μοι τὸ ἔργον τοῦ Μοναχοῦ· ἀπεκρίθη αὐτῷ Ζαχαρίας· ἐμὲ ἐρωτᾷς, Πάτερ; λέγει ὁ Ἀββᾶς Μακάριος· πληροφοροῦμαι εἰς σέ, τέκνον Ζαχαρία· ἔστι γὰρ ὁ νύσσων με τοῦ ἐρωτῆσαί σε· ἔφη αὐτῷ Ζαχαρίας· τὸ κατ' ἐμέ, πάτερ, τὸ ἑαυτὸν βιάζεσθαι εἰς πάντα, τοῦτό ἐστι τὸ ἔργον τοῦ Μοναχοῦ.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Ἀντώνιος ἔλαβεν ἐπιστολὰς ἀπὸ τὸν Αὐτοκράτορα Κωνσταντῖνον, νὰ ὑπάγῃ εἰς τὴν Κωνσταντινούπολιν· καὶ ἐσκέπτετο τί πρέπει νὰ κάνῃ. Ἀπευθυνόμενος τότε πρὸς τὸν μαθητήν του, τὸν Ἀββᾶν Παῦλον, τὸν ἐρωτᾷ·

— Πρέπει νὰ ὑπάγω;

Ὁ Ἀββᾶς Παῦλος τοῦ ἀπαντᾷ:

—Ἐὰν μεταβῇς, λέγεσαι Ἀντώνιος· ἐὰν ὅμως δὲν ὑπάγῃς, Ἀββᾶς Ἀντώνιος· καὶ δὲν ἔφυγεν.

2. Ἕνας ἀδελφὸς ἠρώτησε μὲ ἕνα μικρὸν Μοναχόν, δηλαδὴ παιδίον διὰ τὴν ὠφέλειαν τῶν συζητήσεων. Καὶ τὸ παιδίον ἀπήντησεν:

Ἐὰν οἱ λόγοι μιᾶς συζητήσεως εἶναι ἁπλῆ φλυαρία ἄφησέ τους· ἐὰν ὅμως εἶναι ὠφέλιμοι, τότε ἐπωφελήσου ἀπὸ τὴν εὐκαιρίαν καὶ ὡμίλησε· ὡστόσον ὅσον καλοὶ καὶ ἐὰν εἶναι, μὴ ὁμιλήσῃς ἐπὶ πολὺν χρόνον, ἀλλὰ σύντομα διάκοψε τὴν συζήτησιν καὶ ἀναπαύεσαι.

3. Ὁ Ἀββᾶς Ὀλύμπιος εἶπε· Κάποτε ἕνας εἰδωλολάτρης ἱερεὺς

κατέβη εἰς τὴν σκήτην, ἦλθεν εἰς τὸ κελλί μου καὶ ἐκοιμήθη. Ὅταν λοιπὸν ὁ ἱερεὺς τῶν εἰδώλων εἶδε τὰς σκληρὰς συνθήκας, ὑπὸ τὰς ὁποίας ζῇ ὁ Μοναχός, μοῦ λέγει:

— Ζῶντες κατ' αὐτὸν τὸν τρόπον δὲν βλέπετε τίποτε ἀπὸ τὸν Θεόν σας;

—Ὄχι, τοῦ ἀπήντησα.

—Ὁσάκις ἡμεῖς προσφέρομεν θυσίαν εἰς τὸν θεόν μας, τίποτε δὲν μᾶς ἀποκρύπτει, ἀλλὰ μᾶς φανερώνει ὅλα τὰ μυστήριά του· καὶ σεῖς ὑποβαλλόμενοι εἰς τόσους κόπους, εἰς ἀγρυπνίας, εἰς ἡσυχαστικὴν σιωπήν, εἰς ἀσκήσεις, λέγεις ὅτι δὲν βλέπετε τίποτε; Ὁπωσδήποτε, ἐὰν δὲν βλέπετε τίποτε, ἔχετε εἰς τὴν καρδίαν σας πονηροὺς λογισμούς, ποὺ σᾶς χωρίζουν ἀπὸ τὸν Θεόν σας καὶ δι' αὐτὸ δὲν σᾶς φανερώνει τὰ μυστήριά του.

Μετὰ τὴν ἐπίσκεψιν αὐτὴν ἐπῆγα καὶ ἀνέφερα τὰ λόγια αὐτὰ τοῦ εἰδωλολάτρου ἱερέως εἰς τοὺς Γέροντας.

Ἐθαύμασαν δὲ οἱ Γέροντες καὶ εἶπον· Πράγματι ἔτσι εἶναι· διότι οἱ ἀκάθαρτοι λογισμοὶ χωρίζουν τὸν ἄνθρωπον ἀπὸ τὸν Θεόν.

4. Ὁ Ἀββᾶς Μακάριος ἔλεγεν, ὅτι ὅταν ἤμην νεώτερος, ἐπειδὴ ἐβαρέθηκα μέσα εἰς τὸ κελλί μου, ἐβγῆκα πρὸς τὴν ἔρημον, λέγων εἰς τὸν λογισμόν μου· ὅποιον καὶ ἂν συναντήσῃς, νὰ τὸν ἐρωτήσῃς, διὰ νὰ ὠφεληθῇς. Μετ' ὀλίγον εὑρῆκα ἕνα παιδί, ποὺ ἔβοσκε βόδια, καὶ τοῦ λέγω:

— Παιδί μου τί νὰ κάνω, ἐπειδὴ πεινῶ;

— Νὰ φάγῃς, ἀπήντησε τὸ παιδίον.

—Ἔφαγα, καὶ πάλιν πεινῶ, τοῦ ἀπαντῶ.

— Καὶ πάλιν νὰ φάγῃς, ἀπήντησε τὸ παιδίον.

— Πολλὰς φορὰς ἔφαγον καὶ πάλιν πεινῶ, ἠρώτησα ἐκ τρίτου. Καὶ τὸ παιδὶ μοῦ ἀπήντησε μετά τινος θαυμασμοῦ.

— Μήπως εἶσαι ὄνος, Γέροντα, ἀφοῦ θέλεις ὅλο νὰ τρώγῃς;

Ἀπὸ τὴν ἀπάντησιν αὐτὴν ὠφελήθην καὶ ἔφυγα.

5. Ἕνας Γέρων εἶπε· Προτιμῶ νὰ διδαχθῶ, παρὰ νὰ διδάξω.

6. Ὁ Ἀββᾶς Μακάριος ἠρώτησε τὸν Ἀββᾶν Ζαχαρίαν·


— Εἰπέ μου, Γέροντα, ποῖον εἶναι τὸ ἔργον τοῦ Μοναχοῦ;

—Ἐμὲ ἐρωτᾷς, Πάτερ; ἀπήντησε μετὰ ταπεινοφροσύνης ὁ Ἀββᾶς Ζαχαρίας.

— Διὰ σέ, τέκνον μου Ζαχαρία, πληροφοροῦμαι ἐσωτερικῶς· αἰσθάνομαι κάποιον νὰ μὲ παρακινῇ εἰς αὐτό.

— Κατὰ τὴν γνώμην μου, Πάτερ, τὸ νὰ βιάζῃ τὸν ἑαυτόν του εἰς ὅλα τὰ καλὰ ἔργα, αὐτὸ εἶναι τὸ ἔργον τοῦ Μοναχοῦ.






ΥΠΟΘΕΣΙΣ ΛΘ΄

Περὶ τοῦ ὅτι δεῖ τὸν πιστὸν μὴ ἑαυτῷ θαρρεῖν, ἀλλὰ πιστεύειν ὡς διὰ τοῦ πνευματικοῦ αὐτοῦ πατρὸς καὶ σῴζεται καὶ δυναμοῦται εἰς πᾶν ἀγαθόν, καὶ τὰς αὐτοῦ ἐπικαλεῖσθαι εὐχάς· μεγάλα γὰρ δύνανται.

Ὅτι ὁ πιστὸς δὲν πρέπει νὰ στηρίζῃ τὸ θάρρος του εἰς τὸν ἑαυτόν του, ἀλλὰ νὰ πιστεύῃ ὅτι διὰ τοῦ πνευματικοῦ αὐτοῦ Πατρὸς καὶ σώζεται καὶ ἐνισχύεται εἰς κάθε καλόν· καὶ νὰ ζητῇ τὰς εὐχὰς τοῦ Γέροντός του· διότι αὗται ἔχουν μεγάλην δύναμιν.



Α΄. Γρηγορίου τοῦ Διαλόγου



ΛΙΒΕΡΤΙΝΟΣ ὁ τοῦ δικαίου Ὀνωράτου μαθητής, περὶ οὗ καὶ ἐν ἄλλοις κεφαλαίοις διείληπται, κατὰ κέλευσιν τοῦ ἡγουμένου αὐτοῦ, ὃς τὴν τοῦ Ὀνωράτου προστασίαν διεδέξατο, διὰ πρᾶγμά τι τοῦ Μοναστηρίου ἀπήρχετο· διὰ δὲ τὸν πόθον ὃν εἶχε πρὸς τὸν ἐν Ἁγίοις Ὀνωρᾶτον, ὅπου δήποτε ὁ Λιβερτῖνος ἀπήρχετο, εἰώθει βαστάζειν ἐν τῷ ἑαυτοῦ κόλπῳ τὸ τοῦ διδασκάλου καλίγιον. Ἀπερχομένου δὲ αὐτοῦ ἐν Ραβέννῃ, συνέβη τινὰ γυναῖκα (τελευτήσαντος τοῦ υἱοῦ αὐτῆς) τὸ σῶμα αὐτοῦ βαστάζειν, ἥτις τοῦτον θεασαμένη καὶ Θεοῦ δοῦλον αὐτὸν εἶναι πιστεύσασα, τῷ πόθῳ τοῦ τελευτήσαντος αὐτῆς υἱοῦ φλεγομένη, τὸν ἵππον αὐτοῦ ἐκ τοῦ χαλινοῦ ἐκράτησε, καὶ μεθ᾽ ὅρκου ἔλεγε μηδαμῶς αὐτὸν ἐᾶσαι ὑποχωρῆσαι, εἰ μὴ τὸν υἱὸν αὐτῆς ἀναστήσει· ἐκεῖνος δέ, πεῖραν μὴ ἔχων τοιούτου θαύματος, ἐξέστη ἐπὶ τῷ ὅρκῳ τῆς αἰτήσεως αὐτῆς· ὅθεν καὶ ἐκκλῖναι ἐκ τῆς γυναικὸς ἤθελε διὰ μετριοφροσύνης ὑπερβολήν· ὡς δὲ ἡ γυνὴ οὐκ ἐνεδίδου, ἡττήθη τῇ συμπαθείᾳ· καὶ κατελθὼν ἐκ τοῦ ἵππου καὶ κλίνας γόνυ, εἰς τὸν οὐρανὸν τὰς χεῖρας ἐξέτεινε, καὶ ἐξενεγκὼν ἐκ τοῦ κόλπου αὐτοῦ ὃ ἐπεφέρετο καλίγιον, ἐπάνω τοῦ στήθους τοῦ τεθνεῶτος παιδίου ἔθηκεν· εὐχομένου δὲ αὐτοῦ, ἡ ψυχὴ τοῦ παιδίου ἐν τῷ σώματι ὑπέστρεψε καὶ παραχρῆμα ἀνέστη. Κρατήσας οὖν αὐτὸ τῆς χειρός, τῇ κλαιούσῃ μητρὶ ζῶν ἀπέδωκε· καὶ μετὰ τοῦτο τὴν ὁδὸν αὐτοῦ ἐπορεύθη.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Λιβερτῖνος, ὁ μαθητὴς τοῦ δικαίου Ὀνωράτου, διὰ τὸν ὁποῖον καὶ εἰς προηγούμενα κεφάλαια ἔγινε λόγος*, κατὰ διαταγὴν τοῦ Ἡγουμένου του, ὅστις διεδέχθη τὸν Ὀνωρᾶτον, μετέβαινε κάπου, διὰ κάποιαν ὑπόθεσιν τοῦ Μοναστηρίου. Ὁ Λιβερτῖνος, ἀπὸ τὸν πόθον ποὺ εἶχε πρὸς τὸν ἅγιον Ὀνωρᾶτον, ὁπουδήποτε μετέβαινε, συνήθιζε νὰ κρατῇ εἰς τὸν κόλπον του τὸ ὑπόδημα τοῦ διδασκάλου του. Κάποτε λοιπὸν ποὺ ἐπήγαινε πρὸς τὴν Ραβένναν* κάποια γυναίκα, ποὺ ἐκρατοῦσε τὸ νεκρὸν σῶμα τοῦ ἀποθανόντος υἱοῦ της, μόλις τὸν εἶδε, καταφλεγομένη ἀπὸ τὸν πόθον τοῦ νεκροῦ παιδιοῦ της καὶ πιστεύσασα ὅτι εἶναι δοῦλος τοῦ Θεοῦ, ἐκράτησε τὸ ἄλογον τοῦ Λιβερτίνου ἀπὸ τὸ χαλινάρι καὶ ὡρκίσθη ὅτι δὲν θὰ τὸν ἀφήσῃ νὰ προχωρήσῃ, ἐὰν δὲν ἀναστήσῃ τὸν υἱὸν αὐτῆς.

Ὁ Λιβερτῖνος, ποὺ δὲν ᾐσθάνετο τὸν ἑαυτόν του καθόλου ἱκανὸν διὰ τοιοῦτον θαῦμα, ἐτρόμαξεν ἀπὸ τὸν ὅρκον, καὶ τὸ αἴτημα τῆς γυναικός. Διὰ τοῦτο καὶ ἀπὸ ὑπερβολικὴν μετριοφροσύνην ἤθελε νὰ ξεφύγῃ ἀπὸ τὴν γυναῖκα. Ἡ γυναίκα ὅμως δὲν ὑποχωροῦσε καὶ ὁ Λιβερτῖνος ἐνικήθη ἀπὸ τὴν συμπάθειαν. Κατέβηκε λοιπὸν ἀπὸ τὸ ἄλογον, ἐγονάτισεν, ὕψωσε τὰ χέρια του πρὸς τὸν οὐρανὸν καὶ ἀφοῦ ἔβγαλεν, ἀπὸ τὸν κόλπον του, τὸ ὑπόδημα ποὺ ἐκράτει μαζί του, τὸ ἐτοποθέτησεν ἐπάνω εἰς τὸ στῆθος τοῦ νεκροῦ παιδιοῦ. Καθὼς δὲ προσηύχετο, ἐπέστρεψεν ἀμέσως ἡ ψυχὴ τοῦ παιδιοῦ εἰς τὸ σῶμα του καὶ ἀνεστήθη. Τὸ ἔπιασε τότε ἀπὸ τὸ χέρι καὶ τὸ παρέδωσε ζωντανὸν εἰς τὴν μητέρα του, ἡ ὁποία ἔκλαιεν. Ἔπειτα ἐξηκολούθησε τὸν δρόμον του.

Πέτρος

ΤΙ οὖν εἶναι τοῦτο λέγομεν; τοῦ Ὀνωράτου ἡ ἁγιωσύνη τὴν δύναμιν τοῦ τοσούτου θαύματος πεποίηκεν, ἢ τοῦ Λιβερτίνου ἡ αἴτησις;

Ἑρμηνεία

Πέτρος

Εἰς τὴν περίπτωσιν αὐτὴν τί πιστεύομεν; Ὅτι ἡ ἁγιωσύνη τοῦ Ὀνωράτου εἶχε τὴν δύναμιν τοῦ μεγάλου αὐτοῦ θαύματος ἢ ἡ παράκλησις τοῦ Λιβερτίνου πρὸς τὸν Θεόν;


---

* Βλέπε ἐν τῷ ἀνὰ χεῖρας Τόμῳ ὑπόθεσις ΛΓ' διδ. 1. σελ. 290 καὶ ἀλλαχοῦ.

** Ἡ Ραβέννα εἶναι πόλις τῆς Ἰταλίας πρὸς τὴν Ἀδριατικὴν θάλασσαν, ἡ ὁποία ἐπὶ Ὀνωρίου ἔγινε πρωτεύουσα τοῦ δυτικοῦ Ρωμαϊκοῦ κράτους. Τὸ 539 μ.Χ. κατέλαβεν αὐτὴν ὁ Ἰουστινιανὸς διὰ τοῦ στρατηγοῦ Βελισσαρίου, καὶ ἔκτοτε ἐκτίσθησαν εἰς αὐτὴν σπουδαῖα βυζαντινὰ μνημεῖα.

Ὁ ἍΓΙΟC ΓΡΗΓΌΡΙΟC

ὁ διάλογος



Γρηγόριος

ΕΝ τῇ ἐπιδείξει τοῦ τοιούτου θαύματος, μετὰ τῆς πίστεως τῆς γυναικός, ἡ δύναμις τῶν ἀμφοτέρων συνῆλθε, καὶ διὰ τοῦτο ὑπολαμβάνω Λιβερτῖνον τοῦτο δυνηθῆναι· ὅτι πλεῖον μᾶλλον τῇ τοῦ διδασκάλου δυνάμει ἤ περ τῇ ἑαυτοῦ πεποιθέναι ἐπίστευσεν· οὗ τινος γὰρ τὸ καλίγιον ἐν τῷ στήθει τοῦ τεθνεῶτος ἔθηκε, τοῦτον δηλαδὴ δυνηθῆναι ὅπερ ἠτήσατο ὑπελάμβανεν· ἐπεὶ καὶ Ἐλισσαῖος τοῦ διδασκάλου τὴν μηλωτὴν βαστάζων, καὶ εἰς τὸν Ἰορδάνην ἐλθών, ἐπάταξεν ἅπαξ· καὶ οὐδαμῶς τὰ ὕδατα διῃρέθη· ὡς δὲ παρευθὺς εἶπε· ποῦ ἐστιν ὁ Θεὸς Ἠλιοῦ; καὶ πάλιν τὸν ποταμὸν τῇ τοῦ διδασκάλου μηλωτῇ ἐπάταξε, καὶ ὁδὸν ἀναμέσον τῶν ὑδάτων πεποίηκε· κατανοεῖς, Πέτρε, πόσον ἡ ταπεινοφροσύνη ἐν ταῖς γενομέναις δυνάμεσιν ἰσχύει; τότε γὰρ ποιῆσαι τὴν ἴσην τοῦ διδασκάλου δύναμιν πεποίηκεν, ὅτε ἐπ᾿ ἐκεῖνον κατέφυγε καὶ τὸ ἐκείνου ἐπεκαλέσατο μετὰ πίστεως ὄνομα.

Ἑρμηνεία

Γρηγόριος

ΚΑΤΑ τὴν πραγματοποίησιν ἑνὸς τόσον μεγάλου θαύματος συνέτρεξαν καὶ ἡ πίστις τῆς γυναικός, ἀλλὰ καὶ ἡ δύναμις καὶ τῶν δύο καὶ δι᾿ αὐτὸ νομίζω ὅτι ὁ Λιβερτῖνος ἠμπόρεσε νὰ τὸ κατορθώσῃ· ἐπίστευσε δηλαδὴ περισσότερον εἰς τὴν δύναμιν τοῦ διδασκάλου, παρὰ εἰς τὸν ἑαυτόν του. Εἶχε τὴν γνώμην δηλαδὴ ὅτι ἐκεῖνο, διὰ τὸ ὁποῖον παρεκάλεσε τὸν Θεὸν ἠμπόρεσε νὰ γίνῃ, μόνον ἀφοῦ ἐτοποθέτησεν εἰς τὸ στῆθος τοῦ νεκροῦ τὸ ὑπόδημα τοῦ Γέροντός του. Ἄλλωστε, ὡς γνωστόν, καὶ ὁ Ἐλισαῖος, κρατῶν τὴν κάπαν τοῦ διδασκάλου του προφήτου Ἠλιοὺ ἦλθεν εἰς τὸν Ἰορδάνην καὶ ἐκτύπησε μίαν φορὰν τὰ ὕδατα καὶ καθόλου δὲν ἐχωρίσθησαν· ὅταν ὅμως εἶπεν ἀμέσως: ποῦ εἶναι ὁ Θεὸς Ἠλιοῦ; καὶ ἐκτύπησε πάλιν τὰ ὕδατα μὲ τὴν κάπαν τοῦ διδασκάλου του, ἔκαμεν ἀμέσως δρόμον διὰ μέσου τῶν ὑδάτων. Ἀντιλαμβάνεσαι λοιπόν, Πέτρε, ποία εἶναι ἡ δύναμις τῆς ταπεινοφροσύνης εἰς τὰ γενόμενα θαύματα; Τότε δηλαδὴ κατώρθωσε τὰ ἴσα μὲ τὸν διδάσκαλόν του, ὅταν κατέφυγεν εἰς ἐκεῖνον καὶ ἐπεκαλέσθη, μὲ πίστιν, τὸ ὄνομά του.

Β΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ

ΠΟΤΕ ὁ Μέγας Γρηγόριος μετὰ τῶν συνόντων κατὰ τὸ σύνηθες τῷ Θεῷ προσευχόμενος ἐν τῷ ὄρει, ἀθρόως ἀγῶνος καὶ θορύβου καταπλησθείς, εὔδηλος ἦν τοῖς παροῦσιν οἷον ξενιζόμενος καὶ ἐναγωνιῶν τινι θεάματι, καὶ τὴν ἀκοὴν ὑπέχων, καθάπερ ἤχου τινὸς πρὸς αὐτὸν διαβαίνοντος· καὶ διαγενομένου διαστήματος οὐκ ὀλίγου, μείνας πάντα τὸν ἐν μέσῳ χρόνον ἀκλινὴς καὶ ἀκίνητος, εἶθ᾿ ὥς περ τοῦ προκειμένου θεάματος εἰς ἀγαθὸν καταλήξαντος, πάλιν ἐπανῆλθεν εἰς τὸ σύνηθες, καὶ ἀνευφήμησε τὸν Θεὸν λαμπρᾷ τῇ φωνῇ, τὸν ἐπινίκιόν τε καὶ εὐχαριστήριον λό-

γον ἐπιφθεγξάμενος· «εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν».

Τῶν δὲ περὶ αὐτὸν θαυμαστικῶς διατεθέντων καὶ μαθεῖν ἀξιούντων, ὅ τί ποτε εἴη τὸ ἐν ὀφθαλμοῖς γενόμενον θέαμα, εἰπεῖν λέγεται, μέγα πτῶμα κατὰ τὴν ὥραν ἐκείνην ἰδεῖν· πεπτωκότα τὸν σατανᾶν ὑπὸ νεανίσκου τινὸς Τρωαδίου ὀνόματι, ὃς προσαχθεὶς ὑπὸ τῶν δημίων τῷ δυσσεβεῖ ἄρχοντι, μετὰ πολλὰς βασάνους τὸν τῆς Μαρτυρίας ἀνεδήσατο στέφανον.

Ἐκπλαγεὶς δὲ πρὸς τὴν ἀκοὴν ὁ τῷ ἁγίῳ συνὼν μαθητής, ὃν ἐκ νεωκόρου πιστεύσαντα Διάκονον τῶν θείων μυστηρίων κατέστησε, καὶ οὔτε ἀπιστεῖν τῷ λεγομένῳ τολμῶν, καὶ ἅμα κρεῖττον τῆς ἀνθρωπίνης δυνάμεως τὰ πόρρωθεν ὄντα τῆς πόλεως, (μηδενὸς ἀνθρώπου τὰ κατ᾿ αὐτὸν ἀναγγείλαντος) ὡς ἐφεστῶτα τοῖς πράγμασι λέγειν πρὸς τοὺς συνόντας περὶ τῶν ἐκεῖ γενομένων, ἱκέτης γίνεται τοῦ διδασκάλου, ὀφθαλμοῖς ἐπιτραπῆναι γνῶναι τὰ πεπραγμένα, καὶ μὴ κωλυθῆναι παρ᾿ αὐτοῦ γενέσθαι μέχρι τῶν τόπων αὐτῶν, ἐν οἷς τὸ θαῦμα ἐγένετο.

Τοῦ δὲ φοβερὸν εἶναι λέγοντος ἐν μέσῳ τῶν φονευόντων γενέσθαι, καί τι πολλάκις ἐξ ἐπηρείας τοῦ ἀντικειμένου τῶν ἀβουλήτων παθεῖν, ἐπιθαρσεῖν ἔλεγεν ὁ Διάκονος τῇ τῶν εὐχῶν αὐτοῦ συμμαχίᾳ· φθεγξάμενος ταύτην πρὸς αὐτὸν τὴν φωνήν, σύ με παράθου τῷ σῷ Θεῷ καὶ οὐδείς μου φόβος ἐκ τῶν πολεμίων καθάψεται· τοῦ δὲ καθάπερ συνοδοιπόρον τὴν τοῦ Θεοῦ βοήθειαν αὐτῷ διὰ τῆς εὐχῆς ἐκπέμψαντος, πεποιθὼς τὴν ὁδὸν ᾔει πρὸς οὐδένα τῶν ἀπαντώντων ἐπιστρεφόμενος.

Ἑσπέρας δὲ τῆς πόλεως ἐντὸς γεγονώς, καὶ κοπώδης ἐκ τῆς ὁδοιπορίας γενόμενος, λουτρῷ θεραπεῦσαι τὸν κόπον ἀναγκαῖον ᾠήθη. Ἐπεκράτει δὲ κατὰ τὸν τόπον ἐκεῖνον δαίμων τις ἀνθρωποκτόνος, ἐγχωριάζων τῷ λουτρῷ, οὗ ἡ φθοροποιὸς δύναμις ἐνεργὸς μετὰ τὸ σκότος κατὰ τῶν προσεγγιζόντων ἐγίνετο. Τούτου χάριν ἄβατον ἦν μετὰ τὰς ἡλίου δυσμὰς τὸ λουτρὸν ἐκεῖνο καὶ ἀνενέργητον· ᾧ παραστάς, ἠξίου τὸν ἐπιτεταγμένον ἀνοῖξαι τὴν εἴσοδον αὐτῷ, καὶ μὴ φθονῆσαι τῆς ἐκ τοῦ λουτροῦ θεραπείας.

Τοῦ δὲ μαρτυρουμένου μηδένα τῶν κατὰ τὴν ὥραν ἐκείνην κατατολμώντων τοῦ ὕδατος ἰδίοις ποσὶν ἐξελθεῖν, ἀλλὰ πάντων μετὰ τὴν ἑσπέραν κρατεῖν τὸ δαιμόνιον, καὶ πολλοὺς ὑπ᾿ ἀγνοίας ἤδη παθεῖν τὰ ἀνήκεστα, οὕς, ἀντὶ τῆς ἐλπισθείσης ἀνέσεως, θρῆνοι καὶ τάφοι καὶ οἰμωγαὶ διεδέξαντο. Ταῦτα καὶ τὰ τοιαῦτα διεξιόντος, οὐδὲν μᾶλλον ἐκεῖνος ὑφίει τῆς ἐπιθυμίας, ἀλλ᾿ ἐνέκειτο, παντὶ τρόπῳ καταναγκάζων αὐτὸν τὰ ἐντὸς παραδέξασθαι· ὁ δὲ τὸ μὴ συγκινδυνεῦσαι τῇ ἀγνοίᾳ τοῦ ξένου, κέρδος ποιούμενος, τὴν κλεῖν ἐπ᾿ αὐτῷ ποιησάμενος, ἀπαλλάσσεται.

Ἐπεὶ δὲ γυμνωθεὶς ἐντὸς ἦν, πολύτροποί τινες φόβων καὶ καταπλήξεων ἀφορμαὶ παρὰ τοῦ δαιμονίου συνεσκευάζοντο· φάσματα παντοδαπὰ πύρινα καὶ καπνώδη τὴν φύσιν, ἐπιδεικνύμενα· ἐν ἀνθρώπων καὶ θηρίων μορφῇ, τοῖς ὀφθαλμοῖς ἐμπίπτοντα, ταῖς ἀκοαῖς ἐνηχοῦντα, τῷ ἄσματι προσεγγίζοντα κύκλῳ περὶ τὸ σῶμα χεόμενα. Ὁ δὲ τὴν σφραγῖδα αὐτοῦ προβαλλόμενος, καὶ τὸ τοῦ Χριστοῦ ἀνακαλῶν ὄνομα, ἀπαθὴς τὸν πρῶτον διεξῆλθε τῶν οἴκων.

Ἐπὶ δὲ τὸν ἐνδότερον χωρήσας, χαλεπωτέροις ἐνέτυχε τοῖς θεάμασιν· εἰς φοβερωτέραν μετασκευασθέντος τοῦ δαιμονίου τὴν ὄψιν καὶ ἅμα σεισμῷ τὸν οἶκον ᾤετο κατακλονεῖσθαι, καὶ τὸ ἔδαφος ὑπορρηγνύμενον, γυμνὴν ἐπιδείκνυσθαι τὴν

κάτω φλόγα, σπινθῆράς τε φλογώδεις ἀπὸ τῶν ὑδάτων ἐκπέμπεσθαι· καὶ πάλιν αὐτῷ τὸ ἴσον ὅπλον, ἡ σφραγίς, καὶ τὸ τοῦ Χριστοῦ ὄνομα, καὶ ἡ τῶν εὐχῶν τοῦ διδασκάλου βοήθεια, τὰ φοβερὰ τῶν φαινομένων τε καὶ γινομένων διέχεεν. Ἀνεθεὶς δὲ τῷ ὕδατι, καὶ πρὸς τὴν ἔξοδον σπεύδων, πάλιν ἐκωλύετο τοῦ δαιμονίου τῆς θύρας ἀντειλημμένου· ἀλλὰ καὶ τοῦτο πάλιν τὸ κώλυμα διὰ τῆς ἴσης δυνάμεως ἐλύετο, τῇ σφραγῖδι τῆς θύρας ὑποχωρούσης. Ἐπεὶ δὲ κατὰ νοῦν αὐτῷ προεκεχωρήκει τὰ πάντα, ἐκβοῆσαι λέγεται πρὸς αὐτὸν ἀνθρωπίνῃ φωνῇ τὸ δαιμόνιον, μὴ ἑαυτῷ τὴν δύναμιν ἐκείνην λογίσασθαι, δι' ἧς τὸν ὄλεθρον ἔφυγεν· ἡ γὰρ φωνὴ τοῦ παραθεμένου αὐτὸν τῷ φυλάσσοντι, τὸ ἀπαθὲς ἐχαρίσατο.

Διασωθεὶς οὖν, ὡς εἴρηται, ἔκπληξιν παρέσχε τοῖς ἐπιστατοῦσι τῷ τόπῳ, οὐδενὸς τῶν πώποτε κατὰ τὴν ὥραν ἐκείνην κατατολμησάντων τοῦ ὕδατος ἐν τοῖς ζῶσι φανέντος. Ἐπὶ δὲ τούτοις τά τε καθ' ἑαυτὸν διηγήσατο, καὶ τὰ κατὰ τὴν πόλιν τῶν Μαρτύρων ἀνδραγαθήματα τοῦτον ἔγνω γεγενημένα τὸν τρόπον, ὃν ἐπὶ τῆς ἐρημίας διάγων ὁ μέγας προδιηγήσατο, προσθεὶς τοῖς περὶ αὐτὸν θαύμασι, δι' ὧν τε εἶδε, καὶ δι' ὧν ἤκουσε, καὶ δι' ὧν τῇ ἑαυτοῦ πείρᾳ τῆς τοῦ μεγάλου πίστεως ἐδιδάχθη τὴν δύναμιν, ἣ προσεμαρτύρησε τὸ δαιμόνιον, πάλιν ἀνατρέχει πρὸς τὸν διδάσκαλον, τοῖς τε καθ' ἑαυτὸν καὶ τοῖς μετὰ ταῦτα κοινὸν ἀφεὶς φυλακτήριον, τὸ διὰ τῶν ἱερέων ἑαυτὸν τῷ Θεῷ παρατίθεσθαι· καὶ νῦν ἐστι κατὰ πᾶσαν μὲν τὴν Ἐκκλησίαν, ἐξαιρέτως δὲ παρ' ἐκείνοις ἡ τοιαύτη φωνή, τῆς τότε γεγενημένης τῷ ἀνδρὶ παρὰ τοῦ Γρηγορίου βοηθείας μνημόσυνον.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Μέγας Γρηγόριος προσηύχετο, ὡς συνήθως, εἰς τὸ ὄρος*· ἔξαφνα ἀντελήφθη θόρυβον καὶ ἀγῶνα καὶ ἐγένετο φανερὸν εἰς τοὺς παρόντας ὅτι παρεξενεύετο καὶ ἀγωνιοῦσεν ἀπὸ κάποιο ὅραμα. Ἐτέντωνε τὰ αὐτιά του, ὡς διὰ νὰ συλλάβῃ ἐξ ἀποστάσεως ἐρχόμενον ἦχον καὶ ἀφοῦ παρῆλθεν ἀρκετὸν χρονικὸν διάστημα, κατὰ τὸ ὁποῖον παρέμεινεν ἀσάλευτος καὶ ἀκίνητος, μετά, ὡς νὰ ἀπέληξε τὸ θέαμα εἰς εὐχάριστον ἀποτέλεσμα. συνῆλθεν ἀπὸ τὸν ἐκστασιασμόν του ἐκεῖνον καὶ ἐδόξασε, μὲ λαμπρὰν φωνὴν τὸν Θεόν, ἀπαγγείλας τὸν ἐπινίκιον καὶ εὐχαριστήριον στίχον «ἂς εἶναι εὐλογημένος ὁ Θεός, ποὺ δὲν ἄφησε νὰ πέσωμεν τροφὴ εἰς τὰ δόντια τῶν ἐχθρῶν μας» (Ψαλμ. ρκγ', 6).

Ἐπειδὴ ἐκεῖνοι ποὺ ἦσαν κοντά του, ἐθαύμασαν ἀπὸ τὴν ἔκστασιν τοῦ Ἁγίου Γρηγορίου καὶ ἐζήτησαν παρ' αὐτοῦ νὰ μάθουν, ποῖον ἦτο τὸ θέαμα, ὁ Ἅγιος Γρηγόριος, ὡς ἀναφέρει ἡ παράδοσις, τοὺς εἶπεν:

---

* Ἐν τῷ ὄρει τούτῳ, κειμένῳ πλησίον τῆς Νεοκαισαρείας, εἶχε καταφύγει ὁ θεῖος Γρηγόριος μετὰ τοῦ ἐν τῷ παρόντι ἀναφερομένου μαθητοῦ καὶ διακόνου αὐτοῦ, διωκόμενος ὑπὸ τῶν εἰδωλολατρῶν. (Βλέπε περὶ τούτου ἐν τῷ ἡμετέρῳ «Μεγάλῳ Συναξαριστῇ τῆς Ὀρθοδόξου Ἐκκλησίας» Τόμος ΙΑ' σελ. 515 - 516). Εἶναι δὲ ἡ Νεοκαισάρεια πόλις τῆς Καππαδοκίας τῆς Μικρᾶς Ἀσίας πρὸς τὸν Εὔξεινον Πόντον.

—Ἐκείνην τὴν στιγμὴν εἶδον ὅτι ὁ σατανᾶς ἐνικήθη καὶ κατέπεσε, φοβερὸν πτῶμα, ἀπὸ κάποιο παλληκάρι, ποὺ ἐλέγετο Τρφάδιος. Αὐτὸς ὁ Τρφάδιος ὡδηγήθη ἀπὸ τοὺς δημίους ἐνώπιον τοῦ δυσσεβοῦς ἄρχοντος καὶ ἀφοῦ ὑπεβλήθη εἰς πολλὰ βασανιστήρια, ἐφόρεσε τὸν στέφανον τοῦ μαρτυρίου.

Ἀπὸ τὴν ἀφήγησιν αὐτὴν ἐξεπλάγη ὁ μαθητὴς τοῦ Ἁγίου, ποὺ εὑρίσκετο πλησίον του, τὸν ὁποῖον προσείλκυσεν ἀπὸ νεωκόρον εἰς τὴν χριστιανικὴν πίστιν καὶ τὸν ἐχειροτόνησε Διάκονον τῶν θείων Μυστηρίων. Αὐτὸς λοιπὸν ὁ Διάκονος οὔτε νὰ ἀμφιβάλλῃ πρὸς τὰ λεγόμενα ἐτόλμα, συγχρόνως ὅμως ἐθεώρει ὡς ἀνώτερον ἀπὸ τὴν ἀνθρωπίνην δύναμιν (χωρὶς κανεὶς νὰ τοῦ φανερώσῃ κάτι σχετικὸν) νὰ ὁμιλῇ περὶ τῶν ἐκεῖ συμβαινόντων ὡς νὰ ἦτο παρών. Παρακαλεῖ λοιπὸν θερμῶς τὸν διδάσκαλον νὰ τοῦ ἐπιτρέψῃ νὰ διαπιστώσῃ μὲ τὰ μάτια του τὰ γενόμενα καὶ νὰ μὴ τὸν ἐμποδίσῃ νὰ μεταβῇ μέχρι τῶν τόπων, ποὺ ἔγινε τὸ θαῦμα. Ὁ Ἅγιος Γρηγόριος τὸν ἀπέτρεπε καὶ τοῦ ἔλεγεν ὅτι εἶναι φοβερὸν νὰ εὑρεθῇ εἰς τὸ μέσον τῶν φονευτῶν καὶ νὰ διατρέξῃ τὸν κίνδυνον νὰ πάθῃ κάτι ἀνεπιθύμητον ἀπὸ ἐνέργειαν τοῦ πειρασμοῦ. Ὁ Διάκονος ὅμως ἔλεγεν ὅτι στηρίζει τὸ θάρρος του εἰς τὴν προστασίαν τῶν εὐχῶν του. Προσέθεσε δὲ καὶ τὰ ἑξῆς· σὺ νὰ μὲ θέσῃς ὑπὸ τὴν προστασίαν τοῦ Θεοῦ σου καὶ τότε δὲν θὰ μὲ ἀπειλήσῃ κανένας φόβος ἀπὸ τοὺς ἐχθρούς.

Ἐν τέλει ὁ Ἅγιος Γρηγόριος τοῦ ἔδωσεν ὡς συνοδοιπόρον τὴν βοήθειαν τοῦ Θεοῦ καὶ τὸν κατευώδωσε μὲ τὴν εὐχήν του· ὁ δὲ Διάκονος ἐπορεύετο, χωρὶς νὰ παρατηρῇ τίποτε ἀπὸ ὅσα συναντοῦσε κατὰ τὴν πορείαν του.

Κατὰ τὸ βράδυ ἔφθασεν εἰς τὴν πόλιν καὶ καθὼς ἦτο κατάκοπος ἐκ τῆς ὁδοιπορίας, ἐνόμισε καλὸν νὰ ξεκουρασθῇ μὲ ἕνα λουτρόν. Εἰς ἐκείνην ὅμως τὴν περιοχὴν ἐκυριάρχει ἕνας ἀνθρωποκτόνος δαίμων, ποὺ διέμενεν εἰς τὸ λουτρὸν καὶ τοῦ ὁποίου ἡ καταστρεπτικὴ δύναμις ἐνήργει μετὰ τὸ σκότος εἰς βάρος ὅσων προσήγγιζον πρὸς τὸ λουτρόν. Ἐξ αἰτίας αὐτοῦ τὸ λουτρὸν ἦτο ἀπλησίαστον μετὰ τὴν δύσιν τοῦ ἡλίου καὶ κλειστόν. Ἦλθε λοιπὸν ὁ Διάκονος εἰς αὐτὸ τὸ λουτρὸν καὶ ἐζήτει ἀπὸ τὸν ἐπιτετραμμένον νὰ τοῦ ἀνοίξῃ καὶ νὰ μὴ τὸν στερήσῃ ἀπὸ τὴν θεραπείαν τοῦ λουτροῦ.

Ὁ ἄνθρωπος τοῦ λουτροῦ ἐβεβαίωσε τὸν Διάκονον ὅτι κανείς, ἀπὸ ὅσους ἐτολμοῦσαν νὰ εἰσέλθουν ἐκείνην τὴν ὥραν εἰς τὸ νερὸν τοῦ λουτροῦ, δὲν ἐξήρχετο ζωντανός, ἀλλὰ μετὰ τὴν ἑσπέραν εἰς ὅλα ἐκυριαρχοῦσε τὸ δαιμόνιον· ἤδη δὲ πολλοὶ ἀπὸ ἄγνοιαν ἔπαθαν συμφορὰς καὶ οἱ ὁποῖοι, ἀντὶ νὰ χαροῦν, ὅπως ἤλπισαν, περιέπεσαν εἰς θρήνους καὶ τάφους καὶ κλαυθμούς.

Αὐτὰ καὶ παρόμοια διηγήθη εἰς τὸν Διάκονον ὁ ἄνθρωπος τοῦ λουτροῦ· ἐν τούτοις ὅμως οὗτος δὲν παρῃτεῖτο καθόλου ἀπὸ τὴν ἐπιθυμίαν του, ἀλλ' ἐπέμενεν ἐξαναγκάζων αὐτὸν παντοιοτρόπως νὰ τὸν ἀφήσῃ νὰ εἰσέλθῃ μέσα. Κατόπιν αὐτῶν ὁ ἄνθρωπος τοῦ λουτροῦ, διὰ νὰ μὴ συγ-

κινδυνεύση ἀπὸ τὴν ἄγνοιαν τοῦ ξένου καὶ θεωρῶν αὐτὴν ὡς κέρδος, ἀφοῦ τοῦ παρέδωσε τὸ κλειδὶ ἀνεχώρησεν.

Μόλις ὁ Διάκονος εἰσῆλθε καὶ ἔβγαλε τὰ ροῦχα του, τὸ δαιμόνιον ἤρχισε νὰ ἑτοιμάζῃ ἀφορμὰς διὰ φόβους πολλῶν εἰδῶν καὶ τρομάρας· οὕτως ἐνεφανίζοντο διάφορα φαντάσματα, ὅμοια μὲ φωτιὰν καὶ καπνόν· σιγὰ - σιγὰ τὰ φαντάσματα αὐτὰ παρουσιάζοντο εἰς τὰ μάτια του σὰν ἄνθρωποι καὶ θηρία καὶ ἐπροκαλοῦσαν θόρυβον καὶ τόσον ἀπεθρασύνοντο, ὥστε ἐπλησίαζαν τὸ σῶμα του γύρω - γύρω μὲ τραγούδια καὶ μὲ διαθέσεις ἐπιθετικάς. Ὁ Διάκονος ὅμως, ἀπτόητος, τοὺς παρουσίαζε τὴν σφραγῖα τοῦ τιμίου Σταυροῦ καὶ ἐπεκαλεῖτο τὸ ὄνομα τοῦ Χριστοῦ· ἔτσι ἐπέρασε τὸ πρῶτον διαμέρισμα, χωρὶς νὰ πάθῃ τίποτε.

Καθὼς ὅμως ἐπροχώρησε βαθύτερα, συνήντησε τρομακτικώτερα θεάματα· τὸ δαιμόνιον δηλαδὴ ἀπέκτησε φοβερωτέραν ὄψιν καὶ συγχρόνως ἐδημιούργει τὴν ἐντύπωσιν, ὅτι θὰ ἐγκρέμιζε μὲ σεισμὸν τὸ σπίτι· τὸ ἔδαφος ἐφάνη ὡς νὰ ἐσχίζετο ἀπὸ κάτω καὶ παρουσίαζε τὴν κάτω φλόγα καὶ ἀπὸ τὰ νερὰ ἐξετινάσσοντο σπινθῆρες φλογεροί. Ἀλλὰ πάλιν ὁ Διάκονος ἐχρησιμοποίει τὰ ἴδια ὅπλα· τὴν σφραγῖδα τοῦ τιμίου Σταυροῦ, τὸ ὄνομα τοῦ Χριστοῦ, ἐπεκαλεῖτο δὲ καὶ τὴν βοήθειαν τῶν εὐχῶν τοῦ διδασκάλου του· οὕτω διεσκόρπισε καὶ πάλιν τὰ συμβαίνοντα καὶ τὰ τρομακτικὰ φαντάσματα.

Ὅταν ἐβγῆκεν ἀπὸ τὸ νερὸ καὶ ἐπήγαινε πρὸς τὴν ἔξοδον καὶ πάλιν ἠμποδίζετο, διότι τὸ δαιμόνιον ἐκράτει τὴν θύραν. Ἀλλὰ καὶ πάλιν ἀπτόητος ὁ Διάκονος μὲ τὴν ἰδίαν δύναμιν ἐξεμηδένισε καὶ αὐτὸ τὸ ἐμπόδιον καὶ ἡ θύρα ἤνοιξε μὲ τὸ σημεῖον τοῦ Σταυροῦ.

Ἀφοῦ δὲ ὅλα ἐξειλίχθησαν σύμφωνα μὲ τὴν ἐπιθυμίαν τοῦ Διακόνου, λέγεται ὅτι τὸ δαιμόνιον ἐφώναξε πρὸς αὐτὸν μὲ ἀνθρωπίνην φωνήν, νὰ μὴ νομίζῃ ὅτι ἡ δύναμις διὰ τῆς ὁποίας ἠδυνήθη νὰ ἀποφύγῃ τὴν συμφορὰν ἦτο ἰδική του· διότι τὴν ἀποφυγὴν ὅλων τῶν κακῶν ἐχάρισεν εἰς αὐτὸν ἡ φωνὴ ἐκείνου, ὁ ὁποῖος τὸν ἐνεπιστεύθη εἰς τὴν προστασίαν Αὐτοῦ ὁ ὁποῖος πραγματικῶς ἠμπορεῖ νὰ μᾶς φυλάξῃ (δηλαδὴ τοῦ Θεοῦ).

Ὅταν λοιπὸν ὁ Διάκονος διεσώθη, μὲ τὸν τρόπον ποὺ ἐλέχθη, τοῦτο προεκάλεσε κατάπληξιν εἰς ἐκείνους ποὺ ἐγνώριζον καλῶς τὸν τόπον, διότι κανείς, μέχρι τότε, ἀπὸ ὅσους ἐτόλμησαν νὰ εἰσέλθουν εἰς τὸ λουτρόν, μετὰ τὴν δύσιν τοῦ ἡλίου, δὲν ἐνεφανίσθη, καὶ πάλιν, μεταξὺ τῶν ζωντανῶν. Τότε ὁ Διάκονος διηγήθη εἰς αὐτοὺς ὅσα συνέβησαν εἰς αὐτὸν καὶ ἔμαθεν ἀπὸ αὐτοὺς τὸν τρόπον, ποὺ συνετελέσθησαν τὰ ἀνδραγαθήματα τῶν Μαρτύρων εἰς τὴν περιοχὴν τῆς πόλεως. Ἀφοῦ εἰς αὐτὰ ἐπρόσθεσεν ὅσα συνέβησαν εἰς αὐτὸν καὶ ὅσα εἶδε καὶ ὅσα ἤκουσε καὶ δι' ὅσα ἐξ ἰδίας πείρας ἐδιδάχθη διὰ τὴν δύναμιν τῆς πίστεως τοῦ μεγάλου Διδασκάλου, τὴν ὁποίαν ἐπεβεβαίωσε τὸ δαιμόνιον, ἐπιστρέφει πάλιν ὁ Διάκονος, ἀφήσας οὕτω καὶ εἰς τοὺς συγχρόνους του, ἀλλὰ καὶ εἰς τοὺς μεταγενεστέρους, κοινὸν τρόπον προστασίας τὸ νὰ ἐμπιστευώμεθα.

διὰ τῶν ἱερέων, τοὺς ἑαυτούς μας εἰς τὸν Θεόν. Καὶ μέχρι τώρα ὑπάρχει εἰς ὅλην μὲν τὴν Ἐκκλησίαν, εἰδικώτερον ὅμως μεταξὺ ἐκείνων ἡ τοιαύτη παράδοσις, περὶ τῆς τότε γενομένης βοηθείας ἀπὸ τὸν Ἅγιον Γρηγόριον εἰς τὸν Διάκονον, διατηρουμένη ὡς εὐσεβὴς ἀνάμνησις.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΕΝ ὁ Ἀββᾶς Δανιήλ, ὅτι ἐκάλεσέ με ποτὲ ὁ Ἀββᾶς Ἀρσένιος καὶ εἶπέ μοι· ἀνάπαυσον τὸν πλησίον σου, ἵνα ὅταν ἀπέλθῃ πρὸς Κύριον παρακαλέσῃ ὑπὲρ σοῦ, καὶ εὖ σοι γένηται.

2. Ἀδελφὸς ἦλθεν ἀπὸ σκήτεως πρὸς τὸν Ἀββᾶν Ἀμμοῦν, καὶ λέγει αὐτῷ· πέμπει με ὁ Πατήρ μου εἰς διακονίαν, καὶ φοβοῦμαι τὴν πορνείαν· ἔφη αὐτῷ ὁ γέρων· οἵαν ὥραν ἔρχεταί σοι πειρασμός, εἰπέ· «ὁ Θεὸς τῶν δυνάμεων, εὐχαῖς τοῦ Πατρός μου ἐξελοῦ με». Ἐν μιᾷ οὖν τῶν ἡμερῶν, ἔκλεισε παρθένος τὴν θύραν ἐπάνω αὐτοῦ, καὶ βοήσας φωνῇ μεγάλῃ εἶπεν· «ὁ Θεὸς τοῦ Πατρός μου ἐξελοῦ με»· καὶ εὐθέως εὑρέθη εἰς τὴν ὁδὸν τῆς σκήτεως.

3. Γέρων τις εἶχε διακονητὴν εἰς τὴν κώμην οἰκοῦντα. Συνέβη δὲ ἅπαξ βραδύναντος τοῦ διακονητοῦ κατὰ τὸ ἔθος παραγενέσθαι, λεῖψαι τὰς χρείας τοῦ γέροντος· ἔτι δὲ αὐτοῦ χρονίζοντος, ἐξέλιπον αἱ χρεῖαι παντελῶς, καὶ τὸ ἐργόχειρον ὃ εἰργάζετο ἐν τῷ κελλίῳ, καὶ ἐθλίβετο, μήτε ἐργάσασθαι ἔχων, μήτε τὰ πρὸς τροφήν· καὶ λέγει τῷ μαθητῇ αὐτοῦ· θέλεις ἀπελθεῖν εἰς τὴν κώμην; ὁ δὲ εἶπεν· ὡς θέλεις ποιῶ· ἐφοβεῖτο γὰρ καὶ ὁ ἀδελφὸς ἐγγίσαι τῇ κώμῃ διὰ τὰ σκάνδαλα, ἵνα δὲ μὴ παρακούσῃ τοῦ Πατρός, κατεδέξατο ἀπελθεῖν. Εἶπε δὲ αὐτῷ ὁ γέρων· ὕπαγε, καὶ πιστεύω εἰς τὸν Θεὸν τῶν Πατέρων μου, ὅτι σκεπάζει σε ἀπὸ παντὸς πειρασμοῦ· καὶ ποιήσας εὐχὴν ἀπέστειλεν αὐτόν.

Ἐλθὼν οὖν ὁ ἀδελφὸς εἰς τὴν κώμην, καὶ εὑρὼν τὴν οἰκίαν τοῦ διακονητοῦ, στὰς πρὸς τῇ θύρᾳ ἔκρουσεν· ἔτυχε δὲ τότε τὸν διακονητὴν καὶ πάντας τοὺς τῆς αὐτοῦ οἰκίας ἔξω τῆς κώμης ἀπελθεῖν εἰς μνημόσυνον, πλὴν μιᾶς θυγατρὸς αὐτοῦ, ἥτις, ὡς ἔκρουσεν ὁ ἀδελφός, ἤνοιξε καὶ ἰδοῦσα αὐτὸν καὶ μαθοῦσα τί θέλει, προετρέπετο ἔσω εἰσεθεῖν ἅμα δὲ καὶ εἷλκεν· ὁ δὲ οὐχ ἠνείχετο. Ἐπὶ πολὺ δὲ βιαζομένη κατίσχυσε, καὶ ἐπεσπάσατο αὐτὸν πρὸς ἑαυτήν· ὁ δὲ ὡς ἔγνω ἑαυτὸν τοῖς λογισμοῖς συνεχόμενον, στενάξας ἐκ βάθους, εἶπε πρὸς τὸν Θεόν· Κύριε, διὰ τὰς εὐχὰς τοῦ Πατρός μου σῶσόν με ἐν τῇ ὥρᾳ ταύτῃ· καὶ τοῦτο εἰπών, εὑρέθη παραχρῆμα εἰς τὸν ποταμόν, ὑπάγων εἰς τὸ ὄρος, καὶ ἀποκατεστάθη ἀβλαβὴς πρὸς τὸν Πατέρα αὐτοῦ.

4. Ἐπειράσθη ποτὲ ὑπὸ δαίμονος Ἀβραὰμ ὁ μαθητὴς τοῦ Ἀββᾶ Σισώη· καὶ εἶδεν ὁ γέρων, ὅτι πέπτωκε· καὶ ἀναστὰς ἐξέτεινε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ προσηύξατο πρὸς τὸν Θεὸν λέγων· «ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ἕως τοῦ ἐπιστρέψαι καὶ ζῆσαι αὐτόν, θεράπευσον καὶ τὸν δοῦλόν σου Ἀβραάμ, καὶ λύτρωσαι αὐτὸν ἀπὸ τοῦ πειρασμοῦ τοῦ δαίμονος»· καὶ εὐθέως ἐθεραπεύθη.

5. Ἀπέστειλέ τις τῶν γερόντων τὸν μαθητὴν αὐτοῦ ἀντλῆσαι ὕδωρ· ἦν δὲ μακρὰν τὸ φρέαρ ἀπὸ τοῦ κελλίου αὐτῶν· ὁ δὲ ἐπελάθετο τὸ σχοινίον ἆραι· καὶ ἐλθὼν ἐπὶ τὸ φρέαρ, ἔγνω ὅτι οὐχ ἤνεγκε σχοινίον· καὶ ποιήσας εὐχὴν πρὸς τὸν Θεόν,

ὢ τοῦ θαύματος! ἀνῆλθε παραχρῆμα τὸ ὕδωρ ἄνω· καὶ γεμίσαντος τὸ κεράμιον τοῦ ἀδελφοῦ, πάλιν ἀποκατεστάθη τὸ ὕδωρ εἰς τὸν τόπον αὐτοῦ.

Ἑ ρ μ η ν ε ί α

Ο ΑΒΒΑΣ Δανιὴλ ἔλεγε: Κάποτε μὲ ἐκάλεσεν ὁ Ἀββᾶς Ἀρσένιος καὶ μοῦ εἶπεν: «ἀνακούφισε τὸν πλησίον σου, ὥστε ὅταν ἀναχωρήσῃ ἐκ τοῦ κόσμου αὐτοῦ πρὸς τὸν Κύριον, νὰ τὸν παρακαλέσῃ διὰ σέ, καὶ θὰ εὕρῃς καλόν».

2. Ἕνας ἀδελφός, ἀπὸ τὴν σκήτην, ἦλθε πρὸς τὸν Ἀββᾶν Ἀμμοῦν καὶ τοῦ λέγει:

— Πάτερ, μὲ στέλλει ὁ Γέροντάς μου εἰς ὑπηρεσίαν, ἀλλὰ ἐγὼ φοβοῦμαι τὴν πορνείαν.

— Οἱανδήποτε ὥραν σὲ ἐνοχλήσῃ ὁ πειρασμὸς μὲ πορνικοὺς λογισμοὺς — τοῦ ἀπήντησεν ὁ Ἀββᾶς — νὰ εἰπῇς· «ὁ Θεὸς τῶν δυνάμεων, μὲ τὰς εὐχὰς τοῦ πνευματικοῦ μου Πατρός, λύτρωσέ με».

Μίαν ἡμέραν λοιπόν, μία νέα ἐπεχείρησε νὰ τὸν κρατήσῃ διὰ τῆς βίας· ὁ Μοναχὸς ἐφώναξε μὲ μεγάλην φωνήν· «Θεὲ τοῦ πνευματικοῦ μου Πατρός, γλύτωσέ με». Καὶ — ὢ τοῦ θαύματος — ἀμέσως εὑρέθη εἰς τὸν δρόμον, ποὺ ὡδηγοῦσε πρὸς τὴν σκήτην.

3. Ἕνας Γέρων εἶχε κάποιον εἰς τὸ χωρίον, ὁ ὁποῖος τὸν ἐξυπηρετοῦσεν εἰς τὰς ἀνάγκας του. Κάποτε ὁ φροντιστὴς αὐτὸς ἄργησε νὰ ἔλθῃ εἰς τὴν σκήτην, ὅπως συνήθιζε, ὁπόταν τὰ ἐφόδια τοῦ Γέροντος ἤρχισαν νὰ ὀλιγοστεύουν· ἐπειδὴ δὲ συνέχιζεν ἡ ἀργοπορία τοῦ φροντιστοῦ, ἐξηντλήθησαν τελείως τὰ ἀναγκαῖα, ἀκόμη καὶ τὸ ἐργόχειρον, μὲ τὸ ὁποῖον ἀπησχολεῖτο εἰς τὸ κελλί του. Ὁ Γέρων λοιπὸν ἐστενοχωρεῖτο διότι δὲν εἶχεν οὔτε ἐφόδια διὰ νὰ ἐργασθῇ τὸ ἐργόχειρόν του, ἀλλ' οὔτε καὶ τρόφιμα. Πιεζόμενος ὑπὸ τῆς στενοχωρίας αὐτῆς λέγει πρὸς τὸν ὑποτακτικόν του:

— Θέλεις νὰ μεταβῇς εἰς τὸ χωρίον;

— Νὰ κάμω, ὅπως θέλεις· ἀπήντησε δειλὰ ὁ ἀδελφός, διότι ἐφοβεῖτο νὰ πλησιάσῃ τὸ χωρίον ἀπὸ τὸν φόβον τοῦ σκανδάλου. Διὰ νὰ μὴ παρακούσῃ ὅμως τὸν Γέροντά του ἐδέχθη νὰ μεταβῇ.

— Πήγαινε τότε, τοῦ εἶπε πάλιν ὁ Γέρων, καὶ πιστεύω ὅτι ὁ Θεὸς τῶν Πατέρων μου θὰ σὲ προφυλάξῃ ἀπὸ κάθε πειρασμόν· καὶ ἀφοῦ τοῦ ἔδωσε τὴν εὐχήν του, τὸν ἔστειλε.

Ὁ ἀδελφὸς πράγματι ἦλθεν εἰς τὸ χωρίον καὶ ἀφοῦ εὗρῆκε τὴν οἰκίαν τοῦ φροντιστοῦ, ἐστάθη ἔξω ἀπὸ τὴν θύραν καὶ ἐκτύπησε.

Κατὰ σύμπτωσιν ὅμως τὴν ἡμέραν ἐκείνην ἔλειπεν ἀπὸ τὴν οἰκίαν του ὁ φροντιστὴς μὲ τὴν οἰκογένειάν του καὶ εὑρίσκετο, διὰ μνημόσυνον, ἔξω ἀπὸ τὸ χωρίον. Εἰς τὴν οἰκίαν εἶχε παραμείνει μόνον μία ἀπὸ τὰς θυγατέρας του, ἡ ὁποία, μόλις ἐκτύπησεν ὁ ἀδελφός, ἤνοιξε τὴν θύραν· πληροφορηθεῖσα δὲ τί θέλει, τὸν παρακινοῦσε νὰ εἰσέλθῃ μέσα εἰς τὴν οἰκίαν καὶ συγχρόνως τὸν ἔσυρεν. Ὁ ἀδελφὸς ὅμως δὲν ἀπεφάσιζε νὰ

εἰσέλθῃ. Ἐπὶ τέλους ἀφοῦ τὸν ἐπίεσε πολύ, ὑπερίσχυσε καὶ τὸν ἐτράβηξε κοντά της, πρὸς τὸ ἐσωτερικὸν τῆς οἰκίας.

Μόλις ἀντελήφθη ὁ ἀδελφὸς νὰ ἐνοχλῆται ἀπὸ κακοὺς λογισμούς, ἐστέναξεν ἀπὸ τὰ βάθη τῆς καρδίας του καὶ εἶπε πρὸς τὸν Θεόν· «Κύριε, μὲ τὴν δύναμιν τῶν εὐχῶν τοῦ Γέροντός μου, σῶσε με κατὰ τὴν ἐπικίνδυνον αὐτὴν ὥραν».

Μόλις ἐτελείωσε τὴν μυστικὴν αὐτὴν προσευχὴν εὑρέθη ἀμέσως εἰς τὸν ποταμὸν πορευόμενος πρὸς τὸ ὄρος καὶ ἐπανῆλθεν εἰς τὸν Γέροντά του, χωρὶς βλάβην.

4. Κάποτε ὁ Ἀβραάμ, ὁ μαθητὴς τοῦ Ἀββᾶ Σισώη, ἠνωχλήθη ἀπὸ τὸν δαίμονα· ὁ Γέρων, ὡς προορατικός, εἶδε πῶς εἶχε πέσει. Ἀμέσως λοιπὸν ἐσηκώθη ἐκείνην τὴν στιγμήν, ὕψωσε τὰ χέρια του πρὸς τὸν οὐρανὸν καὶ ἀπηύθυνε πρὸς τὸν Θεὸν αὐτὴν τὴν προσευχήν· «Ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ποὺ δὲν ἐπιθυμεῖς τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ἕως ὅτου ἐπιστρέψῃ ἀπὸ τὴν ἁμαρτίαν καὶ ξαναζήσῃ, θεράπευσε καὶ τὸν δοῦλον Σου Ἀβραὰμ καὶ λύτρωσέ τον ἀπὸ τὴν ἐνόχλησιν τοῦ δαίμονος». Ἀμέσως δὲ ὁ Ἀβραὰμ ἐθεραπεύθη.

5. Ἕνας Γέρων ἔστειλε τὸν ὑποτακτικόν του εἰς τὸ πηγάδι νὰ πάρῃ νερό. Τὸ πηγάδι ἦτο μακρὰν ἀπὸ τὸ κελλί τους. Ὁ ὑποτακτικὸς ὅμως ἐλησμόνησε νὰ πάρῃ μαζί του σχοινί· καὶ μόλις ἦλθεν εἰς τὸ πηγάδι, τότε μόνον ἀντελήφθη, ὅτι δὲν εἶχε πάρει σχοινί. Ἀμέσως προσηυχήθη μὲ πίστιν εἰς τὸν Θεὸν καί, ὢ τοῦ θαύματος, ἀνέβη ἡ στάθμη τοῦ νεροῦ ὑψηλά. Ἀφοῦ δὲ ἐγέμισεν ὁ ἀδελφὸς τὴν στάμναν του κατέβηκε καὶ πάλιν τὸ νερὸν εἰς τὴν φυσικήν του στάθμην.

Δ'. Τοῦ Ἀββᾶ Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· ὅταν ἔχω παράθεσιν τῶν Ἁγίων, καὶ συμβαίνῃ μοι λῃστρικὴν διαβαίνειν ὁδὸν διά τινα χρείαν ἀναγκαίαν ἢ εὐσεβῆ, πῶς ὀφείλω, Πάτερ, διελθεῖν τὴν ὁδόν; ἆρα ἀπερισκέπτως θαρρῶν τῇ παραθέσει, ἢ ποίῳ τρόπῳ; εἰ δὲ καὶ τύχω ἀπροσδοκήτως τοῖς λῃσταῖς, πῶς ὀφείλω διακεῖσθαι ἐν τῷ λογισμῷ περί τε ἐμαυτοῦ καὶ τῶν σὺν ἐμοὶ πραγμάτων; κἂν συμβῇ δέ μοι μὴ εἰπεῖν τῷ Ἀββᾷ περὶ τῶν λῃστῶν, ἆρα ὀφείλω ἀνακάμψαι καὶ εἰπεῖν αὐτῷ; ἀπεκρίθη ὁ γέρων· ἐὰν φθάσωμεν λαβεῖν παράθεσιν παρά τινος τῶν Ἁγίων, ὀφείλομεν θαρρεῖν ὅτι ἀκριβῶς τὴν τοῦ Θεοῦ βοήθειαν ἔχομεν. Εἰ γὰρ εἰς τὰ τοῦ κόσμου ἐάν τις παραδώσῃ τὸν οἶκον αὐτοῦ τινὸς τῶν μεγάλων, οὐ μικρῶς φροντίζεται ὑπ' αὐτοῦ διὰ τὴν τιμὴν τοῦ παραδόντος, πόσῳ γε μᾶλλον παρὰ τῷ Θεῷ τελειοῦται ἡ τῶν Ἁγίων παράθεσις, τοῦ φυλάξαι τὸν παραδεδομένον αὐτῷ ὑπ' αὐτῶν. Λέγει γὰρ ἡ γραφὴ περὶ τοῦ Θεοῦ· «ὅτι θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει· καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς».

Ἐν παντὶ οὖν τρόπῳ καὶ πράγματι ὀφείλομεν ἔχειν τὴν τῶν Ἁγίων παράθεσιν τελείαν καὶ εἰς βοήθειαν καὶ σωτηρίαν ψυχῆς. Ἐὰν δέ, λαβόντες τὴν παράθεσιν, εὕρωμεν σκυλμὸν καὶ θλῖψιν ἐν τοῖς πράγμασιν, ἢ ἐν τῇ ὁδῷ κατὰ συγχώρησιν Θεοῦ περιπέσωμεν πειρασμῷ, μὴ ὀλιγωρήσωμεν, μηδὲ λογισώμεθα τοὺς παρα-

θεμένους ἡμᾶς ὡς ἀδυνάτους, καὶ σκανδαλισθῶμεν εἰς αὐτούς, διὰ τὸ μετὰ τὴν παράθεσιν γενέσθαι ἡμῖν ἀπώλειαν πράγματος, ἢ καὶ πληγὴν σώματος· ἀλλὰ μνησθῶμεν ὅτι καὶ αὐτὸς ὁ θεῖος Ἀπόστολος δυνατὸς ὤν, καὶ τέλειος Ἅγιος, πολλοῖς λυπηροῖς καὶ πᾶσι τούτοις περιέπεσε καὶ ἐκαυχᾶτο λέγων· πόσους κινδύνους ὑπέμεινα, καὶ ἐκ πάντων αὐτῶν ἐρρύσατό με ὁ Κύριος· καὶ ὅτι πολλαὶ αἱ θλίψεις τῶν δικαίων καὶ ἐκ πασῶν αὐτῶν ρύσεται αὐτοὺς ὁ Κύριος, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν· καὶ πάλιν· ἀνὴρ ἀπείραστος, ἄπειρος καὶ ἀδόκιμος· καὶ σχῶμεν ἐν τῷ νῷ, ὅτι πᾶν πρᾶγμα ἀγαθὸν ἄνευ θλίψεως οὐ τελειοῦται· ἔχει γὰρ τὸν ἀντικείμενον φθόνον τοῦ διαβόλου.

Ἐὰν δὲ συμβῇ παρελθεῖν ἡμᾶς ἄνευ θλίψεως, μὴ ὑψηλοφρονήσωμεν, νομίσαντες ὅτι, ἄξιοι ὄντες, ἐσώθημεν ἀπὸ θλίψεως· ἀλλὰ λογισώμεθα ὅτι εἰδὼς ὁ Θεὸς τὴν ἀσθένειαν ἡμῶν, ὡς ἀδυνάτως ἔχομεν τοῦ ὑπενεγκεῖν θλῖψιν, διὰ τῆς παραθέσεως τῶν Ἁγίων ἐσκέπασεν ἡμᾶς ἀπὸ θλίψεως· καὶ γὰρ περὶ τῶν ὑπομεινάντων ἐν θλίψει ἢ ἐν πειρασμῷ γέγραπται· «μακάριος ὃς ὑπομείνῃ πειρασμόν, ὅτι δόκιμος γενόμενος» καὶ τὰ ἑξῆς.

Πρόσχες δὲ μὴ ὡς ἔχων παράθεσιν τῶν Ἁγίων μετὰ ραθυμίας ποιήσῃς τὴν ὁδόν σου· ὀφείλεις γὰρ ἐὰν ἀκούσῃς τίποτε ἐν τῇ ὁδῷ ἢ περί τινος πράγματος ἐναντίου, ἀσφαλίσασθαι ἑαυτὸν καὶ ποιῆσαι τὴν δύναμίν σου, μὴ περιπεσεῖν τῷ κινδύνῳ τοῦ πράγματος, ἀλλὰ δεόμενος τοῦ Θεοῦ καὶ μεμνημένος τῆς παραθέσεως τῶν Ἁγίων σπούδασον ἢ μετὰ καί τινων ἄλλων παρελθεῖν τὴν ἐπισφαλῆ ἐκείνην ὁδόν, ἢ ἐρωτᾶν ποίῳ τρόπῳ δύνασαι ἀσφαλῶς παρελθεῖν, ἢ δι᾽ αὐτῆς τῆς ὁδοῦ ἢ δι᾽ ἑτέρας· καὶ ἐὰν προφάσει δὲ εὐσεβοῦς πράγματος ἢ πρὸς Πατέρας Ἁγίους λέγῃς διαβῆναι, καὶ ἀκούσῃς περὶ λῃστῶν ἢ ἄλλων κινδύνων ἐν τῇ ὁδῷ, μὴ ὡς θαρρῶν τῷ εὐσεβεῖ σου σκοπῷ ἐμβάλῃς ἑαυτὸν τοῦ παρελθεῖν ἐκείνην τὴν ὁδόν, δίχα ἀσφαλείας, ἀλλ᾽ ὡς δύνῃ ἀσφάλισαι σεαυτόν, ἵνα κἂν τούτῳ φύγῃς τῆς ὑψηλοφροσύνης τὸν κίνδυνον· οὐ δεῖ γάρ τινα ἑκόντα ἑαυτὸν ἐμβάλλειν εἰς πειρασμόν, ἀλλὰ τὸν κατὰ Θεοῦ συγχώρησιν ἐρχόμενον εὐχαρίστως ὑπομένειν. Καὶ γὰρ καί τινας τῶν Πατέρων εὑρίσκομεν θελήσαντας ἀπελθεῖν εἰς ἐπίσκεψιν ἄλλων Ἁγίων οἰκούντων τὰ τῆς ἐρήμου ἐνδότατα· καὶ ἀκούσαντας περὶ λῃστῶν καὶ ἄλλων θλίψεων, ὑπερέθεντο ἀπελθεῖν· καὶ τοῦτο ταπείνωσις ἡμῖν εὑρίσκεται.

Ἐὰν οἶδας ἢ ἤκουσας πρότερον περὶ τῆς ὁδοῦ ὅτι θλῖψιν ἔχει, ἐρώτησον τὸν Ἀββᾶν, τί δοκιμάζεις ποιήσω; καὶ ὃ εἴπῃ σοι, ποίησον. Ἐὰν δὲ κατὰ λήθην μὴ εἴπῃς αὐτῷ, ἀλλὰ ἀπέλθῃς λαβὼν παράθεσιν, καὶ μνησθῇς ἐν τῇ ὁδῷ, ὅτι λήθη παρηκολούθησε καὶ οὐκ εἶπες αὐτῷ, οὐ χρεία σε ἀναλῦσαι, δεήθητι δὲ τοῦ Θεοῦ λέγων· δέσποτα, συγχώρησόν μοι καὶ τῇ ἐμῇ ραθυμίᾳ· καὶ διὰ τὴν παράθεσιν τοῦ Ἁγίου σου, καὶ διὰ τὴν ἀγαθότητα τῆς εὐσπλαγχνίας σου, ὁδήγησόν με κατὰ τὸ θέλημά σου καὶ σῶσόν με, καὶ φύλαξον ἀπὸ παντὸς κακοῦ καὶ πονηροῦ πράγματος.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα·

—Ὅταν ἔχω ἐντολὴν (παράθεσιν)* τῶν Πατέρων, νὰ μεταβῶ εἰς

* Ἡ λέξις παράθεσις εἶχε παρὰ τοῖς τότε μοναχοῖς τὴν σημασίαν τὴν ὁποίαν ἔχει σήμερον παρ᾽ ἡμῖν ἡ λέξις εὐλογία ἢ καὶ ἐντολή. Ἡ ἐντολὴ τοῦ προεστῶτος εἶναι

ἕνα μέρος καὶ συμβαίνει νὰ περνῶ ἀπὸ δρόμον, εἰς τὸν ὁποῖον ὑπάρχει ἐνέδρα ληστῶν, εἶναι δὲ ἀνάγκη νὰ περάσω, πῶς πρέπει, Πάτερ, νὰ περάσω τὸν δρόμον; Χωρὶς νὰ ὑπολογίζω τίποτε, στηρίζων τὸ θάρρος μου εἰς τὴν ἐντολήν; ἢ κατὰ ποῖον ἄλλον τρόπον; Ἂν δὲ τύχῃ καὶ συναντηθῶ ἔξαφνα μὲ τοὺς ληστάς, πῶς πρέπει τότε νὰ σκεφθῶ διὰ τὸν ἑαυτόν μου καὶ διὰ τὰ πράγματα ποὺ μεταφέρω; Ἂν πάλιν δὲν εἶχα ἐνθυμηθῆ νὰ εἴπω προηγουμένως εἰς τὸν Γέροντά μου διὰ τοὺς ληστάς, μήπως πρέπει νὰ ἐπιστρέψω καὶ νὰ τοῦ τὸ εἰπῶ;

Εἰς αὐτὰς τὰς ἀπορίας ὁ Γέρων ἀπήντησεν·

—Ὅταν λάβωμεν εὐλογίαν ἀπὸ ἕνα ἐκ τῶν ἁγίων Πατέρων διὰ κάποιαν ἐντολήν, πρέπει νὰ πιστεύωμεν ὅτι ἔχομεν τὴν βοήθειαν τοῦ Θεοῦ καὶ νὰ ἔχωμεν θάρρος. Διότι ὅπως εἰς τὸν κόσμον ὅταν ἕνας παραδώσῃ τὸν οἶκον του εἰς κάποιον ἄρχοντα ἰσχυρόν, θὰ τὸν φροντίζῃ πλέον ὁ ἄρχων αὐτὸς πάρα πολύ, ἀπὸ ἐκτίμησιν πρὸς τὸν δωρητήν, ἔτσι καὶ πολὺ περισσότερον ὁ Θεὸς θὰ προστατεύσῃ αὐτόν, ποὺ τοῦ ἐνεπιστεύθησαν οἱ Ἅγιοι, τῶν ὁποίων τὴν ἐντολὴν ἐκτελεῖ. Διότι ἡ Ἁγία Γραφὴ λέγει διὰ τὸν Θεὸν «ὅτι θὰ ἐκτελέσῃ τὸ θέλημα αὐτῶν, ποὺ τὸν σέβονται, θὰ ἀκούσῃ τὴν δέησίν των καὶ θὰ τοὺς σώσῃ» (Ψαλμ. ρμδ', 19).

Παντοιοτρόπως λοιπὸν καὶ εἰς πᾶσαν περίστασιν ὀφείλομεν νὰ ἐφαρμόζωμεν ἐπακριβῶς τὴν ἐντολὴν τῶν Ἁγίων Γερόντων, ὁπόταν αὐτὸ θὰ ἀποβῇ εἰς βοήθειαν καὶ σωτηρίαν τῆς ψυχῆς μας. Ἂν δὲ συμβῇ, ἀφοῦ πάρωμεν τὴν ἐντολήν, νὰ εὕρωμεν ἐνόχλησιν καὶ στενοχωρίαν ἀπὸ τὴν φορὰν τῶν πραγμάτων, ἢ ἐπιτρέψῃ ὁ Θεὸς καὶ περιπέσωμεν, καθ' ὁδόν, εἰς πειρασμόν, ἂς μὴ χάσωμεν τὸ θάρρος μας, οὔτε καὶ νὰ ἐπιτρέψωμεν εἰς τὸν λογισμόν μας νὰ εἴπῃ ὅτι εἶναι ἀδύνατοι αὐτοί, ποὺ μᾶς ἔδωσαν τὴν ἐντολὴν καὶ μᾶς ἔθεσαν ὑπὸ τὴν προστασίαν τοῦ Θεοῦ, ὥστε νὰ σκανδαλισθῶμεν μὲ αὐτούς, διότι συνέβη, τάχα μετὰ τὴν ἐντολήν, νὰ χάσωμεν κάποιο πρᾶγμα ἢ καὶ νὰ τραυματισθῶμεν ἀκόμη.

Ἂς ἐνθυμηθῶμεν πῶς καὶ αὐτὸς ὁ θεῖος Ἀπόστολος, ἂν καὶ ἦτο δυνατὸς καὶ τέλειος ἅγιος, ἐν τούτοις περιέπεσεν εἰς πολλὰς θλίψεις καὶ εἰς ὅλα αὐτὰ τὰ λυπηρά· καὶ ὅμως ἐκαυχᾶτο καὶ ἔλεγεν· «πόσους κινδύνους ὑπέμεινα καὶ ἀπὸ ὅλους αὐτοὺς μὲ ἐγλύτωσεν ὁ Κύριος» (Β' Κορ.

διὰ τὸν ὑποτακτικὸν ἱερὰ παραγγελία, τὴν ὁποίαν πρέπει νὰ ἐκτελέσῃ ἀνυπερθέτως μετὰ πάσης ἀκριβείας καὶ ἐπιμελείας. Λαμβάνων δὲ τὴν ἐντολὴν ὁ μοναχὸς πρὸς ἐκτέλεσιν ὑπηρεσίας τινὸς λαμβάνει συγχρόνως καὶ τὴν εὐλογίαν τοῦ προεστῶτος, ἀσπαζόμενος τὴν χεῖρα αὐτοῦ ὑφ' οὗ καὶ σφραγίζεται διὰ τοῦ σημείου τοῦ Τιμίου Σταυροῦ, πρὸς αἰσίαν ἔκβασιν τῆς ἀνατιθεμένης αὐτῷ ἐντολῆς. Ἐν τῇ περιπτώσει ταύτῃ ἡ λέξις εὐλογία ἔχει τὴν σημασίαν τῆς ὑπὲρ τούτου εὐχῆς τοῦ προεστῶτος πρὸς τὸν Θεὸν εἰς τοῦ ὁποίου τὴν κραταιὰν προστασίαν παραθέτει (παράθεσις) τὸν λαμβάνοντα τὴν ἐντολήν, ἵνα διαφυλαχθῇ ἀβλαβὴς ἀπὸ παντὸς κινδύνου καὶ φέρῃ εἰς αἴσιον πέρας τὴν ἀνατεθεῖσαν αὐτῷ ἐντολήν. (Βλέπε ἐν τῇ πράξει παράθεσιν διακόνου ὑπὸ τοῦ Ἁγίου Γρηγορίου σελ. 550 τοῦ ἀνὰ χεῖρας τόμου).

ια', 24—33) καὶ «ὅτι εἶναι πολλαὶ αἱ θλίψεις τῶν δικαίων καὶ ἀπὸ ὅλας αὐτὰς θὰ τοὺς λυτρώσῃ ὁ Κύριος» (Ψαλμ. λγ', 20)· ἀκόμα «ὅτι διὰ μέσου πολλῶν στενοχωριῶν πρέπει νὰ εἰσέλθωμεν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν» (Β' Κορ. στ', 1—10). Ἀλλοῦ, πάλιν, ἡ Ἁγία Γραφὴ λέγει· «ἄνθρωπος, ποὺ δὲν ἐδοκίμασε πειρασμούς, δὲν ἔχει πεῖραν καὶ δὲν ἔχει δοκιμασθῇ» (Ἰακώβ. α', 12). Ἂς βάλωμεν καλὰ εἰς τὸν νοῦν μας ὅτι κανένα καλὸν πρᾶγμα δὲν τελειώνει χωρὶς στενοχωρίαν· διότι ἀντιμετωπίζει τὸν φθόνον τοῦ διαβόλου.

Ἂν, πάλιν, μᾶς συμβῇ νὰ περάσωμεν χωρὶς στενοχωρίαν, ἂς μὴ τὸ πάρωμεν ἐπάνω μας καὶ νομίσωμεν, ὅτι τάχα, ἐπειδὴ εἴμεθα ἄξιοι ἐσώθημεν ἀπὸ τὴν στενοχωρίαν· ἀπ' ἐναντίας πρέπει νὰ σκεφθῶμεν, ὅτι ἐπειδὴ ὁ Θεὸς γνωρίζει τὴν ἀσθένειάν μας, καὶ ὅτι μᾶς ἦτο ἀδύνατον νὰ ὑποφέρωμεν τὴν θλῖψιν, μᾶς ἐσκέπασεν ἀπὸ τὴν θλῖψιν, διὰ τῆς προστασίας τῶν Ἁγίων, ποὺ μᾶς ἔδωσαν τὴν ἐντολήν. Διότι δι' αὐτούς, ποὺ ἔχουν τὴν δύναμιν νὰ ὑπομένουν θλίψεις καὶ πειρασμοὺς ἔχει γραφῇ· «μακάριος εἶναι αὐτός, ποὺ ὑπομένει πειρασμόν, διότι ἐδοκιμάσθη καὶ ἐπέτυχε» (Ἰακώβ. α', 12) καὶ ὅσα ἐν συνεχείᾳ ἀναφέρει ἡ περικοπή.

Πρόσεχε δὲ νὰ μὴ βαδίζῃς εἰς τὸν δρόμον σου μὲ ἐπιπολαιότητα, ἐπειδὴ ἔχεις τὴν εὐλογίαν τῶν Ἁγίων Γερόντων· ὀφείλεις δηλαδή, ἂν ἀκούσῃς κάτι εἰς τὸν δρόμον, ἢ πληροφορηθῇς διὰ κάποιο πρᾶγμα ἀντίθετον, νὰ προφυλαχθῇς καὶ νὰ κάμῃς ὅ,τι ἠμπορεῖς διὰ νὰ μὴ περιπέσῃς εἰς τὸν κίνδυνον, ποὺ περικλείει τὸ ἐπικίνδυνον πρᾶγμα· ἀλλὰ ἱκετεύων τὸν Θεὸν καὶ ἐνθυμούμενος τὴν ἐντολὴν καὶ εὐλογίαν τῶν Ἁγίων Γερόντων νὰ φροντίσῃς νὰ περάσῃς τὸν ἐπικίνδυνον τόπον μαζὶ μὲ ἄλλους, ἢ νὰ ἐρωτήσῃς νὰ μάθῃς μὲ ποῖον τρόπον θὰ προσπεράσῃς ἀσφαλῶς ἀπὸ ἐκεῖ, ἢ ἀπὸ αὐτὸν τὸν δρόμον, ἢ ἀπὸ ἄλλον. Καὶ ἐὰν ἀκόμη μὲ τὴν πρόφασιν εὐσεβοῦς ὑποθέσεως, ἢ προτίθεσαι νὰ ἐπισκεφθῇς Ἁγίους Πατέρας καὶ ἀκούσῃς ὅτι εἰς ἐκεῖνο τὸ μέρος ὑπάρχουν λῃσταὶ ἢ ἄλλοι κίνδυνοι, μὴ ξεκινήσῃς νὰ προσπεράσῃς ἀπὸ ἐκεῖνον τὸν δρόμον, μὲ τὸ θάρρος μόνον τοῦ εὐσεβοῦς σου σκοποῦ, χωρὶς ἀσφάλειαν· ἀλλὰ ὅσον ἠμπορέσῃς νὰ ἀσφαλισθῇς, διὰ νὰ ἀποφύγῃς, ἔστω μὲ τὸν τρόπον αὐτόν, τὸν κίνδυνον, τοὐλάχιστον, τῆς ὑψηλοφροσύνης.

Διότι δὲν πρέπει κανεὶς μὲ τὴν θέλησίν του νὰ ἐκτίθεται εἰς τὸν πειρασμόν, ἀλλὰ μόνον νὰ ὑπομένῃ μὲ εὐχαρίστησιν αὐτόν, ποὺ ἐπέρχεται, κατὰ παραχώρησιν Θεοῦ. Διότι πληροφορούμεθα ὅτι καὶ μερικοὶ ἀπὸ τοὺς Πατέρας, ποὺ ἠθέλησαν νὰ ἐπισκεφθοῦν ἄλλους Ἁγίους, ποὺ κατῴκουν βαθειὰ μέσα εἰς τὴν ἔρημον, ὅταν ἤκουσαν διὰ λῃστὰς ἢ ἄλλους κινδύνους, ἀνέβαλαν τὴν ἀναχώρησίν των· αὐτὸ εἶναι δι' ἡμᾶς παράδειγμα ταπεινώσεως.

Ἐὰν γνωρίζῃς ἐκ τῶν προτέρων, ἢ ἐπληροφορήθης διὰ τὸν δρόμον, ὅτι εἶναι ἐπικίνδυνος, ἐρώτησον τὸν Γέροντά σου· τί κρίνεις ὀρθόν, νὰ κάμω; καὶ αὐτό, ποὺ θὰ σοῦ εἰπῇ νὰ τὸ ἐκτελέσῃς. Ἐὰν ὅμως λησμονήσῃς καὶ δὲν τὸν ἐρωτήσῃς, ἀλλὰ ἀναχωρήσῃς ἀφοῦ λάβῃς εὐλογίαν, καὶ ἐν-

θυμηθῆς καθ' ὁδόν, ὅτι ἐλησμόνησες καὶ δὲν τὸν ἠρώτησες, δὲν εἶναι ἀνάγκη νὰ ἐπιστρέψῃς πάλιν, διὰ νὰ τὸν ἐρωτήσῃς. Παρακάλεσε τὸν Θεὸν καὶ εἰπὲ μὲ πίστιν. Δέσποτα, συγχώρεσέ μου τὴν λησμοσύνην καὶ ἀμέλειαν· καὶ πρὸς χάριν τῆς παρακλήσεως τοῦ Ἁγίου Σου Γέροντός μου, καὶ διὰ τὴν ἀγαθότητα τῆς εὐσπλαγχνίας Σου, ὁδήγησέ με, ὅπως εἶναι τὸ θέλημά Σου, σῶσε με καὶ προφύλαξέ με ἀπὸ κάθε κακὸν καὶ πονηρὸν πρᾶγμα».

Ε'. Ἐν τῷ Γεροντικῷ

ΜΑΘΗΤΗΣ μεγάλου γέροντος, πολεμηθεὶς εἰς πορνείαν, ἀπῆλθεν εἰς τὸν κόσμον καὶ ἐμνηστεύσατο· ὁ δὲ γέρων λυπηθείς, ηὔξατο τῷ Θεῷ λέγων· «Κύριε Ἰησοῦ Χριστέ, μὴ συγχωρήσῃς τὸν δοῦλον σου μιανθῆναι». Ὡς οὖν ἀνεκλίθη ὁ ἀδελφὸς μετὰ τῆς γυναικός, παρέδωκε τὸ πνεῦμα μὴ μιανθείς.

2. Γέρων τις ἦν ἐν Θηβαΐδι καθήμενος ἐν σπηλαίῳ καὶ εἶχε μαθητὴν δόκιμον· ἔθος δὲ ἦν καθ' ἑσπέραν τῷ γέροντι παραινεῖν αὐτῷ τὰ πρὸς ὠφέλειαν· καὶ μετὰ τὴν παραίνεσιν, ἐποίει εὐχὴν καὶ ἀπέλυεν αὐτὸν κοιμηθῆναι. Συνέβη δέ ποτε κοσμικούς τινας εὐλαβεῖς, εἰδότας τὴν πολλὴν τοῦ γέροντος ἄσκησιν, παραβαλεῖν αὐτῷ καὶ ποιῆσαι παράκλησιν· μετὰ δὲ τὸ ἀπελθεῖν αὐτούς, ἐκάθισε πάλιν ὁ γέρων τῇ ἑσπέρᾳ κατὰ τὸ ἔθος νουθετῶν τὸν ἀδελφόν· καὶ ὁμιλῶν αὐτῷ, κατηνέχθη εἰς ὕπνον· ὁ δὲ ἀδελφὸς παρέμενεν, ἕως οὗ ὁ γέρων ἐξυπνισθῇ καὶ ποιήσῃ αὐτῷ εὐχήν.

Ἐπὶ πολὺ οὖν καθεζόμενος, μὴ ἐξυπνιζομένου τοῦ γέροντος, ὠχλήθη καὶ οὐκ ἀπῆλθε· καὶ ὡσαύτως ἕως ἑπτάκις ὀχληθεὶς καὶ ἀντισχὼν ἐκαρτέρησε, καὶ οὐκ ἀπῆλθεν. Ἔπειτα τῆς νυκτὸς ἤδη προκοψάσης, διυπνίσθη ὁ γέρων· καὶ ἰδὼν αὐτὸν καθεζόμενον, λέγει· οὐκ ἀνεχώρησας ἕως ἄρτι; ὁ δὲ εἶπεν· οὐχί· οὐ γὰρ ἀπέλυσάς με, Ἀββᾶ· καὶ ἔφη ὁ γέρων· καὶ διατί οὐκ ἐξύπνισάς με; ἀπεκρίθη ὁ ἀδελφός· οὐκ ἐτόλμησά σε νύξαι, ἵνα μή σε παραλύσω. Ἀναστάντες οὖν ἔβαλον τὰ ὀρθρινά· καὶ μετὰ τὴν σύναξιν ἀπέλυσεν ὁ γέρων τὸν ἀδελφόν, καὶ ἐκάθητο καθ' ἑαυτόν. Γίνεται οὖν ἐν ἐκστάσει· καὶ ἰδού τις ἐδείκνυ αὐτῷ τόπον ἔνδοξον, καὶ θρόνον ὑπέρλαμπρον ἐν αὐτῷ, καὶ ἐπάνω τοῦ θρόνου ἑπτὰ στεφάνους ἀστράπτοντας· ὁ δὲ ἠρώτησε τὸν δεικνύοντα αὐτῷ εἰπών· τίνος ταῦτα; καὶ ἀπεκρίθη ἐκεῖνος· τοῦ μαθητοῦ σου· καὶ τὸν μὲν τόπον καὶ τὸν θρόνον ἐχαρίσατο αὐτῷ ὁ Θεὸς διὰ τὴν ὑπακοὴν αὐτοῦ· τοὺς δὲ ἑπτὰ στεφάνους ἐν τῇ νυκτὶ ταύτῃ ἔλαβεν.

Εἰς ἑαυτὸν οὖν ἐπανελθὼν ὁ γέρων, καλεῖ τὸν ἀδελφὸν καὶ λέγει αὐτῷ· εἰπέ μοι, τί ἐποίησας ἐν τῇ νυκτὶ ταύτῃ; ὁ δὲ εἶπε· συγχώρησόν μοι, Ἀββᾶ, ὅτι οὐδὲν ἐποίησα· ὁ δὲ γέρων νομίσας ὅτι ταπεινοφρονῶν οὐχ ὁμολογεῖ, εἶπεν αὐτῷ· οὐ παραχωρῶ σοι, εἰ μὴ εἴπῃς μοι τί ἐποίησας, ἢ τί ἐνεθυμήθης ἐν τῇ νυκτὶ ταύτῃ· ὁ δὲ ἀδελφός, μηδὲν ἑαυτῷ συνειδὼς πεπραχέναι, ἠπόρει εἰπεῖν· λέγει δὲ τῷ πατρί· Ἀββᾶ, οὐδὲν ἐποίησα, εἰμὴ μόνον τοῦτο· ὀχληθεὶς γὰρ ἑπτάκις ὑπὸ τῶν λογισμῶν ἀναχωρῆσαι χωρὶς τῆς σῆς ἀπολύσεως, οὐκ ἀπῆλθον· ὁ δὲ γέρων ταῦτα ἀκούσας, ἐννόησεν ὅτι ὁσάκις ἀντεμαχέσατο τῷ λογισμῷ ἐστεφανώθη ὑπὸ τοῦ Θεοῦ· καὶ τῷ μὲν ἀδελφῷ οὐδὲν περὶ ὧν εἶδεν, ἐλάλησεν· ὠφελείας δὲ χάριν διηγήσατο ταῦτα ἀνδράσι πνευματικοῖς, ἵνα μάθωμεν ὅτι καὶ ὑπὲρ μικρῶν πόνων λαμπροὺς ἡμῖν ὁ Θεὸς στεφάνους χαρίζεται, ἅμα δὲ διδαχθῶμεν καὶ

τὸ σπουδαίως ἐπιζητεῖν τὰς τῶν Πατέρων εὐχάς, καὶ μὴ τολμᾶν ποιεῖν τι, ἢ ὅλως χωρίζεσθαι ἀπ᾽ αὐτῶν, ἄνευ τῆς αὐτῶν εὐλογίας καὶ παραθέσεως.

Ἑρμηνεία

Ο ΜΑΘΗΤΗΣ ἑνὸς μεγάλου Γέροντος κάποτε ἐπολεμήθη ἀπὸ λογισμοὺς πορνείας· νικηθεὶς δὲ ἀνεχώρησεν εἰς τὸν κόσμον καὶ ἠρραβωνίσθη. Ὁ Γέρων ἐλυπήθη καὶ προσηυχήθη εἰς τὸν Θεόν. «Κύριε Ἰησοῦ Χριστέ, — εἶπε — μὴ ἐπιτρέψῃς νὰ μολυνθῇ ὁ δοῦλος Σου». Μόλις λοιπὸν ὁ ἀδελφὸς ἔπεσεν εἰς τὸ κρεββάτι μὲ τὴν γυναῖκα, παρέδωσε τὸ πνεῦμα, χωρὶς νὰ μολυνθῇ.

2. Ἕνας Γέρων ἠσκήτευε κάποτε εἰς σπήλαιον τῆς Θηβαΐδος· οὗτος εἶχεν ὑποτακτικὸν δοκιμασμένης ἀρετῆς. Κάθε βράδυ ὁ Γέρων συνήθιζε νὰ τὸν συμβουλεύῃ τὰ ὠφέλιμα καὶ μετὰ τὰς συμβουλὰς τοῦ ἔδιδε τὴν εὐχὴν καὶ εὐλογίαν νὰ ὑπάγῃ νὰ κοιμηθῇ. Κάποτε ἐπεσκέφθησαν τὸν Γέροντα μερικοὶ εὐλαβεῖς κοσμικοί, ποὺ ἐγνώριζον τὴν ἄσκησίν του καὶ ἦλθον νὰ τοῦ φέρουν μερικὰ δῶρα. Ὅταν ἔφυγαν, ἐκάθισε πάλιν ὁ Γέρων, κατὰ τὴν συνήθειάν του, τὸ βράδυ νὰ νουθετῇ τὸν ὑποτακτικόν του. Καθὼς ὅμως τοῦ ὡμίλει ἀπεκοιμήθη· ὁ ὑποτακτικὸς παρέμεινεν ἕως ὅτου ἐξυπνήσῃ διὰ νὰ τὸν εὐχηθῇ καὶ νὰ τοῦ δώσῃ ἐντολὴν νὰ φύγῃ.

Ἐκάθισε λοιπὸν πολλὴν ὥραν, χωρὶς νὰ ἐξυπνᾷ ὁ Γέρων· καίτοι δὲ ἠνωχλήθη ἀπὸ τὸν λογισμόν του, ἐν τούτοις ὁ ὑποτακτικὸς δὲν ἔφυγεν. Ὁ λογισμός του τὸν ἠνώχλησε νὰ φύγῃ μέχρις ἑπτὰ φορὰς καὶ ἀντεστάθη καὶ δὲν ἔφυγε. Μετὰ ἐπροχώρησεν ἡ νύκτα καὶ ὁ Γέρων ἐξύπνησεν. Ὅταν λοιπὸν εἶδε τὸν ὑποτακτικόν του νὰ κάθεται ἀκόμη, τοῦ λέγει:

— Διατί μέχρι τώρα δὲν ἔφυγες;

— Διότι δὲν μοῦ ἔδωσες εὐλογίαν νὰ φύγω, ἀπήντησεν ὁ ὑποτακτικός.

— Καὶ διατί δὲν μὲ ἐξύπνησες; ἠρώτησεν ἐκ δευτέρου ὁ Γέρων.

— Δὲν ἐτόλμησα νὰ σὲ σκουντήσω, διὰ νὰ μὴ σὲ τρομάξω, ἐπανέλαβεν ὁ ὑποτακτικός.

Ἐν συνεχείᾳ ἐσηκώθησαν καὶ ἐτέλεσαν τὴν ἀκολουθίαν τοῦ ὄρθρου. Μετὰ τὴν ἀκολουθίαν ἔδωσεν εὐλογίαν ὁ Γέρων εἰς τὸν ὑποτακτικόν του νὰ φύγῃ καὶ αὐτὸς ἐκάθησε μόνος του. Περιπίπτει δὲ εἰς ἔκστασιν. Βλέπει λοιπὸν κάποιον ποὺ τοῦ ἔδειχνεν ἕνα ἔνδοξον τόπον καὶ εἰς τὸν τόπον ἐκεῖνον ἕνα ὁλόλαμπρον θρόνον καὶ ἐπάνω εἰς τὸν θρόνον ἑπτὰ ἀστραπτεροὺς στεφάνους. Ὁ Γέρων ἐρωτᾷ ἐκεῖνον, ποὺ τοῦ τὰ ἔδειχνε:

— Τίνος εἶναι αὐτά;

— Τοῦ ὑποτακτικοῦ σου, ἀπήντησεν ἐκεῖνος· καὶ τὸν μὲν τόπον καὶ τὸν θρόνον — συνέχισεν ὁ ἄγνωστος — τοῦ τὰ ἐχάρισεν ὁ Θεὸς διὰ τὴν ὑπακοήν του· τοὺς δὲ ἑπτὰ στεφάνους τοὺς ἐπῆρε τὴν προηγουμένην νύκτα.

Μόλις συνῆλθεν ἀπὸ τὴν ἔκστασιν ὁ Γέρων, φωνάζει τὸν ὑποτακτικόν του καὶ τοῦ λέγει:

— Εἰπέ μου, τὴν προηγουμένην νύκτα τί ἔκανες;

— Συγχώρεσέ με, Γέροντά μου· ἀπήντησεν ὁ ὑποτακτικός· τίποτε δὲν ἔκανα.

Ὁ Γέρων νομίζων πὼς ἀπὸ ταπεινοφροσύνην δὲν ἀπαντοῦσε, ἐπέμενε καὶ πάλιν.

— Δὲν σοῦ δίδω εὐλογίαν νὰ φύγῃς — τοῦ ἔλεγεν — ἐὰν δὲν μοῦ εἴπῃς τί ἔκανες, ἢ τί ἐσκέφθηκες αὐτὴν τὴν νύκτα.

Ὁ ἀδελφός, ἐπειδὴ δὲν ἐγνώριζε νὰ εἶχε κάνει κάτι, εὑρίσκετο εἰς ἀπορίαν καὶ δὲν ἐγνώριζε τί νὰ εἴπῃ. Λέγει λοιπὸν εἰς τὸν πνευματικόν του Πατέρα.

— Ἀββᾶ, δὲν ἔκανα τίποτε· μόνον ἐνθυμοῦμαι, πὼς μὲ ἠνώχλησεν ὁ λογισμὸς νὰ φύγω, χωρὶς τὴν εὐλογίαν σου, ἑπτὰ φοράς, ἀλλ' ἐγὼ δὲν ἔφυγα.

Ὅταν ἤκουσεν αὐτὰ ὁ Γέρων ἀντελήφθη τὴν σημασίαν τοῦ ὁράματος· ὅτι δηλαδὴ κάθε φορὰν ποὺ ἀντεστέκετο εἰς τὸν λογισμόν του καὶ δὲν ἔφευγεν ἐστεφανώνετο ὑπὸ τοῦ Θεοῦ. Καὶ εἰς μὲν τὸν ὑποτακτικόν του τίποτε δὲν εἶπεν ἀπὸ ὅσα εἶδεν· χάριν ὅμως ὠφελείας τὰ διηγήθη εἰς ἄνδρας πνευματικούς, διὰ νὰ μάθωμεν ὅτι ὁ Θεὸς καὶ διὰ μικροὺς ἀκόμη κόπους μᾶς χαρίζει λαμπροὺς στεφάνους, ἀλλὰ καὶ διὰ νὰ διδαχθῶμεν συγχρόνως ὅτι πρέπει νὰ ἐπιζητῶμεν, μετ' ἐνδιαφέροντος, τὰς εὐχὰς τῶν πνευματικῶν μας Πατέρων καὶ νὰ μὴ τολμῶμεν νὰ κάνωμεν κάτι, ἢ νὰ ἀπομακρυνώμεθα τελείως ἀπ' αὐτούς, χωρὶς τὴν εὐλογίαν των καὶ τὴν ἐντολήν των.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΕΝ ὅλῃ δυνάμει σου τίμα τὸν πατέρα σου, καὶ μὴ ἀκύρους ποιήσῃς θεσμοὺς τοῦ ἐν Κυρίῳ γεννήσαντός σε· ἐν τούτῳ γὰρ τῷ τρόπῳ πονηροὶ δαίμονες οὐδέποτε ἰσχύουσι κατὰ σοῦ· γέγραπται· «ὁ τιμῶν πατέρα εὐφρανθήσεται ἐπὶ τέκνοις, καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ εἰσακουσθήσεται· ὁ δοξάζων πατέρα μακροημερεύσει, καὶ ἐν ἡμέρᾳ τελευτῆς αὐτοῦ εὑρήσει χάριν. Ἐν λόγῳ καὶ ἔργῳ τίμα τὸν πατέρα σου, ἵνα ἐπέλθῃ σοι εὐλογία παρ' αὐτοῦ· μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου· οὐ γὰρ ἔστι σοι δόξα πατρὸς ἀτιμία· ἡ γὰρ δόξα ἀνθρώπου ἐκ τιμῆς πατρὸς αὐτοῦ» (Σειρ. γ', 3—12).

Ἐὰν καθίσῃς μετὰ μεγάλου γέροντος, μὴ μόνον τὰς ἀρετὰς ἐκδιηγοῦ, ἀλλὰ καὶ τὸν βίον διαμιμοῦ· τοῦτο γάρ σοι ὠφέλιμον· καὶ μὴ ἐκ τῶν λόγων μόνον, ἀλλὰ καὶ ἐκ τῶν ἔργων δεῖξον τὴν πρὸς αὐτὸν οἰκειότητα.


Ἑ ρ μ η ν ε ί α

ΜΕ ὅλην σου τὴν δύναμιν νὰ τιμᾷς τὸν πνευματικόν σου Πατέρα καὶ νὰ μὴ περιφρονῇς τὰς συμβουλὰς αὐτοῦ, ποὺ σὲ ἐγέννησεν ἐν Κυρίῳ· διότι κατ' αὐτὸν τὸν τρόπον ποτὲ δὲν θὰ σὲ νικήσουν οἱ πονηροὶ δαίμονες. Ἡ Ἁγία Γραφὴ σχετικῶς γράφει· «Αὐτός, ποὺ τιμᾷ τὸν πατέρα του, θὰ εὐφρανθῇ διὰ τὰ τέκνα του καὶ ὅταν προσευχηθῇ, θὰ τὸν ἀκούσῃ ὁ

Θεός· ἐκεῖνος ποὺ δοξάζει τὸν πατέρα του θὰ ζήσῃ πολλὰ χρόνια καὶ θὰ εὕρῃ χάριν ἀπὸ τὸν Θεὸν εἰς τὸ τέλος τῆς ζωῆς του. Μὲ λόγια καὶ μὲ ἔργα νὰ τιμᾷς τὸν πατέρα σου, διὰ νὰ ἔλθῃ εἰς σὲ ἡ εὐλογία ἀπὸ αὐτόν· νὰ μὴ δοξάζεσαι ἀτιμάζων τὸν πατέρα σου· διότι δὲν εἶναι δόξα διὰ σὲ ἡ ἀτιμία τοῦ πατρός σου· διότι ἡ δόξα τοῦ ἀνθρώπου προέρχεται ἀπὸ τὴν τιμὴν τοῦ πατρὸς αὐτοῦ» (Σοφ. Σειρ. γ´, 1—16).

Ἂν θὰ παραμείνῃς πλησίον ὀνομαστοῦ Γέροντος, μὴ ἀρκεσθῇς νὰ διηγῆσαι μόνον τὰς ἀρετάς του, ἀλλὰ προσπάθησε νὰ μιμῆσαι καὶ τὸν βίον του· διότι αὐτὸ θὰ σὲ ὠφελήσῃ. Δεῖξε δὲ τὴν συγγένειαν καὶ γνωριμίαν, ποὺ ἔχεις μαζί του, ὄχι μόνον ἀπὸ τὰ λόγια, ἀλλὰ καὶ ἀπὸ τὰ ἔργα.





ΥΠΟΘΕΣΙΣ Μ΄

Ὅτι οὐ δεῖ τινα εὐμετάβατον εἶναι ἢ τῆς μονῆς ἀναχωρῆσαι ἐν ᾗ τελειωθῆναι τῷ Θεῷ συνετάξατο· οἱ γὰρ Πατέρες οὐδὲ τῆς κέλλης εὐχερῶς ἀπανίσταντο, ἐν ᾗ καὶ οὐ τὴν τυχοῦσαν εὗρον ὠφέλειαν.

Ὅτι δὲν πρέπει νὰ ἐξέρχεται κανεὶς εὔκολα ἢ νὰ ἀναχωρῇ ἀπὸ τὸ Μοναστήρι, εἰς τὸ ὁποῖον ὑπεσχέθη, ἐνώπιον τοῦ Θεοῦ, νὰ παραμείνῃ μέχρι τέλους τῆς ζωῆς του· διότι οἱ Πατέρες οὔτε ἀπὸ τὸ κελλί των δὲν ἐξήρχοντο, μέσα εἰς τὸ ὁποῖον εὗρον μεγάλην ὠφέλειαν.



Α΄. Παλλαδίου



ΑΘΑΝΑΗΛ τις καλούμενος ἦν ἐν τῷ τῆς Νιτρίας ὄρει· ὃς τοσαύτην ἔσχε τὴν ὑπομονὴν ἐν τῷ κελλίῳ, ὡς μὴ σαλευθῆναι τῆς προθέσεως ἧς προέθετο ἐν ἑαυτῷ, ἐν οἷς ἦν ἐμπαιχθεὶς κατ' ἀρχὰς ὑπὸ τοῦ δαίμονος. Ἐν γὰρ τῷ κελλίῳ καθήμενος πρώην, ἔδοξεν ἀκηδιᾷν· καὶ ἀναχωρήσας ἐκεῖθεν, ἄλλην ἔκτισε κέλλαν, ἀπελθὼν πλησιέστερον κώμης. Καὶ ἐν τῷ οἰκεῖν ἐν αὐτῇ, μετὰ τρεῖς ἢ τέσσαρας μῆνας, ἀκούει ψόφους ἔξωθεν ἐν νυκτὶ παρά τινος κατέχοντος ταυρέαν ὥς περ οἱ δήμιοι, καὶ σχῆμα ἔχοντος στρατιώτου ρακοδυτοῦντος, καὶ κτύπους ἐργαζομένου τῇ ταυρέᾳ· πρὸς ὃν ἀχθόμενος ὁ μακάριος ἔφη Ναθαναήλ· τίς εἶ σὺ ὁ ταῦτα δρῶν ἐν τῇ ἐμῇ ξενίᾳ; ὁ δὲ ἀπεκρίνατο· ἐγώ εἰμι ὁ καὶ τῆς πρώτης κέλλης ἐλάσας σε· καὶ νῦν ἦλθον ἐκ ταύτης φυγαδεῦσαι σε.

Ἐγνωκὼς οὖν ὁ μακάριος ὅτι ἐνεπαίχθη ὑπὸ τοῦ δαίμονος, ὑποστρέφει αὖθις ἐπὶ τὴν πρώτην κέλλαν· καὶ πληρώσας ἐν αὐτῇ τριάκοντα ἑπτὰ ἔτη, οὐχ ὑπερέβη τὸν βατῆρα φιλονικήσας τῷ δαίμονι, ὃς τοιαῦτα αὐτῷ ἐνεδείξατο ἵνα αὐτὸν ἀναγκάσῃ ἐκ τῆς κέλλης ἐξελθεῖν, ὅσα οὐκ ἔστιν οὐδὲ διηγήσασθαι· ὁ δὲ ἀντέστη αὐτῷ μέχρι τέλους, καὶ ἐν αὐτῇ ἐκοιμήθη.

2. Ὤχλησάν ποτε τῷ Μεγάλῳ Μακαρίῳ τῷ Ἀλεξανδρεῖ λογισμοὶ κενοδοξίας, πειρώμενοι τοῦτον ἐκβαλεῖν τῆς κέλλης, ὑποτιθέμενοι οἰκονομίας χάριν κατα-

λαμβάνειν τὴν Ῥώμην, ὡς ἐπὶ προφάσει δῆθεν εὐεργεσίας τῶν ἐκεῖ ἀρρωστούντων· ἄκρως γὰρ κατὰ τῶν πνευμάτων εἰς αὐτὸν ἐνήργει ἡ χάρις τοῦ Κυρίου. Καὶ ὡς ἐπὶ πολὺ ὀχλούντων οὐχ ὑπήκουε, σφοδροτέρως αὐτῷ προσπελάσαντες, τοῦτον ἐξήλαυνον. Πεσὼν οὖν ἐπὶ τὴν φλιὰν τῆς κέλλης ἑαυτοῦ ὁ Ἅγιος, καὶ τοὺς πόδας ἐκτείνας, ἀφῆκεν ἐπὶ τὰ ἔξω, λέγων τοῖς τῆς κενοδοξίας δαίμοσιν· ἕλκετέ με σύραντες, δαίμονες, ἐὰν δύνασθε· ἐγὼ γὰρ τοῖς ἐμοῖς ποσὶν ἀλλαχοῦ οὐκ ἀπέρχομαι. Εἰ οὖν δύνασθέ με οὕτως ἀπενεγκεῖν, ὅπου λέγετε, ἀπελεύσομαι διομνύμενος αὐτοῖς, ὅτι οὕτως ἔσομαι κείμενος ἕως ἑσπέρας, ἐὰν μή με σαλεύσητε, οὐ μὴ ὑμῖν ὑπακούσω. Καὶ μείνας ἀσάλευτος, ἀνέστη λοιπὸν ἑσπέρας οὔσης βαθείας.

Νυκτὸς δὲ πάλιν ἐπιγενομένης, σφοδροτέρως ἠνώχλουν· ἀναστὰς δὲ ὁ Ἅγιος, λαβὼν σπυρίδα ὡς δύο μοδίων, ψάμμου ταύτην ἐπλήρωσε, καὶ τεθεικὼς ἐπὶ τὸν ἑαυτοῦ ὦμον διεκίνει τὴν ἔρημον. Τούτῳ συνήντησε Θεοσέβιος ὁ κοσμήτωρ Ἀντιοχεύς, καὶ λέγει αὐτῷ· τί βαστάζεις, Ἀββᾶ; παραχώρησον ἐμοὶ τοῦ φορτίου, καὶ μὴ σκύλλου αὐτός· ὁ δὲ ἔλεγε· σκύλλω τὸν σκύλαντά με· ἄνετος γὰρ ὤν, ἀποδημίας μοι ὑποβάλλει· καὶ ἐπὶ πολὺ διακινήσας, οὕτως εἰσῆλθεν εἰς τὴν κέλλαν συντρίψας τὸ σῶμα.

Ἑρμηνεία

ΕΜΟΝΑΖΕ, κάποτε, εἰς τὸ ὄρος τῆς Νιτρίας*, κάποιος Μοναχός, ὀνομαζόμενος Ναθαναήλ. Αὐτὸς τόσον μεγάλην ὑπομονὴν εἶχεν, ὥστε νὰ μὴ παραβῇ τὸν ὅρον, ποὺ ἔθεσεν εἰς τὸν ἑαυτόν του, κατόπιν τοῦ ἐμπαιγμοῦ, ποὺ ὑπέστη, εἰς τὰς ἀρχάς, ἀπὸ τὸν δαίμονα.

Παλαιότερον, δηλαδή, τοῦ εἶχε συμβῆ τὸ ἑξῆς· ἐνῷ ἐκάθητο εἰς τὸ κελλίον, τοῦ ἐφάνη ὅτι ἀδρανεῖ καὶ δὲν ἐκτελεῖ πνευματικὸν ἔργον. Ἀφοῦ λοιπὸν ἀνεχώρησεν ἀπὸ ἐκεῖ, ἔκτισεν ἄλλο κελλὶ πιὸ κοντὰ εἰς κάποιο χωρίον. Εἶχον λοιπὸν περάσει τρεῖς ἢ τέσσαρες μῆνες, ὁπόταν ἀκούει, μίαν νύκτα, ἔξω ἀπὸ τὸ κελλί του, θόρυβον, ἀπὸ κάποιον, ποὺ ἐκρατοῦσε ταυρέαν**, ἤτοι τύμπανον, ὡσὰν αὐτὸ ποὺ χρησιμοποιοῦν οἱ δήμιοι. Αὐτός, ποὺ ἐθορύβει, ὡμοίαζε μὲ ρακένδυτον στρατιώτην, καὶ ἐκτύπα τὸ τύμπανον.

Στενοχωρημένος ἀπὸ τὴν ἐνόχλησιν αὐτήν, τοῦ λέγει ὁ μακάριος Ναθαναήλ.

— Ποῖος εἶσαι σύ, ποὺ κάνεις εἰς ἐμὲ τὰς φιλικὰς αὐτὰς ἐκδηλώσεις;

— Ἐγὼ εἶμαι — ἀπήντησεν ὁ περίεργος ἐκεῖνος τύπος — αὐτὸς ποὺ σὲ ἐξεδίωξεν ἀπὸ τὸ πρῶτο σου κελλί· ἦλθα τώρα, διὰ νὰ σὲ διώξω καὶ ἀπ' ἐδῶ.

---

* Περὶ Νιτρίας βλέπε ἐν τοῖς πρόσθεν τὴν ὑποσημείωσιν τῆς ΙΣΤ' Ὑποθέσεως σελ. 224.

** Ταυρέα ἢ ταυρεία ἦτο εἶδος τυμπάνου ἀπὸ δέρμα ταύρου. Ἐνίοτε καὶ τὸ δέρμα ἁπλῶς ἐκαλεῖτο ταυρέα.

Μόλις λοιπὸν ἀντελήφθη ὁ μακάριος, ὅτι ἐνεπαίχθη ὑπὸ τοῦ διαβόλου, ἐπιστρέφει ἀμέσως εἰς τὸ πρῶτο κελλί του. Συνεπλήρωσε δὲ εἰς τὸ πρῶτο του ἐκεῖνο κελλὶ τριάκοντα ἑπτὰ ὁλόκληρα χρόνια, χωρὶς νὰ περάση οὔτε τὸ κατώφλι. Κατὰ τὸ διάστημα αὐτὸ ἐπολέμησε πλειστάκις πρὸς τὸν δαίμονα, ὁ ὁποῖος τέτοια πράγματα τοῦ παρουσίαζε, διὰ νὰ τὸν ἀναγκάση νὰ ἐξέλθη ἀπὸ τὸ κελλί του, ποὺ δὲν ἠμπορεῖ κανεὶς οὔτε νὰ τὰ διηγηθῇ. Ὁ δὲ μακάριος Ναθαναὴλ ἀντεστάθη γενναίως, μέχρι τέλους, ἕως ὅτου ἀπέθανε εἰς τὸ κελλὶ ἐκεῖνο.

2. Λογισμοὶ κενοδοξίας ἠνώχλησαν κάποτε τὸν Μεγάλον Μακάριον, τὸν Ἀλεξανδρινόν. Προσεπάθουν νὰ τὸν βγάλουν ἀπὸ τὸ κελλί του, ὑποδεικνύοντες εἰς αὐτὸν νὰ μεταβῇ, χάριν οἰκονομίας δῆθεν, εἰς τὴν Ρώμην, διὰ νὰ εὐεργετήση τοὺς ἐκεῖ ἀρρώστους· διότι ἡ χάρις τοῦ Κυρίου ἐνήργει, διὰ τοῦ Ἁγίου Μακαρίου, ἐξαιρετικῶς κατὰ τῶν πονηρῶν πνευμάτων. Καὶ ἐπειδὴ τὸν ἐνωχλοῦσαν πολύ, χωρὶς νὰ τοὺς ἀκούη, τοῦ ἐπετέθησαν μὲ μεγαλυτέραν σφοδρότητα καὶ τὸν ἐπίεζαν νὰ ἐξέλθη.

Τότε ὁ Ἅγιος ἔπεσεν εἰς τὸ κατώφλιον τοῦ κελλίου του καὶ ἀφοῦ ἐτέντωσε τὰ πόδια του πρὸς τὰ ἔξω, ἔλεγε πρὸς τοὺς δαίμονας τῆς κενοδοξίας· σύρετέ με καὶ τραβᾶτε με, δαίμονες, ἐὰν ἠμπορῆτε· διότι ἐγὼ μὲ τὰ πόδια μου δὲν πηγαίνω πουθενά. Ἐὰν λοιπὸν ἠμπορεῖτε νὰ μὲ μεταφέρετε ὅπου μοῦ λέγετε, θὰ ὑπάγω· σᾶς ὁρκίζομαι πάντως πὼς ἔτσι θὰ μένω ξαπλωμένος μέχρι τὸ βράδυ καὶ ἂν δὲν μὲ κουνήσετε δὲν θὰ σᾶς ὑπακούσω. Καὶ ἔμεινε πράγματι, ἀσάλευτος, εἰς τὴν θέσιν ἐκείνην, ἕως ὅτου ἐβράδυασε καλά.

Κατὰ τὴν ἐπακολουθήσασαν νύκτα, πάλιν μὲ περισσοτέραν σφοδρότητα τὸν ἐνωχλοῦσαν οἱ λογισμοί. Ἐσηκώθη τότε ὁ Ἅγιος, καὶ ἀφοῦ ἐπῆρεν ἕνα μεγάλο ζεμπίλι, τὸ ὁποῖον ἐχωροῦσεν ἕως δύο μόδια*, τὸ ἐγέμισε μὲ ἄμμον, τὸ ἔβαλε εἰς τὸν ὦμον του, καὶ ἐπεριπατοῦσεν εἰς τὴν ἔρημον. Εἰς τὸν δρόμον τὸν συνήντησεν ὁ κοσμήτωρ** ἤτοι ὁ διοικητὴς τῆς περιοχῆς, ὁ Θεοσέβιος ἀπὸ τὴν Ἀντιόχειαν, καὶ τοῦ λέγει·

— Τί βαστάζεις ἐκεῖ, Ἀββᾶ; Ἄφησέ με νὰ σηκώσω ἐγὼ τὸ φορτίον σου καὶ μὴ κουράζεσαι σύ.

— Βασανίζω αὐτόν, ποὺ μὲ βασανίζει — ἀπήντησεν ὁ Ἅγιος — διότι ὅταν εἶμαι ξεκούραστος μοῦ ἐμβάλλει τὴν ἰδέαν ταξιδίων.

Καὶ ἀφοῦ περιεπάτησεν ἔτσι φορτωμένος ἐπὶ πολύ, εἰσῆλθεν εἰς τὸ κελλίον του μὲ κατακουρασμένον τὸ σῶμα του.

3. Τοῦ αὐτοῦ

ΕΝ ἀκηδίᾳ σφόδρα διάγων προσῆλθόν ποτε τῷ Ἁγίῳ Μάρκῳ· καὶ εἶπον αὐτῷ· Ἀββᾶ Μάρκε, τί ποιήσω ὅτι θλίβουσί με οἱ λογισμοί, λέγοντές μοι ὅτι

---

* Ὁ μόδιος ἦτο μέτρον ὑγρῶν ἢ ξηρῶν καρπῶν, βάρους 8—9 κιλῶν περίπου.

** Κοσμήτωρ καὶ κοσμητὴς ἦτο κυρίως στρατιωτικὸν ἀξίωμα. Ἐνταῦθα σημαίνει τὸν διοικητὴν τῆς περιοχῆς.

οὐδὲν ποιεῖς, ἄπελθε ἐντεῦθεν; ἀποκρίνεταί μοι ὁ Ἁγιώτατος Μάρκος· εἰπὲ καὶ σὺ τοῖς λογισμοῖς, ὅτι διὰ τὸν Χριστὸν τοὺς τοίχους τηρῶ.

Ἑρμηνεία

Εὑρισκόμενος, κάποτε, εἰς μεγάλην στενοχωρίαν καὶ ψυχικὴν κατάθλιψιν, ἐπεσκέφθην τὸν Ἀββᾶν Μᾶρκον καὶ τοῦ εἶπον·

—Ἀββᾶ Μᾶρκε, τί νὰ κάμω, ποὺ οἱ λογισμοὶ μὲ στενοχωροῦν πάρα πολὺ μὲ τὸ νὰ μοῦ λέγουν, τίποτε δὲν κάνεις, φύγε ἀπ' ἐδῶ;

Καὶ ὁ ἁγιώτατος Μᾶρκος μοῦ ἀπήντησε:

— Νὰ εἰπῇς καὶ σὺ εἰς τοὺς λογισμούς σου· διὰ τὸν Χριστὸν φυλάγω τοὺς τοίχους.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου

ΕΝ τῇ λαύρᾳ τοῦ Μεγάλου Εὐθυμίου δύο τινὲς τῶν ἀδελφῶν, Μάρων τε καὶ Κλημάτιος, πρὸς τὸ τραχὺ τῆς κατὰ τὴν λαύραν ἀγωγῆς καὶ διαίτης ἀπαγορεύσαντες, συνθήκας ἔθηκαν πρὸς ἀλλήλους λαθραίως ἐκεῖθεν ἐκφυγεῖν, καὶ ὑπὸ νύκτα κλέψαι τὴν ἀναχώρησιν. Ταῦτα οἱ μὲν ἐκοινολογοῦντο καὶ καθ' ἑαυτοὺς διεσκέπτοντο· ἀλλ' ὁ ἀνακαλύπτων βαθέα καὶ τοῖς ἀνακειμένοις αὐτῷ διὰ Ἡσαΐου φάσκων, ὅτι «οὐκ ἔσται σοι ἔτι ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σοι τὴν νύκτα, ἀλλ' ἔσται σοι Κύριος φῶς αἰώνιον», αὐτὸς ἔκδηλον καὶ τοῦτο ποιεῖ τῷ οἰκείῳ θεράποντι· ποιεῖ δὲ οὕτως.

Ἡσυχάζοντι γάρ ποτε τῷ Μεγάλῳ τούτῳ καὶ θαυμαστῷ Εὐθυμίῳ, ἐῴκει Μάρωνί τε καὶ Κληματίῳ χαλινὸν ἐμβαλεῖν ὁ πονηρός, καθάπερ ὑπ' ὀφθαλμοὺς τῷ ἁγίῳ παρισταμένοις, καὶ εἰς παγίδα τούτους ἕλκειν χαλεπωτάτην. Ὁ δέ, συμβαλὼν εὐθὺς τὴν ἐπιβουλήν, μετακαλεῖται τοὺς ἀδελφοὺς Μάρωνα καὶ Κλημάτιον, παραινῶν αὐτοῖς, νουθετῶν, παρακαλῶν, διδάσκων, διαλεγόμενος, μακροὺς περὶ ὑπομονῆς ἀποτείνων λόγους, καὶ ὅτι πολλῆς πανταχοῦ φυλακῆς χρεία καὶ ἀσφαλείας. Εἶτα καὶ τὸν Ἀδὰμ αὐτοῖς ὑπόδειγμα παράγων καὶ τὸν Ἰώβ, τὸν μὲν ἐν Παραδείσῳ τὴν ἐντολὴν ἀθετήσαντα, τὸν δὲ καὶ πᾶν εἶδος ἀρετῆς ἐπὶ κοπρίας ἐπιδειξάμενον, οὐδὲ αὐτὰ παραλείπων, ὅτι δεῖ τὸν Μοναχὸν ἀπαράδεκτον εἶναι τῶν ἐκ τοῦ πονηροῦ λογισμῶν κἂν λύπην ἐκεῖνος, κἂν μῖσος, κἂν ἀκηδίαν, κἂν ἑτέρωθεν μετάβασιν ὑποβάλῃ, μηδὲ τὴν ἀρχὴν αὐτῷ μηδ' ὅλως τὴν διάνοιαν ἀνιέναι, ἀλλὰ διακρούεσθαι ταῦτα καὶ ἀπωθεῖσθαι πάσῃ χειρί, μήποτε λάθῃ διὰ μεθοδείας ὑποσκελίσας ἡμᾶς καὶ πτῶμα ῥίψας δακρύων ἄξιον.

Εἰ δέ τις ἐνταῦθα τυχὸν ἀρετὴν ἀσκῆσαι μὴ δύναται, μὴ νομιζέτω ἀλλαχοῦ μεταβὰς ῥᾷον κατορθῶσαι τὸ σπουδαζόμενον· οὐ γὰρ παρὰ τὴν τοῦ τόπου φύσιν, ἀλλὰ παρὰ τὴν οἰκείαν ἡμῶν προαίρεσιν ἡ τοῦ ἀγαθοῦ ἐργασία. Τοὐναντίον μὲν οὖν καὶ σφαλερὸν τοῦτο τοῖς Μοναχοῖς, καὶ ἀτόνους αὐτοὺς καὶ ἀρετῶν ἀκάρπους ποιεῖν δυνάμενον, ἐπεὶ μηδὲ φυτὸν οἷόν τε καρποφορεῖν συνεχῶς μεταφυτευόμενον· πρὸς πλείονα δὲ τῶν εἰρημένων πίστιν, καί τινων γερόντων αὐτοῖς Αἰγυπτίων ἐπεξήει βίους.

Ἔλεγεν οὖν, ὡς ἦν τις ἀδελφὸς ἐν Αἰγύπτῳ ἐν κοινοβίῳ τινὶ καθήμενος, ὃς συνεχῶς εἰς θυμὸν ἐκφερόμενος, ἠγριοῦτο καὶ ἐταράττετο καὶ πικρίας τὸ στόμα

καὶ ὀργῆς ἐπίμπλατο. Λαβοῦσα δέ τις αὐτὸν μεταμέλεια, ὡς εἴη διὰ τοῦ θυμοῦ τοῦδε καὶ τῆς πρὸς τὴν ταραχὴν εὐκολίας ἑαυτῷ πολεμῶν, καὶ εἴ που τι καλὸν ἤδη φθάσας ἐκτήσατο καὶ τοῦτο προσαπολλύς, πείθει τοῦ κοινοβίου ἀναχωρῆσαι καὶ μόνον δὴ καὶ καθ' ἑαυτὸν ἡσύχως διαβιῶναι, ἅτε πολλὰ τῆς ἐρημίας πρὸς γαλήνην αὐτῷ καὶ ἀταραξίαν συνάρασθαι δυναμένης. Ὤετο γὰρ ὡς ἄρα, μηδενὸς ὑπόντος πρὸς ὃν καὶ θυμωθείη καὶ καθ' οὗ ἂν τῇ ὀργῇ χρήσαιτο, σβεσθήσεται πάντως ἠρέμα τὸ δεινὸν ἐκεῖνο καὶ ὀξύτατα ἀναπτόμενον τοῦ θυμοῦ πῦρ, καὶ τὸ λοιπὸν ἥμερος αὐτῷ ἔσται καὶ γαλήνης πάσης καὶ ἠρεμίας μεστός.

Ταῦτα λογισάμενον ἐκεῖνον, τὸ ἑξῆς ἀποστάντα τοῦ Κοινοβίου, μόνον ἐφ' ἡσυχίας διάγειν. Καί ποτε κατὰ χρείαν τινὰ τὸ ποτήριον ὑποπλήσαντα ὕδατος, καί τι μικρὸν αὐτῷ πρὸς τῷ ἐδάφει θελήσαντα καταθεῖναι, τέχνῃ τινὶ τοῦ πονηροῦ τοῦτο περιστραφῆναι ὅπερ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς ἐφεξῆς καὶ τρὶς γεγονός, θυμωθῆναί τε τὸν ἀδελφὸν καὶ ἥττω τῆς τοῦ θυμοῦ ῥύμης γενόμενον, ὡς εἶχεν εὐθὺς εἰς γῆς κατενεγκεῖν τὸ ποτήριον καὶ τοῦτο συντρίψαι, καὶ οὕτω πολλῷ μείζονα τῷ ἐχθρῷ πάντως καὶ θερμότερον ὠφλῆσαι τὸν γέλωτα.

Πρὸς ταῦτα γελᾷ μὲν ὁ Κλημάτιος, διαθερμανθεὶς τὴν ψυχὴν τῷ ἀστείῳ τοῦ διηγήματος· προσχὼν δὲ ὁ θεῖος Εὐθύμιος, ἤ που, φησίν, ὑπό τινος, ἀδελφέ, πονηροῦ καὶ σὺ κεκίνησαι δαίμονος, ὅτι γελᾷς ἀναισχύντως οὕτω καὶ ἰταμῶς, δέον ὀδύρεσθαι καὶ ὀδυνᾶν τὴν ἐκεῖθεν παράκλησιν ἐκδεχόμενον· ἢ που ἀληθής ἐστιν ὁ τότε δικάσων ἡμῖν, μακαρίους μὲν τοὺς νῦν πενθοῦντας ἀποκαλῶν, ὅτι αὐτοί φησι παρακληθήσονται, ἀθλίους δὲ τοὺς γελῶντας καὶ ἑαυτοῖς μὴ προσέχοντας; ἄλλως τε δὲ καὶ ἀπαιδευσία σαφὴς τὸ τὸν Μοναχὸν πέρα τοῦ μετρίου λαλεῖν ἢ πρὸς ὅ,τιοῦν κινεῖσθαι, εἴτε μὴν καὶ παρρησιάζεσθαι· μητέρα γὰρ οἱ Πατέρες τὴν παρρησίαν πάντων ἀτεχνῶς τῶν παθῶν ὀνομάζουσι. Ταῦτα ὁ μὲν ἐπιτιμήσας τῷ Κληματίῳ, εἰς τὸ ἐνδότερον κελλίον εἰσῆλθε· τὸν δὲ ἡ δίκη παρὰ πόδας μετῄει, καὶ πρηνὴς ἐπιπεσών, κλόνῳ τε ἐδονεῖτο καὶ φρίκῃ συνείχετο.

Δομετιανὸς οὖν κείμενον οὕτως ἰδὼν τὸν Κλημάτιον, καὶ ἅμα μὲν τὸ πρᾷον, ἅμα δὲ καὶ τὸ αὐστηρὸν Εὐθυμίου θαυμάσας ὅπως ἄριστα κεκραμμένα παρ' αὐτῷ ἦν, ἅμα δὲ καὶ τὸν ἀδελφὸν τοῦ πάθους οἰκτείρας, συνάγει τινὰς τῶν Πατέρων ὑπὲρ αὐτοῦ πρεσβείαν ποιησομένους, καὶ τούτους εἰσάγει σὺν τῷ Μάρωνι πρὸς Εὐθύμιον. Ὁ δέ, καὶ οἴκοθεν εὐΐλατος ὤν, καὶ τὴν ἐκείνων πρεσβείαν οὐκ ἀτιμάζων, ἐφίσταται σὺν αὐτοῖς κειμένῳ τῷ Κληματίῳ· καὶ τήν τε φρίκην σβέννυσιν αὐτῷ, τῷ τοῦ σταυροῦ σημείῳ, καὶ τὸν κλόνον εὐθὺς ἵστησι, καὶ τὴν ἀπαλλαγὴν τοῦ πάθους ἐντελῆ παρέχει, πρόσεχε σεαυτῷ λοιπόν, ἐπειπών, καὶ μὴ περιφρόνει Πατέρων διδασκαλίας μηδὲ ὑποθήκας, ἀλλὰ γενοῦ ὀφθαλμὸς ὅλος, οἷα περὶ τῶν Χερουβὶμ ἠκούσαμεν πάντοθεν περισκοπῶν ἑαυτόν, ὡς ἐν μέσῳ παγίδων ἀεὶ διαβαίνοντα· τοιαῦτα τῷ Κληματίῳ παραινέσας καὶ ὑποθεὶς καὶ τῷ κατ' αὐτὸν ὑποδείγματι τοὺς ἄλλους ἀσφαλισάμενος, ἐν εἰρήνῃ ἀπολύει τὸν ἄνδρα.

Ἑρμηνεία

ΕΙΣ ΤΗΝ ΛΑΥΡΑΝ τοῦ Μεγάλου Εὐθυμίου, δύο ἐκ τῶν Μοναχῶν, ὁ Μάρων καὶ ὁ Κλημάτιος, μὴ ἀντέχοντες εἰς τὴν σκληραγωγίαν καὶ τὴν νηστείαν, ἀπεφάσισαν νὰ φύγουν κρυφὰ ἀπ' ἐκεῖ· συνεφώνησαν

δὲ νὰ δραπετεύσουν ἐν καιρῷ νυκτός. Αὐτὰ ἔλεγον καὶ ἐσκέπτοντο μεταξύ των. Ἀλλ' Ἐκεῖνος, ποὺ ἀνακαλύπτει τὰ πλέον ἀπόκρυφα καὶ τὰ φανερώνει καὶ εἰς τοὺς ἀφωσιωμένους εἰς Αὐτόν, διαβεβαιῶν διὰ τοῦ Προφήτου Ἡσαΐου, πὼς «δὲν θὰ εἶναι πλέον διὰ σὲ ὁ ἥλιος διὰ νὰ σὲ φωτίζῃ τὴν ἡμέραν, οὔτε καὶ ἡ σελήνη θὰ σὲ φωτίζῃ τὴν νύκτα, ἀλλὰ θὰ ὑπάρχῃ διὰ σὲ φῶς αἰώνιον ὁ Κύριος». Αὐτὸς ἀποκαλύπτει τὸ σχέδιον τῆς δραπετεύσεως καὶ εἰς τὸν θεράποντά του, τὸν Μέγαν Εὐθύμιον· αὐτὸ δὲ ἔγινεν ὡς ἑξῆς:

Μίαν ἡμέραν, ποὺ ἀνεπαύετο ὁ Μεγάλος καὶ ἀξιοθαύμαστος Εὐθύμιος, τοῦ ἐφάνη πὼς ὁ πονηρὸς ἔβαλε χαλινάρι εἰς τὸν Μάρωνα καὶ τὸν Κλημάτιον, ποὺ τοὺς εἶδε σὰν νὰ ἦσαν ἐμπρὸς εἰς τὰ μάτια του, καὶ πὼς τοὺς ἔσυρεν εἰς φοβερωτάτην παγίδα. Ἀμέσως ἐννόησε τὴν ἐπιβουλὴν τοῦ διαβόλου ἀπέναντι τῶν δύο Μοναχῶν καὶ δι' αὐτὸ στέλλει καὶ τοὺς προσκαλεῖ κοντά του.

Ἤρχισε λοιπὸν νὰ τοὺς συμβουλεύῃ, νὰ τοὺς νουθετῇ, νὰ τοὺς παρηγορῇ, νὰ τοὺς διδάσκῃ, νὰ συνομιλῇ μαζί των, νὰ τοὺς ἀπευθύνῃ μακροὺς λόγους περὶ ὑπομονῆς, καὶ νὰ τοὺς λέγῃ ὅτι χρειάζεται ἀπὸ παντοῦ προφύλαξις καὶ ἀσφάλισις. Μετὰ τοὺς ἔφερεν ὡς παράδειγμα τὸν Ἀδὰμ καὶ τὸν Ἰώβ, τὸν μὲν πρῶτον διότι παρέβη τὴν ἐντολὴν τοῦ Θεοῦ μέσα εἰς τὸν Παράδεισον, τὸν δὲ δεύτερον, διότι κατώρθωσεν ὅλας τὰς ἀρετὰς ἐπάνω εἰς τὴν κοπρίαν· ἀκόμη τοὺς εἶπε πὼς ὁ Μοναχὸς δὲν πρέπει νὰ δέχεται τοὺς λογισμοὺς ποὺ ὑποβάλλει ὁ πειρασμός, εἴτε λύπην, εἴτε μῖσος, εἴτε κατάπτωσιν, εἴτε ἀναχώρησιν εἰς ἄλλον τόπον. Αὐτοὺς τοὺς λογισμοὺς — συνέχισεν ὁ Ἅγιος — οὔτε πρὸς στιγμὴν νὰ τοὺς δεχώμεθα, οὔτε κἂν νὰ τοὺς προσέχωμεν, ἀλλὰ νὰ τοὺς ἀποκρούωμεν καὶ νὰ τοὺς ἀπομακρύνωμεν, μὲ ὅλην μας τὴν δύναμιν, μήπως ὁ πονηρὸς μᾶς ξεγελάσῃ μὲ κανένα τέχνασμα καὶ μᾶς ρίψῃ κάτω, ἀξιοδάκρυτον πτῶμα.

Ἐὰν δὲ νομίζῃ κανεὶς ὅτι δὲν ἠμπορεῖ νὰ ἀσκήσῃ τὴν ἀρετὴν ἐδῶ, ἂς μὴ νομίζῃ ὅτι, ἂν μεταβῇ ἀλλοῦ, θὰ κατορθώσῃ εὐκολώτερον τὸ ἐπιδιωκόμενον· διότι ἡ ἐργασία τοῦ ἀγαθοῦ δὲν ἐξαρτᾶται ἀπὸ τὴν φύσιν τοῦ τόπου, ἀλλὰ ἀπὸ τὴν προαίρεσίν μας. Τὸ ἀντίθετον λοιπὸν ἀπὸ αὐτὸ καὶ σφαλερὸν εἶναι διὰ τοὺς Μοναχοὺς καὶ ἠμπορεῖ νὰ μετριάσῃ τὴν ἔντασιν τῶν προσπαθειῶν των καὶ νὰ τοὺς καταστήσῃ ἀκάρπους εἰς τὴν ἀρετήν, ὅπως ἀκριβῶς καὶ ἕνα φυτὸν ποτὲ δὲν ἠμπορεῖ νὰ καρποφορήσῃ, ὅταν μεταφυτεύεται συνεχῶς. Πρὸς περισσοτέραν δὲ ἐπιβεβαίωσιν τῶν λεγομένων, διηγεῖτο ὁ Ἅγιος εἰς αὐτοὺς καὶ βίους μερικῶν Γερόντων Αἰγυπτίων.

Διηγεῖτο λοιπὸν ὅτι κάποιος ἀδελφὸς ἐμόναζεν εἰς Κοινόβιον τῆς Αἰγύπτου· αὐτὸς ἐθύμωνε συνεχῶς καὶ ἐξηγριοῦτο καὶ ἐταράσσετο καὶ ἀπὸ τὸ στόμα του ἐξήρχοντο πικραὶ καὶ γεμᾶται ὀργὴν λέξεις. Κάποτε μετεμελήθη καὶ ἐσκέφθη ὅτι μὲ αὐτὸν τὸν θυμὸν καὶ τὴν εὐκολίαν, μὲ τὴν ὁποίαν ταράσσεται, πολεμεῖ τὸν ἑαυτόν του, ὥστε καὶ ἐὰν κάποτε ἔφθασε νὰ κάμῃ κάποιο καλὸν καὶ αὐτὸ τώρα νὰ κινδυνεύσῃ νὰ τὸ χάσῃ.

Πείθει λοιπὸν τὸν ἑαυτόν του νὰ ἀναχωρήση ἐκ τοῦ Κοινοβίου καὶ νὰ ζήση πλέον μόνος του ἥσυχα, διότι ἡ ἐρημία, ὡς ἐφαντάζετο, ἠδύνατο νὰ τὸν βοηθήση πάρα πολὺ νὰ ἀποκτήση τὴν γαλήνην καὶ τὴν ἀταραξίαν. Διότι ἐνόμιζεν, ὅτι ἀφοῦ δὲν θὰ ὑπάρχη κανεὶς ὑπὸ τὴν ἐξουσίαν του, καὶ ἐναντίον τοῦ ὁποίου νὰ θυμώση καὶ νὰ ὀργισθῇ, ὁπωσδήποτε θὰ σβήση σιγὰ - σιγὰ τὸ φοβερὸν ἐκεῖνο καὶ ἀπότομα ἀναφλεγόμενον πῦρ τοῦ θυμοῦ καὶ τοῦ λοιποῦ θὰ εἶναι ἥμερος, γεμᾶτος ἀπὸ κάθε γαλήνην καὶ ἠρεμίαν.

Ἀφοῦ ἔβαλεν εἰς τὸν νοῦν του ὅλα αὐτά, ἀνεχώρησεν ἀμέσως ἀπὸ τὸ Κοινόβιον καὶ ἔζη πλέον μόνος του. Κάποτε, διὰ κάποιαν ἀνάγκην, ἐγέμισε τὸ ποτήρι νερὸ καὶ ἠθέλησε νὰ τὸ ἀκουμπήση ὀλίγον εἰς τὸ ἔδαφος· ὁπόταν, ἐκ διαβολικῆς ἐνεργείας, ἀναποδογύρισε τὸ ποτήρι, πρᾶγμα ποὺ συνέβη ὄχι μίαν φοράν, ἀλλὰ καὶ δύο καὶ τρεῖς καὶ πολλάκις. Ἐθύμωσε τότε ὁ Μοναχὸς ἐκεῖνος καὶ ἡττηθεὶς ἀπὸ τὴν παραφορὰν τοῦ θυμοῦ, κυριευμένος δὲ ἀπὸ τὸ πάθος καθὼς ἦτο, ἔρριψε κατὰ γῆς τὸ ποτήριον καὶ τὸ συνέτριψε, πρᾶγμα ποὺ προεκάλεσεν ἀκράτητα γέλια εἰς τὸν ἐχθρόν.

Τὸ διήγημα ἐφάνη ἀστεῖον εἰς τὸν Κλημάτιον καὶ ἤρχισε νὰ γελᾷ μὲ ὅλην του τὴν καρδία· ὁ θεῖος ὅμως Εὐθύμιος, ἀφοῦ τὸν παρετήρησε μετὰ προσοχῆς, τοῦ λέγει:

— Μήπως, ἀδελφέ, ἔχεις παρακινηθῆ καὶ σὺ ἀπὸ κανένα πονηρὸν δαίμονα, δι' αὐτὸ γελᾷς ἔτσι ἀδιάντροπα καὶ μὲ αὐθάδειαν, ἐνῷ θὰ ἔπρεπε νὰ κλαίῃς καὶ νὰ στενάζῃς, διὰ νὰ ἀπολαύσῃς τὴν ἐκ Θεοῦ παρηγορίαν; ἢ μήπως δὲν εἶναι ἀληθινὸς Ἐκεῖνος, ποὺ θὰ μᾶς δικάση τότε, χαρακτηρίζων μακαρίους αὐτοὺς ποὺ τώρα εἰς αὐτὸν τὸν κόσμον πενθοῦν, διότι, ὅπως λέγει, αὐτοὶ θὰ παρηγορηθοῦν (Ματθ. ε΄, 4), καὶ ἀθλίους αὐτοὺς ποὺ τώρα, εἰς αὐτὸν τὸν κόσμον γελοῦν καὶ δὲν προσέχουν εἰς τὸν ἑαυτόν των; (Λουκ. στ΄, 25). Ἄλλωστε τὸ νὰ ὁμιλῇ ὁ Μοναχὸς πέραν τοῦ μετρίου ἢ νὰ κινῆται πρὸς ὅ,τιδήποτε, φανερώνει καθαρὰν ἀπαιδευσίαν, ὅπως ἀκόμη καὶ τὸ νὰ ὁμιλῇ χωρὶς ἐντολήν. Διότι οἱ Πατέρες τὴν παρρησίαν τὴν ὀνομάζουν μητέρα ὅλων, ἐν γένει, τῶν παθῶν.

Μὲ αὐτὰ τὰ λόγια ἐπετίμησεν ὁ Μέγας Εὐθύμιος τὸν Κλημάτιον καὶ ἀμέσως εἰσῆλθεν εἰς τὸ ἐσωτερικὸν κελλίον. Ἀμέσως δὲ τὸν Κλημάτιον τὸν καταλαμβάνει ἡ θεία δίκη, καὶ ἀφοῦ ἔπεσε πρηνὴς εἰς τὴν γῆν, κατελήφθη ἀπὸ φρίκην καὶ ἔτρεμε σύγκορμος.

Ὁ Δομετιανὸς λοιπὸν μόλις εἶδε τὸν Κλημάτιον νὰ εἶναι ξαπλωμένος εἰς αὐτὴν τὴν θλιβερὰν κατάστασιν καὶ θαυμάζων συγχρόνως, ἀφ' ἑνὸς μὲν τὴν πραότητα καὶ τὴν αὐστηρότητα τοῦ Μεγάλου Εὐθυμίου, πόσον ἁρμονικὰ ἦσαν ἀναμεμιγμένα εἰς τὸν χαρακτῆρα του, ἀφ' ἑτέρου δὲ λυπούμενος τὸν ἀδελφὸν Κλημάτιον δι' αὐτὸ ποὺ ἔπαθε, συγκεντρώνει μερικοὺς ἀπὸ τοὺς Πατέρας τοῦ Κοινοβίου διὰ νὰ παρακαλέσουν ὑπὲρ αὐτοῦ· μαζὶ δὲ μὲ αὐτοὺς ὁδηγεῖ ἐνώπιον τοῦ Μεγάλου Εὐθυμίου καὶ τὸν Μάρωνα.

Τότε, ὁ Μέγας Εὐθύμιος, ποὺ ἦτο καὶ ἐκ φύσεως ἀγαθός, ἀλλὰ

καὶ δὲν ἤθελε νὰ τοὺς προσβάλῃ διὰ τὴν μεσολάβησίν των, μεταβαίνει, μαζί των, πρὸς τὸν Κλημάτιον, ποὺ ἦτο ἀκόμη ἐξαπλωμένος. Μὲ τὸ σημεῖον τοῦ Σταυροῦ τὸν ἀπαλλάσσει ἀπὸ τὴν φρίκην καὶ τοῦ σταματᾷ τὴν τρεμούλα· ἔτσι τὸν ἐθεράπευσε τελείως ἀπὸ τὸ πάθημά του. Μετὰ τὴν θαυματουργικὴν αὐτὴν θεραπείαν λέγει πρὸς τὸν Κλημάτιον:

— Πρόσεχε νὰ μὴ περιφρονῇς τὰς διδασκαλίας καὶ τὰς συμβουλὰς τῶν Πατέρων, ἀλλὰ νὰ γίνῃς ὁλόκληρος ὀφθαλμός, ὅπως ἠκούσαμεν διὰ τὰ Χερουβίμ, διὰ νὰ ἐξετάζῃς ἀπὸ παντοῦ τὸν ἑαυτόν σου, ὡσὰν νὰ περνᾷς συνεχῶς μέσα ἀπὸ πολλὰς παγίδας.

Ἀφοῦ συνεβούλευσε καὶ ἐδίδαξε τὸν Κλημάτιον μὲ τὰ λόγια αὐτά, καὶ ἀφοῦ ἐστερέωσε καὶ τοὺς ἄλλους μὲ τὸ παράδειγμα τοῦ Κληματίου, τοῦ δίδει τὴν εὐχήν του, διὰ νὰ μεταβῇ νὰ ἡσυχάσῃ εἰρηνικὰ εἰς τὸ κελλίον του.

Γ΄. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητική, ὅτι, ἐν κοινοβίῳ τυγχάνων, μὴ μεταλλάξῃς τὸν τόπον· βλαβήσῃ γὰρ μεγάλως· ὥς περ γὰρ ὄρνις ἐξισταμένη τῶν ᾠῶν οὔρια ταῦτα καὶ ἄγονα ἐπιτελεῖ, οὕτω καὶ παρθένος ἢ Μοναχός, φ ύ γ ε τ α ι κ α ὶ ν ε κ ρ ο ῦ τ α ι τ ῆ ς π ί σ τ ε ω ς, τ ό π ο ν ἐ κ τ ό π ο υ μ ε τ α β α ί ν ω ν.

Ἑ ρ μ η ν ε ί α

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγεν· Ἐφ' ὅσον ἔτυχε νὰ εὑρίσκεσαι εἰς Κοινόβιον, μὴ ἀλλάξῃς τόπον, διότι θὰ ζημιωθῇς πάρα πολύ. Ὅπως ἀκριβῶς ἡ κότα, ποὺ σηκώνεται ἀπὸ τὰ αὐγά, ποὺ ἐπῳάζει, καὶ φεύγει, τὰ κάνει κλούβια καὶ ἄγονα, τοιουτοτρόπως καὶ ἡ μοναχὴ ἢ ὁ μοναχός, ὅταν μεταβαίνῃ ἀπὸ τόπου εἰς τόπον, παγώνει καὶ νεκρώνει μέσα του τὴν πίστιν.

Δ΄. Ἐν τῷ βίῳ τῆς Ὁσίας Θεοδώρας

ΤΗΣ μονῆς, ἐν ᾗ ἡ Ἁγία Θεοδώρα ἠσκεῖτο ὡς ἀνὴρ φαινομένη, εἰς ἔνδειαν ποτε σίτου καταστάσης, κελεύεται ὑπὸ τοῦ προεστῶτος ἡ μακαρία, τὰς καμήλους λαβοῦσα, πρὸς τὴν πόλιν ἀφικέσθαι, καὶ σῖτον αὐτοῖς πρίασθαι· ἐπετέτραπτο δὲ αὐτῇ καὶ τοῦτο· ὡς εἴ γε ἀδύνατον αὐτῇ γένοιτο πρὸ τῆς ἑσπέρας ἐπανελθεῖν, καταλύσειν ἐν τῷ τοῦ Ἐνάτου φροντιστηρίῳ κἀκεῖσε τὰς καμήλους διαναπαῦσαι. Ἐπανιοῦσα τοιγαροῦν ἐκ τῆς πόλεως, ἐπείπερ ἤδη πρὸς δυσμὰς ἑώρα τὸν ἥλιον, τῇ τοῦ Ἐνάτου κατὰ τὸ ἐπίταγμα μονῇ καὶ ταῖς καμήλοις πρὸς ἀνάπαυσιν ᾔτει· οὗ γενομένου, πρὸς τοῖς ποσὶν αὕτη τῶν καμήλων διανεπαύετο.

Ἐντεῦθεν ὁ πονηρὸς νεάνιδά τινα τότε, τῶν Μοναχῶν τισι συγγενείας λόγῳ συνδιατρίβουσαν, πρὸς οἶστρον ἀνερεθίζει λαγνείας, ἣ καὶ ἄνδρα εἶναι τὴν μακαρίαν, ἐξ ὧν ἑώρα, λογισαμένη, πρὸς τὸ ταύτῃ συγκαθευδῆσαι προσεκαλεῖτο, αἰδῶ πᾶσαν ἀποθεμένη καὶ προσώπου καὶ ψυχῆς· ὡς δὲ καὶ ἀνήκοον ἑώρα πρὸς τοῦτο, καὶ προτιμῶσαν μᾶλλον τὴν ἐπὶ ψιλῷ τῷ ἐδάφει καὶ ταῖς καμήλοις κατάκλισιν, ἐκείνη τὸν

οἶστρον κατασβέσαι μὴ δυναμένη, ἐκδίδωσιν ἑαυτὴν ἑνὶ τῶν ἐκεῖσε προσκαθευδόντων, ὁδίτῃ καὶ αὐτῷ ὄντι, καὶ ἐκ παρόδου τῇ μονῇ καταλύσαντι.

Τοῦ τοίνυν τὴν ἀνομίαν ἐργασαμένου, ἅμα πρωῒ τῆς μονῆς ἐκχωρήσαντος, καὶ τῆς Ὁσίας πρὸς τὴν οἰκείαν ἀνασωθείσης μονήν, ἡ τοῦ χρόνου παράτασις αἰρομένην ἤδη πρὸς ὄγκον τὴν γαστέρα τῆς κόρης ἐδείκνυ· καὶ ὅθεν τοῦτο παρὰ τῶν συγγενῶν εἰπεῖν ἀνακρινομένη, τὸν Μοναχὸν εἶπε Θεόδωρον τὸν τῆς Ὀκτωκαιδεκάτου μονῆς αὐτῇ συμφθαρῆναι. Πιστεύουσιν αὐτίκα τοῖς λεχθεῖσιν οἱ Μοναχοί· ὁ γὰρ τῇ μακαρίᾳ τοὺς πειρασμοὺς συσκευάζων ἐχθρός, καὶ τὴν κόρην τοῦτο λέγειν ἐδίδασκε, κἀκείνους πιστεύειν.

Εἶτα τῇ μονῇ προσελθόντες, ἐν ᾗ ἡ Ἁγία ἠσκεῖτο, σὺν βοῇ καὶ θορύβῳ, Θεόδωρος, ἔλεγον, ὁ ὑφ' ὑμᾶς τελῶν Μοναχός, τὸ τοιόνδε μῦσος πράττειν οὐκ ἔφριξεν. Εἰς ἐρώτησιν οὖν ἐλθοῦσαν παρὰ τοῦ ἡγουμένου, εἰ κατῆρξεν οὕτω βδελυρᾶς πράξεως, αὕτη πρᾶγμα μὴ ἔχειν εἶπε πρὸς αὐτὸν ἐνοχῆς ἄξιον. Ἐκεῖνοι μὲν οὖν τότε πρὸς τὴν οἰκείαν μονὴν ἐπανέστρεφον· ὡς δὲ καὶ τὸ βρέφος τεχθὲν ἤδη προῆλθεν εἰς φῶς, ἀράμενοι τοῦτο, κατὰ μέσον ἔνθα ἡ μακαρία διῆγε τῆς μονῆς ἀπορρίπτουσι.

Τί οὖν τὸ ἐντεῦθεν; Πατὴρ εἶναι πιστεύεται τοῦ νηπίου ἡ Θεοδώρα, σιγῇ τε τὴν κατακρίνουσαν ψῆφον δέχεται, καὶ σὺν αὐτῷ τῆς μονῆς ἐξορίζεται· τιθηνὸς οὖν αὐτῷ γίνεται, καὶ οἷα μήτηρ παιδοτροφεῖν ἀναγκάζεται, γάλακτι μὲν προβάτων αὐτὸ ἀποτρέφουσα, ἔρια δὲ κἀκεῖνα παρὰ τῶν ποιμένων αἰτοῦσα, καὶ εἰς χρείαν ἀμφίων ταῦτα τῷ παιδὶ σχεδιάζουσα. Ἀλλὰ τίς ἂν καὶ ψυχὴ παραδέξαιτο βαρυτάτην οὕτω συκοφαντίαν; ποία δὲ καὶ χεὶρ οὐκ ἂν ἐδυσχέρανε πρὸς ἐπαχθῆ τοιαύτην ὑπηρεσίαν;

Ἔτη γὰρ ἑπτὰ παρετάθησαν ἐν οἷς ἐταλαιπώρει γυναίου φύσις, ὢ Θεοῦ πάντα βλέποντες ὀφθαλμοί! διαβολὴν ματαίαν καταψευσθεῖσα, καὶ τῆς μονῆς ἔξω βληθεῖσα, ἵν' ὥς περ αἰσχρὸν ἔπραξε βουλομένη, ἑκουσίᾳ πάλιν αἰσχύνῃ καταλύψῃ· οἵᾳ δὲ καὶ μετὰ τῶν ἄλλων καὶ διαίτῃ ἐχρῆτο· τροφὴ μὲν γὰρ ἐκείνῃ, τὸ ἐκ τῶν βοτανῶν ὅσον ἄγριον· ποτὸν δὲ τὸ ἐκ τῆς λίμνης ἀμωσγέπως αὐτῇ ἀρυόμενον, εἰμὴ καὶ μᾶλλον εἴπῃς τὸ τῶν δακρύων, ἃ διηνεκῶς ἀπέρρει τῶν αὐτῆς ὀφθαλμῶν, ὡς καὶ ἐπ' αὐτῇ πληροῦσθαι τὸ τοῦ ψαλμοῦ· «καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων».

Οὕτως οὖν αὐτῇ τοῦ σώματος τηκομένου καὶ ἀμελῶς ἔχοντος, οἱ μὲν ὄνυχες ἐπιμήκεις ἦσαν, καί τισι τῶν ἀγριωτέρων ζώων μᾶλλον ἁρμόζοντες· αἱ δὲ τρίχες αὐχμηραί τε καὶ λάσιαι, καὶ δεινῶς ταῖς νάπαις προσεοικυῖαι, ἡ ὄψις δὲ τῇ ἀμέσῳ τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολῇ ἤδη κατοπτηθεῖσα, πρὸς τὸ αἰθιοπικώτερον ἐμελαίνετο, τὰ βλέφαρά τε ἠλλοίωτο, τῇ συντόνῳ ἀνάγκῃ τῆς ἀγρυπνίας. Καὶ ὅμως δεινῶν ἐπαγωγῇ τοιαύτῃ παλαίουσα, καὶ νιφάσιν οὐκ ἀερίοις μόνον, ἀλλὰ καὶ τοῖς ἐκ τῶν πειρασμῶν βαλλομένη, οὐδὲ πρὸς βραχὺ τῆς μονῆς ἀποστῆναι ἠνέσχετο, ἀλλὰ διέμεινεν οὕτω καλύβην πηξαμένη πρὸς τῷ πυλῶνι, καὶ ἡδέως αὐτῷ παραρριπτεῖσθαι κατὰ τὸν Προφήτην ἀνεχομένη· τίς δ' ἂν ἐξείποι καὶ ὅσους πειρασμοὺς αὐτῇ ἑτέρους ἐκεῖ ἐπήγαγε, κἂν αὐτῆς ὅμως περιγενέσθαι οὐκ ἴσχυσε.

Ποτὲ μὲν τὸν ἄνδρα ὁ δόλιος ὑποκρινόμενος, ἀπατηλοῖς λόγοις αὐτὴν περιήρχετο, καὶ ἐπανελθεῖν πρὸς τὸν ἴδιον οἶκον παρεκάλει, κἂν ἐκείνη τῷ τοῦ σταυροῦ σημείῳ καὶ τῇ εὐχῇ ἄφαντον ἐποίει αὐτόν. Ποτὲ δὲ τὰ θηρία πάντα τὰ τῆς ἐρήμου

ἐπιέναι αὐτῇ ἐφάνταζε, καὶ πάλιν ἐκείνης εὐχομένης εἰς καπνὸν διελύετο τὰ φαντάσματα.

Ἄλλοτε δὲ καὶ ὄχλον ἀνδρῶν αὐτῇ τὸ δοκεῖν ἐπῆγε καὶ πληγὰς αὐτῇ ἀφορήτους δι᾿ ἐκείνων ἐνέτεινεν, ὡς καὶ ἡμιθνῆτα ὑπὸ τῶν πληγῶν ταύτην γενέσθαι· ἐνίοτε δὲ καὶ ὄψα αὐτῇ παρεδείκνυ παντοῖα καὶ χρυσίου πολλὴν φαντασίαν, κἂν οὐδενὶ αὐτῆς μαλάξαι τὸ στερρὸν ἴσχυσεν· ἀλλ᾿ ἀπὸ τούτων τὸ ἄμαχον αὐτῆς ἰδὼν καὶ ἀήττητον ὁ γῆν καὶ θάλασσαν ἐξαλείφειν καυχώμενος, τοῦ πρὸς αὐτὴν πολέμου ἀποστῆναι διέγνωκε.

Τῶν γὰρ ἑπτὰ διαγεγονότων ἐτῶν οἱ τῆς λαύρας τοῦ Ἐνάτου μονάζοντες, ἱκέται γίνονται τοῦ τῆς μονῆς προεστῶτος, δέξασθαι πάλιν τὴν Ἁγίαν καὶ τῷ λοιπῷ τῶν μοναζόντων ἐναριθμῆσαι τάγματι· ἀρκοῦσαν γὰρ ἔφασκον ἔδωκε δίκην χρόνους ὅλους ἑπτὰ παρὰ τὴν εἴσοδον τῆς μονῆς προσεδρεύουσα· προσέθεντο δέ, ὅτι καὶ διὰ θείας ἐμφανείας ἔμαθον, ὡς ἤδη συγκεχώρηται τὸ ἁμάρτημα Θεοδώρῳ· ὧν καὶ εἴξας ἐκεῖνος τῇ παρακλήσει, ἀνίησι τῆς ἀδίκου καταδίκης τὴν Θεοδώραν, εἰς ἐνδότατον κελλίον τὸ μετὰ τοῦτο κελεύσας μένειν ἀπρόϊτον, καὶ μηδεμίαν διακονίαν τῆς μονῆς αὐτὴν ἐγχειρίζεσθαι.

Δύο τὸ λοιπὸν παρέδραμον ἔτη, οὕτως ἀσκουμένης ἐν ἐγκρατείᾳ μείζονι καὶ συντονωτέραις εὐχαῖς· εἶθ᾿ οὕτως αὐχμοῦ γενομένου, καὶ τῶν ἐν τῷ κοινοβίῳ λάκκων οὐδὲ νοτίδα μικρὰν ὕδατος ἔχειν ὑποφαινόντων, ἐπεί περ ὁ προεστώς, οἷς τε ἤκουεν, οἷς τε ἔβλεπε, τοῦ χαρίσματος ἠξιῶσθαι τῶν ἰαμάτων τὴν μακαρίαν πεπληροφόρητο, μεταστέλλεται ταύτην, καὶ τῷ λάκκῳ τὸ κεράμιον καθεῖναι προστάττει, καὶ ὕδωρ ἀνενεγκεῖν. Ἡ δὲ εἴκειν μαθοῦσα λόγοις Πατρός, μηδὲν πολυπραγμονήσασα μηδὲ ἀναβαλλομένη, πράττει τὸ κελευσθέν· καὶ εὐθὺς ὕδατος μεστὸν ἀνήνεγκε τὸ κεράμιον· ἐξ οὗ καὶ ἄλλοι τῶν λάκκων πλήρεις ὕδατος καθωρῶντο.

Ὀλίγων δὲ παρελθουσῶν ἡμερῶν, τὸ παιδίον ἀραμένη καὶ ἑαυτὴν ἐγκλεισαμένη ἑσπέρας, τὰ τελειότατα αὐτῷ παρῄνει διὰ πάσης νυκτός, καὶ ταῖς τοιαύταις παραινέσεσι ταῖς χερσὶν ἡδέως τοῦ Θεοῦ τὸ πνεῦμα παρέθετο. Καὶ τὸ μὲν παιδίον θρήνοις παραυτίκα ἐκόπτετο καὶ βοῆς τὸν οἰκίσκον ἐπλήρου· οἱ δὲ παρατυχόντες, τὸ γεγονὸς μαθόντες, τῷ προεστῶτι ἀπήγγειλαν, ὅς, ἐπεὶ ἤκουσε, καὶ αὐτὸς ὄναρ τὸ θεαθὲν αὐτῷ τοῖς ὑπ᾿ αὐτὸν ἔλεξε Μοναχοῖς.

Ἐδόκουν, εἰπών, ἄνδρας δύο ὁρᾶν, μετέωρόν με εἰς ὕψος αἴροντας, τὸ δὲ ὕψος ἦν ἀνείκαστον· τάγμα δέ μοι Ἀγγέλων ὡρᾶτο, φωνή τε ἠχλεῖτο ταῖς ἀκοαῖς, βλέπε, λέγουσα, οἷα ἡτοίμασται Θεοδώρᾳ τῇ ἐμῇ νύμφῃ τὰ ἀγαθά. Πρὸς τούτοις καὶ κλίνη μοι κατεφαίνετο, Ἀγγέλῳ πεπιστευμένη, καὶ νυμφὼν τὸ κάλλος ἀπόρρητος. Περὶ πολλοῦ δέ μοι ποιουμένῳ μαθεῖν τίς ὁ νυμφὼν ὁ βλεπόμενος, καὶ τίς ἐκείνη ᾗ ταῦτα ἡτοίμασται καὶ περὶ τούτου τοὺς ἀπάγοντας ἐρωτῶντι, εὐθὺς χορεία μοι Προφητῶν, Ἀποστόλων τε καὶ Μαρτύρων, μετὰ τῶν ἄλλων καθωρᾶτο δικαίων· καὶ ἡ χορεία μέσον εἶχε γυναῖκα θειοτέρᾳ δόξῃ κεκοσμημένην, ἥτις ἔνδον τε τοῦ νυμφῶνος εἰσήει, καὶ ἐπ᾿ αὐτῆς ὡρᾶτο τῆς κλίνης καθεζομένη.

Οἱ δὲ ἀπάγοντες ταύτην, εἶναι, ἔφησαν, τὸν Ἀββᾶν Θεόδωρον, ἣ καὶ τὸ τῆς πορνείας ἔγκλημα κατεψεύσθη καὶ ἠνέσχετο μᾶλλον παρ᾿ ὅλοις ἑπτὰ ἔτεσι τῆς μονῆς ἀπόβλητος ταλαιπωρεῖν, καὶ πατὴρ εἶναι παιδὸς ἀλλοτρίου νομίζεσθαι, καὶ

τροφὴν ἐκείνου καὶ ἀνατροφὴν ἀναδέξασθαι, ἢ ἑαυτήν, ὅς τις εἴη, γνωρίσαι, καὶ αἰσχύνης ἅμα καὶ τοσαύτης ἀπαλλαγῆναι κακοπαθείας· διὰ τοῦτο καὶ τοιαύτης, ἧς ὁρᾷς, ἠξίωται τῆς φαιδρότητος. Ταῦτά με ἰδόντα ὁ ὕπνος ἀνῆκε, καὶ πρὸς τὸ θρηνεῖν τὰς ἐμὰς ὥρμησα ἁμαρτίας.

Ταῦτα διηγησάμενος, εὐθὺς ὡς εἶχε τὸ κελλίον τῆς Ὁσίας κατείληφε σὺν τοῖς Μοναχοῖς· καὶ εἰσελθόντες, τὴν ὄντως ζῶσαν ὁρῶσι νεκράν· καὶ παραστάντες, δάκρυα τοῦ ἱεροῦ κατέσταζον σώματος. Ὁ δὲ προεστὼς μεταπεμψάμενος καὶ τοὺς τοῦ Ἐνάτου Μοναχούς, ἐνώπιον αὐτῶν ἔνια μέρη τοῦ ἱεροῦ σώματος παραδείξας, ἴδετε, εἶπεν αὐτοῖς, τὸ καινότατον τοῦτο θέαμα· οἵα φύσις, οἵῳ δελεάματι τὸν τοῦ σκότους ἠπάτησεν ἄρχοντα. Πάντας οὖν ἡ θέα ἐξέπληξεν· εἶτα καὶ φόβος πολὺς κατέσχεν αὐτούς, λογιζομένους οἵους πόνους παλαίειν ὀφείλουσιν οἱ πάθεσιν ἐνεσχημένοι σωματικοῖς, καὶ τὸν φόβον δάκρυα διεδέχοντο· ὀψὲ δὲ καὶ μόλις τῶν θρήνων παυσάμενοι, ψαλμοῖς καὶ ὕμνοις τὸ πολύαθλον ἐκεῖνο σῶμα καὶ ἱερώτατον ἐξοσιωσάμενοι, θάπτουσιν.

Ἑρμηνεία

ΚΑΠΟΤΕ εἰς τὸ Μοναστήρι, εἰς τὸ ὁποῖον ἠσκεῖτο ἡ Ἁγία Θεοδώρα, νομιζομένη ὡς μοναχός, παρετηρήθη ἔλλειψις σίτου. Διατάσσεται λοιπὸν ἀπὸ τὸν Ἡγούμενον ἡ Μακαρία νὰ πάρῃ τὰς καμήλους καὶ νὰ μεταβῇ εἰς τὴν πόλιν, διὰ νὰ ἀγοράσῃ σιτάρι. Τῆς ἔδωσαν δὲ καὶ τὴν ἄδειαν, ἐφ' ὅσον θὰ ἦτο ἀδύνατον νὰ ἐπιστρέψῃ τὸ βράδυ εἰς τὸ μοναστήρι, νὰ διανυκτερεύσῃ εἰς τὸ μοναστήρι τοῦ Ἐνάτου καὶ ἐκεῖ νὰ ξεκουράσῃ καὶ τὰς καμήλους.

Πράγματι, ἐπιστρέφουσα ἀπὸ τὴν πόλιν, ἐπειδὴ εἶδεν ὅτι ὁ ἥλιος ἔκλινε πρὸς τὴν δύσιν, ἐζήτησε, κατὰ τὴν ἐντολὴν ποὺ ἔλαβε, νὰ ξεκουράσῃ τὰς καμήλους εἰς τὸ Μοναστήρι τοῦ Ἐνάτου. Ἀφοῦ δὲ τῆς ὑπεδείχθη ὁ τόπος διὰ τὰ ζῷα, ἀνεπαύετο καὶ αὐτὴ εἰς τὰ πόδια τῶν καμήλων. Ἀπὸ τὴν στιγμὴν αὐτὴν ἀρχίζει ὁ πονηρὸς νὰ τὴν πολεμῇ. Οὕτως ἐρεθίζει εἰς τὸ πάθος τῆς λαγνείας μίαν νέαν, ποὺ ἔμενεν εἰς τὸ Μοναστήρι, λόγῳ συγγενείας πρὸς μερικοὺς Μοναχούς· ἐρεθισμένη λοιπὸν ἡ νέα καὶ νομίζουσα, ἀπὸ ὅσα ἔβλεπε, ὅτι ἡ μακαρία ἦτο ἄνδρας, τὴν παρακινοῦσε νὰ κοιμηθοῦν μαζί, χωρὶς καθόλου νὰ ἐντρέπεται καὶ εἰς τὸ πρόσωπον καὶ εἰς τὴν ψυχήν.

Ἐπειδὴ δὲ ἡ οἰστρηλατουμένη ἀπὸ τὸ πάθος νέα ἔβλεπε τὴν Ἁγίαν Θεοδώραν νὰ μὴ δίδῃ προσοχὴν εἰς αὐτὰ ποὺ τῆς ἔλεγε καὶ νὰ προτιμᾷ νὰ μένῃ ἐξαπλωμένη εἰς τὸ γυμνὸν ἔδαφος, κοντὰ εἰς τὰς καμήλους, χωρὶς νὰ ἠμπορῇ νὰ σβύσῃ τὸν ἁμαρτωλόν της πόθον, παραδίδεται τότε εἰς κάποιον, ἀπὸ αὐτοὺς ποὺ ἐκοιμῶντο ἐκεῖ, ὁδοιπόρον καὶ αὐτόν, ἀπὸ τοὺς περαστικούς, ποὺ διενυκτέρευον εἰς τὸ Μοναστήρι.

Πρωῒ - πρωῒ λοιπὸν ὁ συνεργὸς τῆς ἁμαρτίας ἀνεχώρησεν ἀπὸ τὸ Μοναστήρι καὶ ἡ Ὁσία ἐπίσης ἐπέστρεψεν εἰς τὸ Μοναστήρι της. Τὸ πέρασμα ὅμως τοῦ χρόνου ἔδειχνε, σιγὰ - σιγά, φουσκωμένην τὴν κοιλίαν τῆς κόρης. Καθὼς δὲ ἀνεκρίνετο ἐπιμόνως ἀπὸ τοὺς συγγενεῖς νὰ εἴπῃ

πῶς τῆς συνέβη αὐτό, αὐτὴ εἶπεν ὅτι ὁ Μοναχὸς Θεόδωρος, ἀπὸ τὸ Μοναστήρι τοῦ 'Οκτωκεδαικάτου, τὴν διέφθειρεν. 'Αμέσως οἱ Μοναχοί, χωρὶς ἄλλην ἐξέτασιν, πιστεύουν εἰς τὰ λόγια της· διότι ὁ ἐχθρός, ποὺ ἡτοίμαζε τοὺς πειρασμοὺς ἐναντίον τῆς 'Οσίας, καὶ τὴν κόρην ἐδασκάλευσε νὰ εἰπῆ αὐτὰ καὶ ἐκείνους ἔκανε νὰ τὴν πιστεύσουν.

Κατόπιν αὐτοῦ ἦλθον μὲ θορύβους καὶ κραυγὰς εἰς τὸ Μοναστήρι, ὅπου ἠσκήτευεν ἡ 'Αγία καὶ ἐφώναζον· ὁ καλόγηρός σας ὁ Θεόδωρος δὲν ἐδίστασε νὰ διαπράξῃ αὐτὴν τὴν βδελυρὰν πρᾶξιν.

Τὴν ἠρώτησε λοιπὸν ὁ 'Ηγούμενος, ἐὰν πράγματι ἔκαμε μίαν τόσον βδελυρὰν πρᾶξιν καὶ ἐκείνη ἀπήντησε πρὸς αὐτὸν ὅτι δὲν γνωρίζει τίποτε τὸ ἔνοχον.

Τότε οἱ Μοναχοὶ τοῦ 'Ενάτου ἐπέστρεψαν εἰς τὸ Μοναστήρι των· ὅταν δὲ ἐγεννήθη τὸ παιδὶ τῆς ἁμαρτίας τὸ ἐπῆραν καὶ τὸ ἔρριψαν μέσα εἰς τὸ Μοναστήρι, ὅπου ἐζοῦσεν ἡ 'Αγία Θεοδώρα.

Τί γίνεται ὅμως ἀπ' ἐδῶ καὶ ἐμπρός; Ἔγινε πιστευτὸν ὅτι ἡ Θεοδώρα εἶναι ὁ πατὴρ τοῦ νηπίου καὶ χωρὶς νὰ εἴπῃ τίποτε, διὰ νὰ ἀπολογηθῇ, δέχεται νὰ καταδικασθῇ ὡς ἔνοχος καὶ ἐξορίζεται μαζὶ μ' αὐτὸ ἀπὸ τὸ Μοναστήρι. 'Αναδεικνύεται τροφὸς τοῦ παιδιοῦ καὶ ἀναγκάζεται νὰ τὸ φροντίζῃ ὅπως ἡ μητέρα τὸ παιδί της, διατρέφουσα αὐτὸ μὲ τὸ γάλα τῶν προβάτων, μὲ τὰ μαλλιὰ δὲ τῶν προβάτων, ποὺ ἐζήτει ἀπὸ τοὺς βοσκούς, κατεσκεύαζε τὰ ἐνδύματα τοῦ παιδιοῦ. 'Αλλὰ ποία ψυχὴ θὰ ἦτο δυνατὸν νὰ παραδεχθῇ μίαν τόσον βαρεῖαν συκοφαντίαν; Ποιό χέρι δὲν θὰ ἐβάραινε ἀπὸ μίαν τόσον βαρεῖαν ὑπηρεσίαν;

'Επτὰ ὁλόκληρα χρόνια ἐπέρασαν, κατὰ τὰ ὁποῖα ἐταλαιπωρεῖτο ἡ γυναικεία φύσις της· ὢ μάτια τοῦ Θεοῦ, ποὺ τὰ βλέπετε ὅλα! συκοφαντηθεῖσα μὲ κακόβουλον κατηγορίαν ἐδιώχθη ἀπὸ τὸ Μοναστήρι της, ὡς νὰ διέπραξε μὲ τὴν θέλησίν της αἰσχρότητα καὶ νὰ ἤθελε πάλιν νὰ τὴν σκεπάσῃ μὲ τὴν θεληματικήν της ἐντροπήν. Μαζὶ δὲ μὲ ὅλα της τὰ βάσανα εἶχε καὶ τὴν δίαιταν· ἔτρωγε, δηλαδή, διάφορα ἀγριόχορτα καὶ ἔπινε νερό, ποὺ ἀντλοῦσεν ὅπως-ὅπως ἀπὸ τὴν λίμνην, ἂν καὶ θὰ ἦτο προτιμότερον νὰ ἔλεγε κανείς, ὅτι ἔπινε τὰ δάκρυά της, ποὺ ἔτρεχαν ἡμέραν καὶ νύκτα ἀπὸ τὰ μάτια της· πράγματι αὐτὴ ἐφήρμοσε τὸ ρητὸν τοῦ ψαλμοῦ· «καὶ τὸ ποτόν μου τὸ ἀνεμίγνυον μὲ κλαυθμοὺς» (Ψαλμ. ρα΄, 10).

Ἔτσι μὲ τὸν τρόπον αὐτὸν ἔλειωνε τὸ κορμί της καὶ ἐπειδὴ δὲν εἶχε καμμίαν σωματικὴν φροντίδα, τὰ νύχια της εἶχαν μεγαλώσει καὶ ἔμοιαζαν μὲ τὰ νύχια τῶν ἀγριωτέρων ζώων· τὰ μαλλιά της πυκνὰ καὶ ξηρὰ (καθὼς παρέμεναν ἀκτένιστα) ἦσαν ὅμοια μὲ ἄγρια χόρτα· τὸ πρόσωπόν της καθὼς ἦτο ἐκτεθειμένον εἰς τὰς ἡλιακὰς ἀκτίνας, ἐμαύριζε περισσότερον καὶ τὰ βλέφαρά της εἶχον ἀλλοιωθῆ ἀπὸ τὴν παρατεταμένην ἀγρυπνίαν. Καὶ ὅμως· ἂν καὶ ἐπάλαιε πρὸς τόσας συμφορὰς καὶ ἐδέρνετο ὄχι μόνον ἀπὸ τὰς νιφάδας τοῦ χιονιοῦ, ἀλλὰ καὶ ἀπὸ τοὺς πειρασμούς, ὡς τόσον δὲν ἀπεφάσισε οὔτε δι' ὀλίγον νὰ ἀπομακρυνθῇ ἀπὸ τὸ Μοναστήρι, ἀλλὰ ἔστησε τὴν καλύβην της εἰς τὴν ἐξώπορταν καὶ παρέ-

μεινεν εἰς αὐτήν, προτιμῶσα μὲ εὐχαρίστησιν νὰ εἶναι παραριγμένη εἰς αὐτό, συμφώνως καὶ μὲ τὸν Προφήτην Δαυΐδ (Ψαλμ. πγ', 11). Ποῖος δὲ θὰ ἠμποροῦσεν ἀκόμη νὰ εἴπῃ καὶ πόσους ἄλλους πειρασμοὺς τῆς ἐπροξένησεν ἐκεῖ ὁ διάβολος χωρὶς ὅμως νὰ ἠμπορέσῃ νὰ τὴν κατανικήσῃ;

Ἄλλοτε μὲν ὁ διάβολος ὑπεκρίνετο τὸν ἄνδρα της, ποὺ μὲ ἀπατηλὰ λόγια τὴν ἐγυρόφερνε καὶ τὴν παρεκάλει νὰ ἐπιστρέψῃ εἰς τὸ σπίτι της· ὡστόσον ἐκείνη μὲ τὸ σημεῖον τοῦ σταυροῦ καὶ τὴν εὐχὴν τὸν ἔκανεν ἄφαντον· ἄλλοτε πάλιν παρουσίαζε φανταστικὰ εἰς αὐτὴν ὅλα τὰ θηρία τῆς ἐρήμου ὡς νὰ ὡρμοῦσαν ἐναντίον της· ἀλλὰ καὶ πάλιν ἐκείνη μὲ τὴν προσευχὴν διέλυεν ὡς καπνὸν τὰ φαντάσματα αὐτά.

Ἄλλοτε πάλιν τῆς ἐφαίνετο ὅτι ἤρχοντο κοντά της πλήθη ἀνδρῶν, οἱ ὁποῖοι τῆς ἐπροξενοῦσαν ἀφόρητες πληγές, ὥστε νὰ μένῃ ὡς μισοπεθαμένη. Κατὰ καιροὺς δὲ τῆς παρουσίαζε καὶ διάφορα φαγητὰ καὶ πολὺ χρυσάφι· τέλος μὲ τίποτε ἀπὸ ὅλα αὐτὰ δὲν κατώρθωσε νὰ κάμψῃ τὴν σταθερότητά της. Ἀπὸ ὅλα αὐτὰ ἐκατάλαβε πλέον αὐτὸς ποὺ καυχᾶται ὅτι ἠμπορεῖ νὰ ἐξαφανίσῃ τὴν γῆν καὶ τὴν θάλασσαν, ὅτι ἡ Ἁγία Θεοδώρα εἶναι ἀπολέμητη καὶ ἀκατανίκητη καὶ δι' αὐτὸ ἀπεφάσισε νὰ διακόψῃ τὸν πόλεμόν του ἐναντίον της.

Ἀφοῦ λοιπὸν ἐπέρασαν τὰ ἑπτὰ ἔτη οἱ Μοναχοὶ τῆς λαύρας τοῦ Ἐνάτου ἔρχονται καὶ παρακαλοῦν τὸν Ἡγούμενον νὰ δεχθῇ καὶ πάλιν τὴν Ἁγίαν (τὴν ὁποίαν, ὡς εἴπομεν, ἐνόμιζον ἄνδρα) καὶ νὰ τὴν συγκαταριθμήσῃ μαζὶ μὲ τοὺς ὑπολοίπους Μοναχοὺς τοῦ Μοναχικοῦ τάγματος· διότι—ἔλεγον—ἦτο ἀρκετὴ ἡ τιμωρία νὰ παραμείνῃ διαρκῶς ἑπτὰ χρόνια εἰς τὴν εἴσοδον τοῦ Μοναστηριοῦ. Προσέθετον δὲ εἰς τὸ διάβημά των αὐτό, ὅτι ἀπὸ θεϊκὸν ὅραμα ἐπληροφορήθησαν ὅτι ὁ Θεὸς ἔχει συγχωρήσει ἤδη τὸν Θεόδωρον. Κατόπιν τῶν παρακλήσεων αὐτῶν, ὑπήκουσεν ὁ Ἡγούμενος καὶ ἀπαλλάσσει τὴν Θεοδώραν ἀπὸ τὴν ἄδικον καταδίκην, ἀφοῦ διέταξε νὰ μένῃ εἰς τὸ πλέον ἀπόμερον κελλίον, χωρὶς νὰ τὴν πλησιάζῃ κανεὶς καὶ νὰ μὴ τῆς ἀναθέτουν καμμίαν ὑπηρεσίαν τοῦ Μοναστηρίου.

Ἐπέρασαν ἄλλα δύο ἔτη, κατὰ τὰ ὁποῖα ἡ Ὁσία ἠσκεῖτο ἀπομονωμένη καὶ κλεισμένη εἰς τὸ κελλί της, μὲ μεγαλυτέραν μάλιστα ἐγκράτειαν καὶ θερμοτέρας προσευχάς. Εἰς τὴν διετίαν ἐπάνω ἔγινε μεγάλη ξηρασία εἰς τὴν περιοχήν, ὥστε τὰ πηγάδια καὶ αἱ δεξαμεναὶ τοῦ Κοινοβίου νὰ μὴ ἔχουν πλέον οὔτε σταγόνα νεροῦ· τότε ὁ Ἡγούμενος, ἐπειδὴ ἀπὸ ὅσα ἔβλεπε καὶ ἤκουεν, ἐπληροφορεῖτο ὅτι ἡ μακαρία εἶχε λάβει τὸ χάρισμα νὰ κάμῃ καὶ θεραπείας, στέλλει καὶ τὴν διατάσσει νὰ πάρῃ τὴν στάμναν καὶ νὰ μεταβῇ εἰς τὸ πηγάδι νὰ φέρῃ νερό. Ἐκείνη δέ, μαθημένη νὰ ὑπακούῃ εἰς τὸν Ἡγούμενον χωρὶς καθόλου νὰ ἐξετάζῃ τὴν ἐντολὴν ποὺ λαμβάνει ἢ νὰ ἀναβάλλῃ τὴν ἐκτέλεσίν της, ἐκτελεῖ πάραυτα τὴν διαταγήν· καὶ ἀμέσως φέρνει ἐπάνω τὴν στάμναν γεμάτην νερόν. Ἀπὸ τὴν στιγμὴν ἐκείνην, ὅλα τὰ πηγάδια ἐφάνησαν γεμᾶτα νερό.

Ἀφοῦ ἐπέρασαν μερικαὶ ἡμέραι, ἐπῆρε τὸ παιδὶ καὶ ἐκλείσθη μα-

ζί του τὸ βράδυ εἰς τὸ κελλί της· καθ' ὅλην δὲ τὴν νύκτα τὸ συνεβούλευε διὰ τὴν κατὰ Χριστὸν τελειότητα. Καὶ ἐνῷ ἔδιδεν αὐτὰς τὰς συμβουλὰς παρέδωσε μὲ εὐχαρίστησιν τὸ πνεῦμα της εἰς τὰ χέρια τοῦ Θεοῦ. Ἀμέσως τότε τὸ παιδὶ ἤρχισε νὰ κλαίῃ καὶ νὰ θρηνῇ καὶ ἐγέμιζε τὸ κελλὶ μὲ τὰς φωνάς του. Ἀπὸ τοὺς θρήνους αὐτοὺς ἐπληροφορήθησαν τὸν θάνατόν της ὅσοι εὑρίσκοντο κοντὰ καὶ τὸ ἀνέφεραν εἰς τὸν Ἡγούμενον· μόλις δὲ ὁ Ἡγούμενος ἤκουσε τὴν εἴδησιν αὐτήν, εἶπεν ἀμέσως εἰς τοὺς Μοναχούς, ποὺ τὸν ἐπληροφόρησαν, τὸ ὄνειρον ποὺ εἶδε.

Μοῦ ἐφάνη — εἶπε — ὅτι εἶδα δύο ἄνδρας νὰ μὲ σηκώνουν ὑψηλὰ εἰς ἀνυπολόγιστον ὕψος. Ἐκεῖ ἔβλεπα ἕνα ἀγγελικὸν τάγμα καὶ μία φωνὴ ἀντηχοῦσεν εἰς τὰ αὐτιά μου. Πρόσεχε, ἔλεγεν ἡ φωνὴ ἐκείνη, πόσα ἀγαθὰ ἔχουν ἑτοιμασθῆ διὰ τὴν Θεοδώραν τὴν νύμφην μου. Συγχρόνως εἶδα καὶ μίαν κλίνην, τὴν ὁποίαν ἐφρούρει ἕνας Ἄγγελος, καὶ ἕνα νυμφικὸν θάλαμον μὲ ἀπερίγραπτον κάλλος. Ἐπειδὴ δὲ εἶχα σφοδρὰν ἐπιθυμίαν νὰ μάθω ποῖος εἶναι ὁ νυμφικὸς θάλαμος, ποὺ ἔβλεπα, καὶ ποία εἶναι ἐκείνη, διὰ τὴν ὁποίαν ἔχουν ἑτοιμασθῆ ὅλα αὐτὰ καὶ ἐνῷ ἠρώτων περὶ ὅλων αὐτῶν τοὺς ὁδηγούς μου, διακρίνω ἔξαφνα χορείαν Προφητῶν, Ἀποστόλων καὶ Μαρτύρων. Καὶ ἡ χορεία ἐκείνη εἶχεν εἰς τὸ μέσον γυναῖκα, στολισμένην ὁλόλαμπρα καὶ ἡ ὁποία εἰσήρχετο μέσα εἰς τὸν νυμφικὸν θάλαμον καὶ ἐφαίνετο νὰ κάθεται ἐπάνω εἰς τὴν κλίνην.

Ἐκεῖνοι δὲ ποὺ συνώδευον τὴν θαυμαστὴν ἐκείνην γυναῖκα εἶπον ὅτι εἶναι ἡ ψυχὴ τοῦ ἀββᾶ Θεοδώρου εἰς τὴν ὁποίαν ἀπεδόθη ψευδῶς τὸ ἔγκλημα τῆς πορνείας, καὶ ἐπροτίμησε νὰ ταλαιπωρῆται ἐπὶ ἑπτὰ ὁλόκληρα χρόνια, ἐξόριστος ἀπὸ τὸ Μοναστήρι καὶ νὰ θεωρῆται πατὴρ ἑνὸς ξένου παιδίου καὶ νὰ ἀναλάβῃ τὴν διατροφὴν καὶ τὴν μόρφωσίν του, παρὰ νὰ φανερώσῃ ποία ἦτο, πράγματι, κατὰ τὴν φύσιν καὶ νὰ ἀπαλλαγῇ ἔτσι ἀπὸ τὴν ἐντροπὴν καὶ τὴν τόσην ταλαιπωρίαν. Δι' αὐτὸ καὶ ὅπως βλέπεις — συνέχισαν οἱ συνοδοὶ τῆς ψυχῆς — ἠξιώθη μιᾶς τοιαύτης λαμπρότητος. Ὅταν εἶδα αὐτὰ ὁ ὕπνος ἔφυγεν ἀπὸ τὰ μάτια μου καὶ ἤρχισα νὰ κλαίω τὰς ἁμαρτίας μου.

Ἀφοῦ ἐτελείωσεν αὐτὴν τὴν διήγησιν, ἀμέσως ἐπῆγε μαζὶ μὲ τοὺς ἄλλους Μοναχοὺς εἰς τὸ κελλὶ τῆς Ὁσίας. Μόλις δὲ εἰσῆλθον βλέπουν τὴν πραγματικῶς ζῶσαν, νεκράν· πλησιάσαντες δὲ ἔχυσαν δάκρυα ἐπάνω εἰς τὸ ἱερὸν ἐκεῖνο σῶμα. Τότε ὁ Ἡγούμενος ἔστειλε καὶ ἐκάλεσε καὶ τοὺς Μοναχοὺς τοῦ Ἐνάτου, ἐνώπιον τῶν ὁποίων ἀπεκάλυψε μερικὰ μέλη τοῦ ἱεροῦ σώματος, ἐνῷ συγχρόνως τοὺς ἔλεγεν:

—Ἴδετε τὸ παραδοξότατον αὐτὸ θέαμα· πῶς ἡ γυναικεία φύσις ἐξηπάτησε μὲ τέτοιον τρόπον τὸν ἄρχοντα τοῦ σκότους.

Ὅλους, ὅπως ἦτο φυσικόν, ἐξέπληξεν αὐτὸ ποὺ εἶδον· ἐν συνεχείᾳ δὲ τοὺς κατέλαβε καὶ πολὺς φόβος, καθὼς ἐσκέπτοντο μὲ πόσον κόπον πρέπει νὰ παλαίουν, ὅσοι εἶναι αἰχμαλωτισμένοι ἀπὸ τὰ σωματικὰ πάθη, καὶ τὰ δάκρυά των ἀκολουθοῦσαν τὸν φόβον αὐτόν.

Πρὸς τὸ βράδυ καὶ ὅταν πλέον ἐσταμάτησαν τοὺς θρήνους, θά-

πτουν, μὲ ψαλμοὺς καὶ ὕμνους καὶ τὰς ὀφειλομένας ἐπικηδείους τιμὰς τὸ πολύαθλον καὶ ἱερώτατον ἐκεῖνο σῶμα.

Ε'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ γέρων· ἐν τόπῳ ᾧ ἔστι τις, ἐὰν δοκιμάσῃ καλόν τι ποιῆσαι καὶ μὴ ἰσχύσῃ, μὴ νομίσῃ ὅτι ἀλλαχοῦ δύναται ποιῆσαι αὐτό.

2. Εἶπεν ἡ Ἀμμὰς Θεοδώρα, ὅτι ἦν τις Μοναχός, καὶ ἀπὸ τοῦ πλήθους τῶν πειρασμῶν, λέγει πρὸς ἑαυτόν· ὕπαγε ἔνθεν· καὶ ὡς ἔλαβεν αὐτοῦ τὰ σανδάλια, ὁρᾷ ἄνθρωπον βάλλοντα καὶ αὐτὸν τὰ σανδάλια αὐτοῦ καὶ λέγοντα αὐτῷ· οὐ δι' ἐμὲ ἐξέρχῃ; ἰδοὺ ἐγώ σου προάγω ὅπου ἐὰν ἀπέρχῃ· ἦν δὲ οὗτος ὁ δαίμων ὁ πειράζων αὐτόν.

Ἑρμηνεία

ΕΙΠΕ κάποτε ἕνας Γέρων:

— Εἰς τὸν τόπον, ποὺ εὑρίσκεται κανείς, ἐὰν δοκιμάσῃ νὰ πράξῃ κάτι καλὸν καὶ δὲν ἠμπορέσῃ, ἂς μὴ νομίσῃ ὅτι εἰς ἄλλο μέρος θὰ δυνηθῇ νὰ τὸ πραγματοποιήσῃ.

2. Ἡ Ἀμμὰς (Γερόντισσα) Θεοδώρα διηγήθη ὅτι ἦτο κάποιος Μοναχός, ὁ ὁποῖος ἠνωχλεῖτο ἀπὸ πλῆθος πειρασμῶν. Λέγει λοιπὸν εἰς τὸν ἑαυτόν του· φύγε ἀπ' ἐδῶ. Καθὼς ὅμως ἐπῆρε νὰ φορέσῃ τὰ ὑποδήματά του, βλέπει κάποιον ἄλλον ἄνθρωπον νὰ βάζῃ τὰ ὑποδήματά του, καὶ νὰ τοῦ λέγῃ· δι' ἐμὲ δὲν φεύγεις ἀπ' ἐδῶ; Καὶ ἐγὼ πηγαίνω πρὶν ἀπὸ σέ, ὅπου σκέπτεσαι νὰ μεταβῇς. Αὐτὸς δὲ ἦτο ὁ δαίμων, ποὺ τὸν ἐπείραζε.

ΣΤ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΒΟΥΛΟΜΑΙ ὑμᾶς, ἀδελφοί, ὑπομνῆσαι περὶ τῶν ἐπιχειρούντων εἰς τὰ ὑπέρμετρα καὶ περιπιπτόντων κινδύνοις ἀνηκέστοις, οἳ οὐκ ἀκούουσι τῆς γραφῆς λεγούσης· «μὴ φρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν»· καὶ πάλιν ἑτέρωθι· «μὴ γίνου δίκαιος πολύ, μηδὲ σοφίζου περισσά, μήποτε ἐκπλαγῇς».

Συνέβη γὰρ ἐν ταῖς ἡμέραις ταύταις τινὰς ἀδελφοὺς καταλιπόντας τὰ ἴδια κελλία, εἰς τὴν ἄβατον καὶ ἄκαρπον καὶ ἄνυδρον γῆν ἑαυτοὺς ἐκδεδωκέναι· οἵτινες πολλὰ ὑπὸ Πατέρων καὶ ἀδελφῶν νουθετηθέντες, οὐκ ἐπείσθησαν, ἀλλ' εἶπον· ἡμεῖς βοσκοὶ ἀπερχόμεθα· ὡς δὲ ἤλασαν ἑαυτοὺς κατὰ τῆς ξηροτάτης ἐρήμου, τότε συγκλειθέντες ὑπὸ τὴν ἄβατον γῆν καὶ μηδεμίαν παραμυθίαν εὑρίσκοντες, ἤρξαντο δυσφορεῖν λίαν· καὶ ἀρξάμενοι ἐπαναλύειν εἰς τὰ οἰκούμενα οὐκ ἴσχυσαν φθάσαι, ἀλλ' ὑπὸ τῆς ἀσιτίας καὶ τῆς δίψης καὶ τοῦ καύσωνος ἐκλιπόντες, ἔκειντο ἀθυμοῦντες, καὶ τὰς ἑαυτῶν ψυχὰς ἀπολεγόμενοι· οἰκονομίᾳ δέ τινι θείᾳ τινὲς κατὰ τὴν ἔρημον ὁδεύοντες, εὗρον τινὰς ἐξ αὐτῶν οὕτω ψυχορραγοῦντας, οἳ καὶ ἐπιθέντες αὐτοὺς ἐπὶ τὰ ἴδια κτήνη, ἐκόμισαν εἰς τὰ οἰκούμενα, καὶ ἔμειναν ἐφ' ἱκανὸν ἀσθενοῦντες· καὶ λοιπὸν τῇ πείρᾳ ἔμαθον μὴ τῷ ἰδίῳ στοιχεῖν θελήματι· οἱ δὲ λοιποί, οἱ μὴ εὑρεθέντες, ἀπέψυξαν ἐκεῖ κείμενοι, καὶ τὰ σώματα αὐτῶν κατεβρώθη ὑπὸ πετεινῶν καὶ θηρίων.

Πολλοὶ δὲ καὶ ἄλλοι, αὐθαδείᾳ λογισμῶν φερόμενοι, χαλεποῖς κινδύνοις

ἑαυτοῖς περιβάλλουσιν, εἰς γῆν ἄνυδρον καὶ ἄκαρπον διελάσαντες· καὶ οἱ μὲν τῆς οἰκουμένης ἀπανίστανται ὑποταγῆναι μὴ βουλόμενοι, μηδὲ ἐξυπηρετεῖν ὁμοψύχοις ἀνεχόμενοι, καὶ τῷ αὐτῷ κινδύνῳ περιπίπτουσιν· οἱ δὲ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν οὐ προαιρούμενοι ἄλλοι ὑπὸ αὐθαδείας λογισμῶν κατ' ἔρωτα δῆθεν ἡσυχίας καὶ ἄκρας ἀρετῆς, τὰ ἑαυτῶν ἀγνοήσαντες μέτρα· ἕτεροι, τῇ κενοδοξίᾳ ἐπαρθέντες, καὶ τοὺς παρὰ τῶν ἀκουόντων ἐπαίνους θηρώμενοι, ὡς ἀναχωρηταὶ δῆθεν γενόμενοι, τοὺς δὲ ἐπιγινομένους πόνους μὴ λογισάμενοι· καὶ οὗτοι πάντες τοῖς οἰκείοις πιστεύσαντες λογισμοῖς, ἀθλίως καὶ χαλεπῶς ἐκινδύνευσαν.

Οὐ χρὴ οὖν, ἀγαπητοί, ἀκρίτως τοῖς ἰδίοις θελήμασιν ἡμᾶς συναπάγεσθαι, ἀλλὰ μᾶλλον ταπεινοῦσθαι τῷ πλησίον ἐν ἀγάπῃ Θεοῦ, ἕκαστον τὰ οἰκεῖα μέτρα ἐπιγινώσκοντα· ἴσως δέ τις παρελθὼν λέξει· καὶ πῶς εὑρίσκομεν τινὰς τῶν Πατέρων ταύτην ἐξησκηκότας τὴν ἀρετήν; Σκοπείτω οὖν οὗτος, πῶς καὶ οἱ Πατέρες οὐδὲν ἀπερισκέπτως ἢ ὡς ἔτυχεν ἔπραττον, καὶ ἐκ τοῦ ὑποδείγματος ἑαυτὸν σωφρονιζέτω.

2. Περὶ γὰρ τοῦ Ἀββᾶ Μακαρίου ἱστόρηται, ὅτι ἔλεγεν οὕτω· καθημένου μου, φησίν, ἐν τῷ κελλίῳ μου εἰς σκῆτιν, ὤχλησάν με οἱ λογισμοὶ λέγοντες· ἄπελθε ἔσω εἰς τὴν ἔρημον, καὶ ἴδε τί βλέπεις ἐκεῖ· καὶ ἔμεινα πολεμῶν τῷ λογισμῷ πέντε ἔτη, λέγων μήπως ἀπὸ δαιμόνων ἐστίν· ὁρᾷς σύνεσιν ὁσίου ἀνδρός; μὴ συναπήχθη εὐθέως ἢ ἐπέδραμε; μὴ προσεποιήσατο τῶν λογισμῶν; οὐχί· ἀλλ' ἔμεινεν ἀνακρίνων, νηστεύων καὶ ἀγρυπνῶν καὶ προσευχόμενος, μήπως ἀπὸ δαιμόνων ἐστίν. Ἡμῖν δὲ ὅταν ἐπέλθῃ λογισμός, ἀκατάσχετοί ἐσμεν, ἐξαγριούμενοι· καὶ οὐ μόνον οὐκ ἀνακρίνομεν ἐμπόνως προσευχόμενοι, ἀλλ' οὐδὲ ὑφ' ἑτέρων νουθετούμενοι πειθαρχοῦμεν· ὅθεν καὶ αἰχμαλωτιζόμεθα ῥαδίως ὑπὸ τοῦ ἐξ ἐναντίας.

Εἶτα, φησίν, ὡς ἐπέμενεν ὁ λογισμός, ἐξῆλθον εἰς τὴν ἔρημον, καὶ εὗρον ἐκεῖ λίμνην ὑδάτων, καὶ νῆσον ἐν μέσῳ αὐτῆς, καὶ ἦλθον τὰ κτήνη τῆς ἐρήμου πιεῖν ἐξ αὐτῆς· καὶ εἶδον ἐν μέσῳ αὐτῶν δύο ἀνθρώπους γυμνούς· εἶτα μετὰ τὸ λαλῆσαι ἡμᾶς, εἶπον αὐτοῖς· πῶς δύναμαι γενέσθαι Μοναχός; οἱ δὲ εἶπόν μοι· ἐὰν μὴ ἀποτάξηταί τις πᾶσι τοῖς τοῦ κόσμου, οὐ δύναται γενέσθαι Μοναχός· ἐγὼ δὲ πρὸς αὐτούς· ἐγὼ ἀσθενής εἰμι καὶ οὐ δύναμαι ὡς ὑμεῖς· καὶ λέγουσιν ἐκεῖνοι· ἐὰν οὐ δύνασαι ὡς ἡμεῖς, κάθου ἐν τῷ κελλίῳ σου καὶ κλαῦσον τὰς ἁμαρτίας σου.

Ὢ ταπείνωσις ἐνθέου ἀνδρός, ὢ σύνεσις ἐναρέτου ψυχῆς! ὁ τοσούτοις καὶ τηλικούτοις ἀνδραγαθήμασι διαπρέψας οὐκ ἔκρινεν ἑαυτὸν ἄξιον τοῦ πράγματος· ἡμεῖς δὲ οἱ μηδὲν ὄντες ἢ τὸ τυχὸν κοπιάσαι δυνάμενοι, τῇ προπετείᾳ καὶ αὐταρεσκείᾳ ἀγόμενοι, ἐπιχειροῦμεν εἰς τὰ ὑπέρμετρα, ὡς Κύριον τὸν Θεὸν πειράζοντες, ὅπερ ἐστὶ φοβερόν· οὐαὶ δὲ ἀνθρώπῳ πεποιθότι ἐπὶ τῇ ἰδίᾳ δυνάμει ἢ ἀσκήσει ἢ εὐφυΐᾳ, καὶ μὴ ἐπὶ Θεῷ· παρ' αὐτοῦ γὰρ μόνου τὸ κράτος καὶ ἡ ἰσχύς.

3. Ἐγκύψωμεν δὲ εἰς τὸν βίον τοῦ Ἀββᾶ Ἀντωνίου καὶ εὑρήσομεν καὶ αὐτὸν ἐκ θείας ἀποκαλύψεως πάντα πεποιηκότα· ὅμως δὲ καὶ αὐτὸς οὐκ ἐν Μοναστηρίῳ ἐκαθέζετο; οὐκ ἀμφιάσμασιν ἐκέχρητο; οὐκ ἄρτου ἤσθιεν; οὐ ταῖς ἰδίαις χερσὶν εἰργάζετο; οὐ μαθητὰς ἐκέκτητο, οἵ τινες καὶ μετὰ θάνατον τὸ σῶμα αὐτοῦ συνέστειλαν καὶ ἔθαψαν; καὶ πάντες δὲ οἱ Πατέρες, πλὴν ὀλίγων, τῇ διαγωγῇ ταύτῃ ἐχρήσαντο, ὧν τὸν βίον ζηλώσωμεν καὶ ἡμεῖς, καὶ ἐν τῇ βασιλικῇ καὶ μέσῃ ὁδῷ πορευθῶμεν, μὴ ἐκκλίνοντες μήτε εἰς τὰ δεξιά, μήτε εἰς τὰ ἀριστερά.

4. Χρὴ οὖν ἕκαστον τελειοῦν τὸ ἔργον ὃ ἐνήρξατο ποιεῖν μετὰ πάσης ταπεινοφροσύνης καὶ ὑπομονῆς· τὸ δὲ ἀστατεῖν τοῖς ἤθεσι καὶ τοῖς λογισμοῖς, καὶ περιφέρεσθαι τῇ γνώμῃ ἀπὸ τόπου εἰς τόπον καὶ ἀπὸ ἔργου εἰς ἔργον, ἄωρον τὸν καρπὸν ἀποκαθίστησιν, εἰ ἄρα γε καὶ καρποφορήσει ποτὲ ὁ τοιοῦτος· καὶ γὰρ ὁ πονηρός, οὐ τὰς αὐτὰς προσβολὰς ἑκάστου προσάγει, ἀλλὰ πρὸς ὃ ἕκαστον ἴδῃ ἐπιτηδείως πολεμηθησόμενον, πρὸς αὐτὸ καὶ τοὺς λογισμοὺς ὑποβάλλει διὰ δικαιωμάτων. Καὶ ἐν μὲν κοινοβίῳ καθεζόμενον, τὴν ἔρημον φαντάζεσθαι παρασκευάζει, πολλὴν οὖσαν τῷ τόπῳ, τὴν ξηροτάτην πολιτείαν καὶ τὸν ἀπεσκληκότα βίον ζητεῖν αὐτὸν ὑποθέμενος· ἐν δὲ τῇ ἐρήμῳ διάγοντα φεύγειν ταύτην αὐτὸν συμβουλεύει, ὡς αὐχμώδη τε καὶ ἀπαραμύθητον, καὶ μηδὲ μικρὰν πρὸς τοὺς ἀσθενεστέρους συγκατάβασιν ἔχουσαν· καὶ ταῦτα συνεχέστερον κινεῖ, ἵνα πανταχοῦ ἄρξηται πύργον οἰκοδομεῖν, καὶ ἀκηδιάσας εἴπῃ· στοὰν μᾶλλον οἰκοδομήσω· εἶτα μικρὸν ἐργασάμενος, εἴπῃ πάλιν· βέλτιόν ἐστι κελλίον οἰκοδομῆσαι· καὶ μεσάσας τὸ ἔργον, βαρυνθῇ καὶ πρὸς αὐτό, καὶ ἀφήσῃ ἡμιτελές, ἀνόνητα ὄντως καὶ εἰς οὐδὲν χρήσιμον κοπιᾷ. Οὕτω καὶ ὁ Μοναχός, μὴ καρτερῶν ἐν τόπῳ ἑνί, ἐν συνέσει πνευματικῇ τέλειον καρπὸν ἀποδοῦναι οὐ δύναται.

5. Τοῖς δὲ ἐν κοινοβίοις καὶ ἄλλους τινὰς λογισμοὺς ὁ ἐχθρὸς ὑποτίθησι, λέγων πρὸς ἕκαστον· τί περισσὸν ποιεῖς ὧδε, ὑπὲρ ὃ εἰς τὸν κόσμον ἐποίεις; καὶ γὰρ κἀκεῖ εἰργάζου καὶ ἤσθιες ὥς περ τὰ ἄλογα ζῷα· καὶ ποία δικαιοσύνη αὕτη ἐργάζεσθαι καὶ ἐσθίειν; ἰδοὺ γὰρ καὶ διὰ τῆς βρώσεως ἐπεγείρεταί σοι πόλεμος τῆς πορνείας· καὶ πάλιν ἐὰν μὴ φάγῃς, οὐχ ὑποφέρεις τὸν κάματον· ἀλλὰ μᾶλλον δεῦρο εἴσελθε εἰς τὴν ἐσωτέραν ἔρημον καὶ σώζῃ· τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς· πλὴν μικρὸν σιδήριον ἆρον μετὰ σεαυτοῦ, δι' οὗ μέλλεις τὰς βοτάνας ἀνασπᾷν καὶ ἐσθίειν, καθὰ καὶ οἱ ἀρχαῖοι Μοναχοὶ ἐποίουν, οἳ καὶ εὐηρέστησαν τῷ Θεῷ· καὶ τί χρείαν ἔχεις καθίσαι ὧδε, ἔνθα εἰσὶ σκάνδαλα καὶ καταλαλιαί, καὶ ἕτερα πράγματα ἃ μὴ δεῖ λέγειν;

Εἰ οὖν ἐξέλθῃς, τούτων πάντων ἀπαλλαγήσῃ· καὶ εἰ μὴ θέλεις εἰς τὴν ἐνδοτέραν ἔρημον ἀπελθεῖν, καθίσεις ἐν ἑτέρῳ τόπῳ ἔνθα μὴ εἰσὶ σκάνδαλα· τόπος γάρ σοι οὐ λείπει· τίνα γάρ ποτε ἐγκατέλιπεν ὁ Θεός, ὅτι σὲ ἐγκαταλείψει, καὶ μᾶλλον ζητοῦντα τὸ ἀγαθόν; καὶ ἐν ἐκείνῳ ἑτέραν τέχνην μαθήσῃ, ὅθεν ἱκανοῦ μισθαρίου καταλύεις, ὅπως καὶ τῷ πτωχῷ δώσῃς ἐκ τῶν καμάτων σου. Καὶ τοιούτους λογισμοὺς πολλοὺς ὁ πονηρὸς τῷ ἀδελφῷ ὑποβάλλει ἐκ τῶν δεξιῶν, ὅπως δοκῶν ὁ ἀδελφὸς εἰς μείζονα προκοπὴν ἕλκεσθαι, συγκατάθηται τοῖς λογισμοῖς· καὶ οὕτως ἑαυτὸν ἀποχωρίσας τοῦ κοινοβίου καὶ τῆς τοῦ προεστῶτος σκέπης καὶ φυλακῆς, ὡς ἀρνίον ἐκ τῆς ἀγέλης ἀποπλανηθέν, γένηται τῷ λύκῳ κατάβρωμα ἕτοιμον. Εἰ μὲν γὰρ εἰς τὴν ἐνδοτέραν ἀπέλθῃ ἔρημον, ἡ πεῖνα πρώτη ἐκθλίψει αὐτόν· εἶτα καὶ οἱ δαίμονες περισσῶς ἐκταράσσουσιν αὐτὸν τῇ δειλίᾳ, φόβητρα καὶ βασάνους πολλὰς κατὰ διάνοιαν δεικνύντες αὐτῷ.

Τότε ἄρχεται ὁ ἀδελφὸς μεταμελεῖσθαι καὶ λέγειν ἐν ἑαυτῷ· καλῶς ἐκαθεζόμην μετὰ τῶν ἀδελφῶν μου· ποῖος δὲ δαίμων ἐπλάνησέ με ἐξελθεῖν εἰς ταύτην τὴν φοβερὰν ἔρημον, ἔνθα οἰκοῦσι θηρία πολλὰ καὶ δεινά; τί δὲ ποιήσω ὁ ταλαίπωρος, ἐὰν ἐμπέσω εἰς τὰς χεῖρας τῶν βαρβάρων; μήποτε καὶ λῃσταῖς περιπέσω, μήποτε θηρίον πονηρὸν συναντήσῃ μοι;

Ἀλλὰ καὶ δαιμόνια πολλὰ εὑρίσκονται ἐν τοῖς τόποις τούτοις· ἔρημος γάρ ἐστιν ὁ τόπος· καὶ πῶς ἐγὼ δυνήσομαι κατὰ μόνας οἰκεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ, ἔνθα ἐνδελεχοῦσι τὰ ἀκάθαρτα πνεύματα, μάλιστα ὅτι καὶ εἴθισα μετὰ πλειόνων ἀδελφῶν; καὶ γὰρ ἐπ' ἀληθείας ἐὰν μὴ νήψῃ ὁ οἰκῶν κατὰ μόνας ἐν τῇ ἐρήμῳ, τάχα καὶ τὰς φρένας ἀπόλλυσι, καθ' ἃ καί τινες πολλοὶ τοῦτο ὑπέμειναν· ποία δὲ δικαιοσύνη, φησί, ἐστιν, ἐὰν ἀποθάνω ἐν τῇ ἐρήμῳ ταύτῃ κακῷ θανάτῳ;

Προσπαλαίσας οὖν τοῖς τοιούτοις λογισμοῖς ὁ ἀδελφός, εἰ μὲν φρόνιμος ὄντως ἐστίν, ἐπαναστρέφει εἰς τὸ ἴδιον κοινόβιον, ἁπάσης αἰσχύνης καταφρονήσας, ἣν οἱ δαίμονες αὐτῷ ὑποτίθενται λέγοντες, ὅτι ἐὰν ὑποστρέψῃς πρὸς τοὺς ἀδελφούς, ἡγήσονταί σε ὡς ἀδόκιμον καὶ ἀνυπομόνητον, καὶ ὡς δειλὸν στρατιώτην ἀπὸ παρατάξεως δραπετεύσαντα· ἀλλ' οὐ πεισθήσεται τούτοις ὁ ἀδελφός, ἀντείπῃ δὲ μᾶλλον αὐτοῖς, ὅτι οὐχ οὕτως ἔσται, πονηροὶ δαίμονες, ἀλλὰ μᾶλλον ὑποδέξονταί με ὡς δόκιμον ἀγωνιστὴν καὶ ὡς τὸ τοῦ Ἀποστόλου πληρώσαντα· «πάντα γάρ, φησι, δοκιμάζοντες, τὸ καλὸν κατέχετε»· καὶ ἰδοὺ ἀμφότερα δοκιμάσας, εὗρον ὅτι καλὸν καὶ τερπνὸν τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό· καθὼς γέγραπται· «ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή»· καὶ οὕτως ἐπανελθόντα αὐτὸν δέχεται ὁ προεστὼς καὶ οἱ ἀδελφοὶ ἀσμένως διὰ τὸν εἰπόντα· «ἀντέχεσθε τῶν ἀσθενούντων»

Εἰ δὲ αἰσχυνθεὶς οὐχ ὑποστρέψει εἰς τὸ ἴδιον κοινόβιον, εἰς τὸν κόσμον ἴσως ἐπαναλύει πεισθεὶς τοῖς δαίμοσι λέγουσιν, ὅτι κἀκεῖ, ἐὰν θέλῃς φοβηθῆναι τὸν Θεόν, σώζῃ ἢ δοκεῖς ὅτι μόνοι οἱ ἐν ἐρήμῳ σώζονται; ταῦτα γὰρ ὑποβάλλει ὁ ἐχθρὸς θέλων αὐτὸν ἐπιστρέψαι ἐπὶ τὸν ἴδιον ἔμετον.

Καὶ ταῦτα μὲν συμβαίνει τῷ χωρισθέντι ἐκ τοῦ κοινοβίου, εἰ εἰς τὴν ἔρημον ἀπέλθῃ· εἰ δὲ πορευθεὶς λάβοι κελλίον πλησίον γερόντων, οἱ μὲν γέροντες ἀντιλαμβάνονται αὐτοῦ ἐν Κυρίῳ, φέροντες αὐτῷ καθότι ἰσχύει ἡ χεὶρ αὐτῶν· ὁ δὲ καθεσθεὶς ἐν τῷ κελλίῳ, λέγει λοιπὸν ἐν ἑαυτῷ· ὀφείλομεν ἐργάσασθαι ἵνα εὕρωμεν διατραφῆναι.

Ἄρχεται οὖν περισπᾶσθαι ὡς κατὰ μόνας οἰκῶν· καθάπερ γὰρ τῷ ἐθίσαντι κατὰ μόνας δυσχερὲς τὸ κοινόβιον φαίνεται, οὕτω καὶ τῷ ἐν τῷ κοινοβίῳ ἐθίσαντι ἡ μονία πολλὴν ἐμποιεῖ τὴν δυσχέρειαν καὶ ἀφόρητον. Ὑπὸ οὖν τῶν πειρασμῶν καὶ τοῦ περισπασμοῦ συνεχόμενος, ἄρχεται μεταμελεῖσθαι καὶ λέγει· ἰδοὺ περισπῶμαι πάντοθεν, καὶ οὐδὲ τὴν μικράν μου σύναξιν εὑρίσκω βαλεῖν, τῇ φροντίδι καὶ τοῖς ἐκ ταύτης λογισμοῖς καὶ τῷ ἔργῳ ἀεὶ ἀντιμαχόμενος· ὅτε δὲ ἤμην ἐν τῷ κοινοβίῳ, τούτων ἁπάντων ἐλεύθερος ὑπῆρχον, πᾶσα δέ μου ἡ μέριμνα ἦν εἰς τὴν σύναξίν μου καὶ εἰς τὸ μικρὸν ἐργόχειρον.

Νῦν οὖν τί ποιήσω ἐγὼ ὁ ταλαίπωρος; διὰ γὰρ τὰς ἁμαρτίας μου ταῦτα συνέβη μοι· εἰ γὰρ ἤκουσα τῆς συμβουλῆς τοῦ Πατρός, οὐκ ἂν ἐνέπεσον ταῖς τοσαύταις καὶ τηλικαύταις θλίψεσιν, αἵ με νῦν συνέχουσιν· οὐδὲν ὄντως ὀλεθριώτερον τῆς παρακοῆς· αὕτη γὰρ καὶ τὸν Ἀδὰμ ἐξέβαλε τοῦ Παραδείσου, κἀμὲ ἐκ τοῦ κοινοβίου μου· καὶ οὕτω μεταμεληθεὶς ὁ ἀδελφός, ἢ πάλιν εἰς τὸ ἴδιον ἐπιστρέφει κοινόβιον, ἢ τυχὸν εἰς τὸν κόσμον ἐπανακάμψας ἀπόλλυται.

Εἰ οὖν ἐπανακάμψας εἰς τὸ κοινόβιον καὶ δεχθείς, πολεμηθῇ πάλιν ὑπὸ τοῦ λογισμοῦ διὰ τὰ σκάνδαλα καὶ τὴν καταλαλιάν, εἰπάτω πρὸς ἑαυτόν· θὲς θύραν ἐν

τῷ στόματί σου ἐν Κυρίῳ, καὶ τοὺς ὀφθαλμούς σου ἀπόστρεψον τοῦ μὴ ἰδεῖν ματαιότητα· καὶ ἐν τούτοις νικήσεις ἀμφότερα· τὴν μὲν καταλαλιὰν διὰ τῆς σιωπῆς, τὰ δὲ σκάνδαλα διὰ τῆς φυλακῆς τῶν ὀφθαλμῶν· ἐὰν γὰρ μὴ ταῦτα νικήσωμεν, ὅπου δ' ἂν πορευθῶμεν, ἐν ἑαυτοῖς βαστάζομεν τοὺς πολεμοῦντας ἡμᾶς.

6. Ἄλλῳ δὲ ἀδελφῷ ἕτερον λογισμὸν ὁ πονηρὸς ὑποβάλλει, θέλων αὐτὸν τῆς μονῆς ἀφαρπάσαι καὶ φησίν· ἰδοὺ ἐγνώσθη σου ἡ ἀσυστροφία καὶ ἀμέλεια πᾶσι τοῖς ἀδελφοῖς· διὸ οὐκέτι δύνασαι οἰκῆσαι ἐν τῷ τόπῳ τούτῳ· κἂν γὰρ σὺ ποθήσῃς τὴν ἀρετήν, ἀλλ' οἱ ἄνθρωποι μεθ' ὧν κατοικεῖς, οἱ αὐτοί εἰσιν, οἵ τινες οἴδασί σε οἷος ἧς ἀπ' ἀρχῆς· ἄπελθε οὖν ἀλλαχοῦ, ἔνθα οὐ γινώσκουσί σε, καὶ βάλε ἀρχὴν ἐκεῖ, καὶ εὐαρεστήσεις καὶ Θεῷ καὶ ἀνθρώποις.

Ἄκουσον τοίνυν, ἀγαπητέ· διὰ τὸν ὀνειδισμὸν τῶν ἀνθρώπων φεύγεις τὸν Πατέρα καὶ τοὺς ἀδελφούς, ὧν ἐνώπιον συνέθου τῷ Θεῷ, καὶ διατί μὴ μνημονεύῃς τοῦ Προφήτου λέγοντος· «ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν καὶ ἕνεκα σοῦ ὑπήνεγκα ὀνειδισμόν, καὶ ἐντροπὴ ἐκάλυψε τὸ πρόσωπόν μου», καὶ φέρεις καὶ αὐτὸς μετὰ χαρᾶς τὴν ἀτιμίαν καὶ ἐξουδένωσιν; «μακάριοι γάρ, φησιν, ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι» καὶ τὰ ἑξῆς. Πάνυ γὰρ συμβάλλεται ὁ ὀνειδισμὸς ὁ διὰ τὸν Κύριον πρὸς τὴν κάθαρσιν τῶν ἁμαρτημάτων· καὶ πειθέτω σε ὁ Προφήτης λέγων· «ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν».

Ἄλλως τε σὺ τὸ ἀγαθὸν ποίει, καὶ πάντως ὄψει ὅτι ὁ Κύριος θεραπεύει καὶ τὴν συνείδησιν τῶν ἀδελφῶν σου εἰς σέ. Μεῖνον οὖν ἔνθα σε κατέλαβεν ὁ ἐξ ἐναντίας καὶ ἀναστὰς ἐκεῖ καταπάλαισον αὐτόν, ἵνα οἷς ἐγνώσθη σου τὰ ἐλαττώματα, φανερωθῇ αὐτοῖς καὶ τὰ κατορθώματα, καὶ ἐν τούτῳ κομίσῃ δόξαν μεγάλην παρὰ τοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰπόντος· «καὶ ἔσονται οἱ πρῶτοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι». Ἀφ' οὗ γὰρ τὸ ῥυπωθὲν ἱμάτιον πλυθῇ, οὐκέτι μετὰ τῶν ῥυπαρῶν ἀφορισθήσεται· εἰ δέ τις καὶ κατὰ φθόνον ἢ ζῆλον πονηρὸν ἐπονομάσει τὸ καθαρὸν ῥυπαρόν, οὐ πιστευθήσεται· ἡ γὰρ ἰδέα τοῦ ἱματίου ἐλέγξει αὐτόν· «πλυνεῖς με γάρ, φησι, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι».

7. Πολλάκις δὲ καὶ τῷ εἰς τὸ κοινόβιον γηράσαντι ὑποτίθησιν ὁ ἐχθρὸς ἀποστασίας λογισμὸν λέγων· ἰδοὺ τοσαῦτα ἔτη ἔχεις ἐν τῷ Μοναστηρίῳ δουλεύων τῷ Χριστῷ· νῦν δὲ γεγήρακας καὶ οὐχ ἰσχύεις ἔτι φέρειν τοὺς κανόνας τοῦ κοινοβίου· ἀλλ' οὐδὲ ἔχεις δύναμιν τοῦ ποιεῖν τίποτε· ἡ γὰρ σάρξ σου ἀσθενὴς γέγονε, καὶ μέλλεις τοῦ λοιποῦ ἐξουθενεῖσθαι ὑπὸ μικρῶν τε καὶ μεγάλων· ἀλλὰ καὶ διὰ τὸ γῆρας, ἀναπαύσεως χρήζεις.

Ἔξελθε οὖν ἐντεῦθεν, καὶ καθίσας ἐν ἑνὶ τόπῳ, ἡσύχασον καὶ ὁ Θεὸς ἀποστέλλει τὴν τροφήν σου, εἴτε ἐξ ἀγάπης, εἴτε ἐξ οἱασδήποτε προφάσεως· ποία γὰρ ἀνάγκη σοι ἐπίκειται, ἵνα καὶ ταλαιπωρῶν ὀνειδίζῃ περὶ τῆς τροφῆς σου; τί δὲ καὶ ἡ βρῶσις σου τυγχάνει, ὅτι οὕτω καθ' ἑκάστην ἡμέραν ταλαιπωρεῖς ὡς κακὸς δοῦλος, καὶ ἀνέχῃ ὑποταγῆναι τοῖς μικροτέροις σου;

Ταῦτα καὶ τὰ τοιαῦτα ὑποβάλλει ὁ πονηρὸς τῷ γέροντι, βουλόμενος αὐτὸν μετὰ τοσαῦτα ἔτη χωρίσαι τῆς ἀδελφότητος καὶ τοῦ τόπου ἔνθα γεγήρακε, καὶ ἀνυπομόνητον δεῖξαι αὐτὸν περὶ τὸ γῆρας αὐτοῦ· καὶ ἐάν ἐστιν ὁ γέρων ἐλαφρότερος τῷ λογισμῷ, εὐθὺς μεταστρέφεται καὶ ἐλαύνεται ὑπ' αὐτοῦ ὡς φρύγανον ὑπὸ ἀνέμου σαλευόμενον.

Εἰ δὲ ἔστιν ὁ γέρων τῷ λογισμῷ τέλειος, περιγίνεται αὐτοῦ λέγων· οὐ μή μου τοῦ γήρους καταγελάσῃς, διάβολε· εἰ γὰρ ἐν τῇ νεότητί μου ὑπέμεινα τοὺς πόνους καρτερῶς, πολλῷ μᾶλλον νῦν ὑπομενῶ, ὅτι ὁ καιρὸς τῆς ἀναλύσεώς μου ἐφέστηκε τοῦ εἶναί με σὺν Χριστῷ· ὁ γὰρ γηράσας οὐδὲν ἕτερον προσδοκᾷ, εἰ μὴ τοῦ ἀναλῦσαι τοῦ βίου· ἅμα δὲ καὶ τοῖς νεωτέροις οὐ γενήσομαι τύπος ἐγὼ ραθυμίας, ἀλλὰ μᾶλλον ὑπομονῆς. Εἰ γὰρ ὁ εὐσεβὴς γέρων ὁ Ἐλεάζαρ, τοιαύταις βασάνοις περιεχόμενος, καὶ τὰ μέλη κατακαιόμενος πάντοθεν, οὐ μετετράπη τὸν λογισμόν, ἀλλ' ὑπόδειγμα τοῖς νέοις ὑπομονῆς γέγονεν, οἳ πρὸς ἐκεῖνον ἀφορῶντες γενναίως καὶ αὐτοὶ κατεφρόνησαν τῶν βασάνων, πολλῷ γε μᾶλλον ἐγὼ ὁ μηδὲν πάσχων τοιοῦτον.

Διὰ τὸν μικρὸν κόπον καὶ τὴν ἐλαχίστην ἐξουδένωσιν, οὐκ ἔσομαι τοῖς νεωτέροις ἀποστασίας ἀρχέτυπον, ἀλλ' ὑπομονῆς μᾶλλον καὶ καρτερίας· ἐγὼ γὰρ ἡγοῦμαι ἑαυτὸν ὅτι δοῦλος εἰμί τινος καὶ ἐλθὼν ὁ Κύριός μου παρέθετό με τῷ προεστῶτι τοῦ Μοναστηρίου, ἐν ᾧ παροικῶ, καὶ οὐκ εἰμὶ αὐτεξούσιος ὅτι θέλω ὑποχωρῆσαι. Τί δὲ καὶ ὑπὲρ τοῦ μικροῦ ἐργοχείρου με ἐκθλίβετε; εἰ γὰρ οἱ κοσμικοὶ διὰ τὰ φθειρόμενα οὐ μόνον ἐν ταῖς ἡμέραις, ἀλλὰ καὶ ἐν ταῖς νυξὶ φιλοπόνως ἐργάζονται, καὶ περὶ φροντίδας εἰσὶ γυναικῶν καὶ τέκνων, καὶ κέλλης, καὶ ἐνοικίου, καὶ ὑπομένουσι, πολλῷ μᾶλλον ἐγὼ ἐν τῷ βραχεῖ τούτῳ κόπῳ μετὰ χαρᾶς καρτερήσω, ὡς ἐκείνων ἁπάντων χάριτι Χριστοῦ ἐλευθερωθείς· «ὅτι ὁ ζυγὸς αὐτοῦ χρηστός, καὶ τὸ φορτίον αὐτοῦ ἐλαφρόν ἐστι· διὰ τοῦτο ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου». Καὶ οὕτω συνεργίᾳ τῆς χάριτος διαμείνας ἐν τῇ αὐτοῦ γνώμῃ, καὶ τελειωθεὶς ἐν τῷ τόπῳ, ᾧ γεγήρακε, κομιεῖτε τὸν ἀμαράντινον στέφανον.

Ἑ ρ μ η ν ε ί α

ΘΕΛΩ, ἀδελφοί μου, νὰ σᾶς ὑπενθυμίσω, δι' ἐκείνους οἱ ὁποῖοι ἐπιχειροῦν τὰ ὑπερβολικὰ κατορθώματα καὶ περιπίπτουν εἰς φοβεροὺς κινδύνους· αὐτοὶ δὲν προσέχουν τὴν Ἁγίαν Γραφήν, ποὺ λέγει· «νὰ μὴ σκέπτεσαι κάτι ἀντίθετον ἀπὸ ἐκεῖνο ποὺ πρέπει νὰ σκέπτεσαι, ἀλλὰ νὰ σκέπτεσαι μόνον τὸ πῶς θὰ ἔχῃς σωφροσύνην» (Ρωμ. ιβ΄, 3). Καὶ εἰς ἄλλο μέρος πάλιν λέγει· «Νὰ μὴ γίνῃς δίκαιος πολύ, οὔτε νὰ σοφίζεσαι περισσά, μὴ τυχὸν καὶ κάποτε εὑρεθῇς πρὸ ἐκπλήξεων» (Ἐκκλησ. ζ΄, 17).

Διότι συνέβη εἰς τὰς ἡμέρας μας μερικοὶ ἀδελφοὶ νὰ ἐγκαταλείψουν τὰ κελλία των καὶ νὰ αὐτοεξορισθοῦν εἰς περιοχὴν ἀδιάβατον, ἄκαρπον καὶ τελείως ἄνυδρον. Αὐτοὺς τοὺς ἀδελφοὺς οἱ Πατέρες προηγουμένως τοὺς ἐνουθέτησαν ἐπὶ πολὺ ἀλλὰ δὲν ἐπείσθησαν εἰς τὰς νουθεσίας των. Εἶπον, εἰς ἀπάντησιν τῶν συμβουλῶν· ἡμεῖς πηγαίνομεν ἐκεῖ διὰ νὰ ζήσωμεν ὅπως τὰ βοσκήματα. Μόλις ὅμως ἔφθασαν εἰς τὴν περιοχὴν τῆς ξηροτάτης ἐρήμου, τότε ἔχοντες ὁλόγυρά των τελείως ἔρημον τόπον, ὅπου δὲν εὕρισκαν οὔτε τὴν ἐλαχίστην ὑλικὴν παρηγορίαν, ἤρχισαν νὰ στενοχωροῦνται πάρα πολύ. Ἤρχισαν λοιπὸν νὰ ἐπιστρέφουν εἰς τὰ Μοναστήρια· δὲν ἠδυνήθησαν ὅμως νὰ φθάσουν· ἀλλ' ἐξαντληθέντες ἀπὸ τὴν ἔλλειψιν τροφῶν, τὴν δίψαν καὶ τὴν ὑπερβολικὴν ζέστην, ἔπεσαν χάμω ἀπελπισμένοι, ἕτοιμοι νὰ ξεψυχήσουν.

Κατὰ θείαν ὅμως οἰκονομίαν μερικοὶ ὁδοιπόροι, ποὺ ἐπερνοῦσαν ἀπὸ ἐκείνην τὴν ἔρημον, εὑρῆκαν μερικοὺς ἀπὸ αὐτούς, πού, σχεδόν, ἐψυχορραγοῦσαν· ἀφοῦ λοιπὸν τοὺς ἀνέβασαν εἰς τὰ ζῷα των, τοὺς μετέφεραν εἰς τὰ Μοναστήρια, ὅπου παρέμειναν ἀρκετὸν διάστημα ἀσθενεῖς καὶ ἀπὸ τότε ἐδιδάχθησαν, ἐκ πείρας, νὰ μὴ ἀκολουθοῦν τὸ θέλημά των. Οἱ ὑπόλοιποι, ὅσοι δὲν ἀνευρέθησαν, παρέδωσαν τὰς ψυχάς των ἐκεῖ ποὺ ἔπεσαν ἀποκαμωμένοι καὶ τὰ σώματά των κατεφαγώθησαν ἀπὸ τὰ ὄρνεα καὶ τὰ ἄγρια θηρία.

Ἀλλὰ καὶ πολλοὶ ἄλλοι, παρασυρόμενοι ἀπὸ ἀλαζονικὰς σκέψεις, ἐκθέτουν τὸν ἑαυτόν των εἰς φοβεροὺς κινδύνους, ἀπομακρυνόμενοι δι᾽ ἄσκησιν δῆθεν εἰς περιοχὰς τελείως ἀγόνους καὶ ἀνύδρους. Ἐξ αὐτῶν ἄλλοι μὲν ἀπομακρύνονται ἀπὸ τοὺς ἄλλους, ἐπειδὴ δὲν ἐπιθυμοῦν νὰ ὑποταχθοῦν, ἢ δὲν ἀνέχονται νὰ ἐξυπηρετοῦν τοὺς ἀδελφούς των καὶ περιπίπτουν ἔτσι εἰς τὸν ἴδιον κίνδυνον· εἰς ἄλλους πάλιν δὲν ἀρέσει νὰ ἐργάζωνται μὲ τὰ χέρια των, ἐνῷ ἄλλοι ἀπὸ ἀλαζονείαν, αἰσθανόμενοι, δῆθεν, ἔρωτα διὰ τὴν ἡσυχίαν καὶ τὴν τελειότητα τῆς ἀρετῆς, ἂν καὶ ἀγνοοῦν τὰ μέτρα τῆς ἱκανότητός των. Ἄλλοι, τέλος, ὑπερηφανεύονται καὶ ἐπιζητοῦν τοὺς ἐπαίνους ἀπὸ ὅσους τοὺς ἀκούουν, ὅτι δῆθεν κατώρθωσαν νὰ γίνουν ἀναχωρηταί, χωρὶς νὰ σκεφθοῦν τοὺς κόπους καὶ τὰς δυσκολίας, ποὺ θὰ συναντήσουν. Ὅλοι αὐτοὶ μὲ τὸ νὰ πιστεύσουν εἰς τοὺς λογισμούς των, περιέπεσαν εἰς κινδύνους φοβεροὺς καὶ ἀθλίους.

Δὲν πρέπει λοιπόν, ἀγαπητοί, νὰ παρασυρώμεθα ἀπερισκέπτως ἀπὸ τὰ θελήματα καὶ τὰς ἐπιθυμίας μας· εἶναι προτιμότερον νὰ ταπεινώνωμεν τὸν ἑαυτόν μας εἰς τὸν πλησίον μας μὲ ἀγάπην Θεοῦ καὶ νὰ γνωρίζῃ ὁ καθένας μας ἐπακριβῶς τὰ μέτρα του. Ἴσως κάποιος προβάλῃ τὴν ἑξῆς ἀντίρρησιν. Καὶ πῶς τότε συναντῶμεν μερικοὺς Πατέρας, ποὺ ἤσκησαν αὐτὴν τὴν ἀρετήν; Ἂς λάβῃ ὑπ᾽ ὄψιν του αὐτός, ὅτι καὶ οἱ Πατέρες τίποτε δὲν ἔπρατταν ἀπερισκέπτως καὶ εἰς τὴν τύχην. Ἀπὸ δὲ τὸ παράδειγμα τῶν Πατέρων ἂς σωφρονίζεται ὁ καθένας.

2. Διότι διηγοῦνται περὶ τοῦ Ἀββᾶ Μακαρίου πῶς ὁ ἴδιος ἔλεγεν, ὅτι καθὼς κάποτε ἐκαθήμην εἰς τὸ κελλί μου, εἰς τὴν σκήτην, μὲ ἠνώχλησαν οἱ λογισμοί· πήγαινε — μὲ προέτρεπον — εἰς τὰ βάθη τῆς ἐρήμου, καὶ πρόσεξε τί θὰ ἰδῇς ἐκεῖ. Ἐναντίον αὐτοῦ τοῦ λογισμοῦ ἐπολέμησε συνεχῶς ἐπὶ πέντε ἔτη, ἀναλογιζόμενος μήπως εἶναι ἀπὸ τοὺς δαίμονας. Βλέπεις σύνεσιν ὁσίου ἀνδρός; Μήπως παρεσύρθη ἀμέσως ἢ ἔτρεξεν; Μήπως ἀπεδέχθη τοὺς λογισμούς; Τίποτε ἀπὸ ὅλα αὐτά· ἔμεινεν ἐξετάζων μετὰ προσοχῆς τοὺς λογισμούς, ἐνήστευεν, ἀγρυπνοῦσε καὶ προσηύχετο, ἀπὸ φόβον μήπως προέρχονται ἀπὸ τοὺς δαίμονας. Ἡμεῖς ὅμως, ὅταν μᾶς παρουσιασθῇ ἕνας λογισμός, εἴμεθα ἀσυγκράτητοι, ἐξαγριωνόμεθα· καὶ ὄχι μόνον δὲν τοὺς ἐξετάζομεν μὲ προσοχὴν προσευχόμενοι, ἀλλ᾽ οὔτε καὶ ταπεινωνόμεθα ζητοῦντες νουθεσίας ἀπὸ ἄλλους· δι᾽ αὐτὸ καὶ μὲ εὐκολίαν αἰχμαλωτιζόμεθα ἀπὸ τὸν Διάβολον.

Κατόπιν, ἐξηκολούθει νὰ διηγῆται ὁ Ἀββᾶς Μακάριος, ἐπειδὴ

ἐπέμενεν ὁ λογισμός, ἐβγῆκα πράγματι εἰς τὴν ἔρημον καὶ ἐκεῖ συνήντησα μίαν λίμνην, ποὺ εἶχεν εἰς τὸ μέσον ἕνα νησάκι· εἰς τὴν λίμνην αὐτὴν ἦλθον τὰ κτήνη τῆς ἐρήμου νὰ ποτισθοῦν. Μεταξὺ τῶν ζώων αὐτῶν εἶδον καὶ δύο γυμνοὺς ἀνθρώπους. Ἀφοῦ ἐπ' ὀλίγον ὡμιλήσαμεν, τοὺς εἶπον:

— Πῶς ἠμπορῶ νὰ γίνω Μοναχός;

—Ἐὰν δὲν ἀπαρνηθῇ κανεὶς θεληματικά, ὅλα τὰ πράγματα τοῦ κόσμου τούτου, δὲν εἶναι δυνατὸν νὰ γίνῃ Μοναχός, μοῦ ἀπήντησαν ἐκεῖνοι.

—Ἐγὼ εἶμαι ἀσθενὴς καὶ δὲν ἔχω δύναμιν, ὅπως σεῖς, τοὺς λέγω ἐκ δευτέρου.

—Ἐὰν δὲν ἠμπορῇς, ὅπως ἡμεῖς — μοῦ ἀπήντησαν πάλιν — τότε κάθισε εἰς τὸ κελλί σου καὶ κλαῦσε τὰς ἁμαρτίας σου.

Ὦ ταπείνωσις ἀνδρός, ποὺ ἐσέβετο τὸν Θεόν, ὤ σύνεσις ἐναρέτου ψυχῆς! Ἐκεῖνος, ποὺ διέπρεψεν εἰς τόσον μεγάλα καὶ ἀξιόλογα ἀνδραγαθήματα, δὲν ἔκρινεν ἄξιον τὸν ἑαυτόν του δι' αὐτὸ τὸ πρᾶγμα· ἐνῷ ἡμεῖς, ποὺ δὲν εἴμεθα τίποτε καὶ δὲν ἔχομεν τὴν δύναμιν νὰ κοπιάσωμεν, ἀπὸ αὐθάδειαν καὶ αὐταρέσκειαν ἐπιχειροῦμεν πράγματα ἀνώτερα ἀπὸ τὰ μέτρα μας, σὰν νὰ προκαλοῦμεν τὸν Κύριον καὶ Θεόν, πρᾶγμα ποὺ εἶναι βεβαίως φοβερόν. Ἀλλοίμονον εἰς τὸν ἄνθρωπον, ποὺ ἐμπιστεύεται εἰς τὴν δύναμίν του, ἢ εἰς τὴν ἄσκησίν του, ἢ εἰς τὴν εὐφυΐαν του καὶ ὄχι εἰς τὸν Θεόν· διότι μόνον ἀπὸ τὸν Θεὸν προέρχεται ἡ κραταίωσις καὶ ἡ δύναμις.

3. Ἂς ἐξετάσωμεν προσεκτικὰ καὶ τὸν βίον τοῦ Ἁγίου Ἀντωνίου, καὶ θὰ ἴδωμεν ὅτι καὶ ὁ Ἅγιος αὐτὸς ὅλα τὰ ἔκαμεν ὁδηγούμενος ἀπὸ θείαν ἀποκάλυψιν. Μήπως ὅμως καὶ αὐτὸς δὲν παρέμεινεν εἰς Μοναστήριον, δὲν ἐχρησιμοποίει ἐνδύματα; δὲν ἔτρωγε ψωμί; δὲν εἰργάζετο μὲ τὰ ἴδια του τὰ χέρια; δὲν εἶχεν ἀποκτήσει μαθητάς, οἱ ὁποῖοι ἐσαβάνωσαν τὸ σῶμα του μετὰ τὸν θάνατόν του καὶ τὸ ἔθαψαν; Ἀλλὰ καὶ ὅλοι οἱ Πατέρες, ἐκτὸς ἀπὸ ἐλαχίστας ἐξαιρέσεις, μὲ αὐτὸν τὸν τρόπον ἔζησαν· ἂς μιμηθῶμεν καὶ ἡμεῖς τὸν βίον των καὶ ἂς περιπατήσωμεν ἐπάνω εἰς τὴν μέσην καὶ βασιλικὴν ὁδόν, χωρὶς νὰ παρεκκλίνωμεν οὔτε δεξιά, οὔτε ἀριστερά.

4. Πρέπει λοιπὸν ὁ καθένας νὰ τελειώνῃ τὸ ἔργον, ποὺ ἤρχισε νὰ ἐκτελῇ, μὲ μεγάλην ταπεινοφροσύνην καὶ ὑπομονήν. Ἐὰν εἶναι ἄστατος εἰς τὰς συνηθείας του καὶ τὰς σκέψεις του καὶ περιφέρεται, μὲ ἰδικήν του γνώμην, ἀπὸ τόπου εἰς τόπον καὶ ἀπὸ ἐργασίας εἰς ἐργασίαν, οἱ καρποὶ τῶν ἔργων του θὰ εἶναι ἀνώριμοι, ἂν βεβαίως ἠμπορέσῃ κάποτε ὁ τοιοῦτος νὰ καρποφορήσῃ. Καὶ τοῦτο διότι ὁ πονηρὸς δὲν προσβάλλει τὸν καθένα μὲ τὸν ἴδιον τρόπον, ἀλλ' ἐξετάζει μετὰ προσοχῆς τὸ σημεῖον ποὺ εἶναι δυνατὸν νὰ πολεμηθῇ εὐκολώτερον ὁ καθένας· καὶ ἀφοῦ τὸ διαπιστώσῃ, τότε ἐπ' αὐτοῦ ὑποβάλλει καὶ τοὺς καταλλήλους λογισμούς, ὡς δικαίωμα πρὸς δῆθεν τελειότερον βίον.

Καὶ ἐκεῖνον μέν, ποὺ παραμένει εἰς τὸ Κοινόβιον, τὸν κάμνει νὰ φαντάζεται τὴν ἔρημον, ἡ ὁποία εἶναι ἀπέραντος εἰς ἐκεῖνο τὸ μέρος, καὶ τὸν παρακινεῖ νὰ ἐπιζητῇ τὴν αὐστηροτάτην ἄσκησιν καὶ τὴν πλέον βασανιστικὴν ζωήν. Ἐκεῖνον πάλιν, ποὺ ζῇ εἰς τὴν ἔρημον, τὸν συμβουλεύει νὰ φύγῃ ἀπὸ αὐτήν, διότι, δῆθεν, εἶναι ξηρὰ καὶ δὲν ἔχει οὐδεμίαν παρηγορίαν, καὶ δὲν προσφέρει οὔτε τὴν παραμικροτέραν εὐκολίαν εἰς τοὺς ἀσθενεστέρους. Καὶ αὐτὰς τὰς σκέψεις ἀνακινεῖ συχνότερον εἰς τὸν νοῦν τοῦ ἐρημίτου, διὰ νὰ τὸν παρακινήσῃ νὰ ἀρχίσῃ νὰ κτίζῃ πύργον, ἕως ὅτου βαρυνθῇ καὶ εἴπῃ καθ' ἑαυτόν· προτιμότερον νὰ οἰκοδομήσω στοάν. Μετά, ἀφοῦ ἐργασθῇ ὀλίγον, πάλιν τοῦ μεταβάλλει τὴν σκέψιν· καλλίτερα νὰ κτίσω κελλὶ λέγει· μόλις ὅμως φθάσῃ εἰς τὸ μέσον τοῦ ἔργου, βαρύνεται καὶ εἰς αὐτὸ καὶ τὸ ἀφήνει μισοτελειωμένον, ὥσπου κουράζεται ἀνωφελῶς καὶ δὲν τελειώνει τίποτε τὸ χρήσιμον. Μὲ τὸν τρόπον αὐτὸν ὁ Μοναχός, μὲ τὸ νὰ μὴ παραμένῃ δηλαδὴ εἰς ἕνα τόπον, δὲν ἠμπορεῖ νὰ ἀποδώσῃ τέλειον καρπόν, ὅστις θὰ εἶναι ἀποτέλεσμα πνευματικῆς συνέσεως.

5. Εἰς τοὺς Μοναχοὺς πάλιν τῶν κοινοβίων ὁ ἐχθρὸς ὑποβάλλει μερικοὺς ἄλλους λογισμούς. Λέγει συχνὰ εἰς ἕκαστον κοινοβιάτην:

Τί περισσότερον κάμνεις ἐδῶ ἀπὸ ἐκεῖνο, ποὺ ἔκαμνες εἰς τὸν κόσμον; Καὶ ἐκεῖ εἰργάζεσο καὶ ἔτρωγες, ὅπως τὰ ἄλογα ζῷα· καὶ ποίου εἴδους ἀρετὴ εἶναι αὐτὴ νὰ ἐργάζεσαι μόνον καὶ νὰ τρώγῃς; Νὰ ὅτι μὲ τὸ φαγητὸν σηκώνεται ἐναντίον σου ὁ πόλεμος τῆς πορνείας· ἀλλὰ καὶ πάλιν ἐὰν δὲν φάγῃς, δὲν εἶναι δυνατὸν νὰ ἀνθέξῃς εἰς τὸν κόπον· προτιμότερον εἶναι νὰ φύγῃς ἀπ' ἐδῶ καὶ νὰ εἰσέλθῃς εἰς τὴν βαθυτέραν ἔρημον, διὰ νὰ σωθῇς· διότι ὅλη ἡ γῆ ἀνήκει εἰς τὸν Κύριον. Πάρε λοιπὸν μαζί σου ἕνα μαχαίρι, μὲ τὸ ὁποῖον νὰ βγάζῃς χόρτα διὰ νὰ τρώγῃς, ὅπως ἔκαμναν οἱ ἀρχαῖοι Μοναχοί, οἱ ὁποῖοι καὶ κατώρθωσαν νὰ εὐαρεστήσουν τὸν Θεόν. Ποία ἀνάγκη νὰ κάθεσαι ἐδῶ, ὅπου ὑπάρχουν σκάνδαλα καὶ κατακρίσεις καὶ διάφορα ἄλλα πράγματα, ποὺ δὲν ἐπιτρέπεται νὰ λέγωνται;

Ἐὰν λοιπὸν φύγῃς ἀπ' ἐδῶ, θὰ ἀπαλλαγῇς ἀπὸ ὅλα αὐτά· ἐὰν πάλιν δὲν θέλῃς νὰ φύγῃς διὰ τὴν βαθυτέραν ἔρημον, τότε πήγαινε εἰς ἄλλον τόπον· διότι ποῖον μέχρι τώρα ἐγκατέλειψεν ὁ Θεός, διὰ νὰ ἐγκαταλείψῃ καὶ σέ, τοσοῦτον μᾶλλον, καθ' ὅσον ζητεῖς τὸ ἀγαθόν; Εἰς ἐκεῖνο, τὸ μέρος, ὅπου θὰ καταφύγῃς, θὰ μάθῃς καὶ ἄλλην τέχνην, ἀπ' ὅπου θὰ κερδίζῃς ἀρκετά, διὰ νὰ δίδῃς ἐλεημοσύνην καὶ εἰς ἕνα πτωχὸν ἀπὸ τοὺς κόπους σου. Καὶ τοιούτου εἴδους λογισμοὺς ἐμπνέει πολλοὺς ὁ πειρασμός, ἐκ δεξιῶν, εἰς τὸν ἀδελφόν, διὰ νὰ νομίσῃ ὁ ἀδελφός, ὅτι ὁδηγεῖται εἰς μεγαλυτέραν προκοπὴν ἐὰν συμφωνήσῃ μὲ τοὺς λογισμοὺς αὐτούς.

Αὐτὸ ὅμως εἶναι παγίς, διὰ νὰ ἀποχωρήσῃ ὁ Μοναχὸς ἀπὸ τὸ Κοινόβιον καὶ ἀπὸ τὴν σκέπην καὶ φροντίδα τοῦ Ἡγουμένου καὶ νὰ ἀποπλανηθῇ ὡς ἀρνίον μακρὰν ἀπὸ τὸ κοπάδι, ὁπόταν θὰ γίνῃ πλέον διὰ τὸ στόμα τοῦ λύκου ἕτοιμον φαγητόν. Διότι ἐὰν συμφωνήσῃ μὲ τὸν λογισμόν του

καὶ πραγματοποιήσῃ τὴν σκέψιν του ἀπερχόμενος εἰς τὴν βαθυτέραν ἔρημον, ἡ πεῖνα πρώτη θὰ τὸν στενοχωρήσῃ πολύ· ἔπειτα καὶ οἱ δαίμονες θὰ τὸν συνταράξουν μὲ τὴν δειλίαν, ὑποβάλλοντες εἰς τὴν σκέψιν του πολλοὺς φόβους καὶ βάσανα.

Κατόπιν αὐτῶν ἀρχίζει ὁ ἀδελφὸς νὰ μετανοῇ καὶ νὰ λέγῃ μὲ τὴν σκέψιν του· καλὰ ἐκαθήμην μὲ τοὺς ἀδελφούς μου· ποῖος δαίμων μὲ ἐξεγέλασε νὰ ἐξέλθω εἰς αὐτὴν τὴν φοβερὰν ἔρημον, ὅπου κατοικοῦν πολλὰ καὶ φοβερὰ θηρία; τί θὰ κάνω ὁ ταλαίπωρος, ἐὰν πέσω εἰς τὰ χέρια τῶν βαρβάρων; Πῶς φοβοῦμαι μὴ τυχὸν πέσω εἰς λῃστάς, ἢ μὴ τυχὸν μὲ συναντήσῃ κανένα θηρίον!

Ἀλλὰ καὶ πολλὰ δαιμόνια εὑρίσκονται εἰς αὐτοὺς τοὺς τόπους, διότι ὁ τόπος εἶναι ἔρημος· καὶ πῶς θὰ ἠμπορέσω ἐγὼ νὰ κατοικήσω ὁλομόναχος εἰς αὐτὴν ἐδῶ τὴν ἔρημον, ὅπου εὑρίσκονται διαρκῶς τὰ ἀκάθαρτα πνεύματα, τώρα μάλιστα, ὅπου συνήθισα νὰ συγκατοικῶ μὲ πολλοὺς ἀδελφούς; Διότι πραγματικῶς ἐὰν δὲν προσέξῃ ἐκεῖνος, ποὺ κατοικεῖ μόνος του εἰς τὴν ἔρημον, φθάνει καὶ εἰς τὴν παραφροσύνην, ὅπως συνέβη εἰς ἀρκετούς. Καὶ ποῖον θὰ εἶναι τὸ ὄφελος ἐὰν ἀποθάνω μὲ κακὸν θάνατον εἰς αὐτὴν τὴν ἔρημον;

Ἀφοῦ λοιπὸν ἀγωνισθῇ ἐναντίον αὐτῶν τῶν λογισμῶν ὁ ἀδελφός, ἐὰν πράγματι εἶναι συνετός, ἐπιστρέφει εἰς τὸ κοινόβιόν του. Εἰς τὴν προσπάθειάν του αὐτὴν θὰ πρέπει νὰ περιφρονήσῃ κάθε ἐντροπήν, τὴν ὁποίαν τοῦ ἐμπνέουν οἱ δαίμονες μὲ τὸ νὰ τοῦ λέγουν· ἐὰν ἐπιστρέψῃς πρὸς τοὺς ἀδελφούς σου, θὰ σὲ νομίσουν ἀνυπόμονον καὶ ἀνίκανον, ὡς στρατιώτην ποὺ ἀπὸ φόβον δραπετεύει ἀπὸ τὴν στρατιωτικήν του παράταξιν. Ἀλλ' ὁ ἀδελφὸς δὲν πρέπει νὰ δώσῃ ἐμπιστοσύνην εἰς αὐτούς· ἀπ' ἐναντίας πρέπει νὰ τοὺς ἀντιμετωπίσῃ μὲ τοὺς ἑξῆς λόγους. Δὲν θὰ γίνῃ ἔτσι, ὅπως τὰ λέγετε, πονηροὶ δαίμονες, ἀλλὰ μᾶλλον ὡς ἔμπειρον ἀγωνιστὴν θὰ μὲ ὑποδεχθοῦν καὶ ὡς ἐφαρμόσαντα τὸ ρητὸν τοῦ Ἀποστόλου· «νὰ τὰ δοκιμάζετε ὅλα, ἀλλὰ νὰ κρατῆτε τὸ καλὸν» (Α´ Θεσ. ε´, 21). Αὐτὸ λοιπὸν ἔκαμα καὶ ἐγώ· ἐδοκίμασα καὶ τὰ δύο καὶ εὗρον, ὅτι πράγματι εἶναι καλὸν καὶ εὐχάριστον τὸ νὰ κατοικοῦν ἀπὸ κοινοῦ οἱ πνευματικοὶ ἀδελφοί, ὅπως ἔχει ἄλλωστε γραφῆ· «ὅταν ὁ ἕνας ἀδελφὸς βοηθῆται ὑπὸ τοῦ ἑτέρου, ὁμοιάζουν πρὸς πόλιν ὑψηλὴν καὶ ὠχυρωμένην» (Παροιμ. ιη´, 19).

Τὸν ἀδελφὸν αὐτόν, ὅστις θὰ ἐπιστρέψῃ κατ' αὐτὸν τὸν τρόπον εἰς τὸ κοινόβιον, τὸν ὑποδέχονται μὲ εὐχαρίστησιν ὁ Ἡγούμενος καὶ οἱ ἀδελφοὶ τοῦ κοινοβίου, ἐπειδὴ ὁ Κύριος εἶπε· «νὰ ἀνέχεσθε τοὺς ἀσθενεῖς» (Α´ Θεσ. ε´, 14).

Ἐὰν ὅμως ὁ ἀδελφὸς αὐτὸς δὲν ἐπιστρέψῃ, ἀπὸ ἐντροπήν, εἰς τὸ Κοινόβιόν του, τότε δὲν ἀποκλείεται νὰ δώσῃ ἐμπιστοσύνην εἰς τοὺς δαίμονας καὶ νὰ ἐπιστρέψῃ εἰς τὸν κόσμον. Καὶ εἰς τὸν κόσμον — τοῦ λέγουν οἱ δαίμονες — ἐὰν θέλῃς νὰ φοβῆσαι τὸν Θεόν, σώζεσαι· ἢ μήπως νομίζεις ὅτι μονάχα οἱ ἐρημῖται σώζονται; Αὐτὰ λοιπὸν ὑποβάλλει ὁ

ἐχθρὸς εἰς τὴν προσπάθειάν του νὰ πείσῃ τὸν Μοναχὸν νὰ ἐπιστρέψῃ πάλιν ἐπὶ τὸν ἴδιον ἔμετον.

Αὐτὰ ὅλα συμβαίνουν εἰς τὸν ἀπομακρυθέντα ἀπὸ τὸ κοινόβιον, ἐὰν ἀπέλθῃ εἰς τὴν ἔρημον· ἐὰν πάλιν μεταβῇ καὶ ἐγκατασταθῇ εἰς κάποιο κελλὶ κοντὰ εἰς τοὺς Γέροντας, οἱ Γέροντες τὸν φροντίζουν, χάριν τοῦ Κυρίου, προσφέροντες εἰς αὐτὸν ὅσα ἠμποροῦν. Ἐκεῖνος, ἀφοῦ ἐγκατασταθῇ εἰς τὸ κελλίον, σκέπτεται· πρέπει νὰ ἐργασθῶμεν, διὰ νὰ εὕρωμεν τὰ μέσα νὰ ζήσωμεν.

Ἀρχίζει λοιπὸν τότε νὰ ἀπασχολῆται μὲ πολλὰ πράγματα, ὡς νὰ κατοικῇ τελείως μόνος του· διότι ὅπως ἀκριβῶς δι᾽ αὐτόν, ποὺ συνήθισε νὰ ζῇ μοναχός, τοῦ φαίνεται τὸ κοινόβιον δύσκολον, τοιουτοτρόπως καὶ δι᾽ ἐκεῖνον, ποὺ συνήθισεν εἰς τὸ κοινόβιον, ἡ μοναξιὰ τοῦ φέρνει μεγάλην καὶ ἀφόρητον στενοχωρίαν. Ἐπηρεασμένος λοιπὸν ἀπὸ τοὺς πειρασμοὺς καὶ τὸν περισπασμόν, ἀρχίζει νὰ μετανοῇ καὶ νὰ λέγῃ: Νὰ τώρα, ἐγὼ ἀπασχολοῦμαι μὲ τόσα πράγματα ὥστε οὔτε ὀλίγην ὥραν δὲν εὑρίσκω ἐλευθέραν νὰ κάμω τὴν ἀκολουθίαν μου, πολεμῶν συνεχῶς ἐναντίον τῶν καθημερινῶν φροντίδων, τῶν ἐξ αὐτῶν λογισμῶν καὶ τῆς ἐργασίας. Ὅταν ὅμως διέμενον εἰς τὸ κοινόβιον ἤμουν ἀπηλλαγμένος ἀπὸ ὅλα αὐτά· ὅλη μου δὲ ἡ μέριμνα εὑρίσκετο εἰς τὴν ἀκολουθίαν μου καὶ τὸ μικρὸν ἐργόχειρόν μου.

Τώρα λοιπὸν τί θὰ κάνω ὁ ταλαίπωρος; αὐτὰ ὅλα μοῦ συνέβησαν ἀπὸ τὰς ἁμαρτίας μου· διότι ἐὰν εἶχον ἀκούσει τὴν συμβουλὴν τοῦ πνευματικοῦ μου Πατρὸς δὲν θὰ εἶχον περιπέσει εἰς τόσον πολλὰς καὶ μεγάλας θλίψεις, αἱ ὁποῖαι μὲ ἔχουν αἰχμαλωτίσει. Ἡ παρακοή, αὐτὴ ἔβγαλεν ἔξω ἀπὸ τὸν Παράδεισον καὶ τὸν Ἀδὰμ καὶ ἐμὲ ἀπὸ τὸ κοινόβιόν μου. Μετὰ τὰς σκέψεις αὐτὰς ὁ μετανοημένος ἀδελφὸς ἢ ἐπιστρέφει πάλιν εἰς τὸ κοινόβιόν του, ἢ ἐπανέρχεται τυχὸν εἰς τὸν κόσμον, ὁπόταν πηγαίνει χαμένος.

Ἐὰν λοιπὸν ἐπιστρέψῃ εἰς τὸ κοινόβιον καὶ τὸν δεχθοῦν πάλιν, τότε ὅταν πολεμηθῇ ἀπὸ τὸν λογισμὸν διὰ τὰ σκάνδαλα καὶ τὴν εἰς βάρος του κατακραυγήν, ἂς εἴπῃ πρὸς τὸν ἑαυτόν του· βάλε θύραν εἰς τὸ στόμα σου, χάριν τοῦ Κυρίου (Ψαλμ. ρμ΄, 3), καὶ γύρισε ἀπὸ τὸ ἄλλο μέρος διὰ νὰ μὴ ἰδῇς ματαιότητα (Ψαλμ. ριη΄, 37). Καὶ μὲ τὰς σκέψεις αὐτὰς θὰ νικήσῃς καὶ τὰ δύο· τὴν μὲν κατακραυγὴν διὰ τῆς σιωπῆς, τὰ δὲ σκάνδαλα διὰ τῆς προσοχῆς τῶν ὀφθαλμῶν. Διότι ἐὰν δὲν νικήσωμεν αὐτὰ τὰ δύο, τὴν κατακραυγὴν καὶ τὰ σκάνδαλα, ὁπουδήποτε καὶ ἐὰν πηγαίνωμεν, κρατοῦμεν μέσα εἰς τὴν ψυχήν μας αὐτοὺς ποὺ μᾶς πολεμοῦν.

6. Εἰς ἄλλον πάλιν ἀδελφόν, ὅταν θέλῃ ὁ πονηρὸς νὰ τὸν ἁρπάξῃ ἀπὸ τὸ Μοναστήρι, βάζει μέσα εἰς τὸν νοῦν του διαφορετικοὺς λογισμοὺς καὶ τοῦ λέγει· Νὰ ποὺ καὶ ἐδῶ ἔγινε γνωστὴ ἡ ἀταξία σου καὶ ὅλοι οἱ ἀδελφοὶ ἀντελήφθησαν τὴν ἀμέλειάν σου· δι᾽ αὐτὸ δὲν ἠμπορεῖς πλέον νὰ κατοικήσῃς εἰς αὐτὸν ἐδῶ τὸν τόπον· διότι καὶ ἂν ἀκόμη σὺ ποθήσῃς

τὴν ἀρετήν, ὅμως οἱ ἄνθρωποι μὲ τοὺς ὁποίους συγκατοικεῖς εἶναι οἱ ἴδιοι, οἱ ὁποῖοι γνωρίζουν ποῖος εἶσαι ἀπὸ τὴν ἀρχήν. Πήγαινε λοιπὸν ἀλλοῦ, ἐκεῖ ποὺ δὲν σὲ γνωρίζουν καὶ βάλε ἀρχὴν διὰ πνευματικὴν ζωὴν καὶ ἔτσι θὰ εὐαρεστήσῃς τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους.

Ἄκουσε λοιπόν, ἀγαπητέ· ἐξ αἰτίας τοῦ ὀνειδισμοῦ ἐκ μέρους τῶν ἀνθρώπων ἐγκαταλείπεις τὸν πνευματικόν σου Πατέρα καὶ τοὺς ἀδελφοὺς ἐνώπιον τῶν ὁποίων ἔδωσες τὰς μοναχικὰς ὑποσχέσεις σου πρὸς τὸν Θεόν; Πρέπει νὰ ἐνθυμηθῇς τὸν λόγον τοῦ Προφήτου· «ἡ ψυχή μου ἐπερίμενεν ὀνειδισμὸν καὶ χάριν τοῦ ὀνόματός σου ὑπέφερα ὀνειδισμὸν καὶ τὸ πρόσωπόν μου ἐσκέπασεν ἐντροπὴ» (Ψαλμ. ξη΄, 21). Ὅταν σκεφθῇς αὐτὸν τὸν προφητικὸν λόγον ἀσφαλῶς καὶ σὺ ὁ ἴδιος θὰ ὑποφέρῃς μὲ χαρὰν τὴν ἀτιμίαν καὶ τὴν περιφρόνησιν. Διότι καὶ ὁ Κύριος λέγει εἰς τοὺς Μακαρισμούς· «Μακάριοι καὶ εὐτυχισμένοι θὰ εἶστε, ὅταν σᾶς περιφρονήσουν καὶ σᾶς καταδιώξουν, χάριν τοῦ ὀνόματός μου» (Ματθ. ε΄, 11). Ὁ ὀνειδισμός, τὸν ὁποῖον ὑφίσταται ὁ ἄνθρωπος χάριν τοῦ Κυρίου, συντελεῖ πάρα πολὺ διὰ νὰ καθαρίσῃ τὸν ἄνθρωπον ἀπὸ τὴν ἁμαρτίαν. Δι' αὐτὴν τὴν ἀλήθειαν ἂς σὲ πείσῃ ὁ Προφήτης μὲ τοὺς λόγους του· «ὁ Κύριος μᾶς ἐνεθυμήθη κατὰ τὴν περίοδον τῶν δοκιμασιῶν μας καὶ μᾶς ἐγλύτωσεν ἀπὸ τοὺς ἐχθρούς μας» (Ψαλμ. ρλε΄, 23).

Ἄλλωστε σὺ πράττε τὸ ἀγαθὸν καὶ θὰ ἴδῃς, ὅτι ὁπωσδήποτε ὁ Κύριος θὰ μεταστρέψῃ πρὸς τὸ ἀγαθὸν τὴν συνείδησιν τῶν ἀδελφῶν σου ἀπέναντί σου. Νὰ παραμείνῃς λοιπὸν σταθερὸς ἐκεῖ ὅπου σοῦ ἐπετέθη ὁ ἐχθρὸς καὶ ἀφοῦ σηκωθῇς ὄρθιος νὰ τὸν πολεμήσῃς, ὥστε νὰ φανερωθοῦν καὶ τὰ κατορθώματά σου ἐνώπιον ἐκείνων, ποὺ ἐγνώρισαν τὰ ἐλαττώματά σου· διὰ τοῦ τρόπου αὐτοῦ θὰ δοξασθῇς πάρα πολὺ ἀπὸ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὅστις εἶπε· «καὶ θὰ γίνουν πρῶτοι οἱ προσελθόντες τελευταῖοι, ἐνῶ θὰ παραμείνουν τελευταῖοι οἱ προσελθόντες πρῶτοι» (Ματθ. ιθ΄, 30). Ὅταν δηλαδὴ πλυθῇ τὸ φόρεμα ποὺ ἐλερώθη, δὲν θὰ χωρισθῇ πλέον μαζὶ μὲ τὰ ἀκάθαρτα· ἂν δὲ κάποιος, ἀπὸ φθόνον ἢ πονηρὰν ζηλοτυπίαν ὀνομάσῃ τὸ καθαρὸν ρυπαρόν, δὲν θὰ γίνῃ πιστευτός, διότι ἡ ἐμφάνισις τοῦ φορέματος θὰ τὸν διαψεύσῃ. Εἶναι δὲ γνωστὸν τὸ ὡραῖον ῥητόν· «θὰ μὲ πλύνῃς καὶ θὰ ἀσπρίσω περισσότερον ἀπὸ τὸ χιόνι» (Ψαλμ. ν΄, 9).

7. Πολλὰς φορὰς ὁ ἐχθρὸς τῆς ψυχῆς μας βάλλει εἰς τὴν σκέψιν καὶ αὐτοῦ ἀκόμη ποὺ ἐγήρασεν εἰς τὸ Κοινόβιον, λογισμὸν νὰ φύγῃ καὶ τοῦ λέγει· Τόσα χρόνια ἔχεις εἰς τὸ Μοναστήρι, καὶ δουλεύεις τὸν Χριστόν· τώρα ὅμως ἔχεις γηράσει καὶ δὲν ἠμπορεῖς πλέον νὰ ἐκτελῇς τοὺς κανόνας τοῦ Κοινοβίου· ἀλλ' οὔτε ἔχεις πλέον καὶ τὴν δύναμιν νὰ κάνῃς τίποτε, διότι τὸ σῶμα σου ἔχει ἐξασθενήσει· ἀπὸ ἐδῶ δὲ καὶ πέρα θὰ ἐξευτελίζεσαι ἀπὸ μικροὺς καὶ μεγάλους· ἐπὶ πλέον ἔχεις ἀνάγκην ἀναπαύσεως λόγῳ τῶν γηρατείων σου.

Φύγε λοιπὸν ἀπὸ ἐδῶ καὶ κάθισε εἰς ἄλλον τόπον, διὰ νὰ ἡσυχάσῃς· ἐκεῖ ὁ Θεὸς θὰ σοῦ στέλλῃ τὴν τροφήν σου εἴτε δι' ἐλεημοσύνης τῶν

Χριστιανῶν, εἴτε δι' ἄλλου τρόπου· διότι ποία ἀνάγκη ὑπάρχει νὰ βασανίζεσαι καὶ νὰ ἐμπαίζεσαι διὰ τὸ φαγητόν σου; Καὶ τί θὰ φάγης ἐσύ, ὥστε νὰ ταλαιπωρῆσαι ἔτσι καθημερινῶς, ὅπως ὁ κακὸς δοῦλος, καὶ νὰ ἀνέχεσαι νὰ ὑποταχθῇς εἰς τοὺς μικροτέρους σου; Αὐτὰ καὶ ἄλλα παρόμοια βάλλει εἰς τὴν σκέψιν τοῦ γέροντος μοναχοῦ ὁ πονηρὸς ἐπιθυμῶν νὰ τὸν χωρίσῃ, ἔπειτα ἀπὸ τόσα χρόνια, ἀπὸ τὴν ἀδελφότητα καὶ τὸν τόπον, ὅπου ἔχει γηράσει καὶ νὰ τὸν ἀποδείξῃ, εἰς τὰ γηρατεῖα του, ἄνθρωπον χωρὶς ὑπομονήν. Ἂν τύχῃ ὁ γέρων νὰ εἶναι εἰς τὸν λογισμὸν ἐλαφρότερος, ἀλλάζει ἀμέσως γνώμην καὶ τὸν μετακινεῖ ὁ πειρασμὸς ὅπως ὁ ἄνεμος τὸ φρύγανον.

Ἂν ὅμως ὁ γέρων ἀναδειχθῇ τέλειος εἰς τὸν λογισμόν, τότε νικᾷ τὸν σατανᾶν. Δὲν θὰ μὲ ξεγελάσῃς — τοῦ λέγει — τώρα εἰς τὰ γηρατεῖα μου, διάβολε· διότι ἀφοῦ εἰς τὴν νεότητά μου ὑπέμεινα καρτερικῶς τοὺς κόπους, πολὺ περισσότερον θὰ τοὺς ὑπομείνω τώρα, ποὺ πλησιάζει ὁ καιρός, κατὰ τὸν ὁποῖον, διὰ τοῦ σωματικοῦ μου θανάτου, θὰ εἶμαι μαζὶ μὲ τὸν Χριστόν· διότι ὁ γέρων τίποτε ἄλλο δὲν περιμένει παρὰ μόνον νὰ ἐλευθερωθῇ ἀπὸ τὸν ἐπίγειον βίον· καὶ διὰ τοὺς νεωτέρους δὲν πρέπει νὰ γίνω παράδειγμα ἀνυπομονησίας, ἀλλὰ ὑπομονῆς. Ἂν ὁ εὐσεβὴς Γέρων Ἐλεάζαρ, ἂν καὶ ὑπεβλήθη εἰς τόσα μαρτύρια καὶ κατεκαίοντο ἀπὸ παντοῦ τὰ μέλη του, δὲν μετέβαλλε τὸν λογισμόν του, ἀλλ' ἔγινε παράδειγμα ὑπομονῆς εἰς τοὺς νέους, οἱ ὁποῖοι ἀποβλέποντες πρὸς ἐκεῖνον περιεφρόνησαν καὶ οἱ ἴδιοι μὲ γενναιότητα τὰ βασανιστήρια τῶν τυράννων, πολὺ περισσότερον πρέπει νὰ ὑπομείνω ἐγώ, ἐφ' ὅσον μάλιστα δὲν πάσχω τίποτε ἀπὸ ὅλα αὐτά.

Ἂν ὑπομείνω ὀλίγον κόπον καὶ ἐλαχίστην περιφρόνησιν, δὲν θὰ γίνω παράδειγμα ἀποστασίας εἰς τοὺς νεωτέρους, ἀλλὰ ὑπομονῆς καὶ καρτερικότητος· διότι ἐγὼ θεωρῶ τὸν ἑαυτόν μου ὅτι εἶμαι δοῦλος, τὸν ὁποῖον ὁ Κύριός μου ἦλθε καὶ ἐνεπιστεύθη εἰς τὸν Ἡγούμενον τοῦ Μοναστηρίου, εἰς τὸ ὁποῖον κατοικῶ, καὶ ὡς ἐκ τούτου δὲν εἶναι εἰς τὴν ἐξουσίαν μου νὰ φύγω ὁπόταν θελήσω. Διατὶ δέ, ὦ κακοὶ λογισμοί, μὲ στενοχωρεῖτε καὶ διὰ τὸ μικρὸν ἐργόχειρόν μου;

Ἐὰν οἱ κοσμικοὶ διὰ τὰ φθειρόμενα ἀγαθὰ τοῦ κόσμου αὐτοῦ ὄχι μόνον τὴν ἡμέραν, ἀλλὰ καὶ τὴν νύκτα ἐργάζονται μὲ πολλὴν ὄρεξιν, καὶ φροντίζουν διὰ γυναῖκας, παιδιά, διὰ δωμάτιον καὶ ἐνοίκιον καὶ τόσας ταλαιπωρίας ὑπομένουσι, πολὺ περισσότερον ἐγὼ πρέπει νὰ ὑπομείνω μὲ χαρὰν τὸν ὀλίγον αὐτὸν κόπον, ἐφ' ὅσον μάλιστα, μὲ τὴν Χάριν τοῦ Χριστοῦ, ἠλευθερώθην ἀπὸ ὅλα αὐτά, διότι «ὁ ζυγὸς τοῦ Κυρίου εἶναι καλὸς καὶ τὸ φορτίον ποὺ ἐπιβάλλει ἐλαφρὸν» (Ματθ. ια', 30). Δι' αὐτὸ «ἀπομακρυνθῆτε ἀπὸ ἐμὲ πονηρευόμενοι καὶ θὰ ἐξετάσω μετὰ προσοχῆς τὰς ἐντολὰς τοῦ Θεοῦ μου» (Ψαλμ. ριη', 115). Ἔτσι μὲ τὴν βοήθειαν τῆς Θείας Χάριτος θὰ διαμείνῃ εἰς τὴν ἀρχικήν του γνώμην καὶ θὰ τελειοποιηθῇ εἰς τὸν τόπον, ὅπου ἐγήρασε, ὁπόταν θὰ κερδίσῃ τὸν ἀμαράντινον στέφανον.

Ζ'. Τοῦ Ἁγίου Μαξίμου

Ο ΜΕΝ ἄφρων ὑπὸ τῶν παθῶν ἀγόμενος, ὅτε μὲν ὑπὸ τοῦ θυμοῦ κινούμενος ἐκταράσσεται, φυγεῖν ἀλογίστως τοὺς ἀδελφοὺς ἐπείγεται· ὅτε δὲ πάλιν ὑπὸ τῆς ἐπιθυμίας ἐκθερμαίνεται μεταμελόμενος, αὖθις προστρέχων ὑπαντᾷ· ὁ δὲ φρόνιμος ἐπ' ἀμφοτέρων τοὐναντίον ποιεῖ· ἐπὶ μὲν γὰρ τοῦ θυμοῦ τὰς αἰτίας τῆς ταραχῆς ἐκκόψας, τῆς πρὸς τοὺς ἀδελφοὺς λύπης ἑαυτὸν ἀπαλλάττει· ἐπὶ δὲ τῆς ἐπιθυμίας τῆς ἀλόγου ὀργῆς καὶ συντυχίας ἐγκρατεύεται.

2. Ἐν τῷ καιρῷ τῶν πειρασμῶν μὴ καταλίπῃς τὸ Μοναστήριον, ἀλλὰ φέρε γενναίως τὰ κύματα τῶν λογισμῶν καὶ μάλιστα τῶν τῆς λύπης καὶ τῆς ἀκηδίας· οὕτω γὰρ οἰκονομικῶς διὰ τῶν θλίψεων δοκιμασθείς, ἕξεις βεβαίαν τὴν εἰς Θεὸν ἐλπίδα· ἐὰν δὲ καταλίπῃς, ἀδόκιμος καὶ ἄνανδρος καὶ ἄστατος εὑρεθήσῃ. Οὔπω ἔχει τελείαν ἀγάπην οὐδὲ τῆς θείας προνοίας κατὰ βάθους τὴν γνῶσιν, ὁ ἐν καιρῷ πειρασμοῦ μὴ μακροθυμῶν ἐπὶ τοῖς συμβαίνουσιν, ἀλλὰ ἀποκόπτων ἑαυτὸν τῆς τῶν πνευματικῶν ἀδελφῶν ἀγάπης. Σκοπὸς τῆς θείας προνοίας, τὸ τοὺς ὑπὸ τῆς κακίας ποικίλως διεσχισμένους, διὰ τῆς ὀρθῆς πίστεως καὶ τῆς πνευματικῆς ἀγάπης ἑνοποιεῖν· εἴπερ διὰ τοῦτο πέπονθεν ὁ Σωτήρ, ἵνα τὰ τέκνα τοῦ Θεοῦ διεσκορπισμένα συναγάγῃ εἰς ἕν.

3. Ὁ οὖν μὴ στέγων μηδὲ βαστάζων τὰ ὀχληρά, μηδὲ φέρων τὰ λυπηρά, μηδὲ ὑπομένων τὰ ἐπίπονα, ἐκτὸς τῆς θείας ἀγάπης καὶ τῆς προνοίας περιπατεῖ, καὶ ἡ ἀγάπη μακροθυμεῖ καὶ χρηστεύεται. Ὁ ὀλιγοψυχῶν ἐπὶ τοῖς συμβαίνουσι λυπηροῖς, καὶ διὰ τοῦτο πονηρευόμενος ἐπὶ τοῖς λυπήσασι καὶ τῆς πρὸς αὐτοὺς ἀγάπης ἑαυτὸν ἀποκόπτων, πῶς τοῦ σκοποῦ τῆς θείας προνοίας οὐκ ἐκπίπτει;

4. Συνέβη σοι πειρασμὸς ἐκ τοῦ ἀδελφοῦ, καὶ ἡ λύπη εἰς μῖσός σε ἤγαγε; μὴ νικῶ ὑπὸ τοῦ μίσους, ἀλλὰ νίκα ἐν τῇ ἀγάπῃ τὸ μῖσος· νικήσεις δὲ τρόπῳ τοιῷδε· προσευχόμενος ὑπὲρ αὐτοῦ γνησίως τῷ Θεῷ, τὴν ἀπολογίαν αὐτοῦ δεχόμενος, ἢ καὶ αὐτὸς διὰ ταύτης αὐτὸν θεραπεύων, καὶ σεαυτὸν αἴτιον τοῦ πειρασμοῦ λογιζόμενος, καὶ μακροθυμῶν μέχρις οὗ παρέλθῃ τὸ νέφος. Μακρόθυμός ἐστιν ὁ τὸ τέλος ἐκδεχόμενος τοῦ πειρασμοῦ καὶ τὸ καύχημα τῆς καρδίας ἀναμένων.

5. Ἀνὴρ μακρόθυμος πολὺς ἐν φρονήσει· ὅτι πάντα συμβαίνοντα ἐπὶ τὸ τέλος ἀναφέρει, κἀκεῖνο περιμένων ἀνέχεται τῶν λυπηρῶν· τὸ δὲ τέλος ἐστὶ ζωὴ αἰώνιος κατὰ τὸν θεῖον Ἀπόστολον· «αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Κύριον Ἰησοῦν Χριστόν». Μὴ τὸν χθὲς πνευματικὸν ἀδελφὸν καὶ ἐνάρετον, διὰ τοῦ ἐν σοὶ σήμερον ἐξ ἐπηρείας τοῦ πονηροῦ ἐγγινομένου μίσους, κρῖνε φαῦλον καὶ πονηρόν, ἀλλὰ διὰ τῆς μακροθυμούσης ἀγάπης, τὰ χθεσινὰ καλὰ λογιζόμενος, τὸ σήμερον μῖσος τῆς ψυχῆς ἀπόβαλε.

6. Μὴ ὃν ἐπῄνεις χθὲς ὡς καλὸν καὶ ἐνεκωμίαζες ὡς ἐνάρετον, σήμερον ὡς φαῦλον καὶ πονηρὸν κακολογήσῃς διὰ τὴν σὴν ἐξ ἀγάπης εἰς μῖσος μεταβολήν, τὸν τοῦ ἀδελφοῦ ψόγον ἀπολογίαν τοῦ ἐν σοὶ πονηροῦ μίσους ποιούμενος, ἀλλὰ τοῖς αὐτοῖς ἐγκωμίοις ἐπίμεινον κἂν ἔτι ὑπὸ τῆς λύπης κεκράτησαι, καὶ εἰς τὴν αὐτὴν σωτήριον ἀγάπην εὐχερῶς ἐπανέρχῃ. Μὴ τὸν συνήθη τοῦ ἀδελφοῦ ἔπαινον, διὰ τὴν ἐν σοὶ πρὸς αὐτὸν ὑπάρχουσαν κεκρυμμένην λύπην, ἐν τῇ τῶν λοιπῶν ἀδελφῶν συντυχίᾳ νοθεύσῃς συμπαραμίσγων τοῖς λόγοις λεληθότως τὸν ψόγον· ἀλλὰ καθαρῷ τῷ ἐπαίνῳ ἐν τῇ συντυχίᾳ χρῆσαι, καὶ γνησίως ὑπὲρ αὐτοῦ ὡς ὑπὲρ σαυτοῦ προσ-

εὔχου, καὶ τοῦ ὀλεθρίου μίσους τάχιστα ἀπαλλάττῃ· κἂν ὁ ἀδελφὸς τυχὸν πειραζόμενος ἐπιμένῃ κακολογῶν σε, ἀλλὰ σύ γε μὴ ἐξενεχθῇς τῆς ἀγαπητικῆς καταστάσεως, τοῦ αὐτοῦ πονηροῦ δαίμονος ἀνεχόμενος ἐνοχλοῦντος κατὰ διάνοιαν· οὐκ ἐξενεχθήσῃ δὲ ταύτης, ἐὰν δυσφημούμενος εὐφημήσῃς, ἐὰν ἐπιβουλευόμενος εὐνοήσῃς· αὕτη ἐστὶν ἡ ὁδὸς τῆς κατὰ Χριστὸν φιλοσοφίας, καὶ ὁ μὴ ταύτην ὁδεύων οὐ συναυλίζεται αὐτῷ.

7. Μὴ λόγοις δι' αἰνιγμάτων τὸν ἀδελφὸν κεντήσῃς, ἵνα μὴ τὰ ὅμοια παρ' αὐτοῦ ἀντιδεχόμενος τὴν τῆς ἀγάπης διάθεσιν ἐξ ἀμφοτέρων ἀπολέσῃς, ἀλλὰ μετὰ παρρησίας ἀγαπητικῶς ὕπαγε, ἔλεγξον αὐτόν, ἵνα τὰς αἰτίας τῆς λύπης λύσας, ταραχῆς καὶ λύπης ἀμφοτέρους ἀπαλλάξῃς. Μὴ εἴπῃς οὐ μισῶ τὸν ἀδελφόν, τὴν μνήμην αὐτοῦ ἀποστρεφόμενος, ἀλλὰ ἄκουσον Μωϋσέως λέγοντος· «μὴ μισήσῃς τὸν ἀδελφόν σου τῇ διανοίᾳ σου· ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν σου, καὶ οὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν». Μὴ μνημόνευε ἐν τῷ καιρῷ τῆς εἰρήνης τῶν ἐν τῷ καιρῷ τῆς λύπης ὑπὸ τοῦ ἀδελφοῦ λεχθέντων, κἂν τε κατὰ πρόσωπον τὰ λυπηρὰ ἐρρέθη, κἂν τε πρὸς ἄλλον περὶ σοῦ καὶ μετὰ ταῦτα ἤκουσας, ἵνα μὴ τοῦ λογισμοῦ τῆς μνησικακίας ἀνεχόμενος, εἰς τὸ ὀλέθριον μῖσος τοῦ ἀδελφοῦ ὑποστρέψῃς.

8. Οὐ δύναται ψυχὴ λογικὴ πρὸς ἄνθρωπον μῖσος τρέφουσα πρὸς τὸν Θεὸν εἰρηνεῦσαι τὸν τῶν ἐντολῶν δοτῆρα. «Ἐὰν γάρ, φησι, μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν». Εἰ δὲ ἐκεῖνος εἰρηνεύειν οὐ θέλει, ἀλλὰ σύ γε ἑαυτὸν ἀπὸ τοῦ μίσους φύλαξον, προσευχόμενος ὑπὲρ αὐτοῦ γνησίως καὶ μὴ κακολογῶν αὐτὸν πρός τινα.

9. Ἡ τῶν Ἁγίων Ἀγγέλων εἰρήνη ταῖς δυσὶ ταύταις κεκράτηται διαθέσεσι, τῇ τε πρὸς Θεόν, καὶ τῇ πρὸς ἀλλήλους ἀγάπῃ, ὁμοίως δὲ καὶ πάντων τῶν ἀπ' αἰῶνος ἁγίων. Παγκάλως οὖν εἴρηται ὑπὸ τοῦ Σωτῆρος ἡμῶν, ὅτι «ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ Προφῆται κρέμανται». Μὴ ὡς εὐνοοῦντας λογίζου τοὺς λόγους φέροντας λύπην ἐν σοὶ καὶ μῖσος ἐργαζομένους, κἂν ἀληθεύειν δοκῶσιν, ἀλλ' ὡς θανατοῦντας ὄφεις τοὺς τοιούτους ἀποστρέφου, ἵνα κἀκείνους τοῦ κακολογεῖν ἀνακόψῃς, καὶ τὴν σεαυτοῦ ψυχὴν πονηρίας ἀπαλλάξῃς. Ἐρεύνησον τὴν συνείδησιν μετὰ πάσης ἀκριβείας μήποτε τῇ σῇ αἰτίᾳ ὁ ἀδελφὸς οὐ διηλλάγη, καὶ μὴ παραλογίζου ταύτην τὰ κρυπτά σου γινώσκουσαν, καὶ κατηγοροῦσάν σου ἐν τῷ καιρῷ τῆς ἐξόδου, καὶ ἐν καιρῷ δὲ προσευχῆς πρόσκομμά σοι γινομένην.

10. Μὴ εὔκολος ἔσο ἐπὶ ἀποβολῇ πνευματικῆς ἀγάπης· διότι ἄλλη σωτηρίας ὁδὸς οὐχ ὑπολέλειπται ἐν ἀνθρώποις. Πρόσεχε σεαυτῷ, μήποτε ἡ χωρίζουσά σε ἐκ τοῦ ἀδελφοῦ κακία οὐκ ἐν τῷ ἀδελφῷ, ἀλλ' ἐν σοὶ εὑρίσκεται, καὶ σπεῦσον αὐτῷ διαλλαγῆναι, ἵνα μὴ τῆς ἐντολῆς τῆς ἀγάπης ἐκπέσῃς. Μὴ καταφρονήσῃς τῆς ἐντολῆς τῆς ἀγάπης, ὅτι δι' αὐτῆς υἱὸς Θεοῦ ἔσῃ, ἣν παραβαίνων υἱὸς γεέννης εὑρεθήσῃ.

11. Μὴ ἔσο αὐτάρεσκος, καὶ οὐκ ἔσῃ μισάδελφος· καὶ μὴ ἔσο φίλαυτος, καὶ ἔσῃ φιλόθεος. Πνευματικοῖς ἀδελφοῖς συζῆσαι προῃρημένος, τοῖς σοῖς θελήμασιν ἀπὸ θυρῶν ἀπόταξαι· οὐ μὴ γὰρ ἑτέρῳ τρόπῳ εἰρηνεῦσαι δυνήσῃ οὔτε πρὸς τὸν Θεὸν οὔτε πρὸς τοὺς συζῶντας.

12. Τοῦ ἔτι δόξαν ἀγαπῶντος κενήν, ἤ τινι τῶν ὑλικῶν πραγμάτων προσκειμένου, ἔστι τὸ πρὸς ἀνθρώπους λυπεῖσθαι διὰ πρόσκαιρα, ἢ μνησικακεῖν αὐτοῖς, ἢ μῖσος

ἔχειν πρὸς αὐτούς, ἢ λογισμοῖς δουλεύειν αἰσχροῖς, τῆς δὲ φιλοθέου ψυχῆς πάντη ταῦτα ἀλλότρια.

Ἑρμηνεία

Ο ΑΦΡΩΝ παρασυρόμενος ἀπὸ τὰ πάθη του ἄλλοτε μὲν ταράσσεται ὁλόκληρος, διότι κινεῖται ἀπὸ τὸν θυμόν του καὶ χωρὶς πολλὴν σκέψιν βιάζεται νὰ φύγῃ μακρὰν ἀπὸ τοὺς ἀδελφούς, ἄλλοτε δὲ πάλιν καταφλέγεται ἀπὸ τὴν ἐπιθυμίαν των καὶ μετανοῶν διὰ τὴν ἀναχώρησίν του, ἐπιστρέφει ἀμέσως ὀπίσω καὶ τοὺς συναντᾷ. Ὁ φρόνιμος ὅμως καὶ εἰς τὰς δύο περιπτώσεις κάνει ἐντελῶς τὸ ἀντίθετον· εἰς τὴν περίπτωσιν δηλαδὴ τοῦ θυμοῦ, ἀφοῦ κόψῃ τὰς αἰτίας ποὺ τοῦ ἐπιφέρουν ταραχήν, παύει νὰ στενοχωρῇ τοὺς ἀδελφοὺς καὶ νὰ λυπῆται· συγκρατεῖται δὲ ὁσάκις καταλαμβάνεται ἀπὸ τὴν ἐπιθυμίαν τῆς παραλόγου ὀργῆς καὶ τῆς ἀσκόπου συναντήσεως.

2. Εἰς τὸν καιρὸν ποὺ δοκιμάζεις πειρασμούς, νὰ μὴ ἐγκαταλείπῃς τὸ Μοναστήριον, ἀλλὰ νὰ ὑπομένῃς μὲ γενναιότητα τὰ κύματα τῶν λογισμῶν καὶ πρὸ παντὸς τοὺς λογισμοὺς τῆς λύπης καὶ τῆς πνευματικῆς καταπτώσεως· διότι δοκιμαζόμενος τοιουτοτρόπως, κατ' οἰκονομίαν Θεοῦ, ἀπὸ τὰς θλίψεις, θὰ ἀποκτήσῃς σταθερὰν πρὸς τὸν Θεὸν ἐλπίδα. Ἐὰν ὅμως ἐγκαταλείψῃς τὸ Μοναστήριον, θὰ καταντήσῃς εἰς τὸ τέλος ἕνας ἀδόκιμος, ἐπιπόλαιος καὶ δειλὸς τύπος. Δὲν ἀπέκτησεν ἀκόμη τελείαν ἀγάπην, ἀλλ' οὔτε καὶ βαθεῖαν γνῶσιν τῆς Θείας Προνοίας, ἐκεῖνος ποὺ κατὰ τὴν ὥραν τοῦ πειρασμοῦ δὲν μακροθυμεῖ δι' ὅσα τοῦ συμβαίνουν, ἀλλ' ἀπομακρύνει τὸν ἑαυτόν του ἀπὸ τὴν ἀγάπην τῶν πνευματικῶν του ἀδελφῶν. Σκοπὸς τῆς Θείας Προνοίας εἶναι νὰ ἑνώνῃ πάλιν διὰ τῆς ὀρθῆς πίστεως καὶ πνευματικῆς ἀγάπης ἐκείνους, ποὺ ἔχουν διαχωρισθῆ ποικιλοτρόπως ἀπὸ τὴν κακίαν. Δι' αὐτὸ ἀκριβῶς ἔπαθεν ὁ Σωτήρ, διὰ νὰ ὁδηγήσῃ εἰς ἑνότητα τὰ τέκνα τοῦ Θεοῦ, ποὺ εἶχον διασκορπισθῆ ἀπὸ τὴν ἁμαρτίαν.

† 3. Ἐκεῖνος, λοιπόν, ποὺ δὲν ἀνέχεται οὔτε κάμνει ὑπομονὴν εἰς τὰς στενοχωρίας, οὔτε δέχεται τὰς λύπας, οὔτε ὑπομένει τὰς δυσκολίας, αὐτὸς ἀσφαλῶς περιπατεῖ μακρὰν ἀπὸ τὴν θείαν ἀγάπην καὶ τὴν πρόνοιαν τοῦ Θεοῦ, διότι ἡ ἀγάπη κάμνει τὸν ἄνθρωπον νὰ μακροθυμῇ καὶ νὰ εἶναι καλός. Ἐκεῖνος ποὺ ὀλιγοψυχεῖ διὰ τὰ λυπηρά, ποὺ τοῦ συμβαίνουν, καὶ δι' αὐτὸ ἐχθρεύεται αὐτούς, ποὺ τὸν ἐλύπησαν καὶ παύει νὰ τοὺς ἀγαπᾷ ἀπομακρυνόμενος ἐξ αὐτῶν, πῶς δὲν θὰ ἐκπέσῃ ἀπὸ τὸν σκοπὸν τῆς θείας προνοίας;

4. Σοῦ συνέβη πειρασμὸς ἀπὸ τὸν ἀδελφόν σου καὶ ἡ λύπη σὲ ὡδήγησεν εἰς μῖσος ἐναντίον του; Πρόσεξε νὰ μὴ νικηθῇς ἀπὸ τὸ μῖσος, ἀλλὰ νὰ νικήσῃς τὸ μῖσος διὰ τῆς ἀγάπης· θὰ νικήσῃς δὲ ἐπιτυχῶς διὰ τοῦ ἑξῆς τρόπου. Ὅταν προσεύχεσαι εἰς τὸν Θεὸν εἰλικρινῶς χάριν αὐτοῦ, ὅταν δέχεσαι τὰς δικαιολογίας του δι' ὅσα σὲ ἐλύπησεν ἢ ὅταν καὶ σὺ ὁ ἴδιος τὸν καταπραΰνῃς μὲ τοὺς λόγους τῆς ἀπολογίας του, θεωρῶν

τὸν ἑαυτόν σου ὑπαίτιον τοῦ πειρασμοῦ καὶ ὅταν, ἐν γένει, μακροθυμῇς ἕως ὅτου παρέλθῃ τὸ νέφος τῆς δοκιμασίας. Μακρόθυμος εἶναι ἐκεῖνος ποὺ περιμένει μὲ ψυχραιμίαν τὸ τέλος τοῦ πειρασμοῦ καὶ ἀναμένει τὸ καύχημα τῆς καρδίας του.

5. Ὁ μακρόθυμος ἀνὴρ εἶναι πάρα πολὺ συνετός· διότι δι' ὅλα ὅσα τοῦ συμβαίνουν, αὐτὸς ἀποβλέπει εἰς τὴν ἐκ Θεοῦ ἀνταπόδοσιν, τὴν ὁποίαν περιμένει καὶ δι' αὐτὸ ἀνέχεται τὰ λυπηρά. Τὸ τέλος τοῦ κατὰ Χριστὸν ἀγῶνος εἶναι ζωὴ αἰώνιος, ὅπως λέγει καὶ ὁ θεῖος Ἀπόστολος· «αὕτη δὲ εἶναι ἡ αἰώνιος ζωή, νὰ γνωρίζουν ἐσένα τὸν μόνον ἀληθινὸν Θεὸν καὶ αὐτόν, τὸν ὁποῖον ἀπέστειλας, τὸν Κύριον Ἰησοῦν Χριστὸν (Α΄ Ἰωάν. ε΄, 20). Πρόσεξε μὴ τυχὸν τὸν πνευματικὸν καὶ ἐνάρετον ἀδελφὸν τῆς χθές, ἐξ αἰτίας τοῦ μίσους, τὸ ὁποῖον ἐγεννήθη μέσα σου ἀπὸ τὴν ἐπήρειαν τοῦ πονηροῦ, τὸν θεωρεῖς φαῦλον καὶ πονηρόν. Ἀλλὰ μὲ τὴν δύναμιν τῆς ἀγάπης, ποὺ πάντοτε μακροθυμεῖ, νὰ σκέπτεσαι τὰς χθεσινάς του καλωσύνας, ὥστε νὰ ἀποβάλῃς ἀπὸ τὴν ψυχήν σου τὸ σημερινὸν μῖσος.

6. Νὰ μὴ κακολογήσῃς σήμερον ὡς πονηρὸν καὶ αἰσχρόν, ἐκεῖνον ποὺ χθὲς ἐπαινοῦσες ὡς καλὸν καὶ ἐγκωμίαζες ὡς ἐνάρετον, ἐπειδὴ μετεβλήθη ἡ πρὸς αὐτὸν ἀγάπη σου εἰς μῖσος ἐπικαλούμενος ὡς δικαιολογίαν, διὰ τὴν μεταστροφήν σου αὐτήν, τὴν κατάκρισιν τοῦ ἀδελφοῦ σου. Ἀπ' ἐναντίας νὰ ἐπιμένῃς εἰς τὰ ἴδια πρὸς αὐτὸν ἐγκώμια ἔστω καὶ ἂν ἀκόμη ἡ ψυχή σου ἔχῃ κυριευθῇ ἀπὸ λύπην καὶ εὔκολα νὰ ἐπανέρχεσαι εἰς τὴν ἰδίαν σωτήριον ἀγάπην. Νὰ μὴ νοθεύσῃς τὸν ὀφειλόμενον ἔπαινον τοῦ ἀδελφοῦ, κατὰ τὰς συνομιλίας μὲ τοὺς ἄλλους ἀδελφούς, ἐξ αἰτίας τῆς λύπης, ποὺ εἶναι κρυμμένη εἰς τὴν ψυχήν σου, ἀναμιγνύων εἰς τοὺς λόγους σου καὶ κατάκρισιν, χωρὶς νὰ τὸ ἀντιληφθῇς. Ἀλλὰ νὰ χρησιμοποιῇς καθαρὸν ἔπαινον εἰς τὰς συναναστροφὰς καὶ νὰ προσεύχεσαι εἰλικρινῶς χάριν αὐτοῦ, ὡς νὰ προσεύχεσαι διὰ τὸν ἑαυτόν σου, ὁπόταν συντόμως θὰ ἀπαλλαγῇς ἀπὸ τὸ ὀλέθριον μῖσος.

Καὶ ἂν ἀκόμη ὁ ἀδελφός, πειραζόμενος ἀπὸ τὸν διάβολον, ἐπιμένῃ νὰ σὲ κακολογῇ, σὺ ὅμως, τοὐλάχιστον, νὰ μὴ ἀπομακρυνθῇς ἀπὸ τὴν κατάστασιν τῆς ἀγάπης, ἀποκρούων τὸν δαίμονα, ὅστις θὰ ἐνοχλῇ τὴν διάνοιάν σου. Δὲν θὰ ἀπομακρυνθῇς δὲ ἀπὸ τὴν ἀγάπην αὐτήν, ἐὰν θὰ ἐπαινῇς, ὅταν κακολογῆσαι καὶ θὰ σκέπτεσαι εὐνοϊκὰ δι' ἐκεῖνον, ποὺ ζητεῖ τὸ κακόν σου. Αὐτὸς εἶναι ὁ δρόμος, ποὺ ὑποδεικνύει ἡ κατὰ Χριστὸν φιλοσοφία, καὶ ἐκεῖνος, ποὺ δὲν τὸν ἀκολουθεῖ, δὲν συγκατοικεῖ μὲ τὸν Χριστόν.

7. Νὰ μὴ κεντᾷς μὲ ὑπαινιγμοὺς τὸν ἀδελφόν σου, διὰ νὰ μὴ δεχθῇς τὰ ἴδια ἀπὸ ἐκεῖνον, ὁπόταν θὰ χαθῇ ἡ διάθεσις τῆς ἀγάπης καὶ ἀπὸ τὰ δύο μέρη· ἐὰν νομίζῃς ὅτι σὲ ἐλύπησε κάπου, πήγαινε νὰ τὸν συναντήσῃς μὲ τὸ θάρρος ποὺ ἐμπνέει ἡ ἀγάπη καὶ νὰ τὸν ἐλέγξῃς, διὰ νὰ ἐξαφανίσῃς τὴν αἰτίαν τῆς λύπης καὶ ἀπαλλαγῆτε καὶ οἱ δύο σας ἀπὸ

τὴν ψυχικὴν ταραχὴν καὶ τὴν λύπην. Νὰ μὴ εἴπῃς, μὲ τὰ χείλη μόνον, δὲν μισῶ τὸν ἀδελφόν, ἐνῷ δὲν θέλεις νὰ ἀκούσῃς οὔτε τὸ ὄνομά του.

Ἄκουσε τί λέγει ὁ Μωϋσῆς· «νὰ μὴ μισήσῃς τὸν ἀδελφόν σου οὔτε κατὰ διάνοιαν· ἀλλὰ νὰ ἐλέγξῃς μὲ ἀδελφικὸν ἔλεγχον τὸν ἀδελφόν σου καὶ δὲν θὰ λάβῃς δι' αὐτὸν ἁμαρτίαν» (Λευϊτ. ιθ', 17). Νὰ μὴ ἐνθυμῆσαι τὰ λόγια τοῦ ἀδελφοῦ σου, ποὺ σὲ ἐλύπησαν κάποτε, ὅταν ἔχετε συμφιλιωθῆ καὶ εἶσθε εἰρηνικοί, εἴτε τὰ λυπηρὰ αὐτὰ λόγια ἐλέχθησαν κατὰ πρόσωπον, εἴτε τὰ ἐπληροφορήθης, μετὰ ταῦτα, ἀπὸ ἄλλον, διὰ νὰ μὴ κυριεύεσαι ἀπὸ τὸν λογισμὸν τῆς μνησικακίας καὶ ἐπανέλθῃς πάλιν εἰς τὸ καταστρεπτικὸν κατὰ τοῦ ἀδελφοῦ σου μῖσος.

8. Δὲν εἶναι δυνατὸν ἡ λογικὴ ψυχή, ὅταν τρέφῃ μῖσος ἐναντίον ἑνὸς ἀνθρώπου, νὰ εἰρηνεύσῃ πρὸς τὸν Θεόν, ποὺ ἔδωσε τὰς ἐντολάς, ὅπως αὐτήν· «ἐὰν δὲν συγχωρήσητε εἰς τοὺς ἀνθρώπους τὰ σφάλματά των, οὔτε καὶ ὁ Πατήρ σας ὁ ἐπουράνιος θὰ σᾶς συγχωρήσῃ». Ἐὰν δὲ ἐκεῖνος δὲν θέλῃ νὰ συμφιλιωθῇ μαζί σου καὶ νὰ εἰρηνεύητε, σὺ νὰ προφυλαχθῇς ἀπὸ τὸ μῖσος, προσευχόμενος εἰλικρινῶς δι' αὐτὸν καὶ μὴ λέγων κακὸν λόγον ἐναντίον του εἰς οὐδένα.

9. Ἡ εἰρήνη τῶν Ἁγίων Ἀγγέλων, τὴν ὁποίαν ὀφείλει νὰ ἔχῃ ὁ Χριστιανός, στηρίζεται εἰς αὐτὰς τὰς δύο διαθέσεις· εἰς τὴν ἀγάπην πρὸς τὸν Θεὸν καὶ εἰς τὴν ἀγάπην πρὸς τὸν πλησίον. Τοιουτοτρόπως κατέκτησαν τὴν εἰρήνην εἰς τὰς ψυχάς των ὅλοι οἱ ἀπ' αἰῶνος Ἅγιοι. Ἄριστα λοιπὸν ἔχει λεχθῆ ὑπὸ τοῦ Σωτῆρος ἡμῶν, ὅτι «ἀπὸ αὐτὰς τὰς δύο ἐντολὰς ὅλοι οἱ νόμοι καὶ οἱ προφῆται ἔχουν ἐξαρτηθῆ» (Ματθ. κβ', 40). Νὰ μὴ θεωρῇς τοὺς λόγους, ποὺ φέρουν λύπην εἰς σὲ καὶ γεννοῦν μῖσος εἰς τὴν ψυχήν σου, ἔστω ἀκόμη καὶ ἂν φαίνωνται ὅτι εἶναι ἀληθινοί, ὅτι προέρχονται ἀπὸ φίλους σου εὐνοϊκῶς διακειμένους. Ἀπ' ἐναντίας νὰ ἀποστρέφεσαι τοὺς λόγους αὐτούς, ὅπως τὰ φαρμακερὰ φίδια ποὺ θανατώνουν, ὥστε διὰ τοῦ τρόπου αὐτοῦ, νὰ ἀνακόψῃς καὶ ἐκείνους ἀπὸ τὴν κακολογίαν, ἀλλὰ καὶ τὴν ψυχήν σου νὰ ἀπαλλάξῃς ἀπὸ κάθε πονηρίαν. Νὰ ἐρευνᾷς λεπτομερῶς τὴν συνείδησίν σου μὴ τυχόν, ἐξ αἰτίας σου, ὁ ἀδελφός σου δὲν συνεφιλιώθη, καὶ μὴ προσπαθῇς νὰ τὴν παραπλανήσῃς, διότι αὐτὴ γνωρίζει καλῶς τὰ κρυπτά σου· δι' αὐτὸ καὶ θὰ σὲ κατηγορῇ κατὰ τὴν ὥραν τῆς ἐξόδου τῆς ψυχῆς σου καὶ γίνεται εἰς σὲ ἐμπόδιον κατὰ τὴν ὥραν τῆς προσευχῆς.

10. Νὰ μὴ ἀποβάλλῃς εὔκολα τὴν ἀδελφικὴν ἀγάπην, διότι δὲν ἔχει μείνει ἄλλη ὁδὸς σωτηρίας εἰς τοὺς ἀνθρώπους. Πρόσεξε καλὰ τὸν ἑαυτόν σου, μὴ τυχὸν ἡ κακία, ποὺ σὲ χωρίζει ἀπὸ τὸν ἀδελφόν σου, δὲν ἔχει τὴν αἰτίαν της εἰς αὐτὸν ἀλλὰ εἰς σὲ καὶ σπεῦσε γρήγορα νὰ συμφιλιωθῇς μαζί του, διὰ νὰ μὴ παραβῇς τὴν ἐντολὴν τῆς ἀγάπης. Νὰ μὴ καταφρονήσῃς τὴν ἐντολὴν τῆς ἀγάπης, διότι δι' αὐτῆς θὰ καταστῇς υἱὸς τοῦ Θεοῦ, ἐνῷ ὅταν τὴν παραβῇς θὰ εὑρεθῇς υἱὸς τῆς γεέννης.

11. Νὰ μὴ εἶσαι αὐτάρεσκος, καὶ δὲν θὰ γίνῃς μισάδελφος· καὶ νὰ μὴ εἶσαι φίλαυτος, διὰ νὰ γίνῃς φιλόθεος. Ἀφοῦ ἔχεις ἀποφασίσει

νὰ ζήσῃς μὲ πνευματικοὺς ἀδελφοὺς μαζί, πρέπει νὰ ἀρνηθῇς τὰ θελήματά σου, ἀπὸ τὴν στιγμὴν ποὺ θὰ διαβῇς τὰς θύρας τοῦ Μοναστηρίου· διότι μὲ ἄλλον τρόπον δὲν θὰ ἠμπορέσῃς νὰ εἰρηνεύσῃς οὔτε πρὸς τὸν Θεόν, οὔτε μὲ ἐκείνους, μὲ τοὺς ὁποίους ζῇς μαζί.

† 12. Ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν ματαίαν δόξαν ἢ πρόσκειται πρὸ ἕνα ὑλικὸν πρᾶγμα, εἶναι δυνατὸν νὰ λυπῆται πρὸς τοὺς ἀνθρώπους διὰ τὰ πρόσκαιρα, ἢ νὰ μνησικακῇ ἐναντίον των, ἢ νὰ δουλεύῃ τοὺς αἰσχροὺς λογισμούς· ἀντιθέτως ὅλα αὐτὰ εἶναι τελείως ξένα ἀπὸ τὴν φιλόθεον ψυχήν.

Η'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ τις ἐν κοινοβίῳ καθήμενος ὠχλεῖτο ὑπὸ λογισμῶν μεταβάσεως. Ἐν μιᾷ οὖν λαβὼν χαρτίον καὶ καθίσας, ἔγραψεν ἐν τῷ χαρτίῳ πάσας τὰς αἰτίας, δι' ἃς ἔλεγον αὐτῷ οἱ λογισμοὶ μεταστῆναι τοῦ κοινοβίου· καὶ μετὰ τὸ ἀπαριθμήσασθαι πάσας, ἔγραψε τελευταῖον ἑαυτὸν ἐρωτῶν· τὰ πάντα ὑπομένεις; Εἶτα ὑπέγραψεν ὡς ἀνθυποφέρων καὶ ἀποκρινόμενος· ναί, ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ ὑπομένω· καὶ ἑλίξας τὸ χαρτίον δεσμεῖ εἰς τὴν ζώνην ἑαυτοῦ.

Ὅταν οὖν τινος ἐξ ἐκείνων τῶν αἰτίων κινηθέντος, δι' ἃ ἐπολεμεῖτο καὶ πρότερον, προσέβαλον αὐτῷ οἱ τῆς μεταβάσεως λογισμοί, ἐκεῖνος ἀποτρέχων κατ' ἰδίαν ἐλάμβανε τὸν χάρτην καὶ ἀνεγίνωσκε, καὶ εὑρίσκων τὸ «ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ὑπομένω», ἔλεγε πρὸς ἑαυτόν· ὅρα, ταλαίπωρε· οὐκ ἀνθρώπῳ, ἀλλὰ τῷ Θεῷ συνετάξω, καὶ εὐθὺς ἀνεπαύετο· καὶ οὕτως ἀεὶ ποιῶν ὁ ἀδελφὸς ὅτε τις ἀνέκυπτε ταραχὴ καὶ ἐν τοῖς ἄλλοις αἰτίοις ἀτάραχος ἔμενεν.

Οἱ οὖν λοιποὶ ἀδελφοὶ κατανοήσαντες ὃ ἐποίει ὁ ἀδελφός, καὶ πῶς ἀναγινώσκων τὸν χάρτην οὕτω διῆγεν, αὐτῶν πολλάκις ταρασσομένων, ἐπηρείᾳ τοῦ πονηροῦ εἰς φθόνον καὶ μῖσος τοῦ ἀδελφοῦ ἐκινήθησαν· καὶ τῷ Ἀββᾷ προσελθόντες, ἔλεγον ὅτι γόης ἐστὶν ὁ ἀδελφός, καὶ ἐν τῇ ζώνῃ αὐτοῦ ἐστιν ἡ γοητεία αὐτοῦ· διὸ καὶ οὐ δυνάμεθα μεῖναι μετ' αὐτοῦ· ἢ οὖν αὐτόν, ἢ ἡμᾶς ἀπὸ τῶν ὧδε ἀπόλυσον. Ὁ δέ, μὴ ἀγνοήσας τὴν τοῦ ἐχθροῦ ἔνεδραν (ᾔδει γὰρ τὴν ταπείνωσιν τοῦ ἀδελφοῦ καὶ εὐλάβειαν), λέγει αὐτοῖς· ὑπάγετε εὔξασθε, κἀγὼ εὔχομαι, καὶ μετὰ τρεῖς ἡμέρας λέγω ὑμῖν τὴν ἀπόκρισιν. Τῇ δὲ νυκτὶ κοιμωμένου τοῦ ἀδελφοῦ, ἐπιστὰς ὁ Ἀββᾶς ἠρέμα λύει τὴν ζώνην αὐτοῦ· καὶ ἀναγνοὺς τὸν χάρτην, ζώννυσι πάλιν αὐτὸν καὶ ἀπῆλθε.

Τῶν δὲ τριῶν διελθουσῶν ἡμερῶν, προσῆλθον οἱ ἀδελφοὶ τῷ Ἀββᾷ μαθεῖν τὴν ἀπόκρισιν· ὁ δὲ καλέσας τὸν ἀδελφὸν εἶπε· διατί σκανδαλίζεις τοὺς ἀδελφούς; ὁ δὲ εὐθὺς εἰς ἔδαφος καταβαλὼν ἑαυτόν, ἔφη· ἥμαρτον, συγχώρησόν μοι, καὶ εὔξασθε ὑπὲρ ἐμοῦ· καὶ λέγει ὁ Ἀββᾶς τοῖς ἀδελφοῖς· τί εἴπατε περὶ τοῦ ἀδελφοῦ τούτου; καὶ ἀποκριθέντες εἶπον, ὅτι γόης ἐστί, καὶ ἡ γοητεία αὐτοῦ εἰς τὴν ζώνην αὐτοῦ ἐστι· καί φησιν ὁ Ἀββᾶς· ἐκβάλετε οὖν τὰς μαγείας αὐτοῦ· οἱ δὲ ὥρμησαν λῦσαι τὴν ζώνην αὐτοῦ καὶ οὐκ ἠφίει ὁ ἀδελφός· εἶπε δὲ ὁ Ἀββᾶς· κόψατε αὐτήν· καὶ κόψαντες, εὗρον ἐν αὐτῇ τὸ χαρτίον· καὶ παρέχει αὐτὸ ὁ Ἀββᾶς ἑνὶ τῶν

Διακόνων, κελεύσας ἐπὶ ὑψηλοῦ σταθῆναι καὶ ἀναγνῶναι, ἵνα καὶ ὁ πονηρὸς ἐπὶ πλεῖον καταισχυνθῇ ὁ ταύτην τὴν διαβολὴν ὑποσπείρας.

Ὡς δὲ ἀνεγνώσθη τὰ ἐν τῷ χάρτῃ, τελευταῖον δὲ καὶ τὸ «ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ὑπομένω», ἀκούσαντες οἱ ἀδελφοί, ἀπὸ τῆς αἰσχύνης οὐκ εἶχον ὅ,τι καὶ γένωνται· καὶ ἔβαλον τῷ Ἀββᾷ μετάνοιαν λέγοντες, ἡμάρτομεν· ὁ δὲ εἶπεν αὐτοῖς· μὴ ἐμοὶ βάλλετε μετάνοιαν, ἀλλὰ τῷ Θεῷ καὶ τῷ ἀδελφῷ, οὗ κατεψεύσασθε, ἵνα συγχωρήσῃ ὑμῖν· οἱ δὲ ἐποίησαν οὕτω· καὶ εἶπεν αὐτῷ ὁ Ἀββᾶς· εὐξώμεθα τῷ Θεῷ, ἵνα συγχωρήσῃ αὐτοῖς· καὶ ηὔξαντο ὑπὲρ αὐτῶν.

2. Εἶπε γέρων, ὅτι οἱ ἀρχαῖοι οὐ ταχέως μετέβαινον ἐκ τοῦ τόπου αὐτῶν, εἰ μή τι συνέβη αὐτοῖς ἐκ τούτων τῶν τριῶν πραγμάτων· ἤτοι ἐάν τις γείτονα ἔχῃ λυπούμενον κατ᾽ αὐτοῦ ἐκ φθόνου, δηλονότι μνησικακοῦντα, καὶ πάντα ποιῶν τὰ πρὸς θεραπείαν αὐτοῦ, μὴ δύναται αὐτὸν μεταβαλεῖν· ἢ ἐὰν πολλοὶ παραβάλλωσιν αὐτῷ, καὶ προσφέρωσι διάφορα εἴδη δεχομένου αὐτοῦ, καὶ δοξάζωσιν αὐτὸν περισσῶς· ἢ ἐὰν συμβῇ πειρασμῷ πορνείας περιπεσεῖν, πλησίον δηλονότι οἰκουσῶν γυναικῶν· εἰ γάρ τι ἑνὸς τῶν τριῶν τούτων συμβάντος μεταβῇ τοῦ τόπου, οὐκ ἄλογος αὐτῷ γενήσεται ἡ μετάβασις· ταῦτα δὲ οὐ τοῖς κοινοβιακοῖς ἁρμόζει, ἀλλὰ τοῖς κατὰ μόνας οἰκοῦσι καὶ ἡσυχάζουσιν.

3. Ἔλεγον οἱ Πατέρες, ὅτι ἐὰν συμβῇ σοι πειρασμὸς ἐν τῷ τόπῳ, ἐν ᾧ οἰκεῖς, μὴ καταλίπῃς τὸν τόπον ἐν τῷ καιρῷ τοῦ πειρασμοῦ· εἰδεμή, ὅπου ἐὰν ἀπέλθῃς, εὑρίσκεις ἔμπροσθέν σου ὃ φεύγεις· ἀλλ᾽ ὑπόμεινον ἕως οὗ παρέλθῃ ὁ πειρασμός, ἵνα ἀσκανδάλιστος γένηται ἡ ἀναχώρησίς σου· καὶ ἐν καιρῷ εἰρήνης, ὅπως μηδὲ τοῖς κατοικοῦσι τὸν τόπον θλῖψιν τινὰ ἐμποιήσῃ ὁ χωρισμός σου.

4. Εἶπε γέρων· ὥς περ δένδρον συνεχῶς μεταφυτευόμενον καρποφορῆσαι οὐ δύναται, οὕτως οὐδὲ Μοναχὸς μεταβαίνων ἀπὸ τόπου εἰς τόπον ἀρετὴν ἐπιτελέσαι οὐ δύναται.

5. Ἀδελφός τις ἐν κοινοβίῳ καθήμενος καὶ ὀχλούμενος ὑπὸ λογισμῶν μεταβάσεως, ἀνήγγειλε τῷ Ἀββᾷ· ὁ δὲ λέγει πρὸς αὐτόν· ὕπαγε, κάθου εἰς τὸ κελλίον σου, τὸ σῶμά σου δοὺς ἐνέχυρον τῷ τείχει τῆς κέλλης σου, καὶ μὴ ἐξέλθῃς ἐκεῖθεν τῷ σώματι· τὸν δὲ λογισμὸν ἔασον λογίζεσθαι ὃ βούλεται.

6. Εἶπε γέρων· ἡ κέλλα τοῦ Μοναχοῦ ἐστιν ἡ κάμινος τῆς Βαβυλῶνος, ὅπου οἱ τρεῖς παῖδες τὸν Υἱὸν τοῦ Θεοῦ εὗρον· καὶ ὁ στῦλος τῆς νεφέλης, ὅθεν ὁ Θεὸς ἐλάλησε τῷ Μωϋσῇ.

7. Ἀδελφὸς ἔμεινεν ἐννέα ἔτη πολεμούμενος ἐξελθεῖν ἀπὸ κοινοβίου, καὶ καθ᾽ ἡμέραν ἡτοίμαζε τὸ μηλωτάριον αὐτοῦ ἵνα ἐξέλθῃ· ὡς δὲ ἐγίνετο ὀψέ, ἔλεγεν ἐν ἑαυτῷ· αὔριον ἀναχωρῶ ἐκ τῶν ὧδε· καὶ πρωΐᾳ ἔλεγε τῷ λογισμῷ· βιασώμεθα ἑαυτοὺς καρτερῆσαι καὶ τὴν σήμερον διὰ τὸν Κύριον· καὶ ὡς ἐπλήρωσεν ἐννέα ἔτη οὕτω ποιῶν, ἐκούφισεν ὁ Θεὸς πάντα πειρασμὸν ἀπ᾽ αὐτοῦ.

Ἑρμηνεία

ΕΝΑΣ Μοναχὸς κοινοβιάτης ἠνωχλεῖτο ἀπὸ λογισμοὺς ἀναχωρήσεως ἐκ τοῦ κοινοβίου. Μίαν ἡμέραν λοιπὸν ἐπῆρεν ἕνα χαρτὶ καί, ἀφοῦ

ἐκάθισεν, ἔγραψεν εἰς αὐτὸ ὅλας τὰς αἰτίας, διὰ τὰς ὁποίας τοῦ ἔλεγον οἱ λογισμοὶ νὰ φύγῃ ἀπὸ τὸ κοινόβιον. Ἀφοῦ ἀπηρίθμησεν ὅλας τὰς αἰτίας, διετύπωσε τελευταίως, εἰς τὸ χαρτί, τὴν ἐρώτησιν πρὸς τὸν ἑαυτόν του: Τὰ ὑπομένεις ὅλα; Ἔπειτα, ὡς νὰ ἀπαντοῦσεν εἰς τὴν ἐρώτησιν, ἔγραψεν: Ναί, εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὑπομένω· ἀφοῦ δὲ ἐτύλιξε τὸ χαρτὶ τὸ ἔδεσεν εἰς τὴν ζώνην του.

Ὅταν λοιπὸν ἐκινεῖτο εἰς τὴν ψυχήν του κάποια ἀπὸ ἐκείνας τὰς αἰτίας, ἀπὸ τὰς ὁποίας καὶ προηγουμένως ἐπολεμεῖτο, καὶ τὸν ἠνώχλουν οἱ λογισμοὶ τῆς ἀναχωρήσεως ἀπὸ τὸ κοινόβιον, ἔτρεχεν ἐκεῖνος ἰδιαιτέρως κάπου, ἔπαιρνε τὸ χαρτί, τὸ ἐδιάβαζε καὶ ὅταν ἔφθανεν εἰς τὴν φράσιν· «Εἰς τὸ ὄνομα Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ θὰ ὑπομένω», ἔλεγε πρὸς τὸν ἑαυτόν του· πρόσεξε, ταλαίπωρε, δὲν συνεφώνησες μὲ ἄνθρωπον, ἀλλὰ μὲ τὸν Θεόν· καὶ ἀμέσως ἠρεμοῦσεν. Ἐνεργῶν τοιουτοτρόπως ὁ Μοναχός, ὁσάκις ἐδημιουργεῖτο ταραχὴ εἰς τὴν ψυχήν του ἀπὸ κάποιαν αἰτίαν, παρέμενεν ἀτάραχος.

Ὅταν λοιπὸν οἱ ἄλλοι Μοναχοὶ ἀντελήφθησαν αὐτὸ ποὺ ἔκαμε καὶ πῶς ἐπερνοῦσε τὴν ζωήν του εἰρηνικὰ μὲ τὴν μελέτην τοῦ χαρτιοῦ ἐκείνου, ἐνῷ αὐτοὶ πολλὰς φορὰς ἐταράσσοντο ἀπὸ τὴν ἐπήρειαν τοῦ πονηροῦ, ἐφθόνησαν καὶ ἐμίσησαν τὸν Μοναχόν. Προσῆλθον λοιπὸν ἐν σώματι πρὸς τὸν Ἡγούμενον καὶ τοῦ λέγουν·

—Ἀββᾶ, ὁ ἀδελφὸς αὐτὸς εἶναι γόης καὶ τὰ μαγικά του τὰ ἔχει εἰς τὴν ζώνην του. Δι' αὐτὸ καὶ δὲν ἠμποροῦμεν νὰ μένωμεν μαζί του· ἢ λοιπὸν αὐτὸν ἢ ἐμᾶς νὰ διώξῃς ἀπ' ἐδῶ.

Ὁ Ἡγούμενος χωρὶς νὰ ἀγνοήσῃ τὴν ἐνέδραν τοῦ ἐχθροῦ (διότι ἐγνώριζε τὴν ταπείνωσιν καὶ τὴν εὐλάβειαν τοῦ Μοναχοῦ), τοὺς λέγει:

— Πηγαίνετε νὰ προσευχηθῆτε· καὶ ἐγὼ προσεύχομαι· καὶ μετὰ τρεῖς ἡμέρας θὰ σᾶς ἀπαντήσω.

Τὴν νύκτα, καθὼς ἐκοιμᾶτο ὁ Μοναχός, τὸν πλησιάζει σιγὰ-σιγὰ ὁ Ἡγούμενος καὶ τοῦ λύει τὴν ζώνην· ἀφοῦ δὲ ἀνέγνωσε τὸ χαρτί, τοῦ ἐφόρεσε πάλιν τὴν ζώνην καὶ ἀνεχώρησεν.

Ὅταν ἐπέρασαν αἱ τρεῖς ἡμέραι, ἦλθον οἱ Μοναχοὶ εἰς τὸν Ἡγούμενον νὰ λάβουν ἀπάντησιν. Ἀμέσως ὁ Ἡγούμενος ἐκάλεσε τὸν ἀδελφὸν καὶ τοῦ εἶπε·

— Διατί σκανδαλίζεις τοὺς ἀδελφούς;

Ὁ Μοναχὸς ἀντὶ ἀπαντήσεως πίπτει χάμω καὶ εἶπεν:

—Ἡμάρτησα, συγχώρησόν με καὶ εὐχήσου δι' ἐμέ.

Ἀπευθυνόμενος, ἐν συνεχείᾳ, ὁ Ἡγούμενος πρὸς τοὺς ἄλλους Μοναχούς, τοὺς λέγει:

— Τί εἴπατε διὰ τὸν ἀδελφὸν αὐτόν;

— Εἶναι μάγος καὶ ἔχει τὰ σύνεργα τῆς μαγείας του εἰς τὴν ζώνην του, ἀπήντησαν ἐκεῖνοι.

— Βγάλετε λοιπὸν τὰς μαγείας του, συνέστησεν ὁ Ἡγούμενος.

Ἐκεῖνοι τότε ὥρμησαν ἐναντίον του, διὰ νὰ τοῦ λύσουν τὴν ζώνην, ἀλλὰ δὲν ἄφηνε ὁ Μοναχός.

— Κόψατέ την· προσέταξεν ὁ Ἡγούμενος.

Οἱ Μοναχοὶ πράγματι ἔκοψαν τὴν ζώνην καὶ εὗρον εἰς αὐτὴν τὸ γνωστὸν χαρτί.

Ὁ Ἡγούμενος τὸ δίδει ἀμέσως εἰς ἕνα Διάκονον καὶ τὸν διατάσσει νὰ τὸ ἀναγνώση ἀπὸ ὑψηλὸν μέρος, διὰ νὰ ἐντροπιασθῇ περισσότερον καὶ ὁ πονηρὸς διάβολος ποὺ ἔσπειρε κρυφίως εἰς τὰς ψυχάς των αὐτὴν τὴν διαβολήν.

Μόλις ἀνεγνώσθη τὸ περιεχόμενον τοῦ χαρτιοῦ καὶ τελευταῖον ἡ φράσις «εἰς τὸ ὄνομα τοῦ Χριστοῦ θὰ τὰ ὑπομένω ὅλα», καὶ ἤκουσαν οἱ ἀδελφοί, δὲν ἤξεραν τί νὰ κάμουν ἀπὸ τὴν ἐντροπήν των. Ἔβαλον μετάνοιαν εἰς τὸν Ἡγούμενον καὶ τοῦ ἔλεγαν:

—Ἡμάρτομεν.

Ὁ Ἡγούμενος τοὺς εἶπε:

— Μὴ βάλλετε εἰς ἐμὲ μετάνοιαν, ἀλλ' εἰς τὸν Θεὸν καὶ τὸν ἀδελφόν, ἐναντίον τοῦ ὁποίου ἐλαλήσατε ψεύδη, διὰ νὰ σᾶς συγχωρήση.

Πράγματι ἔτσι ἔκαμαν οἱ Μοναχοί. Ὁ Ἡγούμενος παρεκάλεσε τὸν Μοναχόν:

—Ἂς προσευχηθῶμεν, ἀδελφέ, εἰς τὸν Θεὸν νὰ τοὺς συγχωρήση· καὶ προσηυχήθησαν ὑπὲρ αὐτῶν.

2. Ἕνας Γέρων ἀσκητὴς εἶπε πρὸς τοὺς ὑποτακτικούς του:

— Οἱ ἀρχαῖοι δὲν ἀπεμακρύνοντο εὐκόλως ἀπὸ τὸν τόπον, ὅπου ἐμόναζον, ἐκτὸς ἐὰν συνέβαινεν ἕνα ἀπὸ τὰ ἑξῆς τρία πράγματα: Ἐὰν εἶχον γείτονα κάποιον, ποὺ ἐλυπεῖτο ἀπὸ φθόνον, δηλαδὴ μνησίκακον, καὶ ἐνῷ κατέβαλλον κάθε προσπάθειαν διὰ νὰ τὸν εἰρηνεύσουν, δὲν τὸ ἐπετύγχανον· δεύτερον, ἐὰν τοὺς ἐπεσκέπτοντο πολλοὶ καὶ ἐδέχοντο διάφορα εἴδη, ποὺ τοὺς προσέφερον καὶ τοὺς ἐπαινοῦσαν πολύ· τρίτον ἐὰν περιέπιπτον εἰς πειρασμὸν πορνείας, λόγῳ γειτονίας μὲ γυναῖκας.

Ἐὰν συμβῇ ἕνα ἀπὸ τὰ τρία αὐτὰ πράγματα, δὲν εἶναι τότε παράλογος ἡ ἀναχώρησις τοῦ Μοναχοῦ ἀπὸ τὸν ἕνα τόπον εἰς τὸν ἄλλον.

Αὐτὰ ἐννοεῖται δὲν ἔχουν ἐφαρμογὴν εἰς τοὺς κοινοβιάτας, ἀλλὰ μόνον εἰς ἐκείνους, ποὺ διαμένουν μόνοι.

3. Οἱ Πατέρες ἔλεγον, ὅτι ἐὰν σοῦ συμβῇ πειρασμὸς εἰς τὸν τόπον ὅπου κατοικεῖς, μὴ ἐγκαταλείψῃς τὸν τόπον αὐτόν, κατὰ τὴν στιγμὴν τοῦ πειρασμοῦ· διαφορετικὰ ὅπου καὶ ἐὰν μεταβῇς, θὰ εὕρῃς ἔμπροσθέν σου αὐτό, διὰ τὸ ὁποῖον φεύγεις. Νὰ ὑπομένῃς, ὥσπου νὰ περάση ὁ πειρασμός, διὰ νὰ μὴ σκανδαλίση κανένα ἡ ἀναχώρησίς σου. Οὔτε πάλιν νὰ ἀναχωρήσῃς ἐν καιρῷ εἰρήνης, διὰ νὰ μὴ προξενήση ὁ χωρισμός σου θλῖψιν εἰς οὐδένα ἀπὸ ὅσους κατοικοῦν εἰς τὸν τόπον.

† ④ Ἕνας Γέρων εἶπεν· ὅπως ἀκριβῶς τὸ δένδρον, ποὺ μεταφυτεύεται συνεχῶς, δὲν ἠμπορεῖ νὰ καρποφορήση, ἔτσι καὶ ὁ Μοναχὸς δὲν ἠμ-

πορεῖ νὰ ἐπιτελέσῃ οὐδεμίαν ἀρετήν, ἐφ᾿ ὅσον θὰ μεταβαίνῃ ἀπὸ τόπου εἰς τόπον.

5. Κάποτε ἕνας Κοινοβιάτης Μοναχὸς ἠνωχλεῖτο ἀπὸ λογισμοὺς ἀναχωρήσεως· ἐξωμολογήθη λοιπὸν τοὺς λογισμούς του εἰς τὸν Ἡγούμενον. Ἐκεῖνος τότε τοῦ λέγει:

— Πήγαινε, κάθισε εἰς τὸ κελλίον σου καὶ διασφάλισε τὸ σῶμα σου ἐντὸς τοῦ κελλίου, ὡς ὀχυροῦ καὶ ἀπὸ ἐκεῖ νὰ μὴ ἐξέλθῃς ποτέ· τὸν λογισμόν σου ἄφησέ τον νὰ σκέπτεται αὐτὸ ποὺ θέλει.

6. Ἕνας Γέρων Μοναχὸς εἶπε· τὸ κελλὶ τοῦ Μοναχοῦ εἶναι ἡ κάμινος τῆς Βαβυλῶνος, ὅπου οἱ Τρεῖς Παῖδες εὗρον τὸν Υἱὸν τοῦ Θεοῦ· καὶ ὁ στῦλος τῆς νεφέλης ἀπ᾿ ὅπου ὁ Θεὸς ἐλάλησεν εἰς τὸν Μωϋσῆν.

7. Ἕνας Μοναχὸς ἐπολεμεῖτο ἐπὶ ἐννέα ἔτη νὰ ἀναχωρήσῃ ἀπὸ τὸ κοινόβιον. Κάθε ἡμέραν ἡτοίμαζε τὸ ἐπανωφόρι του, διὰ νὰ φύγῃ καὶ καθὼς ἔφθανε τὸ βράδυ, ἔλεγεν εἰς τὸν ἑαυτόν του· αὔριον ἀναχωρῶ ἀπ᾿ ἐδῶ. Τὸ πρωῒ ἔλεγε πάλιν· ἂς πιέσωμεν τὸν ἑαυτόν μας νὰ κάμωμεν καὶ σήμερον ὑπομονὴν χάριν τοῦ Κυρίου. Καὶ τοιουτοτρόπως ἀγωνιζόμενος, συνεπλήρωσεν ἐννέα ἔτη, ἕως ὅτου ὁ Θεός, ἐπιβραβεύων τὴν ὑπομονήν του, ἀπεμάκρυνεν ἀπὸ τὴν ψυχήν του κάθε πειρασμόν.

Θ΄. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΗ εἴπῃς, Μοναχέ, ὧδε στένωσις καὶ πόλεμος, καὶ παρεκεῖ ἀνάπαυσις καὶ ἀμεριμνία· τίς γάρ ἐστιν ὁ πολεμῶν ἡμᾶς, ἐὰν οἶδας; οὐχὶ ὁ ἐχθρὸς ἡμῶν διάβολος; ἄκουε τοιγαροῦν τί λέγει ἐν τῷ Ἰώβ· «καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· πόθεν σὺ ἔρχῃ; καὶ εἶπεν ὁ διάβολος ἔναντι Κυρίου· διαπορευθεὶς τὴν ὑπ᾿ οὐρανόν, καὶ ἐμπεριπατήσας τὴν σύμπασαν πάρειμι». Γίνωσκε οὖν ὅτι ὁ οὐρανὸς ὑψηλότερός σού ἐστιν, ὅπου δ᾿ ἂν πορευθῇς, καὶ οὐκ ἔστι τόπος ἐν πάσῃ τῇ ὑπὸ τὸν οὐρανὸν τῷ κοινῷ ἐχθρῷ ἄβατος. Ἔμμεινον οὖν ἐν ᾧ ἐκλήθης τόπῳ, καὶ ἀντίστα τῷ διαβόλῳ καὶ φεύξεται ἀπὸ σοῦ, καὶ ἔγγισον τῷ Θεῷ καὶ ἐγγιεῖ σοι. Οὐαὶ τῇ ψυχῇ ἣ εἰσέλθῃ ἀπιστία, ἀφοβία, ἀγνωσία, ἀφροσύνη καὶ ἀναίδεια· ὅτι μερὶς ἀλώπεκος ἔσται.

Μακαρία δὲ ἡ ψυχὴ ἐν ᾗ φόβος Θεοῦ οἰκεῖ καὶ εὐλάβεια. Ὁ οὐκ ἀρέσκει δουλεύειν δεσπότῃ ἑνί, δουλεύσει πολλοῖς· καὶ ὁ μὴ ἀνεχόμενος ὑποταγῆναι ἡγουμένῳ ἑνί, ὑποταγήσεται πολλοῖς εἰς διαφόρους τόπους. Γέγραπται· «πρόφασιν ζητεῖ ἀνὴρ βουλόμενος χωρίζεσθαι ἀπὸ φίλων, ἐν παντὶ δὲ καιρῷ ἐπονείδιστος ἔσται». Οὕτω καὶ Μοναχὸς χωριζόμενος ἀπὸ μονῆς, αἰτιᾶται ἡγούμενον καὶ ἀδελφούς, ἀλλὰ τὸν παρὰ Θεοῦ καὶ ἀνθρώπων τῶν εὖ φρονούντων ὀνειδισμὸν οὐδέποτε διαφεύξεται.

Περὶ τοῦ τοιούτου πάλιν ἡ Γραφὴ λέγει· «ἔστιν ὁδὸς ἣ δοκεῖ ὀρθὴ εἶναι παρὰ ἀνθρώποις· τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου»· καὶ ἐπάγει· «τῶν αὐτῶν ὁδῶν πλησθήσεται θρασυκάρδιος». Ἐὰν συμβῇ στενωθῆναι τὸ Μοναστήριον ἐν ᾧ οἰκεῖς εἰς τὰ χρειώδη τοῦ σώματος, μὴ καταλίπῃς τὸν τόπον· τότε γὰρ εὑρήσεις ἐργασίαν πολλὴν ἐν αὐτῷ. Οὐκ ἀρέσει ἀνοσίοις ὅσιος ἡγούμενος, οὐδὲ δικαίῳ πᾶν ἄδικον.

Ἑρμηνεία

ΜΟΝΑΧΕ, νὰ μὴ εἴπῃς, ἐδῶ ὑπάρχει στενοχωρία καὶ πόλεμος καὶ κάπου πλησίον ἀνάπαυσις καὶ ἀμεριμνησία· διότι, εἰπέ μου, ἐὰν γνωρίζῃς, ποῖος εἶναι ἐκεῖνος, ποὺ μᾶς πολεμεῖ; Μήπως ὁ ἐχθρὸς ἡμῶν δὲν εἶναι ὁ διάβολος; Ἄκουε λοιπὸν τί λέγει εἰς τὸ βιβλίον τοῦ Ἰώβ· «καὶ εἶπεν ὁ Κύριος εἰς τὸν διάβολον· σὺ ἀπὸ ποῦ ἔρχεσαι; καὶ ἀπήντησεν ὁ διάβολος εἰς τὸν Κύριον· ἀφοῦ περιέτρεξα τὴν ὑφήλιον καὶ ἐβάδισα εἰς ὅλην τὴν γῆν εὑρίσκομαι τώρα ἐδῶ» (Ἰὼβ β΄, 2). Γνώριζε λοιπὸν ὅτι ὁ οὐρανὸς εἶναι ὑψηλότερα ἀπὸ σέ, ὅπου δὲ καὶ ἂν ἠμπορέσῃς νὰ πορευθῇς, δὲν θὰ εὕρῃς τόπον, κάτω ἀπὸ τὸν οὐρανόν, ποὺ νὰ μὴ ἔχῃ πατηθῆ ἀπὸ τὸν κοινὸν ἐχθρόν. Παράμεινε λοιπὸν εἰς τὸν τόπον, ποὺ ἐκλήθης καὶ ἀντιστάσου εἰς τὸν διάβολον, ὁπόταν καὶ θὰ φύγῃ ἀπὸ σέ· πλησίασε τὸν Θεὸν καὶ θὰ σὲ πλησιάσῃ καὶ Ἐκεῖνος. Ἀλλοίμονον εἰς τὴν ψυχήν, εἰς τὴν ὁποίαν θὰ εἰσέλθῃ ἀπιστία, ἔλλειψις φόβου Θεοῦ, καὶ ἀγνωσία, ἀφροσύνη καὶ ἀναίδεια· αὐτὴ ἡ ψυχὴ θὰ γίνῃ μερίδιον τῶν ἀλεπούδων (Ψαλμ. ξβ΄, 10).

Ἀντιθέτως, εἶναι μακαρία ἡ ψυχή, εἰς τὴν ὁποίαν κατοικεῖ φόβος Θεοῦ καὶ εὐλάβεια. Ἐκεῖνος, ποὺ δὲν τοῦ ἀρέσει νὰ εἶναι δοῦλος ἑνὸς Κυρίου, θὰ ὑποδουλωθῇ εἰς πολλούς· καὶ ἐκεῖνος, ποὺ δὲν ἀνέχεται νὰ ὑποταγῇ εἰς ἕνα Ἡγούμενον, θὰ ὑποταγῇ εἰς πολλοὺς εἰς διαφόρους τόπους. Λέγει ἡ Ἁγία Γραφή· «ἀνήρ, ποὺ θέλει νὰ ἀποχωρισθῇ ἀπὸ φίλους, ζητεῖ πρόφασιν, θὰ εἶναι δὲ ἐντροπιασμένος εἰς κάθε περίστασιν» (Παροιμ. ιη΄, 1). Τὸ ἴδιον ἀκριβῶς συμβαίνει μὲ τὸν Μοναχόν, ὁ ὁποῖος ἀποχωρίζεται ἀπὸ τὴν ἀδελφότητα καὶ ἐγκαταλείπει τὸ Μοναστήριόν του· οὗτος θεωρεῖ ὡς ὑπαιτίους τὸν Ἡγούμενον καὶ τοὺς ἀδελφούς. Παρὰ τὰς δικαιολογίας του ὅμως ὁ Μοναχὸς οὗτος οὐδέποτε θὰ δυνηθῇ νὰ ἀποφύγῃ τὴν κατάκρισιν, ποὺ προέρχεται ἀπὸ τὸν Θεὸν καὶ τοὺς λογικοὺς ἀνθρώπους.

Διὰ τὸν τοιοῦτον Μοναχὸν λέγει πάλιν ἡ Ἁγία Γραφή· «ὑπάρχει ὁδός, ἡ ὁποία θεωρεῖται ὅτι εἶναι ὀρθὴ ἀπὸ τοὺς ἀνθρώπους· τὸ τέλος ὅμως τοῦ δρόμου αὐτοῦ φθάνει εἰς τὸν πυθμένα τοῦ Ἅδου» (Παροιμ. ιδ΄, 12)· καὶ συμπληρώνει ὁ ἱερὸς συγγραφεύς· «αὐτοὺς τοὺς δρόμους ἀκουλουθεῖ, χωρὶς διάκρισιν, κάθε ἕνας, ποὺ ἔχει καρδίαν γεμάτην θράσος» Ἐὰν παρατηρηθῇ στενοχωρία εἰς τὸ Μοναστήρι, ὅπου κατοικεῖς καὶ δὲν δύνασαι νὰ ἔχῃς τὰ ἀπαραίτητα διὰ τὰς σωματικάς σου ἀνάγκας, νὰ μὴ ἐγκαταλείψῃς τὸν τόπον τῆς μετανοίας σου· διότι τότε θὰ ἔχῃς εἰς αὐτὸν πολλὴν ἐργασίαν. Δὲν εἶναι εὐχάριστος εἰς τοὺς ἀνοσίους ὅσιος Ἡγούμενος, οὔτε καὶ ἱκανοποιεῖ τὸν δίκαιον ἡ ἀδικία.





ΥΠΟΘΕΣΙΣ ΜΑ΄

Ὅτι τοῖς ἀγυμνάστοις τὸ ἀφιδιάζειν ἐπικίνδυνον.

Περὶ τοῦ ὅτι εἶναι ἐπικίνδυνον διὰ τοὺς ἀγυμνάστους νὰ μένουν τελείως μόνοι.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΔΕΛΦΟΣ τις ἀναχωρήσας καὶ λαβὼν τὸ σχῆμα, εὐθέως ἀπέκλεισεν ἑαυτὸν λέγων, ὅτι ἀναχωρητής εἰμι· ἀκούσαντες δὲ οἱ γέροντες, ἦλθον καὶ ἐξέβαλον αὐτόν, καὶ ἐποίησαν αὐτὸν κυκλεύειν τὰ κελλία τῶν Μοναχῶν καὶ βάλλειν μετάνοιαν καὶ λέγειν· συγχωρήσατέ μοι, ὅτι οὐκ εἰμὶ ἀναχωρητής, ἀλλὰ ἀρχάριος.

2. Ἠρωτήθη γέρων, πῶς δύναται ἄνθρωπος κατὰ μόνας οἰκῆσαι; καὶ ἀπεκρίθη· ὁ ἀθλητὴς ἐὰν μὴ πυκτεύσῃ μετὰ πολλῶν, οὐ δύναται μαθεῖν τὴν τέχνην τῆς νίκης, ἵνα οὕτω δυνηθῇ μετὰ τοῦ ἀντιδίκου μονομαχῆσαι· καὶ ὁ Μοναχός, ἐὰν μὴ παιδευθῇ μετὰ ἀδελφῶν καὶ μάθῃ τὴν τῶν λογισμῶν τέχνην, οὐ δύναται οἰκῆσαι κατὰ μόνας, οὐδὲ ἀντιστῆναι τοῖς λογισμοῖς.

3. Εἶπεν ὁ Ἀββᾶς Θεόδωρος· πολλοὶ ἐν τῷ καιρῷ τούτῳ εἵλοντο τὴν ἀνάπαυσιν, πρὶν ὁ Θεὸς αὐτοῖς παράσχῃ.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ἀδελφὸς ἐγκατέλειψε τὴν κοσμικὴν ζωὴν καὶ περιεβλήθη τὸ μοναχικὸν σχῆμα· ἀμέσως ἐνεκλείσθη* μόνος του εἰς κελλίον καὶ ἔλεγεν· εἶμαι ἀναχωρητής. Μόλις ἐπληροφορήθησαν αὐτὸ οἱ Γέροντες, ἦλθον εἰς τὸ κελλίον του καὶ τὸν ἔβγαλαν ἀπὸ μέσα. Ἐν συνεχείᾳ τὸν ὑπεχρέωσαν νὰ περιφέρεται εἰς τὰ κελλία τῶν Μοναχῶν, νὰ βάλλῃ εἰς αὐτοὺς

---

* Παράβαλε τὴν ἐν σελίδι 492 τοῦ ἀνὰ χεῖρας Τόμου ὑποσημείωσιν β΄ περὶ Ἐγκλείστων.

μετάνοιαν καὶ νὰ λέγῃ· συγχωρήσατέ με· δὲν εἶμαι ἀναχωρητής, ἀλλὰ ἀρχάριος.

† (2) Κάποτε ἠρώτησαν ἕνα Γέροντα·

— Πῶς εἶναι δυνατὸν νὰ κατοικήσῃ ἕνας ἄνθρωπος τελείως μόνος του;

Ὁ Γέρων ἀπήντησεν:

—Ἐὰν ὁ ἀθλητὴς δὲν ἀγωνισθῇ μὲ πολλοὺς μαζί, δὲν ἠμπορεῖ νὰ μάθῃ τὴν τέχνην τῆς νίκης, διὰ νὰ δυνηθῇ πλέον μόνος του νὰ μονομαχήσῃ μὲ τὸν ἀντίπαλον. Κατ' ἀναλογίαν καὶ ὁ Μοναχός, ἐὰν δὲν ἐκπαιδευθῇ πνευματικῶς μαζὶ μὲ τοὺς ἄλλους ἀδελφοὺς τοῦ κοινοβίου καὶ δὲν μάθῃ τὴν τέχνην τῶν λογισμῶν, δὲν εἶναι δυνατὸν νὰ κατοικήσῃ μόνος του καὶ νὰ ἀντισταθῇ πρὸς τὰς ἐπιθέσεις τῶν λογισμῶν.

3. Ὁ Ἀββᾶς Θεόδωρος εἶπεν· εἰς αὐτὸν τὸν καιρὸν πολλοὶ ἐξέλεξαν τὴν ἀνάπαυσιν, πρὶν νὰ τοὺς τὴν δώσῃ ὁ Θεός.

Β'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἡσαΐας· πρὶν ἢ παύσωνται τῆς ἀσθενείας αἱ αἰσθήσεις, ἐὰν ὁ νοῦς βουληθῇ ἐπιβῆναι τῷ σταυρῷ, ὀργὴ τοῦ Θεοῦ ἔρχεται ἐπ' αὐτόν, ὅτι ἤρξατο πράγματος ὑπὲρ τὸ μέτρον αὐτοῦ, μὴ ἰασάμενος τὰς αἰσθήσεις αὐτοῦ· εἰ μὴ γὰρ πρότερον ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐθεράπευσε πάντα τὰ πάθη τοῦ ἀνθρώπου, δι' ὃν ἐπεδήμησεν, οὐκ ἀνῆλθεν ἐπὶ τὸν σταυρόν· λέγει γὰρ πρὸ τοῦ σταυρωθῆναι· «πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἠκούσατε καὶ εἴδετε· τυφλοὶ ἀναβλέπουσι· χωλοὶ περιπατοῦσι· λεπροὶ καθαρίζονται· νεκροὶ ἐγείρονται καὶ πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί». Ἰωάννης μὲν οὖν ὅτι ἐβάπτισε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, δηλοῖ ὅτι τὸν προσερχόμενον δουλεῦσαι τῷ Θεῷ πρῶτον δεῖ ὁμολογῆσαι τὰς ἰδίας πράξεις· «ἐβαπτίζοντο γάρ, φησιν, ὑπὸ Ἰωάννου ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν». Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Κύριος Ἰησοῦς, ἀλλὰ διὰ τῶν ἀπηριθμημένων ὧδε ταῦτα μανθάνομεν.

Τυφλοὶ ἀναβλέπουσιν· ὁ προσέχων τῇ ἐλπίδι τοῦ κόσμου τούτου, τυφλός ἐστιν· ἐὰν δὲ καταλείψας αὐτὴν ἀτενίσῃ τὴν προσδοκωμένην ἐλπίδα, ἀνέβλεψε. Τὸ δὲ χωλοὶ περιπατοῦσι, τοῦτο δηλοῖ ὅτι ὁ θέλων τὸν Θεόν, καὶ ἀγαπῶν τὰ φρονήματα τῆς καρδίας τὰ σαρκικά, χωλός ἐστιν· ἐὰν δὲ καταλείψῃ αὐτὰ καὶ ἀγαπήσῃ τὸν Θεὸν ἐξ ὅλης τῆς καρδίας αὐτοῦ, περιπατεῖ. Διὰ τοῦ, κωφοὶ ἀκούουσι, διδασκόμεθα, ὅτι ὁ ὢν ἐν περισπασμῷ, κωφεύει διὰ τῆς αἰχμαλωσίας καὶ λήθης· ἐὰν δὲ σχολάσῃ ἐν γνώσει, ἤκουσε. Τὸ δέ, λεπροὶ καθαρίζονται, τοῦτο παρίστησιν· ἐπειδὴ γέγραπται ἐν τῷ νόμῳ Μωϋσέως «ἀκάθαρτος μὴ εἰσέλθῃς εἰς οἶκον Κυρίου», λεπρός ἐστι πᾶς ὁ ἔχων ἔχθραν πρὸς τὸν πλησίον, ἢ μῖσος, ἢ ζῆλον, ἢ καταλαλιάν· ἐὰν δὲ καταλίπῃ, ἐκαθαρίσθη.

Ἐὰν οὖν ἀναβλέψῃ ὁ τυφλός, καὶ περιπατήσῃ ὁ χωλός, καὶ ἀκούσῃ ὁ κωφός, καὶ καθαρισθῇ ὁ λεπρός, ὁ ἄνθρωπος, ὁ ἀποθανὼν διὰ τούτων ἐν καιρῷ ἀμελείας, ἐγείρεται καὶ ἀνακαινίζεται. Καὶ εὐαγγελίζεται λοιπὸν ταῖς αἰσθήσεσιν αὐτοῦ ταῖς πτωχευσάσαις τῶν ἁγίων ἀρετῶν ὅτι ἀνέβλεψε, καὶ περιεπάτησε, καὶ ἤκουσε, καὶ ἐκαθαρίσθη. Τὴν ὁμολογίαν ταύτην παρέσχες τῷ ἀναδεξαμένῳ σε, τὸ ἐν πάσῃ κακο-

παθείᾳ καὶ ταπεινοφροσύνῃ πολιτεύεσθαι. Γέγραπται γὰρ περὶ Ἰωάννου, ὅτι τὸ ἔνδυμα αὐτοῦ ἦν ἐκ τριχῶν καμήλου καὶ τὰ ἑξῆς· δι᾿ ὧν δηλοῦται κακοπάθεια, ἣ καθαρίζει πρῶτον τὸν ἄνθρωπον, καὶ τότε σχολάζει ἐλθεῖν ἐπὶ τὸν σταυρόν.

Ὁ γὰρ σταυρὸς σημεῖόν ἐστι τῆς μελλούσης ἀθανασίας, ὅταν ἀποκλείσῃ πρότερον τὰ στόματα τῶν Φαρισαίων καὶ Σαδδουκαίων· οἱ μὲν γὰρ Φαρισαῖοι τύπον ἐπέχουσι τῆς πανουργίας καὶ ὑποκρίσεως καὶ κενοδοξίας· οἱ δὲ Σαδδουκαῖοι τῆς ἀπιστίας, καὶ ἀνελπιστίας, ὧν τὰ στόματα ἔφραξε κατὰ τὸ γεγραμμένον· «Ἰησοῦν δὲ οὐκέτι οὐδεὶς ἐτόλμα ἐρωτῆσαι ἀπὸ τῆς ὥρας ἐκείνης· λοιπὸν οὖν ἀπέστειλε Πέτρον καὶ Ἰωάννην ἑτοιμάσαι τὸ πάσχα»· δηλοῦντος τοῦ λόγου, ὅτι ἐὰν ἴδῃ ὁ νοῦς ἑαυτὸν μὴ κατακυριευόμενον ὑπό τινος, ἑτοιμάζεται εἰς ἀθανασίαν, ἐπισυνάγων τὰς αἰσθήσεις αὐτοῦ ἐπὶ τὸ αὐτό, καὶ ποιῶν αὐτὰς ἓν σῶμα, τρέφων αὐτάς, μεταλαμβανούσας ἐξ αὐτοῦ ἀχωρίστως.

Εἶτα, φησί, προσηύχετο ὁ Ἰησοῦς λέγων· «εἰ δυνατόν, παρελθέτω ἀπ᾿ ἐμοῦ τὸ ποτήριον τοῦτο ἐν τῇ ὥρᾳ ταύτῃ». Ἡμῶν ἐστιν ὁ λόγος, ὅτι ἐὰν θελήσῃ ὁ νοῦς ἐπιβῆναι τοῦ σταυροῦ, χρήζει πολλῆς δεήσεως, καὶ δακρύων πολλῶν, καὶ ὑποταγῆναι ἐν πάσῃ ὥρᾳ ἐνώπιον τοῦ Θεοῦ, αἰτῶν βοήθειαν παρὰ τῆς ἀγαθότητος αὐτοῦ, ἵνα ἔσηται ἐνδυναμοῦσα καὶ φυλάττουσα αὐτόν, ἕως οὗ ἐγείρῃ αὐτὸν ἐν καινότητι ἁγίᾳ καὶ ἀηττήτῳ. Διότι κίνδυνός ἐστι μέγας ἐν τῇ ὥρᾳ τοῦ σταυροῦ· εὐχόμενος γάρ, χρείαν ἔχει Πέτρου καὶ Ἰακώβου καὶ Ἰωάννου, ἤγουν πίστεως ὑγιοῦς, καὶ ἀνδρείας ἐλπίδος, καὶ ἀγάπης τελείας, ἵνα διὰ τούτων ἐπισπάσηται τὴν ἄνωθεν χάριν, καὶ δυνηθῇ ἐπιβῆναι τοῦ σταυροῦ. Ταῦτα γὰρ πάντα γέγονε τῷ Δεσπότῃ ἡμῶν Χριστῷ, ὃς τύπος ἡμῖν γέγονεν ἐν παντί, καθὼς εἶπεν ὁ Ἀπόστολος, τοῦ γνῶναι ἡμᾶς τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ καὶ τὴν κοινωνίαν τῶν παθημάτων αὐτοῦ, εἴ πως συμμορφούμενοι τῷ θανάτῳ αὐτοῦ, καταντήσωμεν εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν.
σματος οὗ ἐνεπτύσθη, ἐξαλεῖψαι διδασκόμεθα πᾶσαν ἀνθρωπαρεσκίαν, καὶ πᾶσαν ἐπιθυμίαν πονηρὰν ἐν ἡμῖν, καὶ ἐμφράξαι τὰ στόματα ἑαυτῶν, καὶ μὴ συγχωρῆσαι αὐτὰς ἐκβῆναι ἐκ τοῦ σώματος καὶ ἀποτελεσθῆναι. Διὰ δὲ τοῦ ὄξους οὗ ἐγεύσατο δι᾿ ἡμᾶς, μανθάνομεν σβέσαι πᾶσαν αὐθάδειαν καὶ ταραχὴν ματαίαν. Διὰ δὲ τοῦ πτύσματος οὗ ἐνεπτύσθη, ἐξαλεῖψαι διδασκόμεθα πᾶσαν ἀνθρωπαρεσκίαν, καὶ πᾶσαν δόξαν τοῦ κόσμου τούτου. Διὰ δὲ τοῦ ἀκανθίνου στεφάνου παιδευόμεθα βαστάσαι τὴν μέμψιν ἡμῶν ἐν πάσῃ ὥρᾳ, ὑπομένοντες τὰς ὕβρεις ἀταράχως.

Ὁ κάλαμος ἐν ᾧ ἔτυπτον τὴν κεφαλὴν αὐτοῦ δι᾿ ἡμᾶς, τύπος ἡμῖν ἐστιν, ἵνα πάντοτε ἔχοντες τὴν περικεφαλαίαν τῆς ταπεινοφροσύνης, σκιάσωμεν πᾶσαν ὑπερηφανίαν τοῦ ἐχθροῦ. Τὸ δὲ φραγγελωθῆναι αὐτὸν πρὸ τοῦ σταυρωθῆναι, τύπος ἡμῖν ἐστι τοῦ καταφρονῆσαι παντὸς ὀνειδισμοῦ ἀνθρωπίνου καὶ δειγματισμοῦ. Διὰ δὲ τοῦ διαμερισθῆναι τὰ ἱμάτια αὐτοῦ καὶ διαμεῖναι αὐτὸν ἀτάραχον παιδευόμεθα παραβλέπειν τὰ τοῦ κόσμου τούτου, πρὸς τὸ ἀναβῆναι ἐπὶ τὸν σταυρόν. Τὸ δέ, ἦν ἕκτη ὥρα ὅτε ἐσταυρώθη, τύπος ἡμῖν ἐστι πρὸς τὸ ἐνδυναμωθῆναι ἡμᾶς πρὸς πᾶσαν ἀκηδίαν καὶ μικροψυχίαν, ἕως οὗ ἀποθάνῃ ἡ ἁμαρτία κατὰ τὸ γεγραμμένον, «ὅτι διὰ τοῦ σταυροῦ ἀπέκτεινε τὴν ἔχθραν ἐν αὐτῷ».

Τὸ δὲ ὅτε γέγονεν ὥρα ἐνάτη ἔκραξε φωνῇ μεγάλῃ ὁ Ἰησοῦς· ἐλωΐ, ἐλωΐ, λαμᾶ σαβαχθανῆ, διδάσκει ἡμᾶς τὸ μετὰ τὴν ἐπὶ τὰ πάθη ὑπομονὴν τῆς θλίψεως, ἕως οὗ σβεσθῶσι, παρρησιάζεσθαι λοιπὸν ἐν ταπεινοφροσύνῃ καὶ βοᾶν πρὸς τὸν Θεόν. Διὰ

δὲ τοῦ παραδοῦναι τὸ πνεῦμα ἐν τῷ δῦναι τὸν ἥλιον μανθάνομεν, ὅτι ἐὰν ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ πάσης ἐλπίδος τοῦ κόσμου τούτου τῶν δρωμένων, σημεῖόν ἐστιν ὅτι ἀπέθανεν ἐν τῷ ἀνθρώπῳ ἡ ἁμαρτία· τότε καὶ τὸ καταπέτασμα σχίζεται, ἤγουν μετὰ τὴν ἐλευθερίαν τοῦ νοὸς ἡ μεσότης ἡ οὖσα μεταξὺ αὐτοῦ καὶ τοῦ Θεοῦ ἀπέρχεται. Λοιπὸν αἱ πέτραι ῥήσσονται, καὶ τὰ μνημεῖα ἀνοίγονται, δηλοῦντος τοῦ λόγου, ὅτι ἐὰν ὁ θάνατος ἐκεῖνος γένηται ἐν ἡμῖν, πᾶσα βαρύτης καὶ τυφλότης καὶ τὰ ἐπικείμενα τῇ ψυχῇ διαρρήσεται, καὶ αἱ αἰσθήσεις αἱ θανοῦσαι καὶ καρποφοροῦσαι τῷ θανάτῳ ὑγιαίνουσι καὶ ἐγείρονται ἀήττητοι. Τὸ δὲ ἐντυλιχθῆναι αὐτὸν ἐν σινδόνι καθαρᾷ καὶ ἀρώμασι, τὸν ἁγιασμὸν τοῦ νοὸς ἐμφαίνει· ὃν μετὰ τὸν θάνατον ἐκεῖνον ἐντετυλιγμένος ἐστὶ καὶ τὴν ἀφθαρσίαν, ἥτις ἀναπαύει αὐτόν.

Τὸ δὲ ἔθηκαν αὐτὸν ἐν μνημείῳ καινῷ, ἐν ᾧ οὐδεὶς ἦν τεθείς, καὶ προσεκύλισαν λίθον μέγαν τῇ θύρᾳ, δηλοῖ ὅτι, ἐὰν ἐλευθερωθῇ ὁ νοῦς ἀπὸ πάντων καὶ σαββατίσῃ, ἔστιν ἐν ἑτέρῳ αἰῶνι καινῷ, καινὰ λογιζόμενος καὶ ἄφθαρτα· «λοιπὸν ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί». Γέγραπται ὅτι «ἀνέστη ἐν δόξῃ τοῦ πατρὸς αὐτοῦ, καὶ ἀνῆλθεν εἰς οὐρανούς, ἐκάθισέ τε ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψίστοις». καὶ τούτου τὸν τύπον παραδιδοὺς ἡμῖν ὁ Ἀπόστολος λέγει· «εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος· τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς· ἀπεθάνετε γάρ». Δυνατὸν δέ ἐστι τὸ ὄνομα αὐτοῦ τὸ ἅγιον ἐπιλαβέσθαι τῆς ἀσθενείας ἡμῶν, πρὸς τὸ κατὰ τὴν πτωχείαν ἡμῶν καταλεῖψαι τὰς ἁμαρτίας ἡμῶν καὶ εὑρεῖν ἔλεος μετὰ τῶν ἀξίων αὐτοῦ. Ἀμήν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἠσαΐας εἶπεν· ἐὰν ἐπιθυμήσῃ ὁ νοῦς νὰ ἀναβῇ εἰς τὸν σταυρόν, πρὶν ἀκόμη παύσῃ ἡ ἀδυναμία τῶν αἰσθήσεων (διὰ τῆς ἀσκήσεως), ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ (εἰς τὸν ἄνθρωπον αὐτὸν) διότι ἤρχισεν ἔργον, ἀνώτερον τῆς ἱκανότητός του, ἐφ' ὅσον δὲν ἐθεράπευσεν εἰσέτι τὰς αἰσθήσεις του. Διότι καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς ἐὰν δὲν ἐθεράπευε προηγουμένως ὅλα τὰ πάθη τοῦ ἀνθρώπου, διὰ τὸν ὁποῖον ἦλθεν εἰς τὸν κόσμον, δὲν θὰ ἀνέβαινεν εἰς τὸν σταυρόν. Διότι λέγει πρὶν νὰ σταυρωθῇ· «πηγαίνετε νὰ ἀναφέρετε εἰς τὸν Ἰωάννην ὅλα ὅσα ἠκούσατε καὶ εἴδετε. Οἱ τυφλοὶ ἀποκτοῦν καὶ πάλιν τὴν ὅρασίν των· οἱ κουτσοὶ περιπατοῦν· οἱ λεπροὶ καθαρίζονται· οἱ νεκροὶ ἀναστήνονται καὶ οἱ πτωχοὶ χαροποιοῦνται· κατόπιν ὅλων αὐτῶν μακάριος ἐκεῖνος, ποὺ δὲν θὰ σκανδαλισθῇ δι' ἐμὲ» (Ματθ. ια΄, 4—6). Ὁ Ἰωάννης λοιπόν, ποὺ ἐβάπτισε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, φανερώνει ὅτι ἐκεῖνος ποὺ προσέρχεται διὰ νὰ γίνῃ δοῦλος τοῦ Θεοῦ, πρέπει πρῶτον νὰ ὁμολογήσῃ τὰς ἰδικάς του πράξεις· λέγει τὸ ἱερὸν Εὐαγγέλιον· «ἐβαπτίζοντο ὑπὸ τοῦ Ἰωάννου, ἀφοῦ προηγουμένως ἐξωμολογοῦντο τὰς ἁμαρτίας αὐτῶν». Πολλὰ μὲν λοιπὸν καὶ ἄλλα θαυμαστὰ σημεῖα ἔκαμεν ὁ Κύριος Ἰησοῦς, ἀλλὰ δι' ἐκείνων, ποὺ ἀνεφέραμεν ἐδῶ, μανθάνομεν αὐτά.

Οἱ τυφλοὶ ἀνακτοῦν καὶ πάλιν τὴν ὅρασίν των· αὐτός, ποὺ ἔχει ἐστραμμένην τὴν προσοχήν του εἰς τὴν ἐλπίδα αὐτοῦ τοῦ κόσμου, εἶναι τυφλός· ἐὰν ὅμως ἐγκαταλείψῃ τὴν πρόσκαιρον αὐτὴν ἐλπίδα, καὶ στρέ-

ψη τὴν προσοχήν του πρὸς τὴν ἀναμενομένην τοιαύτην, ἤδη ὁ τοιοῦτος ἀνέβλεψε. Τὸ δὲ οἱ κουτσοὶ περιπατοῦν, αὐτὸ φανερώνει ὅτι αὐτός, ποὺ θέλει τὸν Θεὸν καὶ ἀγαπᾷ συγχρόνως τὰ σαρκικὰ φρονήματα τῆς καρδίας, εἶναι κουτσός· ἐὰν ὅμως τὰ ἐγκαταλείψῃ καὶ ἀγαπήσῃ τὸν Θεὸν μὲ ὅλην του τὴν καρδίαν, αὐτὸς περιπατεῖ πλέον ὀρθῶς.

Μὲ τὸ «ἀκοὴν οἱ κωφοί», διδασκόμεθα ὅτι ἐκεῖνος, ποὺ εὑρίσκεται εἰς περισπασμόν, κωφεύει ἀπὸ τὴν αἰχμαλωσίαν τῶν λογισμῶν καὶ τὴν πνευματικὴν λήθην· ἐὰν ὅμως διαθέσῃ τὸν καιρόν του εἰς τὴν πνευματικὴν γνῶσιν, τότε ἐπανέκτησε καὶ πάλιν τὴν ἀκοήν του. Τὸ «οἱ λεπροὶ καθαρίζονται» σημαίνει τοῦτο συμφώνως μὲ αὐτά, ποὺ ἔχουν γραφῆ εἰς τὸν Νόμον τοῦ Μωϋσέως, ὅτι «ὁ ἀκάθαρτος δὲν πρέπει νὰ εἰσέλθῃ εἰς οἶκον Κυρίου» (Δευτερ. κγ΄, 1—3), λεπρὸς εἶναι δηλαδὴ κάθε ἕνας ποὺ ἔχει ἔχθραν πρὸς τὸν πλησίον του, ἢ μῖσος, ἢ ζήλειαν, ἢ κατάκρισιν· ἐὰν ὅμως τὰ ἐγκαταλείψῃ ὅλα αὐτά, τότε ἐκαθαρίσθη.

Ἐφ' ὅσον λοιπὸν ἀναβλέψῃ ὁ τυφλός, καὶ περιπατήσῃ ὁ κουτσός, καὶ ἀκούσῃ ὁ κουφός, καὶ καθαρισθῇ ὁ λεπρός, ὁ ἄνθρωπος, ποὺ ἀπέθανεν ἐξ αἰτίας αὐτῶν, κατὰ τὸν καιρὸν τῆς ἀμελείας, ἀνεγείρεται καὶ καθίσταται πάλιν καινούργιος. Τότε πλέον δίδει εἰς τὰς αἰσθήσεις του, ποὺ ἐστερήθησαν τὰς ἁγίας ἀρετάς, τὴν χαρούμενην εἴδησιν, ὅτι ἀνέβλεψε, περιεπάτησεν, ἤκουσε καὶ ἐκαθαρίσθη. Αὐτὴν τὴν ὁμολογίαν ἔδωσες καὶ σὺ εἰς ἐκεῖνον, ποὺ ἔγινεν ἀνάδοχός σου εἰς τὴν μοναχικὴν ζωήν, ὅτι, δηλαδή, θὰ ζῇς μὲ πᾶσαν κακοπάθειαν καὶ ταπεινοφροσύνην. Διὰ τὸν Ἰωάννην τὸν Πρόδρομον ἔχει γραφῆ ὅτι τὸ ἔνδυμά του ἦτο ἀπὸ τρίχας καμήλου (Ματθ. γ΄, 4) καὶ τὰ σχετικά· μὲ τὴν περιγραφὴν αὐτὴν φανερώνεται ἡ κακοπάθεια, ἡ ὁποία πρέπει προηγουμένως νὰ καθαρίζῃ τὸν ἄνθρωπον, καὶ ἐν συνεχείᾳ φροντίζει νὰ ἔλθῃ εἰς τὸν σταυρόν.

Διότι ὁ σταυρὸς εἶναι σημεῖον τῆς μελλούσης ἀθανασίας, ἀφοῦ ἀποκλείσῃ προηγουμένως τὰ στόματα τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων*· οἱ μὲν Φαρισαῖοι δηλαδὴ συμβολίζουν τὴν πανουργίαν, τὴν ὑπο-

---

* Φαρισαῖοι (ἐκ τοῦ ἑβραϊκοῦ παρούς=εὐσεβής) ἦσαν οἱ ὀπαδοὶ θρησκευτικῆς αἱρέσεως τῶν Ἰουδαίων, ἀφωσιωμένοι εἰς τοὺς τύπους τῆς ἐξωτερικῆς λατρείας. Διεκήρυττον ὅτι ἐπίστευον εἰς τὴν θείαν Πρόνοιαν, τὴν ὕπαρξιν τῶν Ἀγγέλων, τὴν ἀθανασίαν τῆς ψυχῆς, τὴν αἰωνιότητα τῆς κολάσεως καὶ τὴν ἀνάστασιν τῶν νεκρῶν. Κατὰ βάθος ὅμως ἦσαν πλεονέκται, φιλόδοξοι, ὑποκριταὶ καὶ ὑπερήφανοι. Θαυμασίως εἰκονίζει τὴν ὑπερηφάνειάν των ὁ Κύριος ἡμῶν εἰς τὴν παραβολὴν τοῦ Τελώνου καὶ Φαρισαίου (Λουκᾶ, Κεφ. ΙΗ', 10—14) καὶ καυτηριάζει τὴν ὑποκρισίαν των (Ματθ., Κεφ. ΚΓ' 13—39).

Σαδδουκαῖοι ἦσαν οἱ ὀπαδοὶ ἄλλης Ἰουδαϊκῆς αἱρέσεως (λαβόντες τὸ ὄνομα ἐκ τοῦ ἱδρυτοῦ τῆς αἱρέσεως ταύτης Σαδὼκ), οἱ ὁποῖοι ἐβασίζοντο εἰς τὸ γράμμα μόνον τοῦ νόμου, ἀρνούμενοι τὴν παράδοσιν, τὴν ὕπαρξιν τῶν Ἀγγέλων, τὴν ἀθανασίαν τῆς ψυχῆς καὶ τὴν ἐκ νεκρῶν Ἀνάστασιν. Ἦσαν ἀντίπαλοι τῶν Φαρισαίων. Τούτους ἐφίμωσεν ὁ Κύριος μὲ τὰς ἀπαντήσεις του (Ματθ., Κεφ. ΚΒ', 23—33).

κρισίαν καὶ τὴν κενοδοξίαν· οἱ Σαδδουκαῖοι, πάλιν, συμβολίζουν τὴν ἀπιστίαν, τὴν ἔλλειψιν ἐλπίδος πρὸς τὸν Θεόν. Τὰ στόματα τῶν Φαρισαίων καὶ τῶν Σαδδουκαίων ἔφραξεν ὁ Ἰησοῦς, ὅπως ἀναφέρει ἡ Ἁγία Γραφή· «Ἀπὸ τὴν ὥραν ἐκείνην οὐδεὶς ἐτόλμα νὰ ἐρωτήσῃ τὸν Ἰησοῦν· ὕστερα λοιπὸν ἀπέστειλε τὸν Πέτρον καὶ τὸν Ἰωάννην νὰ ἑτοιμάσουν τὸ Πάσχα» (Λουκ. κβ΄, 8). Ἡ ἀλληγορικὴ σημασία τοῦ χωρίου αὐτοῦ φανερώνει, ὅτι ὅταν ὁ νοῦς ἴδῃ ὅτι δὲν κατακυριεύεται ἀπὸ τίποτε, ἑτοιμάζεται τότε διὰ τὴν ἀθανασίαν, συγκεντρώνων τὰς αἰσθήσεις εἰς αὐτὴν τὴν σκέψιν, καθιστῶν αὐτὰς ἕνα σῶμα, διατρέφων αὐτάς, αἱ ὁποῖαι πλέον μεταλαμβάνουν, ἀχωρίστως ἀπὸ τὸν νοῦν καὶ μένουν ἡνωμέναι μὲ αὐτόν.

Μετά, καθὼς λέγει ἡ Ἁγία Γραφή, ὁ Ἰησοῦς προσηύχετο λέγων· «ἐὰν εἶναι δυνατόν, ἂς παρέλθῃ ἀπὸ ἐμὲ τὸ ποτήριον αὐτό, κατ' αὐτὴν τὴν ὥραν» (Ματθ. κστ΄, 39). Δι' ἡμᾶς ἀλληγορεῖται ὁ λόγος αὐτὸς καὶ σημαίνει, ὅτι ἐὰν ὁ νοῦς θελήσῃ νὰ ἀνέβῃ ἐπάνω εἰς τὸν σταυρόν, ἔχει ἀνάγκην πολῆς πρὸς τὸν Θεὸν προσευχῆς καὶ πολλῶν δακρύων· πρέπει δὲ νὰ ὑποταχθῇ, ἀνὰ πᾶσαν στιγμήν, ἐνώπιον τοῦ Θεοῦ, παρακαλῶν τὴν ἀγαθότητα τοῦ Θεοῦ νὰ τὸν βοηθήσῃ, διὰ νὰ ἐνδυναμωθῇ καὶ νὰ διαφυλαχθῇ, ἕως ὅτου ἀναστηθῇ εἰς τὴν νέαν ἁγίαν καὶ ἀκατανίκητον ζωήν.

Διότι, διὰ τὸν νοῦν, ὑπάρχει κίνδυνος μεγάλος, κατὰ τὴν στιγμὴν τοῦ σταυροῦ (τῆς μεγάλης δοκιμασίας)· ὅταν προσεύχεται δηλαδή, σημαίνει ὅτι ἔχει ἀνάγκην ἀπὸ τὸν Πέτρον, τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, ἤτοι ὑγιοῦς πίστεως (ὅπως ὁ Πέτρος), ἀνδρειωμένης ἐλπίδος (ὅπως ὁ Ἰάκωβος) καὶ τελείας ἀγάπης (ὅπως ὁ Ἰωάννης), διὰ νὰ δυνηθῇ, μὲ αὐτά, νὰ ἐπισύρῃ τὴν χάριν ἐκ τῶν ἄνω καὶ νὰ ἠμπορέσῃ νὰ ἀναβῇ ἐπάνω εἰς τὸν σταυρόν. Ὅλα αὐτὰ λοιπὸν συνέβησαν εἰς τὸν Δεσπότην ἡμῶν Χριστόν, ὁ ὁποῖος ἔγινεν εἰς ὅλα τύπος δι' ἡμᾶς, ὅπως εἶπεν ὁ Ἀπόστολος (Α΄ Πέτρ. β΄, 21), διὰ νὰ γνωρίσωμεν καὶ ἡμεῖς τὴν δύναμιν τῆς ἀναστάσεώς Του καὶ νὰ δοκιμάσωμεν τὰ παθήματά Του, ὥστε καὶ ἡμεῖς, ὅπως Ἐκεῖνος, νὰ φθάσωμεν εἰς τὴν ἐκ νεκρῶν ἀνάστασιν.

Ἡ δὲ χολὴ τὴν ὁποίαν ἐγεύθη, εἶναι τύπος δι' ἡμᾶς νὰ ἀποβάλωμεν ἀπὸ τὴν ψυχήν μας πᾶσαν πονηρὰν ἐπιθυμίαν, νὰ κλείσωμεν τὰ στόματά μας καὶ νὰ μὴ ἐπιτρέψωμεν εἰς αὐτὰς νὰ ἐξέλθουν ἀπὸ τὸ σῶμα μας καὶ νὰ πραγματοποιηθοῦν εἰς πονηρὰς πράξεις. Ἀπὸ τὸ ὄξος, πάλιν, τὸ ὁποῖον ἐγεύθη διὰ τὴν σωτηρίαν ἡμῶν, διδασκόμεθα, ὅτι πρέπει νὰ σβύνωμεν κάθε αὐθάδειαν καὶ ματαίαν ταραχήν. Ἀπὸ τὸ πτύσιμον, μὲ τὸ ὁποῖον τὸν ἐνέπτυσαν, διδασκόμεθα, ὅτι πρέπει νὰ ἐξαλείψωμεν κάθε τάσιν νὰ ἀρέσκωμεν εἰς τοὺς ἀνθρώπους καὶ κάθε δόξαν αὐτοῦ τοῦ κόσμου. Διὰ τοῦ ἀκανθίνου στεφάνου γυμναζόμεθα νὰ ὑπομένωμεν τὸν ἀνὰ πᾶσαν στιγμὴν ἐναντίον ἡμῶν ἐμπαιγμὸν καὶ νὰ ἀντιμετωπίζωμεν μὲ ἀτάραχον ὑπομονὴν τὰς διαφόρους ὕβρεις.

Τὸ καλάμι, μὲ τὸ ὁποῖον ἐκτυποῦσαν τὴν κεφαλὴν τοῦ Ἰησοῦ χάριν τῆς σωτηρίας ἡμῶν, εἶναι καὶ αὐτὸ τύπος δι' ἡμᾶς νὰ φορῶμεν πάντοτε τὴν περικεφαλαίαν τῆς ταπεινοφροσύνης, διὰ νὰ ἐκμηδενίσωμεν κά-

θε ὑπερηφάνειαν, ποὺ μᾶς ἐμπνέει ὁ ἐχθρός. Ἡ φραγγέλωσις τὴν ὁποίαν ὑπέστη πρὸ τῆς σταυρώσεώς του ὁ Ἰησοῦς, εἶναι παράδειγμα δι' ἡμᾶς νὰ καταφρονῶμεν κάθε ἀνθρώπινον διασυρμὸν καὶ κάθε εἰρωνείαν. Ἀπὸ τὸ γεγονός, ὅτι ἔμεινεν ἀτάραχος, ἐνῷ ἐμοίραζαν τὰ ἱμάτιά του, διδασκόμεθα νὰ παραβλέπωμεν τὰ μάταια πράγματα τοῦ κόσμου αὐτοῦ, διὰ νὰ ἀναβῶμεν ἀπερίσπαστοι ἐπάνω εἰς τὸν σταυρόν. Τὸ ὅτι δὲ ἦτο ἕκτη ὥρα, ὅτε ἐσταυρώθη, εἶναι δι' ἡμᾶς τύπος πρὸς τὸ νὰ ἐνδυναμωθῶμεν ἐναντίον πάσης μικροψυχίας καὶ πνευματικῆς καταπτώσεως, ἕως ὅτου ἀποθάνῃ εἰς τὴν ψυχήν μας ἡ ἁμαρτία, σύμφωνα μὲ αὐτό, ποὺ ἔχει γραφῇ· «διὰ τοῦ σταυροῦ ἐφόνευσε τὴν ἔχθραν εἰς αὐτὸν» (Ἐφεσ. β', 14—16).

Τὸ ὅτι δέ, ὅταν ἔγινεν ἡ ἐνάτη ὥρα, ἔκραξεν ὁ Ἰησοῦς μὲ μεγάλην φωνὴν «ἐλωΐ, ἐλωΐ, λαμὰ σαβαχθανῆ» (Ματθ. κζ', 46)*, μᾶς διδάσκει ὅτι πρέπει νὰ ὑπομένωμεν τὴν θλῖψιν, ποὺ προξενοῦν εἰς ἡμᾶς τὰ πάθη, ἕως ὅτου σβύσουν, διὰ νὰ ἀποκτῶμεν τοῦ λοιποῦ περισσότερον θάρρος ἀπέναντι τοῦ Θεοῦ καὶ μὲ ταπεινοφροσύνην νὰ ἐπικαλούμεθα Αὐτόν.

Ἀπὸ τὸ ὅτι δὲ παρέδωσε τὸ πνεῦμα Του, ἀφοῦ ἐσκοτίσθη ὁ ἥλιος, μανθάνομεν ὅτι ὅταν χάσῃ ὁ νοῦς ἡμῶν κάθε ἐλπίδα ἀπὸ τὰ ὁρατὰ αὐτοῦ τοῦ κόσμου, εἶναι σημεῖον, ὅτι ἀπέθανε πλέον ἡ ἁμαρτία εἰς τὸν ἄνθρωπον. Τότε καὶ τὸ καταπέτασμα σχίζεται, δηλαδὴ μετὰ τὴν ἀπελευθέρωσιν τοῦ νοός μας ἀπὸ τὰ γήϊνα καὶ ἐγκόσμια, ἐξαφανίζεται καὶ τὸ ἐμπόδιον μεταξὺ τοῦ νοός μας καὶ τοῦ Θεοῦ. Ἐν συνεχείᾳ αἱ πέτραι σχίζονται καὶ τὰ μνημεῖα ἀνοίγονται· αὐτὸ σημαίνει ὅτι ἐὰν ἐκεῖνος ὁ θάνατος (τοῦ Ἰησοῦ) ἐνεργηθῇ εἰς ἡμᾶς, τότε κάθε ὑλικὴ βαρύτης, καὶ τυφλότης καὶ ὅσα βαραίνουν τὴν ψυχὴν ἐξαφανίζονται καὶ αἱ νεκρωθεῖσαι αἰσθήσεις ποὺ ἐκαρποφόρον διὰ τοῦ (πνευματικοῦ) θανάτου, ἐξυγιαίνονται καὶ ἀνεγείρονται ἀνίκητοι. Τὸ ὅτι ἐτύλιξαν τὸ σῶμα τοῦ Ἰησοῦ εἰς καθαρὰν σινδόνα καὶ τὸ ἤλειψαν μὲ ἀρώματα, φανερώνει τὸν ἁγιασμὸν τοῦ νοός, μὲ τὸν ὁποῖον περιβάλλεται μετὰ τὸν ζωηφόρον ἐκεῖνον θάνατον· σημαίνει ἀκόμη καὶ τὴν ἀφθαρσίαν, ἡ ὁποία τὸν ἀναπαύει.

Τὸ ὅτι δὲ ἐτοποθέτησαν αὐτὸν εἰς καινούργιο μνημεῖον, εἰς τὸ ὁποῖον κανεὶς προηγουμένως δὲν εἶχε τεθῆ, καὶ τὸ ὅτι ἐκύλισαν ἕνα μεγάλον λίθον ἐμπρὸς εἰς τὴν θύραν τοῦ μνημείου, φανερώνουν ὅτι ἐὰν ὁ νοῦς ἐλευθερωθῇ ἀπὸ ὅλα αὐτὰ καὶ διέλθῃ τὴν ἑβδομάδα τῶν παθῶν του, εἰσέρχεται πλέον εἰς ἄλλον καινούργιον αἰῶνα, σκεπτόμενος νέα καὶ ἄφθαρτα πράγματα· «ὅπου ὑπάρχει τὸ πτῶμα ἐκεῖ μαζεύονται καὶ οἱ ἀετοὶ» (Ματθ.

---

* Ὡς ἀναφέρει ὁ Εὐαγγελιστὴς Μᾶρκος, ὅταν ὁ Κύριος ἐκρεμάσθη εἰς τὸν σταυρόν, ὀλίγον πρὶν ἢ παραδώσῃ τὸν πνεῦμα, περὶ τὴν ἐνάτην ὥραν ἐξέβαλε μεγάλην φωνὴν λέγων: Ἐλωί, ἐλωί, λαμᾶ σαβαχθανῆ, δίδει δὲ ὁ ἴδιος τὴν ἑρμηνείαν αὐτῆς σημαίνουσαν: ὁ Θεός μου, ὁ Θεός μου, ἵνα τί με ἐγκατέλιπες; (Μαρκ., Κεφ. ΙΕ', 34). Ὁ Ματθαῖος παραθέτει τὴν ἰδίαν φράσιν ὡς: ἠλί, ἠλί, λαμᾶ σαβαχθανῆ, δίδει δὲ εἰς αὐτὴν τὴν ἰδίαν ἑρμηνείαν (Ματθ., ΚΖ', 46).

κδ', 28). Λέγει ἡ 'Αγία Γραφὴ ὅτι «ἀνεστήθη εἰς τὴν δόξαν τοῦ Πατρὸς αὐτοῦ καὶ ἀνέβη εἰς τοὺς οὐρανοὺς καὶ ἐκάθισεν εἰς τὰ δεξιὰ τῆς μεγαλωσύνης εἰς τὰ ὑψηλότατα» ('Εβρ. α', 3). Καὶ τὸν τύπον αὐτοῦ παραδίδων εἰς ἡμᾶς ὁ 'Απόστολος λέγει· «ἐφ' ὅσον λοιπὸν συνανεστήθητε διὰ τοῦ Χριστοῦ καὶ εἰς τὸν Χριστόν, τὰ ἄνω πλέον νὰ ζητῆτε, ἐκεῖ ὅπου εἶναι ὁ Χριστὸς καθήμενος εἰς τὰ δεξιὰ τοῦ Θεοῦ· τὰ ἄνω νὰ σκέπτεσθε καὶ ὄχι τὰ ἐπίγεια, διότι ἔχετε ἀποθάνει πλέον» (Κολασ. γ', 1—3). Εἶναι δὲ τὸ ὄνομά Του τὸ ἅγιον δυνατὸν νὰ ἀναλάβῃ τὴν θεραπείαν τῆς ἀσθενείας ἡμῶν, ὥστε κατὰ τὸ μέτρον τῆς πνευματικῆς ἡμῶν πτωχείας, νὰ ἐγκαταλείψωμεν τὰς ἁμαρτίας μας καὶ νὰ εὕρωμεν ἔλεος μαζὶ μὲ τοὺς ἀξίους του. 'Αμήν.

Γ'. Τοῦ 'Αββᾶ Μάρκου

ΕΣΤΙΝ ἐνέργεια χάριτος τῷ νηπίῳ ἀγνοουμένη· καὶ ἔστι τῆς κακίας ἑτέρα τῇ ἀληθείᾳ ἐξομοιουμένη· καλὸν δὲ τὰ τοιαῦτα μὴ ἐνοπτρίζεσθαι διὰ τὴν πλάνην, μήτε ἀναθεματίζειν διὰ τὴν ἀλήθειαν, ἀλλὰ πάντα δι' ἐλπίδος προσφέρειν τῷ Θεῷ· αὐτὸς γὰρ οἶδε τῶν ἀμφοτέρων τὸ χρήσιμον.

'Ερμηνεία

ΥΠΑΡΧΕΙ ἐνέργεια χάριτος, ἡ ὁποία εἶναι ἄγνωστος εἰς τὸν νήπιον (κατὰ τὴν πνευματικὴν ζωήν)· καὶ ὑπάρχει καὶ ἄλλη ἐνέργεια τῆς κακίας, ποὺ ἐξομοιώνεται πρὸς τὴν ἀλήθειαν. Εἶναι δὲ καλὸν νὰ μὴ προσέχωμεν αὐτὰ διὰ τὸ ἐνδεχόμενον πλάνης· οὔτε πάλιν νὰ τὰ ἀπορρίπτωμεν διότι ἀγνοοῦμεν τὴν ἀλήθειαν· ἀλλὰ νὰ τὰ προσφέρωμεν ὅλα δι' ἐλπίδος εἰς τὸν Θεόν· διότι Αὐτὸς γνωρίζει τὴν χρησιμότητα καὶ τῶν δύο.

Δ'. Τοῦ 'Αββᾶ Κασσιανοῦ

ΟΙ μετὰ ἀδελφῶν ὄντες, καὶ διὰ τὸ μὴ φέρειν τὸν ἐκ τῶν παθῶν πόλεμον ἐρημίαν καὶ μόνωσιν μεταδιώκοντες, ὡς ἐκεῖ δῆθεν μηδενὸς ὄντος τοῦ κινοῦντος ταῦτα καὶ ἐρεθίζοντος, εὐκόλως τούτων περιγενήσονται, γινωσκέτωσαν, ὅτι ὑπὸ δαιμόνων ἐμπαίζονται ἢ καὶ ὑπὸ ὑπερηφανίας σφόδρα κατέχονται· διὰ γὰρ τὸ μὴ θέλειν ἑαυτοὺς μέμφεσθαι καὶ ἐπιγράφειν τῇ ἰδίᾳ ῥαθυμίᾳ τὰς τῶν παθῶν αἰτίας, τοὺς ἀδελφοὺς αἰτιῶνται, καὶ φεύγειν ἀπ' αὐτῶν ἀλογίστως θέλουσι, διὸ καὶ ἀνιάτους τὰς ἑαυτῶν νόσους φυλάττουσιν. Ὅσα γὰρ τῶν παθῶν ἐν τῇ ἐρημίᾳ ἀθεράπευτα ἀπενέγκωσι, ταῦτα διὰ τῆς μονώσεως ἐπικαλύψουσι μόνον, οὐκ ἐξαλείψουσι· καὶ γὰρ ἡ ἀναχώρησις, τοῖς μήπω παθῶν ἀπηλλαγμένοις, τὰ ἐλαττώματα οὐ μόνον τηρεῖ ἀνεκκάλυπτα, ἀλλὰ καὶ ἐπικαλύπτειν αὐτὰ οἶδεν, ὥς τε μὴ ἐπαισθάνεσθαι τούτων τοὺς ταῦτα ἔχοντας, μηδὲ ἐπιγινώσκειν λοιπὸν ποίοις ἡττῶνται πάθεσι.

Τοὐναντίον δὲ φαντασίαν ἀρετῆς αὐτοῖς ὑποβάλλει, καὶ κατωρθωκέναι αὐτοὺς τήν τε μακροθυμίαν καὶ τὴν ταπείνωσιν καὶ τὰς λοιπὰς τῶν ἀρετῶν ὑποτίθησιν, ἕως μὴ πάρεστιν ὁ αὐτοὺς ἐρεθίζων· ὅταν δὲ συμβῇ πρόφασίς τις τούτους κινοῦσα καὶ ἐρεθίζουσα, εὐθὺς τὰ ἐν αὐτοῖς ἀποκείμενα πάθη καὶ τὸ πρὶν λανθάνοντα, ὥσπερ ἵπποι ἀχαλίνωτοι ἐκ τῶν ἰδίων ἀφετηρίων ἐκπηδήσαντες, σφοδρότερον καὶ ἀγριώτερον

τὸν ἴδιον ἐπιβάτην πρὸς ὄλεθρον κατασύρουσιν, ἅτε τῇ μακρᾷ ἡσυχίᾳ καὶ σχολῇ τραφέντα καὶ εὐπαθήσαντα. Τὰ γὰρ ἐν ἡμῖν πάθη πλέον ἀγριοῦνται τῆς ἐκ τῶν ἀνθρώπων γυμνασίας ἀργήσαντα· καὶ αὐτὴν τὴν μικρὰν ἐλάττωσιν, ἣν ἐκ τῆς τῶν ἀδελφῶν συνδιαγωγῆς ἠλαττώθησαν, ἀποβάλλουσι πάλιν ἐν τῇ μονώσει, καὶ καθ' ἡμῶν πλέον κρατύνονται καὶ ἰσχύουσιν ἢ τὸ πρότερον, ἡνίκα δηλονότι ὁ ἐρεθίζων αὐτοὺς πάρεστιν.

Ὥς περ γὰρ τὰ ἰοβόλα τῶν θηρίων ἐν ἐρημίᾳ καὶ ταῖς ἰδίαις κοίταις ἡσυχάζοντα, τότε τὴν ἰδίαν μανίαν ἐπιδείκνυται, ὅταν τινὸς προσεγγίζοντος ἐπιλάβωνται, οὕτω καὶ οἱ ἐμπαθεῖς ἄνθρωποι, οὐκ ἀρετῆς διαθέσει, ἀλλὰ τῇ τῆς ἐρημίας ἀνάγκῃ ἡσυχάζοντες, τότε τὸν τῆς ψυχῆς ἰὸν ἐξεμοῦσιν, ὅταν τῶν προσεγγιζόντων δράξωνται.'

Ἑρμηνεία

† ΟΣΟΙ ζοῦν μαζὶ μὲ ἄλλους ἀδελφούς, καὶ διότι δὲν ὑποφέρουν τὸν πόλεμον ἐκ τῶν παθῶν ἐπιδιώκουν τὴν ἐρημίαν καὶ τὴν ἀπομόνωσιν, ἐπειδή, τάχα, ἐκεῖ εἰς τὴν ἐρημίαν δὲν ὑπάρχει τίποτε ποὺ νὰ κινῇ τὰ πάθη καὶ νὰ τοὺς ἐρεθίζῃ καὶ πιστεύουν πὼς ἔτσι εὔκολα θὰ τὰ κατανικήσουν, ἂς γνωρίζουν ὅτι ἐμπαίζονται ὑπὸ τῶν δαιμόνων, ἢ κατέχονται ἀπὸ ἀθεράπευτον ὑπερηφάνειαν. Διότι μὲ τὸ νὰ μὴ θέλουν νὰ μεμφθοῦν τὸν ἑαυτόν των καὶ νὰ μὴ ἀποδίδουν εἰς τὴν ἰδικήν των ὀκνηρίαν τὰς αἰτίας τῶν παθῶν των, αἰτιῶνται τοὺς ἀδελφοὺς καὶ θέλουν νὰ φεύγουν ἀπὸ αὐτούς, δι' αὐτὸ καὶ διατηροῦν ἀθεραπεύτους τὰς νόσους των.

Διότι ὅσα ἀπὸ τὰ πάθη των παραλάβουν μαζί των ἀθεράπευτα εἰς τὴν ἐρημίαν, αὐτὰ θὰ τὰ σκεπάσουν μόνον διὰ τῆς μονώσεως, χωρὶς ὅμως καὶ νὰ τὰ ἐξαλείψουν. Καὶ τοῦτο διότι ἡ ἀναχώρησις δι' ἐκείνους, οἱ ὁποῖοι δὲν ἀπηλλάγησαν ἀκόμη ἀπὸ τὰ πάθη, ὄχι μόνον διατηρεῖ ἀφανέρωτα τὰ ἐλαττώματα, ἀλλὰ γνωρίζει καὶ νὰ τὰ σκεπάζῃ, ὥστε νὰ μὴ τὰ ἀντιλαμβάνωνται οἱ ἔχοντες τὰ πάθη αὐτά, οὔτε καὶ νὰ ἐννοοῦν, κατὰ συνέπειαν, ἀπὸ ποῖα πάθη νικῶνται.

Ἀντιθέτως ὁ κακὸς λογισμὸς τοὺς κάνει νὰ φαντάζωνται ὅτι τάχα εἶναι ἐνάρετοι καὶ ὅτι ἔχουν κατορθώσει τὴν μακροθυμίαν καὶ τὴν ταπείνωσιν καὶ τὰς ἄλλας ἀρετάς· αὐτὰ βάζει εἰς τὸν νοῦν των ὁ πειρασμός, ἐφ' ὅσον δὲν ὑπάρχει ἐκεῖνος ποὺ θὰ τοὺς ἐρεθίσῃ. Ὅταν ὅμως παρουσιασθῇ κάποια πρόφασις νὰ τοὺς κινήσῃ ἀπὸ τὴν ἡσυχίαν των καὶ νὰ τοὺς ἐρεθίσῃ, ἀμέσως τότε τὰ πάθη, ποὺ εὑρίσκοντο κρυμμένα μέσα των καὶ ποὺ δὲν ἐγίνοντο προηγουμένως ἀντιληπτά, ἐξορμοῦν μὲ βιαιότητα, ὅπως τὰ ἀχαλίνωτα ἄλογα, ποὺ τρέχουν ἀφηνιασμένα ἀπὸ τοὺς σταύλους των καὶ ρίπτουν εἰς τὴν καταστροφὴν τὸν ἐπιβάτην των μὲ περισσοτέραν σφοδρότητα καὶ ἀγριότητα. Αὐτὴ δὲ ἡ καταστρεπτικὴ ὁρμὴ τῶν παθῶν ὀφείλεται εἰς τὸ ὅτι τὰ πάθη, διὰ τῆς μακρᾶς ἡσυχίας καὶ ἀναπαύσεως, ἐτράφησαν καὶ ἔγιναν περισσότερον ἀπειλητικὰ εἰς τὴν ἐμπαθῆ των ἐνέργειαν.

Διότι τὰ πάθη, ποὺ κατοικοῦν μέσα μας, ἀγριεύουν περισσότερον,

ἐφ' ὅσον δὲν ὑποβάλλονται εἰς κατασταλτικὴν ἄσκησιν ἀπὸ τὴν συναναστροφὴν τῶν ἀνθρώπων καὶ παραμένουν εἰς ἀργίαν. Καὶ αὐτὴ ἡ μικρὰ ἐλάττωσις τῆς σφοδρότητος τῶν παθῶν, ἡ ὁποία ὀφείλεται εἰς τὴν ἐπικοινωνίαν μὲ τοὺς ἀδελφούς, χάνεται πάλιν κατὰ τὴν μόνωσιν, ὁπόταν ἐκ νέου δυναμώνουν ἐναντίον μας, περισσότερον μάλιστα ἀπὸ προηγουμένως, ὅταν δηλαδὴ ἐμφανισθῇ αὐτός, ποὺ θὰ διερεθίση τοὺς ἐρημίτας αὐτούς.

Ὅπως ἀκριβῶς τὰ φαρμακερὰ φίδια, ποὺ ἡσυχάζουν εἰς τὴν ἐρημίαν καὶ εἰς τὰς φωλεάς των, τότε μόνον παρουσιάζουν τὴν μανίαν των, ὅταν ἀντιληφθοῦν κάποιον νὰ τὰ πλησιάζῃ, ἔτσι ἐνεργοῦν καὶ οἱ ἐμπαθεῖς ἄνθρωποι. Οὗτοι ἡσυχάζουν ὄχι ἀπὸ διάθεσιν ἀρετῆς, ἀλλὰ ἀναγκαστικὰ ἀπὸ τὴν ἐρημίαν, δι' αὐτὸ καὶ χύνουν τὸ δηλητήριον τῆς ψυχῆς των, ὅταν ἁρπάξουν κάποιον ἀπὸ αὐτοὺς ποὺ τοὺς πλησιάζουν.

Ε'. Ἐκ τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· ὁ λογισμὸς λέγει μοι, ὅτι ἡ ἡσυχία πάντων ἐστὶν ἀναγκαιοτέρα, καὶ ὅτι συμφέρει σοι· ἆρα καλῶς λέγει; Ἀπεκρίθη ὁ γέρων· ἡ ἡσυχία οὐκ ἄλλο τί ἐστιν, ἢ τὸ συστεῖλαι τὴν καρδίαν αὐτοῦ ἀπὸ δόσεως καὶ λήψεως καὶ ἀνθρωπαρεσκείας, καὶ τῶν λοιπῶν ὁμοίων ἐνεργειῶν· καὶ σὺ οὖν μὴ δώσῃς μηδὲ λάβῃς μετά τινος τῶν ἔξω, καὶ ἡσυχάζεις ἀπ' αὐτῶν, ἀλλοτριωθέντων ἀπὸ σοῦ. Εἴρηκε δὲ ὁ Κύριος· «ἔλεον θέλω καὶ οὐ θυσίαν». Εἰ οὖν ἔχεις ἅπαξ ὅτι τὸ ἔλεος πλεῖόν ἐστι τῆς θυσίας, εἰς τὸ ἔλεος κλῖνον τὴν καρδίαν σου· καὶ γὰρ ἡ πρόφασις τῆς ἡσυχίας φέρει εἰς ὑψηλοφροσύνην πρὶν ἢ ὁ ἄνθρωπος κερδάνῃ ἑαυτόν, τουτέστιν ἄμωμος γένηται. Ὅτε γάρ τις βαστάζει τὸν σταυρόν, τότε ἡσυχάσαι δύναται. Ἐὰν οὖν συμπαθήσῃς, εὑρίσκεις βοήθειαν· ἐὰν δὲ θελήσῃς ἀναβῆναι ὑπὲρ τὸ μέτρον σου, γίνωσκε ὅτι καὶ ὃ ἔχεις ἀπώλεσας. Μήτε οὖν ἔξω, μήτε ἔσω, ἀλλὰ μέσως πορεύθητι, συνιὼν τὸ θέλημα τοῦ Θεοῦ, ὅτι αἱ ἡμέραι πονηραί εἰσιν.

Ἔφη ὁ ἀδελφός· σαφήνισόν μοι, Πάτερ, τί ἐστιν ὃ εἶπας, μήτε ἔξω, μήτε ἔσω ἀλλὰ μέσως; ἆρα μή τινας μὲν ἡμέρας ἀφορίζειν χρὴ τῇ ἡσυχίᾳ, τινὰς δὲ τῇ φροντίδι; Ἀπεκρίθη ὁ γέρων· τὸ μὲν θαρρεῖν εἰς τὴν ἡσυχίαν, μηδὲ καταφρονεῖν εἰς τὸν περισπασμόν, αὕτη ἐστὶν ἡ μέση ὁδὸς ἡ οὐ πίπτουσα· ἀλλ' ἔχειν ἐν τῇ ἡσυχίᾳ τὴν ταπείνωσιν, καὶ ἐν τῷ περισπασμῷ τὴν νῆψιν, καὶ συστέλλειν τὸν λογισμόν, οὐκ ἔστι δὲ ὅρος οὐδὲ ὥρας, πόσῳ μᾶλλον ἡμέρας, ἀλλὰ δεῖ ποιεῖν κατὰ τὰ ἐπερχόμενα. Συμπάσχειν δὲ χρὴ πᾶσι τοῖς ἐν τῷ Κοινοβίῳ· καὶ γὰρ τοῦτο ποιῶν, ἐντολὴν τοῦ Ἀποστόλου πληροῖ· τουτέστιν ἐάν τις θλίβηται, ἵνα συνθλιβῇ αὐτῷ, ἵνα παρακαλέσῃ αὐτόν, ἵνα παραμυθήσηται αὐτόν· αὕτη γάρ ἐστιν ἡ συμπάθεια. Καὶ τὸ τοῖς ἀσθενέσι δὲ συμπάσχειν καὶ ταῖς θεραπείαις αὐτῶν συνεργεῖν, καλόν.

Εἰ γὰρ ὁ ἰατρὸς μισθὸν ἔχει φροντίζων τοῦ ἀσθενοῦς, πόσῳ μᾶλλον ὁ συμπάσχων εἰς πάντα τῷ πλησίον κατὰ τὴν δύναμιν αὐτοῦ; Εἰ δέ τις οὐχὶ εἰς πάντα, ἀλλ' εἴς τινα μὲν συμπάσχει τῷ πλησίον, εἴς τινα δὲ οὔ, καὶ εἰς αὐτὰ ἃ συμπάσχει, εὑρίσκεται θέλημα αὐτοῦ. Καὶ τοῦτο δὲ γίνωσκε, ὅτι ὅσον ὁ ἄνθρωπος κατάγεται εἰς ταπείνωσιν, προκόπτει. Τὸ οὖν μεῖναί σε νῦν ἐν τῷ κελλίῳ, ἄπρακτόν σε ποιεῖ,

ὅτι γίνῃ ἄθλιβος· καὶ ἐν τῷ ἀμεριμνῆσαι πρὸ καιροῦ, ὁ κοινὸς ἐχθρὸς ἑτοιμάζει σοι ταραχὴν πλείονα τῆς ἀναπαύσεως, ἵνα ἐνέγκῃ σοι εἰπεῖν· εἴθε οὐκ ἐγεννήθην.

Εἶπεν ὁ ἀδελφός· ἀλλ' ὁ λογισμὸς λέγει μοι, ὅτι ἐὰν ἀπέλθω πούποτε καὶ ἡσυχάσω, ἔρχομαι εἰς ἡσυχίαν τελείαν· χρεώστης γάρ εἰμι πολλῶν ἁμαρτιῶν, καὶ θέλω ἐλευθερωθῆναι ἀπ' αὐτῶν· καὶ πάλιν οὐκ ἔρχεταί μοι κλαυθμὸς οὔτε κατάνυξις· καὶ λέγει μοι ὁ λογισμός, ὅτι ἐφ' ὅσον εἰμὶ μετὰ ἀνθρώπων, οὐ δύναμαι ταῦτα κτήσασθαι· ποίησον οὖν ἔλεος μετὰ τῆς ἀσθενείας μου, Πάτερ, καὶ εἰπέ μοι πῶς σωθῶ ἐκ τούτων τῶν πονηρῶν λογισμῶν.

Ἀπεκρίθη ὁ γέρων· ἀδελφέ, ὁ χρεώστης ἄνθρωπος, ἐὰν μὴ πρῶτον ἀποδῷ τὸ χρέος, ὅπου δ' ἂν ἀπέλθῃ, κἂν εἰς πόλιν, κἂν εἰς κώμην, χρεώστης ἐστί, καὶ οὐκ ἔχει ἐλευθερίαν τοῦ καθίσαι μετὰ ἀναπαύσεως· ἐὰν δὲ κοπιάσῃ, πρῶτον ἀπὸ τῶν ὀνειδισμῶν τῶν ἀνθρώπων αἰσχύνεται· καὶ τότε ὅθεν δήποτε ἀποδίδωσι τὸ χρέος καὶ ἐλευθεροῦται· ἐλευθερωθεὶς δέ, τότε μετὰ θάρσους καὶ πολλῆς παρρησίας δύναται δημοσιεῦσαι ἢ καθίσαι ὅπου θέλει.

Ἐὰν οὖν ὁ ἄνθρωπος ποιήσῃ τὴν δύναμιν αὐτοῦ βαστάσαι ὕβρεις καὶ ὀνειδισμούς, ἀτιμίας τε καὶ ζημίας διὰ τὰς πεπραγμένας αὐτῷ ἁμαρτίας, τὴν ταπείνωσιν μανθάνει καὶ τὸν κόπον, καὶ συγχωροῦνται αὐτῷ αἱ ἁμαρτίαι αὐτοῦ κατὰ τὸ γεγραμμένον· «ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου». Κατανόησον δὲ ὅτι πρὸ τοῦ Σταυροῦ πόσας ὕβρεις καὶ ὀνειδισμοὺς ὑπέμεινεν ὁ δεσπότης ἡμῶν Χριστός, καὶ μετὰ ταῦτα ἦλθεν εἰς τὸν σταυρόν. Οὕτως οὐδεὶς δύναται ἐλθεῖν εἰς ἡσυχίαν τελείαν καὶ ἔγκαρπον, καὶ εἰς κατάπαυσιν ἁγίαν τῆς τελειότητος, εἰ μὴ πρότερον συμπασχήσῃ τῷ Χριστῷ καὶ ὑπενέγκῃ ὅλα τὰ παθήματα αὐτοῦ, μνημονεύων τοῦ Ἀποστόλου λέγοντος, «ὅτι ἐὰν συμπάσχωμεν Αὐτῷ, ἵνα καὶ συνδοξασθῶμεν».

Μὴ οὖν πλανηθῇς· ἄλλη γὰρ σωτηρίας ὁδὸς οὐκ ἔστι, πλὴν ταύτης· περὶ δὲ τοῦ κλαυθμοῦ, ἐὰν μὴ πυκτεύσῃς ὢν μετὰ τῶν ἀνθρώπων μὴ λαβεῖν πρός τινα αὐτῶν παρρησίαν, ὁ κλαυθμὸς ἢ ἡ κατάνυξις οὐκ ἔρχεται. Ἐὰν διὰ ταῦτα τὰ δικαιώματα φύγῃς τοὺς ἀδελφούς, γίνωσκε ὅτι τὸν ἀγῶνα καὶ τὸ στάδιον φεύγεις. Πύκτευσον οὖν μετὰ τῶν ἀνθρώπων νικῆσαι τὴν πρὸς αὐτοὺς παρρησίαν· ἄλλως γὰρ οὐκ ἔστι νικῆσαι τὴν πρὸς αὐτοὺς παρρησίαν· καὶ γὰρ οὐ δυνήσει τὸν κλαυθμόν, ἢ τὴν κατάνυξιν κτήσασθαι· φησὶ γὰρ ὁ Ἀπόστολος, ὅτι «ἐὰν ἀθλῇ τις οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ». Ποίησον τὴν δύναμίν σου, ἀδελφέ, καὶ συνεργεῖ σοι ὁ Θεός· μὴ ἐπιλάθῃ δέ, ὡς εἶπον, ἐν πᾶσι φυλάξαι τὴν ταπείνωσιν καὶ τὴν ὑπακοὴν καὶ τὴν ὑποταγήν, καὶ σώζῃ ἐν Κυρίῳ.

Ἑρμηνεία

† ΕΝΑΣ Μοναχὸς ἠρώτησε, κάποτε, ἕνα Γέροντα:

— Γέροντα, ὁ λογισμός μου μοῦ λέγει, ὅτι ἀπὸ ὅλας τὰς ἄλλας ἀρετὰς εἶναι ἀναγκαιοτέρα ἡ ἐρημία καὶ ὅτι ἡ ἐρημία συμφέρει εἰς τὴν ψυχήν μου· ἄραγε μοῦ λέγει καλά;

Ὁ Γέρων ἀπήντησεν:

— Ἡ ἡσυχία δὲν εἶναι τίποτε ἄλλο παρὰ τὸ συμμάζεμα τῆς καρδίας ἀπὸ κάθε δοσοληψίαν καὶ ἀνθρωπαρέσκειαν καὶ ἀπὸ τὰς ὑπολοίπους

παρομοίας ἐνεργείας· ἐὰν λοιπὸν θέλῃς καὶ σὺ ἡσυχίαν, τότε νὰ μὴ δημιουργήσῃς δοσοληψίας μετὰ κοσμικῶν ἀνθρώπων, ὁπόταν ἡσυχάζεις ἀπὸ αὐτούς, ἐφ' ὅσον θὰ ἀποξενωθοῦν ἀπὸ σένα. Ὁ Κύριος μᾶς ἔχει εἰπεῖ· «ἔλεον θέλω καὶ ὄχι θυσίαν» (Ματθ. θ΄, 13). Ἐὰν λοιπὸν γνωρίζῃς καλῶς, ὅτι ἡ εὐσπλαγχνία ἀξίζει περισσότερον ἀπὸ τὴν θυσίαν, τότε ἄφησε τὴν καρδίαν σου νὰ κλίνῃ πρὸς τὴν εὐσπλαγχνίαν· διότι ἡ πρόφασις τῆς ἡσυχίας ὁδηγεῖ πρὸς τὴν ὑψηλοφροσύνην, πρὶν ἀκόμη ὁ ἄνθρωπος κερδήσῃ τὸν ἑαυτόν του, πρὶν δηλαδὴ κατορθώσῃ νὰ γίνῃ ἄμωμος. Ὅταν ὁ ἄνθρωπος σηκώνῃ τὸν σταυρόν του, τότε μόνον δύναται νὰ ἡσυχάσῃ (ἐσωτερικῶς).

Ἐὰν λοιπὸν ἐπιδείξῃς συμπάθειαν, τότε εὑρίσκεις καὶ βοήθειαν. Ἐὰν ὅμως θελήσῃς νὰ ἀνέλθῃς ὑπεράνω τοῦ μέτρου σου, γνώριζε πὼς καὶ αὐτό, ποὺ ἔχεις κατορθώσει, τὸ ἔχασες. Πρόσεξε λοιπὸν νὰ ἀποφύγῃς τὰ ἄκρα καὶ νὰ μὴ πορευθῇς οὔτε ἔξω, οὔτε μέσα· ἀλλὰ νὰ πορευθῇς εἰς τὴν μεσαίαν ὁδόν, ἀντιλαμβανόμενος τὸ θέλημα τοῦ Θεοῦ, διότι αἱ ἡμέραι εἶναι πονηραὶ (Ἐφεσ. ε΄, 16).

Ὁ ἀδελφός, ἠρώτησε καὶ πάλιν.

— Γέροντα, ξεκαθάρισέ μου, τί ἐννοεῖς μὲ αὐτό, ποὺ εἶπες· οὔτε ἔξω, οὔτε μέσα, ἀλλ' εἰς τὸ μέσον; Μήπως, ἄραγε, ἐννοεῖς, ὅτι πρέπει νὰ ἀφιερώνωμεν ὡρισμένας ἡμέρας εἰς τὴν ἡσυχίαν καὶ ὡρισμένας εἰς τὰς φροντίδας;

Ὁ Γέρων ἀπήντησε:

— Τὸ νὰ ἔχῃ κανεὶς θάρρος εἰς τὴν ἡσυχίαν, ἀλλὰ νὰ μὴ καταφρονῇ τὰς διαφόρους ἀσχολίας, αὐτὴ εἶναι ἡ μέση ὁδός, ἡ ὁποία δὲν πίπτει ποτέ· ἀλλὰ πρέπει ὅμως νὰ ἔχῃ τὴν ταπείνωσιν, κατὰ τὸ στάδιον τῆς ἡσυχίας, νὰ διατηρῇ δὲ τὴν νηφαλιότητα καὶ ἐπαγρύπνησίν του κατὰ τοὺς ἀναγκαίους περισπασμούς, καὶ νὰ συμμαζεύῃ τὸν λογισμόν του, ὥστε νὰ μὴ ὑπάρχῃ οὔτε λεπτὸν τῆς ὥρας ἐλεύθερον, πολὺ δὲ περισσότερον οὔτε ἡμέρα, ποὺ νὰ ἐκμεταλλευθῇ ὁ διάβολος· πρέπει ἀκόμη νὰ πράττῃ ἔτσι, ἀναλόγως πρὸς τὰ ἐπερχόμενα. Πρέπει νὰ συμπάσχῃ μὲ τοὺς ἀδελφοὺς ὅλου τοῦ Κοινοβίου. Ὅταν ὁ Μοναχὸς πράττῃ αὐτό, ἐφαρμόζει τὴν ἐντολὴν τοῦ Ἀποστόλου (Ρωμ. η΄, 17 καὶ Α΄ Κορ. ιβ΄, 26). Δηλαδή, ἐὰν κανεὶς ἀπὸ τὸ Κοινόβιον λυπῆται, νὰ λυπηθῇ καὶ αὐτὸς μαζὶ μὲ αὐτόν, διὰ νὰ τὸν ἀνακουφίσῃ, νὰ τὸν παρηγορήσῃ· αὐτὸ ἀκριβῶς εἶναι ἡ συμπάθεια. Καὶ τὸ νὰ συμπάσχῃ κανεὶς μὲ τοὺς ἀσθενεῖς (ἐννοεῖ τοὺς διὰ τῶν θλίψεων δοκιμαζομένους) καὶ νὰ τοὺς βοηθῇ νὰ θεραπευθοῦν, εἶναι καλόν.

Διότι ἐὰν ἰατρὸς ἔχῃ μισθόν, ὅταν φροντίζῃ διὰ τὸν ἄρρωστον, πόσον περισσότερο θὰ ἀμειφθῇ ἐκεῖνος, ποὺ κατὰ τὴν δύναμίν του συμπάσχει μὲ τὸν πλησίον του, δι' ὅλας τὰς δοκιμασίας του; Ἐὰν πάλιν κάποιος συμπάσχῃ μὲ τὸν πλησίον του εἰς ὡρισμένας μόνον θλίψεις καὶ ὄχι εἰς ὅλας, καὶ εἰς αὐτὰ τότε, ποὺ συμπάσχει, ἐνεργεῖ κατὰ τὸ θέλημά του καὶ ὄχι κατὰ τὸ θέλημα τοῦ Θεοῦ. Ἀκόμη καὶ αὐτὸ νὰ γνωρίζῃς πὼς ὅσον

ὁ ἄνθρωπος ταπεινώνεται, τόσον προκόπτει. Τὸ νὰ παραμείνης λοιπὸν τώρα εἰς τὸ κελλί σου, ἐφ' ὅσον δὲν θὰ ἔχης θλίψεις, δὲν θὰ ἐκτελέσης οὐδεμίαν ἀγαθὴν πρᾶξιν· καὶ τὸ νὰ μένης ἀμέριμνος προτοῦ γυμνασθῆς διὰ ἐρημικὴν καὶ ἡσυχαστικὴν ζωήν, τότε ὁ κοινὸς ἐχθρὸς θὰ σοῦ ἑτοιμάση ταραχὴν μεγαλυτέραν τῆς ἀναπαύσεως, διὰ νὰ σὲ φέρη εἰς τὸ σημεῖον τῆς ἀπογνώσεως νὰ εἰπῆς: μακάρι νὰ μὴ εἶχον γεννηθῆ.

Ὁ ἀδελφὸς ἠρώτησεν ἐκ νέου τὸν Γέροντα:

— Γέροντα, ὁ λογισμός μου λέγει, ὅτι ἐὰν ἀναχωρήσω κάπου καὶ ἡσυχάσω, τότε θὰ φθάσω τὰ μέτρα τῆς τελείας ἡσυχίας· διότι αἰσθάνομαι τὸν ἑαυτόν μου ἔνοχον διὰ πολλὰς ἁμαρτίας καὶ θέλω νὰ ἐλευθερωθῶ ἀπὸ αὐτάς. Ἐπίσης, ἐφ' ὅσον ζῶ μαζὶ μὲ ἄλλους, δὲν μοῦ ἔρχονται δάκρυα καὶ κατάνυξις καὶ μοῦ λέγει ὁ λογισμός, ὅτι ἐφ' ὅσον παραμένω μαζὶ μὲ ἄλλους ἀνθρώπους, δὲν θὰ ἠμπορέσω νὰ ἀποκτήσω αὐτά. Εὐσπλαγχνίσου λοιπόν, Πάτερ μου, τὴν ἀσθένειάν μου καὶ εἰπέ μου πῶς θὰ σωθῶ ἀπὸ αὐτοὺς τοὺς πονηροὺς λογισμούς;

Ὁ Γέρων τοῦ ἀπήντησε καὶ πάλιν:

—Ἀδελφέ, ὁ ἄνθρωπος, ποὺ χρεωστεῖ, ἐφ' ὅσον προηγουμένως δὲν ἐξοφλήση τὸ χρέος του, ὅπου καὶ ἂν μεταβῆ, εἴτε εἰς πόλιν, εἴτε εἰς χωρίον, θὰ εἶναι χρεώστης καὶ δὲν θὰ ἔχη ἐλευθερίαν νὰ καθίση μὲ ἄνεσιν καὶ νὰ ἀναπαυθῆ. Ἐὰν ὅμως κοπιάση, δοκιμάζει κατ' ἀρχὴν ἐντροπὴν ἀπὸ τοὺς ὀνειδισμοὺς τῶν ἀνθρώπων. Τότε, ὅπου δήποτε εὑρεθῆ ἐξοφλεῖ τὸ χρέος καὶ ἐλευθερώνεται. Ὅταν πλέον ἐλευθερωθῆ, τότε θὰ ἠμπορέση μὲ θάρρος καὶ πολλὴν ἐλευθεριότητα ἢ νὰ ζήση μαζὶ μὲ ἄλλους, ἢ νὰ καθίση ὅπου θέλει.

Ἐὰν λοιπὸν ὁ ἄνθρωπος κατορθώση, κατὰ τὴν δύναμίν του, νὰ σηκώση τὰς ὕβρεις καὶ τοὺς ὀνειδισμούς, τὰς προσβολὰς καὶ τὰς ζημίας διὰ τὰς ἁμαρτίας ποὺ διέπραξε, μανθάνει τὴν ταπείνωσιν καὶ τὸν κόπον καὶ δέχεται πλέον τὴν συγχώρησιν τῶν ἁμαρτιῶν του, σύμφωνα μὲ τὸ ρητόν· «ἰδέ, Θεέ μου, τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ συγχώρησόν μου ὅλας τὰς ἁμαρτίας μου» (Ψαλ. κδ', 18). Σκέψου δὲ καλῶς πόσας ὕβρεις ὑπέμεινεν ὁ Δεσπότης ἡμῶν Χριστός, πρὶν νὰ σταυρωθῆ καὶ κατόπιν ἀνῆλθεν ἐπάνω εἰς τὸν Σταυρόν. Κατ' ἀναλογίαν κανεὶς δὲν ἠμπορεῖ νὰ ἔλθη εἰς τελείαν καὶ καρποφόρον ἡσυχίαν καὶ νὰ χαρῆ εἰς τὴν κατάπαυσιν τῆς ἁγίας τελειότητος, παρὰ μόνον ἀφοῦ πάθη τὰ ἴδια παθήματα μὲ τὸν Χριστὸν καὶ τὰ ὑποστῆ ὅλα ἀγογγύστως, ἔχων ὑπ' ὄψιν του αὐτά, ποὺ λέγει ὁ Ἀπόστολος· «ἐὰν πάσχωμεν ἀπὸ κοινοῦ μαζὶ μὲ τὸν Χριστόν, ἀσφαλῶς θὰ δοξασθῶμεν καὶ μαζί Του» (Ρωμ. η', 17).

Πρόσεξε λοιπὸν νὰ μὴ πλανηθῆς, διότι δὲν ὑπάρχει ἄλλη ὁδὸς σωτηρίας ἀπὸ αὐτήν· διὰ δὲ τὸν κλαυθμὸν πρέπει νὰ γνωρίζης καὶ τοῦτο· ἐὰν δὲν ἀγωνισθῆς, εὑρισκόμενος μὲ τοὺς ἀνθρώπους, νὰ μὴ ἀποκτήσης ἐλευθεριότητα μὲ κανένα ἐξ αὐτῶν, δὲν ἔρχονται τὰ δάκρυα ἢ ἡ κατάνυξις. Ἐὰν ἀπομακρύνεσαι ἀπὸ τοὺς ἀνθρώπους διὰ νὰ κερδίσης αὐτὰς τὰς τελειότητας, γνώριζε ὅτι ἀποφεύγεις τὸν ἀγῶνα καὶ τὸ στάδιον. Ἀ-

γωνίσου λοιπὸν μετὰ τῶν ἀνθρώπων νὰ νικήσῃς τὴν πρὸς αὐτοὺς ἐλευθεριότητα, διότι δὲν θὰ ἠμπορέσῃς νὰ ἀποκτήσῃς τὰ δάκρυα καὶ τὴν κατάνυξιν (χωρὶς ἀγῶνας), ὅπως λέγει καὶ ὁ Ἀπόστολος πώς· «ἐὰν κάποιος ἀγωνίζεται ὡς ἀθλητής, δὲν στεφανώνεται,ἐφόσον δὲν ἀθλήσῃ νόμιμα» (Β΄ Τιμοθ. β΄, 5). Βάλε ὅλην σου τὴν δύναμιν, ἀδελφέ, καὶ θὰ σὲ βοηθήσῃ ὁ Θεός· καὶ μὴ λησμονήσῃς, ὅπως σοῦ εἶπα, νὰ διαφυλάξῃς, εἰς ὅλας σου τὰς προσπαθείας, τὴν ταπείνωσιν, τὴν ὑπακοὴν καὶ τὴν ὑποταγήν, ὁπόταν θὰ σωθῇς, μὲ τὴν δύναμιν τοῦ Κυρίου.

ΣΤ΄. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ γέρων, ὅτι ἔστιν ἄνθρωπος ὃς ποιεῖ ἑκατὸν ἔτη ἐν τῷ κελλίῳ, καὶ οὐ μανθάνει πῶς δεῖ ἐν τῷ κελλίῳ καθίσαι.

2. Γέρων τις ἔσχε μαθητὴν χρόνοις οὐκ ὀλίγοις τὴν ὑπακοὴν καλῶς μετερχόμενον· οὗτος ἔτι ἀτελὴς ὤν, ἐπεθύμει ἡσυχάσαι· καὶ ἐν μιᾷ, προσελθὼν τῷ γέροντι, βάλλει μετάνοιαν λέγων· ποίησόν με, Πάτερ, γενέσθαι Μοναχόν, ἤγουν κατὰ μόνας οἰκῆσαι· καὶ λέγει ὁ γέρων· ἴδε ἐπιτήδειον τόπον, καὶ ποιοῦμέν σοι κελλίον. Ὁ δὲ ἀπελθὼν ὡς ἀπὸ σημείου ἑνός, εὗρε τόπον, καὶ ἐλθὼν ἀνήγγειλε τῷ γέροντι, καὶ ἐποίησαν κελλίον· καὶ λέγει τῷ ἀδελφῷ· ἰδοὺ ὃ ἐζήτεις· κάθου οὖν ἐν τῷ κελλίῳ, καὶ ὅταν χρείαν ἔχῃς, φάγε, πίε, κοιμήθητι· μόνον ἐκ τοῦ κελλίου σου μὴ ἐξέλθῃς ἕως τοῦ Σαββάτου, τότε δὲ ἔρχου πρός με· καὶ ταῦτα ἐντειλάμενος αὐτῷ ὁ γέρων ἀπῆλθεν. Ὁ δὲ ἀδελφὸς ἐποίησε δύο ἡμέρας κατὰ τὴν ἐντολήν, τῇ δὲ τρίτῃ ἀκηδιάσας, ἔφη πρὸς ἑαυτόν· τί τοῦτο ἐποίησέ μοι ὁ γέρων; καὶ ἀναστὰς ἔψαλε πλείστους ψαλμούς, καὶ ἔφαγε μετὰ τὸ δῦναι τὸν ἥλιον· καὶ προσευξάμενος, ἀπῆλθε κοιμηθῆναι εἰς τὸ ψιαθίον αὐτοῦ, καὶ θεωρεῖ αἰθίοπα κείμενον τρίζοντα τοὺς ὀδόντας κατ᾽ αὐτοῦ· καὶ δρομαῖος καταλιπὼν τὸ κελλίον, ἐξῆλθε καὶ ἀπῆλθε πρὸς τὸν γέροντα· καὶ κρούσας τὴν θύραν εἶπεν· Ἀββᾶ, ἐλέησόν με καὶ ἄνοιξον· ὁ δὲ γέρων οὐκ ἤνοιξεν αὐτῷ ἕως πρωΐ. Τὸ δὲ πρωῒ ἀνοίξας, εὗρεν αὐτὸν παρακαλοῦντα καὶ λέγοντα μετὰ δακρύων· ἐλέησόν με, δέομαί σου, καὶ δέξαι με μένειν πλησίον σου· αἰθίοπα γὰρ ἄγριον καὶ τρίζοντα κατ᾽ ἐμοῦ τοὺς ὀδόντας εἶδον κείμενον ἐπὶ τοῦ ψιαθίου μου ὡς ἀπῆλθον κοιμηθῆναι, καὶ οὐκέτι οἰκῆσαι ἐκεῖ δύναμαι· ὁ δὲ γέρων σπλαγχνισθεὶς εἰσήγαγεν αὐτὸν ἔσω· καὶ ἐτύπωσεν αὐτῷ πρὸς τὴν δύναμιν τὸ ἀκόλουθον τοῦ μονήρους βίου· καὶ κατὰ μικρὸν γέγονε Μοναχὸς δόκιμος.

3. Ἀδελφός τις καθεζόμενος εἰς τὰ κελλία, ἐταράσσετο κατὰ μόνας· καὶ ἀπελθὼν πρὸς τὸν Ἀββᾶν Θεόδωρον τῆς Φέρμης, ἀνήγγειλεν αὐτῷ ὃ ἔπαθε· καὶ εἶπεν ὁ γέρων· ὕπαγε, ταπείνωσον τὸν λογισμόν σου καὶ ὑποτάγηθι, καὶ μεῖνον μετὰ ἄλλων. Ὁ δὲ ἐποίησεν οὕτω· καὶ μετὰ μικρὸν ὑποστρέψας πρὸς τὸν γέροντα εἶπεν· οὐδὲ μετὰ ἀνθρώπων ἀναπαύομαι· καὶ λέγει αὐτῷ ὁ γέρων· καὶ εἰ οὐκ ἀναπαύῃ οὔτε μόνος οὔτε μετὰ ἀνθρώπων ὑπομεῖναι, διατὶ ἐξῆλθες Μοναχός; οὐχ ἵνα ὑποφέρῃς τὰς θλίψεις; εἰπὲ δέ μοι πόσα ἔτη ἔχεις εἰς τὸ σχῆμα; καὶ ἀπεκρίθη, ὀκτώ· λέγει ὁ γέρων· φύσει, ἀδελφέ, ἔχω ἐν τῷ σχήματι ἑβδομήκοντα ἔτη, καὶ οὐδέποτε εὗρον τελείαν ἀνάπαυσιν οὐδὲ μίαν ἡμέραν· καὶ σὺ εἰς ὀκτὼ ἔτη θέλεις τελείαν ἀνάπαυσιν; καὶ ἑδραιωθεὶς ὑπὸ τοῦ γέροντος ὁ ἀδελφὸς ἀπῆλθεν.

4. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Θεοδώρου καὶ τοῦ Ἀββᾶ Λουκίου τῶν ἐν τῷ Ἐνάτῳ Ἀλεξανδρείας, ὅτι ὀχλούμενοι ὑπὸ λογισμῶν μεταβάσεως πεντήκοντα ἔτη, ἐχλεύαζον τοὺς λογισμοὺς καὶ ἔλεγον· μετὰ τὸν χειμῶνα τοῦτον μεταβαίνομεν ἐντεῦθεν· ὅτε δὲ πάλιν ἦλθε τὸ θέρος ἔλεγον, ὅτι μετὰ τὸ θέρος τοῦτο ἀπερχόμεθα· καὶ οὕτω ταῖς ὑπερθέσεσιν ἀπατῶντες τοὺς λογισμούς, ἕως τελευτῆς ἐν τῷ τόπῳ ἔμειναν.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων εἶπεν, ὅτι ὑπάρχει ἄνθρωπος, ποὺ κάμνει ἑκατὸν χρόνια εἰς τὸ κελλίον του, καὶ δὲν κατορθώνει νὰ μάθῃ πῶς πρέπει νὰ καθίσῃ εἰς τὸ κελλί.

2. Ἕνας Γέρων εἶχεν ἕνα ὑποτακτικόν, ὁ ὁποῖος ἐπὶ πολλὰ ἔτη εἶχεν εἰς αὐτὸν θαυμασίαν ὑπακοήν. Αὐτὸς λοιπὸν ὁ ὑποτακτικός, ἐνῷ ἀκόμη δὲν εἶχε καλὰ - καλὰ τελειοποιηθῇ, ἐπεθύμει νὰ ἀπέλθῃ εἰς τὴν ἡσυχίαν. Μίαν ἡμέραν ἦλθεν εἰς τὸν Γέροντα, τοῦ ἔβαλε μετάνοιαν καὶ τοῦ λέγει:

— Πάτερ, κάνε με Μοναχόν, δηλαδὴ νὰ κατοικήσω ὁλομόναχος.

— Εὑρὲ κατάλληλον τόπον — τοῦ ἀπήντησεν ὁ Γέρων — καὶ σοῦ κτίζομεν τὸ κελλί σου.

Ἔφυγε, πράγματι, ὁ ἀδελφὸς καὶ εἰς ὡρισμένην ἀπόστασιν εὗρε τόπον· ἐπανερχόμενος τὸ ἀνήγγειλεν εἰς τὸν Γέροντα. Ἀπὸ κοινοῦ δὲ ἔκτισαν εἰς ἐκεῖνο τὸ σημεῖον τὸ κελλίον. Τότε ὁ Γέρων λέγει εἰς τὸν ὑποτακτικόν του.

— Νά, ἐκεῖνο, ποὺ ἐζήτεις· κάθισε λοιπὸν εἰς τὸ κελλίον· καὶ ὅταν ἔχῃς ἀνάγκην, φάγε, πίε, κοιμήσου· μόνον νὰ μὴ ἐξέλθῃς ἀπὸ τὸ κελλί σου μέχρι τὸ Σάββατον, ὁπόταν ἔρχεσαι νὰ μὲ συναντήσῃς. Ἀφοῦ τοῦ παρήγγειλεν αὐτά, ἔφυγεν ὁ Γέρων.

Ὁ ὑποτακτικὸς παρέμεινεν εἰς τὸ κελλὶ δύο ἡμέρας, κατὰ τὴν ἐντολὴν τοῦ Γέροντός του. Τὴν τρίτην ἡμέραν ἐβαρύνθη καὶ εἶπε μόνος του· διατί μοῦ τὸ ἔκαμεν αὐτὸ ὁ Γέροντάς μου; Ἀμέσως δὲ ἐσηκώθη καὶ ἀφοῦ ἔψαλε μερικοὺς ψαλμοὺς ἔφαγε μετὰ τὴν δύσιν τοῦ ἡλίου. Ἀφοῦ δὲ ἔκαμε τὴν προσευχήν του, ἐπῆγε νὰ κοιμηθῇ εἰς τὴν ψάθαν του· βλέπει ὅμως κατάπληκτος ἕνα ἀράπην ἐξαπλωμένον νὰ τοῦ τρίζῃ ἀπειλητικὰ τὰ δόντια. Ἀφήνει τότε ἀμέσως τὸ κελλί του καὶ τρέχων, ἐξέρχεται καὶ φεύγει πρὸς τὸν Γέροντά του. Μόλις ἔφθασε, κτυπᾷ τὴν θύραν καὶ τοῦ λέγει· Λυπήσου με, Γέροντά μου καὶ ἄνοιξέ μου.

Ὁ Γέρων ὅμως δὲν ἤνοιξε, ἕως ὅτου ἐξημέρωσε.

Τὸ πρωΐ, ποὺ ἤνοιξε, τὸν εὗρε νὰ τὸν παρακαλῇ μὲ δάκρυα καὶ νὰ τοῦ λέγῃ·

— Σὲ παρακαλῶ, λυπήσου με καὶ δέξου με νὰ μένω κοντά σου· διότι εἶδον, καθὼς ἐπήγαινα νὰ κοιμηθῶ, ἕναν ἀράπη ἄγριον, νὰ τρίζῃ τὰ δόντια του καὶ νὰ εἶναι ἐξαπλωμένος εἰς τὴν ψάθαν μου καὶ δὲν ἠμπορῶ πλέον νὰ κατοικήσω ἐκεῖ.

Ὁ Γέρων τὸν ἐλυπήθη καὶ τὸν ἔβαλε μέσα εἰς τὸ κελλί του. Τοῦ

καθώρισε δὲ κανόνα μοναχικῆς ζωῆς, ἀνάλογον μὲ τὴν δύναμίν του. Ὀλίγον δὲ κατ' ὀλίγον, ἔγινεν οὗτος ἕνας καλὸς καὶ ἐνάρετος Μοναχός.

3. Ἕνας ἀδελφός, ποὺ παρέμενεν εἰς τὰ κελλία, ἐταράσσετο μόνος του ἀπὸ τοὺς λογισμούς. Μεταβὰς πρὸς τὸν Ἀββᾶν Θεόδωρον τῆς Φέρμης, τοῦ ἀνέφερε τί ἔπαθε. Ἀφοῦ τὸν ἤκουσεν ὁ Γέρων, τοῦ εἶπε:

— Πήγαινε, ταπείνωσε τὸν λογισμόν σου, νὰ ὑποταχθῇς καὶ νὰ μείνῃς μαζὶ μὲ ἄλλους ἀδελφούς.

Ὁ Μοναχὸς ἔκαμεν ὅπως τοῦ εἶπεν ὁ Γέρων. Μετὰ ὅμως ἀπὸ ὀλίγον ἐπέστρεψε πάλιν εἰς τὸν Γέροντα καὶ τοῦ εἶπε:

— Γέροντα, οὔτε μαζὶ μὲ τοὺς ἀνθρώπους ἀναπαύομαι.

Ὁ Ἀββᾶς Θεόδωρος τοῦ ἀπήντησεν:

—Ἐὰν δὲν ἀναπαύεσαι οὔτε μόνος, ἀλλ' οὔτε καὶ τοὺς ἀνθρώπους ὑπομένεις, τότε διατί ἔγινες Μοναχός; Δὲν ἔγινες, διὰ νὰ ὑποφέρῃς τὰς θλίψεις; Εἰπέ μου πόσα ἔτη φέρεις τὸ Μοναχικὸν σχῆμα;

—Ὀκτώ, ἀπήντησεν ὁ Μοναχός.

—Ἀδελφὲ γνήσιε, — ἀπήντησεν ὁ Ἀββᾶς Θεόδωρος — φέρω τὸ Μοναχικὸν σχῆμα ἑβδομῆντα ὁλόκληρα ἔτη καὶ ποτὲ δὲν ἠμπόρεσα νὰ εὕρω ἀνάπαυσιν, οὔτε μίαν ἡμέραν· καὶ σὺ μόνον εἰς ὀκτὼ ἔτη θέλεις νὰ ἀποκτήσῃς τὴν τελείαν ἀνάπαυσιν;

Ὁ Μοναχὸς ἔλαβε δύναμιν ἀπὸ τοὺς λόγους τοῦ Γέροντος καὶ ἀνεχώρησεν.

4. Διηγοῦντο διὰ τὸν Ἀββᾶν Θεόδωρον καὶ τὸν Ἀββᾶν Λούκιον, ποὺ ἔμεναν εἰς τὸ Ἔνατον * Ἀλεξανδρείας, ὅτι ἐνοχλούμενοι, ἐπὶ πεντήκοντα ἔτη, ὑπὸ λογισμῶν ἀναχωρήσεως, ἐνέπαιζον τοὺς λογισμοὺς καὶ τοὺς ἔλεγον· Ὅταν περάσῃ αὐτὸς ὁ χειμώνας, ἀναχωροῦμεν ἀπ' ἐδῶ· ὅταν πάλιν ἤρχετο τὸ καλοκαίρι ἔλεγον· Ὅταν περάσῃ αὐτὸ τὸ καλοκαίρι φεύγομεν. Ἐξαπατῶντες, μὲ τὰς ἀναβολὰς αὐτάς, τοὺς λογισμούς, παρέμειναν εἰς τὸν τόπον ὅπου ἠσκοῦντο μέχρι τοῦ θανάτου των.

Ζ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΑΔΕΛΦΕ, οὐδεὶς δύναται νικῆσαι τὰ πάθη, εἰμὴ δι' ἀρετῶν αἰσθητῶν, ἤτοι σωματικῶν καὶ θεωρουμένων· ὁμοίως καὶ τοῦ μετεωρισμοῦ τοῦ νοὸς οὐκ ἔστιν ἄλλως περιγενέσθαι, εἰμὴ τῇ ἀδολεσχίᾳ τῆς γνώσεως τῆς πνευματικῆς, ἢ τινος φροντίδος κατὰ Θεόν· ὁ γὰρ νοῦς ἡμῶν κοῦφός ἐστι καὶ ἐὰν μὴ δεσμευθῇ ἔν τινι διαλογισμῷ, οὐ παύεται ἐκ τοῦ μετεωρισμοῦ. Εἰ γὰρ μὴ νικήσῃ πρότερον τοὺς ἐχθρούς, πῶς ἐν εἰρήνῃ ἔσται; καὶ ἐὰν ἡ εἰρήνη οὐ βασιλεύῃ ἐν αὐτῷ, πῶς δύναται εὑρεῖν καὶ κατανοῆσαι τὰ ἐντὸς τῆς εἰρήνης ἀποκείμενα; Τὰ γὰρ πάθη, διάφραγμά εἰσι τῶν κρυπτῶν ἀρετῶν τῆς ψυχῆς· καὶ εἰ μὴ ταῦτα πρότερον διὰ τῶν φανερῶν ἀρετῶν κατα-

---

* Ἔνατον ἦτο ὄνομα μοναστηρίου εἰς τὴν Αἴγυπτον, ὅπερ ἔλαβε τὸ ὄνομα τοῦτο ἐκ τοῦ σημείου εἰς τὸ ὁποῖον εὑρίσκετο, ἤτοι τὸ Ἔνατον ἀπὸ Ἀλεξανδρείας. Βλέπε περὶ τοῦ Μοναστηρίου τούτου καὶ ἐν τῷ βίῳ τῆς Ὁσίας Θεοδώρας σελ. 572.

πέσωσι, τὰ ἔσωθεν αὐτῶν οὐχ ὁρῶνται· οὐδὲ γὰρ δύναταί τις ἔξω τοῦ τείχους ὤν, μετὰ τῶν ἔνδον συναναστρέφεσθαι· καὶ οὐδεὶς θεωρεῖ τὸν ἥλιον ἐν τῷ γνόφῳ, οὐδὲ τὰς ἀρετὰς τῆς ψυχῆς, ἐπικειμένης ἔτι τῆς ἀχλύος τῶν παθῶν.

Εὖξαι τῷ Θεῷ δοῦναί σοι αἰσθανθῆναι τῆς ἐφέσεως τοῦ πνεύματος καὶ ἐπιποθήσεως· καὶ ὅταν ἔλθῃ σοι αὕτη ἡ αἴσθησις, τότε ἀληθῶς ἀφίστασαι τοῦ κόσμου, καὶ ὁ κόσμος ἀφίσταται ἀπὸ σοῦ, ἤγουν ἡ ὑλικὴ προσπάθεια. Πλὴν ἐν ἱδρῶτι εὐδόκησεν ὁ σοφὸς Κύριος τοῦτον τὸν ἄρτον τοῖς ζητοῦσιν εὑρίσκεσθαι, καὶ τοῦτο συμφερόντως, ἵνα μὴ πρὸ καιροῦ μεταλαβοῦσιν ἡμῖν ἐξ αὐτοῦ, γένηται ἀπεψία καὶ ἀποθάνωμεν. Αἱ οὖν ἀρεταὶ ἐξ ἀλλήλων γεννῶνται· καὶ ἐὰν ἀφήσας τοῦ κτήσασθαι πρότερον τὰς μητέρας, σπουδάσῃς τὰς θυγατέρας λαβεῖν, ἔχιδναι αὗται εὑρίσκονται τῇ ψυχῇ σου, ἐὰν μὴ συντόμως ῥίψῃς αὐτὰς ἀπὸ σοῦ.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, κανεὶς δὲν ἠμπορεῖ νὰ νικήσῃ τὰ πάθη, παρὰ μόνον μὲ αἰσθητὰς ἀρετάς, δηλαδὴ σωματικὰς καὶ βλεπομένας. Ὁμοίως καὶ τὴν ὑπερηφάνειαν τοῦ νοῦ δὲν ἠμπορεῖ κανεὶς κατ' ἄλλον τρόπον νὰ νικήσῃ, παρὰ μόνον μὲ τὴν λεπτότητα τῆς πνευματικῆς γνώσεως, ἢ μὲ κάποιαν, κατὰ Θεόν, ἀπασχόλησιν· διότι ὁ νοῦς μας εἶναι ἐλαφρὸς καὶ ἐὰν δὲν δεσμευθῇ μὲ κάποιαν σοβαρὰν σκέψιν καὶ ἀπασχόλησιν, δὲν παύει νὰ μετεωρίζεται καὶ νὰ ὑπερηφανεύεται. Διότι ἐὰν προηγουμένως δὲν νικήσῃ τοὺς ἐχθρούς, πῶς θὰ ἀπολαύσῃ τὴν εἰρήνην; Καὶ ἐὰν ἡ εἰρήνη δὲν βασιλεύσῃ μέσα εἰς τὸν νοῦν, πῶς θὰ ἠμπορέσῃ νὰ εὕρῃ καὶ νὰ κατανοήσῃ ὅσα ἀγαθὰ εὑρίσκονται μέσα εἰς τὴν εἰρήνην;

Διότι τὰ πάθη εἶναι τὸ σκέπασμα τῶν κρυμμένων ἀρετῶν τῆς ψυχῆς· καὶ ἐὰν προηγουμένως δὲν κατανικηθοῦν αὐτὰ τὰ πάθη, διὰ τῶν φανερῶν ἀρετῶν, δὲν φαίνονται, ὅσαι ἀρεταὶ σκεπάζονται κάτω ἀπὸ αὐτά. Ἄλλωστε οὔτε καὶ ἠμπορεῖ κανείς, εὑρισκόμενος ἔξω ἀπὸ τὸ τεῖχος, νὰ συναναστρέφεται μὲ ὅσους εὑρίσκονται ὄπισθεν τοῦ τείχους, εἰς τὸ ἐσωτερικόν. Κανείς, ἐπίσης, δὲν βλέπει τὸν ἥλιον μέσα εἰς τὴν σκοτεινιά, οὔτε καὶ τὰς ἀρετὰς τῆς ψυχῆς, ὅταν σκεπάζωνται ἀπὸ τὴν ὁμίχλην τῶν παθῶν.

Παρακάλεσε τὸν Θεὸν νὰ σοῦ δώσῃ τὴν δύναμιν νὰ αἰσθανθῇς τὴν ἐπιθυμίαν τοῦ πνεύματος καὶ σφοδρῶς νὰ τὸ ποθήσῃς. Καὶ ὅταν σοῦ ἔλθῃ αὐτὴ ἡ αἴσθησις, τότε πραγματικῶς ἀπομακρύνεσαι ἀπὸ τὸν κόσμον καὶ ὁ κόσμος ἀπομακρύνεται ἀπὸ σέ, δηλαδὴ παύει νὰ ἐνεργῇ εἰς τὴν ψυχήν σου κάθε ὑλικὴ προσπάθεια. Πλὴν ὅμως ὁ σοφὸς Κύριος ἔκρινε καλὸν μὲ ἱδρῶτα νὰ ἀνευρίσκουν τὸν ἄρτον αὐτὸν ὅσοι τὸν ἐπιζητοῦν, καὶ τοῦτο πρὸς τὸ συμφέρον, μὴ τυχὸν μεταλαμβάνοντες πρὸ καιροῦ ἐξ αὐτοῦ, βαρυστομαχιάσωμεν καὶ ἀποθάνωμεν. Αἱ ἀρεταὶ λοιπὸν γεννῶνται αἱ μὲν ἀπὸ τὰς δέ· ἐὰν δὲ παραμελήσῃς νὰ ἀποκτήσῃς προηγουμένως τὰς μητέρας, καὶ σπεύσῃς νὰ λάβῃς τὰς θυγατέρας, αὗται εὑρίσκονται ὡς ἔχιδναι εἰς τὴν ψυχήν σου, ἐὰν δὲν τὰς πετάξῃς συντόμως ἀπὸ τὴν ψυχήν σου.

Η'. Τοῦ Ἀββᾶ Βαρσανουφίου

ΑΔΕΛΦΟΣ τις ἐν ἡσυχίᾳ καθήμενος καὶ ἀναγνοὺς εἰς τὰ γεροντικά, ὅτι ὀφείλει ὁ θέλων ἐν ἀληθείᾳ σωθῆναι, πρῶτον μετὰ τῶν ἀνθρώπων βαστάξαι ὕβρεις, ἐξουδενώσεις, ἀτιμίας, καὶ ἁπλῶς πρότερον τὰς αἰσθήσεις αὐτοῦ διορθώσασθαι καὶ ἐλευθερωθῆναι τοῦ δι' αὐτῶν πολέμου, καὶ τότε ἐλθεῖν ἐπὶ τὴν τελείαν ἡσυχίαν, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐποίησεν, ἀτιμασθεὶς πρότερον καὶ ἐξουδενωθείς, καὶ οὕτως ἐλθὼν ἐπὶ τὸν σταυρόν, ὅς ἐστι νέκρωσις τῆς σαρκὸς καὶ τῶν παθῶν καὶ κατάπαυσις τελεία ἁγία, εἶπε πρὸς ἑαυτόν· ἐγὼ ὁ ἄθλιος ἓν τούτων οὐκ ἐποίησα, ἀλλὰ ἀπὸ τῆς ἀσθενείας μου σκανδαλίζων ἅπαντας ἀνεχώρησα ἀπὸ τῶν ἀνθρώπων. Τάχα οὖν ὀφείλω πάλιν ἐλθεῖν εἰς τὸ μέσον τῶν ἀνθρώπων καὶ βοηθοῦντος τοῦ Θεοῦ ποιῆσαι, ὡς εἶπον οἱ Πατέρες, καὶ οὕτως εἰσελθεῖν εἰς τὴν ἡσυχίαν, ἵνα μὴ εἰς καιρὸν γένηται ὁ κόπος μου; καὶ ἀνήγγειλε ταῦτα τῷ γέροντι.

Ὁ δὲ ἀπεκρίθη αὐτῷ οὕτω· καλῶς εἶπον οἱ Πατέρες, καὶ ἄλλως οὐκ ἔστιν, ἀλλ' ἐπειδὴ πολλαὶ γίνονται προφάσεις, ἐν αἷς νομίζει ὁ ἄνθρωπος καλῶς ποιεῖν, καὶ εὑρίσκεται βλαπτόμενος δι' ἑτέρας προφάσεως, χρὴ ἀσφαλίζεσθαι ἑαυτόν· ἔφθασας γὰρ καθίσαι, καὶ ἐὰν ἔλθῃς εἰς τὸ μέσον, γεννᾷ σοι κενοδοξίαν· καὶ τάχα οὐδ' ἐστήκει μετὰ σοῦ τὸ εἶναι ἐν τῷ μέσῳ, καὶ δύο κακὰ γίνεται· ἀλλ' ἐὰν μέμφῃ ἑαυτὸν ὡς μὴ ποιήσαντα τὸ ὀφειλόμενον τῇ ἀνόδῳ τοῦ σταυροῦ, λέγων, ἐν ἀγνωσίᾳ ἐκάθισα, οἶδεν ἡ μέμψις ὑβρίσαι καὶ ἀτιμάσαι ἑαυτήν· καὶ εἴθ' οὕτως ἐνεγκεῖν τὸν αὐτὴν δεχόμενον εἰς τὸ μέτρον τοῦ σταυροῦ ἐν ἀληθείᾳ.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ἀδελφός, ποὺ ἡσύχαζε μόνος του εἰς τὸ κελλίον του, ἀνέγνωσεν εἰς τὰ γεροντικὰ ὅτι ἐκεῖνος ποὺ θέλει πραγματικὰ νὰ σωθῇ, πρέπει πρῶτον, συναναστρεφόμενος μὲ τοὺς ἀνθρώπους, νὰ ἀνθέξῃ εἰς τὰς ὕβρεις, τὰς περιφρονήσεις, τὰς προσβολὰς καί, μὲ μίαν λέξιν, νὰ διορθώσῃ προηγουμένως τὰς αἰσθήσεις του καὶ νὰ ἐλευθερωθῇ ἀπὸ τὸν δι' αὐτῶν πόλεμον. Τότε δὲ μόνον θὰ φθάσῃ εἰς τὴν τελείαν ἡσυχίαν, ὅπως ἔκαμε καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ὁποῖος προηγουμένως ἠτιμάσθη, ἐταπεινώθη ἀφαντάστως καὶ ἔτσι ἀνῆλθεν ἐπάνω εἰς τὸν Σταυρόν, ποὺ εἶναι νέκρωσις τῆς σαρκὸς καὶ τῶν παθῶν καὶ κατάπαυσις τελεία, ἁγία.


Ἀφοῦ τὰ ἐμελέτησεν ὅλα αὐτὰ ὁ ἡσυχαστὴς ἀδελφὸς εἶπεν εἰς τὸν ἑαυτόν του· ἐγὼ ὁ ἄθλιος οὔτε ἕνα δὲν ἔκαμα ἀπὸ ὅλα αὐτά, ἀλλ' ἀνεχώρησα ἀπὸ τοὺς ἀνθρώπους, ἀφοῦ ἐσκανδάλιζα ὅλους μὲ τὴν ἀδυναμίαν μου. Ἄραγε λοιπὸν μήπως πρέπει νὰ ἐπιστρέψω καὶ πάλιν μεταξὺ τῶν ἀνθρώπων καί, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ ἐκτελέσω ὅσα εἶπον οἱ Πατέρες, καὶ κατόπιν νὰ εἰσέλθω εἰς τὴν ἡσυχίαν, διὰ νὰ μὴ πηγαίνῃ χαμένος ὁ κόπος μου; Ἐξωμολογήθη ἀμέσως τὰς σκέψεις του αὐτὰς εἰς τὸν Γέροντα.

Ὁ Γέρων, ἀφοῦ τὸν ἤκουσε μετὰ προσοχῆς, τοῦ εἶπεν. Οἱ Πατέρες καλὰ τὰ εἶπον ὅλα αὐτὰ καὶ δὲν γίνεται νὰ σωθῇ κανεὶς κατ' ἄλλον

τρόπον· ἐπειδὴ ὅμως ὑπάρχουν πολλαὶ δικαιολογίαι, μὲ τὰς ὁποίας ὁ ἄνθρωπος νομίζει ὅτι ἐνεργεῖ καλῶς καὶ εἰς τὸ τέλος θεωρεῖ, δι' ἄλλης δικαιολογίας, τὸν ἑαυτόν του βλαπτόμενον, πρέπει νὰ ἀσφαλίζεται καλῶς. Ἐφ' ὅσον δηλαδὴ κατώρθωσες νὰ καθίσῃς ἐπὶ τόσα ἔτη εἰς τὴν ἡσυχίαν, ἐὰν ἐπανέλθῃς πάλιν μεταξὺ τῶν ἀνθρώπων, ὁ λογισμός σου γεννᾷ κενοδοξίαν. Καὶ πράγματι δὲν ἁρμόζει εἰς ἐσὲ νὰ εὑρίσκεσαι μέσα εἰς τὸν κόσμον, ὁπόταν δημιουργοῦνται δύο κακά.

Ἀλλ' ἐὰν ὅμως αὐτοκατηγορῆσαι, διότι δὲν ἔκανες προηγουμένως αὐτὸ ποὺ ἐπεβάλλετο διὰ νὰ ἀνέλθῃς εἰς τὸν σταυρόν, λέγων, ὅτι ἐμόνασα χωρὶς νὰ γνωρίζω (τὸ χρέος μου), γνωρίζει ἡ αὐτομεμψία νὰ ὑβρίζῃ καὶ νὰ ἐξουδενώνῃ ἑαυτήν· καὶ μὲ αὐτὸν τὸν τρόπον κατόπιν φέρνει τὸν δεχόμενον αὐτὴν εἰς τὸ μέτρον τοῦ ἀληθινοῦ σταυροῦ τῆς ἀσκήσεως.





ΥΠΟΘΕΣΙΣ ΜΒ'

Ὅτι οὐ δεῖ ἐριστικῶς ἀντιλέγειν οὐδ' ἐν αὐτοῖς τοῖς δοκοῦσιν εἶναι καλοῖς, ἀλλὰ τῷ πλησίον διὰ τὸν Θεὸν ὑποτάσσεσθαι κατὰ πάντα.

Ὅτι δὲν πρέπει νὰ ἀντιλέγωμεν μὲ τρόπον φιλόνεικον οὐδὲ δι' ἐκεῖνα, ποὺ θεωροῦνται καλά, ἀλλά, χάριν τοῦ Θεοῦ, νὰ ὑποτασσώμεθα, εἰς ὅλα, εἰς τὸν πλησίον.



Α'. Ἐν τῷ βίῳ τοῦ Ὁσίου Συμεὼν τοῦ ἐν τῇ Μάνδρᾳ



ΝΙΚΑ τὴν καινὴν ὁ Συμεὼν ἐπὶ τοῦ κίονος πολιτείαν ἐπενοήσατο, πανταχοῦ τῆς κατ' αὐτὸν φήμης ὀξέως διαδοθείσης, οἱ τὴν ἔρημον οἰκοῦντες θεῖοι Πατέρες τῷ καινοφανεῖ τούτῳ καταπλαγέντες καὶ ξενικῷ τοῦ ἐπιτηδεύματος, στέλλουσί τινας πρὸς αὐτόν· καὶ ἐν τούτοις ἐντέλλονται τῆς ξένης μὲν αὐτῷ ἐπινοίας ἐπιτιμῆσαι, διδάξαι δὲ τὴν τετριμμένην καὶ συνήθη τοῖς ἁγίοις πορεύεσθαι καὶ μὴ ταύτης καταφρονεῖν, ἣν χορὸς τοσοῦτος μακαρίων ὁδεύσας, πρὸς οὐρανούς τε ἀνεληλύθει καὶ σκηνῶν ἐκείνων τῶν ἀϊδίων ἐπέβησαν. Εἶτα δείσαντες μὴ τὸ ἐννόημα θεάρεστον ᾖ, οἱ δὲ ἀνθρωπίνως τὸ πρᾶγμα στοχάζονται, καὶ τοῦτο ἐπισκήπτουσι τοῖς ἀπεσταλμένοις, ὡς εἰ μὲν ἴδοιεν τὸν ἄνδρα τοῦ οἰκείου θελήματος ἐξιστάμενον, καὶ πρὸς τὴν ἐκεῖθεν εἴκοντα κάθοδον, ἐπέχειν τοῦτον εὐθύς, καὶ κελεύειν ἔχεσθαι τῆς προθέσεως.

Οὕτω γὰρ ἂν θείαν τε εἶναι ᾤοντο τὴν οἰκονομίαν, καὶ οὐκέτι περὶ τοῦ μέλλοντος ἐνδοιάζοντες ἦσαν, ὡς οὐκ ἀγαθὸν ἀρχῇ τοιαύτῃ ἀπαντήσει καὶ τέλος. Εἰ δὲ δυσανασχετῶν εἴη καὶ οὐδὲ ὀλίγα τῆς συμβουλῆς ἀνεχόμενος, ἀλλ' ἁπλῶς οὕτω καὶ ἀλογίστως τῷ οἰκείῳ θελήματι ἕποιτο, δῆλον ὡς μακρὰν τῆς ταπεινοφροσύνης ἐστὶ πάντως ἔλεγον· ὃ τίς ἂν μὴ οὐχὶ τὸν πονηρὸν αὐτῷ τοὺς λογισμοὺς τούτους ὑποβεβληκέναι φαίη; ἔνθεν τοι καὶ κατασπᾶν τοῦτον, εἰ οὕτως ἔχοι, ἐκέλευον, καὶ ἄκοντα κατάγειν τοῦ κίονος.

Οὕτω τῆς ἐντολῆς ἐχούσης, ἐπειδὴ οἱ πρέσβεις πρὸς τὸν τῆς ὑπακοῆς καὶ τῆς ταπεινοφροσύνης πατέρα Συμεὼν ἀφίκοντο, οὗτοι μὲν ἀπ' αὐτῆς θέας τε καὶ προσαγορεύσεως αἰδοῦς πρὸς αὐτὸν ἐπλήσθησαν, καὶ οὐκέτι οὐδὲ ἀντιβλέπειν οἷοί τε ἦσαν· ὅμως διά τε τὴν τῶν ἀπεσταλκότων Πατέρων ἐντολὴν καὶ αὐτὸ δὴ τοῦτο τὸ τῆς


διακονίας καλόν, καταλέγουσιν αὐτῷ πάντα τὰ ὑπ' ἐκείνων εἰρημένα. Ὁ δὲ πράως ὁ πρᾶος τῷ ὄντι καὶ ταπεινὸς τῇ καρδίᾳ τὴν ἐπιτίμησιν ἐνεγκών, οὐκ ἀντεῖπεν, οὐκ ἠγανάκτησεν, οὐδὲ ἔσυρε ταύτην, οὐ μικρὸν οὐδὲν οὐδὲ μέγα ἐφθέγξατο· ἀλλ' ὅτι μάλιστα ἱλαρῷ καὶ κάτω βλέποντι νεύματι τὴν ἐπιτίμησιν ἀποδεξάμενος, τῷ Θεῷ τὴν εὐχαρισίαν ἀποδοὺς καὶ χάριν τῆς περὶ αὐτὸν φροντίδος τοῖς Πατράσιν ὁμολογήσας, μὴ μελήσας μηδέν, κατιέναι τοῦ στύλου ἐπεχείρει. Οἱ δὲ ἐπέχοντες αὐτίκα καὶ τὴν τῶν Πατέρων αὐτῷ ἀνεκάλυψαν γνώμην· εἶτα μόνιμον μὲν καὶ διηνεκῆ τὴν ἐπὶ τοῦ κίονος στάσιν, χρηστὸν δὲ τέλος καὶ βεβαίαν τῶν συνεχῶν πόνων ἀνάπαυσιν τῷ Συμεὼν ἐπευξάμενοι, ἀπηλλάγησαν.

Ἑ ρ μ η ν ε ί α

ΟΤΑΝ ὁ ἅγιος Συμεὼν ἐσκέφθη νὰ ἐφαρμόσῃ, ὡς τρόπον ἀσκήσεως, τὸ πρωτάκουστον νὰ ζήσῃ ἐπάνω εἰς ἕνα στῦλον, καὶ διεδόθη ταχέως ἡ φήμη του εἰς ὅλην τὴν ἔρημον, κατεπλάγησαν οἱ Ἀσκηταὶ ἀπὸ αὐτὸ τὸ παράδοξον καὶ ἀσυνήθιστον πρᾶγμα καὶ στέλλουν μερικοὺς ἀντιπροσώπους των πρὸς αὐτόν. Εἰς τοὺς ἀντιπροσώπους των αὐτοὺς δίδουν ἐντολὴν ἀφ' ἑνὸς μὲν νὰ ἐπιτιμήσουν τὸν ἅγιον Συμεών, διὰ τὴν περίεργον αὐτὴν ἐφεύρεσίν του, ἀφ' ἑτέρου δὲ νὰ τὸν διδάξουν νὰ πορεύεται εἰς τὴν συνηθισμένην καὶ χαραγμένην, ἀπὸ τοὺς ἁγίους Πατέρας, ὁδὸν τῆς ἀσκήσεως καὶ νὰ μὴ τὴν περιφρονῇ, ἀφοῦ δι' αὐτῆς ἀνῆλθον πρὸς τοὺς οὐρανοὺς πλήθη μακαρίων ἀσκητῶν καὶ ἀνεπαύθησαν εἰς τὰς εὐτυχισμένας σκηνὰς τοῦ Παραδείσου.

Ἔπειτα ὅμως, ἐπειδὴ ἐφοβήθησαν, μὴ τυχὸν ἡ πρᾶξις αὐτὴ τοῦ ἁγίου Συμεὼν ἦτο θεάρεστος, ἐνῷ αὐτοὶ σκέπτονται τὴν ὑπόθεσιν ὡς ἄνθρωποι, παραγγέλλουν καὶ τοῦτο εἰς τοὺς ἀντιπροσώπους των: Ἂν ἴδουν τὸν ἄνδρα νὰ ἀπομακρύνεται ἀμέσως ἀπὸ τὸ θέλημά του καὶ νὰ καταβαίνῃ ἀπὸ τὸν στῦλον ἀπὸ ὑπακοὴν πρὸς αὐτούς, νὰ τὸν συγκρατήσουν ἀμέσως καὶ νὰ τὸν διατάξουν νὰ παραμείνῃ σταθερῶς εἰς τὴν ἀπόφασίν του. Διότι ἔτσι θὰ ἐπείθοντο, ὅτι ἦτο θεϊκὴ ἡ οἰκονομία, ἡ περὶ τὸν ἅγιον Συμεών, καὶ δὲν θὰ ἐφοβοῦντο διὰ τὸ μέλλον, ὅτι δὲν θὰ εἶχε καλὸν τέλος μία τοιαύτη ἀρχὴ ἀσκήσεως. Ἐὰν ὅμως ὁ ἅγιος Συμεὼν θὰ δυσανασχετοῦσε καὶ δὲν θὰ ἠνείχετο οὔτε ὀλίγον νὰ ἀκούσῃ συμβουλάς, ἀλλὰ πεισματικῶς καὶ χωρὶς πολλὴν σκέψιν θὰ ἀκολουθοῦσε τὸ θέλημά του, θὰ ἐγίνετο πλέον φανερόν, ὅτι εὑρίσκεται μακρὰν τῆς ταπεινοφροσύνης· ὁπόταν ποῖος δὲν θὰ ἔλεγεν, ὅτι ὁ πονηρὸς τοῦ ἐνέβαλεν αὐτὴν τὴν σκέψιν; Εἰς τὴν περίπτωσιν αὐτὴν οἱ Πατέρες τῆς ἐρήμου διέτασσον τοὺς ἀντιπροσώπους των καὶ μὲ βίαν ἀκόμη νὰ τὸν καταβιβάσουν ἀπὸ τὸν στῦλον, ἔστω καὶ ἐὰν δὲν θέλῃ μόνος του.

Ἀφοῦ ἔλαβον αὐτὴν τὴν ἐντολὴν ἔφθασαν οἱ Πρέσβεις τῶν Ἀσκητῶν πρὸς τὸν Πατέρα τῆς ταπεινοφροσύνης καὶ τῆς ὑπακοῆς Συμεών· μόλις ὅμως οὗτοι τὸν εἶδον καὶ τὸν ἐχαιρέτησαν, κατελήφθησαν ἀπὸ σεβασμὸν πρὸς αὐτὸν καὶ δὲν ἠμποροῦσαν οὔτε κατὰ πρόσωπον νὰ τὸν κοιτάξουν. Ὅμως διὰ τὴν ἐντολὴν τῶν Πατέρων, ποὺ τοὺς ἀπέστειλαν καὶ


Ο ΑΓΙΟΣ
ΣΥΜΕΩΝ
Ο ΣΤΥΛΙΤΗΣ
Δ. ΡΙΤΣΟΣ

χάριν αὐτοῦ τούτου τοῦ καλοῦ τῆς ἐντολῆς, ποὺ ἀνέλαβον, λέγουν εἰς αὐτὸν λεπτομερῶς ὅλα ὅσα τοὺς εἶχον εἴπει οἱ Πατέρες. Ὁ ἅγιος Συμεών, πρᾶος πράγματι καὶ ταπεινὸς κατὰ τὴν καρδίαν, ἤκουσε μὲ πραότητα τὴν ἐπιτίμησιν, χωρὶς οὐδεμίαν ἀντίρρησιν· οὔτε ἠγανάκτησεν, οὔτε τὴν συνεζήτησεν, οὔτε εἶπε τίποτε, μικρὸν ἢ μεγάλον.

Ἀλλ' ἐδέχθη ἀμέσως τὴν ἐπιτίμησιν καὶ μὲ χαμηλωμένους τοὺς ὀφθαλμοὺς καὶ βλέμμα καλωσύνης ηὐχαρίστησε τὸν Θεόν, ἐξεδήλωσε τὴν εὐγνωμοσύνην του πρὸς τοὺς Πατέρας διὰ τὰς περὶ αὐτοῦ φροντίδας των καὶ χωρὶς καθόλου νὰ διστάσῃ, ἐπεχείρησε νὰ καταβῇ ἀπὸ τὸν στῦλον. Οἱ πρέσβεις τότε τὸν συγκρατοῦν ἀμέσως καὶ τοῦ ἐφανέρωσαν τὴν τελικὴν γνώμην τῶν Πατέρων. Κατόπιν αὐτοῦ εὐχηθέντες εἰς τὸν ἅγιον Συμεὼν νὰ παραμείνῃ μονίμως καὶ διαρκῶς ἐπάνω εἰς τὸν στῦλον τῆς ἀσκήσεως, νὰ ἔχῃ καλὸν τέλος καὶ νὰ εὕρῃ βεβαίαν ἀπὸ Θεοῦ τὴν ἀνάπαυσιν διὰ τοὺς συνεχεῖς κόπους του, ἀνεχώρησαν.

Β'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ποιμήν, ὅτι τὸ θέλημα τοῦ ἀνθρώπου τεῖχός ἐστι χαλκοῦν ἀναμέσον αὐτοῦ καὶ τοῦ Θεοῦ, καὶ πέτρα ἀντιδέρουσα. Ἐὰν οὖν καταλείψῃ αὐτὸ ἄνθρωπος, λέγει καὶ αὐτός· «ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος»· ἐὰν δὲ τὸ δικαίωμα συνέλθῃ τῷ θελήματι, κάμνει ὁ ἄνθρωπος.

2. Εἶπε γέρων, ὅτι ἡ ἔρις παραδίδωσι τὸν ἄνθρωπον τῇ ὀργῇ, καὶ ἡ ὀργὴ παραδίδωσιν αὐτὸν τῇ τυφλώσει, ἡ δὲ τύφλωσις ποεῖ αὐτὸν πᾶν κακὸν ἐργάσασθαι.

3. Ἠρωτήθη ὁ Ἀββᾶς Ἀμμωνᾶς, τίς ἐστιν ἡ ὁδὸς ἡ στενὴ καὶ τεθλιμμένη· καὶ ἀποκριθεὶς εἶπεν· ἡ ὁδὸς ἡ στενὴ καὶ τεθλιμμένη ἐστὶ τὸ βιάζεσθαι τοὺς λογισμοὺς ἑαυτοῦ, καὶ κόπτειν διὰ τὸν Θεὸν τὰ ἴδια θελήματα· καὶ τοῦτό ἐστι τὸ «ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι».

4. Διηγήσατο ὁ Ἀββᾶς Ἰωάννης, ὅτι ὁ Ἀββᾶς Ἀνοὺβ καὶ ὁ Ἀββᾶς Ποιμήν, καὶ ἕτεροι πέντε, ὑπῆρχον ἀδελφοὶ κατὰ σάρκα, καὶ ᾤκησαν τὸ πρῶτον ἐν σκήτει· εἶτα ὡς ἠρημώθη ὑπὸ τῶν Μαζίκων ἡ Σκῆτις, τὸ πρότερον ἀνεχώρησαν ἐκεῖθεν, καὶ ἦλθον εἰς τόπον τινὰ Τερεμουθὶν λεγόμενον, ἐν ᾧ ἦν εἰδωλεῖον, εἰς ὃ εἰσῆλθον καὶ ἔμειναν πρὸς βραχὺ ἕως οὗ σκοπήσωσι ποῦ ὤφειλον ἀπελθεῖν· εἶπε δὲ ὁ Ἀββᾶς Ἀνοὺβ, ὃς ἦν πρῶτος τῶν ἄλλων, τῷ Ἀββᾷ Ποιμένι· ποίησον ἀγάπην σὺ καὶ οἱ ἀδελφοί σου, καὶ ἕκαστος ἡμῶν ἡσυχασάτω καθ' ἑαυτόν, καὶ μὴ ὑπαντήσωμεν ἀλλήλοις τὴν ἑβδομάδα ταύτην. Ἀπεκρίθη ὁ Ἀββᾶς Ποιμήν· ὡς θέλεις ποιοῦμεν· καὶ ἐποίησαν οὕτως.

Ἦν δὲ ἐκεῖ ἄγαλμα λίθινον, καὶ ἐν ἑκάστῃ πρωΐᾳ ὁ Ἀββᾶς Ἀνοὺβ ἐλιθοβόλει τὸ πρόσωπον τοῦ ἀγάλματος· καὶ καθ' ἑσπέραν ἔλεγεν αὐτῷ· συγχώρησόν μοι· καὶ ἐποίει οὕτως ἐν πάσῃ τῇ ἑβδομάδι. Τῷ δὲ Σαββάτῳ ἀπήντησαν ἀλλήλοις· καὶ εἶπεν ὁ Ἀββᾶς Ποιμὴν τῷ Ἀββᾷ Ἀνούβ· εἶδόν σε, Ἀββᾶ, τῇ ἑβδομάδι ταύτῃ λιθάζοντα τὸ πρόσωπον τοῦ ἀγάλματος, καὶ μετὰ τοῦτο μετάνοιαν αὐτῷ ποιοῦντα· εἰπέ μοι οὖν· πιστὸς ἄνθρωπος ταῦτα ποιεῖ;

Ἀπεκρίθη ὁ γέρων· τοῦτο δι' ὑμᾶς ἐποίησα· ὡς γὰρ εἴδετέ με λιθοβολοῦντα τὸ πρόσωπον τοῦ ἀγάλματος, μὴ ἐλάλησεν ἢ ὠργίσθη; Ἀπεκρίθη ὁ Ἀββᾶς Ποι-

μήν· οὔ. Ὁ δὲ γέρων· πάλιν δὲ ὡς ἔβαλλον αὐτῷ μετάνοιαν, μὴ ἐταράχθη καὶ εἶπεν οὐ συγχωρῶ; Λέγει ἐκεῖνος· οὔ· καὶ φησὶν ὁ γέρων· καὶ ἡμεῖς οὖν, ἀδελφοί, εἰ θέλετε ἵνα μείνωμεν μετ' ἀλλήλων, γενώμεθα ὥς περ τὸ ἄγαλμα τοῦτο, ὅπερ ἐὰν ὑβρισθῇ ἢ δοξασθῇ, οὐ ταράσσεται· εἰ δὲ οὐ θέλετε γενέσθαι οὕτως, ἰδοὺ τέσσαρες πύλαι εἰσὶν ἐν τούτῳ τῷ ἱερῷ· ἕκαστος ὑμῶν ὅπου θέλει ἀπελθέτω· καὶ ὡς ἤκουσαν οἱ ἀδελφοί, ἔβαλον ἑαυτοὺς χαμαὶ λέγοντες αὐτῷ· ὡς θέλεις, Πάτερ, ποιοῦμεν καὶ ἀκούομεν ὡς λέγεις ἡμῖν.

Εἶπε δὲ ὁ Ἀββᾶς Ποιμήν, ὅτι ἐμείναμεν μετ' ἀλλήλων τὸν ἅπαντα χρόνον ἡμῶν, ἐργαζόμενοι κατὰ τὸν λόγον τοῦ γέροντος, ὃν εἶπεν ἡμῖν· κατέστησε δὲ αὐτὸς ἕνα ἐξ ἡμῶν οἰκονόμον, καὶ πᾶν ὃ ἐτίθει ἡμῖν ἠσθίομεν· καὶ ἀδύνατον ἦν εἰπεῖν τινα ἐξ ἡμῶν· φέρε ἡμῖν ἄλλο τίποτε, ἢ ὅτι θέλομεν τοῦτο φαγεῖν καὶ ἐποιοῦμεν πάντα τὸν χρόνον ἡμῶν ἐν ἀνέσει καὶ εἰρήνῃ.

5. Εἶπεν ὁ Ἀββᾶς Ἀλώνιος· εἰ μὴ τὸ ὅλον κατέστρεψα, οὐκ ἂν ἠδυνήθην ἐμαυτὸν οἰκοδομῆσαι· ἤγουν εἰ μὴ πᾶν ὃ ἐδόκει μοι ἀγαθὸν ἐκ τοῦ οἰκείου θελήματος κατέλιπον, οὐκ ἂν ἴσχυσα τὰς ἀρετὰς κτήσασθαι.

6. Ἠρωτήθη ὁ Ἀββᾶς Ποιμὴν ὑπὸ ἀδελφοῦ· πῶς ὀφείλω εἶναι ἐν τῷ τόπῳ ᾧ κατοικῶ; καὶ ἀπεκρίθη· ἔχε φρόνημα παροίκου, ὅπου ἐὰν παροικῇς, ἵνα μὴ ζητήσῃς τὸν λόγον σου ἔμπροσθεν ἔχειν, καὶ ἀναπαύῃ.

7. Εἶπε πάλιν· μὴ πληρώσῃς τὸ θέλημά σου· ἀναγκαῖον δέ ἐστι μᾶλλον ταπεινῶσαι ἑαυτὸν τῷ ἀδελφῷ σου.

8. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· τί ποιήσω; ἀπεκρίθη αὐτῷ ὁ γέρων· ὕπαγε, πλησίασον μετὰ τοῦ λέγοντος, τί θέλω ἐγώ; καὶ ἕξεις ἀνάπαυσιν· ἤγουν μίμησαι τὸν μὴ τὸ ἴδιον θέλημα θέλοντα, ἀλλὰ λέγοντα οὐδὲν θέλω ἐγώ, καὶ ἀναπαύῃ.

9. Εἶπέ τις τῶν Πατέρων διὰ τὴν ταπεινοφροσύνην παραβολήν, ὅτι αἱ κέδροι εἶπον τοῖς καλάμοις· πῶς ὑμεῖς, ἀσθενεῖς ὄντες καὶ ἀδύνατοι, οὐ κλᾶσθε ἐν τῷ χειμῶνι, ἡμεῖς δὲ τηλικαῦται οὖσαι συντριβόμεθα, ἔστι δὲ ὅτε καὶ ἐκριζούμεθα; καὶ ἀπεκρίθησαν οἱ κάλαμοι λέγοντες· ἡμεῖς, ὅταν ἔλθῃ ὁ χειμὼν καὶ φυσήσωσιν οἱ ἄνεμοι, κλινόμεθα μετὰ τῶν ἀνέμων ὧδε καὶ ὧδε· καὶ διὰ τοῦτο οὐ κλώμεθα· ὑμεῖς δὲ ἀνθιστάμεναι τοῖς ἀνέμοις κινδυνεύετε. Καὶ ἔλεγεν ὁ γέρων· ὅτι δεῖ παραχωρεῖν ὅταν λόγος ὕβρεως γένηται καὶ διδόναι τόπον τῇ ὀργῇ, καὶ μὴ ἐναντιοῦσθαι καὶ πίπτειν εἰς ἀτόπους λογισμούς, καὶ λόγους καὶ πράγματα.

10. Δύο γέροντες ἦσαν ἔτη πολλὰ καθήμενοι μετ' ἀλλήλων, καὶ οὐδέποτε μάχην ἐποίησαν· εἶπε δὲ ὁ εἷς τῷ ἑτέρῳ· ποιήσωμεν καὶ ἡμεῖς μίαν μάχην ὡς οἱ ἄνθρωποι· ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ οἶδα πῶς γίνεται μάχη· ἔφη ἐκεῖνος· ἰδοὺ τιθῶ πλινθάριον εἰς τὸ μέσον, καὶ λέγω ὅτι ἐμόν ἐστι· καὶ σὺ λέγεις ὅτι οὐχί, ἀλλὰ ἐμόν· καὶ ἔνθεν γίνεται ἡ ἀρχή. Ἔθηκεν οὖν εἰς τὸ μέσον τὸ πλινθάριον· καὶ λέγει τῷ ἑτέρῳ· τοῦτο ἐμόν ἐστιν· εἶπε δὲ ὁ ἕτερος· οὐχί, ἀλλ' ἐμόν· καὶ λέγει ὁ ἄλλος· εἰ σόν ἐστιν, ἆρον αὐτὸ καὶ ὕπαγε· καὶ ἀνεχώρησαν μηδὲ φιλονεικῆσαι μετ' ἀλλήλων δυνηθέντες.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ποιμὴν εἶπεν, ὅτι τὸ θέλημα τοῦ ἀνθρώπου εἶναι τεῖ-

χος χάλκινον μεταξὺ αὐτοῦ καὶ τοῦ Θεοῦ καὶ πέτρα, ποὺ μᾶς κτυπᾷ. Ἐὰν λοιπὸν ὁ ἄνθρωπος ἐγκαταλείψῃ τὸ θέλημά του, θὰ λέγῃ καὶ αὐτός, ὅπως ὁ ψαλμῳδός· «μὲ τὴν βοήθειαν τοῦ Θεοῦ μου θὰ ὑπερπηδήσω τεῖχος». Ἐὰν πάλιν ὁ ἐγωϊσμὸς τοῦ ἀνθρώπου συνεργασθῇ μὲ τὸ θέλημά του, τότε ὁ ἄνθρωπος νικᾶται.

2. Ἕνας Γέρων ἀσκητὴς εἶπεν· ἡ φιλονικία παραδίδει τὸν ἄνθρωπον εἰς τὴν ὀργὴν καὶ ἡ ὀργὴ τὸν παραδίδει εἰς τὴν τύφλωσιν, ἡ δὲ τύφλωσις τὸν ἐξωθεῖ νὰ διαπράξῃ κάθε κακίαν.

3. Ἠρώτησαν τὸν Ἀββᾶν Ἀμμωνᾶν ποία εἶναι ἡ στενὴ ὁδός, ποὺ ἔχει τὰς κατὰ Θεὸν θλίψεις. Καὶ ἐκεῖνος ἀπήντησεν:

—Ἡ στενὴ ὁδός, ποὺ ἔχει τὰς κατὰ Θεὸν θλίψεις, εἶναι τὸ νὰ ὑποτάσσῃς τοὺς λογισμούς σου καὶ νὰ κόπτῃς, χάριν τοῦ Θεοῦ, τὰ θελήματά σου. Αὐτὸ ἀκριβῶς σημαίνει καὶ τὸ «ἰδού, ἡμεῖς τὰ ἐγκατελείψαμεν ὅλα καὶ σὲ ἠκολουθήσαμεν» (Ματθ. ιθ', 27).

4. Ὁ Ἀββᾶς Ἰωάννης διηγήθη, ὅτι κάποτε ὁ Ἀββᾶς Ἀνοὺβ καὶ ὁ Ἀββᾶς Ποιμὴν καὶ ἄλλοι πέντε, ὅλοι των ἀδελφοὶ κατὰ σάρκα, κατώκησαν ἀρχικῶς εἰς τὴν σκήτην. Ἔπειτα, μόλις ἠρημώθη ἡ Σκήτη ὑπὸ τῶν Μαζίκων *, ἀνεχώρησαν κατὰ πρῶτον ἀπ' ἐκεῖ καὶ ἦλθον εἰς κάποιον τόπον, ποὺ ἐλέγετο Τερεμουθίν **. Εἰς τὸν τόπον αὐτὸν ὑπῆρχεν εἰδωλολατρικὸς ναὸς εἰς τὸν ὁποῖον εἰσῆλθον καὶ παρέμειναν ὀλίγον, ὥσπου νὰ ἐξετάσουν ποῦ ἔπρεπε νὰ ὑπάγουν. Τότε ὁ Ἀββᾶς Ἀνούβ, ποὺ ἦτο ἀρχαιότερος εἰς τὴν μοναχικὴν ζωὴν ἀπὸ τοὺς ἄλλους, εἶπε πρὸς τὸν Ἀββᾶν Ποιμένα:

— Κάμε ἀγάπην, σὺ καὶ οἱ ἀδελφοί σου, καὶ ἂς ἡσυχάσῃ ὁ καθένας ἀπὸ ἡμᾶς μόνος του καὶ ἂς μὴ ἐπικοινωνήσωμεν μεταξύ μας αὐτὴν τὴν ἑβδομάδα.

—Ὅπως θέλεις, ἂς κάμωμεν, ἀπήντησεν ὁ Ἀββᾶς Ποιμήν. Καὶ πράγματι ἔτσι ἔκαμαν.

Εἰς ἐκεῖνον τὸν τόπον ὑπῆρχεν ἕνα ἄγαλμα πέτρινον. Κάθε πρωῒ λοιπὸν ὁ Ἀββᾶς Ἀνοὺβ ἔρριπτε πέτρας εἰς τὸ πρόσωπον τοῦ ἀγάλματος· καὶ καθ' ἑκάστην ἑσπέραν ἔλεγεν εἰς τὸ ἄγαλμα· «συγχώρησόν με». Ἔτσι δὲ ἔκαμε καθ' ὅλην τὴν ἑβδομάδα. Τὸ Σάββατον, ποὺ συνηντήθη-

---

* Οἱ Μάζικες ἦσαν βάρβαρος λαὸς κατοικοῦντες πρὸς δυσμὰς τοῦ ποταμοῦ Τρίτωνος εἰς τὴν Λιβύην. Οἱ νεώτεροι ἑρμηνευταὶ θεωροῦν αὐτοὺς ὡς τὸν ἴδιον λαὸν τὸν ὁποῖον ἀναφέρει ὁ ἀρχαῖος Ἕλλην ἱστορικὸς Ἡρόδοτος μὲ τὸ ὄνομα Μάξυες. Οὗτοι ἄφηναν ἀκούρευτον τὸ δεξιὸν ἥμισυ τῆς κεφαλῆς καὶ ἐκούρευαν τὸ ἀριστερόν, ἐχρωμάτιζαν τὸ σῶμα των, ἔλεγον δὲ ὅτι ἦσαν ἀπόγονοι τῶν Τρώων, οἱ ὁποῖοι διεσκορπίσθησαν μετὰ τὴν ἅλωσιν τῆς Τροίας ὑπὸ τῶν Ἑλλήνων.

** Πρόκειται πιθανῶς περὶ τῆς Τερεβουθίν, ἥτις καὶ Τοῦκκα ἐκαλεῖτο τὸ πάλαι καὶ ἐτιμᾶτο μὲ θρόνον ἐπισκόπου ὑπὸ τὸν Καρθαγένης. Αὕτη ἦτο πόλις μεσόγειος τοῦ σημερινοῦ Ἀλγερίου εἰς τὴν θέσιν δὲ αὐτῆς κεῖται νῦν ἡ πόλις Ντοῦκκα

σαν, ὅπως εἶχον συμφωνήσει, λέγει ὁ 'Αββᾶς Ποιμὴν πρὸς τὸν 'Αββᾶν 'Ανούβ.

— Πάτερ, αὐτὴν τὴν ἑβδομάδα σὲ ἔβλεπον νὰ πετροβολᾷς τὸ πρόσωπον τοῦ ἀγάλματος καὶ ἔπειτα νὰ τοῦ βάζῃς μετάνοιαν· ἐξήγησέ μου λοιπόν: ἕνας ἄνθρωπος πιστὸς τὰ κάμνει αὐτά;

Τότε ὁ Γέρων ἀπήντησεν:

— Αὐτὸ τὸ ἔκανα διὰ σᾶς· καθὼς δηλαδὴ μὲ εἴδετε νὰ λιθοβολῶ τὸ πρόσωπον τοῦ ἀγάλματος, ἀντελήφθητε νὰ λαλήσῃ ἢ νὰ ὀργισθῇ τὸ ἄγαλμα;

—Ὄχι, ἀπήντησεν ὁ 'Αββᾶς Ποιμήν.

—Ὅταν πάλιν, πρὸς τὸ βράδυ, τοῦ ἔβαζα μετάνοιαν, μήπως ἀντελήφθητε νὰ ταραχθῇ καὶ νὰ μοῦ εἰπῇ δὲν σὲ συγχωρῶ;

—Ὄχι, ἀπήντησεν ἐκ νέου ὁ 'Αββᾶς Ποιμήν.

Τότε ὁ 'Αββᾶς 'Ανοὺβ εἶπεν συμπερασματικῶς·

— Καὶ ἡμεῖς λοιπόν, ἀδελφοί, ἐὰν θέλετε νὰ μείνωμεν μαζί, πρέπει νὰ γίνωμεν ὅπως αὐτὸ τὸ ἄγαλμα, ποὺ δὲν ταράσσεται εἴτε ὑβρισθῇ εἴτε δοξασθῇ. 'Εὰν πάλιν δὲν συμφωνῆτε νὰ γίνῃ ἔτσι, ἐδῶ ὑπάρχουν τέσσαρες πύλαι εἰς αὐτὸν τὸν ναόν· ἂς ὑπάγῃ ὁ καθένας ὅπου θέλει.

Μόλις οἱ ἀδελφοὶ ἤκουσαν τοὺς λόγους αὐτοὺς τοῦ ἔβαλαν μετάνοιαν καὶ τοῦ εἶπον·

—Ὅπως θέλεις, Πάτερ μου, θὰ κάμωμεν καὶ θὰ λέγωμεν ὅ,τι μᾶς λέγεις.

Εἶπε δὲ ὁ 'Αββᾶς Ποιμήν, ὅτι ἐμείναμεν μαζὶ ὅλα μας τὰ χρόνια, ἐργαζόμενοι συμφώνως μὲ ὅσα εἶπεν εἰς ἡμᾶς ὁ Γέρων. Οὗτος διώρισεν ἕνα ἀπὸ ἡμᾶς ὡς οἰκονόμον καὶ ἐτρώγαμεν πᾶν ὅ,τι προσέφερεν εἰς ἡμᾶς. Ἦτο δὲ ἀδύνατον εἰς ἡμᾶς νὰ εἴπῃ κάποιος· φέρε μας τίποτε ἄλλο, ἢ ὅτι αὐτὸ θέλομεν νὰ φάγωμεν καὶ ἔτσι ἐπεράσαμεν ὅλην μας τὴν ζωὴν εἰρηνικὰ καὶ εὐχαριστημένοι.

5. Ὁ 'Αββᾶς 'Αλώνιος εἶπεν· ἐὰν δὲν κατέστρεφα τὸ ὅλον, δὲν θὰ μοῦ ἦτο δυνατὸν νὰ οἰκοδομήσω τὸν ἑαυτόν μου· ἐάν, δηλαδή, δὲν ἐγκατέλειπον κάθε τι, ποὺ μοῦ ἐφαίνετο ὡς ἀγαθὸν ἀπὸ ἰδικόν μου θέλημα, δὲν θὰ ἠμποροῦσα νὰ ἀποκτήσω τὰς ἀρετάς.

6. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν 'Αββᾶν Ποιμένα:

— Πῶς πρέπει νὰ εἶμαι εἰς τὸν τόπον, ποὺ κατοικῶ;

—Ὅπου κατοικεῖς — ἀπήντησεν ὁ 'Αββᾶς Ποιμὴν — νὰ σκέπτεσαι, ὅπως ἕνας πάροικος, διὰ νὰ μὴ ζητήσῃς νὰ εἶναι πρῶτος ὁ λόγος σου, ὁπόταν θὰ αἰσθάνεσαι ψυχικὴν ἀνάπαυσιν.

7. Εἶπε πάλιν ὁ 'Αββᾶς Ποιμήν· νὰ μὴ ἱκανοποιῇς τὸ θέλημά σου· μᾶλλον πρέπει νὰ προτιμᾷς νὰ ταπεινώνεσαι ἀπέναντι τοῦ ἀδελφοῦ σου.

8. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

— Τί νὰ κάνω, διὰ νὰ σωθῶ;

— Πήγαινε νὰ πλησιάσῃς αὐτόν, ποὺ λέγει: Τί θέλω ἐγώ; καὶ θὰ ἔχῃς ἀνάπαυσιν· δηλαδὴ νὰ μιμηθῇς αὐτόν, ποὺ δὲν θέλει νὰ κάνῃ τὸ θέ-

λημά του, ἀλλὰ ποὺ λέγει συνεχῶς· ἐγὼ δὲν θέλω τίποτε, καὶ τότε θὰ ἀναπαυθῆς.

9. Ἕνας Γέρων εἶπε τὴν ἑξῆς παραβολήν, διὰ νὰ δώσῃ εἰς τοὺς μαθητάς του νὰ καταλάβουν τί εἶναι ταπεινοφροσύνη. Κάποτε — εἶπεν — εἶπον αἱ κέδροι πρὸς τὰ καλάμια: πῶς σεῖς, ἂν καὶ εἶσθε ἀσθενῆ καὶ ἀδύνατα, δὲν σπάζετε κατὰ τὸν χειμῶνα, ἐνῷ ἡμεῖς, ἂν καὶ εἴμεθα τόσον μεγάλαι, συντριβόμεθα καί, καμμιὰ φορά, ξερριζωνόμεθα; Καὶ ἀπήντησαν τὰ καλάμια. Ἡμεῖς, ὅταν ἔλθῃ ὁ χειμών, καὶ φυσήξουν οἱ ἄνεμοι, γέρνομεν μὲ τοὺς ἀνέμους πότε ἐδῶ καὶ πότε ἐκεῖ· καὶ διὰ τοῦτο δὲν σπάζομεν. Ἐνῷ σεῖς ἀντιστέκεσθε πρὸς τοὺς ἀνέμους καὶ δι' αὐτὸ κινδυνεύετε. Καὶ ἐν συνεχείᾳ ὁ Γέρων διετύπωσε τὸ συμπέρασμα: πρέπει νὰ ὑποχωρῶμεν, ὅταν μᾶς ὑβρίζουν καὶ νὰ δίδωμεν τόπον εἰς τὴν ὀργὴν καὶ νὰ μὴ ἐναντιωνώμεθα καὶ νὰ πίπτωμεν εἰς ἀτόπους λογισμούς, νὰ λογομαχῶμεν καὶ νὰ δημιουργῶμεν ζητήματα.

10. Δύο Γέροντες ἐκάθηντο μαζὶ ἐπὶ πολλὰ ἔτη καὶ οὐδέποτε ἐμάλωσαν. Εἶπε λοιπὸν ὁ εἷς ἐξ αὐτῶν· ἂς μαλώσωμεν καὶ ἡμεῖς μίαν φοράν, ὅπως οἱ ἄνθρωποι. Ὁ ἄλλος Γέρων ἀπήντησε· μὰ δὲν γνωρίζω πῶς γίνεται τὸ μάλωμα. Τότε ὁ πρῶτος εἶπε· νά, θὰ τοποθετήσω ἕνα μικρὸν τοῦβλο εἰς τὸ μέσον καὶ θὰ λέγω πὼς αὐτὸ εἶναι ἰδικόν μου· σύ, ἀμέσως, θα ἀπαντᾷς, ὄχι ἰδικόν μου εἶναι. Καὶ αὐτὸ θὰ γίνῃ ἡ ἀρχὴ τοῦ μαλώματος. Πράγματι, ὁ πρῶτος Γέρων ἐτοποθέτησεν εἰς τὸ μέσον τὸ μικρὸν τοῦβλον καὶ λέγει πρὸς τὸν ἄλλον· αὐτὸ εἶναι ἰδικόν μου. Ὄχι —ἀπήντησεν ὁ δεύτερος — ἰδικόν μου εἶναι. Τότε λέγει πάλιν ὁ πρῶτος· ἐὰν εἶναι ἰδικόν σου, πάρε το καὶ πήγαινε. Καὶ ἀνεχώρησαν, χωρὶς νὰ ἠμπορέσουν νὰ μαλώσουν μεταξύ των.

Γ'. Τοῦ Ἁγίου Ἐφραίμ

ΕΑΝ οἰκῆς μετὰ ἀδελφῶν, μὴ θέλε προστάσσειν αὐτοῖς, ἀλλὰ μᾶλλον τύπος εἶναι αὐτοῖς εἰς τὰ καλὰ ἔργα, ὑπακούων αὐτοῖς ἐν οἷς σοι λέγουσι. Εἰ δὲ χρείας γενομένης λαλήσεις, λέγε ὡς συμβουλεύων ἐν ταπεινώσει. Ἐὰν δὲ ἕτερος ἀδελφὸς ἀντείπῃ τοῖς ὑπὸ σοῦ λεγομένοις, μὴ κινηθῇς τῇ διανοίᾳ, ἀλλὰ κατάλιπε τὸ σὸν θέλημα ἕνεκεν τῆς ἀγάπης καὶ εἰρήνης, καὶ εἰπὲ ἐν πρᾳότητι τῷ ἀντιλέξαντί σοι οὕτως· ἐγὼ μέν, εὐλογημένε, ὡς ἰδιώτης ἐλάλησα, οὕτω σκοπήσας, καὶ συγχώρησόν μοι ὅτι ἀγνοῶν ἐλάλησα· γενέσθω δὲ καθὼς αὐτὸς εἴρηκας· καὶ ἐν τούτῳ ἀποστραφήσεται εἰς τὰ ὀπίσω ἄπρακτος καὶ κατῃσχυμμένος ὁ τὰς ταραχὰς συνιστῶν διάβολος· τὸ γὰρ φιλονεικεῖν, καὶ τὸ ἴδιον θέλημα συνιστᾶν, ταραχὰς ἐγείρει καὶ θυμὸν δυσίατον· «θυμὸς δέ, φησιν, ἐν κόλποις ἀσεβῶν ἀναπαύσεται»· καὶ πάλιν· «ἡ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ, πτῶσις αὐτῷ»· διὸ καὶ ὁ Ἀπόστολος παραγγέλλει λέγων· «δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι».

Ἑρμηνεία

ΕΑΝ θέλῃς νὰ κατοικῇς μαζὶ μὲ ἄλλους ἀδελφούς, μὴ θελήσῃς νὰ

τοὺς διατάσσῃς, ἀλλὰ μᾶλλον νὰ γίνεσαι εἰς αὐτοὺς παράδειγμα καλῶν ἔργων, ὑπακούων πρὸς αὐτοὺς εἰς ὅσα σοῦ λέγουν. Ἐὰν δὲ παραστῇ ἀνάγκη νὰ ὁμιλήσῃς, νὰ λέγῃς τὴν ἄποψίν σου, ὡς νὰ συμβουλεύῃς μὲ ταπείνωσιν. Ἐὰν δὲ κάποιος ἀδελφὸς φέρῃ ἀντίρρησιν εἰς τὰ λεγόμενά σου, νὰ μὴ ταραχθῇ ἡ διάνοιά σου, ἀλλὰ παράτησε τὸ θέλημά σου χάριν τῆς εἰρήνης καὶ τῆς ἀγάπης καὶ εἰπέ μὲ πραότητα πρὸς ἐκεῖνον, ποὺ διετύπωσεν ἀντίρρησιν πρὸς τὴν γνώμην σου, ὡς ἑξῆς: Ἐγώ, εὐλογημένε, ἐλάλησα ὡς ἀνόητος σκεφθεὶς τοιουτοτρόπως· συγχώρεσέ με, διότι ἀπὸ ἄγνοιαν ἐλάλησα· ὡστόσον ἂς γίνῃ, ὅπως εἶπες σύ. Διὰ τῆς ὑποχωρήσεώς σου αὐτῆς θὰ γυρίσῃ πρὸς τὰ ὀπίσω ἐντροπιασμένος καὶ χωρὶς νὰ πράξῃ τίποτε ὁ διάβολος, ποὺ δημιουργεῖ αὐτὰς τὰς ταραχάς.

Διότι μὲ τὸ νὰ φιλονεικῇς καὶ νὰ ἐπιμένῃς νὰ γίνῃ τὸ θέλημά σου, προκαλεῖς ταραχὰς καὶ δυσκολοθεράπευτον θυμόν. Καθὼς δὲ λέγει ἡ Ἁγία Γραφὴ «ὁ θυμὸς θὰ ἀναπαυθῇ εἰς τοὺς κόλπους ἀσεβῶν» (Ἐκκλησ. ζ΄, 10). Εἰς ἄλλο πάλιν μέρος γράφει· «ἡ τάσις πρὸς τὸν θυμόν, εἶναι πτῶσις δι' αὐτὸν» (Σοφ. Σειρ. α΄, 22). Δι' αὐτὸ καὶ ὁ Ἀπόστολος Παῦλος παραγγέλλει· «ὁ δοῦλος τοῦ Κυρίου δὲν πρέπει νὰ μαλλώνῃ» (Β΄ Τιμ. β΄, 24).

Δ΄. Ἀντιόχου τοῦ Παντέκτου

ΑΝΘΡΩΠΟΣ ἐριστικὸς οὐ μόνον μετὰ τῶν οἰκείων οὐκ εἰρηνεύει ποτέ, ἀλλ' οὐδὲ μετὰ τῶν ἀλλοτρίων· θέλων γὰρ τὸν ἐριστικὸν αὐτοῦ λογισμὸν πληροφορῆσαι, ἀεὶ ῥαδιουργίας ἐπιτηδεύει καὶ ἐνδελεχῶς παροξύνεται, καὶ ἄλλους θολεῖ, καὶ στυγητὸς παρὰ πᾶσιν εὑρίσκεται· γέγραπται γὰρ ἐν τῇ Γενέσει, ὅτι «ἔλαβεν Ἠσαῦ ἐκ τῶν ἀλλοφύλων γυναῖκας· καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ· εἶπε δὲ Ῥεβέκκα τῷ Ἰσαάκ· προσώχθισα τῇ ζωῇ μου διὰ τὰς θυγατέρας τῶν υἱῶν Χέτ». Τοῦτο δηλοῦντος τοῦ λόγου, ὅτι τὸ ἐρίζειν ἀθέοις ἁρμόζει καὶ οὐχὶ πιστοῖς καὶ εὐσεβέσιν. Οἱ γὰρ ὄντως Χριστιανοὶ καὶ Χριστοῦ μαθηταὶ τὸν ἑαυτῶν δεσπότην καὶ διδάσκαλον μιμοῦνται, περὶ οὗ γέγραπται· «οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ»· καὶ οἱ τοιοῦτοι οὐ πειρῶνται οἱονδήποτε πρᾶγμα μετ' ἔριδος καὶ φιλονεικίας ἐπιλύσαι, ἀλλὰ δι' ὑπομονῆς καὶ προσευχῆς καὶ ὑπακοῆς, καὶ μονολογίστου ἐλπίδος, μηδέποτε τὸν οἰκεῖον λόγον στῆσαι θέλοντες ἢ ἐκδικοῦντες τὸ ἴδιον θέλημα· καθὼς καὶ ὁ Κύριος ἔφη· «ἦλθον οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός».

Ἑρμηνεία

ΑΝΘΡΩΠΟΣ φιλόνεικος ὄχι μόνον μὲ τοὺς συγγενεῖς του δὲν εἰρηνεύει ποτέ, ἀλλ' οὔτε καὶ μὲ τοὺς ξένους· διότι εἰς τὴν προσπάθειάν του νὰ δικαιολογήσῃ τὴν ἐριστικὴν σκέψιν του ὡς ὀρθήν, μηχανεύεται πάντοτε ῥαδιουργίας, διαρκῶς θυμώνει, ἀλλὰ καὶ τῶν ἄλλων θολώνει τὴν διάνοιαν καὶ εἰς τὸ τέλος ὅλοι τὸν μισοῦν. Σχετικῶς μὲ τὸν τύπον

αὐτὸν ἔχει γραφὴ εἰς τὴν Γένεσιν· «ὁ Ἠσαῦ ἐπῆρε γυναῖκα ἀπὸ τοὺς ἀλλοφύλους· καὶ ἐμάλωναν μὲ τὸν Ἰσαὰκ καὶ τὴν Ρεβέκκαν· καὶ εἶπεν ἡ Ρεβέκκα εἰς τὸν Ἰσαάκ· ἐβαρέθηκα πιὰ τὴν ζωήν μου ἐξ αἰτίας τῶν θυγατέρων τῶν Χετταίων»* (Γενεσ. κζ΄, 46). Αὐτὸ τὸ χωρίον τῆς Γενέσεως φανερώνει ὅτι ἡ φιλονικία καὶ τὰ μαλώματα ἁρμόζουν εἰς τοὺς ἀθέους καὶ ὄχι εἰς τοὺς πιστοὺς καὶ τοὺς εὐσεβεῖς.

Διότι οἱ πραγματικοὶ Χριστιανοὶ καὶ μαθηταὶ τοῦ Χριστοῦ μιμοῦνται τὸν διδάσκαλον καὶ Δεσπότην των, περὶ τοῦ ὁποίου ἔχει γραφή· «δὲν θὰ φιλονικήσῃ οὔτε θὰ φωνάξῃ, οὔτε θὰ ἀκούσῃ κανεὶς τὴν φωνήν του εἰς τὰς πλατείας». Οἱ εὐλογημένοι αὐτοὶ ἄνθρωποι δὲν δοκιμάζουν νὰ ξεδιαλύνουν ὁποιονδήποτε ζήτημα μὲ λογομαχίας καὶ μαλώματα, ἀλλὰ μὲ ὑπομονήν, μὲ προσευχήν, μὲ ὑπακοὴν καὶ μὲ ἐλπίδα, ἐμπνεομένην ἀπὸ τὴν σκέψιν, ὅτι οὐδέποτε πρέπει νὰ ἐπιβάλουν τὸν λόγον τους θέλοντες καὶ ἐπιμένοντες νὰ γίνῃ τὸ θέλημά των, ὅπως, ἄλλωστε, εἶπε καὶ ὁ Κύριος· «ἦλθον εἰς τὸν κόσμον ὄχι διὰ νὰ κάμνω τὸ θέλημά μου, ἀλλὰ τὸ θέλημα τοῦ Πατρός μου ποὺ μὲ ἀπέστειλεν» (Ἰωάν. στ΄, 38—39).

Ε΄. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ οἰκῇς μετὰ ἀδελφοῦ καὶ θέλῃς πρᾶγμα γενέσθαι, ὁ δὲ ἀδελφὸς μεθ' οὗ οἰκεῖς οὐ θέλει αὐτὸ γενέσθαι, ἀπόλυσον αὐτῷ τὸ θέλημά σου, ἵνα μὴ γένηται φιλονεικία καὶ λυπηθῇ. Ἔσο δὲ πρὸς τὸν ἀδελφὸν ὡς πάροικος· μὴ προστάξῃς αὐτῷ ἔν τινι πράγματι καὶ μὴ θελήσῃς αὐτοῦ κεφαλὴ εἶναι. Ἐὰν ἐπιτάξῃ σοι πρᾶγμα, ὃ οὐ θέλεις, πολέμησον τῷ θελήματί σου, ἕως οὗ ποιήσῃς τὸ ἐπιταχθέν, ἵνα μὴ θλίψῃς αὐτόν, καὶ ἀπολέσῃς τὸ ἀπαρρησίαστον καὶ τὴν εἰρηνικὴν συνοίκησιν αὐτοῦ. Ἐὰν οὖν εἴπῃ σοι ὅτι, ἕψησόν μοι τίποτε, εἰπὲ αὐτῷ· τί θέλεις ποιήσω; καὶ ἐὰν ἐν ἐξουσίᾳ σε ποιήσῃ λέγων, ὃ θέλεις, τὸ εὑρισκόμενον ποίησον μετὰ φόβου Θεοῦ.

Ἐὰν λόγος τῆς γραφῆς ἔλθῃ ἀνὰ μέσον ὑμῶν, ὁ γινώσκων τὸν λόγον ἐνέγκῃ ὀπίσω τοῦ ἀδελφοῦ αὐτοῦ τὸ ἴδιον θέλημα καὶ ἀναπαύσῃ τὸν ἀδελφὸν αὐτοῦ ἐν χαρᾷ. Ὁ γὰρ ζητούμενος λόγος οὗτός ἐστι, τὸ ταπεινῶσαι ἑαυτὸν ἐν πᾶσι τῷ ἀδελφῷ σου. Ὁ οὖν προσέχων τῷ κρίματι τοῦ βήματος οὗ μέλλει παραστῆναι, τὴν δύναμιν αὐτοῦ ποιεῖ ἵνα μὴ φραγῇ αὐτοῦ τότε τὸ στόμα, μὴ εὑρίσκων ἀπολογίαν εἰπεῖν ἐν τῇ φρικτῇ ὥρᾳ ἐκείνῃ.

Ἐὰν θέλητε ἐξελθεῖν εἰς μικρὸν πάρεργον, μὴ καταφρονήσῃ ὁ εἷς τοῦ ἑτέρου καὶ ἐξέλθῃ μόνος, ἐάσας τὸν ἀδελφὸν αὐτοῦ τὴν συνείδησιν πάσχοντα ἐν τῷ κελλίῳ, ἀλλ' εἴπῃ αὐτῷ ἐν ἀγάπῃ· θέλεις ἀπέλθωμεν; καὶ ἐὰν ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ μὴ ἀναπαυόμενον ἐν τῇ ὥρᾳ ἐκείνῃ ἢ κατὰ τὸ σῶμα ἀσθενοῦντα, μὴ φιλονεικήσῃ ὅτι νῦν ἔχομεν ἐξελθεῖν, ἀλλ' ὑπέρθῃ τέως καὶ ἀπέλθῃ εἰς τὸ κελλίον αὐτοῦ

---

* Χετταῖοι ἐκαλοῦντο οἱ ἀπόγονοι τοῦ Χέτ, υἱοῦ τοῦ Χαναάν. Οὗτοι ἦσαν εἰδωλολάτραι, ἐξ αὐτῶν δὲ ἔλαβε σύζυγον ὁ Ἠσαῦ. Οὗτοι κατῴκουν εἰς Χεβρὼν εἰς τὴν Β. Παλαιστίνην καὶ ἤρχοντο εἰς συχνὴν ἐπικοινωνίαν μὲ τοὺς Ἑβραίους.

ἐν ἀγάπῃ εὐσπλαγχνίας· φυλάξετε δὲ τοῦ μὴ ἀντιστῆναι τῷ ἀδελφῷ ἔν τινι, ἵνα μὴ θλίψητε αὐτόν.

Ἐὰν οἰκῆτε μετ' ἀλλήλων, πᾶν ἐργόχειρον ὃ ἐργάζεσθε, κἄν τε ἔσω, κἄν τε ἔξω, καὶ καλέσῃ σε ὁ ἀδελφός σου, μὴ εἴπῃς ὅτι μακροθύμησον, ἵνα ἀπόσχω ἔτι τὸ ὀλίγον τοῦτο, ἀλλ' εὐθέως ὑπάκουσον· ἐὰν οἰκῇς μετά τινος, ἢ παροικῇς καὶ λάβῃς παρ' αὐτοῦ ἐντολήν, φύλαξον διὰ τὸν Θεὸν μὴ καταφρονῆσαι, μήτε ἐν τῷ κρυπτῷ μήτε ἐν τῷ φανερῷ λῦσαι τὴν ἐντολήν.

Ἐὰν κατοικῇς μετὰ Πατρός σου ἢ ἀδελφοῦ σου, μὴ εὑρεθῇς ἔχων φιλίαν μετά τινος ἐν τῷ κρυπτῷ, μὴ θέλων τοὺς μετὰ σοῦ ἀδελφοὺς γνῶναι· ἐπεὶ καὶ σεαυτὸν ἀπόλλυς κἀκεῖνον· ὃν τρόπον ὑποτάσσεται τὸ κτῆνος τῷ ἀνθρώπῳ, οὕτως ὀφείλει πᾶς ἄνθρωπος τῷ πλησίον ὑποτάσσεσθαι διὰ τὸν Θεόν· καὶ ὥσπερ τὸ κτῆνος οὐκ ἔχει ἴδιον θέλημα οὐδὲ γνῶσιν, οὕτω κἀγὼ ὀφείλω ποιεῖν οὐ μόνον μετὰ τοῦ συνόντος μοι, ἀλλὰ καὶ μετὰ τοῦ ἐναντιουμένου μοι, καὶ ἀπολῦσαι τὴν γνῶσίν μου τῷ ἀγνοοῦντι καὶ τὸ θέλημά μου τῷ ἄφρονι· καὶ τότε ἐπιγνώσομαι ἑαυτὸν καὶ κατανοήσω τὸ βλάπτον με· ὁ δὲ πεποιθὼς ἐπὶ τῇ δικαιοσύνῃ αὐτοῦ καὶ τὸ θέλημα αὐτοῦ κρατῶν, οὐ δύναται τὴν ἔχθραν ἐκφυγεῖν, οὔτε ἀναπαυθῆναι, οὔτε ἰδεῖν τίνων ὑστερεῖται· καὶ ἐὰν ἐξέλθῃ ἀπὸ τοῦ σώματος, κόπος ἐστὶν εὑρεῖν ἔλεος.

Σὺ οὖν, ἀδελφέ, μὴ ἔσο φιλόνεικος, ἵνα μὴ πᾶν πονηρὸν οἰκήσῃ ἐν σοί· μηδὲ σεαυτὸν ἡγοῦ φρόνιμον, ἵνα μὴ ἐμπέσῃς εἰς χεῖρας τῶν ἐχθρῶν σου. Ἔθισον τὴν γλῶσσάν σου τοῦ λέγειν συγχώρησον, καὶ ἡ ταπείνωσις ἐλεύσεται ἐπὶ σέ. Τὸ ἀπολῦσαι τὸ θέλημά σου τῷ πλησίον, συμβαίνει ὅτι ὁ νοῦς βλέπει τὰς ἀρετάς· τὸ δὲ κρατεῖν τὸ θέλημά σου μετὰ τοῦ πλησίον, δηλοῖ τὴν ἀγνωσίαν.

Φρόντισον οὖν, ἀγαπητέ, τοῦ ἀπολύειν τὸ θέλημά σου τῷ πλησίον ἐν ἅπασιν, ὅτι τὸ κρατεῖν τὸ θέλημα ἀπόλλυσι πάσας τὰς ἀρετάς· ὁ δὲ ἔχων τοὺς λογισμοὺς ἐκτεταμένους ἐν εὐθύτητι, ἐκκόπτει τὸ θέλημα αὐτοῦ ἐν πραότητι, φοβούμενος τὴν φιλονεικίαν ὡς δράκοντα· αὕτη γὰρ καταστρέφει πᾶσαν τὴν οἰκοδομήν, καὶ ποιεῖ τὴν ψυχὴν σκοτισθῆναι τοῦ μὴ ἰδεῖν τι τοῦ φωτὸς τῶν ἀρετῶν· τὸ γὰρ κεκατηραμένον τοῦτο πάθος μίσγει ἑαυτὸ μετὰ τῶν ἀρετῶν ἕως οὗ ἀπολέσῃ αὐτάς.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς, δεικνὺς ἡμῖν, ὅτι ἐὰν μὴ ἐκκόψῃ ὁ ἄνθρωπος τὸ ἄτιμον τοῦτο πάθος οὐ δύναται προκόψαι κατὰ Θεόν, οὐκ ἀνέβη ἐπὶ τὸν Σταυρόν, εἰ μὴ πρότερον ἀπέρριψε τὸν Ἰούδαν ἐκ μέσου τῶν μαθητῶν. Τούτῳ γὰρ ἐξακολουθοῦσι πάντα τὰ κακά, καὶ πάντα ὅσα μισεῖ ὁ Θεὸς κατοικεῖ ἐν τῇ ψυχῇ τοῦ φιλονείκου. Τὸ οὖν κόψαι τὸ θέλημά σου εἰρηνεύει τὰς ἀρετὰς μετ' ἀλλήλων, καὶ καθιστᾷ τὸ ἡγεμονικὸν ἀτάραχον. Καὶ τοῦτο ζητεῖ ὁ Θεὸς παρὰ τοῦ ἀνθρώπου πλέον ὑπὲρ πάσας τὰς ἀρετάς, τὸ ταπεινῶσαι ἑαυτὸν τῷ πλησίον ἐν ἅπασι καὶ ὑποταγῆναι. Τὰ δὲ γεννῶντα τὴν φιλονεικίαν, ταῦτά εἰσιν· ἡ πολυλογία, τὸ μεταφέρειν λόγους πρὸς τὸ ἑκάστῳ ἀρέσκον, ἡ παρρησία, ἡ διγλωσσία, τὸ θέλειν στῆσαι τὸν οἰκεῖον λόγον· ταῦτα τὴν φιλονεικίαν τίκτουσι· καὶ τοῦ ἔχοντος ταῦτα ἡ ψυχὴ κατοικητήριόν ἐστι πάντων τῶν παθῶν.

Ἑρμηνεία

ΕΑΝ κατοικῇς μαζὶ μὲ ἄλλον ἀδελφὸν καὶ θέλῃς νὰ γίνῃ κάποιο

πρᾶγμα, ὁ ἀδελφὸς ὅμως μὲ τὸν ὁποῖον συγκατοικεῖς δὲν θέλει νὰ γίνῃ αὐτό, τότε πρέπει, διὰ νὰ μὴ φιλονικήσητε καὶ λυπηθῇ, νὰ ὑποτάξῃς εἰς αὐτὸν τὸ θέλημά σου. Νὰ εἶσαι δὲ ἀπέναντι τοῦ ἀδελφοῦ σου ὅπως ἕνας προσωρινῶς φιλοξενούμενος· νὰ μὴ τὸν προστάξῃς διὰ κανὲν πρᾶγμα καὶ νὰ μὴ θελήσῃς νὰ φαίνεσαι ἀνώτερός του. Ἐὰν σοῦ ἐπιβάλῃ νὰ κάνῃς κάτι, ποὺ σὺ δὲν τὸ θέλεις, πολέμησε ἐναντίον τοῦ θελήματός σου, μέχρις ὅτου κάμῃς αὐτὸ ποὺ διετάχθης, διὰ νὰ μὴ τὸν στενοχωρήσῃς καὶ χάσῃς τὴν ἁρμονικὴν καὶ εἰρηνικὴν συγκατοίκησιν μαζί του. Ἐάν, π.χ., σοῦ εἰπῇ· ψῆσε μου κάτι, ἐρώτησέ τον ἤρεμα· τί θέλεις νὰ σοῦ κάμω; Καὶ ἐὰν σὲ ἀφήσῃ εἰς τὴν διάθεσίν σου ἀπαντῶν, κάνε ὅ,τι θέλεις, τότε ἑτοίμασέ του ὅ,τι εὑρίσκεται, μὲ φόβον Θεοῦ.

Ἐάν, κατὰ τὴν συζήτησίν σας, ἀναφέρετε ῥητὸν ἐκ τῆς Ἁγίας Γραφῆς, ἐκεῖνος, ποὺ γνωρίζει τὸ ῥητόν, ἂς ὑποτάξῃ τὸ θέλημά του εἰς τὸν ἀδελφόν του, ὁπότε θὰ ἀναπαύσῃ καὶ θὰ χαροποιήσῃ τὸν ἀδελφόν του. Διότι ἡ βαθυτέρα ἔννοια τοῦ ῥητοῦ εἶναι τὸ νὰ ταπεινωθῇς εἰς ὅλα ἐνώπιον τοῦ ἀδελφοῦ σου.

Ἐκεῖνος λοιπόν, ποὺ ἔχει συνεχῶς εἰς τὸν νοῦν του τὴν κρίσιν, τὴν ὁποίαν πρόκειται νὰ ἀντιμετωπίσῃ εἰς τὸ ἀδέκαστον βῆμα τοῦ Κριτοῦ, ποὺ θὰ παρασταθῇ κατὰ τὴν Δευτέραν Παρουσίαν, κάμνει, ἀπὸ ἐδῶ, ὅ,τι ἠμπορεῖ, διὰ νὰ μὴ σφραγισθῇ τὸ στόμα του, κατὰ τὴν φρικτὴν ἐκείνην ὥραν, ὥστε νὰ μὴ εὑρίσκῃ νὰ εἴπῃ οὐδεμίαν ἀπολογίαν.

Ἐὰν θελήσητε νὰ ὑπάγητε εἰς κάποιαν μικρὰν ἐργασίαν, νὰ μὴ περιφρονήσῃ ὁ ἕνας τὸν ἄλλον καὶ ἐξέλθῃ μόνος, ἐγκαταλείπων τὸν ἀδελφόν του εἰς τὸ κελλίον νὰ ἐλέγχεται ἀπὸ τὴν συνείδησίν του. Ἂς εἴπῃ εἰς αὐτὸν μὲ ἀγάπην· θέλεις νὰ ὑπάγωμεν μαζί; Καὶ ἐὰν ἴδῃ ὅτι ὁ ἀδελφὸς αὐτοῦ ἀναπαύεται, κατὰ τὴν ὥραν ἐκείνην, ἢ εἶναι σωματικὰ ἀσθενής, ἂς μὴ λογομαχήσῃ, ὅτι τώρα εἶναι ὥρα, ποὺ πρέπει νὰ πηγαίνωμεν, ἀλλ' ἂς ἀναβάλῃ καὶ ἂς ἐπιστρέψῃ εἰς τὸ κελλίον του, ἀπὸ εὐσπλαγχνικὴν πρὸς τὸν ἀδελφὸν ἀγάπην. Προσέχετε δὲ νὰ μὴ ἐναντιωθῆτε εἰς τὸν ἀδελφόν σας εἰς οὐδεμίαν περίπτωσιν, διὰ νὰ μὴ τὸν στενοχωρήσητε.

Ἐὰν συγκατοικῆτε καὶ ἐργάζεσθε ὁποιοδήποτε ἐργόχειρον, εἴτε μέσα εἰς τὸ κελλὶ εἴτε ἔξω ἀπὸ τὸ κελλί, καὶ σὲ φωνάξῃ ὁ ἀδελφός σου, μὴ τοῦ εἴπῃς· περίμενε ὀλίγον, διὰ νὰ ἀποτελειώσω τὸ ἐργόχειρόν αὐτό, ἀλλ' ἀμέσως νὰ ὑπακούσῃς. Ἐὰν συγκατοικῇς μὲ κάποιον, ἢ φιλοξενεῖσαι κάπου καὶ λάβῃς κάποιαν ἐντολήν, πρόσεξε, δι' ὄνομα τοῦ Θεοῦ, νὰ μὴ καταφρονήσῃς, τὴν ἐντολὴν αὐτήν, καὶ ἐπιδιώξῃς, εἴτε κρυφίως εἴτε φανερῶς, νὰ τὴν παραβῇς.

Ἐὰν συγκατοικῇς μὲ τὸν πνευματικόν σου πατέρα ἢ μὲ ἀδελφόν, πρόσεχε νὰ μὴ διατηρῇς κρυφίως φιλίαν μὲ κάποιον ἄλλον ποὺ δὲν θέλεις νὰ τὸ μάθουν οἱ ἀδελφοὶ ποὺ συγκατοικοῦν μαζί σου· διότι τοιουτοτρόπως καὶ τὸν ἑαυτόν σου καὶ ἐκεῖνον παρασύρεις εἰς τὴν ἀπώλειαν. Μὲ τὸν τρόπον ποὺ ὑποτάσσεται τὸ ζῶον εἰς τὸν ἄνθρωπον, πρέπει καὶ κάθε ἄνθρωπος νὰ ὑποτάσσηται εἰς τὸν πλησίον του, χάριν τοῦ Θεοῦ. Καὶ

ὅπως ἀκριβῶς τὸ ζῷον δὲν ἔχει θέλημα, οὔτε γνώμην ἰδικήν του, ἔτσι καὶ ἐγὼ πρέπει νὰ κάμνω ὄχι μόνον ἀπέναντι ἐκείνου, μὲ τὸν ὁποῖον συγκατοικῶ, ἀλλὰ καὶ ἀπέναντι ἐκείνου, ποὺ μοῦ ἐναντιώνεται καὶ νὰ ὑποτάξω τὴν γνώμην μου εἰς τὸν ἀγνοοῦντα καὶ τὸ θέλημά μου εἰς τὸν ἀνόητον. Καὶ τότε θὰ γνωρίσω ἐπακριβῶς τὸν ἑαυτόν μου καὶ θὰ ἀντιληφθῶ τί μὲ βλάπτει· ἐκεῖνος, ποὺ ἔχει πεποίθησιν εἰς τὴν ἀρετήν του καὶ τὸ δίκαιόν του καὶ ἐπιμένει εἰς τὸ θέλημά του, δὲν δύναται νὰ ἀποφύγῃ τὴν ἔχθραν, οὔτε νὰ ἀναπαυθῇ ψυχικά, οὔτε νὰ ἴδῃ εἰς ποῖα σημεῖα ὑστερεῖ. Ὁ τοιοῦτος, ὅταν ἐξέλθῃ τοῦ σώματός του (ὅταν δηλαδὴ ἀποθάνῃ) εἶναι δύσκολον νὰ εὕρῃ εὐσπλαγχνίαν ἀπὸ τὸν Θεόν.

Σὺ λοιπόν, ἀδελφέ, νὰ μὴ ἀγαπᾷς τὰ μαλώματα, διὰ νὰ μὴ κατοικήσῃ κάθε πονηρία ἐντός σου· οὔτε ἀπὸ μόνος σου νὰ νομίζῃς ὅτι εἶσαι συνετός, διὰ νὰ μὴ πέσῃς εἰς τὰ χέρια τῶν ἐχθρῶν σου. Συνήθιζε τὴν γλῶσσαν σου νὰ λέγῃ· συγχώρεσέ με, καὶ τότε θὰ ἔλθῃ ἡ ταπείνωσις ἐπάνω σου. Τὸ νὰ ὑποτάξῃς τὸ θέλημά σου εἰς τὸν πλησίον συμβαίνει, διότι ὁ νοῦς βλέπει τὰς ἀρετάς· ἀντιθέτως τὸ νὰ ἐπιμένῃς εἰς τὸ θέλημά σου καὶ νὰ ἐναντιώνεσαι πρὸς τὸν πλησίον, φανερώνει ἀγνωσίαν.

(Φρόντισε λοιπόν, ἀγαπητέ, νὰ ὑποτάξῃς, εἰς ὅλας τὰς περιπτώσεις, τὸ θέλημά σου εἰς τὸν πλησίον, διότι τὸ νὰ ἐπιμένῃς εἰς τὸ θέλημά σου καταστρέφει ὅλας τὰς ἀρετάς· ἐκεῖνος, ποὺ σκέπτεται ὀρθῶς, κόπτει μὲ πραότητα τὸ θέλημά του, διότι φοβεῖται ὡς δράκοντα τὴν φιλονεικίαν· ἐπειδὴ ἡ φιλονεικία καταστρέφει κάθε πνευματικὴν οἰκοδομὴν καὶ σκοτίζει τὴν ψυχήν, διὰ νὰ μὴ ἴδῃ τὸ φῶς τῶν ἀρετῶν. Τὸ κατηραμένον αὐτὸ πάθος ἀναμιγνύεται μὲ τὰς ἀρετάς, μέχρις ὅτου τὰς καταστρέψῃ.)

Δι' αὐτὸ λοιπὸν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, δεικνύων εἰς ἡμᾶς, ὅτι ἐὰν ὁ ἄνθρωπος δὲν κόψῃ αὐτὸ τὸ ἄτιμον πάθος, δὲν ἠμπορεῖ νὰ προκόψῃ κατὰ Θεόν, δὲν ἀνέβη εἰς τὸν Σταυρόν, παρὰ ἀφοῦ προηγουμένως ἐξεδίωξε τὸν Ἰούδαν ἀπὸ τὸν κύκλον τῶν μαθητῶν (Ἰωάν. ιγ', 25—31). Διότι τὸ πάθος τῆς φιλονεικίας τὸ παρακολουθοῦν ὅλα τὰ κακὰ καὶ ὅλα ὅσα μισεῖ ὁ Θεὸς κατοικοῦν εἰς τὴν ψυχὴν τοῦ φιλονείκου. Μὲ τὸ νὰ κόψῃς λοιπὸν τὸ θέλημά σου, εἰρηνεύουν μεταξύ των αἱ ἀρεταί, καὶ τὸ ἡγεμονικὸν τῆς ψυχῆς καθίσταται ἀτάραχον. Αὐτὸ ἀκριβῶς ζητεῖ ὁ Θεός, περισσότερον ἀπὸ ὅλας τὰς ἄλλας ἀρετάς, τὸ νὰ ταπεινωθῇ ὁ ἄνθρωπος εἰς τὸν πλησίον καὶ νὰ ὑποταχθῇ ἐνώπιον αὐτοῦ εἰς ὅλα. Ἐκεῖνα ποὺ γεννοῦν τὴν φιλονεικίαν εἶναι τὰ ἑξῆς: ἡ πολυλογία, τὸ νὰ μεταφέρῃς εἰς τὸν καθένα λόγους ποὺ τοῦ ἀρέσουν, ἡ ἐλευθεριότης, ἡ διπροσωπία, τὸ νὰ θέλῃς νὰ ἐπικρατήσῃ ὁ λόγος σου· ὅλα αὐτὰ γεννοῦν τὴν φιλονεικίαν καὶ ἡ ψυχὴ αὐτοῦ ποὺ ἔχει αὐτὰ τὰ ἐλαττώματα εἶναι κατοικητήριον ὅλων τῶν παθῶν.

ΣΤ'. Τοῦ Ἀββᾶ Μάρκου

[illegible]

ἀλλὰ δι' ὧν ὁ πνευματικὸς παρακελεύεται νόμος· δι' ὑπομονῆς καὶ προσευχῆς καὶ μονολογίστου ἐλπίδος.

Ἑρμηνεία

ΝΑ μὴ δοκιμάζῃς πρᾶγμα δύσκολον ἢ νὰ μὴ ἐπιχειρῇς νὰ ξεδιαλύνῃς ζήτημα τῆς Γραφῆς μὲ φιλονεικίαν, ἀλλὰ μὲ ἐκεῖνα τὰ μέσα, ποὺ διατάσσει ὁ πνευματικὸς νόμος· δηλαδὴ μὲ τὴν ὑπομονήν, τὴν προσευχήν, καὶ τὴν σταθερὰν ἐλπίδα.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Ποιμένος, ὅτι καλούμενος εἰς τὸ φαγεῖν παρὰ τὸ θέλημα αὐτοῦ, ἀ π ή ρ χ ε τ ο δ α κ ρ ύ ω ν, ἵνα μὴ παρακούσῃ τοῦ ἀδελφοῦ αὐτοῦ καὶ λυπήσῃ αὐτόν· ἀδελφοῦ δὲ λέγω, τοῦ συνοικοῦντος αὐτῷ· ἤτοι τοῦ Ἀββᾶ Ἀνοὺβ ἤ τινος τῶν λοιπῶν, οἷς συνῴκει.

2. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· πῶς ὀφείλουσιν εἶναι οἱ ἐν τῷ κοινοβίῳ; καὶ ἀπεκρίθη ὁ γέρων, ὅτι ὁ καθήμενος εἰς κοινόβιον ὀφείλει πάντας ὡς ἕνα βλέπειν καὶ τηρεῖν τὸ στόμα καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἀναπαύεται.

Ἑρμηνεία


ΕΛΕΓΟΝ διὰ τὸν Ἀββᾶν Ποιμένα, ὅτι ὅταν ἐκαλεῖτο διὰ νὰ φάγῃ, χωρὶς νὰ θέλῃ, μετέβαινε μὲ δάκρυα, διὰ νὰ μὴ παρακούσῃ τὸν ἀδελφόν του καὶ τὸν λυπήσῃ. Ἀδελφὸν δὲ ἐννοῶ τὸν συγκάτοικόν του, δηλαδὴ τὸν Ἀββᾶν Ἀνοὺβ ἢ κάποιον ἄλλον, ἀπὸ αὐτούς, μὲ τοὺς ὁποίους συγκατοικοῦσε.

2. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

— Πάτερ, πῶς πρέπει νὰ εἶναι αὐτοί, ποὺ μένουν εἰς τὸ κοινόβιον;

—Ἐκεῖνος, ποὺ μένει εἰς κοινόβιον — ἀπήντησεν ὁ Ἀββᾶς Ποιμήν— πρέπει νὰ βλέπῃ ὅλους τοὺς Μοναχοὺς ὡς ἕνα ἀδελφὸν καὶ νὰ προσέχῃ τὸ στόμα του καὶ τὰ μάτια του, ὁπόταν καὶ θὰ ἀναπαύεται.





ΥΠΟΘΕΣΙΣ ΜΓ΄

Ὅτι πάντα τὰ γινόμενα δικαιοσύνῃ Θεοῦ γίνεται· διὸ δεῖ τὸν πιστὸν τῇ προνοίᾳ ἀεὶ ἀκολουθεῖν καὶ μὴ τὸ οἰκεῖον ἐπιζητεῖν θέλημα, ἀλλὰ τὸ τοῦ Θεοῦ· ὁ γὰρ οὕτω πάντα ποιῶν ἢ δεχόμενος ἀναπαύεται.

Ὅτι ὅλα ὅσα γίνονται, διὰ τῆς δικαιοσύνης τοῦ Θεοῦ γίνονται· δι' αὐτὸ πρέπει ὁ πιστὸς νὰ ἀκολουθῇ πάντοτε τὴν θείαν Πρόνοιαν καὶ νὰ μὴ ἐπιδιώκῃ τὸ θέλημά του, ἀλλὰ νὰ ἐπιζητῇ τὸ θέλημα τοῦ Θεοῦ· διότι ὅποιος τοιουτοτρόπως ἐνεργεῖ ἢ δέχεται τὰ γεγονότα, ἀναπαύεται ψυχικῶς.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΙΠΕ γέρων· ἐὰν ἀσθενήσῃς καὶ αἰτήσῃς πρᾶγμα λαβεῖν παρά τινος εἰς χρείαν σου καὶ μὴ δώσῃ σοι, μὴ θλιβῇς κατ' αὐτοῦ, ἀλλ' εἰπέ· ὅτι εἰ ἤμην ἄξιος λαβεῖν, ἐπληροφόρησεν ἂν ὁ Θεὸς τὸν ἀδελφὸν δοῦναί μοι ἀγάπην.

2. Εἶπε πάλιν· ἐὰν κρατηθῇς εἰς ἀγάπην καὶ βάλωσί σε εἰς τὸν ἐλάχιστον τόπον, μὴ γογγύσῃ ὁ λογισμός σου, ἀλλὰ λέγε ὅτι οὐδὲ ὧδε ἤμην ἄξιος· τοῦτο γὰρ γίνωσκε, ὅτι οὐδὲ μία θλῖψις ἔρχεται τῷ ἀνθρώπῳ, εἰ μὴ ἄνωθεν ἐκ Θεοῦ πρὸς δοκιμὴν ἢ διὰ τὰς ἁμαρτίας αὐτοῦ· καὶ ὁ μὴ κρατῶν οὕτως, οὐ πιστεύει ὅτι ὁ Θεὸς κριτὴς δίκαιός ἐστιν.

3. Διηγεῖτό τις γέρων, ὅτι ποτὲ συναχθέντων τῶν Πατέρων ὠφελείας χάριν, ἀναστὰς εἷς ἐξ αὐτῶν, λαβὼν τὸ μικρὸν κερβικάριον τὸ ἐπικείμενον τῷ καθίσματι αὐτοῦ, ἔβαλεν ἐπάνω τῶν ὤμων αὐτοῦ, καὶ κρατῶν ταῖς δύο χερσὶν ἔστη ἐν μέσῳ πάντων κατὰ ἀνατολὰς βλέπων· καὶ ηὔξατο λέγων· ὁ Θεὸς ἐλέησόν με· καὶ ἀπεκρίνετο πρὸς ἑαυτὸν καὶ ἔλεγεν· εἰ θέλεις ἵνα σε ἐλεήσω, θὲς ὅπερ βαστάζεις καὶ ἐλεῶ σε· καὶ πάλιν ἔλεγεν· ὁ Θεὸς ἐλέησόν σε· καὶ ἀπεκρίνετο ἑαυτῷ· εἶπόν σοι, θὲς ὅπερ βαστάζεις καὶ ἐλεῶ σε· τοῦτο δὲ ἐπὶ πολὺ ποιήσας, ἐκάθισε· καὶ λέγουσιν αὐτῷ οἱ Πατέρες· εἰπὲ ἡμῖν τί ἐστιν ὃ ἐποίησας; καὶ ἀπεκρίθη αὐτοῖς· τὸ κερβικάριον, ὅπερ ἐβάσταζον ἐπὶ τῶν ὤμων μου, τὸ θέλημά μου ἐστί· καὶ παρεκάλουν τὸν Θεὸν ἵνα μετ' αὐτοῦ ἐλεήσῃ με· καὶ εἶπέ μοι· ἄφες ὃ βαστάζεις καὶ ἐλεῶ σε. Καὶ ἡμεῖς οὖν,

φησιν, εἰ θέλομεν ἐλεηθῆναι ὑπὸ τοῦ Θεοῦ, ἀφήσωμεν τὰ ἴδια θελήματα καὶ τυγχάνομεν ἐλέους.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων ἀσκητὴς εἶπεν· ἐὰν ἀρρωστήσῃς καὶ ζητήσῃς ἀπὸ κάποιον νὰ πάρῃς κάτι διὰ τὴν ἀνάγκην σου καὶ δὲν σοῦ τὸ δώσῃ, νὰ μὴ στενοχωρηθῇς ἐναντίον του, ἀλλὰ νὰ εἰπῇς εἰς τὸν ἑαυτόν σου· ἐὰν ἤμουν ἄξιος νὰ τὸ πάρω, θὰ ἠμποροῦσεν ὁ Θεὸς νὰ πληροφορήσῃ τὸν ἀδελφόν, νὰ μοῦ τὸ προσφέρῃ ὡς ἐλεημοσύνην.

2. Εἶπε πάλιν ὁ ἴδιος· ἐὰν κληθῇς εἰς ἀγάπην* καὶ σὲ βάλουν εἰς θέσιν ἀσήμαντον, νὰ μὴ γογγύσῃ ὁ λογισμός σου ἐναντίον τῶν φιλοξενούντων ἀλλὰ νὰ λέγῃς ἀπὸ μέσα σου· οὔτε ἐδῶ δὲν ἤμουν ἄξιος νὰ καθήσω. Διότι τοῦτο πρέπει νὰ γνωρίζῃς, ὅτι οὐδεμία στενοχωρία δὲν ἐπέρχεται εἰς τὸν ἄνθρωπον, ἐὰν ὁ Θεὸς δὲν τὸ ἐπιτρέψῃ ἄνωθεν, ἢ χάριν δοκιμασίας τῆς πίστεως, ἢ διὰ τὰς ἁμαρτίας του. Αὐτὸς δὲ ποὺ δὲν σκέπτεται κατ' αὐτὸν τὸν τρόπον, δὲν πιστεύει ὅτι ὁ Θεὸς εἶναι δίκαιος κριτής.

3. Ἕνας Γέρων διηγεῖτο ὅτι κάποτε συνεκεντρώθησαν οἱ Πατέρες χάριν πνευματικῆς ὠφελείας· ἔξαφνα ἐσηκώθη ἕνας ἀπὸ αὐτοὺς καὶ ἐπῆρε τὸ μικρὸν μαξιλάρι, ποὺ ἦτο ἐπάνω εἰς τὸ κάθισμά του· ἀφοῦ δὲ τὸ ἔβαλεν ἐπάνω εἰς τοὺς ὤμους του καὶ τὸ ἐκράτησε μὲ τὰ δύο του χέρια, ἐστάθη εἰς τὸ μέσον ὅλων καὶ βλέπων κατὰ ἀνατολὰς προσηυχήθη λέγων· Θεέ μου, ἐλέησόν με· συγχρόνως ἀπαντοῦσε πρὸς τὸν ἑαυτόν του· ἐὰν θέλῃς νὰ σὲ ἐλεήσω, ἄφησε αὐτὸ ποὺ βαστάζεις καὶ θὰ σὲ ἐλεήσω.

Καὶ πάλιν ἔλεγε· Θεέ μου, ἐλέησόν με· καὶ ἀπαντοῦσεν, ἐκ νέου, εἰς τὸν ἑαυτόν του· σοῦ εἶπα, ἄφησε αὐτὸ ποὺ βαστάζεις καὶ θὰ σὲ ἐλεήσω. Τὴν σκηνὴν αὐτὴν ἐπανέλαβεν ἐπὶ πολλὰς φορὰς καί, εἰς τὸ τέλος, ἐκάθισε. Τότε τὸν ἐρωτοῦν οἱ Πατέρες:

—Ἐξήγησέ μας, τί σημαίνει αὐτό, ποὺ ἔκανες;

Ὁ Γέρων τοὺς ἀπήντησε:

— Τὸ μαξιλαράκι, ποὺ ἐβάσταζα ἐπάνω εἰς τοὺς ὤμους μου, συμβολίζει τὸ θέλημά μου· καὶ παρεκάλουν τὸν Θεὸν νὰ μὲ ἐλεήσῃ, φέροντα τὸ θέλημά μου· καὶ μοῦ ἔλεγεν ὁ Θεός, ἄφησε αὐτὸ ποὺ βαστάζεις, δηλαδὴ τὸ θέλημά σου, καὶ θὰ σὲ ἐλεήσω.

Καὶ ἡμεῖς λοιπὸν — συνεπέρανεν ὁ Γέρων ἀσκητὴς — ἐὰν θέλωμεν νὰ μᾶς ἐλεήσῃ ὁ Θεός, ἂς ἐγκαταλείψωμεν τὰ θελήματά μας καὶ θὰ ἐπιτύχωμεν, ὁπωσδήποτε, τὸ θεῖον ἔλεος.

* Ἀγάπη εἶναι ἡ φιλοξενία καὶ ἡ περιποίησις ξένου εἰς κοινὴν τράπεζαν. Ἀγάπαι ἐκαλοῦντο καὶ αἱ δημόσιαι συγκεντρώσεις τῶν πρώτων χριστιανῶν, κατὰ τὰς ὁποίας παρετίθετο πρὸς ὅλους κοινὸν λιτὸν γεῦμα.

Β'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΔΕΛΦΕ, ἐάν τί σοι συμβῇ πρᾶγμα, εἴτε ἐν ἔργῳ, εἴτε ἐν λόγῳ, εἴτε ἐν διανοίᾳ, μὴ ζήτει τὸ καθόλου τὸ σεαυτοῦ θέλημα μηδὲ τὴν σὴν ἀνάπαυσιν, ἀλλὰ σπούδαζε τὸ θέλημα τοῦ Θεοῦ ἐρευνᾶν ἀκριβῶς, καὶ τελείως τοῦτο ποιεῖν, εἰ καὶ κόπον φαίνεται ἔχον, πιστεύων ἐξ ὅλης καρδίας ὅτι τοῦτο συμφέρει ὑπὲρ πᾶσαν φρόνησιν ἀνθρωπίνην· ἡ γὰρ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι· καὶ οἱ ἐκζητοῦντες αὐτὴν οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, ἐὰν σοῦ συμβῇ κάποια δυσκολία, εἴτε εἰς τὴν ἐργασίαν σου, εἴτε εἰς λόγον, εἴτε ἀκόμη καὶ εἰς τὴν σκέψιν σου, νὰ μὴ ἐπιζητῇς καθόλου τὸ θέλημά σου, ἀλλὰ νὰ φροντίζῃς νὰ ἀνακαλύπτῃς, μετὰ προσοχῆς, τὸ θέλημα τοῦ Θεοῦ καὶ νὰ τὸ ἐφαρμόζῃς ἐπακριβῶς, ἔστω καὶ ἐὰν παρουσιάζῃ κόπον ἡ ἐκτέλεσίς του. Νὰ πιστεύῃς μὲ ὅλην σου τὴν καρδίαν, ὅτι τὸ θέλημα τοῦ Θεοῦ συμφέρει εἰς σὲ περισσότερον ἀπὸ κάθε ἀνθρωπίνην σύνεσιν. Διότι ἡ ἐντολὴ τοῦ Θεοῦ εἶναι αἰώνιος ζωὴ καὶ ἐκεῖνοι ποὺ τὴν ἐπιζητοῦν, δὲν θὰ στερηθοῦν ἀπὸ κανένα ἀγαθόν.

Γ'. Τοῦ Ἀββᾶ Μάρκου

ΤΙΝΕΣ φρονίμους λέγουσι τοὺς διακριτικοὺς τῶν αἰσθητῶν πραγμάτων· φρόνιμοι δέ εἰσιν οἱ ἐπικρατοῦντες τῶν ἰδίων θελημάτων. Ὁ μὴ συναλλάσσων τῷ Θεῷ τὸ ἑαυτοῦ θέλημα, ὑποσκελίζεται ἐν τοῖς ἰδίοις ἐπιτηδεύμασι, καὶ ὑποχείριος τῶν ἀντιπάλων γίνεται. Ὅταν λῦσαι θέλῃς πρᾶγμα ἐμπεπλεγμένον, ζήτει περὶ αὐτοῦ τί τῷ Θεῷ ἀρέσκει, καὶ εὑρήσεις αὐτοῦ τὴν λύσιν ἐπωφελῆ. Ἐν οἷς ἂν πράγμασιν εὐδοκεῖ ὁ Θεός, ἐν τούτοις καὶ πᾶσα ἡ κτίσις ὑπηρετεῖ· ἐν οἷς δὲ αὐτὸς ἀποστρέφεται, ὁμοίως καὶ ἡ κτίσις ἀντιτάσσεται. Ὁ ἀντιτασσόμενος ταῖς σκυθρωπαῖς ἐπιφοραῖς, ὡς οὐκ οἶδεν ἀντιμάχεται τῇ κελεύσει τοῦ Θεοῦ· ὁ δὲ καταδεχόμενος αὐτὰς μετὰ γνώσεως ἀληθοῦς, οὗτος κατὰ τὴν γραφὴν ὑπομένει τὸν Κύριον. Πειρασμοῦ ἐπελθόντος, μὴ ζήτει διὰ τί ἢ διὰ τίνος ἐλήλυθεν, ἀλλ' ὅπως ἂν αὐτὸν εὐχαρίστως καὶ ἀμνησικάκως ὑπομείνῃς.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ ὀνομάζουν φρονίμους ἐκείνους ποὺ διακρίνουν τὰ αἰσθητὰ πράγματα· φρόνιμοι ὅμως εἶναι ὅσοι κατορθώνουν νὰ ἐπιβληθοῦν εἰς τὰ θελήματά των. Ἐκεῖνος ποὺ δὲν ὑποτάσσει τὸ θέλημά του εἰς τὸν Θεόν, περιπλέκεται ἀπὸ τὰ ἴδια τὰ ἔργα του, καὶ γίνεται πλέον ὑποχείριος εἰς τοὺς ἀντιπάλους του. Ὅταν θέλῃς νὰ ξεδιαλύνῃς μίαν ὑπόθεσιν μπερδεμένην, νὰ ζητῇς δι' αὐτὸ τί ἀρέσει εἰς τὸν Θεόν, καὶ θὰ εὕρῃς ὁπωσδήποτε ὠφέλιμον λύσιν δι' αὐτό. Εἰς ὅσα ζητήματα ἀναπαύεται ὁ Θεός, αὐτὰ καὶ ὁλόκληρος ἡ κτίσις τὰ δέχεται· ἀντιθέτως ὅσα ἀποστρέφεται ὁ Θεός, εἰς αὐτὰ ὁμοίως καὶ ἡ κτίσις ἀντιτάσσεται. Ἐκεῖνος, ὁ ὁποῖος ἐναντιώνεται εἰς τὰς θλιβερὰς περιστάσεις, χωρὶς νὰ τὸ γνωρίζῃ, ἀντιμάχεται

εἰς τὴν διαταγὴν τοῦ Θεοῦ· ἐκεῖνος ὅμως, ποὺ τὰς ὑπομένει, διότι γνωρίζει πραγματικῶς τὰς αἰτίας των, αὐτός, κατὰ τὴν Ἁγίαν Γραφήν, περιμένει ὑπομονητικὰ τὸν Κύριον. Ὅταν ἔλθῃ πειρασμός, νὰ μὴ ζητῇς διατί, ἢ ἀπὸ ποίαν αἰτίαν ἔχει ἔλθει, ἀλλὰ νὰ φροντίζῃς πῶς θὰ ἠμπορέσῃς νὰ τὸν ὑπομείνῃς μὲ περισσοτέραν εὐχαρίστησιν καὶ ἀμνησικακίαν.

Δ'. Τοῦ Ἁγίου Διαδόχου

ΠΑΝΤΕΣ οἱ ἄνθρωποι κατ' εἰκόνα ἐσμὲν τοῦ Θεοῦ· τὸ δὲ καθ' ὁμοίωσιν ἐκείνων μόνον ἐστί, τῶν διὰ πολλῆς ἀγάπης τὴν ἑαυτῶν ἐλευθερίαν δουλωσάντων τῷ Θεῷ· ὅτε γὰρ οὐκ ἐσμὲν ἑαυτῶν, τότε ὅμοιοί ἐσμεν τῷ ἡμᾶς ἑαυτῷ δι' ἀγάπης καταλλάξαντι.

Ἑρμηνεία


ΟΛΟΙ οἱ ἄνθρωποι εἴμεθα δημιουργημένοι κατ' εἰκόνα Θεοῦ· τὸ νὰ γίνουν ὅμως οἱ ἄνθρωποι καὶ καθ' ὁμοίωσιν Θεοῦ, ἀνήκει μόνον εἰς ἐκείνους, ποὺ ἀπὸ πολλὴν ἀγάπην ὑπέταξαν τὴν ἐλευθερίαν των εἰς τὸν Θεόν. Ὅταν δηλαδὴ δὲν ἀνήκωμεν εἰς τὸν ἑαυτόν μας, τότε εἴμεθα ὅμοιοι πρὸς Ἐκεῖνον, ποὺ διὰ τῆς ἀγάπης συνεφιλίωσεν ἡμᾶς πρὸς τὸν Ἑαυτόν Του.

Ε'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἰσίδωρος· ἡ σύνεσις τῶν ἁγίων, αὕτη ἐστί· τὸ ἐπιγνῶναι τὸ θέλημα τοῦ Θεοῦ· πάντων γὰρ περιγίνεται ὁ ἄνθρωπος ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας, ὅτι εἰκὼν καὶ ὁμοίωμα τοῦ Θεοῦ ἐστι. Πάντων δὲ τῶν παθῶν δεινότερόν ἐστι τὸ ἀκολουθεῖν τῇ ἑαυτοῦ καρδίᾳ, ἤγουν πείθεσθαι τῷ ἰδίῳ θελήματι, καὶ μὴ τῷ νόμῳ τοῦ Θεοῦ, ὃ κατ' ἀρχὰς μὲν τῷ ἀνθρώπῳ φαίνεται ὡς ἀνάπαυσίν τινα ἔχον, ὕστερον δὲ γίνεται αὐτῷ εἰς πένθος, ἀγνοήσαντι τὸ μυστήριον τῆς θείας οἰκονομίας καὶ μὴ εὑρόντι τὴν ὁδὸν τοῦ Θεοῦ ἵνα πορευθῇ ἐν αὐτῇ.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἰσίδωρος εἶπεν· ἡ φρονιμάδα τῶν Ἁγίων εἶναι, ὅτι ἐγνώρισαν ἀκριβῶς τὸ θέλημα τοῦ Θεοῦ. Διότι ὅλα τὰ νικᾷ ὁ ἄνθρωπος διὰ τῆς ὑπακοῆς εἰς τὴν ἀλήθειαν, ἐπειδὴ εἶναι εἰκὼν καὶ ὁμοίωμα τοῦ Θεοῦ. Ἀπὸ ὅλα δὲ τὰ πάθη τὸ πιὸ φοβερὸν εἶναι νὰ ἀκολουθῇ κανεὶς τὰς ἐμπνεύσεις τῆς καρδίας του, νὰ ὑπακούῃ δηλαδὴ εἰς τὸ θέλημά του, καὶ ὄχι εἰς τὸν νόμον τοῦ Θεοῦ. Αὐτὸ τὸ πάθος φαίνεται, κατ' ἀρχάς, ὅτι ἀναπαύει τὸν ἄνθρωπον κάπως, ὕστερα ὅμως μεταβάλλεται μέσα του εἰς πένθος, ἐπειδὴ παρέβλεψε τὸ μυστήριον τῆς θείας οἰκονομίας καὶ δὲν ἀνεῦρε τὴν ὁδὸν τοῦ Θεοῦ, διὰ νὰ τὴν ἀκολουθήσῃ.



ΥΠΟΘΕΣΙΣ ΜΔ'

Ὅτι ἡ ταπεινοφροσύνη τοῖς δαίμοσιν ἀνάλωτος ὅλως ἐστὶ καὶ τίς ἡ τῆς ταπεινοφροσύνης γένεσις καὶ τίς ἡ δύναμις· καὶ ὅτι ὑπὲρ πάσας τὰς ἀρετὰς ἡ ταπείνωσις καὶ μόνη συντόμως σῴζει τὸν ἄνθρωπον.

Ὅτι ἡ ταπεινοφροσύνη εἶναι τελείως ἀκατανίκητος ἀπὸ τοὺς δαίμονας, καὶ πῶς γεννᾶται ἡ ταπεινοφροσύνη καὶ ποία εἶναι ἡ δύναμίς της· ὅτι ἡ ταπείνωσις περισσότερον ἀπὸ ὅλας τὰς ἀρετὰς ἔχει τὴν δύναμιν καὶ μόνη της νὰ σώσῃ τὸν ἄνθρωπον.



Α'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου



ΤΙΣ ἀνὴρ Σιλβανὸς καλούμενος ἀπὸ μίμων, τῇ μονῇ τοῦ Ἁγίου Παχωμίου προσῆλθε, θέλων ἀποτάξασθαι· καὶ μηνυθέντος περὶ αὐτοῦ τῷ ὁσίῳ, καλέσας αὐτὸν λέγει πρὸς αὐτόν· βλέπε, ἀδελφέ, ὅτι κόπος ἐστὶ καὶ χρεία νηφούσης ψυχῆς, καὶ σώφρονος λογισμοῦ πρὸς τὸ δυνηθῆναι μετὰ τὴν χάριν τοῦ Θεοῦ ἀντιστῆναι πρὸς τὸν θλίβοντα, τῆς προτέρας μάλιστα συνηθείας ὠθούσης ἐπὶ τὸ χεῖρον. Καὶ συνταξαμένου αὐτοῦ πάντα ποιεῖν, κατὰ τὴν διδαχὴν τοῦ Μεγάλου, εἰσεδέξατο αὐτὸν ὁ Πατήρ. Οὗτος ἐπὶ πολὺν χρόνον ἀγωνισάμενος, αὖθις ἤρξατο καταμελεῖν τῆς ἑαυτοῦ σωτηρίας καὶ ἕλκεσθαι πρὸς σπατάλην, καὶ ταῖς εὐτραπελίαις θέλγεσθαι, ἔτι μὴν καὶ τὰ τῆς θυμέλης ἄσεμνα ῥήματα ἀδεῶς μεταξὺ τῶν ἀδελφῶν τραγῳδεῖν. Τοῦτον καλέσας ὁ Ἅγιος, μετὰ εἰκοσαετῆ τῆς ἀσκήσεως χρόνον, ἐκέλευσεν ἐπὶ τῶν ἀδελφῶν ἀποδυθῆναι τὸ σχῆμα τοῦ Μοναχοῦ καὶ λαβόντα τὰ κοσμικὰ ἱμάτια ἐκβληθῆναι τῆς μονῆς.

Ὁ δὲ πεσὼν πρὸς τοῖς ποσὶ τοῦ ἁγίου γέροντος, παρεκάλει λέγων· ἔτι τοῦτο συγχώρησόν μοι, Πάτερ, καὶ πιστεύω εἰς τὸν σώζοντα τοὺς ἀσθενεῖς δεσπότην, ὅτι περ ἕξεις με μετανοοῦντα ἐφ' οἷς ἐν ἀμελείᾳ διῆγον, ὥς τε σε ἡσθέντα ἐπὶ τῇ μεταβολῇ τῆς ψυχῆς μου εὐχαριστῆσαι τῷ Θεῷ. Ὁ δὲ Μέγας ἀποκριθεὶς λέγει πρὸς αὐτόν· οἶδας πόσα σε ἐβάστασα, ὡς ἀναγκασθῆναί με καὶ πληγαῖς πολλάκις σοι χρήσασθαι, μηδέποτε ἐπ' ἄλλον ἄνθρωπον τοιοῦτόν τι ἐνδειξάμενον ἢ κἂν ἐκτεῖναι χεῖρα πρός τινα βουληθέντα· ἐπὶ σοῦ δὲ μόνου τοῦτο ἠναγκαζόμην ποιεῖν, μᾶλλον σοῦ τοῦ

τυπτομένου ἀλγῶν τὴν ψυχὴν τῷ τῆς συμπαθείας δεσμῷ· οὐδενὸς γὰρ ἑτέρου ἕνεκεν, ἀλλ' ἢ διὰ τὴν σωτηρίαν τὴν σὴν τοῦτο ποιεῖν ἐδόκουν, ὅπως κἂν οὕτω δυνηθῶ διορθώσασθαί σε τῶν πταισμάτων.

Εἰ τοίνυν τοσαύτας παραινέσεις δεξάμενος ἐπὶ τὸ κρεῖττον ἐλθεῖν οὐκ ἠβουλήθης, οὔτε μὴν πληγαῖς αἰκιζόμενος αἱρήσασθαι τὸ συμφέρον, πῶς δύναμαι ἐγὼ ἐπὶ πολὺ μέλος νενοσηκὸς τῇ ποίμνῃ τοῦ Χριστοῦ συγχωρεῖν συναγελάζεσθαι, μήπως ἡ τοῦ ἑνὸς ψώρα πᾶσι συναναχρωσθεῖσα, οὐκ ὀλίγον τῆς ἀδελφότητος λυμανεῖται μέρος; Οὕτως οὖν τοῦ Πατρὸς ἐνισταμένου κἀκείνου ἐπὶ πλεῖον τὴν παράκλησιν ἐπεκτείνοντος, διαβεβαιουμένου τε διορθοῦσθαι ἑαυτὸν τοῦ λοιποῦ, ἐγγύας παρ' αὐτοῦ ᾔτει ὁ Παχώμιος, ὥς τε μὴ τοῖς αὐτοῖς αὐτὸν ἐπιμένειν πάλιν.

Πετρωνίου τοίνυν ἀνδρὸς ἁγίου καὶ θαυμαστοῦ ἀναδεξαμένου αὐτὸν ἐφ' οἷς ὑπισχνεῖτο, συνεχώρησεν αὐτῷ ὁ μακάριος· καὶ ἐπευξάμενος παρέδωκε τῷ Πετρωνίῳ. Ὁ δὲ τυχὼν τῆς ἀφέσεως, οὕτως ἑαυτὸν ἐταπείνωσεν, ὥς τε αὐτὸν τύπον καὶ ὑπογραμμὸν γενέσθαι πολλοῖς, μᾶλλον δὲ καὶ πάσῃ τῇ ἀδελφότητι, κατὰ πᾶσαν μὲν ἀρετὴν εὐσεβείας, ἐξαιρέτως δὲ ἐν τοῖς κατὰ Θεὸν δάκρυσιν, ὡς καὶ ἐσθίοντος αὐτοῦ πολλάκις τὴν τῶν δακρύων φορὰν ποταμηδὸν χέεσθαι, καὶ μὴ δύνασθαι αὐτὸν ἐπισχεῖν, ἀλλὰ συμμίγνυσθαι καὶ αὐτῇ τῇ ἀναγκαίᾳ τροφῇ καὶ πληροῦσθαι ἐπ' αὐτῷ τὸ Δαβιτικὸν ἐκεῖνο λόγιον· τό, «σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων».

Λεγόντων δὲ αὐτῷ τῶν ἀδελφῶν μὴ ἐπὶ ξένων ἢ ὅλως ἑτέρων τινῶν τοῦτο ἐποίει, διϊσχυρίζετο λέγων, ὅτι πολλάκις βουληθεὶς ἐγκρατεύσασθαι ταύτης μάλιστα τῆς αἰτίας, ὅλως οὐκ ἠδυνήθην. Αὐτῶν δὲ πάλιν δυνατὸν εἶναι λεγόντων, καθ' ἑαυτὸν μὲν ἐν κατανύξει τοῦτο ποιεῖν καὶ ἐν τῇ προσευχῇ, ἐπὶ δὲ τῆς τραπέζης ἐσθίοντα ἐγκρατεύεσθαι (δύναται γάρ, ἔφασκον, ψυχὴ καὶ χωρὶς τῶν ἔξωθεν δακρύων πάντοτε ἐν κατανύξει εἶναι) καὶ ἀναγκαζόντων μαθεῖν τίνος ἕνεκεν βρέχεται τοῖς δάκρυσι, μᾶλλον δὲ καὶ κωλυόντων (ἐρυθριᾶν γάρ, ἔλεγον, πολλοὺς ἐξ ἡμῶν εἰς σὲ βλέποντας καὶ μήτε ἐσθίειν δύνασθαι), ἐκεῖνος φησὶ πρὸς αὐτούς· οὐ βούλεσθε, ἀδελφοί, ἵνα κλαύσω ὁρῶν ἁγίους ὑπηρετοῦντάς μοι, ὧν καὶ ὁ κονιορτὸς τῶν ποδῶν μέγας ἐμοί, καὶ ὧν οὐδόλως ἐγὼ ἄξιος εἰμί; οὐκ ὀφείλω οὖν πενθεῖν;

Εἴπατέ μοι ὅτι ἀπὸ θυμέλης ἄνθρωπος ὑπηρετοῦμαι ὑπὸ τοιούτων ἁγίων ἀνδρῶν. Πενθῶ οὖν, ἀδελφοί μου, φοβούμενος ἐφ' ἑκάστης, μήπως κατὰ Δαθὰν καὶ Ἀβειρὼν τοὺς βεβήλους καταποθῶ, ἐπιχειρούντων πονηραῖς προαιρέσεσι καὶ χερσὶν οὐ καθαραῖς θυμιᾶν εἰς τὰ ἅγια, ὅτι τοσαύτην γνῶσιν δεξάμενος, τῆς κατὰ ψυχὴν ἀμελῶ σωτηρίας. Διὰ τοῦτο οὐκ ἐπαισχύνομαι τοῦτο· οἶδα γὰρ τὰς πολλάς μου ἁμαρτίας· διὸ εἰ καὶ αὐτὴν τὴν ψυχὴν ἐπέδωκα, ξένον οὐδὲν ἐποίουν.

Τούτου οὕτω καλῶς ἀγωνιζομένου ἐπὶ πολύ, διεμαρτύρατο περὶ αὐτοῦ ἐπὶ πάντων ὁ Μέγας εἰπών· ἰδού, ἀδελφοί, διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ, ὅτι ἀφ' οὗ τὸ κοινόβιον τοῦτο γέγονεν, οὐδένα ἐκ πάντων τῶν συνόντων μοι ἀδελφῶν οἶδα μιμησάμενόν με, ἐκτὸς ἑνός. Ἀκούσαντες δὲ ταῦτα οἱ ἀδελφοί, οἱ μὲν ᾤοντο τοῦτον εἶναι Θεόδωρον, οἱ δὲ Πετρώνιον, οἱ δὲ Ὀρσίσιον. Πυθομένου οὖν τοῦ Θεοδώρου περὶ τίνος λέγει, οὐκ ἐβούλετο ὁ μέγας εἰπεῖν. Αὐτοῦ δὲ πάλιν σφοδρότερον ἐπιμένοντος, καὶ τῶν ἄλλων μεγάλων ἀδελφῶν παρακαλούντων, τίς ἂν εἴη οὗτος, μαθεῖν,

ἀπεκρίθη ὁ Μέγας λέγων· εἰ ἠπιστάμην ὅτι κενοδοξεῖν εἶχεν ἐπαινούμενος, περὶ οὗ μέλλω λέγειν, οὐκ ἂν συνέστησα τὸν τοιοῦτον· ἀλλ' ἐπειδὴ χάριτι Χριστοῦ οἶδα ὅτι ἐπαινούμενος μᾶλλον ταπεινοῖ ἑαυτόν, διὰ τοῦτο, πρὸς τὸ μιμεῖσθαι ὑμᾶς τὸν τούτου τρόπον, ἀφόβως ἐπὶ πάντων ὑμῶν μακαρίσω αὐτόν.

Σὺ μὲν γάρ, ὦ Θεόδωρε, καὶ ὅσοι εἰσὶ κατὰ σὲ ἐν τῇ μονῇ ἀγωνιζόμενοι, δήσαντες τὸν διάβολον ὡς στρουθίον ὑπὸ τοὺς πόδας ὑμῶν ἔθεσθε, καὶ καθ' ἑκάστην διὰ τῆς χάριτος τοῦ Κυρίου καταπατεῖτε τοῦτον ὡς χῶμα· ἀλλ' ἐὰν ἀμελήσητε ἑαυτῶν, ἀναστὰς ὑπὸ τοὺς πόδας ὑμῶν κείμενος ὁ διάβολος, ἐπαναστήσεται ὑμῖν.

Ὁ δὲ ἀδελφὸς Σιλβανός, ὁ πρὸ χρόνου ὀλίγου ἐκβληθῆναι παρ' ἡμῶν τῆς μονῆς μέλλων διὰ τὴν ἀμέλειαν αὐτοῦ, οὗτος νῦν ἐχειρώσατο παντελῶς τὸν διάβολον καὶ ἐξηφάνισεν αὐτόν, ὡς μὴ δύνασθαι ἔτι φανῆναι παρ' αὐτῷ, τῇ ὑπερβολῇ τῆς ἑαυτοῦ ταπεινοφροσύνης εἰς τέλος νικήσας αὐτόν· καὶ ἡμεῖς μέν, ὡς ἔχοντες ἔργα δικαιοσύνης, θαρρεῖτε ἐφ' οἷς ἤδη ἐπράξατε, οὗτος δέ, ὅσον ἀγωνίζεται, τοσοῦτον ἑαυτὸν ἀδόκιμον ἅπασιν ἐπιδείκνυσιν, ἐξ ὅλης αὐτοῦ ψυχῆς καὶ διανοίας ἀχρεῖον αὐτὸν ἐνθυμούμενος εἶναι· διὰ τοῦτο γὰρ καὶ τὸ δακρύειν πρόχειρον ἔχει, ἐκ τοῦ πρόχειρον ἑαυτὸν ἐξευτελίζειν καὶ μὴ λογίζεσθαι μηδὲν τῶν παρ' αὐτοῦ γινομένων κατορθωμάτων· οὐδὲν γὰρ οὕτω τὸν διάβολον ἐκνευρίζει, ὡς ἡ μετὰ πρακτικῆς δυνάμεως ἐξ ὅλης ψυχῆς γινομένη ταπεινοφροσύνη.

Οὕτως οὖν ἀγωνιζόμενος ὁ Σιλβανὸς ἐν ἄλλοις ὀκτὼ ἔτεσι πρὸς τοῖς εἴκοσι τοῖς πρώην, ἐτέλεσε τὸν δρόμον, μαρτυρηθεὶς ὑπὸ τοῦ ὁσίου, καὶ περὶ τῆς ἐξόδου αὐτοῦ εἰπόντος ὅτι πλῆθος Ἀγγέλων εἶδε μετὰ χαρᾶς μεγάλης τὴν ψυχὴν αὐτοῦ παραλαβόν, οἳ καὶ πρὸς οὐρανὸν ἀναδραμόντες, ταύτην ὡς θυσίαν ἐκλεκτὴν προσήγαγον τῷ Χριστῷ.

Ἑρμηνεία

ΕΝΑΣ ἄνθρωπος, ὀνομαζόμενος Σιλβανός, ποὺ ἦτο προηγουμένως θεατρῖνος, προσῆλθεν εἰς τὴν Μονὴν τοῦ Ἁγίου Παχωμίου, θέλων νὰ ἀρνηθῇ τὸν κόσμον, καὶ νὰ γίνῃ Μοναχός. Μόλις τὸν ἀνήγγειλαν εἰς τὸν Ὅσιον, τὸν καλεῖ καὶ τοῦ λέγει:

— Πρόσεχε, ἀδελφέ, διότι ἡ Μοναχικὴ ζωὴ ἀπαιτεῖ κόπον καὶ ἔχει ἀνάγκην ἀπὸ ἄγρυπνον ψυχὴν καὶ φρόνιμον σκέψιν, διὰ νὰ ἠμπορέσῃς, μὲ τὴν χάριν τοῦ Θεοῦ, νὰ ἀντισταθῇς πρὸς αὐτόν, ποὺ μᾶς στενοχωρεῖ, δεδομένου μάλιστα, ὅτι ὁ προηγούμενος βίος σου εἰς τὰ θέατρα σπρώχνει τὴν ψυχήν σου πρὸς τὸ χειρότερον.

Καὶ ἀφοῦ συνεφώνησεν ὁ Σιλβανός, ὅτι θὰ ἐκτελῇ ὅλα ὅσα τὸν ἐδίδαξεν ὁ Μεγάλος, τὸν ἐδέχθη εἰς τὴν ἀδελφότητα. Αὐτὸς λοιπὸν ἀφοῦ ἠγωνίσθη ἐπὶ πολὺν χρόνον, ἤρχισε πάλιν νὰ παραμελῇ τὴν σωτηρίαν του καὶ νὰ παρασύρεται πρὸς τὴν σπατάλην, νὰ εὐχαριστῆται εἰς τὰ ἀνόητα ἀστεῖα· ἔφθασεν ἀκόμη εἰς τὸ σημεῖον νὰ τραγουδᾷ καὶ τὰ ἄσεμνα τραγούδια τῆς θυμέλης*, χωρὶς ἐντροπὴν ἐνώπιον τῶν ἀδελφῶν τῆς Μονῆς

* Θυμέλη ἦτο βωμὸς (ἐξέδρα), ὁ ὁποῖος εὑρίσκετο εἰς τὸ μέσον τῶν ἀρχαίων θεάτρων, ὑψηλότερος δύο—τρία σκαλοπάτια ἀπὸ τὸ ἔδαφος. Ἐπὶ ἑνὸς σκαλοπατιοῦ

Ἀμέσως τότε τὸν ἐκάλεσεν ὁ Ἅγιος καί, μετὰ ἀπὸ εἴκοσι χρόνια μοναχικῆς ἀσκήσεως, τὸν διέταξε νὰ ἀποβάλῃ τὸ Μοναχικὸν σχῆμα ἐνώπιον τῶν Μοναχῶν, νὰ φορέσῃ καὶ πάλιν τὰ κοσμικά του ἐνδύματα καὶ νὰ ἐκδιωχθῇ ἀπὸ τὴν Μονήν.

Τότε, ὡς νὰ συνῆλθεν ὁ Σιλβανός, ἔπεσεν εἰς τὰ πόδια τοῦ ἁγίου Γέροντος καὶ τὸν παρεκάλει·

— Συγχώρησόν με ἀκόμη καὶ αὐτὴν τὴν φοράν, Πάτερ, καὶ πιστεύω ὅτι ὁ Δεσπότης, ποὺ σώζει τοὺς ἀσθενεῖς, (θὰ μὲ βοηθήσῃ) νὰ μὲ ἔχῃς μετανοοῦντα δι' ὅσα, μέχρι σήμερον, ἔζων εἰς ἀμέλειαν, ὥστε σὺ πρῶτος νὰ χαρῇς διὰ τὴν μεταβολὴν αὐτὴν τῆς ψυχῆς μου καὶ νὰ εὐχαριστήσῃς τὸν Θεόν.

Ὁ Ἅγιος Παχώμιος τοῦ ἀπήντησεν εἰς αὐτά.

— Γνωρίζεις καλῶς· εἰς πόσα πράγματα σὲ ἀνέχθηκα ἀφοῦ μὲ ἔφερες εἰς τὸ σημεῖον πολλὰς φορὰς καὶ νὰ σὲ κτυπήσω ἀκόμη, πρᾶγμα τὸ ὁποῖον οὐδέποτε ἔκανα εἰς ἄλλον ἄνθρωπον, οὔτε κἂν ἠθέλησα νὰ ἁπλώσω τὸ χέρι μου πρὸς ἄλλον· μόνον εἰς σὲ ἠναγκαζόμην νὰ χειροδικῶ, ὁπόταν ἐγὼ ἐπονοῦσα περισσότερον ἀπὸ σέ, λόγῳ τοῦ δεσμοῦ τῆς πνευματικῆς συμπαθείας. Ἄλλωστε δι' οὐδένα ἄλλον λόγον δὲν ἐχρησιμοποίουν τὸ σκληρὸν αὐτὸ μέτρον, παρὰ μόνον διότι ἐνόμιζον, ὅτι θὰ ἠμπορέσω νὰ σὲ διορθώσω ἀπὸ τὰ σφάλματά σου. Ἐφ' ὅσον λοιπὸν ἐδέχθης τόσας παραινέσεις καὶ δὲν ἠθέλησες νὰ ἔλθῃς εἰς τὸ καλύτερον, οὔτε ἀκόμη καὶ μὲ τὸ ξύλον, ποὺ σοῦ ἔδινα, δὲν ἐπροτίμησες τὸ συμφέρον σου, πῶς ἠμπορῶ πλέον ἐγὼ νὰ ἐπιτρέπω ἐπὶ πολὺ νὰ συναναστρέφεται, ἕνα ἀρρωστημένο μέλος, μὲ τὴν ποίμνην τοῦ Χριστοῦ; Μήπως ἡ ψώρα τοῦ ἑνὸς ἁπλωθῇ εἰς ὅλα καὶ καταστρέψῃ, ἐντὸς ὀλίγου, σημαντικὸν μέρος ἐκ τῆς ἀδελφότητος;

Τοιουτοτρόπως ὁ μὲν Πατὴρ ἠναντιοῦτο εἰς τὸν Σιλβανὸν καὶ αὐτὸς ἐπέμενεν εἰς τὴν παράκλησίν του καὶ διεβεβαίωνε τὸν Ἅγιον Παχώμιον, ὅτι ἀπ' ἐδῶ καὶ ἐμπρὸς θὰ διώρθωνε τὸν ἑαυτόν του· τότε ὁ Ἅγιος Παχώμιος τοῦ ἐζήτησεν ἐγγυήσεις, ὅτι δὲν θὰ ἐπιμένῃ πάλιν εἰς τὰ ἴδια. Τότε κάποιος Πετρώνιος, ἄνθρωπος ἅγιος καὶ θαυμάσιος, ἐδέχθη νὰ ἐγγυηθῇ ὅτι ὁ Σιλβανὸς θὰ τηρήσῃ τὰς ὑποσχέσεις του, καὶ ὁ Ἅγιος τὸν συνεχώρησεν. Ἀφοῦ δὲ τὸν ηὐλόγησε, τὸν παρέδωσεν εἰς τὸν Πετρώνιον.

Ὁ Σιλβανὸς μόλις ἔλαβε τὴν συγχώρησιν, τόσον πολὺ ἐταπείνωσε τὸν ἑαυτόν του, ὥστε ἔγινε διὰ πολλοὺς τύπος καὶ ὑπογραμμός, μᾶλλον δὲ δι' ὅλην τὴν ἀδελφότητα, δι' ὅλας τὰς ἀρετὰς ποὺ κατώρθωσεν, πρὸ παντὸς δὲ διὰ τὰ κατὰ Θεὸν δάκρυα. Τόσον πολὺ τὸν διέκρινεν ἡ κατὰ Θεὸν δακρύβρεκτος κατάνυξις, ὥστε καὶ ὅταν ἀκόμη ἔτρωγε, νὰ χύνωνται πολλὰς φορὰς τὰ δάκρυά του σὰν ποτάμι καὶ νὰ μὴ ἠμπορῇ νὰ τὰ συγκρατήσῃ, ἀλλὰ νὰ ἀναμιγνύωνται μὲ τὸ φαγητόν του καὶ νὰ ἐφαρμόζεται εἰς αὐτὸν τὸ ρητὸν τοῦ προφητάνακτος Δαυῒδ «ὁ ἄρτος ποὺ ἔφαγον, ἦτο

ἀνέβαινεν ὁ κορυφαῖος τοῦ χοροῦ, διὰ νὰ κανονίζῃ καὶ νὰ ρυθμίζῃ τὸν χορὸν τῶν χορευτῶν, οἱ ὁποῖοι ἐχόρευαν καὶ ἐτραγουδοῦσαν γύρω—γύρω ἀπὸ τὴν θυμέλην.

σὰν στάκτη καὶ τὸ ποτόν μου τὸ ἀνακάτευα μὲ τὰ δάκρυά μου» (Ψαλμ. ρα΄, 10).

Ὅταν δὲ οἱ ἀδελφοὶ τοῦ ἔλεγον μήπως τὸ κάνει αὐτὸ ἐνώπιον ξένων ἤ, ὁπωσδήποτε ἄλλων προσώπων, ἰσχυρίζετο, ὅτι πολλάκις ἠθέλησε νὰ συγκρατηθῇ, δι' αὐτὴν ἀκριβῶς τὴν αἰτίαν, καὶ δὲν τὸ κατώρθωσεν. Αὐτοὶ καὶ πάλιν ἐπέμενον, ὅτι ἦτο δυνατὸν νὰ δακρύῃ ἀπὸ κατάνυξιν καὶ ὅταν ἦτο μόνος του καὶ εἰς τὴν προσευχήν, νὰ συγκρατῆται ὅμως τὴν ὥραν, ποὺ τρώγει εἰς τὴν τράπεζαν (διότι ἠμπορεῖ, ἔλεγον, ἡ ψυχὴ νὰ εὑρίσκεται εἰς συνεχῆ κατάνυξιν πάντοτε καὶ χωρὶς τὰ ἐξωτερικὰ δάκρυα). Ἐπιμόνως δὲ ἐζήτουν νὰ μάθουν διὰ ποίαν αἰτίαν δακρύζει τόσον πολὺ καὶ μᾶλλον τὸν ἠμπόδιζον (διότι — τοῦ ἔλεγον — κοκκινίζομεν ἀπὸ ἐντροπήν, ὅταν σὲ βλέπωμεν καὶ πολλοὶ ἀπὸ ἡμᾶς οὔτε νὰ φάγουν δὲν ἠμποροῦν). Ἐκεῖνος τότε ἀπήντα πρὸς αὐτούς.

— Δὲν θέλετε λοιπὸν νὰ κλαύσω, ἀδελφοί μου, ὅταν βλέπω νὰ μὲ ὑπηρετοῦν ἅγιοι, τῶν ὁποίων καὶ ἡ σκόνη ἀκόμη τῶν ποδιῶν ἔχει μεγάλη ἀξίαν ἐνῷ δι' ἐμὲ δὲν εἶμαι ἄξιος καθόλου; Δὲν πρέπει λοιπὸν νὰ πενθῶ; Εἴπατέ μου ἀξίζω ἐγὼ ὁ θεατρίνος νὰ ὑπηρετοῦμαι ἀπὸ τοιούτους ἁγίους ἄνδρας; Πενθῶ λοιπόν, ἀδελφοί μου, διότι φοβοῦμαι καθημερινῶς, μήπως μὲ καταπίῃ καὶ ἐμὲ ἡ γῆ, ὅπως τὸν Δαθὰν καὶ Ἀβειρών, ποὺ ἐπεχείρησαν μὲ σκέψεις πονηρὰς καὶ ἀκάθαρτα χέρια νὰ θυμιάσουν εἰς τὰ Ἅγια*. Καὶ φοβοῦμαι, διότι ἐνῷ ἔχω γνωρίσει τόσα πράγματα, ἐν τούτοις ἀμελῶ τὴν ψυχικήν μου σωτηρίαν. Δι' αὐτὸ καὶ δὲν ἐντρέπομαι νὰ κλαίω, διότι γνωρίζω τὰς πολλάς μου ἁμαρτίας. Διὰ τοῦτο καὶ ἐὰν ἀκόμη τὴν ψυχήν μου ἔδιδα, τίποτε τὸ παράξενον δὲν θὰ ἔπραττον. Ἐπειδὴ λοιπὸν ὁ Σιλβανὸς ἠγωνίζετο τόσον καλῶς καὶ ἐπὶ ἀρκετὸν χρόνον, ὁ Μέγας Παχώμιος διεκήρυξε μίαν ἡμέραν ἐνώπιον ὅλων τὰ ἑξῆς:

— Ἀδελφοί, διακηρύσσω ἐνώπιον τοῦ Θεοῦ, ὅτι ἀπὸ τότε ποὺ ἱδρύθη αὐτὸ τὸ Κοινόβιον, δὲν γνωρίζω κανένα ἀπὸ ὅλους τοὺς ἀδελφούς, ποὺ μένουν μαζί μου, νὰ μὲ ἐμιμήθη, ἐκτὸς ἀπὸ ἕνα.

Ὅταν ἤκουσαν αὐτὰ οἱ ἀδελφοὶ ἄλλοι μὲν ἐνόμιζον, ὅτι ἐννοεῖ τὸν Θεόδωρον, ἄλλοι τὸν Πετρώνιον, ἄλλοι πάλιν τὸν Ὀρσίνιον. Ὅταν ὁ Θεόδωρος ἔλαβε τὸ θάρρος νὰ ἐρωτήσῃ τὸν Μέγαν Παχώμιον ποῖον ἐννοεῖ, ὁ Μέγας δὲν ἤθελε νὰ εἴπῃ. Ἐπειδή, ἐν τῷ μεταξύ, σφοδρότερον ἐπέμενε καὶ πάλιν, ἀλλὰ καὶ οἱ ἄλλοι μεγάλοι ἀδελφοὶ μετ' ἐπιμονῆς πα-

---

* Ὅπως ἀναφέρεται εἰς τοὺς «Ἀριθμοὺς» τῆς Παλαιᾶς Διαθήκης (κεφ. ΙΣΤ΄) ὁ Δαθὰν καὶ Ἀβειρὼν ἦσαν ἐκ τῶν κυριωτέρων Ἑβραίων, οἱ ὁποῖοι ὑπὸ τὴν ἀρχηγίαν τοῦ Κορὲ ἐπανεστάτησαν ἐναντίον τοῦ Μωϋσέως, ὅταν ὁ Ἑβραϊκὸς λαὸς ἐπερνοῦσε τὴν ἔρημον. Ὁ Μωϋσῆς ἐπεκαλέσθη τότε τὴν προστασίαν καὶ βοήθειαν τοῦ Θεοῦ, καὶ τότε «ἠνοίχθη ἡ γῆ καὶ κατέπιεν αὐτοὺς καὶ τοὺς οἴκους αὐτῶν καὶ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας μετὰ Κορὲ καὶ τὰ κτήνη αὐτῶν καὶ κατέβησαν αὐτοὶ καὶ ὅσα ἐστὶν αὐτῶν ζῶντα εἰς ἅδου».

ρεκάλουν νὰ μάθουν ποῖος ἦτο αὐτός, ἀπήντησεν, ὡς ἑξῆς ὁ Μέγας Παχώμιος.

—Ἐὰν ἐγνώριζα, ὅτι ἐκεῖνος διὰ τὸν ὁποῖον πρόκειται νὰ ὁμιλήσω, εἶναι ἐνδεχόμενον νὰ ὑπερηφανευθῇ, ὅταν θὰ ἐπαινεθῇ, δὲν θὰ τὸν ἐφανέρωνα· ἀλλ' ἐπειδὴ γνωρίζω, ὅτι ὅσον ἐπαινεῖται, τόσον περισσότερον ταπεινώνεται μὲ τὴν Χάριν τοῦ Χριστοῦ, δι' αὐτό, διὰ νὰ μιμηθῆτε καὶ σεῖς τὸν τρόπον του, θὰ τὸν ἐπαινέσω, χωρὶς φόβον, ἐνώπιόν σας.

Σὺ μὲν λοιπόν, Θεόδωρε, καὶ ὅσοι ἀγωνίζονται ὅπως σὺ εἰς αὐτὴν ἐδῶ τὴν Μονήν, ἐδέσατε τὸν διάβολον καὶ τὸν ἐρρίψατε σὰν σπουργίτην κάτω ἀπὸ τὰ πόδια σας καί, καθημερινῶς, μὲ τὴν Χάριν τοῦ Χριστοῦ, τὸν καταπατεῖτε εἰς τὸ χῶμα. Ἐὰν ὅμως παραμελήσετε τοὺς ἑαυτούς σας, ὑπάρχει φόβος νὰ σηκωθῇ κάτω ἀπὸ τὰ πόδια σας ὁ αἰχμαλωτισμένος διάβολος καὶ νὰ ὁρμήσῃ ἐναντίον σας.

Ὁ ἀδελφὸς ὅμως Σιλβανός, τὸν ὁποῖον πρὸ ὀλίγου χρόνου ἐπρόκειτο νὰ ἐκδιώξωμεν ἀπὸ τὴν Μονήν μας, λόγῳ τῆς ἀμελείας του, αὐτὸς τώρα ὑπέταξε τελείως τὸν Διάβολον καὶ τὸν ἐξηφάνισεν, ὥστε νὰ μὴ ἠμπορῇ πλέον νὰ φανῇ πλησίον του καί, εἰς τὸ τέλος, μὲ τὴν ὑπερβολὴν τῆς ταπεινοφροσύνης του, τὸν κατενίκησε τελείως. Καὶ σεῖς μέν, ἐπειδὴ ἔχετε πράξει ἔργα ἀρετῆς, στηρίζετε τὸ θάρρος σας εἰς ὅσα μέχρι τώρα ἐπράξατε, αὐτὸς ὅμως ὅσον περισσότερον ἀγωνίζεται, τόσον καὶ παρουσιάζει εἰς ὅλους τὸν ἑαυτόν του περισσότερον ἀρχάριον, σκεπτόμενος συνεχῶς μὲ ὅλην του τὴν ψυχὴν καὶ τὴν διάνοιαν, ὅτι εἶναι ἀχρεῖος. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον δακρύζει καὶ εὔκολα, διότι καὶ εὐκόλως ἐξευτελίζει τὸν ἑαυτόν του καὶ δὲν λογαριάζει τίποτε ἀπὸ ὅσα κατορθώματα ἐκτελεῖ ὡς σπουδαῖον. Τίποτε δὲ δὲν ἐξασθενεῖ τόσον πολὺ τὸν διάβολον, ὅσον ἡ ἔμπρακτος ταπεινοφροσύνη, ποὺ ἀσκεῖται μὲ ὅλην τὴν δύναμιν τῆς ψυχῆς.

Ἔτσι λοιπὸν ἀγωνιζόμενος ὁ Σιλβανὸς ἄλλα ὀκτὼ ἔτη, ἐκτὸς ἀπὸ τὰ εἴκοσι προηγούμενα, ἐτελείωσε τὸν δρόμον τῆς ἀσκήσεως· τὴν ἁγιότητά του διεκήρυξεν ὁ Ὅσιος, ὁ ὁποῖος εἶπε καὶ περὶ τοῦ θανάτου του, ὅτι εἶδε πλῆθος ἁγίων Ἀγγέλων νὰ παραλαμβάνῃ μὲ χαρὰν μεγάλην τὴν ψυχήν του καὶ νὰ ἀνέρχωνται πρὸς τὸν οὐρανόν, διὰ νὰ τὴν προσφέρουν ὡς θυσίαν ἐκλεκτὴν εἰς τὸν Χριστόν.

Β'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητική, ὅτι οὕτως ἐστὶν ἡ ταπεινοφροσύνη μεγάλη, ὡς πάσας μὲν τὰς ἀρετὰς σχεδὸν μιμεῖσθαι τὸν διάβολον δύνασθαι, ταύτην δὲ μηδὲ εἰδέναι ὅλως τί ἐστι. Διὸ καὶ ὁ Ἀπόστολος Πέτρος, εἰδὼς τὸ ταύτης ἀσφαλὲς καὶ ἀδιάπτωτον, ἐγκομβώσασθαι αὐτὴν προστάττει ἡμῖν, οἱονεὶ ἀναπόσπαστον ἔχειν καὶ δι' αὐτῆς συνέχειν καὶ συσφίγγειν πάσας τὰς λοιπὰς ἀρετάς. Ὥς περ γὰρ ἀδύνατον ναῦν χωρὶς ἥλων κατασκευασθῆναι, οὕτως ἀμήχανον σωθῆναι χωρὶς ταπεινοφροσύνης. Ὁρᾷς καὶ τὴν τῶν τριῶν παίδων ὑμνολογίαν; ὅπως τῶν ἄλλων ἀρετῶν οὐ πάνυ τι μνημονεύσαντες τοὺς ταπεινοὺς σὺν τοῖς ὑμνοῦσιν ἀπηρι-

θμήσαντο, μὴ εἰρηκότας σώφρονας ἢ ἀκτήμονας; Καὶ ὁ Κύριος δὲ τὴν πρὸς ἡμᾶς οἰκονομίαν πληρῶν, ταύτην ἠμφιάσατο· «μάθετε γάρ, φησιν, ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν»· ἀρχὴ οὖν σοι καὶ τέλος τῶν ἀγαθῶν ἔστω ἡ ταπεινοφροσύνη.

Ἑ ρ μ η ν ε ί α

✝ Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγεν, ὅτι τόσον μεγάλη ἀρετὴ εἶναι ἡ ταπεινοφροσύνη, ὥστε ὁ διάβολος, ποὺ ἠμπορεῖ νὰ μιμῆται ὅλας σχεδὸν τὰς ἀρετάς, αὐτὴν οὔτε κἂν γνωρίζει καθόλου τί εἶναι. Δι' αὐτὸ καὶ ὁ Ἀπόστολος Πέτρος, ἐπειδὴ γνωρίζει τὴν ἀσφάλειαν καὶ τὴν σταθερότητα τῆς ταπεινοφροσύνης, μᾶς προστάζει νὰ τὴν στερεώσωμεν ἐπάνω μας, ὥστε νὰ εἶναι ἀναπόσπαστος ἀπὸ τὸν ἑαυτόν μας καὶ δι' αὐτῆς νὰ συγκρατῶνται καὶ νὰ συσφίγγωνται ὅλαι αἱ ἄλλαι ἀρεταί. Ὅπως ἀκριβῶς εἶναι ἀδύνατον νὰ κατασκευασθῇ πλοῖον χωρὶς καρφιά, ἔτσι εἶναι ἀδιανόητον νὰ σωθῇ ὁ ἄνθρωπος χωρὶς ταπεινοφροσύνην. Βλέπεις καὶ τὴν ὑμνολογίαν τῶν τριῶν Παίδων; Πῶς δηλαδή, ἐνῷ δὲν ἀνέφεραν καὶ πολὺ τὰς ἄλλας ἀρετάς, ἀπαριθμοῦν, μαζὶ μὲ τοὺς ὑμνοῦντας, τοὺς ταπεινούς, χωρὶς νὰ ἀναφέρουν τοὺς σώφρονας ἢ ἀκτήμονας; Ἀλλὰ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, πραγματοποιῶν τὴν πρὸς ἡμᾶς οἰκονομίαν, αὐτὴν τὴν ταπεινοφροσύνην ἐφόρεσε· «μάθετε — λέγει — ἀπὸ ἐμέ, ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς κατὰ τὴν καρδίαν καὶ θὰ εὕρετε ἀνάπαυσιν εἰς τὰς ψυχάς σας» (Ματθ. ια', 29). Ἀρχὴ λοιπὸν εἰς σὲ καὶ σκοπὸς τῶν ἀγαθῶν ἂς εἶναι ἡ ταπεινοφροσύνη.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΤΟ τις τῶν Πατέρων, ὅτι ἦν τις γέρων πονικὸς εἰς τὰ κελλία φορῶν ψιάθιον. Οὗτος παρέβαλέ ποτε τῷ Ἀββᾷ Ἀμμωνᾷ· ἰδὼν δὲ αὐτὸν ὁ γέρων φοροῦντα τὸ ψιάθιον, εἶπε· τοῦτο οὐδέν σε ὠφελεῖ· ἠρώτησε δὲ ἐκεῖνος τὸν γέροντα· Πάτερ, ὀχλοῦσί μοι τρεῖς λογισμοί, ἤτοι τὸ πελάζεσθαι ἐν ἐρήμοις, ἢ τὸ ἀπελθεῖν με ἐπὶ ξένης, ὅπου οὐδείς με γνωρίζει, ἢ τὸ ἐγκλεῖσαι ἑαυτὸν εἰς κελλίον καὶ μηδενί ποτε ὑπαντῆσαι διὰ δύο ἐσθίοντα· πότερον οὖν αὐτῶν ἕλωμαι; Ἀπεκρίθη ὁ Ἀββᾶς Ἀμμωνᾶς· οὐδὲν ἐκ τῶν τριῶν συμφέρει σοι ποιῆσαι, ἀλλὰ μᾶλλον, εἴ μου ἀκούεις, κάθου εἰς τὸ κελλίον σου καὶ ἔσθιε μικρὸν καθ' ἡμέραν, καὶ ἔχε διὰ παντὸς τὸν λόγον τοῦ Τελώνου ἐν τῇ καρδίᾳ σου, καὶ δύνασαι σωθῆναι.

2. Ἀδελφὸς παρέβαλεν εἰς τὸ ὄρος τῆς Φέρμης πρὸς τὸν μέγαν γέροντα· καὶ λέγει αὐτῷ· Ἀββᾶ, τί ποιήσω ὅτι ἀπόλλυταί μου ἡ ψυχή; Ἔφη αὐτῷ ὁ γέρων· διατί, τέκνον; Ἀπεκρίθη ὁ ἀδελφός· ὅτε ἤμην εἰς τὸν κόσμον, φύσει πολλὰ ἐνήστευον καὶ ἠγρύπνουν, καὶ πολλὴ κατάνυξις καὶ θέρμη ἐν ἐμοὶ ἦν· ἄρτι δέ, οὐδὲ ὅλως ἀγαθόν τι θεωρῶ ἐν ἑαυτῷ· λέγει αὐτῷ ὁ γέρων· πίστευέ μοι, τέκνον, ὅτι ὅσα ἐποίεις ὅτε ἦς ἐν τῷ κόσμῳ, ὑπὸ κενοδοξίας καὶ τοῦ ἐπαίνου τῶν ἀνθρώπων προθυμοποιούμενος ἐποίεις καὶ ἀπρόσδεκτα ἦσαν ἐνώπιον τοῦ Θεοῦ· καὶ διὰ τοῦτο οὐδὲ ὁ σατανᾶς ἐπολέμει σοι· οὐ γὰρ ἔμελεν αὐτῷ ἐκκόψαι τὴν προθυμίαν σου, ἐπεὶ μηδὲ μίαν ἐκ τούτου εἶχες ὠφέλειαν.

Ἄρτι δὲ ὁρῶν σε ὅτι ἐστρατεύθης τῷ Χριστῷ καὶ ἐξῆλθες κατ' αὐτοῦ, ὡπλί-

σθη λοιπὸν καὶ αὐτὸς κατὰ σοῦ· πλὴν ἀρέσκει τῷ Θεῷ εἷς ψαλμός, ὃν λέγεις ἄρτι μετὰ κατανύξεως, ὑπὲρ χιλίους οὓς ἔλεγες ἐν τῷ κόσμῳ, καὶ προσδέχεταί σου ὁ Θεὸς νῦν τὴν μικρὰν νηστείαν ὑπὲρ τὰς ἑβδομάδας ἃς ἐνήστευες ἐν τῷ κόσμῳ. Λέγει αὐτῷ ὁ ἀδελφός· οὐδὲ ὅλως νηστεύω ἄρτι, ἀλλ' ὅλα τὰ ἀγαθά, ἅπερ εἶχον ἐν τῷ κόσμῳ, ἤρθησαν ἀπ' ἐμοῦ· καὶ ὁ γέρων ἔφη· ἀδελφέ, ἀρκεῖ σοι, ὃ ἔχεις· μόνον ὑπόμεινον, καὶ καλὸς εἶ.

Τοῦ οὖν ἀδελφοῦ ἐπιμένοντος καὶ λέγοντος, ὅτι φύσει, Ἀββᾶ, ἀπόλλυταί μου ἡ ψυχή, λέγει αὐτῷ ὁ γέρων· πίστευσον, ἀδελφέ, οὐκ ἤθελόν σοι εἰπεῖν ἵνα μὴ βλαβῇ σου ὁ λογισμός· πλὴν ὁρῶν σε εἰς ῥαθυμίαν ἐλθόντα ὑπὸ τοῦ σατανᾶ, λέγω σοι· ὅτι αὐτὸ τοῦτο τὸ νομίζειν σε ὅτι ὅτε ἧς ἐν τῷ κόσμῳ ἀγαθὰ ἐποίεις καὶ καλῶς ἐπολιτεύου, ὑπερηφανία ἐστί· οὕτω γὰρ καὶ ὁ Φαρισαῖος νομίζων, ἀπώλεσε πάντα ὅσα ἐποίησεν ἀγαθά. Νῦν δὲ πάλιν τὸ ἡγεῖσθαι ἑαυτὸν μηδὲν ἀγαθὸν ποιοῦντα, ἀρκεῖ σοι, ἀδελφέ, εἰς σωτηρίαν· ταπείνωσις γάρ ἐστι. Καὶ οὕτως ἐδικαιώθη ὁ Τελώνης μηδὲν ἀγαθὸν ποιήσας· καὶ γὰρ ἀρέσκει τῷ Θεῷ μᾶλλον ἄνθρωπος ἁμαρτωλὸς καὶ ἀμελὴς μετὰ συντριμμοῦ καρδίας καὶ ταπεινώσεως, ὑπὲρ τὸν πολλὰ ποιοῦντα ἀγαθὰ καὶ ἔχοντα ἐν ἑαυτῷ ὅτι ὅλως ποιεῖ τι ἀγαθόν. Καὶ ὠφεληθεὶς μεγάλως ὁ ἀδελφός, ἔβαλε μετάνοιαν τῷ γέροντι λέγων· σήμερον, Ἀββᾶ, ἐσώθη ἡ ψυχή μου διὰ σοῦ.

3. Ἔλεγεν ὁ Ἀββᾶς Ἐπιφάνιος, ὅτι ἡ Χαναναία βοᾷ καὶ ἀκούεται· ἡ αἱμορροοῦσα σιωπᾷ καὶ μακαρίζεται· ὁ Τελώνης οὐκ ἀνοίγει τὸ στόμα καὶ εἰσακούεται· ὁ δὲ Φαρισαῖος κραυγάζει καὶ κατακρίνεται.

4. Ἠρωτήθη ὁ Ἀββᾶς Λογγῖνος· ποία ἀρετή ἐστι μείζων πασῶν τῶν ἄλλων; καὶ εἶπε· λογίζομαι ὅτι ὥς περ ἡ ὑπερηφανία μείζων ἐστί πάντων τῶν παθῶν, ὡς καὶ ἐξ οὐρανοῦ δυνηθῆναι ῥίψαι τινάς, οὕτω καὶ ἡ ταπεινοφροσύνη μείζων ἐστὶ πασῶν τῶν ἀρετῶν· καὶ γὰρ ἐξ αὐτῶν τῶν ἀβύσσων ἰσχύει ἀνενέγκαι ἄνθρωπον, κἂν ὡς δαίμων ἐστὶν ἁμαρτωλός· διὸ καὶ ὁ Κύριος πρὸ πάντων μακαρίζει τοὺς πτωχοὺς τῷ πνεύματι.

5. Εἶπεν ὁ Ἀββᾶς Σαρματίας· θέλω ἄνθρωπον ἁμαρτήσαντα, εἰ οἶδεν ὅτι ἥμαρτε καὶ μετανοεῖ, ὑπὲρ ἄνθρωπον μὴ ἁμαρτήσαντα καὶ ἔχοντα ἑαυτὸν ὡς δικαιοσύνην ποιοῦντα.

6. Ἦν τις Ἐπίσκοπος εἴς τινα πόλιν, καὶ κατ' ἐνέργειαν τοῦ σατανᾶ ἔπεσεν εἰς πορνείαν· ἔπειτα γενομένης συνάξεως ἐν τῇ Ἐκκλησίᾳ καὶ μηδενὸς γινώσκοντος περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἀφ' ἑαυτοῦ ὡμολόγησεν ἔμπροσθεν τοῦ λαοῦ εἰπών· ἐγὼ εἰς πορνείαν πέπτωκα· καὶ ἀπέθετο τὸ ὠμοφόριον αὐτοῦ ἐπὶ τοῦ θυσιαστηρίου λέγων· οὐκέτι ὑμῶν δύναμαι εἶναι Ἐπίσκοπος· καὶ ἀνέκραξε πᾶς ὁ λαὸς μετὰ κλαυθμοῦ λέγοντες· ἡ ἁμαρτία αὕτη ἐφ' ἡμᾶς, μόνον μεῖνον ἐν τῇ ἐπισκοπῇ· ὁ δὲ εἶπεν· εἰ θέλετε ἵνα μείνω ἐν τῇ ἐπισκοπῇ, ὃ εἴπω ὑμῖν ποιήσατε· καὶ κελεύσας κλεισθῆναι τὰς θύρας τῆς Ἐκκλησίας, ἔρριψεν ἑαυτὸν εἰς μίαν παράθυρον ἐπὶ πρόσωπον καὶ εἶπεν· οὐκ ἔχει μέρος μετὰ τοῦ Θεοῦ, ὅστις ἐξερχόμενος μὴ πατήσῃ με· καὶ ἐποίησαν κατὰ τὸν λόγον αὐτοῦ καὶ πατοῦντες αὐτὸν ἐξήρχοντο· καὶ ἐξιόντος τοῦ ἐσχάτου, γέγονε φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· διὰ τὴν πολλὴν ταπείνωσιν αὐτοῦ συνεχώρησα αὐτῷ τὴν ἁμαρτίαν.

7. Εἶπε γέρων· θέλω ἥττημα μετὰ ταπεινοφροσύνης, ἢ νίκην μετὰ ὑπερηφανίας.

8. Εἶπε γέρων· ἡ ταπείνωσις πολλάκις καὶ χωρὶς κόπου ἔσωσε πολλούς· καὶ μαρτυρεῖ τοῦτο ὁ Τελώνης καὶ ὁ Ἄσωτος υἱός, ῥήματα μόνον μικρὰ εἰπόντες καὶ σωθέντες.

9. Εἶπε γέρων, ὅτι οἱ Πατέρες τῇ ἀποτομίᾳ εἰσῆλθον ἔσω· ἡμεῖς δὲ ἐὰν δυνηθῶμεν τῇ χρηστότητι εἰσέλθωμεν διὰ τῆς ταπεινοφροσύνης.

10. Εἶπεν ὁ Ἀββᾶς Ἡσαΐας· πρὸ παντὸς χρήζομεν τῆς ταπεινοφροσύνης, ἕτοιμοι ὄντες ἀεί, ἐν οἱῳδήποτε λόγῳ ᾧ ἀκούομεν ἢ ἔργῳ, λέγειν «συγχώρησον»· διὰ γὰρ τῆς ταπεινοφροσύνης πάντα τὰ τοῦ ἀντικειμένου διαφθείρεται.

Ἑρμηνεία

ΕΝΑΣ ἐκ τῶν Πατέρων διηγήθη, ὅτι ἦτο κάποτε ἕνας φιλόπονος Γέρων εἰς τὰ κελλία, ποὺ ἐφοροῦσεν ἔνδυμα κατεσκευασμένον ἀπὸ ψαθί. Αὐτὸς λοιπὸν κάποτε ἐπεσκέφθη τὸν Ἀββᾶν Ἀμμωνᾶν. Μόλις τὸν εἶδεν ὁ Ἀββᾶς Ἀμμωνᾶς νὰ φορῇ τὴν ψάθαν ὡς ἔνδυμα τοῦ εἶπε:

— Αὐτὸ δὲν σὲ ὠφελεῖ εἰς τίποτε.

Ἐν συνεχείᾳ ὁ Γέρων ἠρώτησε τὸν Ἀββᾶν Ἀμμωνᾶν:

— Πάτερ, μὲ ἐνοχλοῦν τρεῖς λογισμοί· συγκεκριμένως, νὰ γυρίζω εἰς τὰς ἐρήμους, ἢ νὰ φύγω εἰς ξένον τόπον, ὅπου δὲν μὲ γνωρίζει κανείς, ἢ νὰ κλεισθῶ εἰς κελλίον καὶ νὰ μὴ συναντήσω ποτὲ κανένα, ὅπου νὰ τρώγω κάθε δευτέραν ἡμέραν. Ποίαν ἐκ τῶν τριῶν σκέψεων νὰ προτιμήσω;

Εἰς τὰς ἐρωτήσεις αὐτὰς ὁ Ἀββᾶς Ἀμμωνᾶς ἀπήντησε:

— Καμμίαν ἀπὸ τὰς τρεῖς αὐτὰς σκέψεις δὲν σὲ συμφέρει νὰ πραγματοποιήσῃς· προτιμότερον εἶναι, ἐὰν θέλῃς νὰ μὲ ἀκούσῃς, νὰ καθίσῃς εἰς τὸ κελλίον σου καὶ νὰ τρώγῃς ὀλίγον καθημερινῶς, νὰ ἔχῃς δὲ παντοτεινῶς εἰς τὴν καρδίαν σου τὸν λόγον τοῦ τελώνου (Λουκ. ιη', 13)· καὶ ἔτσι θὰ ἠμπορέσῃς νὰ σωθῇς.

2. Ἕνας ἀδελφὸς ἦλθεν εἰς τὸ ὄρος τῆς Φέρμης, πρὸς τὸν Μεγάλον Γέροντα, καὶ τοῦ λέγει:

—Ἀββᾶ, τί νὰ κάνω, διότι χάνεται ἡ ψυχή μου;

— Διατί, τέκνον μου; τὸν ἠρώτησεν ὁ Γέρων.

—Ὅταν ἤμουν εἰς τὸν κόσμον, ἀπήντησεν ὁ ἀδελφός, ἐνήστευον, εὐχαρίστως, πολὺ καὶ ἀγρυπνοῦσα καὶ ᾐσθανόμην πολλὴν κατάνυξιν καὶ θερμὸν ζῆλον· τώρα ὅμως δὲν βλέπω κανένα ἀγαθὸν εἰς τὴν ψυχήν μου.

Ὁ Γέρων τοῦ ἀπήντησε:

— Πίστευσέ με, τέκνον, ὅτι ὅσα ἔκαμνες ὅταν ἦσουν εἰς τὸν κόσμον, δὲν τὰ ἐδέχετο ὁ Θεός, διότι τὰ ἔκαμνες παρακινούμενος ἀπὸ τὴν κενοδοξίαν καὶ τὸν ἔπαινον τῶν ἀνθρώπων· καὶ δι' αὐτὸ δὲν σὲ ἐπολέμει ὁ σατανᾶς. Διότι δὲν τὸν ἔμελε νὰ κόψῃ τὴν προθυμίαν σου, ἐπειδὴ ἀπὸ αὐτὴν δὲν εἶχες καμμίαν ὠφέλειαν.

Τώρα ὅμως, ἐπειδὴ σὲ βλέπει ὅτι ἐκλήθης ὑπὸ τοῦ Χριστοῦ καὶ εἶσαι στρατιώτης αὐτοῦ, ἐξῆλθες δὲ ἐναντίον αὐτοῦ, δι' αὐτὸ λοιπὸν καὶ

ὁ σατανᾶς ὡπλίσθη ἐναντίον σου. Ὡστόσον εἰς τὸν Θεὸν εἶναι ἀρεστὸς ὁ ἕνας ψαλμός, τὸν ὁποῖον λέγεις μετὰ κατανύξεως, παρὰ οἱ χίλιοι, ποὺ ἔλεγες εἰς τὸν κόσμον. Ἐδῶ ὁ Θεὸς δέχεται τώρα εὐχαρίστως τὴν ὀλίγην νηστείαν σου, περισσότερον ἀπὸ τὴν νηστείαν τῶν πολλῶν ἑβδομάδων, ποὺ ἐνήστευες εἰς τὸν κόσμον.

— Τώρα καθόλου δὲν νηστεύω — ἀπήντησεν ὁ ἀδελφὸς — ἀλλὰ ἔχασα ὅλα τὰ ἀγαθά, ποὺ εἶχον εἰς τὸν κόσμον.

— Εἶναι ἀρκετὸν εἰς σὲ — ἀπήντησεν ὁ Γέρων — αὐτὸ ποὺ ἔχεις· μόνον ὑπομονὴν νὰ κάνῃς καὶ εἶσαι καλός.

Ὁ ἀδελφὸς ὅμως ἐπέμενε καὶ ἔλεγε·

— Μά, Ἀββᾶ μου, χάνεται ἡ ψυχή μου.

Τότε ὁ Γέροντας τοῦ ἀπαντᾷ:

— Πίστευσέ με, ἀδελφέ, δὲν ἤθελα νὰ σοῦ τὸ εἴπω, διὰ νὰ μὴ ζημιωθῇ ἡ σκέψις σου· πλὴν ὅμως, ἐπειδὴ βλέπω νὰ σὲ ἔχῃ φέρει ὁ σατανᾶς εἰς ραθυμίαν, σοῦ τὸ λέγω· τὸ ὅτι λοιπὸν νομίζεις ὅτι, ὅταν εὑρίσκεσο εἰς τὸν κόσμον ἔκανες καλωσύνας καὶ ἐπολιτεύεσο καλῶς, εἶναι ὑπερηφάνεια· διότι ἔτσι ἐνόμιζε καὶ ὁ Φαρισαῖος (ὅταν ἐκαυχᾶτο εἰς τὸν Ναὸν) καὶ ἔχασεν ὅλα τὰ ἀγαθά. Τώρα δὲ πάλιν τὸ νὰ νομίζῃς, ὅτι δὲν κάμνεις κανένα καλόν, σοῦ εἶναι ἀρκετόν, ἀδελφέ μου, διὰ νὰ σωθῇς· ἐπειδὴ αὐτὸ εἶναι ταπείνωσις. Κατ' αὐτὸν τὸν τρόπον (διὰ τῆς ταπεινώσεως καὶ τῆς ἐλεεινολογίας τοῦ ἑαυτοῦ του) ἐδικαιώθη ὁ Τελώνης, ἂν καὶ δὲν εἶχε κάμει κανένα καλὸν (Λουκ. ιη', 14). Διότι ἐνώπιον τοῦ Θεοῦ εἶναι περισσότερον ἀρεστὸς ἕνας ἁρματωλὸς ἄνθρωπος καὶ ἀμελής, ποὺ νὰ αἰσθάνεται ὅμως συντριβὴν καρδίας καὶ ταπείνωσιν, ἀπὸ ἐκεῖνον, ποὺ κάμνει πολλὰς καλὰς πράξεις, ποὺ ἔχει ὅμως τὴν γνώμην, ὅτι κατώρθωσε νὰ ἐπιτύχῃ ἐξ ὁλοκλήρου τὸ ἀγαθόν.

Ἀπὸ τὴν τοιαύτην ἀπάντησιν τοῦ Ἀββᾶ ὠφελήθη πάρα πολὺ ὁ ἀδελφός, ἔβαλε μετάνοιαν εἰς τὸν Γέροντα καὶ τοῦ εἶπε:

— Σήμερα, Ἀββᾶ, ἐσώθη ἡ ψυχή μου ἐξ αἰτίας σου.

3. Ὁ Ἀββᾶς Ἐπιφάνιος ἔλεγεν, ὅτι ἡ Χαναναία φωνάζει δυνατὰ καὶ τὴν ἀκούει ὁ Χριστὸς (Ματθ. ιε', 22)· ἡ αἱμορροοῦσα προσέρχεται σιωπηλὰ καὶ ἐπαινεῖται (Μάρκ. ε' 25—33)· ὁ Τελώνης δὲν ἀνοίγει καθόλου τὸ στόμα του καὶ εἰσακούεται ἡ προσευχή του ἀπὸ τὸν Θεόν· ὁ Φαρισαῖος κραυγάζει καὶ κατακρίνεται.

4. Ἠρώτησαν κάποτε τὸν Ἀββᾶν Λογγῖνον:

— Γέροντα, ποία ἀρετὴ εἶναι ἡ μεγαλυτέρα ἀπὸ ὅλας τὰς ἄλλας;

— Συμπεραίνω — ἀπήντησεν ὁ Ἀββᾶς — ὅτι ὅπως ἡ ὑπερηφάνεια εἶναι τὸ μεγαλύτερον ἀπὸ ὅλα τὰ πάθη, ἀφοῦ ἠμπόρεσε νὰ ρίψῃ μερικὰ ὄντα* ἀπὸ τὸν οὐρανόν, κατ' ἀναλογίαν καὶ ἡ ταπεινοφροσύνη εἶναι ἡ μεγαλυτέρα ἀπὸ ὅλας τὰς ἀρετάς. Διότι καὶ ἀπὸ αὐτὰς τὰς σκοτεινὰς

* Ἐννοεῖ τὸν Ἑωσφόρον καὶ τοὺς ἀγγέλους αὐτοῦ τοὺς ὁποίους ὁ Θεὸς ἐκρήμνισεν ἀπὸ τὸν οὐρανὸν διὰ τὴν ὑπερηφάνειάν των.

ἀβύσσους ἔχει τὴν δύναμιν νὰ ἀναβιβάσῃ ἐπάνω ἕνα ἄνθρωπον, ἔστω καὶ ἂν εἶναι ἁμαρτωλός, ὡσὰν τὸν διάβολον. Δι' αὐτὸ καὶ ὁ Κύριος καλοτυχίζει τοὺς πτωχοὺς τῷ πνεύματι, δηλαδὴ τοὺς ταπεινοὺς (Ματθ. ε', 3).

5. Εἶπεν ὁ 'Αββᾶς Σαρματίας: Προτιμῶ ἕνα ἄνθρωπον ἁμαρτωλόν, ποὺ ἀναγνωρίζει ὅμως ὅτι ἡμάρτησε καὶ μετανοεῖ, ἀπὸ ἕνα ἄνθρωπον, ποὺ δὲν ἡμάρτησε καὶ ἔχει τὴν γνώμην, ὅτι, τάχα, εἶναι ἐνάρετος.

6. Εἰς κάποιαν πόλιν ἔζη ἕνας 'Επίσκοπος, ὁ ὁποῖος, ἀπὸ ἐνέργειαν τοῦ σατανᾶ, ἔπεσεν εἰς τὴν πορνείαν· μετ' ὀλίγας ἡμέρας ἔγινε σύναξις εἰς τὴν 'Εκκλησίαν καί, χωρὶς κανεὶς νὰ γνωρίζῃ τὴν ἁμαρτίαν τοῦ 'Επισκόπου, ἐκεῖνος ἐνώπιον ὅλου τοῦ λαοῦ ὡμολόγησε λέγων· 'Εγὼ ἔχω πέσει εἰς πορνείαν. Συγχρόνως μὲ τοὺς λόγους αὐτοὺς ἔβγαλε τὸ ὠμοφόριόν του καὶ τὸ ἐτοποθέτησεν ἐπάνω εἰς τὴν 'Αγίαν Τράπεζαν. Δὲν ἠμπορῶ πλέον — ἔλεγε — νὰ εἶμαι 'Επίσκοπος. Κατόπιν αὐτῆς τῆς σκηνῆς τῆς εἰλικρινοῦς ἐξομολογήσεως, ὅλος ὁ λαὸς κατελήφθη ἀπὸ συγκίνησιν καὶ μὲ θρήνους ἀνέκραξεν· 'Η ἁμαρτία αὐτὴ ἂς εἶναι ἐπάνω μας· μόνον νὰ μείνῃς εἰς τὴν ἐπισκοπήν. 'Εὰν θέλετε νὰ μείνω μαζί σας, ἀπήντησεν ὁ 'Επίσκοπος, νὰ κάμετε αὐτό, ποὺ θὰ σᾶς εἴπω. 'Αμέσως τότε διέταξε νὰ κλείσουν ὅλαι αἱ θύραι τοῦ Ναοῦ, ἔπεσε μὲ τὸ πρόσωπον εἰς μίαν πλαϊνὴν θύραν καὶ εἶπε πρὸς τὸν λαόν· Δὲν θὰ εἶναι μὲ τὸ μέρος τοῦ Θεοῦ, ὅποιος τὴν ὥραν ποὺ θὰ ἐξέρχεται ἐκ τοῦ Ναοῦ, δὲν μὲ πατήσῃ. "Ολος ὁ λαὸς ἔκαμεν ὅπως τοῦ εἶπεν ὁ 'Επίσκοπος, τὸν ἐπατοῦσαν, δηλαδή, προηγουμένως καὶ κατόπιν ἐξήρχοντο. 'Ενῷ δὲ ἐξήρχετο καὶ ὁ τελευταῖος, ἠκούσθη μία φωνὴ ἐκ τοῦ οὐρανοῦ νὰ λέγῃ· συνεχώρησα εἰς τὸν 'Επίσκοπον τὴν ἁμαρτίαν του, ἐξ αἰτίας τῆς πολλῆς ταπεινώσεώς του.

7. Εἶπεν ἕνας Γέρων ἀσκητής· προτιμῶ μίαν ἧτταν, ποὺ θὰ τὴν συνοδεύῃ ταπεινοφροσύνη, παρὰ μίαν νίκην μὲ ὑπερηφάνειαν.


8. "Ενας Γέρων εἶπε· πολλὰς φορὰς ἡ ταπείνωσις, καὶ χωρὶς κόπον, ἔσωσε πολλούς· καὶ αὐτὸ τὸ ἀποδεικνύουν ὁ Τελώνης καὶ ὁ "Ασωτος υἱός, οἱ ὁποῖοι μόνον ὀλίγους λόγους εἶπον καὶ ἐσώθησαν*.

9. Εἶπε Γέρων, ὅτι οἱ πρὸ ἡμῶν Πατέρες εἰσῆλθον εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν μὲ τὴν αὐστηρότητα· ἡμεῖς δέ, ἐὰν ἠμπορέσωμεν, μὲ τὴν καλωσύνην, ἂς εἰσέλθωμεν διὰ τῆς ταπεινοφροσύνης.

10. 'Ο 'Αββᾶς 'Ησαΐας εἶπε· περισσότερον ἀπὸ κάθε ἄλλο πρᾶγμα ἔχομεν ἀνάγκην ἀπὸ ταπεινοφροσύνην· ἂς εἴμεθα λοιπὸν πάντοτε ἕτοιμοι δι' οἱονδήποτε λόγον, ποὺ λέγομεν ἢ ἀκούομεν, ἢ δι' οἱονδήποτε ἔργον, νὰ λέγωμεν «συγχώρησον». Διότι μὲ τὴν ταπεινοφροσύνην ἀποτυγχάνουν ὅλα τὰ πονηρὰ ἔργα τοῦ διαβόλου.

---

* 'Ο μὲν τελώνης εἶπεν: «ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ» (Λουκ. ΙΗ', 13), ὁ δὲ ἄσωτος υἱὸς εἶπεν: «πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου». (Λουκ. ΙΕ', 21).



ΥΠΟΘΕΣΙΣ ΜΕ΄

Ὅτι ἴδιον ταπεινόφρονος τὸ μέμφεσθαι ἑαυτὸν καὶ ἐξουδενεῖν καὶ μηδὲν ἡγεῖσθαι τὰ παρ' αὐτοῦ γινόμενα ἀγαθὰ ὅσα καὶ οἷα ἂν ᾖ· καὶ τίνα τὰ τῆς ταπεινοφροσύνης ἰδιώματα· καὶ τίνες οἱ ταύτης καρποί.

Ὅτι χαρακτηριστικὸν γνώρισμα τοῦ ταπεινόφρονος εἶναι τὸ νὰ μέμφεται τὸν ἑαυτόν του, νὰ τὸν ἐξουθενώνῃ καὶ νὰ θεωρῇ ὅτι δὲν ἀξίζουν τίποτε ὅσα καὶ ὁποιαδήποτε καλὰ καὶ ἂν κάνῃ· ποῖαι εἶναι αἱ ἰδιότητες τῆς ταπεινοφροσύνης καὶ ποῖοι οἱ καρποί της.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΙΠΕΝ ὁ Ἀββᾶς Ἀντώνιος, ὅτι εἶδον πάσας τὰς παγίδας τοῦ διαβόλου ἡπλωμένας ἐπὶ τῆς γῆς καὶ στενάξας εἶπον· τίς ἄρα παρέρχεται ταύτας; καὶ ἤκουσα φωνῆς λεγούσης μοι· ἡ ταπεινοφροσύνη.

2. Ὁ αὐτὸς εἶπε τῷ Ἀββᾷ Ποιμένι· αὕτη ἐστὶν ἡ ἐργασία τοῦ ἀνθρώπου, ἵνα τὸ σφάλμα αὐτοῦ ἐπάνω αὐτοῦ βάλῃ ἐνώπιον τοῦ Θεοῦ καὶ προσδοκήσῃ πειρασμὸν ἕως ἐσχάτης ἀναπνοῆς.

3. Ἐπανεστάτησάν ποτε τῷ Ἀββᾷ Ἀρσενίῳ οἱ δαίμονες ἐν τῷ κελλίῳ θλίβοντες αὐτόν· παραβαλόντες δὲ οἱ διακονοῦντες αὐτῷ καὶ στάντες ἔξω τῆς κέλλης, ἤκουσαν αὐτοῦ βοῶντος πρὸς τὸν Θεὸν καὶ λέγοντος· ὁ Θεὸς μὴ ἐγκαταλίπῃς με, οὐδὲν γὰρ ἐποίησα ἐνώπιόν σου ἀγαθόν· ἀλλὰ δός μοι κατὰ τὴν χρηστότητά σου βαλεῖν ἀρχήν.

4. Ἀδελφὸς παρέβαλε τῷ Ἀββᾷ Ἀμμωνᾷ, καὶ εἶπεν αὐτῷ· Ἀββᾶ, εἰπέ μοι λόγον· καὶ μείνας παρ' αὐτῷ ἡμέρας ἑπτά, οὐκ ἤκουσέ τι παρὰ τοῦ γέροντος· ἔπειτα, ὡς ἀνεχώρει, προπέμπων αὐτὸν εἶπεν· ἐμοῦ τέως αἱ ἁμαρτίαι γεγόνασι τεῖχος σκοτεινὸν ἀνὰ μέσον ἐμοῦ καὶ τοῦ Θεοῦ.

5. Εἶπεν ὁ Ἀββᾶς Δανιήλ, ὅτι ἦν ἐν Βαβυλῶνι θυγάτηρ τινὸς πρωτεύοντος, δαίμονα ἔχουσα. Εἶχε δὲ ὁ πατὴρ αὐτῆς ἀγαπητόν τινα Μοναχόν, ὃν καὶ ἠξίου περὶ τῆς θυγατρὸς αὐτοῦ· ἐκεῖνος δὲ εἶπεν αὐτῷ· οὐδεὶς δύναται θεραπεῦσαι τὴν θυγατέρα σου, εἰ μὴ οὓς οἶδα ἀναχωρητάς· καὶ εἰ μὲν αὐτοὺς παρακαλέσωμεν, οὐκ ἀνέξονται τοῦτο ποιῆσαι διὰ ταπεινοφροσύνην, τοῦτο δὲ μᾶλλον ποιήσωμεν· ὅταν ἔλθωσιν εἰς

τὴν ἀγορὰν πωλῆσαι τὰ σκεύη αὐτῶν, ποιήσατε ἑαυτοὺς ὡς θέλοντας ἀγοράσαι σκεύη καὶ καλέσατε αὐτοὺς εἰς τὸν οἶκον ἵνα λάβωσι τὴν τιμὴν τῶν σκευῶν· καὶ ἐλθόντας, ἀξιώσατε ἵνα ποιήσωσιν εὐχήν· καὶ πιστεύω ὅτι θεραπεύεται ἡ θυγάτηρ σου.

Ἐξελθόντες οὖν εἰς τὴν ἀγοράν, εὗρον ἕνα μαθητὴν γέροντός τινος καθήμενον ἵνα πωλήσῃ τὰ σκεύη αὐτοῦ· καὶ λαβόντες αὐτὸν μετὰ τῶν σπυρίδων, ἀπήγαγον εἰς τὸν οἶκον τοῦ πρωτεύοντος, ἵνα λάβῃ τὸ τίμημα αὐτῶν· καὶ ὡς εἰσῆλθεν ὁ Μοναχὸς εἰς τὸν οἶκον, ὑπήντησεν αὐτῷ ἡ δαιμονιζομένη καὶ ἔδωκεν αὐτῷ ῥάπισμα· ὁ δὲ εὐθὺς ἔστρεψε καὶ τὴν ἄλλην σιαγόνα κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου· καὶ βασανισθεὶς ὁ δαίμων, ἔκραξε λέγων· ὢ βία! ἡ ἐντολὴ τοῦ Ἰησοῦ ἐκβάλλει με· καὶ εὐθέως ἐξῆλθεν ἀπὸ τῆς γυναικός, καὶ ἦν ἐκείνη ὑγιής τε καὶ σωφρονοῦσα. Ἀνηγγέλη δὲ τοῦτο τοῖς γέρουσι καὶ ἐδόξασαν τὸν Θεὸν καὶ εἶπον, ὅτι οὐδὲν οὕτως τὴν ὑπερηφανίαν καταβάλλει τοῦ διαβόλου, ὡς ἡ ταπείνωσις τῆς ἐντολῆς τοῦ Χριστοῦ.

6. Εἶπεν ὁ Ἀββᾶς Καρίων, ὅτι πολλοὺς κόπους ἐποίησα πλέον τοῦ υἱοῦ μου Ζαχαρίου, καὶ οὐκ ἔφθασα εἰς τὰ μέτρα αὐτοῦ, διὰ τὴν ταπείνωσιν καὶ σιωπὴν αὐτοῦ.

7. Ποτὲ οὖν καθημένου τούτου τοῦ Ἀββᾶ Ζαχαρίου εἰς σκῆτιν, ἦλθε θεωρία εἰς αὐτόν· καὶ ἀναστὰς ἀπήγγειλε τῷ Ἀββᾷ αὐτοῦ Καρίωνι· ὁ δὲ γέρων, πρακτικὸς ὤν, οὐχ ὑπῆρχεν ἀκριβὴς περὶ ταῦτα. Ἐγερθεὶς οὖν ἔδειρεν αὐτὸν λέγων, ὅτι ἀπὸ δαιμόνων ἐστίν. Ὡς δὲ παρέμεινεν ἡ θεωρία, ἀναστὰς ὁ Ἀββᾶς Ζαχαρίας νυκτὸς ἀπῆλθε πρὸς τὸν Ἀββᾶν Ποιμένα καὶ ἀνήγγειλεν αὐτῷ τὸ πρᾶγμα καὶ πῶς καίεται τὰ ἐντὸς αὐτοῦ· καὶ γνοὺς ὁ γέρων ὅτι ἀπὸ Θεοῦ ἐστι, λέγει αὐτῷ· ὕπαγε πρὸς τὸν δεῖνα τὸν γέροντα καὶ ὃ ἂν σοι εἴπῃ κράτησον. Ἀπῆλθεν οὖν πρὸς ἐκεῖνον τὸν γέροντα· ὁ δέ, πρὸ τοῦ ἐρωτῆσαι αὐτόν τι, προέλαβε καὶ εἶπεν αὐτῷ πάντα καὶ ὅτι ἡ θεωρία αὕτη ἀπὸ Θεοῦ ἐστιν· ἀλλ᾽ ὕπαγε, ὑποτάγηθι τῷ Πατρί σου.

8. Τῷ αὐτῷ Ζαχαρίᾳ εἶπε ποτὲ ὁ Ἀββᾶς Μωϋσῆς· εἰπέ μοι τί ποιήσω; ἀκούσας δὲ ἐκεῖνος, ἔρριψεν ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ λέγων· σύ με ἐρωτᾷς, Πάτερ; λέγει αὐτῷ ὁ γέρων· πίστευσόν μοι, τέκνον Ζαχαρία, εἶδον τὸ Πνεῦμα τὸ Ἅγιον κατελθὸν ἐπὶ σέ, καὶ ἐκ τούτου ἀναγκάζομαι ἐρωτῆσαί σε. Λαβὼν δὲ ὁ Ζαχαρίας τὸ κουκούλιον αὐτοῦ ἐκ τῆς κεφαλῆς αὐτοῦ ἔθηκεν ὑπὸ τοὺς πόδας· καὶ καταπατήσας αὐτὸ εἶπεν· ἐὰν μὴ συντριβῇ οὕτως ἄνθρωπος, οὐ δύναται εἶναι Μοναχός.

9. Διηγήσατο ὁ Ἀββᾶς Ποιμήν, ὅτι τὸν Ἀββᾶν Ζαχαρίαν, μέλλοντα τελευτᾶν, ἠρώτησεν ὁ Ἀββᾶς Μωϋσῆς· τί ὁρᾷς; ὁ δὲ ἔφη· οὐ βέλτιον τὸ σιωπᾶν, Πάτερ; καὶ εἶπεν ὁ γέρων· ναί, τέκνον, σιώπα. Ἐν δὲ τῇ ὥρᾳ τοῦ θανάτου αὐτοῦ καθεζόμενος ὁ Ἀββᾶς Ἰσίδωρος, ἀναβλέψας εἰς τὸν οὐρανόν, εἶπεν· εὐφραίνου, τέκνον μου Ζαχαρία, ὅτι ἀνεῴχθησάν σοι αἱ πύλαι τῆς τῶν οὐρανῶν Βασιλείας.

10. Εἶπεν ὁ Ἀββᾶς Εὐάγριος· ἀρχὴ σωτηρίας τῷ ἀνθρώπῳ ἡ ἑαυτοῦ κατάγνωσις.

11. Εὐκαίρησέ ποτε ὁ Ἀββᾶς Θεόδωρος μετὰ ἀδελφῶν· καὶ ἐσθιόντων αὐτῶν, ἐλάμβανον τὰ ποτήρια σιωπῶντες καὶ οὐκ ἔλεγον τὸ «συγχώρησον»· καὶ εἶπεν ὁ

Ἀββᾶς Θεόδωρος· ἀπώλεσαν οἱ Μοναχοὶ τὴν εὐγένειαν αὐτῶν τὸ λέγειν «συγχώρησον».

12. Τὸν αὐτὸν ἠρώτησέ τις ἀδελφὸς λέγων· θέλω ἐπιτελέσαι τὰς ἐντολάς· ἀπεκρίθη αὐτῷ ὁ γέρων, ὅτι ποτὲ καὶ ὁ Ἀββᾶς Θωμᾶς εἶπε· θέλω πληρῶσαι τὸν λογισμόν μου μετὰ τοῦ Θεοῦ. Καὶ ἀπελθὼν εἰς τὸ ἀρτοκοπεῖον ἐποίησεν ἄρτους· καὶ αἰτησάντων πτωχῶν, ἔδωκε τοὺς ἄρτους· καὶ πάλιν αἰτησάντων ἄλλων, ἔδωκε τὰ σπυρίδια καὶ τὸ ἱμάτιον ὃ ἐφόρει· καὶ εἰσῆλθεν εἰς τὸ κελλίον περιζωσάμενος τὸ μαφόριον· καὶ πάλιν ἐμέμφετο ἑαυτὸν λέγων· οὐκ ἐπλήρωσα τὴν ἐντολὴν τοῦ Θεοῦ.

13. Ἀδελφὸς εἶπε τῷ Ἀββᾷ Θεοδώρῳ· εἰπέ μοι ῥῆμα ὅτι ἀπόλλυμαι· καὶ μετὰ κόπου εἶπεν αὐτῷ· ἐγὼ κινδυνεύω, καὶ τί σοι ἔχω εἰπεῖν;

14. Ὁ μακάριος Θεόφιλος ὁ Ἀρχιεπίσκοπος παρέβαλέ ποτε εἰς τὸ ὄρος τῆς Νιτρίας· ἦλθε δὲ ὁ Ἀββᾶς τοῦ ὄρους πρὸς αὐτόν· καὶ λέγει αὐτῷ ὁ Ἀρχιεπίσκοπος· τί εὗρες ἐν τῇ ὁδῷ ταύτῃ πλέον, Πάτερ; καὶ ἀπεκρίθη ὁ γέρων· τὸ αἰτιᾶσθαι καὶ μέμφεσθαι ἑαυτὸν πάντοτε· ἔφη ὁ Ἀρχιεπίσκοπος· ἄλλη ὁδὸς οὐκ ἔστιν, εἰμὴ αὕτη.

15. Τοῦ αὐτοῦ Ἀρχιεπισκόπου ἐλθόντος ποτὲ εἰς Σκῆτιν, συνήχθησαν οἱ ἀδελφοὶ καὶ εἶπον τῷ Ἀββᾷ Παμβῷ· εἰπὲ ἕνα λόγον τῷ Πάπᾳ*, ὅπως ὠφεληθῇ· ὁ δὲ γέρων ἀπεκρίθη· εἰ οὐκ ὠφελεῖται ἐν τῇ σιωπῇ μου, οὐδὲ ἐν τῷ λόγῳ μου ὠφεληθήσεται.

16. Ἔλεγεν ἡ Ἀμμᾶς Θεοδώρα, ὅτι οὔτε ἄσκησις, οὔτε κακουχία, οὔτε παντοῖος πόνος σώζει, εἰμὴ γνησία ταπεινοφροσύνη. Ἦν γάρ τις ἀναχωρητὴς ἀπελαύνων δαίμονας· καὶ ἐξήταζεν αὐτοὺς ἐν τίνι ἐξέρχεσθε· ἐν νηστείᾳ; καὶ ἔλεγον· ἡμεῖς οὔτε ἐσθίομεν οὔτε πίνομεν· ἐν ἀγρυπνίᾳ; καὶ ἔλεγον· ἡμεῖς οὐδόλως κοιμώμεθα· ἐν ἀναχωρήσει; καὶ ἀπεκρίναντο· ἡμεῖς εἰς τὰς ἐρήμους διάγομεν· καὶ ἐπικειμένου τοῦ γέροντος καὶ λέγοντος, ἐν τίνι οὖν ἐξέρχεσθε; αὐτοὶ ὡμολόγησαν εἰπόντες, ὅτι οὐδὲν ἡμᾶς νικᾷ εἰμὴ ἡ ταπεινοφροσύνη.

17. Εἶπεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, ὅτι ἡ ταπεινοφροσύνη καὶ ὁ φόβος τοῦ Θεοῦ ὑπεράνω εἰσὶ πασῶν τῶν ἀρετῶν.

18. Εἶπε πάλιν· τίς πέπρακε τὸν Ἰωσήφ; καὶ ἀπεκρίθη τις ἀδελφὸς λέγων· οἱ ἀδελφοὶ αὐτοῦ· λέγει αὐτοῖς ὁ γέρων· οὐχί, ἀλλ' ἡ ταπείνωσις αὐτοῦ πέπρακεν αὐτόν· ἠδύνατο γάρ, ὅτε ἐπιπράσκετο, εἰπεῖν, ὅτι ἀδελφὸς αὐτῶν εἰμι καὶ ἀντιλέξαι· ἀλλὰ σιωπῶν τῇ ταπεινώσει ἑαυτὸν πέπρακε· καὶ ἡ ταπείνωσις κατέστησεν αὐτὸν ἡγούμενον εἰς Αἴγυπτον.

19. Εἶπε πάλιν· τὸ ἐλαφρὸν φορτίον ἐάσαντες, τουτέστι τὸ ἑαυτοὺς μέμφεσθαι, τὸ βαρὺ ἐβαστάσαμεν, τὸ δικαιοῦν ἑαυτούς.

20. Εἶπέ τις τῶν Πατέρων περὶ αὐτοῦ, ὅτι ὁ Ἀββᾶς Ἰωάννης διὰ τῆς ταπεινώσεως αὐτοῦ ἐκρέμασεν ὅλην τὴν Σκῆτιν ἐν τῷ μικρῷ δακτύλῳ αὐτοῦ.

21. Εἶπεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Θηβαῖος· ὀφείλει ὁ Μοναχὸς πρὸ πάντων τὴν

---

* Πάπας εἶναι τίτλος, ὁ ὁποῖος ἀποδίδεται ἐξ ὅλων τῶν ὀρθοδόξων πατριαρχῶν μόνον εἰς τὸν Πατριάρχην Ἀλεξανδρείας.

ταπεινοφροσύνην κατορθῶσαι· αὕτη γάρ ἐστιν ἡ πρώτη ἐντολὴ τοῦ Σωτῆρος λέγοντος· «μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν οὐρανῶν».

22. Εἶπεν ὁ Ἀββᾶς Ποιμὴν περὶ τοῦ Ἀββᾶ Ἰσιδώρου, ὅτι ἔπλεκε δέμα θαλλίων* καθ' ἑκάστην νύκτα· καὶ παρεκάλουν αὐτὸν οἱ ἀδελφοὶ λέγοντες· ἀνάπαυσον σεαυτὸν ὀλίγον, ὅτι ἤδη ἐγήρασας· ὁ δὲ ἀπεκρίνατο αὐτοῖς, ὅτι ἐὰν καύσωσιν Ἰσίδωρον καὶ τὴν σποδὸν αὐτοῦ ἀνέμῳ σκορπίσωσιν, οὐδὲ μία μοι χάρις ἀκμήν· ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ ὧδε ἦλθε δι' ἡμᾶς.

23. Ὁ αὐτὸς εἶπεν ὁμοίως περὶ τοῦ Ἀββᾶ Ἰσιδώρου, ὅτι ὅτε ἔλεγον αὐτῷ οἱ λογισμοί, μέγας εἶ ἄνθρωπος, ἔλεγε πρὸς αὐτούς· μὴ εἰμὶ κατὰ τὸν Ἀββᾶν Ἀντώνιον; ἢ ἐγενόμην ὅλως κατὰ τὸν Ἀββᾶν Παμβῶ; ἢ τοὺς λοιποὺς Πατέρας τοὺς τῷ Θεῷ εὐαρεστήσαντας; καὶ ταῦτα λέγων ἀνεπαύετο, ὑποχωρούντων ἐκείνων. Ὅτε πάλιν οἱ ἐχθροὶ ἐποίουν αὐτὸν ὀλιγοψυχῆσαι λέγοντες, ὅτι μετὰ ταῦτα πάντα εἰς τὴν κόλασιν ἔχεις βληθῆναι. ἔλεγε πρὸς αὐτούς, ὅτι κἂν εἰς κόλασιν βληθῶ, ὑμᾶς ὑποκάτω εὑρίσκω.

24. Εἶπεν ὁ Ἀββᾶς Λογγῖνος· ὥς περ ὁ νεκρὸς οὐκ αἰσθάνεταί τινος, οὐδὲ κρίνει τινά, οὕτω καὶ ὁ ταπεινόφρων οὐ δύναται κρῖναι ἄνθρωπον, κἂν ἴδῃ αὐτὸν προσκυνοῦντα εἰδώλοις.

25. Εἶπεν ὁ Ἀββᾶς Ματόης· ὅσον ἐγγίζει ἄνθρωπος τῷ Θεῷ, τοσοῦτον ἁμαρτωλὸν ἑαυτὸν βλέπει· Ἡσαΐας γὰρ ὁ Προφήτης, ὅτε εἶδε τὸν Θεόν, τάλανα καὶ ἀκάθαρτον ἐκάλεσεν ἑαυτόν.

26. Ἔλεγεν ὁ αὐτός· ὅτε ἤμην νεώτερος, ἐλογιζόμην ἐν ἑαυτῷ ὅτι τάχα τίποτε ἀγαθὸν ἐργάζομαι· νῦν δέ, ὡς ἐγήρασα, βλέπω ὅτι οὐκ ἔχω οὐδὲ ἓν ἔργον ἀγαθόν.

27. Ἠρώτησε τοῦτον τὶς ἀδελφὸς λέγων· πῶς οἱ σκητιῶται ἐποίουν περισσότερον τῆς ἐντολῆς; ἀγαπῶντες τοὺς ἐχθροὺς αὐτῶν ὑπὲρ ἑαυτούς; καὶ εἶπεν ὁ γέρων· ἐγὼ τέως οὐδὲ τὸν ἀγαπῶντα ἀγαπῶ ὡς ἐμαυτόν.

28. Εἶπεν ὁ Ἀββᾶς Ἰακώβ, ὅτι παρέβαλον τῷ Ἀββᾷ Ματόῃ· καὶ ὑποχωρῶν εἶπον αὐτῷ· θέλω παραβαλεῖν εἰς τὰ κελλία· καὶ λέγει μοι ὁ γέρων· ἄσπασαι ἐξ ἐμοῦ τὸν Ἀββᾶν Ἰωάννην. Ὡς οὖν ἀπῆλθον πρὸς τὸν Ἀββᾶν Ἰωάννην, εἶπον αὐτῷ· ἀσπάζεταί σε ὁ Ἀββᾶς Ματόης· καὶ λέγει ὁ γέρων· ἰδοὺ ὁ Ἀββᾶς Ματόης ἀληθῶς ἀνὴρ Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι· καὶ πληρωθέντος ἐνιαυτοῦ, πάλιν παρέβαλον τῷ Ἀββᾷ Ματόῃ· καὶ εἶπον αὐτῷ τὸν ἀσπασμὸν τοῦ Ἀββᾶ Ἰωάννου· ὁ δὲ γέρων ἔφη· ἐγὼ μὲν οὐκ εἰμὶ ἄξιος τοῦ λόγου τοῦ γέροντος· πλὴν τοῦτο γίνωσκε· ὅταν ἀκούσῃς γέροντος τὸν πλησίον δοξάζοντος ὑπὲρ ἑαυτόν, οὗτος εἰς μέτρα μεγάλα ἔφθασεν· αὕτη γάρ ἐστιν ἡ τελειότης, ὥς τε τινὰ τὸν πλησίον αὐτοῦ δοξάζειν ὑπὲρ ἑαυτόν.

29. Ἠρώτησεν ἀδελφὸς τὸν Ἀββᾶν Ματόην λέγων· εἰπέ μοι ῥῆμα· ὁ δὲ εἶπεν αὐτῷ· ὕπαγε, παρακάλεσον τὸν Θεὸν ἵνα δώσῃ πένθος εἰς τὴν καρδίαν σου καὶ ταπείνωσιν καὶ πρόσεχε πάντοτε ταῖς ἁμαρτίαις σου· καὶ μὴ κρῖνε ἄλλους, ἀλλὰ γενοῦ ὑπὸ κάτω πάντων· καὶ κόψον τὴν παρρησίαν ἀπὸ σοῦ· καὶ κράτησον τὴν γλῶσσάν σου καὶ τὴν κοιλίαν σου· καὶ ἐάν τις λαλήσῃ περὶ πράγματος οἱουδήποτε, μὴ φιλονεικήσῃς μετ' αὐτοῦ· ἀλλ' ἐὰν καλῶς λέγῃ, εἰπὲ ναί· ἐὰν δὲ

---

* Βλέπε τὴν ὑποσημείωσιν τῆς σελίδος 490.

κακῶς, εἰπέ· σὺ οἶδας πῶς λαλεῖς· καὶ μὴ ἔριζε μετ᾽ αὐτοῦ περὶ ὧν ἐλάλησε· καὶ αὕτη ἐστὶν ἡ ταπείνωσις.

30. Εἶπεν ὁ Ἀββᾶς Ξάνθιος· ὁ κύων κρείσσων μού ἐστι· διότι καὶ ἀγάπην ἔχει καὶ εἰς κρίσιν οὐκ ἔρχεται.

31. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἀλώνιον λέγων· τί τὸ ἐξουθενεῖν ἑαυτόν; καὶ εἶπεν ὁ γέρων· τὸ εἶναί σε ὑπὸ κάτω τῶν ἀλόγων, καὶ εἰδέναι ὅτι ἀκατάκριτά εἰσιν.

32. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν, ὅτι ἐὰν ἄνθρωπος ἑαυτὸν μέμφηται, καρτερεῖ πανταχοῦ.

33. Ὁ αὐτὸς ἔφη, ὅτι ἐὰν φθάσῃ ἄνθρωπος εἰς τὸ ῥητὸν τοῦ Ἀποστόλου τὸ φάσκον, «πάντα καθαρὰ τοῖς καθαροῖς», ὁρᾷ ἑαυτὸν ἐλάττονα πάσης τῆς κτίσεως. Λέγει οὖν αὐτῷ τις ἀδελφός· πῶς δύναμαι ἑαυτὸν ἐλάττονα τοῦ φονέως ἡγεῖσθαι; ἔφη ὁ γέρων· ὅτι ἐὰν φθάσῃ ἄνθρωπος εἰς τὸ ῥῆμα τοῦτο καὶ ἴδῃ ἄνθρωπον φονεύοντα, λέγει ὅτι ταύτην τὴν ἁμαρτίαν ἐποίησεν οὗτος μόνην· ἐγὼ δὲ φονεύω καθ᾽ ἑκάστην ἡμέραν.

34. Ἤτησε τὸ αὐτὸ ῥῆμα ἐκεῖνος ὁ ἀδελφὸς καὶ τὸν Ἀββᾶν Ἀνούβ, εἰρηκὼς ὅ,τι εἶπεν ὁ Ἀββᾶς Ποιμήν· καὶ λέγει αὐτῷ ὁ Ἀββᾶς Ἀνούβ· καλῶς εἴρηκεν· οὕτως ἔχει· ἐὰν γὰρ φθάσῃ ἄνθρωπος εἰς τὸ ῥῆμα τοῦτο καὶ ἴδῃ τὰ ὑστερήματα τοῦ ἀδελφοῦ αὐτοῦ, ποιεῖ τὴν δικαιοσύνην αὐτοῦ καταπιεῖν αὐτά· ἔφη ὁ ἀδελφός· ποία ἐστὶν ἡ δικαιοσύνη αὐτοῦ; καὶ ἀπεκρίθη ὁ γέρων· τὸ μέμφεσθαι ἑαυτόν· καὶ γὰρ ὁ μεμφόμενος ἑαυτόν, δικαιοῖ τὸν πλησίον· καὶ αὕτη ἡ δικαιοσύνη κρύπτει τὰ τοῦ πλησίον ἐλαττώματα.

35. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ποιμένος, ὅτι οὐδέποτε ἤθελε δοῦναι τὸν λόγον αὐτοῦ ἐπάνω ἄλλου γέροντος, ἀλλὰ μᾶλλον κατὰ πάντα ἐπῄνει αὐτόν. Ἔλεγον οὖν ὅτι εἰ ἤρχοντό τινες πρὸς αὐτόν, ἀπέστελλεν αὐτοὺς πρὸς τὸν Ἀββᾶν Ἀνοὺβ πρῶτον· ὅτι αὐτὸς μείζων ἦν τοῖς ἔτεσιν· ὁ δὲ Ἀββᾶς Ἀνοὺβ ἔλεγε πάλιν αὐτοῖς· πρὸς τὸν ἀδελφόν μου Ποιμένα ὑπάγετε· ὅτι αὐτὸς τὸ χάρισμα τοῦ λόγου ἔχει· εἰ δέ ποτε ἔτυχε τὸν Ἀββᾶν Ἀνοὺβ μετὰ τοῦ Ἀββᾶ Ποιμένος καθέζεσθαι, οὐκ ἐλάλει ὅλως ὁ Ἀββᾶς Ποιμὴν παρόντος αὐτοῦ.

36. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν, ὅτι εἶπεν ὁ μακάριος Ἀββᾶς Ἀντώνιος, ὅτι ἡ μεγάλη δυναστεία τοῦ ἀνθρώπου ἐστίν, ἵνα ἐπάνω αὐτοῦ βάλῃ τὸ ἴδιον σφάλμα ἐνώπιον Κυρίου καὶ προσδοκήσῃ πειρασμὸν ἕως ἐσχάτης ἀναπνοῆς.

37. Εἶπε πάλιν μετὰ στεναγμῶν· πᾶσαι αἱ ἀρεταὶ εἰς τὸν οἶκον τοῦτον εἰσῆλθον παρὰ μίαν ἀρετήν· καὶ ἐκτὸς αὐτῆς, κόπῳ ἵσταται ὁ ἄνθρωπος. Ἠρώτησαν οὖν αὐτὸν τίς ἐστιν αὕτη; καὶ εἶπεν· ἵνα ἄνθρωπος μέμφηται ἑαυτόν.

38. Εἶπε πάλιν· ἄνθρωπος, ἐὰν τὴν τάξιν αὐτοῦ φυλάσσῃ, οὐ ταράσσεται· διὰ γὰρ τοῦτο πολλοῖς περιπίπτομεν πειρασμοῖς· ὅτι τὴν τάξιν ἡμῶν καὶ τὰ ὀνόματα οὐ φυλάσσομεν· ἠκούσαμεν γὰρ παρὰ τῆς γραφῆς περὶ Ἀβιγαίας, ὅτι εἶπε τῷ Δαβίδ· ἐν ἐμοί ἐστιν ἡ ἁμαρτία· καὶ ἤκουσεν αὐτῆς καὶ ἠγάπησεν αὐτήν. Ἡ οὖν Ἀβιγαία πρόσωπον ἐπέχει τῆς ψυχῆς, ὁ δὲ Δαβὶδ τῆς θεότητος· ἐὰν οὖν ἡ ψυχὴ ἑαυτὴν μέμφηται ἐνώπιον Κυρίου, ἀγαπᾷ αὐτὴν ὁ Κύριος.

39. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ἐγὼ λέγω ὅτι εἰς τὸν τόπον ὅπου βάλλεται ὁ σατανᾶς, ἐκεῖ βάλλομαι.

40. Εἶπε πάλιν· ἄνθρωπος δεῖται τῆς ταπεινοφροσύνης καὶ τοῦ φόβου τοῦ Θεοῦ διὰ παντός, ὥς περ πνοῆς τῆς ἐκπορευομένης ἐκ τῆς ῥινὸς αὐτοῦ.

41. Εἶπε πάλιν· τὸ ῥίψαι ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ καὶ τὸ μὴ μετρεῖν ἑαυτόν, καὶ τὸ βάλλειν ὀπίσω αὐτοῦ τὸ ἴδιον θέλημα, ἐργαλεῖα εἰσὶ τῆς ψυχῆς.

42. Ἀδελφὸς ἠρώτησεν αὐτὸν λέγων· Ἀββᾶ, τίνι με δεῖ προσέχειν καθεζόμενον ἐν τῷ κελλίῳ; λέγει αὐτῷ ὁ γέρων· ἐγὼ τέως ἄνθρωπός εἰμι ἐν βάθει βορβόρου ὢν ἕως τραχήλου, καὶ φορτίον βαστάζων περὶ τὸν αὐχένα καὶ πρὸς τὸν Θεὸν κράζω, ἐλέησόν με.

43. Εἶπε πάλιν· ἐὰν παραβάλῃ σοι ἀδελφός, καὶ ἴδῃς ἑαυτὸν μηδὲν ὠφελούμενον ἐν τῇ εἰσόδῳ αὐτοῦ, ζήτησον ἐν τῇ διανοίᾳ σου καὶ μάθε, ποῖος ἦν ὁ λογισμὸς ὃν εἶχες πρὸ τῆς εἰσόδου αὐτοῦ; καὶ τότε γνώσῃ τίς ἡ αἰτία τῆς ἀνωφελείας καὶ ὅτι σὺ ταύτην παρέσχες. Καὶ ἐὰν τοῦτο ποιήσῃς μετὰ ταπεινοφροσύνης, ἔσῃ ἄμεμπτος ἀπὸ τοῦ πλησίον σου, ἤγουν οὐκ ἐκεῖνον ἀλλὰ σεαυτὸν μέμψῃ καὶ βαστάσεις τὰ σεαυτοῦ ἐλαττώματα· ἐὰν γὰρ μετ' εὐλαβείας ποιήσῃ ἄνθρωπος τὸ κάθισμα αὐτοῦ, οὐ μὴ πταίσῃ· ὁ γὰρ Θεὸς ἐνώπιον αὐτοῦ ἐστιν· ὡς δὲ ἐγὼ ὁρῶ, ἐκ ταύτης τῆς καθέδρας κτᾶται ἄνθρωπος τὸν φόβον τοῦ Θεοῦ.

44. Εἶπε πάλιν· καθεζομένων γερόντων ποτὲ καὶ ἐσθιόντων, ἵστατο ὑπηρετῶν ὁ Ἀββᾶς Ἀλώνιος· ἐπῄνεσαν οὖν οἱ γέροντες αὐτόν, ὁ δὲ τὸ σύνολον οὐκ ἀπεκρίθη. Λέγει οὖν τις αὐτῷ κατ' ἰδίαν· διατὶ οὐκ ἀπεκρίθης τοῖς γέρουσιν ἐπαινέσασί σε; ὁ δὲ ἔφη· εἰ ἀπεκρίθην αὐτοῖς, εὑρισκόμην καταδεξάμενος τὸν ἔπαινον.

45. Εἶπε πάλιν· ἡ γῆ, ἣ ἐνετείλατο ὁ Θεὸς θυσίαν ποιεῖν, αὕτη ἐστὶν ἡ ταπεινοφροσύνη.

46. Εἶπεν ὁ Ἀββᾶς Σισώης· ὁ κατέχων τὸ ἀψήφιστον ἐν γνώσει, ἐπιτελεῖ πᾶσαν τὴν Γραφήν.

47. Παρέβαλέ τις ἀδελφὸς τῷ Ἀββᾷ Σισώῃ εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου· καὶ λαλούντων αὐτῶν, εἶπεν ὁ ἀδελφὸς τῷ γέροντι· ἄρτι οὐκ ἔφθασας εἰς τὰ μέτρα τοῦ Ἀββᾶ Ἀντωνίου, Πάτερ; καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· εἰ εἶχον ἕνα τῶν λογισμῶν τοῦ Ἀββᾶ Ἀντωνίου, ἐγενόμην ὅλος ὡς πῦρ.

48. Ἕτερος ἀδελφὸς ἠρώτησεν αὐτὸν λέγων· Ἀββᾶ, ὁρῶ ὅτι ἡ μνήμη τοῦ Θεοῦ παραμένει μοι· ἔφη ὁ γέρων· οὐκ ἔστι μέγα τὸ εἶναι τὸν λογισμόν σου μετὰ τοῦ Θεοῦ· μέγα δέ ἐστι τὸ ὁρᾶν ἑαυτὸν ὑπὸ κάτω πάσης τῆς κτίσεως· διὰ τοῦτο γὰρ καὶ ὁ σωματικὸς κόπος ὁδηγεῖ εἰς ταπεινοφροσύνην.

49. Εἶπεν ὁ Ἀββᾶς Σισώης τινὶ ἀδελφῷ· πῶς ἔχεις; ὁ δὲ ἔφη· τὰς ἡμέρας ἀναλίσκω, Πάτερ· καὶ λέγει ὁ γέρων· ἐὰν κἀγὼ ἀνήλισκον μίαν ἡμέραν, εὐχαριστῶ· ἤγουν, εἰ κἀγὼ μίαν ἡμέραν διήνυον μὴ προστιθεὶς ταῖς ἁμαρτίαις μου, εὐχαριστῶ.

50. Τρεῖς γέροντες παρέβαλον τῷ Ἀββᾷ Σισώῃ ἀκούσαντες περὶ αὐτοῦ· καὶ λέγει αὐτῷ ὁ πρῶτος· Πάτερ, πῶς δύναμαι σωθῆναι ἀπὸ τοῦ βρυγμοῦ τῶν ὀδόντων καὶ τοῦ σκώληκος τοῦ ἀκοιμήτου; ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῷ· λέγει καὶ ὁ δεύτερος· Πάτερ, πῶς δύναμαι σωθῆναι ἀπὸ τοῦ βρυγμοῦ τῶν ὀδόντων καὶ τοῦ σκώληκος τοῦ ἀκοιμήτου; καὶ οὐδὲ αὐτῷ ἀπεκρίθη. Ἔφη καὶ ὁ τρίτος· Πάτερ, τί ποιήσω, ὅτι ἡ μνήμη τοῦ ἐξωτέρου σκότους οὐκ ἐᾷ με ἀναπνεῖν; τότε λέγει αὐτοῖς ὁ γέρων· ἐγὼ οὐδενὸς τούτων μέμνημαι, ἐλπίζω δὲ ὅτι, φιλεύσπλαγχνος ὢν ὁ Θεός, ποιεῖ μετ' ἐμοῦ ἔλεος. Ἀκούσαντες δὲ οἱ γέροντες ἐλυπήθησαν καὶ ὥρμησαν ἀπελθεῖν· ὁ δέ, μὴ θέ-

λων αὐτοὺς ἀπολῦσαι λυπουμένους, εἶπεν αὐτοῖς· μακάριοι ἐστέ, ἀδελφοί· ἐζήλωσα γὰρ ὑμᾶς· καὶ γὰρ εἰ τοιαύτης μνήμης κυριεύει ὁ νοῦς ὑμῶν ἀεί, ἀδύνατον ὑμᾶς ἁμαρτῆσαι· ἐγὼ δὲ τί ποιήσω ὁ σκληροκάδιος, μηδὲ συγχωρούμενος εἰδέναι ὅτι κἂν ἔστι κόλασις τοῖς ἀνθρώποις; ἐκ τούτου ἐν πάσῃ ὥρᾳ ἁμαρτάνω· καὶ μετανοήσαντες αὐτῷ οἱ γέροντες εἶπον· καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν.

51. Ἔλεγεν ὁ Ἀββᾶς Σισώης, ὅτι ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ταπεινοφροσύνην ἐστὶν ἡ ἐγκράτεια καὶ τὸ εὔχεσθαι ἀεὶ τῷ Θεῷ, καὶ τὸ ἀγωνίζεσθαι εἶναι ὑπὸ κάτω παντὸς ἀνθρώπου.

52. Ἔλεγε πάλιν, ὅτι γέγραπται περὶ τῶν εἰδώλων, ὅτι στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐ βλέπουσιν· ὦτα ἔχουσι, καὶ οὐκ ἀκούουσιν· οὕτως οὖν ὀφείλει εἶναι ὁ Μοναχός, καὶ ὅτι τὰ εἴδωλα βδέλυγμά εἰσι, καὶ αὐτὸς οὕτως ἡγεῖσθαι ἑαυτὸν βδέλυγμα.

53. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Κρόνιον λέγων· ποίῳ τρόπῳ ἔρχεται ἄνθρωπος εἰς ταπεινοφροσύνην; Ἀπεκρίθη αὐτῷ ὁ γέρων, ὅτι διὰ τοῦ φόβου τοῦ Θεοῦ. Λέγει ὁ ἀδελφός· καὶ διὰ ποίου πράγματος ἔρχεται εἰς τὸν φόβον τοῦ Θεοῦ; ἔφη ὁ γέρων· τὸ κατ' ἐμέ, ἵνα συστείλῃ ἑαυτὸν ἀπὸ παντὸς πράγματος καὶ δῷ ἑαυτὸν εἰς κόπον σωματικόν, καὶ ὅσον ἔχει ἰσχὺν μνημονεύῃ τῆς ἐκ τοῦ σώματος ἐξόδου καὶ τῆς κρίσεως τοῦ Θεοῦ.

54. Παρερχόμενός ποτε ἀπὸ τοῦ ἕλους εἰς τὸ κελλίον αὐτοῦ ὁ Ἀββᾶς Μακάριος, ἐβάσταζε θαλλία· καὶ ἰδοὺ ὑπήντησεν αὐτῷ ὁ διάβολος μετὰ δρεπάνου κατὰ τὴν ὁδόν· καὶ ὡς ἠθέλησε κροῦσαι αὐτὸν καὶ οὐκ ἴσχυσε, λέγει αὐτῷ· πολλὴ βία ἀπὸ σοῦ, Μακάριε, ὅτι οὐ δύναμαι πρὸς σέ· ἰδοὺ ὅ,τι ποιεῖς, κἀγὼ ποιῶ· σὺ νηστεύεις, κἀγώ· σὺ ἀγρυπνεῖς, κἀγὼ ὅλως οὐ κοιμῶμαι· ἕν ἐστι μόνον ἐν ᾧ νικᾷς με· λέγει αὐτῷ ὁ Ἀββᾶς Μακάριος· ποῖον τοῦτο; ὁ δὲ ἔφη· ἡ ταπείνωσίς σου· καὶ διὰ τοῦτο οὐ δύναμαι πρὸς σέ.

55. Εἶπεν ὁ Ἀββᾶς Ὑπερέχιος· δένδρον ζωῆς εἰς ὕψος ἐγειρόμενόν ἐστιν ἡ ταπεινοφροσύνη.

56. Εἶπε γέρων· ὁ ἔχων ταπείνωσιν, ταπεινοῖ τοὺς δαίμονας· ὁ δὲ μὴ ἔχων ταπείνωσιν, καταπαίζεται ὑπὸ τῶν δαιμόνων.

57. Εἶπε πάλιν· μὴ μόνον ταπεινολόγει, ἀλλὰ καὶ ταπεινοφρόνει· ὑψωθῆναι σε γὰρ ἐν τοῖς κατὰ Θεὸν ἔργοις ἀδύνατόν ἐστι χωρὶς ταπεινοφροσύνης.

58. Ἀναχωρητῇ τινι μεγάλῳ εἰπόντι, τί οὕτω με πολεμεῖς, σατανᾶ; ἀπεκρίθη ὁ σατανᾶς λέγων· σὺ εἶ ὁ διὰ τῆς ταπεινοφροσύνης μεγάλως με πολεμῶν.

59. Ἔλεγον οἱ γέροντες· στέφανός ἐστι τῷ Μοναχῷ ἡ ταπεινοφροσύνη.

60. Ἠρωτήθη γέρων πότε κτᾶται τὴν ταπείνωσιν ἡ ψυχή· καὶ ἀπεκρίθη· ὅταν τὰ ἑαυτῆς μεριμνᾷ κακά.

61. Εἶπε γέρων· ὡς ἡ γῆ οὐδέποτε πίπτει κάτω, οὕτως οὐδὲ ὁ ταπεινῶν ἑαυτόν.

62. Δύο ἀδελφοὶ ἦσαν σαρκικοὶ καὶ ᾤκουν ἐν ταὐτῷ· ἐπεχείρει δὲ ὁ διάβολος χωρίσαι αὐτοὺς ἀπ' ἀλλήλων· καὶ μιᾷ τῶν ἡμερῶν, ἀνάψαντος τοῦ μικροτέρου τὸν

λύχνον, ἐνεργήσας ὁ δαίμων, ἔστρεψε τὴν λυχνίαν, καὶ ἐστράφη ὁ λύχνος· καὶ ἔτυψεν αὐτὸν ὁ μείζων ἀδελφὸς ἐν ὀργῇ· ὁ δὲ ἔβαλε μετάνοιαν λέγων· μακροθύμησον, ἀδελφέ μου, καὶ πάλιν ἅπτω· εὐθὺς δὲ δύναμις Κυρίου ἐξῆλθε καὶ κατήργησε τοῦ δαίμονος πᾶσαν τὴν δύναμιν, καὶ αὐτὸς ἀπῆλθε καὶ ἀνήγγειλε τῷ ἄρχοντι αὐτοῦ (ἐν εἰδωλείῳ καθεζομένῳ) τὸ γενόμενον.

Ἤκουσε δὲ ὁ ἱερεὺς τῶν ἑλλήνων τοῦ δαίμονος τοῦτο διηγουμένου· καὶ καταγνοὺς τῆς πλάνης, ἐβαπτίσθη καὶ γέγονε Μοναχός· καὶ ἐξ ἀρχῆς ἐκράτησε τὴν ταπείνωσιν λέγων, ὅτι ἡ ταπείνωσις λύει πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καθὼς αὐτὸς ἐγὼ παρ' ἐκείνου ἤκουσα εἰπόντος· ὅτι ὡς ταράσσω τοὺς Μοναχούς, στρέφεται εἷς ἐξ αὐτῶν καὶ βάλλει μετάνοιαν καὶ εὐθὺς καταργεῖταί μου πᾶσα ἡ δύναμις.

63. Εἶπε γέρων· ἡ ταπείνωσις οὐκ ὀργίζεται, οὐδὲ παροργίζει τινά.

64. Ἠρωτήθη γέρων· διατί οὕτω πολεμούμεθα ὑπὸ τῶν δαιμόνων; καὶ ἀπεκρίθη· ἐπειδὴ τὰ ὅπλα ἡμῶν ἀπορρίπτομεν· λέγω δὴ τὴν ἀτιμίαν, καὶ τὴν ταπείνωσιν, καὶ τὴν ἀκτημοσύνην καὶ τὴν ὑπομονήν.

65. Ἠρωτήθη γέρων· τί ἐστι ταπείνωσις; καὶ ἀπεκρίθη· ἐὰν ἁμαρτήσῃ ὁ ἀδελφός σου καὶ συγχωρήσῃς αὐτῷ πρὸ τοῦ μετανοῆσαί σοι.

66. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Σισώη ὅτι ἠσθένησε· καὶ καθημένων πρὸς αὐτὸν καὶ ἐρωτησάντων, τί βλέπεις; εἶπεν αὐτοῖς· ὁρῶ τινας ἐλθόντας ἐπ' ἐμέ, καὶ παρακαλῶ αὐτούς, ἵνα ἐάσωσί με μικρὸν μετανοῆσαι· λέγει δὲ αὐτῷ εἷς τῶν γερόντων· καὶ ἐὰν ἐάσωσί σε ἀπ' ἄρτι δύνασαι χρησιμεῦσαι εἰς μετάνοιαν; καὶ εἶπεν ὁ γέρων· εἰ καὶ οὐ δύναμαι ποιῆσαι, ἀλλὰ στενάζω μικρὸν ἐπάνω τῆς ψυχῆς μου καὶ ἀρκεῖ μοι.

67. Ἦλθόν ποτέ τινες ἐν Θηβαΐδι πρός τινα γέροντα φέροντες δαιμονιζόμενον, ἵνα θεραπεύσῃ αὐτόν· ὁ δὲ γέρων, πολλὰ παρακληθείς, λέγει τῷ δαίμονι· ἔξελθε ἐκ τοῦ πλάσματος τοῦ Θεοῦ· ἀπεκρίθη ὁ δαίμων· ἐξέρχομαι· ἀλλ' ἐρωτῶ σε ἓν ῥῆμα καὶ εἰπέ μοι· τίνες εἰσὶ τὰ ἐρίφια, καὶ τίνες εἰσὶ τὰ ἀρνία; ἔφη ὁ γέρων· τὰ ἐρίφια μὲν ἐγώ εἰμι· τὰ δὲ ἀρνία, ὁ Θεὸς οἶδε· καὶ ἀκούσας ὁ δαίμων ἐβόησε φωνῇ μεγάλῃ· ἰδοὺ διὰ τὴν ταπείνωσίν σου ἐξέρχομαι· καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ.

68. Ἔλεγον οἱ γέροντες· ὅταν μὴ πολεμώμεθα, τότε μᾶλλον χρὴ ἡμᾶς ταπεινοῦσθαι· ὁ γὰρ Θεός, εἰδὼς ἡμῶν τὴν ἀσθένειαν, σκεπάζει ἡμᾶς· ἐὰν δὲ καυχησώμεθα, ἀφαιρεῖται ἀφ' ἡμῶν τὴν σκέπην αὐτοῦ καὶ ἀπολλύμεθα.

69. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· τί ἐστιν ἡ κατὰ Θεὸν προκοπὴ τοῦ ἀνθρώπου; καὶ ἀπεκρίθη ὁ γέρων· ἡ προκοπὴ τοῦ ἀνθρώπου ἐστὶν ἡ ταπείνωσις· ὅσον γὰρ ἐάν τις κατάγηται εἰς ταπείνωσιν, τοσοῦτον εἰς προκοπὴν ἀνάγεται.

70. Εἶπε γέρων· ἐὰν εἴπῃς τινὶ «συγχώρησόν μοι», ταπεινῶν ἑαυτόν, καίεις τοὺς δαίμονας.

71. Εἰ μὴ ἔβαλεν ὁ ἀρτοκόπος σκεπάσματα τοῖς ὀφθαλμοῖς τοῦ κτήνους, ἐστρέφετο ἄν, καὶ τὸν μισθὸν αὐτοῦ ἔτρωγεν. Οὕτω καὶ ἡμεῖς· λαμβάνομεν κατ' οἰκονομίαν Θεοῦ σκεπάσματα, ἵνα μὴ βλέπωμεν ἃ ἐργαζόμεθα καλά, καὶ μακαρίζομεν ἑαυτούς, καὶ διὰ τοῦτο ἀπολέσομεν τὸν μισθὸν ἡμῶν· τούτου χάριν ἀφιέμεθα σχεῖν ποτε ῥυπαροὺς λογισμούς, καὶ αὐτοὺς μόνους βλέπομεν, ἵνα ἑαυτοὺς κατακρίνωμεν· καὶ

γίνονται αὐτὰ τὰ ρυπαρά, σκεπάσματα ἡμῖν τοῦ μικροῦ ἀγαθοῦ· ὅταν γὰρ ἄνθρωπος μέμψηται ἑαυτόν, οὐκ ἀπόλλυσι τὸν μισθὸν αὐτοῦ.

72. Ἠρωτήθη γέρων· τί ἐστι ταπείνωσις; καὶ ἀποκριθεὶς εἶπεν· ἡ ταπείνωσις μέγα ἔργον ἐστὶ θεϊκόν· ἡ δὲ ὁδὸς τῆς ταπεινώσεως, οἱ κόποι εἰσὶν οἱ σωματικοί, καὶ τὸ ἔχειν ἑαυτὸν ἁμαρτωλὸν καὶ ὑπὸ κάτω πάντων· καὶ εἶπεν ὁ ἐρωτήσας ἀδελφός· τί ἐστι τὸ ὑπὸ κάτω πάντων; καὶ λέγει ὁ γέρων· τὸ μὴ προσέχειν ἀλλοτρίαις ἁμαρτίαις, ἀλλὰ ταῖς ἰδίαις πάντοτε καὶ δέεσθαι τοῦ Θεοῦ ἀδιαλείπτως.

73. Ἀδελφός τις ἦν ἐν κοινοβίῳ, καὶ ὅλα τὰ βάρη τῶν ἀδελφῶν ἐβάσταζεν ἐπάνω αὐτοῦ, καὶ ἕως πορνείας κατηγόρει ἑαυτοῦ, ὅτι ἐγὼ ἐποίησα. Τινὲς δὲ τῶν ἀδελφῶν, ἀγνοοῦντες τὴν πρᾶξιν αὐτοῦ, ἤρξαντο γογγύζειν κατ' αὐτοῦ λέγοντες· πόσα κακὰ ποιεῖ οὗτος καὶ οὐδὲν ἐργάζεται; Ὁ δὲ Ἀββᾶς, γινώσκων τὴν πρᾶξιν αὐτοῦ, ἔλεγε τοῖς ἀδελφοῖς· θέλω τὸ ἓν αὐτοῦ ψιάθιον* μετὰ ταπεινοφροσύνης, ἢ ὅλα τὰ ὑμῶν μετὰ ὑπερηφανείας· εἰ δὲ θέλετε, καὶ ἀπὸ τοῦ Θεοῦ πληροφορήσω ὑμᾶς. Προσέταξεν οὖν ἀναφθῆναι πῦρ καὶ ἐνεχθέντα τὰ ἀνὰ τρία ἐκείνων ψιάθια καὶ τὸ ἓν τοῦ ἀδελφοῦ ριφθῆναι ἐν τῷ πυρί· ὡς δὲ ἐρρίφθησαν, εὐθὺς πάντα μὲν ἐκεῖνα ἐκάησαν, ἔμεινε δὲ μόνον τὸ τοῦ ἀδελφοῦ· καὶ ἰδόντες οἱ πρώην κατηγοροῦντες αὐτοῦ ἐφοβήθησαν καὶ ἔβαλον αὐτῷ μετάνοιαν, καὶ ἐτίμων αὐτὸν τοῦ λοιποῦ ὡς Πατέρα.

74. Μοναχός τις τραῦμα λαβὼν παρά τινος, μετάνοιαν ἔβαλε τῷ πλήξαντι.

75. Διηγήσατο γέρων, ὅτι δύο τινὲς ἦσαν κοσμικοί· καὶ συμφωνήσαντες ἐξῆλθον καὶ γεγόνασι Μοναχοί· καὶ ζήλῳ φερόμενοι, ἀγνοοῦντες δέ, εὐνούχισαν ἑαυτοὺς διὰ τὴν Βασιλείαν τῶν οὐρανῶν, ὡς ἐνόμιζον πληροῦντες τὴν εὐαγγελικὴν φωνήν. Μαθὼν δὲ ὁ Ἀρχιεπίσκοπος, ἐχώρισεν αὐτοὺς τῆς κοινωνίας· οἱ δὲ ἠγανάκτησαν κατ' αὐτοῦ, δοκοῦντες ὅτι καλῶς ἐποίησαν. Ἀπῆλθον οὖν πρὸς τὸν Ἀρχιεπίσκοπον Ἱεροσολύμων, καὶ ἀνήγγειλαν αὐτῷ τὸ γεγονός· κἀκεῖνος ἐχώρισεν αὐτούς· ἔπειτα πρὸς τὸν Ἀντιοχείας· κἀκεῖνος ὁμοίως· εἶτα καὶ πρὸς τὸν Πάπαν Ῥώμης· ὡς ὑπερέχοντα ἀπελθόντες, καὶ παρ' αὐτοῦ τὰ ὅμοια ἤκουσαν.

Ἀπορούμενοι οὖν πρὸς ἀλλήλους εἶπον· οὗτοι, εἷς τῷ ἑνὶ χαρίζονται διὰ τὸ ἐν συνόδοις συνάγεσθαι· ἀλλ' ἄγωμεν εἰς τὸν Ἅγιον τοῦ Θεοῦ Ἐπιφάνιον τὸν Ἐπίσκοπον Κύπρου, κἀκεῖνος πληροφορήσει ἡμῖν, ὅτι Προφήτης ἐστὶ καὶ οὐ λαμβάνει πρόσωπον ἀνθρώπου. Ὡς ἀπιόντες ἐπλησίασαν τῇ πόλει, ἀπεκαλύφθη τῷ Ἁγίῳ τὰ κατ' αὐτούς, καὶ πέμψας εἰς ὑπάντησιν αὐτῶν εἶπε· μηδὲ εἰς τὴν πόλιν ταύτην εἰσέλθητε. Τότε ἐν ἑαυτοῖς γενόμενοι εἶπον· ἐπ' ἀληθείας ἡμεῖς ἐσφάλημεν· ἔστωσαν γάρ, ἐκεῖνοι ἀδίκως ἡμᾶς ἐχώρισαν· μὴ καὶ οὗτος ὁ Προφήτης; ἰδοὺ ὁ Θεὸς ἀπεκάλυψεν αὐτῷ τὰ περὶ ἡμῶν· καὶ κατέγνωσαν ἑαυτῶν σφόδρα. Ἰδὼν δὲ ὁ Θεὸς ὅτι ἐταπεινώθη ἡ καρδία αὐτῶν καὶ τὸ σφάλμα ὁμολογοῦσιν, ἐπληροφόρησε τὸν Ἅγιον Ἐπιφάνιον· καὶ ἀφ' ἑαυτοῦ πέμψας μετεκαλέσατο αὐτούς· καὶ παρακαλέσας ἐδέξατο εἰς κοινωνίαν, γράψας καὶ τῷ Ἀρχιεπισκόπῳ Ἀλεξανδρείας· δέξαι τὰ τέκνα σου· μετενόησαν γὰρ ἐν ἀληθείᾳ. Ἐπέφερεν οὖν ὁ γέρων ὅτι τοῦτό ἐστιν ἡ θεραπεία τοῦ ἀνθρώπου, καὶ τοῦτο θέλει ὁ Θεός, ἵνα ἄνθρωπος βάλῃ τὸ σφάλμα αὐτοῦ ἐπάνω αὐτοῦ ἐνώπιον τοῦ Θεοῦ, καὶ ἡ χάρις τοὺς ἀνθρώπους πληροφορεῖ.

---

* Ψιάθιον ἦτο τὸ ἐργόχειρον, τὸ ὁποῖον ἔπλεκαν οἱ μοναχοὶ μὲ ψάθαν.

76. Ἀδελφὸς ἦν εἰς τὰ κελλία· καὶ εἰς τοιαύτην ἦλθε ταπείνωσιν, ὡς τοῦτο εὔχεσθαι πάντοτε· Κύριε, πέμψον μοι κεραυνόν· ὑγιαίνων γὰρ παρακούω σου.

77. Εἶπε γέρων· ἐὰν κάμῃ ἄνθρωπος εἰς τὸ διὰ παντὸς ἐλέγχειν καὶ ἐπιτιμᾶν καὶ ἐξουθενεῖν κρυπτῶς τὴν ἑαυτοῦ ψυχήν, πείθει αὐτὴν ὅτι ἀτιμοτέρα τῶν κυνῶν καὶ τῶν θηρίων ἐστίν· ἐκεῖνα γὰρ οὔτε παρώργισαν τὸν ποιήσαντα, οὔτε εἰς κρίσιν ἔρχονται· πολλῷ οὖν κάλλιόν μού ἐστι μὴ ἀναστῆναι εἰς κρίσιν, ἢ ἀναστῆναι αἰωνίως κολάζεσθαι.

78. Ἀδελφὸς παρέβαλε γέροντι καὶ ἠρώτησεν αὐτόν· πῶς ἔχεις, Πάτερ; καὶ ἀπεκρίθη ὁ γέρων· κακῶς. Λέγει αὐτῷ ὁ ἀδελφός· διατί, Ἀββᾶ; ἔφη ὁ γέρων· ἰδού, δεκαοκτὼ χρόνους ἔχω ἐνώπιον τοῦ Θεοῦ παριστάμενος καὶ καθ' ἡμέραν καταρώμενος ἑαυτὸν λέγω· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου· καὶ τοῦτο ἀκούσας ὁ ἀδελφὸς ἐξῆλθε, πάνυ ὠφεληθεὶς εἰς τὴν ταπείνωσιν τοῦ γέροντος.

79. Εἶπε γέρων· ἐὰν κάθῃ ἐν ἐρήμῳ ἡσυχάζων, μὴ ἔχε ἐν ἑαυτῷ ὡς μέγα τι ποιῶν, ἀλλὰ μᾶλλον λογίζου ἑαυτὸν ὡς κύνα ἐξορισθέντα ἀπὸ δήμου, καὶ δεδεμένον, διὸ τὸ δάκνειν καὶ ἐπιπηδᾶν τοῖς ἀνθρώποις.

80. Εἶπε γέρων· ἐὰν εἰς ἔρημον οἰκῇς καὶ ἴδῃς ὅτι φροντίζει σου ὁ Θεός, μὴ ὑψωθῇ ἡ καρδία σου· ἐπεὶ αἴρει ὁ Θεὸς τὴν βοήθειαν αὐτοῦ ἀπὸ σοῦ· ἀλλὰ μᾶλλον εἰπέ, ὅτι διὰ τὴν ὀλιγωρίαν καὶ ἀσθένειάν μου ποιεῖ ὁ Θεὸς ἔλεος μετ' ἐμοῦ, ἵνα ὑπομείνω καὶ μὴ ἀκηδιάσω.

81. Εἶπε γέρων· ἐὰν ἀκούσῃς τὰς μεγάλας πολιτείας τῶν Ἁγίων Πατέρων καὶ θερμανθεὶς θελήσῃς μιμήσασθαι, ἐπιχείρησον καὶ σὺ ἐπικαλούμενος τὸ ὄνομα τοῦ Κυρίου, ἵνα ἐνισχύσῃ σε εἰς τὸ ἔργον, ὃ ἡρετίσω· καὶ εἰ, βοηθείᾳ τοῦ Θεοῦ, τελειώσῃς, ἔχε τὴν χάριν τῷ βοηθήσαντι· εἰ δὲ μὴ δυνηθῇς τελειῶσαι, ἐπίγνωθι τὴν σεαυτοῦ ἀδυναμίαν καὶ ἀσθένειαν, καὶ καταγνοὺς σεαυτοῦ, ταπείνωσόν σου τὸν λογισμὸν ἕως ἡμέρας θανάτου, ἔχων σεαυτὸν ἀνίκανον καὶ πτωχὸν καὶ ἀνυπομόνητον, καὶ ἐλέγχων τὴν ἰδίαν ψυχὴν πάντοτε, ὡς ἀρξαμένην καὶ μὴ τελειώσασαν· καὶ οὕτω καὶ σὺ δύνασαι σωθῆναι.

82. Ἦλθέ ποτε ὁ Ἀββᾶς Μακάριος ὁ Αἰγύπτιος ἀπὸ τῆς σκήτεως εἰς τὸ ὄρος τῆς Νιτρίας εἰς τὴν προσφορὰν τοῦ Ἀββᾶ Παμβῶ· καὶ λέγουσιν αὐτῷ οἱ γέροντες· εἰπὲ ῥῆμα τοῖς ἀδελφοῖς, Πάτερ· ὁ δὲ εἶπεν· ἐγὼ οὔπω γέγονα Μοναχός, ἀλλ' εἶδον Μοναχούς. Καθημένῳ γάρ μοί ποτε ἐν τῷ κελλίῳ εἰς σκῆτιν, ὤχλησαν οἱ λογισμοὶ λέγοντες· ἄπελθε εἰς τὴν ἔρημον καὶ ἴδε τί βλέπεις ἐκεῖ· ἔμεινα δὲ πολεμῶν τῷ λογισμῷ πέντε ἔτη, μήπως ἀπὸ δαιμόνων ἐστίν.

Ὡς δὲ ἐπέμενεν ὁ λογισμός, ἀπῆλθον εἰς τὴν ἔρημον· καὶ εὗρον ἐκεῖ λίμνην ὑδάτων καὶ νῆσον ἐν μέσῳ αὐτῆς· καὶ ἦλθον τὰ θηρία τῆς ἐρήμου πιεῖν ἐξ αὐτῆς· καὶ εἶδον ἐν μέσῳ αὐτῶν δύο ἀνθρώπους γυμνούς· καὶ ἐδειλίασε τὸ σῶμά μου· ἐνόμισα γὰρ ὅτι πνεύματά εἰσιν· αὐτοὶ δέ με ὡς εἶδον δειλιῶντα, ἐλάλησαν πρός με· μὴ φοβοῦ· καὶ ἡμεῖς ἄνθρωποί ἐσμεν· καὶ εἶπον αὐτοῖς· πόθεν ἐστέ; καὶ πῶς ἤλθετε εἰς τὴν ἔρημον ταύτην; οἱ δὲ εἶπον· ἀπὸ κοινοβίου ἐσμέν· καὶ γέγονεν ἡμῖν συμφωνία, καὶ ἐξήλθομεν ὧδε, ἰδοὺ τεσσαράκοντα ἔτη· καὶ ὁ μὲν εἷς ἡμῶν Αἰγύπτιος ὑπάρχει, ὁ δὲ ἕτερος Λίβυς· σὺ δὲ εἰπὲ ἡμῖν πῶς ὁ κόσμος; καὶ εἰ ἔρχεται τὸ ὕδωρ κατὰ καιρὸν αὐτοῦ, καὶ εἰ ἔχει ὁ κόσμος τὴν εὐθηνίαν αὐτοῦ;

Ἐγὼ δὲ ἔφην αὐτοῖς· ναί· πλὴν εἴπατέ μοι· πῶς δύναμαι γενέσθαι Μοναχός;

καὶ ἀπεκρίθησάν μοι· ἐὰν μὴ ἀποτάξηταί τις πᾶσι τοῖς τοῦ κόσμου, οὐ δύναται γενέσθαι Μοναχός· εἶπον δὲ αὐτοῖς· ἐγὼ ἀσθενής εἰμι καὶ οὐ δύναμαι ὡς ὑμεῖς· κἀκεῖνοι λέγουσι· καὶ ἐὰν οὐ δύνασαι ὡς ἡμεῖς, κάθου εἰς τὸ κελλίον σου καὶ κλαῦσον τὰς ἁμαρτίας σου. Καὶ ἠρώτησα αὐτούς· ὅταν γίνηται χειμὼν οὐ ριγᾶτε; καὶ πάλιν ἐν τῷ καύματι οὐ καίεται τὰ σώματα ὑμῶν; οἱ δὲ εἶπον· ὁ Θεὸς ἐποίησεν ἡμῖν τὴν οἰκονομίαν ταύτην, καὶ οὔτε ἐν τῷ χειμῶνι ριγῶμεν, οὔτε τὸ καῦμα ἡμᾶς παραβλάπτει. Διὰ τοῦτο, φησὶν ὁ γέρων, εἶπον ὑμῖν, ὅτι οὔπω γέγονα Μοναχός, ἀλλ' εἶδον Μοναχούς. Συγχωρήσατέ μοι, ἀδελφοί.

83. Εὐχομένου ποτὲ τοῦ Ἀββᾶ Ἀντωνίου ἐν τῷ κελλίῳ αὐτοῦ, ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Ἀντώνιε, οὔπω ἔφθασας εἰς τὸ μέτρον τοῦδε τοῦ σκυτέως τοῦ ἐν Ἀλεξανδρείᾳ ὄντος. Ἀναστὰς οὖν ὁ γέρων τὸ πρωῒ καὶ λαβὼν τὴν βαΐνην ράβδον, ἀπῆλθε πρὸς αὐτόν· καὶ εἰσελθὼν καὶ ἀσπασάμενος αὐτόν, ἐκάθισε σὺν αὐτῷ καὶ λέγει αὐτῷ· εἰπέ μοι, ἀδελφέ, τὰς πράξεις σου· ὁ δὲ ἔφη· οὐκ οἶδα ἐμαυτόν, Ἀββᾶ, τίποτε καλὸν πράξαντα, εἰμὴ μόνον ὅτι, ὡς ἀνίσταμαι τὸ πρωῒ καθίσαι εἰς τὸ ἐργόχειρόν μου, λέγω ἐν ἐμαυτῷ, ὅτι πᾶσα ἡ πόλις αὕτη, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, εἰσέρχονται εἰς τὴν Βασιλείαν διὰ τὰς δικαιοσύνας αὐτῶν, ἐγὼ δὲ μόνος κληρονομῶ τὴν κόλασιν διὰ τὰς ἁμαρτίας μου· καὶ πάλιν ὀψὲ πρὶν κοιμηθῶ λέγω τὸν αὐτὸν λόγον. Ἀκούσας δὲ ὁ γέρων εἶπεν· ἐν ἀληθείᾳ ὡς καλὸς χρυσοχόος, καθεζόμενος ἐν τῇ οἰκίᾳ μετὰ ἀναπαύσεως, τὴν Βασιλείαν ἐκληρονόμησας· ἐγὼ δέ, ἀδιάκριτος ὤν, ὅλον μου τὸν χρόνον τὴν ἔρημον οἰκῶν, οὐ κατέλαβόν σε.

Πρόσεχε ὁ ἀναγινώσκων, καὶ μὴ ἀδιακρίτως καὶ ἁπλῶς οὕτω τὴν διήγησιν ἐκλαβόμενος, ἀντὶ τοῦ ὠφεληθῆναι βλαβῇς, τὴν μίαν ταύτην ἐργασίαν τοῦ κοσμικοῦ, τὴν καὶ αὐτὴν οὖσαν ἄπονον, προτιμήσῃς πάσης τῆς ἀσκητικῆς πολιτείας τοῦ ἀρχηγοῦ τῶν Πατέρων καὶ κορυφαίου, τοῦ πρὸς τὸν ἴδιον κόπον καὶ τοὺς μισθοὺς ἀπολαβόντος, ὥς φησιν ὁ Ἀπόστολος, καὶ ὑπὲρ πάντας τοὺς Πατέρας δοξασθέντος παρὰ Θεῷ καὶ καταταγέντος εἰς αὐτὸν τὸν τόπον ὅπου ἐστὶν ὁ Θεός, ὥς τινι τῶν ἁγίων ἀπεκαλύφθη. Εἰ γὰρ ὁ σκυτεύς, διὰ μόνον ἐκεῖνον τὸν εὐσεβῆ λογισμόν, τοῦ Μεγάλου Ἀντωνίου προτιμητέος, τοῦ πυρίνου στύλου τοῦ τὴν οἰκουμένην φωτίζοντος, καθ' ἅ τις ἔφη τῶν ἁγίων περὶ αὐτοῦ, διατὶ μὴ καὶ εἰς μίμησιν πᾶσιν ὁ σκυτεὺς προετέθη καὶ μᾶλλον ἐκείνῳ ἀφομοιοῦσθαι ὡς προκριτωτέρῳ οἱ πάντες σπουδάζομεν, καὶ ταῦτα οὕτω ραδίας οὔσης καὶ τῆς μιμήσεως; ἀλλὰ τοῦτον ἐάσαντες, ὡς ἀρχέτυπόν τι τὸν τοῦ θαυμαστοῦ Ἀντωνίου βίον οἱ Μοναχοὶ ἀποβλέπομεν καὶ πρὸς αὐτὸν παρεικάζειν τὴν ἑαυτοῦ πολιτείαν ἐπείγεται ἡμῶν ἕκαστος; καὶ μάλιστα τῆς πρὸς τοῦτον ἀφομοιώσεως οὕτως ἐγκόπου οὔσης, καὶ ὀλίγοις εἰς ἄκρον κατορθωθείσης; οἶμαι δὲ οὐδὲ ὀλίγοις.

Δῆλον οὖν ὡς ὁ Θεὸς ὁ ταπεινῶν ἀεὶ τοὺς ἑαυτοῦ, οὓς παραδέχεται κατὰ τὸ γεγραμμένον, ὁ καὶ τῷ Παύλῳ τὸν τῆς σαρκὸς σκόλοπα δούς, ἵνα μὴ ὑπεραίρηται, τῷ τῶν ἀποκαλύψεων ὑπερβάλλοντι, οὗτος καὶ τὸν Μέγαν Ἀντώνιον, γέμοντα κατορθωμάτων καὶ χαρισμάτων τοῦ πνεύματος καὶ τὸ ἑαυτοῦ μέτρον γνῶναι ζητοῦντα, τῇ ταπεινώσει ἀσφαλιζόμενος, καὶ αὐτὸν ὡς ἄνθρωπον ὁ φιλάνθρωπος οὔπω φθάσαι εἰς τὸ μέτρον τοῦ σκυτέως ἔφη, οὐ ψευδόμενος, ἄπαγε! ἀλλ' ἀληθεύων, καὶ τὸ ὂν ὄντως φθεγγόμενος. Ποῖον δὲ μέτρον λέγει; ταύτης τῆς ἀρετῆς, ἣν ὁ σκυτεὺς ἔσχε, μη-

δὲν μέγα περὶ ἑαυτοῦ φανταζόμενος, ἅ τε ἰδιώτην βίον ἕλκων καὶ κοσμικόν, καὶ ὑπὸ τοῦ συνειδότος ὡς τὰ πολλὰ καταγινωσκόμενος. Διὸ καὶ συνετὸς ὢν ὁ ἄνθρωπος καὶ ἑαυτοῦ ἐπιγνώμων, πάντας μὲν ἐν αἰσθήσει καρδίας δικαίους εἶναι καὶ ἀξίους τῆς Βασιλείας ἐνόμιζε, μὴ προσέχων τοῖς ἀλλοτρίοις κακοῖς, ἑαυτὸν δὲ μόνον κατέκρινε καὶ κληρονόμον ἡγεῖτο τῆς αἰωνίου κολάσεως.

Καὶ ἄξιος μὲν ὁ ἀνὴρ ἐπαίνων καὶ ἐγκωμίων, ὅτι ἰδιώτης καὶ κοσμικὸς ὤν, τοιοῦτον εἶχε τὸ φρόνημα· οὐ μὴν διὰ τοῦτο καὶ τοῦ Μεγάλου Ἀντωνίου ὑψηλότερος· ἀλλ' εἰς τοῦτο μόνον αὐτὸν ὑπερέβαινεν, εἰς τὸ ἑαυτὸν ἔχειν πάντων ἀνθρώπων ἁμαρτωλότερον. Ὁ γὰρ Μέγας Ἀντώνιος, εἰ καὶ ταπεινόφρων ἦν, καὶ οὐδενὸς ἡγεῖτο ἑαυτὸν ἄξιον τῇ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, ἀλλ' οὖν εἶχε τὸ συνειδὸς ὑπομιμνῆσκον αὐτὸν ἃ ἐκέκτητο κατορθώματα καὶ χαρίσματα, ὧν πολλοὺς ἀπολιμπανομένους ἠπίστατο· καὶ διὰ τοῦτο οὐχ οὕτως ἑαυτὸν πάντων ἀνθρώπων ἁμαρτωλότερον λογίζεσθαι ἠδύνατο ὡς ὁ σκυτεύς, κἂν ὅτι μάλιστα ἑαυτοῦ καταγινώσκειν καὶ αὐτὸς ἔσπευδε. Κατὰ τοῦτο οὖν ἐνίκα αὐτὸν ὁ σκυτεύς· διὸ καὶ ὁ Θεὸς τοῦτο εἰπών, ἅμα μὲν τὸ ἀληθὲς εἶπεν, ἅμα δὲ καὶ τὸν αὐτοῦ υἱὸν πρὸς ταπεινοφροσύνην ἀνῆγε μείζονα. Αὕτη σοι ἡ διάκρισις ἔστω καὶ ἐπὶ τῶν ἄλλων ἁγίων ὅσοις τοιοῦτόν τι ἀπεκαλύφθη ἢ ἐλαλήθη παρὰ Θεοῦ.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἀντώνιος εἶπεν ὅτι εἶδον ὅλας τὰς παγίδας τοῦ διαβόλου νὰ εἶναι ἁπλωμέναι ἐπάνω εἰς τὴν γῆν· καὶ εἶπα ἀναστενάζων· ποῖος ἄραγε τὰς προσπερνᾷ, χωρὶς νὰ παγιδευθῇ; Καὶ τότε ἤκουσα μίαν φωνὴν νὰ μοῦ λέγῃ· ἡ ταπεινοφροσύνη.

2. Ὁ ἴδιος εἶπεν εἰς τὸν Ἀββᾶν Ποιμένα· ἡ ἐργασία τοῦ ἀνθρώπου εἶναι αὐτή· νὰ ἀναλαμβάνῃ τὴν εὐθύνην διὰ τὸ σφάλμα του ἐνώπιον τοῦ Θεοῦ καὶ νὰ περιμένῃ πειρασμὸν μέχρι τῆς τελευταίας του ἀναπνοῆς.

3. Κάποτε ἐξεσηκώθησαν οἱ δαίμονες ἐναντίον τοῦ Ἀββᾶ Ἀρσενίου καὶ τὸν ἐστενοχωροῦσαν εἰς τὸ κελλίον του. Ὅταν λοιπὸν ἦλθον αὐτοὶ ποὺ τὸν ὑπηρετοῦσαν καὶ ἐστάθησαν ἔξω ἀπὸ τὸ κελλί του, τὸν ἤκουσαν νὰ βοᾷ πρὸς τὸν Θεὸν καὶ νὰ λέγῃ· Θεέ μου, μὴ μὲ ἐγκαταλείπῃς, διότι κανένα καλὸν δὲν ἔκανα ἐνώπιόν σου. Δός μου, ὅμως, κατὰ τὸ μέτρον τῆς καλωσύνης σου, τὴν δύναμιν, διὰ νὰ βάλω ἀρχήν.

4. Ἕνας ἀδελφὸς ἐπεσκέφθη τὸν Ἀββᾶν Ἀμμωνᾶν καὶ τοῦ εἶπε:

—Ἀββᾶ, εἰπέ μου λόγον διδακτικόν.

Ἐν τούτοις, καίτοι παρέμεινε πλησίον του ἐπὶ ἑπτὰ ἡμέρας, δὲν ἤκουσε τίποτε ἀπὸ τὸ στόμα τοῦ γέροντος.

Ἔπειτα, καθὼς ἀνεχώρει, τὸν προέπεμψεν ἐπ' ὀλίγον ὁ Γέρων καὶ τοῦ εἶπε:

— Παιδί μου, αἱ ἁμαρτίαι μου ἕως τώρα ἔχουν γίνει σκοτεινὸν τεῖχος ἀνὰ μέσον ἐμοῦ καὶ τοῦ Θεοῦ.

5. Ὁ Ἀββᾶς Δανιὴλ διηγήθη ὅτι κάποτε ἔζη εἰς τὴν Βαβυλῶνα μία νέα, θυγάτηρ ἑνὸς ἄρχοντος τοῦ τόπου, ἡ ὁποία εἶχε μέσα της δαιμόνιον. Ὁ πατὴρ τῆς κόρης αὐτῆς ἐγνώριζε κάποιον Μοναχόν, τὸν ὁποῖον ἠγάπα

καὶ ἀπὸ τὸν ὁποῖον ἐζήτει ἐπιμόνως νὰ θεραπεύσῃ τὴν κόρην του. Ὁ Μοναχὸς τοῦ ἀπήντησε:

— Κανεὶς δὲν ἠμπορεῖ νὰ θεραπεύσῃ τὴν κόρην σου, παρὰ μόνον κάποιοι ἀναχωρηταί, τοὺς ὁποίους γνωρίζω· ἐὰν ὅμως τοὺς παρακαλέσωμεν, δὲν θὰ δεχθοῦν, ἀπὸ μετριοφροσύνην, ἕνα τέτοιο πρᾶγμα. Αὐτὸ εἶναι προτιμότερον νὰ κάνωμεν· ὅταν θὰ ἔλθουν εἰς τὴν ἀγορὰν διὰ νὰ πωλήσουν τὰ ἐργόχειρά των, νὰ προσποιηθῆτε, ὅτι, δῆθεν, θέλετε νὰ ἀγοράσετε ἐργόχειρα καὶ νὰ τοὺς φωνάξετε εἰς τὸ σπίτι σας, διὰ νὰ τοὺς δώσετε τὰ χρήματα. Ὅταν δὲ ἔλθουν, νὰ ἀπαιτήσητε νὰ κάνουν προσευχὴν διὰ τὴν θεραπείαν τῆς κόρης, ὁπόταν ἐλπίζω, ὅτι θὰ θεραπευθῇ ἡ θυγάτηρ σου.

Πράγματι λοιπὸν ἐξῆλθον εἰς τὴν ἀγορὰν καὶ εὗρον τὸν μαθητὴν ἑνὸς Γέροντος, ὁ ὁποῖος ἐκάθητο, διὰ νὰ πωλήσῃ τὰ ἐργόχειρά του. Τὸν ἐπῆραν ἀμέσως οἱ ἄνθρωποι τοῦ ἄρχοντος, μαζὶ μὲ τὰ ζεμπίλια του καὶ τὸν ὡδήγησαν εἰς τὸ σπίτι του, διὰ νὰ παραλάβῃ τὰ χρήματα τῆς ἀξίας τῶν ἐργοχείρων.

Μόλις ὅμως εἰσήρχετο, τὸν συνήντησεν ἡ δαιμονιζομένη καὶ τὸν ἐρράπισεν. Ὁ Μοναχὸς τότε ἐγύρισε καὶ τὴν ἄλλην σιαγόνα, ἐφαρμόζων τὴν ἐντολὴν τοῦ Κυρίου, ποὺ λέγει· «ἐὰν κάποιος σὲ κτυπήσῃ εἰς τὸ ἕνα μάγουλο, νὰ γυρίσῃς πρὸς αὐτὸν καὶ τὸ ἄλλο». Ἡ συμπεριφορὰ αὐτὴ ἐβασάνισε τὸν δαίμονα, ὁ ὁποῖος εἶπε μὲ ἀπαισίας κραυγάς· «Ὢ βία! ἡ ἐντολὴ τοῦ Ἰησοῦ μὲ ἐκδιώκει», ἀμέσως δὲ ἔφυγεν ἀπὸ τὴν γυναῖκα, ἡ ὁποία ἀπὸ τὴν στιγμὴν ἐκείνην κατέστη ὑγιὴς καὶ ἐσωφρονίσθη. Τὸ περιστατικὸν αὐτὸ τὸ ἐγνωστοποίησαν εἰς τοὺς Γέροντας, οἱ ὁποῖοι ἐδόξασαν τὸν Θεὸν καὶ εἶπαν, ὅτι τίποτε ἄλλο δὲν ἐκμηδενίζει τόσον τὴν ὑπερηφάνειαν τοῦ διαβόλου, ὅσον ἡ ταπείνωσις, τὴν ὁποίαν ἐμπνέει ἡ ἐντολὴ τοῦ Χριστοῦ.

6. Ὁ Ἀββᾶς Καρίων εἶπεν, ὅτι ἐκοπίασα περισσότερον ἀπὸ τὸν υἱόν μου Ζαχαρίαν καὶ ὅμως δὲν ἔφθασα εἰς τὰ μέτρα τῆς ἀρετῆς του, λόγῳ τῆς ταπεινώσεως καὶ τῆς σιωπῆς του.

7. Κάποτε λοιπὸν αὐτὸς ὁ Ἀββᾶς Ζαχαρίας ἐκάθητο εἰς σκήτην καὶ εἶδε μίαν ὀπτασίαν. Ἀμέσως ἐσηκώθη καὶ τὴν ἀνέφερεν εἰς τὸν Γέροντά του, τὸν Ἀββᾶν Καρίωνα. Ὁ Γέρων, ἐπειδὴ ἠσχολεῖτο μὲ τὴν πρακτικὴν ἐξάσκησιν τῶν ἀρετῶν, δὲν εἶχε γνῶσιν αὐτῶν τῶν φαινομένων. Ἀμέσως λοιπὸν ἐσηκώθη ἀπὸ τὸ κάθισμά του καὶ τὸν ἔδειρε, διότι τάχα τὸ ὅραμα προήρχετο ἀπὸ δαίμονας. Ἐπειδὴ ὅμως ὁ Ἀββᾶς Ζαχαρίας ἐξηκολούθει νὰ βλέπῃ τὴν ὀπτασίαν, ἔφυγε τὴν νύκτα ἀπὸ τὸ κελλί του καὶ μετέβη πρὸς συνάντησιν τοῦ Ἀββᾶ Ποιμένος. Ἀφοῦ τὸν εὗρε, τοῦ ἐξωμολογήθη τὴν ὑπόθεσιν τῆς ὀπτασίας καὶ ὅτι αἰσθάνεται, ἐκ τούτου, τὰ σπλάγχνα του νὰ καίωνται. Ὁ Ἀββᾶς Ποιμὴν ἀντελήφθη, ὅτι τὸ φαινόμενον προήρχετο ἀπὸ τὸν Θεὸν καὶ τοῦ λέγει· πήγαινε νὰ συναντήσῃς τὸν τάδε Γέροντα καὶ κράτησε καλὰ εἰς τὸν νοῦν σου αὐτὰ ποὺ θὰ σοῦ εἰπῇ. Μετέβη πράγματι ὁ Ἀββᾶς Ζαχαρίας πρὸς ἐκεῖνον τὸν Γέ-

ροντα, ὁ ὁποῖος, πρὶν ἀκόμη νὰ ἀνοίξῃ τὸ στόμα του ὁ 'Αββᾶς Ζαχαρίας καὶ νὰ τοῦ εἰπῇ τίποτε, τοῦ ἀνέφερε λεπτομερῶς τὴν κατάστασίν του καὶ τοῦ εἶπεν, ἐν συμπεράσματι:

— Αὐτό, ποὺ εἶδες, εἶναι θεϊκὴ ὀπτασία, ἀλλὰ πήγαινε νὰ ὑποταχθῇς εἰς τὸν πνευματικόν σου Πατέρα.

8. Αὐτὸν τὸν ἴδιον 'Αββᾶν Ζαχαρίαν παρεκάλεσε κάποτε ὁ 'Αββᾶς Μωϋσῆς:

— Εἰπέ μοι, Γέροντα — τοῦ εἶπε — τί πρέπει νὰ κάνω;

Μόλις ἤκουσεν ὁ 'Αββᾶς Ζαχαρίας αὐτὸ ἔπεσεν εἰς τοὺς πόδας του καὶ τοῦ εἶπεν:

— 'Εσὺ ἐρωτᾷς, Πάτερ μου, ἐμένα;

Καὶ τότε ὁ 'Αββᾶς Μωϋσῆς τοῦ εἶπεν, ἐκ δευτέρου:

— Πίστευσόν με, τέκνον μου Ζαχαρία, πῶς εἶδα τὸ Ἅγιον Πνεῦμα νὰ κατεβαίνῃ ἐπάνω σου καὶ δι' αὐτὸ ἀναγκάζομαι νὰ σὲ ἐρωτήσω.

Τότε ὁ 'Αββᾶς Ζαχαρίας ἐπῆρεν ἀπὸ τὸ κεφάλι του τὸ κουκούλι του, τὸ ἔρριψε κάτω καὶ τὸ κατεπάτησε μὲ τὰ πόδια του λέγων:

† — 'Εὰν ὁ ἄνθρωπος δὲν συντριβῇ κατ' αὐτὸν τὸν τρόπον, δὲν ἠμπορεῖ νὰ γίνῃ Μοναχός.

9. 'Ο 'Αββᾶς Ποιμὴν διηγήθη, ὅτι ὅταν ἐπρόκειτο νὰ ἀποθάνῃ ὁ 'Αββᾶς Ζαχαρίας, τὸν ἠρώτησεν ὁ 'Αββᾶς Μωϋσῆς:

— Τί βλέπεις, 'Αββᾶ;

'Εκεῖνος τότε ἀπήντησε:

— Πάτερ, δὲν εἶναι προτιμοτέρα ἡ σιωπή;

— Ναί, τέκνον μου, σιώπα· ἀπήντησε καὶ ὁ 'Αββᾶς Μωϋσῆς.

Κατὰ τὴν στιγμὴν δὲ τοῦ θανάτου του, ὁ 'Αββᾶς 'Ισίδωρος, ποὺ ἐκάθητο κοντά, ὕψωσε τὸ βλέμμα του πρὸς τὸν οὐρανὸν καὶ εἶπε:

— Νὰ εὐφραίνεσαι, τέκνον μου Ζαχαρία, διότι ἔχουν ἀνοίξει πρὸς χάριν σου αἱ πύλαι τῆς Βασιλείας τῶν Οὐρανῶν.

† 10. 'Ο 'Αββᾶς Εὐάγριος εἶπεν, ὅτι διὰ τὸν ἄνθρωπον ἡ ἀρχὴ τῆς σωτηρίας του εὑρίσκεται εἰς τὴν αὐτοκατηγορίαν του.

11. Κάποτε ὁ 'Αββᾶς Θεόδωρος εὑρέθη μαζὶ μὲ ἄλλους Μοναχούς· καθὼς λοιπὸν ἔτρωγον, ἔπαιρναν σιωπηλοὶ τὰ ποτήριά των καὶ δὲν ἔλεγον τὴν γνωστὴν ἐπίκλησιν «συγχώρησον». Τότε εἶπεν ὁ 'Αββᾶς Θεόδωρος· «ἔχασαν οἱ Μοναχοὶ τὴν εὐγένειάν των μὲ τὸ νὰ μὴ λέγουν· «συγχώρησον»*.

12. Αὐτὸν τὸν ἴδιον, τὸν 'Αββᾶν Θεόδωρον, ἠρώτησε κάποιος ἀδελφός:

— Θέλω νὰ ἐκτελέσω τὰς ἐντολάς.

'Ο 'Αββᾶς Θεόδωρος τοῦ ἀπήντησε:

---

* 'Η ἐπίκλησις «συγχώρησον» εἶχεν εἰς τοὺς 'Οσίους Πατέρας τῆς ἐποχῆς ἐκείνης τὴν θέσιν τὴν ὁποίαν ἔχει τώρα εἰς τοὺς μοναχοὺς ἡ ἐπίκλησις «εὐλόγησον».

— Κάποτε καὶ ὁ Ἀββᾶς Θωμᾶς εἶπε: θέλω νὰ ἐκπληρώσω τὸν λογισμόν μου, ὅπως θέλει ὁ Θεός. Ἀμέσως λοιπὸν μετέβη εἰς τὸν φοῦρνον καὶ ἔψησε ψωμιά· ὅταν δὲ τοῦ ἐζήτησαν οἱ πτωχοί, τὰ ἔδωσεν ὅλα. Ὅταν δὲ ἄλλοι πτωχοὶ τοῦ ἐζήτησαν ἐλεημοσύνην, τοὺς ἔδωσε τὰ κοφίνια, ποὺ βάζουν μέσα τὰ ψωμιὰ καὶ τὸ φόρεμα, ποὺ ἐφόρει. Καὶ εἰσῆλθεν εἰς τὸ κελλίον μόνον μὲ τὸ μαφόριον* ἤτοι τὴν κάππαν, ποὺ ρίπτουν οἱ Μοναχοὶ εἰς τοὺς ὤμους των· ἀλλὰ καὶ μετὰ ἀπὸ τοιαύτην ἐλεημοσύνην κατηγόρει τὸν ἑαυτόν του· «δὲν ἐξεπλήρωσα, ὅπως ἔπρεπε», ἔλεγε «τὴν ἐντολὴν τοῦ Θεοῦ».

13. Ἕνας Μοναχὸς εἶπεν εἰς τὸν Ἀββᾶν Θεόδωρον:

— Εἰπέ μου μίαν λέξιν παρηγορίας, διότι χάνομαι.

Καὶ τότε μὲ κόπον τοῦ ἀπήντησεν ὁ Ἀββᾶς Θεόδωρος·

— Ἐγὼ κινδυνεύω νὰ χαθῶ καὶ τί ἠμπορῶ νὰ σοῦ εἰπῶ;

14. Κάποτε ὁ μακάριος Θεόφιλος, ὁ Ἀρχιεπίσκοπος, ἦλθεν εἰς τὸ ὄρος τῆς Νιτρίας. Τὸν ἐπεσκέφθη δὲ καὶ ὁ Πνευματικὸς Πατὴρ τῶν ἀσκητῶν τῆς περιοχῆς Νιτρίας**. Ὁ Ἀρχιεπίσκοπος λέγει τότε πρὸς αὐτόν.

— Πάτερ, τί περισσότερον εὗρες εἰς αὐτὸν τὸν δρόμον τῆς ἀσκήσεως;

— Τὸ νὰ θεωρῶμεν πάντοτε τὸν ἑαυτόν μας αἴτιον εἰς ὅλα καὶ νὰ αὐτοκατηγορούμεθα, ἀπήντησεν ὁ Ἀββᾶς.

— Πράγματι — συνεφώνησε καὶ ὁ Ἀρχιεπίσκοπος — δὲν ὑπάρχει ἄλλος δρόμος ἀπὸ αὐτόν.

15. Ὅταν, κάποτε, ὁ ἴδιος ὁ Ἀρχιεπίσκοπος Θεόφιλος ἦλθεν εἰς τὴν Σκήτην, συνεκεντρώθησαν οἱ ἀδελφοί, διὰ νὰ τὸν ἴδουν· μερικοὶ ἀδελφοὶ εἶπον τότε εἰς τὸν Ἀββᾶν Παμβώ· εἰπέ, Πάτερ, ἕνα διδακτικὸν λόγον, πρὸς τὸν Πατριάρχην***, διὰ νὰ ὠφεληθῇ. Εἰς αὐτοὺς ὁ Γέρων ἀπήντησεν· ἐὰν δὲν ὠφελῆται ἀπὸ τὴν σιωπήν μου, οὔτε μὲ τὸν λόγον μου θὰ ὠφεληθῇ.

16. Ἡ Γερόντισσα Θεοδώρα ἔλεγεν, ὅτι οὔτε ἄσκησις, οὔτε κακουχία, οὔτε οἱ διάφοροι κόποι σώζουν τὸν ἄνθρωπον, ἐκτὸς ἀπὸ τὴν γνησίαν ταπεινοφροσύνην. Διηγεῖτο δὲ καὶ τὸ ἑξῆς: Ὑπῆρχε κάποιος ἀναχωρητὴς ποὺ ἐξεδίωκε τοὺς δαίμονας· οὗτος προηγουμένως ἐξήταζε τὰ δαιμόνια, ἐρωτῶν αὐτά: μὲ ποίαν δύναμιν ἐξέρχεσθε ἀπὸ τὸν ἄνθρωπον; μὲ νηστείαν; Ὄχι, ἀπήντων· ἡμεῖς οὔτε τρώγομεν, οὔτε πίνομεν. Μὲ ἀγρυπνίαν; ἠρώτα πάλιν ὁ Γέρων· ὄχι ἀπήντων· ἡμεῖς καθόλου δὲν κοι-

* Τὸ μαφόριον ἦτο ἔνδυμα πλατύ, τὸ ὁποῖον ἔρριπτον εἰς τοὺς ὤμους ὡς εἶδος κάππας.

** Παράβαλε τὴν 2αν ὑποσημείωσιν τῆς σελίδος 224.

*** Πρόκειται κατὰ πᾶσαν πιθανότητα περὶ τοῦ Θεοφίλου πατριάρχου Ἀλεξανδρείας, ὅστις ἐπατριάρχευσε κατὰ τὰ ἔτη 385—412.

μώμεθα. Μήπως διὰ τῆς ἀναχωρήσεως τοῦ πάσχοντος ἐκ τοῦ κόσμου; ὄχι ἀπήντων· ἡμεῖς ζῶμεν εἰς τὰς ἐρήμους. Ἐπειδὴ δὲ ὁ Γέρων ἐπέμενε καὶ ἔλεγεν, μὲ ποῖον λοιπὸν τρόπον ἐξέρχεσθε; τὰ δαιμόνια ὡμολόγησαν: Τίποτε δὲν μᾶς νικᾶ, παρὰ μόνον ἡ ταπεινοφροσύνη.

† 17. Ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς εἶπεν, ὅτι ἡ ταπεινοφροσύνη καὶ ὁ φόβος τοῦ Θεοῦ εὑρίσκονται ἐπάνω ἀπὸ ὅλας τὰς ἀρετάς.

18. Εἶπε πάλιν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός·

— Ποῖος ἐπώλησε τὸν Ἰωσήφ;

— Οἱ ἀδελφοί του, ἀπήντησαν.

— Ὄχι, ἐδευτερολόγησεν ὁ Γέρων, ἀλλὰ ἡ ταπείνωσίς του τὸν ἐπώλησε· διότι ἠμποροῦσε, ὅταν ἐπωλεῖτο, νὰ εἴπῃ πρὸς τοὺς ἀδελφούς του· εἶμαι ἀδελφός σας καὶ νὰ ἀντιμιλήσῃ πρὸς αὐτούς. Ἀλλὰ δὲν εἶπε τίποτε καὶ διὰ τῆς ταπεινώσεώς του ἐπώλησε τὸν ἑαυτόν του. Πλὴν ὅμως ἡ ταπείνωσίς του τὸν κατέστησεν ἄρχοντα εἰς τὴν Αἴγυπτον.

19. Ἄλλοτε πάλιν ὁ ἴδιος εἶπεν· ἀφήσαμεν τὸ ἐλαφρὸν φορτίον, δηλαδὴ τὸ νὰ μεμφώμεθα τὸν ἑαυτόν μας, καὶ ἐσηκώσαμεν τὸ βαρύτερον, δηλαδὴ τὸ νὰ δικαιολογοῦμεν τὸν ἑαυτόν μας.

20. Ἕνας ἐκ τῶν Πατέρων εἶπε διὰ τὸν Ἀββᾶν Ἰωάννην, ὅτι μὲ τὴν ταπείνωσίν του κατώρθωσε νὰ κρεμάσῃ ὁλόκληρον τὴν σκήτην ἀπὸ τὸ μικρόν του δάκτυλον.

† 21. Ὁ Ἀββᾶς Ἰωάννης ὁ Θηβαῖος εἶπεν· ὁ Μοναχὸς πρέπει, περισσότερον ἀπὸ ὅλας τὰς ἀρετάς, νὰ κατορθώσῃ τὴν ταπεινοφροσύνην, διότι αὐτὴ εἶναι ἡ πρώτη ἐντολή, περὶ τῆς ὁποίας λέγει ὁ Σωτήρ· «Μακάριοι οἱ ταπεινόφρονες, διότι εἰς αὐτοὺς ἀνήκει ἡ Βασιλεία τῶν οὐρανῶν» (Ματθ. ε΄, 3).

22. Ὁ Ἀββᾶς Ποιμὴν εἶπε διὰ τὸν Ἀββᾶν Ἰσίδωρον, ὅτι κάθε νύκτα ἔπλεκε δέμα βλαστῶν φοινίκων καὶ οἱ ἀδελφοὶ ποὺ τὸν ἔβλεπον νὰ κοπιάζῃ, τὸν παρεκάλουν:

— Ξεκουράσου — τοῦ ἔλεγον — ὀλίγον, διότι ἐγήρασες πλέον.

— Ἀκόμη καὶ ἐὰν καύσουν τὸν Ἰσίδωρον — ἀπαντοῦσεν ὁ Γέρων — καὶ σκορπίσουν τὴν στάκτην του εἰς τὸν ἄνεμον, οὐδεμία χάρις θὰ μοῦ ὀφείλεται, διότι ὁ Υἱὸς τοῦ Θεοῦ ἦλθεν εἰς τὸν κόσμον δι' ἡμᾶς.

23. Ὁ ἴδιος, πάλιν, ὁ Ἀββᾶς Ποιμήν, ἔλεγε τὸ ἑξῆς διὰ τὸν Ἀββᾶν Ἰσίδωρον· ὁσάκις οἱ λογισμοὶ τοῦ ἔλεγον ὅτι εἶσαι πλέον μεγάλος ἀσκητής, αὐτὸς ἀπαντοῦσεν εἰς τοὺς λογισμοὺς αὐτούς· μήπως εἶμαι ὅπως ὁ Ἀββᾶς Ἀντώνιος; ἢ μήπως ἔγινα τέλειος, ὅπως ὁ Ἀββᾶς Παμβώ; ἤ, τέλος, μήπως ἔφθασα εἰς τὰ μέτρα τῶν ὑπολοίπων Πατέρων, ποὺ εὐηρέστησαν τὸν Θεόν; Μὲ τὰς σκέψεις αὐτὰς ἀνεπαύετο καὶ οἱ λογισμοὶ ὑπεχώρουν καὶ ἔφευγον. Ὅταν πάλιν οἱ ἐχθροὶ τῆς ψυχῆς μας, οἱ δαίμονες, τὸν ἔκαμνον νὰ ὀλιγοψυχήσῃ, μὲ τὸ νὰ τοῦ λέγουν, ὅτι μετὰ ἀπὸ ὅλα αὐτά, θὰ ῥιφθῇς εἰς τὴν κόλασιν, τοὺς ἀπαντοῦσε· καὶ ἐὰν ἀκόμη ῥιφθῶ εἰς τὴν κόλασιν, ὁπωσδήποτε ὅμως σᾶς θὰ ἔχω ἀπὸ κάτω.

24. Ὁ Ἀββᾶς Λογγῖνος εἶπεν, ὅτι ὅπως ἀκριβῶς ὁ νεκρὸς δὲν

αἰσθάνεται τίποτε, οὔτε κρίνει κανένα, τοιουτοτρόπως καὶ ὁ ταπεινόφρων δὲν ἠμπορεῖ κανένα νὰ κρίνῃ, ἔστω καὶ ἐὰν ἀκόμη τὸν ἴδῃ νὰ προσκυνῇ τὰ εἴδωλα.

25. Ὁ Ἀββᾶς Ματόης εἶπεν, ὅτι ὅσον ὁ ἄνθρωπος προσεγγίζει τὸν Θεόν, τόσον καὶ περισσότερον βλέπει ὅτι εἶναι ἁμαρτωλός· διότι καὶ ὁ Προφήτης Ἡσαΐας, ὅταν εἶδεν εἰς τὸ προφητικόν του ὅραμα τὸν Θεόν, ἐχαρακτήρισε τὸν ἑαυτόν του δυστυχισμένον καὶ ἀκάθαρτον.

26. Ὁ ἴδιος πάλιν, ὁ Ἀββᾶς Ματόης, ἔλεγεν, ὅτι ὅταν ἤμουν νεώτερος ἐνόμιζα ὅτι τάχα κάμνω κάτι καλόν, τώρα ὅμως ποὺ ἐγήρασα, βλέπω ὅτι δὲν ἔχω νὰ παρουσιάσω οὔτε ἕνα καλὸν ἔργον.

27. Κάποιος ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ματόην·

— Πῶς κατορθώνουν οἱ σκητιῶται νὰ κάμνουν περισσότερα ἀπὸ ὅσα λέγει ἡ ἐντολή; ἀγαπῶντες, δηλαδή, τοὺς ἐχθρούς των περισσότερον ἀπὸ τοὺς ἑαυτούς των;

—Ἐγὼ ἀκόμη — ἀπήντησεν ὁ Γέρων — οὔτε αὐτὸν ποὺ μὲ ἀγαπᾷ, δὲν τὸν ἀγαπῶ ὅπως τὸν ἑαυτόν μου.

28. Ὁ Ἀββᾶς Ἰακὼβ εἶπεν ὅτι κάποτε ἐπεσκέφθην τὸν Ἀββᾶν Ματόην καὶ καθὼς ἔφευγα τοῦ εἶπον:

— Θέλω νὰ ὑπάγω εἰς τὰ κελλία.

— Νὰ ἀσπασθῇς ἐκ μέρους μου, τὸν Ἀββᾶν Ἰωάννην, μοῦ εἶπεν ὁ Γέρων.

Πράγματι λοιπόν, ὅταν μετέβην πρὸς τὸν Ἀββᾶν Ἰωάννην, τοῦ εἶπα:

— Σὲ ἀσπάζεται ὁ Ἀββᾶς Ματόης.

Τότε ὁ Ἀββᾶς Ἰωάννης, εἶπε μὲ εὐχαρίστησιν:

—Ὁ Ἀββᾶς Ματόης, εἶναι πράγματι ἕνας ἀληθινὸς Ἰσραηλίτης, εἰς τὸν ὁποῖον δὲν ὑπάρχει δολιότης (Ἰωάν. α΄, 48).

Μετὰ ἀπὸ ἕνα ἔτος ἐπεσκέφθην πάλιν τὸν Ἀββᾶν Ματόην καὶ τοῦ μετέδωσα τὸν ἀσπασμὸν τοῦ Ἀββᾶ Ἰωάννου.

Ὁ Ἀββᾶς Ματόης ἀπήντησε μὲ σεμνότητα:

—Ἐγὼ δὲν εἶμαι ἄξιος τοῦ ἐγκωμιαστικοῦ λόγου τοῦ Γέροντος. Ὡστόσον ὅμως μάθε πὼς ὅταν ἀκούσῃς ἕνα ἀσκητήν, νὰ τιμᾷ τὸν πλησίον του περισσότερον ἀπὸ τὸν ἑαυτόν του, νὰ εἶσαι βέβαιος ὅτι αὐτὸς ἔφθασεν εἰς μεγάλα μέτρα· διότι αὐτὴ ἀκριβῶς εἶναι ἡ τελειότης, τὸ νὰ τιμᾷ κανεὶς τὸν ἄλλον περισσότερον ἀπὸ τὸν ἑαυτόν του.

29. Ἕνας ἀδελφὸς παρεκάλεσε τὸν Ἀββᾶν Ματόην·

— Πάτερ, εἰπέ μου ἕνα ὠφέλιμον λόγον.

— Πήγαινε — ἀπήντησεν ὁ Ἀββᾶς — καὶ παρακάλεσε τὸν Θεὸν νὰ σοῦ δώσῃ πένθος εἰς τὴν καρδίαν καὶ ταπείνωσιν· πρόσεχε πάντοτε τὰς ἁμαρτίας σου, νὰ μὴ κρίνῃς ποτὲ τοὺς ἄλλους, ἀλλὰ νὰ γίνεσαι κατώτερος ὅλων. Κόψε τὴν ἐλευθεριότητα, νὰ συγκρατῇς τὴν γλῶσσαν σου καὶ νὰ ἐγκρατεύεσαι εἰς τὴν κοιλίαν. Ἂν κάποιος συζητῇ διὰ μίαν ὑπόθεσιν, νὰ μὴ φιλονεικήσῃς μαζί του κατὰ τὴν συζήτησιν· ἀλλὰ ἐὰν λέγῃ

καλά, ἀπάντησέ του· ναί, καλῶς λέγεις· ἐάν, πάλιν, κακῶς ὁμιλεῖ, εἰπέ του· σὺ γνωρίζεις πῶς λαλεῖς, καὶ νὰ μὴ φιλονεικῇς μαζί του δι' ὅσα ἐλάλησε. Καὶ αὐτὸ εἶναι ἡ ταπείνωσις.

30. Ὁ Ἀββᾶς Ξάνθιος εἶπεν, ὅτι ὁ σκύλος εἶναι καλύτερος ἀπὸ ἐμέ, διότι καὶ ἀγάπην ἔχει καὶ εἰς κρίσιν δὲν ἔρχεται.

31. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἀλώνιον·

— Τί εἶναι τὸ νὰ ἐξουθενώνῃς τὸν ἑαυτόν σου;

— Τὸ νὰ πιστεύῃς πῶς εἶσαι κατώτερος καὶ ἀπὸ τὰ ἄλογα ζῷα καὶ νὰ ἀναγνωρίζῃς ὅτι εἶναι ἀκατάκριτα δι' ὅ,τι καὶ ἂν κάμουν.

32. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν, ὅτι ὅταν ἕνας ἄνθρωπος αὐτοκατηγορεῖται, τότε παντοῦ θὰ ἔχῃ καρτερικότητα καὶ ὑπομονὴν εἰς κάθε περίστασιν.

33. Ὁ ἴδιος, ὁ Ἀββᾶς Ποιμήν, εἶπεν, ὅτι ὅταν ἕνας ἄνθρωπος κατορθώσῃ νὰ πραγματοποιήσῃ τὸ ρητὸν τοῦ Ἀποστόλου, ποὺ λέγει· «ὅλα εἶναι καθαρὰ εἰς ὅσους ἔχουν ζωὴν καθαρὰν» (Τιτ. α΄, 15), βλέπει τὸν ἑαυτόν του κατώτερον ἀπὸ ὅλα τὰ κτίσματα τοῦ Θεοῦ.

Κάποιος ἀδελφός, ποὺ τὸν ἤκουσε, τὸν ἠρώτησε:

— Καὶ πῶς εἶναι δυνατὸν νὰ θεωρήσῃ κανεὶς τὸν ἑαυτόν του κατώτερον καὶ ἀπὸ ἕνα φονέα;

Ὁ Γέρων ἀπήντησεν:

— Ἂν ὁ ἄνθρωπος φθάσῃ εἰς τὰ μέτρα αὐτοῦ τοῦ ρητοῦ, νὰ ἀποκτήσῃ δηλαδὴ καθαρότητα καὶ ἴδῃ ἕνα ἄνθρωπον νὰ φονεύῃ, νὰ εἴπῃ τότε: Αὐτὸς μόνον αὐτὴν τὴν ἁμαρτίαν ἔκανε· ἐγὼ ὅμως καθημερινῶς φονεύω.

34. Ὁ ἴδιος αὐτὸς ἀδελφὸς ὑπέβαλε τὴν ἰδίαν ἐρώτησιν καὶ πρὸς τὸν Ἀββᾶν Ἀνούβ, λέγων εἰς αὐτὸν καὶ τὴν γνώμην τοῦ Ἀββᾶ Ποιμένος. Ἀφοῦ τὸν ἤκουσεν ὁ Ἀββᾶς Ἀνούβ, τοῦ ἀπήντησε·

— Καλὰ σοῦ εἶπε· ἔτσι εἶναι. Διότι ἐὰν φθάσῃ ὁ ἄνθρωπος εἰς τὰ μέτρα τοῦ ρητοῦ, νὰ ἀποκτήσῃ, δηλαδή, καθαρότητα, καὶ ἴδῃ τὰ σφάλματα τοῦ ἀδελφοῦ του, κατορθώνει, μὲ τὴν δύναμιν τῆς ἀρετῆς του, νὰ τὰ καταπίῃ (δηλαδὴ νὰ τὰ παραβλέψῃ).

— Καὶ ποία εἶναι αὐτὴ ἡ ἀρετή, ἠρώτησεν ἐκ δευτέρου ὁ ἀδελφός, ποὺ θὰ τοῦ ἐμπνεύσῃ μίαν τοιαύτην δύναμιν;

— Ἡ αὐτοκατηγορία, ἀπήντησε πάλιν ὁ Ἀββᾶς Ἀνούβ· διότι μὲ τὸ νὰ κατηγορῇ τὸν ἑαυτόν του, δικαιώνει τὸν πλησίον του. Καὶ αὐτὴ ἡ δικαιοσύνη ἀποκρύπτει τὰ σφάλματα τοῦ πλησίον.

35. Διὰ τὸν Ἀββᾶν Ποιμένα ἔλεγον ὅτι οὐδέποτε ἤθελε νὰ ὑποστηρίζῃ τὸν λόγον του ἐνώπιον ἄλλου γέροντος (ἢ καὶ νὰ φανῇ κἄν)· δι' αὐτὸ ἐπαινοῦσε τὸν Γέροντα εἰς ὅλας τὰς περιπτώσεις. Διηγοῦντο μάλιστα, ὅσοι τὸν ἐγνώρισαν, τὸ ἑξῆς: ἐὰν τὸν ἐπεσκέπτοντο μερικοὶ εὐσεβεῖς τοὺς ἔστελλε πρῶτον εἰς τὸν Ἀββᾶν Ἀνούβ, ἐπειδὴ ἦτο μεγαλύτερος ἀπὸ αὐτὸν εἰς τὰ χρόνια· ὁ Ἀββᾶς Ἀνοὺβ πάλιν, τοὺς ἔλεγε· πηγαίνετε πρὸς τὸν ἀδελφόν μου τὸν Ποιμένα, διότι αὐτὸς ἔχει τὸ χά-

ρισμα τῆς διδασκαλίας. Ἂν δὲ κάποτε ἐτύχαινε νὰ κάθωνται μαζὶ ὁ Ἀββᾶς Ἀνούβ. μὲ τὸν Ἀββᾶν Ποιμένα, ὁ Ἀββᾶς Ποιμὴν καθόλου δὲν ὡμίλει, ἐφ' ὅσον ἦτο παρὼν ὁ Ἀββᾶς Ἀνούβ.

36. Ὁ Ἀββᾶς Ποιμὴν ἔλεγεν, ὅτι ἤκουσεν ἀπὸ τὸν μακάριον Ἀββᾶν Ἀντώνιον νὰ λέγῃ· «Τὸ μεγαλύτερον βάσανον καὶ ἡ μεγαλυτέρα στενοχωρία τοῦ ἀνθρώπου εἶναι τὸ νὰ σηκώσῃ ἐπάνω του, ἐνώπιον τοῦ Κυρίου, τὴν εὐθύνην διὰ τὸ σφάλμα του καὶ τὸ νὰ περιμένῃ πειρασμὸν μέχρι τῆς τελευταίας του ἀναπνοῆς.

37. Ἄλλοτε, πάλιν, ἔλεγεν ὁ Ἀββᾶς Ποιμὴν ἀναστενάζων· ὅλαι αἱ ἀρεταὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτόν, ἐκτὸς ἀπὸ μίαν· καὶ χωρὶς αὐτὴν βασανίζεται καὶ κοπιάζει ὁ ἄνθρωπος.

— Ποία εἶναι αὐτή; τὸν ἠρώτησαν.

Καὶ ἐκεῖνος ἀπήντησε πάλιν·

— Τὸ νὰ αὐτοκατηγορῆται ὁ ἄνθρωπος.

38. Ὁ ἴδιος εἶπεν εἰς ἄλλην περίπτωσιν ὅτι ἐὰν ὁ ἄνθρωπος προσέχῃ τὸν κανόνα τῆς κατὰ Χριστὸν συμπεριφορᾶς δὲν ταράσσεται· δι' αὐτὸ δὲ ἀκριβῶς περιπίπτομεν εἰς πολλοὺς πειρασμούς, διότι δὲν προσέχομεν τὸν Κανόνα καὶ τὰ πράγματα. Ἐμάθαμεν ἀπὸ τὴν Παλαιὰν Διαθήκην διὰ τὴν Ἀβιγαίαν*, ὅτι εἶπεν εἰς τὸν Δαυΐδ· «ἰδική μου εἶναι ἡ ἁμαρτία» καὶ ὅτι τὴν ἤκουσε καὶ τὴν ἠγάπησεν. Ἡ Ἀβιγαία λοιπὸν συμβολίζει τὴν ψυχήν μας, ὁ δὲ Δαυΐδ τὴν θεότητα. Ἐὰν λοιπὸν ἡ ψυχὴ αὐτοκατηγορηθῇ ἐνώπιον τοῦ Θεοῦ, τότε τὴν ἀγαπᾷ ὁ Κύριος.

39. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν· ἐγὼ λέγω, ὅτι εἰς τὸν τόπον, ποὺ ρίπτεται ὁ σατανᾶς, ἐκεῖ καὶ ἐγὼ ρίπτομαι.

40. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ὁ ἄνθρωπος ἔχει ἀνάγκην πάντοτε

---

* Ἡ Ἀβιγαία, τῆς ὁποίας τὸ ὄνομα σημαίνει «πηγὴ χαρᾶς», ἦτο μία ἀπὸ τὰς γυναῖκας τοῦ Δαβίδ, ἄλλοτε σύζυγος τοῦ Νάβαλ τοῦ Καρμηλίτου, πλουσίου κτηματίου, τὴν ὁποίαν ὁ Δαβὶδ ἐγνώρισεν ὑπὸ τὰς ἑξῆς συνθήκας: Ὅταν ὁ Δαβὶδ καταδιωκόμενος ἀπὸ τὸν Σαοὺλ περιεπλανᾶτο εἰς τὴν ἔρημον Μαὰν μὲ τοὺς ὀπαδούς του, ἔστειλε πρὸς τὸν Νάβαλ, ὁ ὁποῖος εὑρίσκετο εἰς τὸ Κάρμηλον ὄρος κατὰ τὴν ἡμέραν ποὺ ἐκούρευε τὰ 3.000 πρόβατα καὶ τὰς 1.000 αἶγας του, δέκα νέους νὰ τοῦ ζητήσουν τροφάς, ὡς ἀντάλλαγμα δωρεᾶς διὰ τὴν προστασίαν ποὺ παρεῖχον εἰς τοὺς βοσκούς του. Ἡ κουρὰ τῶν αἰγοπροβάτων ἐν τῇ Ἀνατολῇ ἦτο εἶδος ἑορτῆς καὶ εὐκαιρίας ζωηρῶν ἀγαλλιάσεων καὶ πλουσίων δωρεῶν (Β' Βασιλ. ιγ', 23—27). Ἀλλ' ὁ σκληρόκαρδος Νάβαλ τοὺς ἔδιωξε μὲ κακὸν τρόπον.

Ὁ Δαβὶδ διέταξε 400 ἄνδρας του νὰ ἑτοιμασθοῦν διὰ νὰ τιμωρήσουν τὸν Νάβαλ. Ἡ Ἀβιγαία, ὅταν τὸ ἔμαθεν, ἐφόρτωσεν ἄφθονα τρόφιμα ἐπὶ ὄνου καὶ κρυφὰ ἀπὸ τὸν ἄνδρα της μετέβη πρὸς τὸν Δαβίδ, τοῦ ὁποίου τὸν θυμὸν κατώρθωσε νὰ μαλακώσῃ. Ἡ φρόνησις καὶ ἡ ὡραιότης τῆς Ἀβιγαίας ἔκαμαν ἐντύπωσιν εἰς τὸν Δαβίδ, ὁ ὁποῖος μετὰ τὸν θάνατον τοῦ Νάβαλ τὴν ἐζήτησεν εἰς γάμον καὶ τὴν ἔλαβεν ὡς σύζυγον (Βασιλειῶν Α', κεφ. ΚΕ').

ἀπὸ τὴν ταπεινοφροσύνην καὶ τὸν φόβον τοῦ Θεοῦ, ὅπως ἀκριβῶς ἔχει ἀνάγκην ἀέρος διὰ τὴν ἀναπνοήν του.

41. Εἶπε, πάλιν, ὁ ἴδιος Ἀββᾶς· τὸ νὰ ταπεινωθῇς ἐνώπιον τοῦ Θεοῦ καὶ νὰ μὴ ὑπολογίζῃς τὸν ἑαυτόν σου, ὅτι τάχα εἶσαι κάτι, καὶ τὸ νὰ παραμερίζῃς τὸ θέλημά σου, ὅλα αὐτὰ εἶναι ἐργαλεῖα τῆς ψυχῆς.

42. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα·

—Ἀββᾶ, τί πρέπει νὰ προσέχω, ὅταν κάθωμαι εἰς τὸ κελλίον μου;

—Ἕως τώρα, — ἀπήντησεν ὁ Ἀββᾶς — εἶμαι ἕνας ἄνθρωπος, ποὺ ἔχω βυθισθῇ εἰς τὸν βόρβορον ἕως τὸν λαιμὸν καὶ φορτίον βαρὺ σηκώνω εἰς τὸν λαιμόν μου· δι' αὐτὸ κράζω γοερὰ πρὸς τὸν Θεόν: ἐ λ έ η σ ό ν μ ε.

43. Ὁ ἴδιος, πάλιν, εἶπεν· Ἐὰν σὲ ἐπισκεφθῇ κάποιος ἀδελφὸς καὶ ἀντιληφθῇς ὅτι δὲν ὠφελεῖσαι καθόλου ἀπὸ τὸν ἐρχομόν του, ἀναζήτησε εἰς τὴν σκέψιν σου καὶ μάθε ποῖος ἦτο ὁ λογισμὸς ποὺ εἶχες, πρὶν νὰ εἰσέλθῃ ὁ ἀδελφὸς εἰς τὸ κελλί σου. Καὶ ἀπὸ τὴν ἐξέτασιν αὐτὴν θὰ ἀντιληφθῇς ποία εἶναι ἡ αἰτία αὐτῆς τῆς ἀνωφελείας καὶ ὅτι σὺ ἔδωσες αὐτὴν τὴν αἰτίαν. Ἂν πραγματοποιήσῃς αὐτὴν τὴν συμβουλὴν μὲ ταπεινοφροσύνην, θὰ εἶσαι ἀπηλλαγμένος ἀπὸ τὴν εὐθύνην τῆς κατηγορίας τοῦ πλησίον σου, ἐφόσον θὰ αὐτοκατηγορηθῇς σὺ καὶ θὰ σηκώσῃς τὸ βάρος τῶν ἐλαττωμάτων σου. Διότι ἐὰν ὁ ἄνθρωπος καθήσῃ εὐλαβικὰ εἰς τὸ κελλί του, δὲν θὰ ἁμαρτήσῃ. Διότι ὁ Θεὸς εὑρίσκεται διαρκῶς ἐνώπιον αὐτοῦ. Ὅπως δὲ ἐγὼ βλέπω, ἀπὸ τὴν εὐλαβικὴν παραμονὴν εἰς τὸ κελλὶ ἀποκτᾷ ὁ ἄνθρωπος τὸν φόβον τοῦ Θεοῦ.

44. Ἄλλοτε, πάλιν, εἶπε· κάποτε ἐκάθηντο οἱ Γέροντες εἰς τὴν τράπεζαν καὶ ὁ Ἀββᾶς Ἁλώνιος ἐστέκετο ὄρθιος καὶ τοὺς ὑπηρέτει, καθὼς ἔτρωγον. Οἱ Γέροντες λοιπὸν τὸν ἐπήνεσαν, ἐκεῖνος ὅμως δὲν τοὺς ἀπήντησε καθόλου.

Κάποιος τότε ἐκ τῶν Γερόντων τοῦ λέγει ἰδιαιτέρως:

— Διατί δὲν ἀπήντησες τίποτε εἰς τοὺς Γέροντας, ὅταν σὲ ἐπήνεσαν;

—Ἐὰν τοὺς ἀπαντοῦσα — εἶπεν ὁ Ἀββᾶς Ἁλώνιος,— θὰ ἦτο ὡς νὰ δέχωμαι τὸν ἔπαινον.

45. Εἶπε πάλιν εἰς ἄλλην περίπτωσιν· ἡ γῆ ἐπὶ τῆς ὁποίας ἔδωσεν ἐντολὴν ὁ Θεὸς νὰ προσφέρωμεν θυσίαν, εἶναι ἡ ταπεινοφροσύνη.

† 46. Ὁ Ἀββᾶς Σισώης εἶπεν ὅτι ἐκεῖνος, ποὺ μὲ τὴν θέλησίν του ἀποφεύγει τὸν ἔπαινον τῶν ἀνθρώπων, ἐφαρμόζει ὅλα ὅσα λέγει ἡ Ἁγία Γραφή.

47. Κάποτε ἐπεσκέφθη τὸν Ἀββᾶν Σισώην ἕνας γνωστός του εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου. Καθὼς λοιπὸν συνωμίλουν τὸν ἐρωτᾷ ὁ ἐπισκέπτης·

— Πάτερ, δὲν ἔφθασες ἀκόμη τὰ μέτρα τῆς ἀρετῆς τοῦ Ἀββᾶ Ἀντωνίου;

—Ἐὰν εἶχον ἕνα μόνον ἀπὸ τοὺς λογισμοὺς τοῦ Ἀββᾶ Ἀντω-

νίου — ἀπήντησεν ὁ 'Αββᾶς Σισώης — ἀσφαλῶς θὰ ἐγενόμουν ὁλόκληρος ὅπως ἡ φωτιά.

† 48. Ἕνας Μόναχὸς εἶπεν εἰς τὸν 'Αββᾶν Σισώην·

—'Αββᾶ, βλέπω ὅτι ἡ μνήμη τοῦ Θεοῦ εὑρίσκεται πάντοτε εἰς τὸν νοῦν μου.

— Δὲν εἶναι σπουδαῖον αὐτὸ — ἀπήντησεν ὁ Γέρων — τὸ νὰ εἶναι ὁ λογισμός σου μαζὶ μὲ τὸν Θεόν· σημαντικὸν καὶ σπουδαῖον εἶναι τὸ νὰ βλέπῃς τὸν ἑαυτόν σου, ὅτι εἶναι κατώτερος ἀπὸ ὅλα τὰ κτίσματα· δι' αὐτὸ ἀκριβῶς καὶ ὁ σωματικὸς κόπος ὁδηγεῖ εἰς τὴν ταπεινοφροσύνην.

49. Ὁ 'Αββᾶς Σισώης ἠρώτησεν ἕναν ἀδελφόν:

— Πῶς περνᾷς;

—'Εξοδεύω τὰς ἡμέρας μου, Πάτερ· ἀπήντησεν ὁ ἀδελφός.

— Θὰ ἤμουν καὶ ἐγὼ εὐχαριστημένος, ἐὰν ἐξώδευον μίαν ἡμέραν· ἐννοῶ, δηλαδή, ὅτι θὰ ἤμουν εὐχαριστημένος, ἐὰν ἐπερνοῦσα μίαν ἡμέραν, χωρὶς νὰ προσθέσω ἁμαρτίαν εἰς τὰς ἁμαρτίας μου.

50. Κάποτε τρεῖς Γέροντες, ποὺ ἤκουσαν διὰ τὸν 'Αββᾶν Σισώην, τὸν ἐπεσκέφθησαν. Τοῦ λέγει τότε ὁ πρῶτος ἐξ αὐτῶν:

— Πάτερ, πῶς ἠμπορῶ νὰ σωθῶ ἀπὸ τὸ τρίξιμο τῶν δοντιῶν καὶ τὸν ἀκοίμητον σκώληκα τῆς κολάσεως;

Ὁ 'Αββᾶς Σισώης δὲν τοῦ ἔδωσεν ἀπάντησιν. 'Ερωτᾷ ὁ δεύτερος:

—Πάτερ, πῶς ἠμπορῶ νὰ σωθῶ ἀπὸ τὸ τρίξιμό τῶν δοντιῶν καὶ τὸν ἀκοίμητον σκώληκα τῆς κολάσεως;

Οὔτε καὶ εἰς αὐτὸν ἀπήντησεν ὁ 'Αββᾶς Σισώης. 'Εν συνεχείᾳ τὸν ἠρώτησε καὶ ὁ τρίτος:

— Πάτερ, τί νὰ κάνω, διότι ἡ ἐνθύμησις τοῦ σκότους τῆς κολάσεως, δὲν μὲ ἀφήνει νὰ ἀναπνεύσω ἀπὸ τὸν φόβον μου;

'Αφοῦ ἤκουσε καὶ τοὺς τρεῖς ὁ Γέρων, ἀπαντᾷ·

—'Εγὼ τίποτε ἀπὸ αὐτὰ δὲν σκέπτομαι, ἐλπίζω δὲ ὅτι ὁ Θεός, ὡς φιλεύσπλαγχνος ποὺ εἶναι, θὰ μὲ ἐλεήσῃ.

Μόλις ἤκουσαν αὐτὰ οἱ Γέροντες ποὺ ἐπεσκέφθησαν τὸν 'Αββᾶν Σισώην, ἐλυπήθησαν καὶ ἐσηκώθησαν νὰ φύγουν ἀποτόμως. Ὁ ὅσιος ὅμως Σισώης, ἐπειδὴ δὲν ἤθελε νὰ τοὺς ἀφήσῃ νὰ φύγουν λυπημένοι, τοὺς λέγει:

— Σεῖς ὅμως, ἀδελφοί μου, εἶσθε μακάριοι· σᾶς ἐζήλευσα, πράγματι, διότι ἐὰν ὁ νοῦς σας σκέπτεται συνεχῶς τέτοια πράγματα, εἶναι ἀδύνατον νὰ ἁμαρτήσετε. 'Εγὼ ὅμως ὁ σκληροκάρδιος τί θὰ κάνω, ποὺ δὲν ἀνέχομαι νὰ γνωρίζω κἂν ὅτι ὑπάρχει κόλασις διὰ τοὺς ἀνθρώπους; 'Εξ αἰτίας αὐτοῦ καθ' ἑκάστην ὥραν ἁμαρτάνω.

Ὅταν ἤκουσαν οἱ Γέροντες αὐτοὺς τοὺς λόγους τοῦ 'Αββᾶ Σισώη, μετενόησαν διὰ τὰς προηγουμένας σκέψεις των καὶ εἶπον:

—Ὅπως ἀκριβῶς ἠκούσαμεν, ἔτσι καὶ εἴδομεν.



ΣΙΣΩΗΣ Ο ΜΕΓΑΣ ΕΝ
ΑΣΚΗΤΑΙΣ ΕΜΠΡΟΣΘΕΝ ΤΟΥ
ΤΑΦΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΤΩΝ ΕΛ-
ΛΗΝΩΝ ΑΛΕΞΑΝΔΡΟΥ
ΤΟΥ ΠΑΛΑΙ ΛΑΜΨΑΝ:
ΤΟΣ ΕΝ ΔΟΞΕΙ ΦΡΙΤΤΕΙ.
ΚΑΙ ΤΟ ΑΣΤΑΤΟΝ ΤΟΥ ΚΑΙ-
ΡΟΥ ΚΑΙ ΤΗΣ ΔΟΞΗΣ
ΤΗΣ ΠΡΟΣΚΑΙΡΟΥ,
ΛΥΠΗΘΕΙΣ ΙΔΟΥ
ΚΛΑΙΕΙ: ΟΡΩΝ
ΣΕ ΤΑΦΕ ΔΕΙΛΙΩ
ΕΥ ΤΗΝ ΘΕΑΝ και
ΚΑΡΔΙΟΣΤΑΛΑΚΤΟΝ
ΔΑΚΡΥΟΝ ΧΕΩ
χρέος το κοινόφλη-
τον εις νουν λαμβάνων
ΠΩΣ ΟΥΝ ΜΕΛΛΩ ΔΙ-
ΕΛΘΕΙΝ ΠΕΡΑΣ
ΤΟΙΟΥΤΟΝ:
ΑΙ ΑΙ ΘΑΝΑΤΕ
ΤΙΣ ΔΥΝΑΤΑΙ
ΦΥΓΕΙΝ ΣΕ;
*
Ο ΑΒΒΑΣ
ΣΙΣΩΗΣ
προ του τάφου
του Μεγάλου
Αλεξάνδρου
ΙΣ ΧΣ
δια χειρός
Ραλλη
Κοψίδη εκ
Θράκης
αφνη!

† 51. Ἔλεγεν ὁ Ἀββᾶς Σισώης* ὅτι ὁ δρόμος ποὺ ὁδηγεῖ εἰς τὴν ταπεινοφροσύνην, εἶναι ἡ ἐγκράτεια, ἡ συνεχὴς καὶ ἀδιάλειπτος πρὸς τὸν Θεὸν προσευχὴ καὶ τὸ νὰ ἀγωνιζώμεθα νὰ εἴμεθα κατώτεροι ἀπὸ κάθε ἄνθρωπον.

52. Ἔλεγε, πάλιν, ὁ Ἀββᾶς Σισώης, ὅτι εἶναι γραμμένον εἰς τὴν Παλαιὰν Διαθήκην διὰ τὰ εἴδωλα· στόμα ἔχουν καὶ δὲν θὰ ὁμιλήσουν· μάτια ἔχουν καὶ δὲν βλέπουν· αὐτιὰ ἔχουν καὶ δὲν ἀκούουν. Ἔτσι λοιπὸν πρέπει νὰ εἶναι καὶ ὁ Μοναχός· καὶ ὅπως τὰ εἴδωλα εἶναι βδέλυγμα, πρέπει καὶ ὁ ἴδιος νὰ θεωρῇ τὸν ἑαυτόν του βδέλυγμα.

53. Ἕνας Μοναχὸς ἠρώτησε τὸν Ἀββᾶν Κρόνιον:

† — Πάτερ, μὲ ποῖον τρόπον φθάνει ὁ ἄνθρωπος εἰς τὴν ταπεινοφροσύνην;

† — Μὲ τὸν φόβον τοῦ Θεοῦ, ἀπήντησεν ὁ Γέρων.

— Καὶ πῶς φθάνει ὁ ἄνθρωπος εἰς τὸν φόβον τοῦ Θεοῦ; ἠρώτησεν ἐκ δευτέρου ὁ Μοναχός.

† — Κατὰ τὴν γνώμην μου — ἀπήντησε πάλιν ὁ Γέρων — μὲ τὸ νὰ ἐπιδοθῇ εἰς σωματικὸν κόπον καὶ νὰ ἐνθυμῆται, ὅσον ἠμπορεῖ, τὴν ἔξοδον τῆς ψυχῆς ἀπὸ τὸ σῶμα καὶ τὴν κρίσιν τοῦ Θεοῦ.

54. Κάποτε ὁ Ἀββᾶς Μακάριος ἐπερνοῦσεν ἀπὸ τὸν βάλτον εἰς τὸ κελλί του καὶ ἐβάσταζε βλαστοὺς φοινίκων. Τὸν συνήντησεν ὁ διάβολος εἰς τὸν δρόμον, μὲ ἕνα δρεπάνι. Ἐπεχείρησε λοιπὸν νὰ τὸν κτυπήσῃ καὶ δὲν ἠμπόρεσε· τότε τοῦ λέγει:

— Μεγάλη δύναμις (πνευματικὴ) ἐξέρχεται ἀπὸ σέ, Μακάριε, δι' αὐτὸ καὶ δὲν μπορῶ νὰ σοῦ κάνω τίποτε· αὐτό, ποὺ κάνεις σύ, τὸ κάνω καὶ ἐγώ· σὺ νηστεύεις καὶ ἐγὼ νηστεύω· σὺ ἀγρυπνεῖς, ἀλλὰ καὶ ἐγὼ δὲν κοιμοῦμαι καθόλου. Εἰς ἕνα μονάχα μὲ νικᾷς.

— Ποῖον εἶναι αὐτό; ἠρώτησε μὲ ἔκπληξιν ὁ Ἀββᾶς Μακάριος.

† — Ἡ ταπείνωσίς σου καὶ δι' αὐτὸ δὲν ἠμπορῶ νὰ σοῦ κάνω τίποτε.

55. Ὁ Ἀββᾶς Ὑπερέχιος εἶπεν, ὅτι ἡ ταπεινοφροσύνη εἶναι τὸ δένδρον τῆς ζωῆς, ποὺ συνεχῶς ὑψώνεται πρὸς τὸν οὐρανόν.

† 56. Ἕνας Γέρων ἀσκητὴς εἶπεν, ὅτι αὐτὸς ποὺ ἔχει ταπείνωσιν, ταπεινώνει τοὺς δαίμονας· ἐνῷ ἐκεῖνος ποὺ δὲν ἔχει ταπείνωσιν ἐμπαίζεται ἀπὸ τοὺς δαίμονας.

57. Εἶπε πάλιν ὁ ἴδιος· ὄχι μονάχα νὰ χρησιμοποιῇς λόγια διὰ νὰ ἐπιδείξῃς μὲ αὐτὰ τὴν ταπείνωσίν σου ἀλλὰ καὶ νὰ εἶσαι πράγματι ταπεινός· διότι εἶναι ἀδύνατον νὰ ὑψωθῇς εἰς τὰ κατὰ Θεὸν ἔργα, χωρὶς ταπεινοφροσύνην.

† 58. Εἰς κάποιον μεγάλον ἀναχωρητήν, ποὺ εἶπε· «διατί μὲ πολεμεῖς ἔτσι, σατανᾶ;» ἀπήντησεν ὁ σατανᾶς· «σὺ εἶσαι, ποὺ μὲ πολεμεῖς πάρα πολύ, μὲ τὴν ταπεινοφροσύνην σου».

* Περὶ τοῦ θαυμασίου τέλους τοῦ Ὁσίου Σισώη βλέπε ἐν σελίδι 119 τοῦ ἀνὰ χεῖρας τόμου.

59. Οἱ Γέροντες ἔλεγον πῶς ἡ ταπεινοφροσύνη εἶναι στέφανος διὰ τὸν Μοναχόν.

60. Ἠρώτησαν, κάποτε, ἕνα Γέροντα πῶς ἀποκτᾶ ἡ ψυχὴ τὴν ταπείνωσιν· καὶ ἐκεῖνος ἀπήντησεν· ὅταν φροντίζῃ διὰ τὰς ἁμαρτίας της.

61. Ἕνας Γέρων εἶπεν ὅτι ὅπως ἡ γῆ ποτὲ δὲν πίπτει κάτω, ἔτσι καὶ ἐκεῖνος ποὺ ταπεινώνει τὸν ἑαυτόν του.

62. Ἦσαν κάποτε, δύο ἀδελφοί, ποὺ κατοικοῦσαν εἰς τὸ ἴδιον μέρος· ὁ διάβολος προσπαθοῦσε νὰ χωρίσῃ τὸν ἕνα ἀπὸ τὸν ἄλλον. Μίαν ἡμέραν λοιπόν, καθὼς ὁ μικρότερος ἤναψε τὸ λυχνάρι, ἐνήργησεν ὁ διάβολος καὶ ἐγύρισε τὸν λυχνοστάτην, ὁπόταν ἀναποδογύρισε τὸ λυχνάρι. Τότε ὁ μεγαλύτερος ἀδελφὸς τὸν ἐκτύπησεν ὠργισμένος. Ὁ μικρός, ἀντὶ νὰ θυμώσῃ, ἔβαλε μετάνοιαν καὶ τοῦ εἶπε· συγχώρεσέ με, ἀδελφέ μου, καὶ πάλιν θὰ τὸ ἀνάψω. Μετὰ ἀπὸ τὴν ταπείνωσιν τοῦ μικροτέρου, ἀμέσως ἐξῆλθε δύναμις Κυρίου καὶ κατήργησεν ὁλόκληρον τὴν δύναμιν τοῦ διαβόλου, ὁπόταν οὗτος ἐπῆγεν εἰς τὸν ἄρχοντα αὐτοῦ, ποὺ ἐκάθηιο εἰς ἕνα εἰδωλολατρικὸν ναὸν καὶ τοῦ ἀνέφερε τὸ περιστατικόν.

Τὸ περιστατικὸν αὐτὸ τὸ ἤκουσεν ὁ ἱερεὺς τῶν εἰδώλων, καθὼς τὸ διηγεῖτο ὁ δαίμων, καὶ ἀναγνωρίσας τὴν πλάνην του ἐβαπτίσθη καὶ ἔγινε Μοναχός. Ἀπὸ τὴν ἀρχὴν δὲ τῆς μοναχικῆς του ζωῆς ἐτήρησε τὴν ταπείνωσιν καὶ ἔλεγεν, ὅτι ἡ ταπείνωσις καταργεῖ ὁλόκληρον τὴν δύναμιν τοῦ ἐχθροῦ, ὅπως ἐγὼ ὁ ἴδιος ἤκουσα τὸν ἴδιον τὸν διάβολον, ποὺ εἶπε· μόλις ἐγείρω ταραχὴν μεταξὺ τῶν Καλογήρων καὶ κάποιος ἐξ αὐτῶν ὑποχωρεῖ καὶ βάζει μετάνοιαν, διὰ νὰ ζητήσῃ συγγνώμην, ἀμέσως ἐξαφανίζεται ὁλόκληρος ἡ δύναμίς μου.

63. Εἶπεν ἕνας Γέρων, ὅτι αὐτός, ποὺ ἔχει ταπείνωσιν, δὲν ὀργίζεται, οὔτε παροργίζει κανένα.

64. Ἠρώτησαν ἕνα Γέροντα·

— Διατί πολεμούμεθα τόσον πολὺ ἀπὸ τοὺς δαίμονας;

— Ἐπειδὴ ρίπτομεν κάτω τὰ ὅπλα μας, ἀπήντησεν ὁ Γέρων· ὡς ὅπλα δὲ θεωρῶ, συνέχισεν ὁ Γέρων, τὴν ἀποστροφήν μας πρὸς τὰς τιμάς, τὴν ταπείνωσιν, τὴν ἀκτημοσύνην καὶ τὴν ὑπομονήν.

65. Ἠρώτησαν ἕνα Γέροντα, τί εἶναι ταπείνωσις; καὶ ἐκεῖνος ἀπήντησεν· ἐὰν ἁμαρτήσῃ ὁ ἀδελφός σου καὶ σὺ τὸν συγχωρήσῃς, πρὶν νὰ σοῦ ζητήσῃ συγχώρησιν.

66. Διηγοῦντο διὰ τὸν Ἀββᾶν Σισώην, ὅτι κάποτε ἀρρώστησεν· ἐκάθησαν λοιπὸν κοντά του οἱ Γέροντες καὶ τὸν ἠρώτησαν· Ἀββᾶ, τί βλέπεις; Ἐκεῖνος τοὺς ἀπήντησε:

— Βλέπω μερικούς, ποὺ ἦλθον ἐπάνω μου καὶ τοὺς παρακαλῶ νὰ μὲ ἀφήσουν ὀλίγον νὰ μετανοήσω. Τότε κάποιος ἀπὸ τοὺς Γέροντας τὸν ἠρώτησεν ἐκ δευτέρου.

— Καὶ ἐὰν σὲ ἀφήσουν ἠμπορεῖς τώρα πλέον νὰ κάμῃς κάτι χρήσιμον πρὸς μετάνοιαν;

—Ἂν καὶ δὲν ἠμπορῶ νὰ κάμω κάτι, ἀλλὰ ὅμως ἀναστενάζω ὀλίγον διὰ τὴν ψυχήν μου καὶ αὐτὸ μοῦ ἀρκεῖ.

67. Κάποτε ἦλθον εἰς τὴν Θηβαΐδα κάποιοι, εἰς ἕνα Γέροντα, καὶ τοῦ ἔφεραν ἕνα δαιμονιζόμενον, διὰ νὰ τὸν θεραπεύσῃ. Ὁ Γέρων ἠρνεῖτο, διότι δὲν ἐθεώρει τὸν ἑαυτόν του ἄξιον· ἐπειδὴ ὅμως τὸν παρεκάλεσαν πολλὰς φοράς, λέγει πρὸς τὸν δαίμονα:

— Νὰ φύγῃς ἀπὸ μέσα ἀπὸ τὸ πλάσμα τοῦ Θεοῦ.

Καὶ τότε ὁ δαίμων ἀπήντησεν εἰς αὐτὴν τὴν προσταγὴν τοῦ Γέροντος.

—Ἐξέρχομαι· σὲ ἐρωτῶ ὅμως νὰ μοῦ εἰπῇς μίαν λέξιν· ποῖοι εἶναι τὰ ἐρίφια καὶ ποῖοι τὰ ἀρνία; (Ματθ. κε΄, 31—33).

— Τὰ ἐρίφια εἶμαι ἐγώ· ἀπήντησεν ὁ Γέρων, τὰ ἀρνία ὁ Θεὸς γνωρίζει.

Μόλις ἤκουσεν αὐτὴν τὴν ἀπάντησιν ὁ δαίμων ἐφώναξε μὲ μεγάλην φωνήν:

—Ἐξ αἰτίας τῆς ταπεινώσεώς σου φεύγω· καὶ τὴν ἰδίαν στιγμὴν ἐξῆλθεν ἀπὸ τὸν δαιμονιζόμενον.

68. Οἱ Γέροντες ἔλεγον, ὅτι ὅταν δὲν πολεμούμεθα, τότε εἶναι περισσοτέρα ἀνάγκη νὰ ταπεινωνώμεθα, διότι μᾶς σκεπάζει ὁ Θεὸς ἐπειδὴ γνωρίζει τὴν ἀσθένειάν μας. Ἐὰν ὅμως καυχηθῶμεν, τότε ἀφαιρεῖται ἀπὸ ἐπάνω μας ἡ σκέπη τοῦ Θεοῦ καὶ βαδίζομεν πρὸς τὴν ἀπώλειαν.

69. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα·

— Ποία εἶναι ἡ κατὰ Θεὸν προκοπὴ τοῦ ἀνθρώπου;

—Ἡ προκοπὴ τοῦ ἀνθρώπου εἶναι ἡ ταπείνωσις, ἀπήντησεν ὁ Γέρων. Ὅσον δηλαδὴ ὁ ἄνθρωπος καταβαίνει πρὸς τὴν ταπείνωσιν, ἐπὶ τοσοῦτον ἀνυψώνεται εἰς προκοπήν.

70. Ἕνας Γέρων εἶπεν ὅτι ἐὰν εἴπῃ κανεὶς εἰς κάποιον «συγχώρεσέ με», ταπεινώνων τὸν ἑαυτόν του, τότε καίει τοὺς δαίμονας.

71. Ἂν ὁ γεωργὸς δὲν ἐσκέπαζε τὰ μάτια τοῦ ζώου, θὰ ἐγύριζε τότε τὸ ζῷον καὶ θὰ ἔτρωγε τοὺς κόπους του. Τὸ ἴδιον συμβαίνει καὶ μὲ ἡμᾶς· λαμβάνομεν, κατ' οἰκονομίαν Θεοῦ, σκεπάσματα, διὰ νὰ μὴ βλέπωμεν ὅσα καλὰ ἐργαζόμεθα καὶ μακαρίζομεν τοὺς ἑαυτούς μας, καὶ ἐξ αἰτίας αὐτοῦ χάσωμεν τὸν μισθόν μας. Χάριν αὐτοῦ λοιπὸν μᾶς ἀφήνει ὁ Θεὸς νὰ ἔχωμεν κάποτε - κάποτε ρυπαροὺς λογισμούς, καὶ αὐτοὺς μόνον παρατηροῦμεν, διὰ νὰ κατακρίνωμεν τοὺς ἑαυτούς μας. Καὶ αὐταὶ αἱ ἐσωτερικαὶ ρυπαρότητες γίνονται εἰς ἡμᾶς σκεπάσματα τῆς ὀλίγης καλωσύνης μας, διότι ὅταν ὁ ἄνθρωπος κατηγορήσῃ τὸν ἑαυτόν του, δὲν χάνει τὸν μισθόν του.

72. Ἠρώτησαν ἕνα Γέροντα, τί εἶναι ταπείνωσις· καὶ ἐκεῖνος ἀπήντησεν, ὅτι ἡ ταπείνωσις εἶναι ἕνα μεγάλον θεϊκὸν ἔργον· ὁ δρόμος δέ, ποὺ ὁδηγεῖ εἰς τὴν ταπείνωσιν — συνέχισεν — εἶναι οἱ σωματικοὶ κόποι καὶ νὰ θεωρῇς τὸν ἑαυτόν σου ἁμαρτωλὸν πάρα κάτω ἀπὸ ὅλους.

— Τί σημαίνει τὸ πάρα κάτω ἀπὸ ὅλους; ἠρώτησε καὶ πάλιν ὁ ἀδελφός:

† — Τὸ νὰ μὴ προσέχῃς εἰς τὰς ξένας ἁμαρτίας, ἀλλὰ μόνον τὰς ἰδικάς σου καὶ νὰ προσεύχεσαι συνεχῶς πρὸς τὸν Θεόν.

73. Εἰς ἕνα Κοινόβιον ἔζη ἕνας Μοναχός, ποὺ ἔπαιρνεν ἐπάνω του ὅλα τὰ βάρη τῶν ἀδελφῶν καὶ ἔφθανε νὰ κατηγορῇ τὸν ἑαυτόν του καὶ διὰ πορνείαν ἀκόμη, λέγων· ἐγὼ ἔκαμα αὐτὴν τὴν ἁμαρτίαν.

Μερικοὶ ἀπὸ τοὺς Μοναχούς, ποὺ δὲν ἐγνώριζον τὴν ἀρετήν του, ἤρχισαν νὰ γογγύζουν ἐναντίον του καὶ νὰ λέγουν· κοίταξε πόσα κακὰ πράττει αὐτὸς καὶ τίποτε καλὸν δὲν ἐργάζεται. Ὁ Ἡγούμενος ὅμως, ποὺ ἐγνώριζε τὰς πράξεις τοῦ Μοναχοῦ αὐτοῦ, ἔλεγεν εἰς τοὺς κατηγόρους του·

— Προτιμῶ τὸ ἕνα ψάθινο ἐργόχειρόν του, ποὺ πλέκει αὐτὸς μὲ ταπεινοφροσύνην, παρὰ ὅλα τὰ ἰδικά σας, ποὺ πλέκετε μὲ ὑπερηφάνειαν. Ἂν θέλετε, θὰ σᾶς πληροφορήσω καὶ ἐκ Θεοῦ περὶ αὐτοῦ.

Διέταξε λοιπὸν νὰ ἀνάψουν φωτιὰν καὶ νὰ φέρουν ἕκαστος Μοναχὸς τρία ψάθινα ἐργόχειρά του καὶ ὁ κατηγορούμενος τὸ ἕνα, ποὺ ἔπλεκεν εἰς τὸ ἴδιον διάστημα καὶ νὰ τὰ ρίψουν εἰς τὴν φωτιάν. Μόλις τὰ ψάθινα ἐρρίφθησαν εἰς τὴν φωτιάν, τῶν μὲν ἄλλων ἐκάησαν ὅλα, ἐνῷ τοῦ Μοναχοῦ ἐκείνου δὲν ἐκάη.

Ὅταν εἶδον αὐτὸ τὸ θαῦμα οἱ πρώην κατήγοροί του ἐφοβήθησαν, τοῦ ἔβαλαν μετάνοιαν, διὰ νὰ τοῦ ζητήσουν συγγνώμην καὶ ἔκτοτε τὸν ἐτιμοῦσαν ὡς Πατέρα.

74. Ἕνας Μοναχός, ποὺ ἐτραυματίσθη ἀπὸ κάποιον, ἔβαλε μετάνοιαν εἰς ἐκεῖνον, ποὺ τὸν ἐτραυμάτισεν.

75. Ἕνας Γέρων διηγήθη τὸ ἑξῆς περιστατικόν: Κάποτε ἔζων δύο κοσμικοὶ καὶ συνεφώνησαν νὰ φύγουν ἀπὸ τὴν πολιτείαν καὶ νὰ γίνουν Μοναχοί. Ἔγιναν, πράγματι, Μοναχοὶ καὶ ἀπὸ ζῆλον κινούμενοι, χωρὶς νὰ γνωρίζουν πὼς αὐτὸ εἶναι ἁμαρτία, ἀπέκοψαν τὰ γεννητικά των ὄργανα, διὰ τὴν Βασιλείαν τῶν οὐρανῶν, νομίζοντες, ὅτι τοιουτοτρόπως ἐφαρμόζουν τὴν εὐαγγελικὴν σύστασιν (Ματθ. ιθ', 12). Μόλις ἔμαθεν αὐτὸ ὁ Ἀρχιεπίσκοπος, τοὺς ἀφώρισεν· ἐκεῖνοι ἠγανάκτησαν ἐναντίον του, ἐπειδὴ ἐνόμιζον, ὅτι ἔκαναν καλά. Ἐπῆγαν λοιπὸν εἰς τὸν Ἀρχιεπίσκοπον Ἱεροσολύμων καὶ τοῦ ἀνέφεραν τὸ γεγονός· καὶ ἐκεῖνος ὅμως τοὺς ἀφώρισεν. Ἐν συνεχείᾳ μετέβησαν εἰς τὸν Ἀρχιεπίσκοπον Ἀντιοχείας, ἀλλὰ καὶ ἐκεῖνος ὁμοίως ἐνήργησε. Τέλος μετέβησαν πρὸς τὸν Πάπαν Ρώμης, ἐπειδὴ ἐθεωρεῖτο πρῶτος τῇ τάξει μεταξὺ τῶν ἄλλων Ἀρχιεπισκόπων*, ἀδελφῶν βεβαίως ἴσων, ἀλλὰ καὶ ἀπὸ ἐκεῖ-

* Κατὰ τοὺς πρώτους χριστιανικοὺς χρόνους ὁ Ἀρχιεπίσκοπος Ρώμης ἐθεωρεῖτο πρῶτος ἐν ἴσοις μεταξὺ ὅλων τῶν ἀρχιεπισκόπων, διότι ἦτο Ἀρχιεπίσκοπος τῆς Ἐκκλησίας τῆς Ρώμης, ἡ ὁποία ἦτο πρωτεύουσα τοῦ Ρωμαϊκοῦ Κράτους, καὶ τὴν ὁποίαν Ἐκκλησίαν εἶχεν ἱδρύσει ὁ Ἀπόστολος Πέτρος. Τὰ πρωτεῖα αὐτὰ ἐπεκα-

νον τὰ ἴδια ἤκουσαν, δηλαδὴ τὴν ἐπικύρωσιν τῆς ἐκκλησιαστικῆς των καταδίκης.

Εὑρισκόμενοι λοιπὸν εἰς ἀπορίαν ἔλεγον μεταξύ των: Ὁ ἕνας χαρίζεται εἰς τὸν ἄλλον, ἐπειδὴ συγκεντρώνονται εἰς τὰς Συνόδους· ἂς μεταβῶμεν ὅμως εἰς τὸν Ἅγιον τοῦ Θεοῦ Ἐπιφάνιον, τὸν Ἐπίσκοπον Κύπρου, καὶ ἐκεῖνος ἀσφαλῶς θὰ μᾶς πληροφορήσῃ τὴν ἀλήθειαν, διότι εἶναι Προφήτης καὶ δὲν ἐπηρεάζεται ἀπὸ πρόσωπον ἀνθρώπου. Καθὼς λοιπὸν ἐπλησίαζαν νὰ εἰσέλθουν εἰς τὴν πόλιν, ἀπεκαλύφθη εἰς τὸν Ἅγιον ὑπὸ τοῦ Θεοῦ ἡ ὑπόθεσίς των καὶ ἀμέσως οὗτος ἔστειλεν ἀνθρώπους νὰ τοὺς προϋπαντήσουν καὶ τοὺς παρήγγειλε νὰ μὴ εἰσέλθουν οὔτε εἰς τὴν πόλιν. Τότε συνῆλθον ἀπὸ τὴν ζάλην τῆς ἁμαρτίας καὶ εἶπον· πράγματι διεπράξαμεν σφάλμα· ἂς ὑποθέσωμεν ὅτι ἐκεῖνοι μᾶς ἠδίκησαν· μήπως μᾶς ἠδίκησε καὶ αὐτὸς ὁ Προφήτης; Ἰδοὺ ὅτι ὁ Θεὸς τοῦ ἀπεκάλυψε τὴν ὑπόθεσίν μας. Καὶ ἤρχισαν νὰ κατηγοροῦν σφοδρῶς τὸν ἑαυτόν των.

Μόλις ὁ Θεὸς εἶδεν ὅτι ἐταπεινώθη ἡ καρδία των καὶ ὁμολογοῦν τὸ σφάλμα των, ἐπληροφόρησε τὴν καρδίαν τοῦ Ἁγίου Ἐπιφανίου. Καὶ τότε μόνος του ἔστειλε καὶ τοὺς ἐκάλεσε καὶ ἀφοῦ τοὺς παρηγόρησε, τοὺς ἐδέχθη εἰς ἐκκλησιαστικὴν κοινωνίαν. Ἀμέσως δὲ ἔγραψε καὶ εἰς τὸν Ἀρχιεπίσκοπον Ἀλεξανδρείας· «Νὰ δεχθῇς τὰ πνευματικά σου τέκνα, διότι μετενόησαν πραγματικῶς». Συνεπέρανε λοιπὸν ὁ Γέρων ὅτι αὐτὸ εἶναι ἡ θεραπεία τοῦ ἀνθρώπου, τὸ νὰ ἀναγνωρίσῃ δηλαδὴ τὸ σφάλμα του καὶ νὰ ἀναλάβῃ ἐνώπιον τοῦ Θεοῦ τὴν εὐθύνην του, ὁπόταν ἡ Χάρις τοῦ Θεοῦ πληροφορεῖ τοὺς ἀνθρώπους διὰ τὴν μετάνοιαν καὶ τὴν ψυχικὴν κατάστασιν τοῦ ἀνθρώπου αὐτοῦ.

76. Ἕνας ἀδελφὸς ἐμόναζεν εἰς τὰ κελλία καὶ ἔφθασεν εἰς τοιαύτην ταπείνωσιν, ὥστε νὰ προσεύχεται πάντοτε εἰς τὸν Θεόν· στεῖλε μου κεραυνὸν — ἔλεγε — διότι ὅταν εἶμαι ὑγιής, σὲ παρακούω.

77. Εἶπεν ἕνας Γέρων· ἂν ἕνας ἄνθρωπος κουρασθῇ εἰς τὸ νὰ ἐλέγχῃ συνεχῶς, νὰ ταπεινώνῃ πάντοτε καὶ νὰ ἐξευτελίζῃ τὴν ψυχήν του, χωρὶς ἐπιδείξεις, εἰς τὸ τέλος τὴν πείθει ὅτι εἶναι περισσότερον ἀναξία καὶ ἀπὸ τοὺς σκύλους καὶ ἀπὸ τὰ θηρία· διότι ἐκεῖνα ὡς ζῷα οὔτε παρώργισαν τὸν Δημιουργόν, οὔτε ἔρχονται εἰς κρίσιν. Πολὺ καλύτερον λοιπὸν θὰ ἦτο καὶ δι' ἐμὲ νὰ μὴ ἀναστηθῶ εἰς κρίσιν, παρὰ νὰ ἀναστηθῶ καὶ νὰ κολάζωμαι αἰωνίως.

78. Ἕνας Μοναχὸς ἐπεσκέφθη κάποιον Γέροντα καὶ τὸν ἠρώτησε·

— Πῶς ἔχεις, Πάτερ;

— Κακῶς, ἀπήντησεν ὁ Γέρων.

— Διατί, Ἀββᾶ; τὸν ἐρωτᾷ ἐκ δευτέρου ὁ ἀδελφός.

λέσθησαν ἀργότερον οἱ Πάπαι καὶ ἠθέλησαν νὰ γίνουν ἀνώτεροι ὅλων τῶν Πατριαρχῶν καὶ νὰ ἀποκτήσουν κοσμικὴν ἐξουσίαν ἐπὶ ὅλων τῶν Ἐκκλησιῶν καὶ τῶν χριστιανῶν.

— Νά, ἔχω δεκαοκτὼ ἔτη, ποὺ στέκω ἐνώπιον τοῦ Θεοῦ καὶ καθημερινῶς καταρῶμαι τὸν ἑαυτόν μου, λέγων· «ἂς εἶναι κατηραμένοι ὅσοι παρεκκλίνουν ἀπὸ τὰς ἐντολάς Σου» (Ψαλμ. ριη΄, 21).

Μόλις ἤκουσεν αὐτὴν τὴν αὐτοκατηγορίαν καὶ τὸ ἀνικανοποίητον τοῦ Γέροντος, καθ' ὅσον ἀφορᾷ τὴν τελειότητα, ἔφυγεν ὁ ἀδελφὸς ὠφελημένος ἀπὸ τὴν ταπείνωσιν τοῦ Γέροντος.

79. Ἕνας Γέρων εἶπεν· ἐὰν κάθεσαι εἰς τὴν ἔρημον καὶ ἡσυχάζῃς, μὴ βάζῃς εἰς τὸν νοῦν σου, ὅτι τάχα κάτι σπουδαῖον κάνεις, ἀλλὰ μᾶλλον νὰ θεωρῇς τὸν ἑαυτόν σου ὡσὰν σκύλον, διωγμένον ἀπὸ τὸ χωρίον, ἐπειδὴ δαγκώνει καὶ ἐπιτίθεται εἰς τοὺς ἀνθρώπους.

80. Εἶπεν ἕνας Γέρων· ἐὰν κατοικῇς εἰς ἔρημον καὶ ἰδῇς, ὅτι ὁ Θεὸς φροντίζει διὰ σέ, ἂς μὴ ὑπερηφανευθῇ ἡ καρδία σου· διότι ὁ Θεὸς ἀφαιρεῖ ἀπὸ ἐσὲ τὴν βοήθειάν του. Εἰπὲ καλύτερα εἰς τὸν ἑαυτόν σου, ὅτι ὁ Θεὸς διὰ τὴν ἀμέλειαν καὶ τὴν ἀσθένειάν μου, μὲ εὐσπλαγχνίζεται, διὰ νὰ ὑπομείνω καὶ νὰ μὴ βαρεθῶ.

81. Ἕνας Γέρων εἶπεν· ἐὰν ἀκούσῃς τοὺς θαυμαστοὺς βίους τῶν Ἁγίων Πατέρων καὶ αἰσθανθῇς θερμότητα εἰς τὴν καρδίαν σου καὶ θελήσῃς νὰ τοὺς μιμηθῇς, προσπάθησε καὶ σὺ ἐπικαλούμενος τὸ ὄνομα τοῦ Κυρίου, διὰ νὰ σὲ ἐνισχύσῃ εἰς τὸ ἔργον, ποὺ ἐξέλεξες. Καὶ ἐάν, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, ὁλοκληρώσῃς ἐπιτυχῶς τὸν σκοπόν σου αὐτόν, νὰ χρεωστῇς χάριν εἰς αὐτόν, ποὺ σὲ ἐβοήθησε· ἐάν, πάλιν, δὲν ἠμπορέσῃς νὰ τελειώσῃς, νὰ ἀναγνωρίσῃς τὴν ἀδυναμίαν σου μέχρι ποὺ νὰ πεθάνῃς, θεωρῶν πλέον τὸν ἑαυτόν σου ἀνίκανον καὶ πτωχὸν καὶ ἀνυπόμονον· νὰ ἐλέγχῃς δὲ πάντοτε τὴν ψυχήν σου, διότι ἤρχισε καὶ δὲν ἐτελείωσε. Καὶ ἔτσι, θὰ ἠμπορέσῃς καὶ σὺ νὰ σωθῇς.

82. Κάποτε ἦλθεν ὁ Ἀββᾶς Μακάριος ὁ Αἰγύπτιος ἀπὸ τὴν σκήτην εἰς τὸ ὄρος τῆς Νιτρίας* εἰς τὴν πανήγυριν τοῦ Ἀββᾶ Παμβώ. Τοῦ λέγουσι τότε οἱ Γέροντες:

— Εἰπέ, Ἀββᾶ, ἕνα ὠφέλιμον λόγον εἰς τοὺς ἀδελφούς.

— Ἐγὼ ἀκόμη δὲν ἔγινα Μοναχός, ἀπήντησεν· ἀλλ' ἐγνώρισα Μοναχούς. Κάποτε ἐκαθόμουν εἰς τὸ κελλίον μου, εἰς τὴν σκήτην καὶ μὲ ἠνώχλησαν οἱ λογισμοὶ τῆς φυγῆς. Πήγαινε — μοῦ ἔλεγαν — εἰς τὴν ἔρημον καὶ πρόσεξε τί θὰ ἰδῇς ἐκεῖ. Παρέμεινα δὲ πολεμῶν ἐναντίον τοῦ λογισμοῦ μου ἐπὶ πέντε ἔτη, φοβούμενος μήπως προέρχεται ἀπὸ τοὺς δαίμονας.

Ἐπειδὴ ὅμως ἐπέμενεν ὁ λογισμός, ἐπῆγα, πράγματι, εἰς τὴν ἔρημον· καὶ ηὗρα ἐκεῖ μίαν λίμνην, γεμάτην ἀπὸ πολλὰ ὕδατα, ποὺ εἶχεν εἰς τὸ μέσον αὐτῆς ἕνα νησάκι. Τὰ θηρία ἤρχοντο ἀπὸ τὴν ἔρημον, διὰ νὰ ποτισθοῦν εἰς τὴν λίμνην. Μεταξὺ τῶν θηρίων διέκρινα δύο γυμνοὺς ἀνθρώπους καὶ ἐδειλίασα, διότι ἐνόμισα ὅτι ἦσαν φαντάσματα.

---

* Βλέπε τὴν ὑποσημείωσιν 6΄ τῆς σελίδος 224 τοῦ παρόντος τόμου.

Αὐτοί, καθὼς μὲ εἶδον νὰ τρομάζω, μοῦ ὡμίλησαν. Μὴ φοβᾶσαι — μοῦ εἶπαν — καὶ ἡμεῖς ἄνθρωποι εἴμεθα. Τότε τοὺς ἠρώτησα:

—Ἀπὸ ποῦ εἶσθε; Πῶς ἤλθετε εἰς αὐτὴν τὴν ἔρημον;

— Προερχόμεθα ἀπὸ Κοινόβιον καὶ συνεφωνήσαμεν καὶ ἐβγήκαμεν εἰς αὐτὴν ἐδῶ τὴν ἔρημον, τεσσαράκοντα χρόνους τώρα. Ὁ ἕνας ἀπὸ ἡμᾶς εἶναι ἀπὸ τὴν Αἴγυπτον καὶ ὁ ἄλλος ἀπὸ τὴν Λιβύην. Εἰπὲ τώρα εἰς ἡμᾶς καὶ σὺ πῶς εἶναι ὁ κόσμος; ὑπάρχει ἐπάρκεια ὑδάτων* καὶ πλουσία συγκομιδὴ εἰς τὸν κόσμον;

— Ναί, ὅλα καλὰ εἶναι· πλήν, παρακαλῶ σας, ἀπαντήσατέ μου, πῶς ἠμπορῶ νὰ γίνω Μοναχός;

† —Ἐὰν δὲν ἀρνηθῇ κανεὶς ὅλα τὰ τοῦ κόσμου, δὲν ἠμπορεῖ νὰ γίνῃ Μοναχός, μοῦ ἀπήντησαν.

—Ἐγὼ εἶμαι ἀσθενὴς καὶ δὲν ἠμπορῶ νὰ κάνω αὐτό, ποὺ κάνετε σεῖς.

Ἐκεῖνοι τότε μοῦ ἀπαντοῦν πάλιν:

—Ἐὰν δὲν ἠμπορῇς νὰ κάνῃς αὐτὸ ποὺ κάμνομεν ἡμεῖς, τότε κάθισε εἰς τὸ κελλίον σου καὶ κλαῦσε τὰς ἁμαρτίας σου.

—Ὅταν ἔρχεται ὁ χειμών, δὲν τρέμετε ἀπὸ τὸ κρῦο; τοὺς ἠρώτησα· καὶ ὅταν ἐπικρατῇ ὁ τροπικὸς καύσων δὲν κατακαίγονται τὰ σώματά σας;**

—Ὁ Θεὸς ἔκαμε πρὸς χάριν μας — μοῦ ἀπήντησαν — αὐτὴν τὴν οἰκονομίαν· οὔτε τὸν χειμῶνα νὰ τρέμωμεν, οὔτε ὁ καύσων νὰ μᾶς βλάπτῃ.

Δι' αὐτὸ —κατέληξεν ὁ Ἀββᾶς Μακάριος— σᾶς εἶπα, ὅτι δὲν ἔγινα ἀκόμη Μοναχός, ἀλλὰ εἶδα ὅμως Μοναχούς. Συγχωρήσατέ με, ἀδελφοί μου.

83 Προσηύχετο, κάποτε, ὁ Μέγας Ἀντώνιος εἰς τὸ κελλί του καὶ ἠκούσθη μία φωνή, ἡ ὁποία τοῦ ἔλεγεν· Ἀντώνιε, δὲν ἔφθασες ἀκόμη εἰς τὰ μέτρα τῆς ἀρετῆς τοῦ τάδε ὑποδηματοποιοῦ, ποὺ εἶναι εἰς τὴν Ἀλεξάνδρειαν.

Ἐσηκώθη λοιπὸν τὸ πρωὶ ὁ Γέρων καὶ ἀφοῦ ἐπῆρε τὸ ραβδί του, μετέβη πρὸς τὸν ὑποδηματοποιὸν αὐτόν.

Ὅταν ἔφθασεν εἰς τὸ σπίτι του, τὸν ἠσπάσθη, ἐκάθισε κοντά του καὶ τοῦ λέγει:

—Ἀδελφέ μου, εἰπέ μου τὰς πράξεις σου.

---

* Ἐὰν δηλαδὴ τὸ ὕδωρ τοῦ Νείλου ποταμοῦ ἀνέρχεται καὶ κατέρχεται περιοδικῶς ἀναλόγως τῶν βροχῶν (Βλ. καὶ ὑποσημείωσιν σελίδος 59 τοῦ ἀνὰ χεῖρας τόμου).

** Γνωστὸν τυγχάνει ὅτι εἰς τὰ μέρη ἐκεῖνα τῆς διακεκαυμένης ζώνης ἡ θερμοκρασία ἀνέρχεται τόσον πολὺ καὶ μάλιστα κατὰ τοὺς θερινοὺς μῆνας, ὥστε τὰ πάντα κατὰ τὴν ἡμέραν καταφλέγονται ὑπὸ τοῦ καύσωνος, ἐνῷ ἀντιθέτως κατὰ τὴν νύκτα ἡ θερμοκρασία κατέρχεται τόσον ὥστε ἐπικρατεῖ ψῦχος δριμύτατον.

—Ἀββᾶ, δὲν γνωρίζω νὰ ἔχω πράξει τίποτε καλόν, παρὰ μόνον ὅταν τὸ πρωῒ σηκώνωμαι νὰ καθίσω εἰς τὸ ἐργαστήριόν μου, λέγω ἀπὸ μέσα μου· αὐτὴ ὅλη ἡ πόλις, ἀπὸ τὸν μικρότερον ἕως τὸν μεγαλύτερον, εἰσέρχονται εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν ἀπὸ τὰς καλωσύνας των, ἐνῷ ἐγὼ μόνος κληρονομῶ τὴν κόλασιν διὰ τὰς ἁμαρτίας μου· καὶ τὸ βράδυ, πάλιν, πρὶν κοιμηθῶ, λέγω τὸν ἴδιον λόγον.

Μόλις ἤκουσεν αὐτοὺς τοὺς λόγους ὁ Γέρων εἶπε· πράγματι εἶσαι ἕνας καλὸς χρυσοχόος· κάθεσαι εἰς τὸ σπίτι του, μὲ ἀνάπαυσιν, καὶ ἐκληρονόμησας τὴν Βασιλείαν τῶν Οὐρανῶν· ἐγώ, ὅμως, μὲ τὸ νὰ μὴ ἔχω διάκρισιν, κατοικῶ ὅλα μου τὰ χρόνια εἰς τὴν ἔρημον καὶ δὲν σὲ ἔφθασα.

Σύ, ποὺ ἀναγιγνώσκεις τὸ περιστατικὸν αὐτό, πρόσεξε μὴ τυχὸν ἀπὸ ἀδιακρισίαν καὶ ἁπλότητα ἐκλάβῃς διαφορετικὰ τὸ διήγημα καὶ ἀντὶ νὰ ὠφεληθῇς, ζημιωθῇς. Νὰ μὴ θεωρήσῃς δηλαδὴ τὴν μοναδικὴν αὐτὴν ἐργασίαν τοῦ κοσμικοῦ, ἡ ὁποία καὶ αὐτὴ δὲν ἔχει κόπον, ὡς προτιμοτέραν ἀπὸ ὅλον τὸν ἀσκητικὸν βίον τοῦ ἀρχηγοῦ τῶν ἀσκητικῶν πατέρων καὶ κορυφαίου, ὁ ὁποῖος ἀνάλογα μὲ τὸν κόπον του ἔλαβε καὶ τὸν μισθόν του (ὅπως λέγει ὁ Ἀπόστολος) καὶ ὅστις ἐδοξάσθη ἀπὸ τὸν Θεὸν περισσότερον ἀπὸ ὅλους τοὺς Πατέρας, καὶ ποὺ κατετάγη εἰς τὸ ἴδιον μέρος, ὅπου εἶναι ὁ Θεός, ὅπως ἀπεκαλύφθη εἰς ἕνα ἀπὸ τοὺς Ἁγίους.

Διότι ἐὰν ὁ ὑποδηματοποιὸς ἐκεῖνος, διὰ μόνον τὸν εὐσεβῆ λογισμόν του ἤθελε προτιμηθῇ περισσότερον τοῦ Μεγάλου Ἀντωνίου τοῦ πυρίνου στύλου, ποὺ φωτίζει τὴν Οἰκουμένην, καθὼς εἶπε καὶ κάποιος ἐκ τῶν Ἁγίων, διατί δὲν ἀνεφέρθη ὡς παράδειγμα πρὸς μίμησιν εἰς ὅλους ὁ ὑποδηματοποιὸς ὥστε νὰ φροντίζωμεν ὅλοι νὰ ὁμοιάζωμεν περισσότερον πρὸς αὐτόν, ἀφοῦ τὸν κρίνομεν καλύτερον, ὅταν μάλιστα εἶναι καὶ τόσον εὔκολον νὰ τὸν μιμηθῶμεν; Διατί, ἡμεῖς οἱ Μοναχοί, ἀφήσαντες τὸν ὑποδηματοποιόν, ἀποβλέπομεν, ὡς εἰς ἀρχέτυπον, πρὸς τὸν βίον τοῦ θαυμαστοῦ Ἀντωνίου καὶ καθεὶς ἐξ ἡμῶν προσπαθεῖ νὰ ἐξομοιώσῃ τὴν ζωήν του πρὸς τὴν πολιτείαν τοῦ Μεγάλου Ἀντωνίου; καὶ μάλιστα ὅταν ἡ προσπάθεια νὰ ὁμοιάσωμεν πρὸς αὐτὸν εἶναι τόσον ἐπίπονος καὶ ὀλίγοι τὸ κατώρθωσαν τελείως; νομίζω δὲ ὅτι οὔτε ὀλίγοι δὲν τὸ κατώρθωσαν.

Εἶναι λοιπὸν φανερὸν ὅτι ὁ Θεός, ποὺ ταπεινώνει πάντοτε τοὺς ἀφωσιωμένους εἰς Αὐτόν, ὅσους, κατὰ τὸ ἁγιογραφικὸν ρητόν, παραδέχεται (Παροιμ. γ΄, 12) καὶ ποὺ ἔδωσεν εἰς τὸν Παῦλον τὸν σκόλοπα τῆς σαρκός, διὰ νὰ μὴ ὑπερηφανεύεται (Β΄ Κορ. ιβ΄, 7 - 9) ἀπὸ τὴν ὑπερβολὴν τῶν γενομένων πρὸς αὐτὸν θεϊκῶν ἀποκαλύψεων, Αὐτὸς καὶ τὸν Μέγαν Ἀντώνιον, γεμᾶτον ἀπὸ κατορθώματα καὶ πνευματικὰ χαρίσματα, ὅταν ἐζήτησε νὰ μάθῃ τὸ μέτρον τῆς τελειότητος, εἰς τὸ ὁποῖον ἔφθασε, τὸν ἀσφαλίζει μὲ τὴν ταπείνωσιν καὶ ὁ φιλάνθρωπος Θεὸς παρουσιάζει αὐτὸν τὸν ἀσκητὴν ὡς ἄνθρωπον, ποὺ δὲν ἔφθασεν ἀκόμη εἰς τὸ μέτρον ἑνὸς ὑποδηματοποιοῦ, χωρὶς βεβαίως νὰ ψεύδεται, μὴ γένοιτο! ἀλλὰ λέγων τὴν

ἀλήθειαν καὶ τὴν πραγματικότητα. Ποῖον δὲ μέτρον ὑποδεικνύει; Τὸ μέτρον τῆς ἀρετῆς αὐτῆς, τὴν ὁποίαν εἶχεν ὁ ὑποδηματοποιός, ποὺ δὲν ἐφαντάζετο τίποτε τὸ σπουδαῖον διὰ τὸν ἑαυτόν του, ὡς ἄνθρωπος κοσμικὸς ποὺ ἦτο καὶ ὑπὸ τῆς συνειδήσεως πολλάκις ἐλεγχόμενος. Δι' αὐτό, ἐπειδὴ ἦτο συνετὸς ὁ ἄνθρωπος αὐτὸς καὶ ἀνεγνώριζε τὰ σφάλματά του, ἐνόμιζεν ὅλους τοὺς ἄλλους ἐναρέτους καὶ μὲ τὴν καρδιά του ὅτι εἶναι δίκαιοι καὶ ἄξιοι τῆς Βασιλείας τῶν Οὐρανῶν, χωρὶς νὰ προσέχῃ εἰς τὰ ξένα σφάλματα, ἐνῷ μόνον τὸν ἑαυτόν του κατέκρινε καὶ τὸν ἐθεώρει κληρονόμον τῆς αἰωνίου κολάσεως.

Καὶ εἶναι, πράγματι, ὁ ἄνθρωπος ἄξιος ἐπαίνων καὶ ἐγκωμίων. διότι ἂν καὶ κοσμικός, εἶχεν ἕνα τέτοιο φρόνημα· ὄχι ὅμως ὅτι ἐξ αἰτίας αὐτοῦ εὑρίσκετο καὶ εἰς ὑψηλοτέραν θέσιν ἀπὸ τὸν Μέγαν 'Αντώνιον. Μόνον, ἴσως, κατὰ τοῦτο ὑπερέβαλλεν, ὅτι ἐθεωροῦσε τὸν ἑαυτόν του ἁμαρτωλότερον ἀπὸ ὅλους τοὺς ἄλλους ἀνθρώπους. Διότι ὁ Μέγας 'Αντώνιος, ἂν καὶ ἦτο ταπεινόφρων καὶ δὲν ἐνόμιζε τὸν ἑαυτόν του ἄξιον διὰ τίποτε, χάρις εἰς τὴν ἐν αὐτῷ ἐνέργειαν τοῦ 'Αγίου Πνεύματος, ἀλλ' ὅμως εἶχε τὴν συνείδησίν του νὰ τοῦ ὑπενθυμίζῃ συνεχῶς τὰ κατορθώματα καὶ τὰ χαρίσματα ποὺ ἀπέκτησε, καὶ τὰ ὁποῖα ἐγνώριζε καλῶς ὅτι πολλοὶ τὰ ἔχουν ἐγκαταλείψει· καὶ δι' αὐτὸ δὲν ἦτο δυνατὸν νὰ θεωρῇ τὸν ἑαυτόν του ἁμαρτωλότερον ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ὅπως ὁ ὑποδηματοποιός, μολονότι καὶ αὐτὸς ἔσπευδε νὰ κατηγορῇ αὐστηρῶς τὸν ἑαυτόν του. Κατὰ τοῦτο λοιπὸν ἐνίκα ὁ ὑποδηματοποιὸς τὸν Μέγαν 'Αντώνιον· δι' αὐτὸ καὶ ὁ Θεὸς ὑποδεικνύων εἰς αὐτὸν τὸν ὑποδηματοποιὸν εἶπε συγχρόνως καὶ τὴν ἀλήθειαν, ἀλλὰ καὶ τὸν κατὰ χάριν υἱόν του, τὸν Μέγαν 'Αντώνιον, ὡδηγοῦσεν εἰς μεγαλυτέραν ταπεινοφροσύνην. Αὐτὴ ἡ διαφορὰ ἂς ὑπάρχῃ εἰς σὲ καὶ δι' ἄλλους ἁγίους, εἰς ὅσους παρόμοιόν τι ἀπεκαλύφθη ἢ ἐλαλήθη ἀπὸ τὸν Θεόν.

Β'. Τοῦ 'Αγίου 'Εφραὶμ

ΑΡΧΗ καρποφορίας, ἄνθος· καὶ ἀρχὴ ταπεινοφροσύνης, ὑ π ο τ α γ ὴ ἐ ν Κ υ ρ ί ῳ· ὁ γὰρ ταύτην κεκτημένος, ὑπήκοός ἐστιν, εὐπειθής, ἐπιεικής, ἀπονέμων τιμὴν μικροῖς τε καὶ μεγάλοις· καὶ πιστεύω ὅτι λήψεται παρὰ Κυρίου μισθόν, τὴν ζωὴν τὴν αἰώνιον.

2. 'Αδελφός τις εἴρηκεν, ὅτι τοῦτον τὸν λόγον ᾐτησάμην παρὰ Κυρίου, ἵνα, ὅταν ὁ ἀδελφός μου εἴπῃ μοι ποιῆσαι πρᾶγμα, εἴπω τῷ λογισμῷ· οὗτός ἐστιν ὁ Κύριός σου, ἄκουσον αὐτοῦ· εἰ δὲ καὶ ἕτερος ἀδελφός, εἴπω πάλιν· οὗτος ἀδελφὸς τοῦ Κυρίου σου τυγχάνει· εἰ δὲ καὶ παιδίον ἐπιτάξει μοί τι, εἴπω· ἄκουσον τοῦ υἱοῦ τοῦ Κυρίου σου· καὶ οὕτως ἀντιτιθεὶς τοῖς ἀλλοτρίοις λογισμοῖς, ἐποίει πάντα ἀταράχως, συνεργούσης αὐτῷ τῆς χάριτος δι' ἣν εἶχε ταπείνωσιν.

'Ε ρ μ η ν ε ί α

Η ΑΡΧΗ τῆς καρποφορίας εἶναι τὸ ἄνθος, καὶ ἡ ἀρχὴ τῆς ταπεινοφροσύνης εἶναι ἡ ὑποταγὴ εἰς τὸν Κύριον· διότι αὐτός, ποὺ ἔχει απο-

κτήσει τὴν ὑποταγήν, εἶναι ὑπάκοος, πειθαρχεῖ εὐκόλως, εἶναι ἐπιεικής, ἀποδίδει τιμὴν εἰς μικροὺς καὶ εἰς μεγάλους· πιστεύω δὲ ὅτι αὐτὸς θὰ λάβῃ ἀπὸ τὸν Κύριον ὡς μισθὸν τὴν ζωὴν τὴν αἰώνιον.

2. Ἕνας ἀδελφὸς εἶπεν· αὐτὴν τὴν χάριν ἐζήτησα ἀπὸ τὸν Κύριον, ὅταν δηλαδὴ ὁ ἀδελφός μου μοῦ εἰπῇ νὰ κάνω ἕνα πρᾶγμα, νὰ εἰπῶ καὶ ἐγώ, μὲ τὴν σειράν μου, εἰς τὸν λογισμόν μου· αὐτὸς εἶναι ὁ Κύριός σου καὶ νὰ τὸν ἀκούσῃς· ἂν δὲ μὲ διατάξῃ καὶ ἄλλος ἀδελφός, νὰ εἰπῶ πάλιν εἰς τὸν λογισμόν μου· αὐτὸς εἶναι ὁ ἀδελφὸς τοῦ Κυρίου σου. Ἂν δὲ ἀκόμη καὶ ἕνα παιδάκι μὲ διατάξῃ, νὰ εἰπῶ· ἄκουσε τὸ παιδὶ τοῦ Κυρίου σου. Ἔτσι ἀντιτασσόμενος πρὸς τοὺς ἐχθρικοὺς λογισμοὺς τοῦ ἐγωϊσμοῦ, ἐξετέλει ὅλα τὰ παραγγέλματα, χωρὶς νὰ ταράσσεται, μὲ τὴν βοήθειαν τῆς θείας Χάριτος, ἡ ὁποία τοῦ παρείχετο διὰ τὴν ταπείνωσιν, τὴν ὁποίαν εἶχεν.

Γ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

Ο ΕΧΩΝ τὴν ταπεινοφροσύνην, γλῶσσαν οὐκ ἔχει λαλῆσαι πρός τινα ἀμελοῦντα ἢ πρὸς ἄλλον καταφρονοῦντα· οὔτε ὀφθαλμοὺς ἔχει ἄλλου ἐλαττώμασι προσέχειν· οὔτε ὦτα ἔχει ἀκοῦσαι τὰ μὴ ὠφελοῦντα τὴν ψυχὴν αὐτοῦ· καὶ οὐκ ἔχει μετά τινος πρᾶγμα, πλὴν τῶν ἁμαρτιῶν αὐτοῦ, ἀλλὰ πρὸς πάντας ἀνθρώπους ἐστὶν εἰρηνικός, διὰ τὴν ἐντολὴν τοῦ Θεοῦ καὶ οὐ διά τινα φιλίαν. Ἐὰν γάρ τις νηστεύῃ ἓξ ἕξ, καὶ ἐκδῷ ἑαυτὸν εἰς μεγάλους κόπους ἐκτὸς τῆς ὁδοῦ ταύτης, πάντες οἱ κόποι αὐτοῦ μάταιοι εἰσίν.

2. Ἀδελφέ· ἔθισον τὴν γλῶσσάν σου τοῦ λέγειν «σ υ γ χ ώ ρ η σ ο ν», καὶ ἡ ταπείνωσις ἐπελεύσεται ἐπὶ σέ· ἀγάπησον τὴν ταπείνωσιν καὶ αὕτη σε σκεπάσει ἀπὸ τῶν ἁμαρτιῶν σου.

3. Μὴ ἀκηδιάσῃς ἔν τινι κόπῳ· ὁ γὰρ κόπος καὶ ἡ κακοπάθεια καὶ ἡ σιωπὴ τίκτουσι τὴν ταπείνωσιν· καὶ ἡ ταπείνωσις συγχωρεῖ πᾶσαν ἁμαρτίαν. Τοῦτο δὲ γίνωσκε, ὅτι ὅσον ὁ ἄνθρωπος ἀμελεῖ ἑαυτοῦ, νομίζει ἐν τῇ καρδίᾳ αὐτοῦ ὅτι φίλος ἐστὶ τοῦ Θεοῦ· ἐὰν δὲ ἐλευθερωθῇ ἀπὸ τῶν παθῶν, αἰσχύνεται ἐπᾶραι τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν ἐνώπιον τοῦ Θεοῦ· τότε γὰρ βλέπει ἑαυτὸν πάνυ μεμακρυσμένον ἀπὸ τοῦ Θεοῦ.

4. Ἄνθρωπός τις εἶχε δύο δούλους· καὶ ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀγρὸν αὐτοῦ θερίσαι ἀνὰ ἑπτὰ στατὰ καθ' ἡμέραν ἕκαστον αὐτῶν· καὶ ὁ μὲν εἷς ἔδωκε τὴν δύναμιν αὐτοῦ τοῦ πληρῶσαι τὸ διαταχθὲν αὐτῷ ὑπὸ τοῦ κυρίου αὐτοῦ, ἀλλ' οὐκ ἔφθασε πληρῶσαι διὰ τὸ εἶναι τὸ ἔργον ὑπὲρ τὴν δύναμιν αὐτοῦ· ὁ δὲ ἄλλος ἀκηδιάσας εἶπεν ἐν ἑαυτῷ· τίς δύναται ποιῆσαι τοσοῦτον ἔργον καθ' ἡμέραν; καὶ καταφρονήσας οὐκ ἐμερίμνησεν, ἀλλ' ὕπνωσεν, ὥραν καθεύδων, ὥραν χασμώμενος, ὥραν στρεφόμενος ὡς θύρα ἐπὶ στρόφιγγα αὐτῆς· καὶ ἀνήλωσεν ἐν ματαιότητι τὸ διάστημα τῆς ἡμέρας. Ἑσπέρας δὲ καταλαβούσης, ἀμφότεροι παρεγένοντο πρὸς τὸν δεσπότην αὐτῶν· καὶ διακρίνας ἀμφοτέρους, καὶ γνοὺς τοῦ σπουδαίου τὸ ἔργον, εἰ καὶ μὴ ἔφθασε πληρῶσαι τὸ προσταχθέν, ὅμως ἀπεδέξατο τὴν σπουδὴν αὐτοῦ καὶ ἐτίμησεν αὐτόν· τὸν δὲ ὀκνηρόν, ὡς καταφρονητήν, ἀπέρριψεν ἀπὸ τοῦ οἴκου αὐτοῦ. Καὶ ἡμεῖς οὖν μὴ ἐκκακήσωμεν ἐν παντὶ κόπῳ καὶ θλίψει, ἀλλὰ ποιήσωμεν τὴν δύναμιν ἡμῶν

ἐξ ὅλης ψυχῆς ἐργαζόμενοι ἐν ταπεινώσει, καὶ πιστεύω ὅτι δέχεται ἡμᾶς μετὰ τῶν ἁγίων αὐτοῦ τῶν πολλὰ πάνυ κοπιασάντων.

5. Τὸ μὴ πλῆξαι τὴν συνείδησιν τοῦ πλησίον τίκτει τὴν ταπεινοφροσύνην· ἡ ταπείνωσις τίκτει τὴν διάκρισιν· ἡ δὲ διάκρισις καταργεῖ πάντα τὰ πάθη, ἀπ' ἀλλήλων χωρίζουσα ἕκαστα. Ἀδύνατον οὖν σοι ἐλθεῖν τὴν διάκρισιν, ἐὰν μὴ πρότερον τὴν γεωργίαν αὐτῆς ποιήσῃς. Πρῶτον τὴν ἡσυχίαν ἀπὸ τῶν ἀλλοτρίων, ἥτις τίκτει τὴν ἄσκησιν· ἡ ἄσκησις τίκτει τὸν κλαυθμόν· ὁ κλαυθμὸς τίκτει τὸν φόβον τοῦ Θεοῦ· ὁ φόβος τίκτει τὴν ταπείνωσιν· ἡ ταπείνωσις τίκτει τὴν διάκρισιν· ἡ δέ τὸ προορᾶν· τὸ δὲ προορᾶν τίκτει τὴν ἀγάπην· ἡ δὲ ἀγάπη ποιεῖ τὴν ψυχὴν ἄνοσον καὶ ἀπαθῆ. Τότε γινώσκει ὁ ἄνθρωπος ὅτι μακράν ἐστιν ἀπὸ τοῦ Θεοῦ, μετὰ ταῦτα πάντα.

6. Τὸ μὴ πιστεύειν ἀρέσκειν τῷ Θεῷ τὸν κόπον σου, παρασκευάζει τὴν βοήθειαν τοῦ Θεοῦ φυλάττειν σε. Ὁ γὰρ δοὺς τὴν καρδίαν αὐτοῦ ἐν εὐσεβείᾳ καὶ ἀληθείᾳ, οὐ δύναται ἔννοιαν ἔχειν ὅτι ἤρεσε τῷ Θεῷ. Ὅσον γὰρ ἐλέγχει αὐτὸν ἡ συνείδησις περί τινων τῶν τῆς παραφύσεως, ξένος ἐστὶ τῆς ἐλευθερίας. Ὅσον γάρ ἐστι ὁ ἐλέγχων, ἔστι καὶ ὁ κατηγορῶν· καὶ ἐν ὅσῳ ἐστὶ κατηγορία, οὐκ ἔστιν ἐλευθερία.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ, ποὺ ἔχει ταπεινοφροσύνην, δὲν ἔχει γλῶσσαν διὰ νὰ ἐλέγξῃ τὸν ἀμελῆ ἢ αὐτὸν ποὺ καταφρονεῖ· οὔτε καὶ μάτια ἔχει, διὰ νὰ προσέχῃ τὰ ἐλαττώματα τοῦ ἄλλου· δὲν ἔχει αὐτιά, διὰ νὰ ἀκούσῃ ὅσα δὲν ὠφελοῦν τὴν ψυχήν του καὶ δὲν ἔχει καμμίαν σχέσιν μὲ κανένα, ἐκτὸς ἀπὸ τὰς ἁμαρτίας του· πρὸς ὅλους τοὺς ἀνθρώπους εἶναι εἰρηνικός, ἐξ αἰτίας τῆς ἐντολῆς τοῦ Θεοῦ καὶ ὄχι διὰ φιλίαν. Ἐὰν κανεὶς νηστεύῃ αὐστηρὰ καὶ τρώγῃ κάθε ἓξ ἡμέρας καὶ ἐπιδοθῇ εἰς μεγάλους κόπους, ὅλοι οἱ κόποι αὐτοὶ πηγαίνουν χαμένοι, ἐφ' ὅσον δὲν βαδίζει τὴν ὁδὸν τῆς ταπεινοφροσύνης.

2. Ἀδελφέ, συνήθισε τὴν γλῶσσαν σου νὰ λέγῃ «συγχώρησον»* καὶ ἡ ταπείνωσις θὰ ἔλθῃ εἰς σέ· ἀγάπησε τὴν ταπείνωσιν καὶ αὐτὴ θὰ σὲ σκεπάσῃ ἀπὸ τὰς ἁμαρτίας σου.

3. Νὰ μὴ βαρυνθῇς διὰ κάποιον κόπον, διότι ὁ κόπος καὶ ἡ κακοπάθεια καὶ ἡ σιωπὴ γεννοῦν τὴν ταπείνωσιν· ἡ δὲ ταπείνωσις συγχωρεῖ ὅλας τὰς ἁμαρτίας. Αὐτὸ δὲ γνώριζε, ὅτι ὅσον ὁ ἄνθρωπος ἀμελεῖ τὸν ἑαυτόν του, νομίζει ὅτι εἶναι φίλος τοῦ Θεοῦ· ἂν ὅμως φροντίσῃ καὶ ἐλευθερωθῇ ἀπὸ τὰ πάθη του, ἐντρέπεται νὰ σηκώσῃ τὰ μάτια του πρὸς τὸν οὐρανὸν καὶ νὰ κοιτάξῃ τὸν Θεόν· διότι τότε βλέπει πόσον πολὺ ἔχει ἀπομακρυνθῇ ἀπὸ τὸν Θεόν.

4. Ἕνας ἄνθρωπος εἶχε δύο δούλους καὶ τοὺς ἔστειλεν εἰς τὸ χω-

* Περὶ τῆς σημασίας τοῦ «συγχώρησον» βλέπε τὴν α΄ ὑποσημείωσιν τῆς σελίδος 661 τοῦ ἀνὰ χεῖρας τόμου.

ράφι του διὰ νὰ θερίσουν ἀνὰ ἑπτὰ στατά*, ἤτοι τμήματα, καθημερινῶς ἕκαστος ἐξ αὐτῶν. Καὶ ὁ μὲν πρῶτος ἀπὸ αὐτοὺς ἔβαλεν ὅλην του τὴν δύναμιν νὰ ἐκπληρώσῃ αὐτὸ ποὺ τὸν διέταξεν ὁ κύριός του, ἀλλὰ δὲν ἐπρόφθασε νὰ τὸ ὁλοκληρώσῃ, ἐπειδὴ ἡ ἐργασία ἦτο ἀνωτέρα ἀπὸ τὰς δυνάμεις του· ὁ δεύτερος ἐπειδὴ ἐβαρύνθη εἶπεν εἰς τὸν ἑαυτόν του· ποῖος ἠμπορεῖ νὰ κάνῃ τόσην ἐργασίαν καθημερινῶς; Καὶ καταφρονήσας τὴν ἐντολὴν καθόλου δὲν ἐφρόντισεν, ἀλλὰ ἔπεσεν εἰς τὸν ὕπνον· καὶ τὴν μίαν μὲν ὥραν ἐκοιμᾶτο, τὴν ἄλλην ἐχασμᾶτο, τὴν ἄλλην ἐστριφογύριζεν ὅπως ἡ θύρα εἰς τὰ μάσκουλά της· ἔτσι ἐδαπάνησε τὸ διάστημα τῆς ἡμέρας ἀσκόπως. Ὅταν ἐνύκτωσε, ἦλθον καὶ οἱ δύο ἐνώπιον τοῦ ἀφεντικοῦ των. Ὁ κύριός των ἐξήτασε καὶ τοὺς δύο καὶ ἀντελήφθη τὴν ἀξιόλογον ἐργασίαν τοῦ πρώτου, ἂν καὶ δὲν εἶχε προφθάσει νὰ ἐκτελέσῃ τὴν προσταγήν· ὡστόσον, ἐξετίμησε τὴν προθυμίαν του καὶ τὸν ἐτίμησε· τὸν ὀκνηρόν, ὅμως, ὡς καταφρονητὴν τῆς ἐντολῆς του, τὸν ἀπεμάκρυνεν ἀπὸ τὸ σπίτι του.

Καὶ ἡμεῖς, λοιπόν, ἂς μὴ δειλιάσωμεν διὰ κάθε κόπον καὶ θλῖψιν, ἀλλὰ ἂς βάλωμεν ὅλην τὴν δύναμιν τῆς ψυχῆς μας ἐργαζόμενοι μὲ ταπείνωσιν, καὶ πιστεύω ὅτι ὁ Θεὸς θὰ μᾶς δέχεται μαζὶ μὲ τοὺς Ἁγίους του, ποὺ ἐκοπίασαν πάρα πολύ.

† 5. Τὸ νὰ μὴ πληγώσῃς τὴν συνείδησιν τοῦ πλησίον γεννᾷ τὴν ταπεινοφροσύνην· ἡ ταπείνωσις γεννᾷ τὴν διάκρισιν· ἡ δὲ διάκρισις καταργεῖ ὅλα τὰ πάθη, ἀφοῦ τὰ χωρίσῃ μεταξύ των. Εἶναι, λοιπόν, ἀδύνατον νὰ ἔλθῃς εἰς τὴν διάκρισιν, ἂν δὲν τὴν καλλιεργήσῃς προηγουμένως, ὅπως ὁ γεωργὸς τὸν κῆπον του. Κατ' ἀρχὴν νὰ ἡσυχάσῃς ἀπὸ τοῦ νὰ ἐξετάζῃς τὰ ξένα ἔργα, διὰ τὴν ὠφέλειαν τῆς ψυχῆς· ἡ ἡσυχία αὐτὴ γεννᾷ τὴν ἄσκησιν· ἡ ἄσκησις γεννᾷ τὸν κλαυθμόν· ὁ κλαυθμὸς γεννᾷ τὸν φόβον τοῦ Θεοῦ· ὁ φόβος τοῦ Θεοῦ γεννᾷ τὴν ταπείνωσιν· ἡ ταπείνωσις γεννᾷ τὴν διάκρισιν· αὐτὴ δὲ τὸ προορατικόν, τὸ δὲ προορατικὸν τὴν ἀγάπην· ἡ δὲ ἀγάπη καθιστᾷ τὴν ψυχὴν ἄνοσον καὶ τὴν ἀπαλλάσσει ἀπὸ τὰ πάθη. Τότε πλέον, μετὰ ἀπὸ ὅλα αὐτά, δύναται νὰ καταλάβῃ ὁ ἄνθρωπος, πόσον εἶναι μακρυὰ ἀπὸ τὸν Θεόν, χωρὶς αὐτὰς τὰς ἀρετάς.

6. Τὸ νὰ μὴ πιστεύῃς ὅτι ὁ κόπος σου εἶναι ἀρεστὸς εἰς τὸν Θεόν, συντελεῖ εἰς τὸ νὰ σὲ φυλάττῃ ἡ βοήθεια τοῦ Θεοῦ. Διότι ἐκεῖνος ὁ ὁποῖος ἀφιέρωσε τὴν καρδίαν του εἰς τὸν Θεὸν μὲ εὐσέβειαν καὶ μὲ ἀλήθειαν (δηλαδὴ εἰλικρινῶς) δὲν εἶναι δυνατὸν νὰ ἀπασχολῆται μὲ τὴν σκέψιν, ἐὰν ἤρεσεν εἰς τὸν Θεόν. Ἐφ' ὅσον δηλαδὴ τὸν ἐλέγχει ἡ συνείδησις διὰ μερικὰς πράξεις μὴ καλάς, εἶναι ξένος πρὸς τὴν ἐλευθερίαν. Διότι ἐφ' ὅσον ὑπάρχει κάποιος ὁ ὁποῖος ἐλέγχει (ἡ συνείδησις), ὑπάρχει καὶ κάποιος ὁ ὁποῖος κατηγορεῖ (ἡ ἁμαρτία). Καὶ ἐφ' ὅσον ὑπάρχει κατηγορία, δὲν ὑπάρχει ἐλευθερία.

---

* Στατὸν ἦτο τμῆμα τοῦ ἀγροῦ, τὸ ὁποῖον ἐσπείρετο καὶ κατόπιν ἀνεπαύετο ὀλίγον ὁ γεωργὸς διὰ νὰ συνεχίσῃ ἄλλο στατόν.

Δ'. Τοῦ Ἀββᾶ Μάρκου

ΩΣΠΕΡ μετανοοῦντι ὑψηλοφρονεῖν ἀλλότριον, οὕτως ἑκουσίως ἁμαρτάνοντι ταπεινοφρονεῖν ἀδύνατον. Οὐκ ἔστι συνειδήσεως κατάγνωσις ἡ ταπεινοφροσύνη, ἀλλὰ χάριτος Θεοῦ καὶ συμπαθείας ἐπίγνωσις. Εἰ ταπεινοφροσύνης ἐπιμελούμεθα, οὐκ ἂν ἐδεήθημεν παιδείας. Πάντα τὰ κακὰ καὶ δεινὰ τὰ συμβαίνοντα ἡμῖν, διὰ τὴν ἔπαρσιν ἡμῶν συμβαίνει. Εἰ γὰρ τῷ Ἀποστόλῳ Ἄγγελος σατᾶν ἐδόθη, ἵνα αὐτὸν κολαφίζῃ, ὅπως μὴ ἐπαρθῇ, πόσῳ γε μᾶλλον ἡμῖν τοῖς ἐπηρμένοις αὐτὸς ὁ σατανᾶς δοθήσεται καταπατεῖν ἡμᾶς ἕως οὗ ταπεινωθῶμεν.

Οἱ προπάτορες ἡμῶν οἴκων ἐδέσποζον, καὶ πλούτου ἐκράτουν, καὶ γυναῖκας εἶχον, καὶ τέκνων προενόουν, καὶ τῷ Θεῷ ὡμίλουν διὰ τὴν ἄπληστον αὐτῶν ταπεινοφροσύνην· ἡμεῖς δὲ κόσμου ἀνεχωρήσαμεν, καὶ πλούτου κατεφρονήσαμεν, καὶ τοὺς οἰκείους κατελίπομεν, καὶ δοκοῦμεν Θεῷ προσεδρεύειν, καὶ ὑπὸ δαιμόνων χλευαζόμεθα διὰ τὴν ἔπαρσιν ἡμῶν. Ὁ ἐπαιρόμενος ἀγνοεῖ ἑαυτόν· εἰ γὰρ ἐγίνωσκεν ἑαυτὸν καὶ τὴν αὐτοῦ ἀφροσύνην καὶ ἀσθένειαν, οὐκ ἂν ἐπήρθη· ὁ δὲ ἑαυτὸν ἀγνοῶν, πῶς δύναται Θεὸν γινώσκειν; Εἰ γὰρ τὴν ἑαυτοῦ ἀφροσύνην μεθ' ἧς ἀνατρέφεται συνιέναι οὐκ ἴσχυσε, πῶς τὴν τοῦ Θεοῦ σοφίαν, ἧς πόρρωθέν ἐστι καὶ ξένος, συνιέναι δυνήσεται;

Ὁ γὰρ γινώσκων τὸν Θεὸν ἐνοπτρίζεται τὴν μεγαλωσύνην αὐτοῦ, καὶ φαυλίζει ἑαυτὸν ὡς ὁ μακάριος Ἰώβ, καὶ λέγει· ἕως ἀκοῆς ἤκουόν σου τὸ πρότερον· νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε· διὸ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην· ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν. Οἱ τοίνυν τὸν Ἰὼβ μιμούμενοι, οὗτοι ὁρῶσι τὸν Θεόν· οἱ δὲ ὁρῶντες αὐτόν, οὗτοι γινώσκουσιν αὐτόν. Ἐὰν οὖν καὶ ἡμεῖς βουληθῶμεν ὁρᾶν αὐτόν, φαυλίσωμεν ἑαυτοὺς καὶ ταπεινοφρονήσωμεν, ἵνα μὴ μόνον ἐξ ἐναντίας αὐτὸν ὁρῶμεν, ἀλλὰ καὶ ἐν ἡμῖν οἰκοῦντα καὶ ἀναπαυόμενον ἔχοντες κατατρυφῶμεν αὐτοῦ. Οὕτω γὰρ ἡ ἀφροσύνη ἡμῶν ἐν τῇ σοφίᾳ αὐτοῦ σοφισθήσεται, καὶ ἡ ἀσθένεια ἡμῶν ἐν τῇ δυνάμει αὐτοῦ δυναμωθήσεται, κραταιοῦσα ἡμᾶς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ταύτης ἡμᾶς τῆς δωρεᾶς ἀξιώσαντα.

Ἑρμηνεία

ΟΠΩΣ ἀκριβῶς διὰ τὸν μετανοοῦντα εἶναι ξένον τὸ τὰ ὑπερηφανεύεται, ἔτσι ἀκριβῶς εἶναι ἀδύνατον καὶ εἰς ἐκεῖνον, ποὺ θεληματικῶς ἁμαρτάνει, τὸ νὰ ταπεινοφρονῇ. Ἡ ταπεινοφροσύνη δὲν εἶναι κατηγορία τῆς συνειδήσεως, ἀλλὰ βαθυτάτη καὶ βεβαία γνῶσις τῆς Χάριτος τοῦ Θεοῦ καὶ τῆς συμπαθείας του πρὸς τὸν ἄνθρωπον. Ἐὰν ἐφροντίζαμεν διὰ τὴν ταπεινοφροσύνην, δὲν θὰ εἴχαμεν ἀνάγκην τιμωρίας. Ὅλα τὰ κακὰ καὶ τὰ φοβερά, ποὺ μᾶς συμβαίνουν, ἐπέρχονται λόγῳ τῆς ὑπερηφανείας μας. Διότι ἐὰν εἰς τὸν Ἀπόστολον Παῦλον ἐδόθη ἄγγελος σατάν, διὰ νὰ τὸν πειράζῃ, ὥστε νὰ μὴ ὑπερηφανευθῇ (Β´ Κορ. ιβ´, 7 - 9), ἀσφαλῶς πολὺ περισσότερον εἰς ἡμᾶς τοὺς ὑπερηφάνους θὰ δοθῇ ὁ ἴδιος σατανᾶς διὰ νὰ μᾶς πατῇ, ὥσπου νὰ ταπεινωθῶμεν.

Οἱ προπάτορές μας καὶ σπίτια ἐξουσίαζον καὶ πλούτη ἐκρατοῦσαν εἰς χεῖρας των καὶ γυναῖκας εἶχον, καὶ διὰ τὰ παιδιά των ἐφρόντιζον, καί,

παρ' ὅλα αὐτὰ-καὶ μὲ τὸν Θεὸν ἐπεκοινώνουν διὰ τὴν πολλήν των ταπεινοφροσύνην· ἐνῷ ἡμεῖς καὶ ἀπὸ τὸν κόσμον ἀνεχωρήσαμεν, καὶ πλούτη ἐπεριφρονήσαμεν καὶ τοὺς συγγενεῖς μας ἐγκατελείψαμεν καὶ νομίζομεν ὅτι εὑρισκόμεθα πλησίον τοῦ Θεοῦ, καὶ παρ' ὅλα αὐτὰ μᾶς χλευάζουν οἱ δαίμονες διὰ τὴν ὑπερηφάνειάν μας. Ἐκεῖνος ποὺ ὑπερηφανεύεται ἀγνοεῖ τὸν ἑαυτόν του· διότι ἐὰν ἐγνώριζε τὸν ἑαυτόν του καὶ τὴν ἀφροσύνην του καὶ τὴν ἀδυναμίαν του, δὲν θὰ ὑπερηφανεύετο· ἐκεῖνος δὲ ποὺ ἀγνοεῖ τὸν ἑαυτόν του πῶς ἠμπορεῖ νὰ γνωρίζῃ τὸν Θεόν; Ἐὰν δηλαδὴ τὴν ἀφροσύνην του, μὲ τὴν ὁποίαν συνεχῶς συναναστρέφεται, δὲν ἠμπόρεσε νὰ ἐννοήσῃ, πῶς θὰ ἠμπορέσῃ νὰ κατανοήσῃ τὴν σοφίαν τοῦ Θεοῦ ἀπὸ τὴν ὁποίαν εἶναι τελείως ξένος καὶ εὑρίσκεται πολὺ μακράν;

Διότι ἐκεῖνος, ποὺ γνωρίζει τὸν Θεόν, βλέπει μέσα εἰς τὴν ψυχήν του, ὅπως εἰς καθρέπτην, τὴν μεγαλωσύνην τοῦ Θεοῦ καὶ ταπεινώνεται, ὅπως ὁ μακάριος Ἰὼβ καὶ λέγει· «Προηγουμένως Σέ ἤκουον μόνον· τώρα ὅμως καὶ τὰ μάτια μου Σὲ εἶδον· δι' αὐτὸ ἐλεεινολόγησα τὸν ἑαυτόν μου καὶ ἔλειωσα· θεωρῶ δὲ πλέον τὸν ἑαυτόν μου χῶμα καὶ στάκτην» (Ἰὼβ μβ΄, 4-6).

Ὅσοι, λοιπόν, μιμοῦνται τὸν Ἰώβ, αὐτοὶ βλέπουν τὸν Θεόν· αὐτοὶ δὲ ποὺ τὸν βλέπουν, αὐτοὶ μόνον τὸν γνωρίζουν. Ἐάν, λοιπόν, καὶ ἡμεῖς θελήσωμεν νὰ βλέπωμεν Αὐτόν, ἂς ἐλεεινολογήσωμεν τοὺς ἑαυτούς μας καὶ ἂς ταπεινοφρονήσωμεν, διὰ νὰ μὴ τὸν βλέπωμεν μόνον ἀπέναντί μας, ἀλλὰ καὶ νὰ ἀπολαμβάνωμεν τὴν ἀγάπην Του, ἔχοντες Αὐτὸν κατοικοῦντα καὶ ἀναπαυόμενον ἐντὸς ἡμῶν. Διότι τοιουτοτρόπως ἡ ἀφροσύνη μας θὰ σοφισθῇ διὰ τῆς σοφίας Του καὶ ἡ ἀσθένειά μας θὰ δυναμωθῇ διὰ τῆς δυνάμεώς Του, ἡ ὁποία θὰ μᾶς κραταιώνῃ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ποὺ μᾶς ἠξίωσεν αὐτῆς τῆς δωρεᾶς.

Ε΄. Τοῦ Ἁγίου Διαδόχου

ΔΥΣΠΟΡΙΣΤΟΝ μέν τι πρᾶγμα ἡ ταπεινοφροσύνη· ὅσῳ γὰρ μέγα ἐστί, τοσούτῳ μετὰ πολλῶν ἀγώνων κατορθοῦται. Παραγίνεται δὲ τοῖς μετόχοις τῆς ἁγίας γνώσεως κατὰ δύο τρόπους· ὅτε μὲν γὰρ ἐν μεσότητι ἐστὶ τῆς πνευματικῆς πείρας ὁ τῆς εὐσεβείας ἀγωνιστής, ἢ δι' ἀσθένειαν σώματος, ἢ διὰ τοὺς ἀκαίρως ἐχθραίνοντας τοῖς τοῦ δικαίου φροντίζουσιν, ἢ διὰ λογισμοὺς πονηρούς, ταπεινότερόν πως ἔχει τὸ φρόνημα· ὅτε δὲ ἐν αἰσθήσει πολλῇ καὶ πληροφορίᾳ ὁ νοῦς ὑπὸ τῆς ἁγίας καταυγασθῇ χάριτος, τότε ὥς περ φυσικὴν ἔχει τὴν ταπεινοφροσύνην ἡ ψυχή· καταπιαινομένη γὰρ ὑπὸ τῆς θείας χάριτος, οὐ δύναται οὐκέτι εἰς τὸν ὄγκον τῆς φιλοδοξίας ἐπαίρεσθαι, κἂν ἀπαύστως τὰς ἐντολὰς κατεργάζοιτο τοῦ Θεοῦ· ταπεινοτέραν δὲ μᾶλλον ἑαυτὴν τῇ τῆς θείας ἐπιεικίας κοινωνίᾳ ἡγεῖται.

Ἔχει δὲ ἐκείνη μὲν ἡ ταπεινοφροσύνη λύπην τὰ πολλὰ καὶ ἀθυμίαν, αὕτη δὲ χαρὰν μετὰ αἰδοῦς πανσόφου. Διόπερ ἡ μὲν τοῖς ἐν μέσῳ οὖσι τῶν ἀγώνων, ὡς ἔφην, παραγίνεται· ἡ δὲ τοῖς ἐγγίζουσι τῇ τελειότητι καταπέμπεται· διὰ τοῦτο ἐκείνη μὲν πολλάκις ὑπὸ τῶν βιοτικῶν εὐπραγιῶν ὀνειδίζεται, αὕτη δὲ κἂν ὅλας τὰς βασιλείας τοῦ κόσμου τις αὐτῇ προσαγάγοι, οὔτε πτοεῖται, οὔτε ὅλως τῶν δεινῶν βελῶν τῆς

ἁμαρτίας αἰσθάνεται· πνευματικὴ γὰρ ὅλη ὑπάρχουσα, ἀγνοεῖ πάντως τὰς σωματικὰς δόσεις. Χρὴ δὲ δι' ἐκείνης παντὶ τρόπῳ παρελθόντα τὸν ἀγωνιστήν, ἐπὶ ταύτην ἐλθεῖν· εἰ μὴ γὰρ δι' ἐκείνης τῇ ἐπιφορᾷ τῶν παιδευτικῶν παθῶν τὸ αὐτεξούσιον ἡμῶν ἡ χάρις προμαλάξοι δοκιμαστικῶς, οὐ γὰρ ἀναγκαστικῶς, οὐκ ἂν τὴν ταύτης ἡμῖν δωρήσηται πολυτέλειαν.

Ἑρμηνεία

Η ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗ εἶναι μία ἀρετὴ ποὺ ἀποκτᾶται δύσκολα· διότι ὅσον μεγάλη εἶναι, τόσον καὶ μετὰ ἀπὸ πολλοὺς ἀγῶνας κατορθώνεται. Ἔρχεται δὲ εἰς ἐκείνους οἱ ὁποῖοι μετέχουν τῆς ἁγίας γνώσεως κατὰ δύο τρόπους· ὅταν δηλαδὴ ὁ ἀγωνιστὴς τῆς εὐσεβείας εὑρίσκεται εἰς τὸ μέσον τοῦ δρόμου ποὺ ὁδηγεῖ πρὸς τὴν ἀπόκτησιν τῆς πνευματικῆς ἐμπειρίας, τότε ἢ ἕνεκα σωματικῆς ἀδυναμίας, ἢ ἐξ αἰτίας ἐκείνων οἱ ὁποῖοι ἐχθρεύονται ὅσους φροντίζουν διὰ τὴν δικαιοσύνην, ἢ διὰ τοὺς ἐπερχομένους πονηροὺς λογισμούς, ἔχει κάπως ταπεινότερον φρόνημα. Ὅταν ὅμως ὁ νοῦς φωτισθῇ τελείως ὑπὸ τῆς θείας Χάριτος καὶ αἰσθανθῇ καὶ πληροφορηθῇ διὰ τὸν φωτισμόν του αὐτόν, τότε ἡ ψυχὴ ἔχει τὴν ταπεινοφροσύνην ὡς φυσικὴν ἰδιότητα. Διότι καθὼς διαποτίζεται ἀπὸ τὴν θείαν Χάριν, δὲν εἶναι δυνατὸν πλέον νὰ ὑπερηφανεύεται παρασυρομένη ἀπὸ τὴν φιλοδοξίαν, ἔστω καὶ ἂν ἀδιακόπως ἐκτελῇ τὰς ἐντολὰς τοῦ Θεοῦ. Μάλιστα θεωρεῖ ἑαυτὴν τώρα περισσότερον ταπεινὴν λόγῳ τῆς ἐπικοινωνίας της μὲ τὴν ἐπιείκειαν τοῦ Θεοῦ.

Ἐκ τῶν δύο τούτων μορφῶν τῆς ταπεινοφροσύνης, ἐκείνη μὲν ποὺ γεννᾶται ἀπὸ τὴν πνευματικὴν ἐμπειρίαν, συνοδεύεται, ὡς ἐπὶ τὸ πλεῖστον, ἀπὸ λύπην καὶ ἀθυμίαν, ἐνῷ ἡ ἄλλη ἀπὸ χαρὰν καὶ πάνσοφον ἐντροπήν. Διὰ τοῦτο, ὅπως εἶπον, ἡ πρώτη μορφὴ τῆς ταπεινοφροσύνης ἔρχεται εἰς ἐκείνους, ποὺ εὑρίσκονται εἰς τὸ μέσον τῶν ἀγώνων, ἐνῷ ἡ ἄλλη ἀποστέλλεται ὑπὸ τοῦ Θεοῦ εἰς ἐκείνους, ποὺ προσεγγίζουν πρὸς τὴν τελειότητα. Δι' αὐτὸ καὶ ἐκείνην τὴν ταπεινοφροσύνην ποὺ γεννᾶται κατὰ τὸν πρῶτον τρόπον, πολλὰς φορὰς ἡ ὑλικὴ εὐτυχία τοῦ βίου τὴν εἰρωνεύεται, ἐνῷ τὴν ἄλλην δὲν τὴν συγκινοῦν οὔτε ὅλαι αἱ βασιλεῖαι τοῦ κόσμου, τὰς ὁποίας θὰ τῆς προσέφερε κανείς, ἀλλ' οὔτε κἂν αἰσθάνεται τὰ φοβερὰ βέλη τῆς ἁμαρτίας· διότι ἐπειδὴ εἶναι ὅλη πνευματική, ἀγνοεῖ τελείως τὰ ὑλικὰ δῶρα. Πρέπει, λοιπόν, ὁ ἀγωνιστὴς μὲ κάθε τρόπον νὰ προσπεράσῃ τὴν πρώτην μορφὴν τῆς ταπεινοφροσύνης καὶ νὰ φθάσῃ εἰς αὐτήν. Διότι ἐὰν ἡ Χάρις τοῦ Θεοῦ δὲν προετοιμάσῃ τὸ αὐτεξούσιόν μας διὰ τῆς δοκιμασίας τῶν παιδαγωγικῶν τρόπων, χωρὶς δηλαδὴ νὰ μᾶς ἀναγκάζῃ, δὲν εἶναι δυνατὸν νὰ μᾶς χαρίσῃ τὴν τελειότητα τῆς πνευματικῆς καὶ κατὰ χάριν ταπεινοφροσύνης.

ΣΤ'. Τοῦ Ἁγίου Μαξίμου

ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗ ἐστὶ προσευχὴ συνεχὴς μετὰ δακρύων καὶ πόνου· αὕτη γὰρ τὸν Θεὸν ἀεὶ εἰς βοήθειαν ἐπικαλουμένη, εἰς τὴν ἰδίαν δύναμιν καὶ φιλο-

σοφίαν ἀφρόνως θαρρεῖν οὐκ ἐᾷ οὐδὲ ἄλλου κατεπαίρεσθαι, ἅτινά εἰσι χαλεπὰ νοσήματα τοῦ τῆς ὑπερηφανείας πάθους.

Ἑρμηνεία

ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗ εἶναι μία συνεχὴς προσευχὴ μὲ δάκρυα καὶ πόνον· διότι αὐτὴ πάντοτε ἐπικαλεῖται τὴν βοήθειαν τοῦ Θεοῦ καὶ δὲν ἀφίνει τὸν ἄνθρωπον νὰ στηρίζεται ἀπερισκέπτως εἰς τὴν δύναμίν του καὶ τὴν φιλοσοφίαν του, οὔτε νὰ ὑπερηφανεύεται ἐναντίον ἄλλου, τὰ ὁποῖα εἶναι φοβερὰ νοσήματα, ὀφειλόμενα εἰς τὸ πάθος τῆς ὑπερηφανείας.

Ζ΄. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΑΝΘΡΩΠΟΣ φθάσας γνῶναι τὸ μέτρον τῆς ἀσθενείας αὐτοῦ, οὗτος ἔφθασε τὸ τέλειον τῆς ταπεινοφροσύνης καὶ τῆς τοῦ Θεοῦ ἐπιγνώσεως· διὸ καὶ πρὸς εὐχαριστίαν ἀεὶ κινούμενος πλεονάζει διηνεκῶς ἐν τοῖς θείοις χαρίσμασι. Στόμα διὰ παντὸς εὐχαριστοῦν, εὐλογίαν δέχεται παρὰ Θεοῦ· καὶ καρδία ἐν εὐχαριστίᾳ διαμένουσα, αὔξησιν ἀεὶ τῆς χάριτος δέχεται. Προηγεῖται τῆς χάριτος ἡ ταπείνωσις, ὥς περ καὶ τοῦ πειρασμοῦ προτρέχει ἡ οἴησις.

Ἑρμηνεία

Ο ΑΝΘΡΩΠΟΣ, ποὺ κατώρθωσε νὰ ἐννοήσῃ πόσον ἀσθενὴς πνευματικῶς εἶναι, αὐτὸς ἤδη ἔφθασεν εἰς τὴν τελείαν ταπεινοφροσύνην καὶ τὴν ἐπίγνωσιν τοῦ Θεοῦ· δι' αὐτὸ καὶ παρακινεῖται συνεχῶς νὰ εὐχαριστῇ τὸν Θεὸν καὶ γίνεται πλουσιώτερος εἰς τὴν ἀπόκτησιν θείων χαρισμάτων. Στόμα, ποὺ εὐχαριστεῖ πάντοτε τὸν Θεόν, δέχεται ἀπὸ τὸν Θεὸν εὐλογίαν· καὶ εἰς τὴν καρδίαν, ποὺ διαμένει εἰς τὴν συνεχῆ πρὸς τὸν Θεὸν εὐχαριστίαν, αὐξάνει διαρκῶς ἐντὸς αὐτῆς ἡ θεία Χάρις. Ἀπὸ τὴν χάριν προηγεῖται ἡ ταπείνωσις, ὅπως ἐμπρὸς ἀπὸ τὸν πειρασμὸν τρέχει ἡ ὑπερηφάνεια.





ΥΠΟΘΕΣΙΣ ΜΣΤ΄

Περὶ τοῦ τί τὸ κέρδος ἐκ τοῦ ἑαυτὸν μέμφεσθαι.

Περὶ τοῦ ποῖον εἶναι τὸ : έρδος ἀπὸ τὸ νὰ μεμφώμεθα τὸν ἑαυτόν μας.



Α΄. Ἐν τῷ Γεροντικῷ



ΙΓΗΣΑΤΟ ὁ μακάριος Ζωσιμᾶς, ὅτι ποτὲ ἐκάθισα μικρὸν χρόνον ἐν τῇ Λαύρᾳ τοῦ Ἀββᾶ Γερασίμου καὶ ἔσχον ἐκεῖ τινὰ ἀγαπητόν. Ἐν μιᾷ οὖν, καθημένων ἡμῶν καὶ λεγόντων περὶ ὠφελείας, ἐνέπεσε μνήμη τοῦ ρητοῦ ἐκείνου, ὃ εἶπεν ὁ Ἀββᾶς Ποιμήν, ὅτι ὁ μεμφόμενος ἑαυτὸν ἐν παντί, εὑρίσκει ἀνάπαυσιν· ὁμοίως καὶ τοῦ ρήματος ὃ εἶπεν ὁ Ἀββᾶς τοῦ ὄρους τῆς Νιτρίας, ἐρωτηθεὶς τί πλέον εὗρες ἐν τῇ ὁδῷ ταύτῃ, πάτερ; καὶ ἀπεκρίθη ὅτι τὸ αἰτιᾶσθαι καὶ μέμφεσθαι ἑαυτὸν πάντοτε· ᾧ καὶ ἐπεμαρτύρησεν ὁ ἐρωτήσας, εἰπών· ἄλλη ὁδὸς οὐκ ἔστιν εἰ μὴ αὕτη.

Ὡς οὖν ἐμνήσθημεν τούτων, ἐλέγομεν πρὸς ἀλλήλους θαυμάζοντες· πόσην δύναμιν ἔχουσιν οἱ λόγοι τῶν Ἁγίων! ἀληθῶς γὰρ εἴ τι ἐλάλησαν, ἀπὸ πείρας καὶ ἀληθείας ἐλάλησαν, ὡς εἶπεν ὁ Μέγας Ἀντώνιος, καὶ διὰ τοῦτο δυνατοί εἰσιν, ἐπειδὴ ἀπὸ ἐμπράκτων ἐλαλήθησαν· καθ' ἅ τις σοφὸς παραγγέλλει λέγων· τοὺς λόγους σου βεβαιούτω σου ὁ βίος. Ταῦτα οὖν κοινολογουμένων ἡμῶν πρὸς ἀλλήλους, ἔφη ἐκεῖνος, ὅτι κἀγὼ πεῖραν ἔσχον τούτων τῶν λόγων καὶ τῆς ἀναπαύσεως τῆς προσγινομένης ἐκ τῆς ἐνεργείας αὐτῶν.

Ποτὲ γὰρ ἔσχον ἐν ταύτῃ τῇ Λαύρᾳ τινὰ γνήσιον ἀγαπητὸν Διάκονον· ὅς, οὐκ οἶδα πόθεν, ἔλαβεν εἰς ἐμὲ ὑπόνοιαν περί τινος πράγματος φέροντος αὐτῷ λύπην. Ἤρξατο οὖν στυγνῶς μοι προσφέρεσθαι· ἐγὼ δὲ ἰδὼν αὐτὸν πρός με στυγνάζοντα, ἠρώτησα μαθεῖν τὴν αἰτίαν τῆς σκυθρωπότητος· ὁ δὲ λέγει μοι, ὅτι τόδε τὸ πρᾶγμα ἐποίησας, καὶ διὰ τοῦτο λυποῦμαι πρὸς σέ· ἐγὼ δὲ μὴ συνειδὼς ἐμαυτὸν τοιοῦτόν τι, οἷον ἐκεῖνος ἔλεγε πράξαντα, διεβεβαιούμην αὐτὸν παντελῆ ἔχειν τοῦ πράγματος ἄγνοιαν· ἐκεῖνος δὲ οὐκ ἐπείθετο, ἀλλ' εἰπέ μοι· συγχώρησον, οὐ πληροφοροῦμαι. Ἀναχωρήσας οὖν εἰς τὸ κελλίον μου, ἠρεύνων ἑαυτὸν ἀκριβέστερον, εἰ τοιοῦτόν τι πέ-

πραχα, καὶ οὐχ εὕρισκον. Μετὰ τοῦτο βλέπω αὐτὸν κατέχοντα τὸ ἅγιον ποτήριον καὶ μεταδιδόντα τοῖς ἀδελφοῖς· καὶ πληροφορῶ αὐτὸν ἐν αὐτῷ λέγων, ὅτι οὐ σύνοιδα ἐμαυτὸν ὃ λέγεις ποιήσαντα· καὶ οὐδὲ οὕτως ἐπείσθη.

Πάλιν οὖν ἐν ἐμαυτῷ γενόμενος, καὶ μνησθεὶς τούτων τῶν λόγων τῶν Ἁγίων Πατέρων, καὶ πιστεύσας γνησίως αὐτοῖς, στρέφω μικρὸν τὸν λογισμόν μου καὶ λέγω ἐμαυτῷ· ὁ Διάκονος γνησίως ἀγαπᾷ με, καὶ ἀπὸ ἀγάπης κινούμενος ἐθάρρησέ μοι ὃ εἶχεν ἡ καρδία αὐτοῦ περὶ ἐμοῦ, ἵνα νήψω καὶ μὴ ποιήσω αὐτὸ εἴς γε τὸ ἑξῆς· πλήν, ψυχὴ ἀθλία, ἐπειδὴ λέγεις ὅτι οὐκ ἐποίησα τὸ πρᾶγμα τοῦτο, ἀναμνήσθητι τῶν ἄλλων κακῶν, ὧν ἔπραξας καὶ οὐ μνημονεύεις, καὶ ἔχε ὅτι, ὥς περ τῶν χθὲς καὶ πρώην πεπραγμένων σοι ἀμνημονεῖς, οὕτω καὶ τοῦτο πράξασα ἐπελάθου αὐτοῦ. Ἐκ τοῦ λογισμοῦ οὖν τούτου διέθηκα οὕτω τὴν καρδίαν μου, ὡς ὅτι ἐν ἀληθείᾳ ἔπραξα αὐτὸ καὶ ἐπελαθόμην, ὡς καὶ τῶν προτέρων· εἶτα ἠρξάμην εὐχαριστεῖν τῷ Θεῷ καὶ τῷ Διακόνῳ, ὅτι δι᾽ αὐτοῦ ἠξιώθην ἐπιγνῶναι τὸ σφάλμα μου καὶ μετανοῆσαι περὶ αὐτοῦ.

Ἀναστὰς οὖν μετὰ τῶν τοιούτων λογισμῶν, ἀπῆλθον πρὸς τὴν κέλλαν τοῦ Διακόνου ἐπὶ τῷ μετάνοιαν αὐτῷ ποιῆσαι καὶ αἰτῆσαι συγχώρησιν, ἅμα δὲ καὶ εὐχαριστῆσαι αὐτῷ· καὶ στὰς πρὸς τῇ θύρᾳ ἔκρουσα· ὁ δέ, ἀνοίξας καὶ ἰδών με, βάλλει μοι εὐθὺς μετάνοιαν πρῶτος, λέγων μοι «συγχώρησόν μοι», ὅτι ἀπὸ δαιμόνων ἐχλευάσθην, ὑπονοήσας περὶ σοῦ εἰς τὸ πρᾶγμα ἐκεῖνο· ἐν ἀληθείᾳ γὰρ ἐπληροφόρησέ με ὁ Θεός, ὅτι οὐδὲν ἔχεις εἰς αὐτό, οὐδὲ οἶδας ὅλως τι περὶ αὐτοῦ. Ὡς οὖν ἠρξάμην κἀγὼ περὶ τούτου ἀποκρίνεσθαι καὶ διαβεβαιοῦν αὐτόν, ἐκεῖνος ἀνέκοψέ με εἰπών· οὐκ ἔστι χρεία.

Ἐπέφερεν οὖν ὁ μακάριος Ζωσιμᾶς λέγων· ἰδοὺ ἡ γνησία ταπείνωσις, πῶς ἔθηκε τὴν καρδίαν τοῦ ποθοῦντος αὐτὴν ὡς μὴ μόνον σκανδαλισθῆναι εἰς τὸν Διάκονον, τὸ μὲν ὡς ὑπονοήσαντα περὶ αὐτοῦ, ὃ οὐκ ἐγίνωσκε, καὶ ἀλόγως κατ᾽ αὐτοῦ λυπηθέντα, τὸ δὲ ὡς μὴ δεξάμενον τὰς παρ᾽ αὐτοῦ πληροφορίας τοιαύτας οὔσας, ὡς καὶ ἐχθρόν τινα πεῖσαι, μή τοι γε φίλον γνήσιον. Οὐ μόνον οὖν ἐπὶ τούτοις ἐσκανδαλίσθη, ὡς εἶπον, ἀλλὰ καὶ ἑαυτῷ ἐπέγραψε σφάλμα, ὃ οὐκ ἐποίησε, τὸν ἐκείνου λόγον τῆς ἰδίας καρδίας πιστότερον ἡγησάμενος· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μετανοεῖν αὐτῷ ἐπεχείρησε καὶ ηὐχαρίστει ὡς δι᾽ αὐτοῦ ἀπαλλαγεὶς ἁμαρτήματος, οὗ παντελῆ εἶχεν ἄγνοιαν.

Ὁρᾷς τί δύναται ἡ ταπείνωσις, ἤτοι τὸ ἑαυτὸν μέμφεσθαι; εἰς ποίους βαθμοὺς προκοπῆς ἀνάγει τὸν ταύτην κατέχοντα; Καὶ ἡμεῖς οὖν, εἰ οὕτω προσελαμβάνομεν καὶ διετιθοῦμεν τὴν καρδίαν ἡμῶν ἐν τοῖς τῆς ταπεινοφροσύνης λογισμοῖς, οὐκ ἂν εὕρισκε χώραν ὁ ἐχθρὸς σπείρειν ἐν ἡμῖν τὰ κακὰ σπέρματα· ἀλλ᾽ ἐπειδὴ εὑρίσκει ἡμᾶς ἐρήμους παντὸς λογισμοῦ ἀγαθοῦ, μᾶλλον δὲ καὶ ἐρεθίζοντας ἑαυτοὺς εἰς κακίαν, διὰ τοῦτο λαβὼν παρ᾽ ἡμῶν ἀφορμὰς προστίθησι τὰ παρ᾽ ἑαυτοῦ, καὶ ἐξ ἀνθρώπων δαίμονας ἡμᾶς ἀποδείκνυσιν. Ἐκείνων ἔργον τὸ τοὺς ἀνθρώπους ταράσσειν καὶ ταράσσεσθαι πάντοτε, ὥς περ τοὐναντίον συμβαίνει ἐπὶ τῆς ἀρετῆς· ἐὰν γὰρ ἴδῃ ὁ Κύριος ψυχὴν διψῶσαν σωθῆναι καὶ γεωργοῦσαν ἢ γεωργεῖν σπουδάζουσαν λογισμοὺς ἀγαθοὺς καὶ ἐπαινετὴν ἐπιδεικνυμένην προαίρεσιν, παρέχει αὐτῇ τὴν παρ᾽ ἑαυτοῦ χάριν δι᾽ ἧς καὶ εἰς μεγίστην προκοπὴν δι᾽ ὀλίγου ἀνάγεται, καθὼς γέγραπται, «τοῖς τὸ ἀγαθὸν θέλουσι συνεργεῖ ὁ Θεὸς εἰς τὸ ἀγαθόν».

Ἑρμηνεία

Ο ΜΑΚΑΡΙΟΣ Ζωσιμᾶς διηγήθη τὸ ἑξῆς· κάποτε παρέμεινα ὀλίγον χρόνον εἰς τὴν Λαύραν τοῦ Ἀββᾶ Γερασίμου καὶ ἀπέκτησα ἐκεῖ κάποιον ἀδελφὸν ἀγαπητόν. Μίαν ἡμέραν, λοιπόν, ἐνῷ ἐκαθήμεθα καὶ ὡμιλούσαμεν περὶ πνευματικῆς ὠφελείας, ἐνεθυμήθημεν τὸ ρητόν, ποὺ εἶπεν ὁ Ἀββᾶς Ποιμήν, ὅτι ὁ κατηγορῶν εἰς ὅλα τὸν ἑαυτόν του, εὑρίσκει ψυχικὴν ἀνάπαυσιν. Ὅπως, ἐπίσης, καὶ τὸ ἄλλο ρητόν, ποὺ εἶπεν ὁ Ἀββᾶς τοῦ ὄρους τῆς Νιτρίας, ὅταν ἠρωτήθη: Πάτερ, τί περισσότερον εὗρες εἰς αὐτὴν τὴν ὁδόν; καὶ ἀπήντησε: τὸ νὰ αἰτιώμεθα καὶ νὰ κατηγορῶμεν τὸν ἑαυτόν μας πάντοτε. Τὴν σοφὴν αὐτὴν ἀπάντησιν, ἐπεβεβαίωσε καὶ αὐτός, ποὺ ἠρώτησε, λέγων: πράγματι ἄλλος δρόμος πρὸς τὴν τελειότητα δὲν ὑπάρχει, παρὰ μόνον αὐτός.

Καθώς, λοιπόν, ἐνεθυμήθημεν τοὺς σοφοὺς αὐτοὺς λόγους, ἐλέγομεν μεταξύ μας μετὰ θαυμασμοῦ: πόσην δύναμιν ἔχουν τὰ λόγια τῶν Ἁγίων! Διότι, πράγματι, ὅσα εἶπαν, προέρχονται ἀπὸ τὴν πεῖραν καὶ τὴν ζωὴν καὶ δι' αὐτὸ ἔχουν δύναμιν, ὅπως εἶπε καὶ ὁ Μέγας Ἀντώνιος, ἐπειδὴ ἐλαλήθησαν ἀπὸ ἀνθρώπους πεπειραμένους καὶ πρακτικούς. Ὅπως λέγει καὶ ἕνας σοφός: Τὰ λόγια σου ἂς τὰ ἐπιβεβαιώνῃ ἡ ζωή σου. Ἐνῷ, λοιπόν, συνεζητούσαμεν αὐτὰ τὰ πράγματα, εἶπεν ὁ ἀγαπητὸς ἐκεῖνος ἀδελφός· καὶ ἐγὼ ἔλαβα πεῖραν τῆς ἀξίας τῶν λόγων αὐτῶν καὶ τῆς ἀναπαύσεως, ποὺ ἐπέρχεται εἰς τὴν ψυχὴν ἀπὸ τὴν ἐνέργειαν αὐτῶν τῶν λόγων.

Κάποτε δηλαδὴ —εἶπεν— εἶχον εἰς αὐτὴν τὴν Λαύραν κάποιον γνήσιον ἀδελφικὸν φίλον, ποὺ ἦτο Διάκονος· αὐτός, λοιπόν, ὁ Διάκονος, δὲν γνωρίζω ἀπὸ ποῦ, μὲ ὑπωπτεύθη ὡς αἴτιον, διὰ μίαν ὑπόθεσιν, ἡ ὁποία τοῦ ἐπροξένησε λύπην. Δι' αὐτὸ ἤρχισε νὰ μοῦ συμπεριφέρεται μὲ ἀπότομον τρόπον. Τότε ἐγώ, καθὼς τὸν εἶδα νὰ μοῦ συμπεριφέρεται μὲ αὐτὸν τὸν ἀπότομον τρόπον, τὸν ἠρώτησα νὰ μάθω τὴν αἰτίαν τῆς ἐναντίον μου δυσαρεσκείας του. Ἔχω δυσαρεστηθῆ —μοῦ ἀπήντησεν— ἀπὸ ἐκεῖνο τὸ πρᾶγμα ποὺ ἔκανες καὶ δι' αὐτὸ εἶμαι λυπημένος ἐναντίον σου. Ἐγώ, ἐπειδὴ δὲν ἤξευρα νὰ ἔχω κάμει κανένα πρᾶγμα, ὅπως ἐκεῖνος ἔλεγεν ὅτι ἔχω πράξει, τὸν ἐβεβαίωσα, ὅτι ἀγνοῶ τελείως τὸ ζήτημα. Ἐκεῖνος ὅμως δὲν ἐπείθετο, ἀλλὰ μοῦ εἶπε: Μὲ συγχωρεῖς, ἡ συνείδησίς μου δὲν μὲ πληροφορεῖ δι' ὅσα μοῦ λέγεις.

Ἀφοῦ, λοιπόν, ἐπέστρεψα εἰς τὸ κελλίον μου, ἐρευνοῦσα λεπτομερέστερον τὸν ἑαυτόν μου, μήπως ἔχω πράξει κάτι, ἀλλὰ δὲν εὕρισκα. Μετὰ ἀπὸ αὐτὸ βλέπω τὸν ἀδελφὸν νὰ κρατῇ τὸ ἅγιον Ποτήριον καὶ νὰ μεταδίδῃ εἰς τοὺς ἀδελφούς. Ἐπ' εὐκαιρίᾳ, λοιπόν, τὸν πληροφορῶ ἐν ὀνόματι αὐτοῦ ποὺ ἐκράτει, ὅτι δὲν γνωρίζω νὰ ἔχω κάμει αὐτὸ ποὺ λέγει· ἀλλὰ οὔτε καὶ μὲ τὸν τρόπον αὐτὸν ἐπείσθη.

Ἀφοῦ, λοιπόν, συνεκεντρώθην πάλιν εἰς τὸν ἑαυτόν μου ἐξήτασα τὸ παρελθόν, ἐνθυμηθεὶς καὶ τοὺς λόγους τῶν Ἁγίων Πατέρων (ποὺ ἀ-

νέφερα προηγουμένως), πιστεύσας δὲ εἰλικρινῶς εἰς τὴν ἀλήθειαν τῶν λόγων αὐτῶν, στρέφω ὀλίγον τὸν λογισμόν μου (ἀπὸ ὅσα μέχρι τώρα ἐσκεπτόμην) καὶ λέγω εἰς τὸν ἑαυτόν μου· Ὁ Διάκονος μὲ ἀγαπᾷ εἰλικρινῶς καὶ παρακινούμενος ἀπὸ τὴν ἀγάπην αὐτὴν ἔλαβε τὸ θάρρος καὶ μοῦ εἶπεν αὐτό, ποὺ εἶχε δι' ἐμὲ ἡ καρδία του, διὰ νὰ συνέλθω καί, τοὐλάχιστον, νὰ μὴ τὸ ἐπαναλάβω εἰς τὸ ἑξῆς· πλήν, ὅμως, ἀθλία ψυχή μου, ἐπειδὴ λέγεις, ὅτι δὲν ἔκανα αὐτὸ τὸ πρᾶγμα, σκέψου τὰ ἄλλα κακά, ποὺ διέπραξες καὶ δὲν ἐνθυμεῖσαι, καὶ κράτησε ὡς δεδομένον ὅτι ὅπως δὲν ἐνθυμεῖσαι ὅσα ἔκαμες χθὲς καὶ προηγουμένως, ἔτσι ἔκαμες καὶ αὐτὸ καὶ τὸ ἐλησμόνησες. Μὲ τὴν σκέψιν, λοιπόν, αὐτήν, κατέπεισα τὴν καρδίαν μου, ὅτι πράγματι διέπραξα αὐτὸ (διὰ τὸ ὁποῖον ἐλυπεῖτο ὁ Διάκονος καὶ δὲν τὸ ἐγνώριζα) καὶ ὅτι τὸ ἐλησμόνησα, ὅπως καὶ προηγούμενα σφάλματά μου. Μετὰ ἤρχισα νὰ εὐχαριστῶ τὸν Θεὸν καὶ τὸν Διάκονον, διότι, ἐξ αἰτίας του, ἀξιώθηκα νὰ ἀναγνωρίσω τὸ σφάλμα μου καὶ νὰ μετανοήσω δι' αὐτό.

Τὴν ἰδίαν λοιπὸν στιγμήν, μετὰ ἀπὸ τὰς σκέψεις αὐτάς, ἐσηκώθηκα καὶ ἐπῆγα εἰς τὸ κελλὶ τοῦ Διακόνου, διὰ νὰ τοῦ βάλω μετάνοιαν καὶ νὰ τοῦ ζητήσω συγχώρησιν, συγχρόνως δὲ καὶ νὰ τὸν εὐχαριστήσω. Μόλις ἔφθασα, ἐστάθην ἔξω ἀπὸ τὴν θύραν καὶ ἐκτύπησα. Ὁ Διάκονος ἤνοιξε καὶ μόλις μὲ εἶδε, μοῦ βάζει ἀμέσως πρῶτος μετάνοιαν, λέγων εἰς ἐμέ: συγχώρησέ με, διότι μὲ ἐνέπαιξαν οἱ δαίμονες καὶ ἔβαλα εἰς τὸν νοῦν μου τὸ ἐπιβαρυντικόν, διὰ σέ, ἐκεῖνο ζήτημα. Διότι, πράγματι, μὲ ἐπληροφόρησεν ὁ Θεός, ὅτι δὲν ἔχεις καμμίαν σχέσιν μὲ αὐτὸ τὸ ζήτημα, οὔτε καὶ γνωρίζεις τίποτε δι' αὐτό. Μόλις, λοιπόν, ἤρχισα καὶ ἐγὼ νὰ ἀποκρίνωμαι καὶ νὰ τὸν διαβεβαιώνω, ἐκεῖνος μὲ ἐσταμάτησε καὶ μοῦ εἶπε· δὲν εἶναι ἀνάγκη νὰ προχωρῇς.


Καὶ ὁ Ἀββᾶς Ζωσιμᾶς κατέληξε· Νά ἡ γνησία ταπείνωσις, πῶς διέθεσε τὴν καρδίαν ἐκείνου, ποὺ πραγματικῶς τὴν ἐπόθει, ὥστε ὄχι μόνον νὰ μὴ σκανδαλισθῇ ἐναντίον τοῦ Διακόνου, ἐπειδή, πρῶτον μέν, ὑπωπτεύθη δι' αὐτὸν πρᾶγμα, ποὺ δὲν ἐγνώριζε καὶ ἐλυπήθη ἀναιτίως ἐναντίον του, ἔπειτα δὲ δὲν ἐδέχθη ἐκ μέρους του τὰς ἐξηγήσεις, ποὺ ἦσαν τοιαῦται, ὥστε καὶ ἐχθρὸν νὰ πείσουν ἀκόμη, πολὺ δὲ περισσότερον φίλον. Ὄχι μόνον λοιπὸν δι' ὅλα αὐτὰ δὲν ἐσκανδαλίσθη, ὅπως εἴπομεν, ἀλλὰ κατελόγισεν εἰς τὸν ἑαυτόν του σφάλμα, ποὺ δὲν διέπραξε, ἐπειδὴ ἐθεώρησε τὸν λόγον τοῦ Διακόνου ἀξιοπιστότερον ἀπὸ τὴν ἰδίαν του καρδίαν. Καὶ ὄχι μόνον αὐτό, ἀλλ' ἐπεχείρησε νὰ βάλῃ μετάνοιαν εἰς τὸν Διάκονον καὶ νὰ τὸν εὐχαριστήσῃ ἀκόμη, ἐπειδὴ ἀπηλλάγη ἀπὸ τὴν εὐθύνην ἁμαρτήματος, τὸ ὁποῖον παντελῶς ἀγνοοῦσε.

Βλέπεις ποίαν δύναμιν ἔχει ἡ ταπείνωσις, δηλαδὴ τὸ νὰ κατηγορῶμεν τὸν ἑαυτόν μας; Καὶ πόσον ὑψηλὰ ἀνυψώνει εἰς προκοπὴν αὐτόν, ποὺ κατέχει τὴν ταπείνωσιν; Καὶ ἡμεῖς, λοιπόν, ἐὰν κατ' αὐτὸν τὸν τρόπον ἐβοηθούσαμεν τὴν καρδίαν μας καὶ τὴν διεμορφώναμεν μὲ τοὺς λογισμοὺς τῆς ταπεινοφροσύνης, δὲν θὰ ἦτο δυνατὸν νὰ εὕρῃ τόπον ὁ ἐχθρὸς

τῆς ψυχῆς μας, διὰ νὰ σπείρῃ εἰς ἡμᾶς τὰ κακὰ σπέρματα. Ἀλλ' ἐπειδὴ μᾶς εὑρίσκει ἐρήμους ἀπὸ κάθε καλὸν λογισμόν, μᾶλλον δὲ καὶ νὰ ἐρεθίζωμεν τοὺς ἑαυτούς μας εἰς τὴν κακίαν, δι' αὐτό, ἀφοῦ λάβῃ ἀπὸ ἡμᾶς τὰς ἀφορμάς, προσθέτει καὶ τὰ ἰδικά του καὶ ἔτσι μᾶς κάνει ἀπὸ ἀνθρώπους δαίμονας.

Τῶν δαιμόνων ἔργον εἶναι νὰ ταράσσουν τοὺς ἀνθρώπους καὶ νὰ ταράσσωνται πάντοτε, πρᾶγμα, βεβαίως, ἀντίθετον ἀπὸ ὅ,τι συμβαίνει εἰς τὴν ἀρετήν. Ἐάν, δηλαδή, ὁ Κύριος ἴδῃ μίαν ψυχήν, ποὺ διψᾷ διὰ νὰ σωθῇ καὶ καλλιεργεῖ ἢ φροντίζει σοβαρῶς νὰ καλλιεργήσῃ ἀγαθοὺς λογισμούς, παρουσιάζει δὲ ἀξιέπαινον ἐπιθυμίαν διὰ τὸ ἀγαθόν, παρέχει, τότε, εἰς τὴν ψυχὴν αὐτὴν τὴν χάριν Του, μὲ τὴν ὁποίαν ἀνυψώνεται εἰς μεγίστην προκοπήν, συμφώνως καὶ μὲ αὐτό, ποὺ λέγει ἡ Ἁγία Γραφὴ «ὅσους θέλουν τὸ ἀγαθόν, τοὺς βοηθεῖ καὶ ὁ Θεὸς διὰ τὸ ἀγαθόν».





ΥΠΟΘΕΣΙΣ ΜΖ΄

Ὅτι οὐ δεῖ τιμὴν ζητεῖν ἢ πρωτείων ἐφίεσθαι· τὰ γὰρ παρὰ τοῖς ἀνθρώποις τίμια, παρὰ τῷ Θεῷ βδελυκτά εἰσιν.

Ὅτι δὲν πρέπει νὰ ζητῶμεν τιμήν, ἢ νὰ ἐπιθυμῶμεν πρωτεῖα· διότι ὅσα θεωροῦν οἱ ἄνθρωποι ἀξιόλογα, θεωροῦνται ἀπὸ τὸν Θεὸν βδελυκτά.



Α΄. Τοῦ Ἁγίου Ἐφραὶμ



ΔΕΛΦΕ, τί πλανᾶσαι ἐνεργούμενος ὑπὸ τοῦ διαβόλου ὑπερβαίνειν βαθμούς, ἐν οἷς οὐκ ὠφεληθήσῃ, σεαυτῷ τιμὴν περιτιθείς; Ἄκουε τοῦ Ἀποστόλου λέγοντος· «οὐχ ὁ ἑαυτὸν συνιστάντων ἐστὶ δόκιμος, ἀλλ᾽ ὃν ὁ Κύριος συνίστησι». Λέγει δὲ ὁ Κύριος· πῶς δύνασθε πιστεῦσαι δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ Θεοῦ οὐ ζητοῦντες; Ἐλθὲ οὖν εἰς ἑαυτόν, ἀγαπητέ, καὶ ἀναλόγισαι δι᾽ ἣν αἰτίαν ἀπετάξω τῷ ματαίῳ βίῳ καὶ τῷ διαβόλῳ, καὶ τῇ ὑπερηφανίᾳ αὐτοῦ, καὶ παῦσαι τοῦ ἔτι φρονεῖν τὰ κοσμικά. Οὐκ οἶδας ὅτι, ἐὰν ἐξουθενήσῃς τὸν πλησίον σου, ἁμαρτίαν ἐργάζῃ φιλαυτίας καὶ κενοδοξίας; Λόγισαι δὲ ὅτι ἤδη προετιμήθης τοῦ ἀδελφοῦ σου, καὶ πρῶτος αὐτοῦ ἔστης διὰ τῆς φιλονεικίας καὶ φιλαυτίας, καὶ διὰ τὸ μὴ βούλεσθαι ταπεινωθῆναι τῷ ἀδελφῷ σου· ἆρά γε ἡ κενοδοξία αὕτη παραστήσει σε τῷ Θεῷ καὶ προτιμότερόν σε κἀκεῖ ποιήσει; οὐδαμῶς· αὐτὸς γὰρ εἶπεν· «ὁ θέλων ἐν ὑμῖν μέγας εἶναι, ἔστω ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν δοῦλος».

Ὅρα οὖν, ἀδελφέ, μήποτε θέλων πρῶτος τοῦ ἀδελφοῦ σου εἶναι, ἐκεῖ ἐν τῷ μέλλοντι αἰῶνι ἐλάχιστος εὑρεθῇς καὶ ἀκούσῃς ὃ ἤκουσεν ὁ πλούσιος ἐκεῖνος ὁ φιλόδοξος, τηγανιζόμενος ἐν τῷ πυρὶ τῷ ἀσβέστῳ· «μνήσθητι ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου»· γέγραπται γάρ· «τὰ ὑψηλὰ ἐν ἀνθρώποις, βδελυκτὰ παρὰ Θεῷ εἰσι». Σὺ οὖν, ἀδελφέ, λόγισαι ὅτι ἀπέθανες τῷ κόσμῳ καὶ ἡ ζωή σου κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ· «ὅταν οὖν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς φανερωθήσεσθε ἐν δόξῃ»· νῦν δὲ μὴ ἀγάπα τὴν τῶν ἀνθρώπων δόξαν· οὐ γὰρ διαμένει σοι εἰς τὸν αἰῶνα, κατὰ τὸν λέγοντα· «πᾶσα σάρξ, χόρτος· καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου» καὶ τὰ ἑξῆς. Ἀπόρριψον οὖν, ἀγαπητέ, τὸν ζυγὸν

τοῦ ἐχθροῦ καὶ τὴν ὑπερηφανίαν αὐτοῦ, καὶ ὑπόταξον σαυτοῦ τὸν αὐχένα ὑπὸ τὸν γλυκὺν ζυγὸν τοῦ δεσπότου· αὐτὸς γὰρ εἶπεν, ὅτι «πᾶς ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, ὁ δὲ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται»· καὶ ἑτέρωθι λέγει· «Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν».

Φοβηθῶμεν οὖν, ἀγαπητέ, μήποτε καὶ περὶ ἡμῶν εἴπῃ, «ὅτι ἠγάπησαν τὴν δόξαν τῶν ἀνθρώπων, ἤπερ τὴν δόξαν τοῦ Θεοῦ», καὶ ταπεινώσωμεν ἑαυτοὺς τοῖς πᾶσι διὰ τὸν Κύριον, ἵνα καὶ τῆς ἐνταῦθα καὶ τῆς ἐκεῖ ἀναπαύσεως τύχωμεν, ὅτι αὐτὸς εἴρηκε· «μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν». Γίνωσκε δέ, ἀγαπητέ, καὶ τοῦτο, ὅτι ἐν τῷ κοσμικῷ βίῳ ὁ εὔλαλος ἐπαινεῖται, ἐν δὲ τῷ μοναδικῷ ὁ ἀγαπῶν τὴν ἡσυχίαν καὶ τὴν σιωπὴν μέγας ἐστὶ παρὰ τῷ Θεῷ. Πάλιν ἐν μὲν τοῖς κοσμικοῖς ὁ φιλοκαλῶν τὸ σῶμα αὐτοῦ καὶ ἐξαλλάσσων ἱματίοις δόξαν ἔχει ἀνθρωπίνην, ἐν δὲ τῷ ἐπαγγέλματι τούτῳ ὁ τούτων καταφρονῶν, προσέχων δὲ μόνον τῇ ἀναγκαίᾳ χρείᾳ τοῦ σώματος κατὰ τὸν εἰπόντα: «ἔχοντες διατροφὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα»· ὁ τοιοῦτος δόξαν περιποιεῖται ἑαυτῷ ἐν τοῖς οὐρανοῖς.

Πάλιν ἐν ἐκείνῳ τῷ βίῳ ὁ μεγαλαυχῶν ἐπὶ τῇ τοῦ σώματος ἰσχύϊ ἢ πλούτῳ, μέγας εἶναι δοκεῖ παρὰ τοῖς ἀνθρώποις· ἐν δὲ τῇ παρ' ἡμῖν πολιτείᾳ ὁ ἀγαπῶν τὴν ταπείνωσιν καὶ τὰ εὐτελῆ αἱρούμενος, ἐν ἀληθείᾳ ὑψηλός ἐστι καὶ ἐκλεκτός, καθὼς γέγραπται· «τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τὰ ἰσχυρά· καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ, ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ». Καὶ ἡμεῖς οὖν ἀγαπήσωμεν τὰ ἀρεστὰ τοῦ Κυρίου ἡμῶν, ὡς δοῦλοι εὔχρηστοι καὶ εὐγνώμονες, καὶ μηκέτι ἀνθρώποις ἀρέσαι σπουδάζωμεν· «εἰ γὰρ ἔτι, φησίν, ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην· ὁ γὰρ κόσμος πᾶς ἐν τῷ πονηρῷ κεῖται», ὡς ἀλλαχοῦ λέγει.

Ἑρμηνεία

ΑΔΕΛΦΕ, διατί πλανᾶσαι παρασυρόμενος ἀπὸ τὸν διάβολον νὰ κατακτᾷς βαθμούς, διὰ τῶν ὁποίων δὲν θὰ ὠφεληθῇς προξενῶν εἰς τὸν ἑαυτόν σου ἐφήμερον τιμήν; Ἄκουε τί λέγει ὁ Ἀπόστολος· «Δὲν εἶναι δόκιμος αὐτός, ποὺ παρουσιάζει τὸν ἑαυτόν του ὡς ἱκανόν, ἀλλ' ἐκεῖνος, ποὺ ὁ Κύριος συνιστᾷ ὡς τοιοῦτον» (Β´ Κορ. ι´, 18). Λέγει δὲ καὶ ὁ Κύριος· πῶς εἶναι δυνατὸν νὰ πιστεύσετε ἐπιδιώκοντες νὰ λάβετε τὴν δόξαν τῶν ἀνθρώπων καὶ ὄχι τὴν δόξαν τοῦ Θεοῦ; (Ἰωάν. ε´, 44). Προσπάθησε, ἀγαπητέ, νὰ συνέλθῃς καὶ σκέψου διὰ ποίαν αἰτίαν ἠρνήθης τὸν μάταιον βίον καὶ τὸν διάβολον καὶ τὴν ὑπερηφάνειάν του καὶ παῦσε νὰ φρονῇς πλέον τὰ κοσμικά.

Δὲν γνωρίζεις, ὅτι ἐὰν ταπεινώσῃς τὸν πλησίον σου, διαπράττεις τὴν ἁμαρτίαν τῆς φιλαυτίας καὶ τῆς κενοδοξίας; Σκέψου δέ, ὅτι ἐπροτιμήθης ἀπὸ τὸν ἀδελφόν σου καὶ ἔγινες πρῶτος του, ἐξ αἰτίας τῆς φιλονεικίας καὶ τοῦ ἐγωϊσμοῦ καὶ διότι δὲν ἠθέλησες νὰ ταπεινωθῇς ἐνώπιον τοῦ ἀδελφοῦ σου· ἄραγε αὐτὴ ἡ κενοδοξία θὰ σὲ παρουσιάσῃ εἰς τὸν Θεὸν καὶ θὰ σὲ κάμῃ καλύτερον καὶ ἐκεῖ; Καθόλου, διότι ὁ ἴδιος ὁ Θεὸς

εἶπεν· «ἐκεῖνος ποὺ θέλει νὰ εἶναι μέγας ἀνάμεσά σας, ἂς εἶναι εἰς ὅλους σας ὑπηρέτης· καὶ ἐκεῖνος, ποὺ θέλει νὰ εἶναι πρῶτος ἀνάμεσά σας, ἂς γίνῃ δοῦλος σας» (Ματθ. κ΄, 25 - 27).

Πρόσεχε, λοιπόν, ἀδελφέ, μήπως μὲ τὸ νὰ θέλῃς νὰ εἶσαι πρῶτος ἀπὸ τὸν ἀδελφόν σου, ἐκεῖ, εἰς τὸν μέλλοντα αἰῶνα, εὑρεθῇς τελευταῖος καὶ ἀκούσῃς αὐτό, ποὺ ἤκουσεν ἐκεῖνος ὁ φιλόδοξος πλούσιος, ὅταν ἐψήνετο εἰς τὸ ἄσβεστον πῦρ· «ἐνθυμήσου ὅτι σὺ ἀπήλαυσες τὰ ἀγαθά σου, κατὰ τὴν ἐπίγειον ζωήν σου» (Λουκ. ιστ΄, 25). Διότι λέγει ἡ Ἁγία Γραφή· «ὅσα οἱ ἄνθρωποι θεωροῦν ὑψηλά, εἶναι, διὰ τὸν Θεόν, βδελυκτά» (Αὐτόθι 15). Σύ, λοιπόν, ἀδελφέ μου, σκέψου, ὅτι ἀπέθανες διὰ τὸν κόσμον καὶ ἡ ζωή σου ἔχει κρυβῆ, μαζὶ μὲ τὸν Χριστόν, εἰς τὸν Θεόν· «Ὅταν λοιπὸν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωή μας, τότε καὶ σεῖς θὰ φανερωθῆτε μετὰ δόξης» (Κολασ. γ΄, 4) .Τώρα, ὅμως, νὰ μὴ ἀγαπᾷς τὴν δόξαν τῶν ἀνθρώπων· διότι αὐτὴ ἡ ἐπίγειος δόξα σου δὲν διατηρεῖται παντοτεινά, σύμφωνα μὲ τοὺς λόγους τοῦ προφήτου· «κάθε ἄνθρωπος εἶναι ὅπως ὁ χόρτος· καὶ κάθε ἀνθρώπινη δόξα, ὅπως τὸ ἄνθος τοῦ χόρτου» (Ψαλμ. ρβ΄, 15). Πέταξε λοιπόν, ἀγαπητέ, ἀπὸ ἐπάνω σου τὸν ζυγὸν τοῦ ἐχθροῦ καὶ τὴν ὑπερηφάνειάν του καὶ ὑπόταξε τὸν τράχηλόν σου κάτω ἀπὸ τὸν γλυκὺν ζυγὸν τοῦ Δεσπότου Χριστοῦ· διότι αὐτὸς εἶπεν ὅτι, «ὅποιος ταπεινώνεται θὰ ὑψωθῇ καὶ ἐκεῖνος, ποὺ ὑψώνεται θὰ ταπεινωθῇ» (Λουκ. ιδ΄, 11). Καὶ εἰς ἄλλο χωρίον πάλιν λέγει· «ὁ Κύριος ἐναντιώνεται πρὸς τοὺς ὑπερηφάνους, ἐνῷ εἰς τοὺς ταπεινοὺς δίδει τὴν χάριν Του» (Α΄ Πετρ. ε΄, 5).

Ἂς φοβηθῶμεν, λοιπόν, ἀγαπητέ, μήπως εἴπῃ καὶ δι᾽ ἡμᾶς ὁ Δικαιοκρίτης Θεὸς «ὅτι ἠγάπησαν τὴν δόξαν τῶν ἀνθρώπων, παρὰ τὴν δόξαν τοῦ Θεοῦ» (Ἰωάν. ιβ΄, 43) καὶ ἂς ταπεινωθῶμεν ἐνώπιον ὅλων, χάριν τοῦ Κυρίου, διὰ νὰ ἐπιτύχωμεν καὶ τὴν ἐδῶ καὶ τὴν ἐκεῖ ἀνάπαυσιν, διότι ὁ ἴδιος εἶπεν· «μάθετε ἀπὸ ἐμὲ ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς εἰς τὴν καρδίαν καὶ θὰ εὕρετε ἀνάπαυσιν εἰς τὰς ψυχάς σας» (Ματθ. ια΄, 29). Γνώριζε δέ, ἀδελφέ μου καὶ τοῦτο, ὅτι εἰς τὸν κοσμικὸν βίον ἐπαινεῖται ἐκεῖνος, ποὺ ὁμιλεῖ ὡραῖα, εἰς τὸν μοναχικὸν ὅμως βίον ἀξιόλογος ἐνώπιον τοῦ Θεοῦ εἶναι ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν ἡσυχίαν καὶ τὴν σιωπήν. Μεταξύ, πάλιν, τῶν κοσμικῶν τὸν ἀνθρώπινον ἔπαινον ἔχει ἐκεῖνος, ποὺ στολίζει τὸ σῶμα του καὶ ἀλλάσσει συχνὰ τὰ ἱμάτιά του, ἐνῷ εἰς αὐτὸν ποὺ φέρει τὸ μοναχικὸν σχῆμα (θεωρεῖται ἀξιόλογος) ἐκεῖνος, ποὺ καταφρονεῖ τὰ ἐνδύματα καὶ προσέχει μόνον τὴν ἀπολύτως ἀπαραίτητον ἀνάγκην τοῦ σώματος, συμφώνως μὲ αὐτά, ποὺ εἶπεν ὁ Ἀπόστολος Παῦλος· «ἔχοντες διατροφὴν καὶ σκεπάσματα, ἂς ἀρκεσθῶμεν εἰς αὐτὰ» (Α΄ Τιμ. στ΄, 8). Ὁ σκεπτόμενος καὶ ἐνεργῶν κατ᾽ αὐτὸν τὸν τρόπον ἐξασφαλίζει διὰ τὸν ἑαυτόν του δόξαν εἰς τοὺς οὐρανούς.

Ἐκεῖνος, πάλιν, ποὺ εἰς τὸν κοσμικὸν βίον καμαρώνει διὰ τὴν σωματικήν του δύναμιν ἢ τὸν πλοῦτον του, θεωρεῖται ἀπὸ τοὺς ἀνθρώπους, ὅτι εἶναι σπουδαῖος καὶ μεγάλος· ἐνῷ εἰς τὴν ἰδικήν μας, τὴν μοναχικὴν

πολιτειαν, ἐκλεκτὸς εἶναι ἐκεῖνος ποὺ ἀγαπᾷ τὴν ταπείνωσιν καὶ προτιμᾷ τὰ εὐτελῆ, καθὼς λέγει καὶ ἡ Ἁγία Γραφή· «τὰ καταφρονημένα τοῦ κόσμου ἐδιάλεξεν ὁ Θεός, διὰ νὰ κατεντροπιάσῃ τὰ ἰσχυρά· καὶ τὰ ταπεινὰ τοῦ κόσμου καὶ τὰ τιποτένια ἐδιάλεξεν ὁ Θεὸς καὶ τὰ ἀσήμαντα, διὰ νὰ καταργήσῃ τὰ σημαντικὰ καὶ ἀξιόλογα, ὥστε νὰ μὴ ἠμπορῇ κανεὶς ἄνθρωπος νὰ καυχηθῇ ἐνώπιον τοῦ Θεοῦ» (Α΄ Κορ. α΄, 27 - 29).

Καὶ ἡμεῖς λοιπὸν ἂς ἀγαπήσωμεν ὅσα εἶναι ἀρεστὰ εἰς τὸν Κύριόν μας, ὡς καλοὶ καὶ εὐγνώμονες δοῦλοι καὶ ἂς μὴ φροντίζωμεν νὰ ἀρέσωμεν πλέον εἰς τοὺς ἀνθρώπους· Διότι, ὅπως λέγει καὶ ὁ Ἀπόστολος Παῦλος, «ἐὰν ἀκόμη ἤρεσα εἰς τοὺς ἀνθρώπους, δὲν θὰ ἤμουν δοῦλος Χριστοῦ· διότι ὅλος ὁ κόσμος εὑρίσκεται εἰς τὸ πονηρόν» (Γαλατ. α΄, 10 καὶ Α΄ Ἰωάν. ε΄, 19), ὅπως λέγει ἀλλοῦ.





ΥΠΟΘΕΣΙΣ ΜΗ'

Ὅτι τὸ ταπεινολογεῖν, ἀκαίρως ἢ ἀμέτρως γινόμενον, οὐκ ὠφέλιμον ἀλλὰ καὶ βλαβερόν ἐστι· καὶ τί δεῖ ποιεῖν πρὸς τοὺς ἐπαινοῦντας, καὶ ὅτι τὸν προσέχοντα οὐδὲν οἱ ἔπαινοι βλάπτουσιν.

Ὅτι τὸ νὰ φαινώμεθα ταπεινοί, ὅταν τοῦτο γίνεται ἄκαιρα ἢ ὑπερβολικά, δὲν εἶναι ὠφέλιμον ἀλλὰ βλαβερόν· καὶ τὶ πρέπει νὰ πράττωμεν πρὸς τοὺς ἐπαινοῦντας καὶ ὅτι ἐκεῖνον ποὺ προσέχει οἱ ἔπαινοι εἰς τίποτε δὲν τὸν βλάπτουν.



Α'. Ἐν τῷ Γεροντικῷ



ΔΕΛΦΟΣ παρέβαλε τῷ Ἀββᾷ Σεραπίωνι· προετρέπετο δὲ αὐτὸν ὁ γέρων εὐχὴν ποιῆσαι κατὰ τὸ σύνηθες· ὁ δὲ οὐκ ἐπείθετο, ἁμαρτωλὸν ἑαυτὸν ἀποκαλῶν καὶ αὐτοῦ τοῦ μοναχικοῦ σχήματος ἀνάξιον· ἠθέλησε δὲ ὁ γέρων καὶ τοὺς πόδας αὐτοῦ νίψαι, καὶ οὐκ ἠνέσχετο ὁ ἀδελφὸς τοῖς αὐτοῖς λόγοις χρώμενος· εἶτα, παραθεὶς τράπεζαν, ἐποίησεν αὐτὸν καθεσθῆναι· καθεσθεὶς δὲ καὶ ὁ γέρων, ἤρξατο συνεσθίειν αὐτῷ· ἐν τῷ μεταξὺ δὲ ἐνουθέτει αὐτὸν ὁ Γέρων λέγων· τέκνον, εἰ θέλεις ὠφεληθῆναι, καρτέρησον ἐν τῷ κελλίῳ σου, καὶ πρόσεχε σεαυτῷ καὶ τῷ ἐργοχείρῳ σου· οὐ γὰρ φέρει σοι τοσαύτην ὠφέλειαν τὸ προέρχεσθαι καὶ παραβάλλειν, ὅσην τὸ καθέζεσθαι.

Ὁ δέ, τούτων λεγομένων ὑπὸ τοῦ γέροντος ἀκούων, ἐπικράνθη καὶ ἠλλοιώθη τὴν μορφὴν ὥς τε μὴ δυνηθῆναι λαθεῖν τὸν γέροντα. Εἶπεν οὖν αὐτῷ ὁ Ἀββᾶς Σεραπίων· μέχρι τοῦ νῦν ἔλεγες, ὅτι ἁμαρτωλός εἰμι καὶ κατηγόρεις σεαυτοῦ, καὶ ἑαυτὸν ἀνάξιον εἶναι τοῦ ζῆν ἔκρινες· καὶ ἐπειδὴ μετὰ ἀγάπης ὑπέμνησά σε, τοσοῦτον ἐθηριώθης; Ἐὰν οὖν θέλῃς ταπεινὸς εἶναι, τὰ παρ' ἄλλων ἐπαγόμενά σοι μάθε γενναίως φέρειν, καὶ μὴ ῥήματα ἀργὰ κάτεχε σεαυτῷ. Ταῦτα ἀκούσας ὁ ἀδελφὸς μετενόησε τῷ γέροντι καὶ λίαν ὠφεληθεὶς ἀνεχώρησεν.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἐπεσκέφθη τὸν Ἀββᾶν Σεραπίωνα· τὸν προέτρεπε δὲ ὁ Γέρων νὰ κάμῃ εὐχήν, κατὰ τὴν συνήθειαν· ἐκεῖνος ὅμως

δὲν ἐπείθετο ὀνομάζων τὸν ἑαυτόν του ἁμαρτωλὸν καὶ ἀνάξιον τοῦ μοναχικοῦ σχήματος. Ὁ Γέρων ἠθέλησε νὰ τοῦ πλύνῃ καὶ τοὺς πόδας, ὁ ἀδελφός, ὅμως, δὲν τὸ παρεδέχετο προβάλλων τοὺς ἰδίους λόγους (ὅτι δηλαδὴ εἶναι ἁμαρτωλὸς καὶ ἀνάξιος τοῦ μοναχικοῦ σχήματος). Κατόπιν ὁ Γέρων παρέθεσε τράπεζαν καὶ τοῦ ἐπρότεινε νὰ καθίσουν νὰ φάγουν. Πράγματι ἐκάθησε μὲ τὸν Γέροντα καὶ ἤρχισε νὰ συντρώγῃ μαζί του. Κατὰ τὸ διάστημα τοῦ φαγητοῦ τὸν ἐνουθέτει ὁ Γέρων καὶ τοῦ ἔλεγε:

— Παιδί μου, ἐὰν θέλῃς νὰ ὠφεληθῇς, νὰ καθήσῃς καρτερικὰ εἰς τὸ κελλί σου καὶ πρόσεχε τὸν ἑαυτόν σου καὶ τὸ ἐργόχειρόν σου· διότι δὲν σοῦ προξενεῖ τόσην ὠφέλειαν τὸ νὰ πηγαίνῃς καὶ νὰ ἐπικέπτεσαι τοὺς ἄλλους, ὅσην τὸ νὰ κάθεσαι εἰς τὸ κελλίον σου.

Ὁ ἐπισκέπτης ἀδελφός, καθὼς ἤκουε τὸν Γέροντα νὰ λέγῃ αὐτά, ἐπικράθηκε καὶ τὸ πρόσωπόν του ἤλλαξεν ἔκφρασιν, ὥστε νὰ μὴ ἠμπορέσῃ νὰ διαφύγῃ τὴν προσοχὴν τοῦ Γέροντος. Τοῦ εἶπε, λοιπόν, ὁ Ἀββᾶς Σεραπίων:

— Μέχρι τώρα ἔλεγες, ὅτι εἶμαι ἁμαρτωλὸς καὶ κατηγοροῦσες τὸν ἑαυτόν σου καὶ ἔκρινες τὸν ἑαυτόν σου, ὅτι εἶναι ἀνάξιος καὶ νὰ ζῇ· καὶ ἐπειδὴ σὲ συνεβούλευσα μὲ ἀγάπην, ἐθύμωσες τόσον πολύ, ὅπως τὸ θηρίον; Ἐὰν λοιπὸν θέλῃς νὰ εἶσαι ταπεινός, νὰ μάθῃς νὰ δέχεσαι μὲ γενναιότητα τὰ ὅσα σοῦ λέγουν οἱ ἄλλοι καὶ νὰ μὴ λέγῃς μονάχα λόγια παχειά, χωρὶς περιεχόμενον.

Ἀφοῦ ἤκουσεν αὐτὰ ὁ ἀδελφὸς ἔβαλε μετάνοιαν εἰς τὸν Γέροντα καὶ ἀνεχώρησε πάρα πολὺ ὠφελημένος.

Β'. Ἐκ τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· τί ποιήσει ὁ θέλων ἡσυχάζειν διὰ τὸ ὄνομα τὸ γινόμενον αὐτῷ; μήποτε τὸ ὑπὲρ αὐτὸν βλάψῃ αὐτόν, καθὼς εἶπον οἱ Πατέρες, ὅτι οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ οὗ τὸ ὄνομα μεῖζόν ἐστι τοῦ ἔργου αὐτοῦ; Καὶ ἀπεκρίθη ὁ γέρων· τὸ ἔχειν τινὰ ὄνομα ἢ δόξαν μείζονα τῆς ἐργασίας αὐτοῦ, οὐδὲν βλάπτει τὸν μὴ συνηδόμενον ἢ συγκατατιθέμενον τοῖς λεγομένοις, ὥς περ καὶ ἐπὶ τοῦ συκοφαντουμένου εἰς φόνον, μηδὲν δὲ τοιοῦτον πεπραχότος· ὀφείλει δὲ ὁ τοιοῦτος λογίζεσθαι, ὅτι ἔχουσι περὶ ἐμοῦ οἱ ἄνθρωποι ὑπόληψιν καὶ οὐκ οἴδασι τίς εἰμι.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησε, κάποτε, ἕνα Γέροντα:

— Τί πρέπει νὰ κάνῃ ἐκεῖνος, ποὺ θέλει νὰ ἡσυχάζῃ ἀπὸ τὴν φήμην τοῦ ὀνόματός του; Μὴ τυχὸν ὅσα λέγονται ὑπὲρ αὐτοῦ τὸν βλάψουν, ὅπως εἶπον καὶ οἱ Πατέρες· ἀλλοίμονον εἰς ἐκεῖνον τὸν ἄνθρωπον, ποὺ τὸ ὄνομά του εἶναι μεγαλύτερον ἀπὸ τὰ ἔργα του;

Ὁ Γέρων τοῦ ἀπήντησε:

— Τὸ νὰ ἔχῃ κάποιος ὄνομα ἢ δόξαν μεγαλυτέραν ἀπὸ τὴν ἐρ-

γασίαν του εἰς τίποτε δὲν τὸν βλάπτει, ἐφ' ὅσον δὲν αἰσθάνεται εὐχαρίστησιν καὶ ἡδονὴν ἀπὸ τὰ ἐπαινετικὰ λόγια ἢ δὲν συμφωνεῖ μὲ ὅσα περὶ αὐτοῦ λέγονται, ὅπως ἀκριβῶς καὶ ἐκεῖνος ποὺ συκοφαντεῖται διὰ φόνον (δὲν λογίζεται ἔνοχος ἐνώπιον τοῦ Θεοῦ), ἐφ' ὅσον δὲν ἔχει διαπράξει τοιοῦτον φόνον.

Ὁ ἄνθρωπος, ποὺ ἐπαινεῖται ὀφείλει νὰ σκέπτεται· οἱ ἄνθρωποι μοῦ ἔχουν ἐκτίμησιν καὶ δὲν γνωρίζουν ποῖος εἶμαι.





ΥΠΟΘΕΣΙΣ ΜΘ΄

Περὶ τοῦ πῶς δεῖ καὶ ποίοις καὶ μέχρι τίνος κεχρῆσθαι τοῖς πρὸς τὴν σκέπην τοῦ σώματος· καὶ πῶς οἱ Πατέρες ἠγάπων κἂν τοῖς ἐνδύμασι τὴν εὐτέλειαν, ἣν ἐν πᾶσι τὸν πιστὸν δεῖ ἀσπάζεσθαι.

Περὶ τοῦ πῶς πρέπει καὶ ποῖα καὶ μέχρι ποίου σημείου νὰ χρησιμοποιῶμεν τὰ ἐνδύματα διὰ τὴν κάλυψιν τοῦ σώματος· καὶ πῶς οἱ Πατέρες ἠγάπων, τὴν εὐτέλειαν καὶ εἰς αὐτὰ τὰ ἐνδύματα· αὐτὴν πρέπει νὰ προτιμᾷ ὁ πιστὸς εἰς πᾶσαν περίστασιν.



Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος



ΙΣ ἂν τοῦ θαυμαστοῦ Ἰωάννου τοῦ Πατριάρχου τὸ λιτὸν τῆς διαίτης καὶ τὸ περὶ τὴν ἐσθῆτα καὶ στρωμνὴν εὐτελές τε καὶ μέτριον ἐξείποι καλῶς; μετὰ γὰρ τῶν ἄλλων, οὐδὲ ταύτης ἠμέλει τῆς ἀρετῆς, ὥς τε μηδὲν πλέον ἐν τούτοις τῶν πολλῶν ἔχειν καὶ εὐκαταφρονήτων. Ἀμέλει τῶν τις οἰκητόρων τῆς πόλεως, συνηθέστερος αὐτῷ τυγχάνων, ὅπως εἶχε μαθών, σισύραν ἓξ καὶ τριάκοντα νομίσμασι πριάμενος στέλλει τῷ μακαρίῳ, πλεῖστα μὴ ἀπώσασθαι δεηθείς, ἀλλ' ἑαυτὸν ταύτῃ περιστέλλειν.

Τοῦτο οὖν καὶ διὰ τὸ τοῦ ἀνδρὸς εὔπιστον καὶ τὸ τῆς ἀξιώσεως ἐπιμελὲς καὶ διάπυρον ποιῆσαι θελήσας, οὐ διέλιπεν ὅμως παρ' ὅλην τὴν νύκτα ταλανίζων ἑαυτόν, ὡς οἱ παρεδρεύοντες εἰς ἔσχατον ἐξηγήσαντο, καὶ τίς ἂν οὐ καταγνοίη μου τοῦ ταπεινοῦ, λέγων, Ἰωάννου, εἰ ἐμοὶ μὲν ἔνεστι τριάκοντα καὶ ἓξ νομίσμασιν ἐπιβλήματι σκέπεσθαι, τοῖς δὲ κατὰ Χριστὸν φεῦ! ἀδελφοῖς τοῖς ἐμοῖς, τοὺς ὑπαίθρους τῷ κρύει πηγνυμένους διαταλαιπωρεῖν καὶ μηδὲ ῥάκος βραχύτατόν τι καὶ εὔωνον εὐπορεῖν, ὧν οἱ πλείους καὶ κενοὶ τὴν γαστέρα καὶ ἄδειπνοι κατεκλίθησαν, καὶ αὐτῶν οἴμοι! τῶν ἀποπιπτουσῶν τῆς ἐμῆς τραπέζης ψιχίων ἐφιέμενοι, κατὰ τὸν πένητα Λάζαρον;

Αἴ, αἴ, πόσοι νῦν ξένοι καὶ παρεπίδημοι πρὸς ταύτην ἀφίκοντο τὴν πόλιν· οἳ μὴ ἔχοντες ὅποι τὴν κεφαλὴν κλίνοιεν, πεινῶντες, διψῶντες, κατὰ μέσην κεῖνται τὴν ἀγοράν, ἐγὼ δὲ παντοίοις ἐνευπαθῶν ἀγαθοῖς πρὸς τῇ ἄλλῃ τρυφῇ, καὶ τῷδε τῷ πολυτελεῖ ἐπιβλήματι νῦν περιστέλλομαι. Τί τοίνυν κατ᾿ ἐκείνην ἀκούσεσθαι προσδοκῶ τὴν ἡμέραν; τί ἕτερον ἢ ὅτι ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, οἱ δὲ πένητες τὰ κακά; διὰ τοῦτο νῦν αὐτοὶ μὲν παρακαλοῦνται, σὺ δὲ ἀξίως ὀδυνᾶσαι. Ἀλλ᾿ εὐλογητὸς Κύριος, οὐκέτι τούτῳ ὁ ταπεινὸς σκεπασθήσεται Ἰωάννης, ἀλλὰ τὴν αὐτοῦ τιμὴν πένητες ἀμφιάσονται.

Ἅμα γοῦν φωτί, τὴν σισύραν εἰς τὴν ἀγορὰν πέμπει διαπραθησομένην, ἣν ὁ προσενεγκὼν θεασάμενος, αὖθις πριάμενος, αὖθις καὶ προσάγει· ὁ δὲ δέχεται μέν, πρὸς δὲ τὴν ἀγορὰν καὶ αὖθις ἐκπέμπει. Ὡς δὲ δὶς καὶ πολλάκις τοῦτο ἐγένετο, ὁ μέγας δηλοῖ τῷ προσάγοντι, ἴδωμεν, εἰπών, τίς πρότερον ἀπαγορεύσει τῶν δύο, ἐγὼ μὲν αὐτὴν πιπράσκων, σὺ δὲ ὠνούμενος καὶ προσφέρων; καὶ γὰρ ἦν ὁ ἀνὴρ τῶν λίαν εὐπόρων, οὗ χάριν ἐπίτηδες ὁ μέγας καὶ παρακερδαίνειν αὐτοῦ ἠβούλετο, ὥς τε τὰ ἐκείνου πρὸς τοὺς πένητας παραρρεῖν.

Ἑρμηνεία

ΠΟΙΟΣ θὰ ἠμποροῦσε νὰ διηγηθῇ καλῶς τὴν λιτὴν δίαιταν, τὴν πτωχείαν τῆς ἐνδυμασίας καὶ τῆς κλίνης τὴν πενιχρότητα τοῦ θαυμαστοῦ Ἰωάννου τοῦ Πατριάρχου; Διότι μαζὶ μὲ τὰς ἄλλας, οὔτε αὐτὴν τὴν ἀρετὴν παρημέλει, ὥστε τίποτε περισσότερον εἰς αὐτὰ νὰ μὴ ἔχῃ ἀπὸ ὅσα οἱ πολλοὶ καὶ ἀσήμαντοι ἄνθρωποι. Κάποτε κάποιος ἀπὸ τοὺς κατοίκους τῆς πόλεως, γνωστός του, ὅταν ἔμαθεν εἰς ποίαν κατάστασιν εὑρίσκετο, ἠγόρασε μίαν γοῦναν ἀξίας τριάκοντα ἓξ νομισμάτων καὶ τὴν στέλλει εἰς τὸν μακάριον Πατριάρχην, ἀφοῦ τὸν παρεκάλεσε θερμῶς νὰ μὴ ἀρνηθῇ τὸ δῶρον αὐτό, ἀλλὰ νὰ ἐνδύεται μὲ αὐτήν.

Αὐτήν, λοιπόν, τὴν χάριν, ὁ ἅγιος Πατριάρχης, ἐδέχθη νὰ πράξῃ καὶ διὰ τὸν καλόπιστον ἄνθρωπον, ποὺ τὸν παρεκάλεσε, ἀλλὰ καὶ διὰ τὴν θερμὴν καὶ ἐπίμονον παράκλησίν του· ὅπως ὅμως ἀντελήφθησαν (καὶ ἀργότερον διηγήθησαν) οἱ εὑρισκόμενοι πλησίον του, δὲν ἔπαυεν ὅλην τὴν νύκτα νὰ ταλανίζῃ τὸν ἑαυτόν του. Καὶ ποῖος δὲν θὰ κατηγορήσῃ —ἔλεγεν— ἐμέ, τὸν ταπεινὸν Ἰωάννην, ὅταν ἐγὼ σκεπάζωμαι μὲ σκέπασμα ἀξίας τριάκοντα ἓξ νομισμάτων, ἐνῷ, ἀλλοίμονον, οἱ ἐν Χριστῷ ἀδελφοί μου παγώνουν ἀπὸ τὸ ψῦχος καὶ ταλαιπωροῦνται εἰς τὸ ὕπαιθρον; Καὶ οὔτε ἕνα μικρὸν καὶ εὐθηνὸν κουρέλι δὲν ἠμποροῦν νὰ ἔχουν; Ὅταν οἱ περισσότεροι ἀπὸ αὐτοὺς ἐκοιμήθησαν, ἀλλοίμονον, νηστικοί, μὲ κενὴν τὴν κοιλίαν των, ἐπιθυμοῦντες νὰ χορτάσουν ἀπὸ τὰ ψίχουλα, ποὺ πίπτουν ἀπὸ τὸ τραπέζι μου, ὅπως ὁ πτωχὸς Λάζαρος; (Λουκ. ιστ′, 21).

Πώ! Πώ! Πόσοι τώρα ξένοι καὶ παρεπίδημοι ἔφθασαν εἰς αὐτὴν τὴν πόλιν, οἱ ὁποῖοι μὴ ἔχοντες ποῦ νὰ γείρουν τὸ κεφάλι των, πεινασμένοι καὶ διψασμένοι, εἶναι ἐξαπλωμένοι εἰς τὸ μέσον τῆς ἀγορᾶς, ἐνῷ ἐγὼ ἀπολαμβάνων παντὸς εἴδους ἀγαθά, ἐκτὸς ἀπὸ τὰς ἄλλας ἀναπαύσεις, ἐνδύομαι, τώρα καὶ μὲ αὐτὸ τὸ πολυτελὲς ἔνδυμα. Τί περιμένω, λοι-

πόν, νὰ ἀκούσω κατὰ τὴν ἡμέραν ἐκείνην (τῆς Δευτέρας Παρουσίας); Τί ἄλλο, παρά· σὺ ἐχάρηκες τὰ ἀγαθά σου εἰς τὴν ζωήν σου, οἱ δὲ πένητες τὰ κακά; Δι' αὐτὸ αὐτοὶ μὲν τώρα παρηγοροῦνται, ἐνῷ σὺ ὑποφέρεις (Αὐτόθι 25). 'Αλλ' ἂς εἶναι ὁ Κύριος εὐλογητός, ποτὲ πλέον ὁ ταπεινὸς 'Ιωάννης δὲν θὰ σκεπασθῇ μὲ αὐτὸ τὸ πολυτελὲς ἔνδυμα, ἀλλὰ μὲ τὴν χρηματικήν του ἀξίαν θὰ ἐνδυθοῦν οἱ πτωχοί.

Μόλις λοιπὸν ἐξημέρωσε, στέλλει τὴν γοῦναν εἰς τὴν ἀγοράν, διὰ νὰ πωληθῇ. Ὅταν τὴν εἶδεν ὁ δωρητής, τὴν ἀγοράζει πάλιν καὶ τὴν φέρει εἰς τὸν Πατριάρχην 'Ιωάννην. Ὁ Πατριάρχης τὴν δέχεται, ἀλλ' ἀμέσως τὴν στέλλει πάλιν εἰς τὴν ἀγοράν, διὰ νὰ πωληθῇ.

'Επειδὴ δὲ αὐτὸ ἔγινε δύο καὶ πολλὰς φοράς, ὁ μέγας 'Ιωάννης δηλώνει εἰς τὸν προσφέροντα· ἂς ἴδωμεν ποῖος ἀπὸ τοὺς δύο θὰ κουρασθῇ πρῶτος, ἐγώ, ποὺ τὴν πωλῶ ἢ σύ, ποὺ τὴν ἀγοράζεις καὶ τὴν προσφέρεις; Διότι ἦτο ὁ ἀνὴρ ἀπὸ τοὺς πάρα πολὺ πλουσίους καὶ χάριν αὐτοῦ τὰ ἔλεγεν ἐπίτηδες ὁ Μέγας, ἐπειδὴ ἤθελε νὰ παίρνῃ χρήματα ἀπὸ αὐτόν, ὥστε τὰ χρήματά του νὰ διοχετεύωνται πρὸς τοὺς πτωχούς.

Β'. 'Εν τῷ βίῳ τοῦ 'Αγίου 'Αρσενίου

Ο ΜΕΓΑΣ 'Αρσένιος οὕτω τὰ τοῦ κόσμου ἀπέστερξε καὶ οὐδὲν εἶναι τὸ παράπαν ἡγεῖτο ὡς μηδὲ βλέπειν ἀνέχεσθαι τῶν βιοτικῶν ὅλως μηδέν· μᾶλλον μὲν οὖν ἀντιμετρῶν καὶ ἀντιτιθέμενος τοῖς τοῦ προτέρου βίου λαμπροῖς καὶ τοῖς ἐσθήμασιν, οἷς ἐκεῖνος ἐνδιατρίβων τῷ παλατίῳ περιεβέβλητο, πολλῇ χρῆσθαι τῇ εὐτελείᾳ περὶ τὰ ἄμφια καὶ τοσαύτῃ, ὡς μηδὲν ἐν τούτοις διενηνοχέναι ἀγροίκου πένητος, διερρωγότα ράκη καὶ σαπρὰ περιβεβλημένου· ἀλλ' ἐκεῖνον τὰ πενιχρὰ ταῦτα καὶ ἀπόβλητα ἤγαλλε πλέον, καὶ τούτοις ἐνεκαλλύνετο, ἅτε δὴ τοῦ ἔσω κόσμου καὶ ἀδήλου μεταποιούμενος καὶ ἑαυτὸν μᾶλλον ἢ τὸ αὐτοῦ κοσμεῖν βουλόμενον.

'Ερμηνεία

Ο ΜΕΓΑΣ 'Αρσένιος τόσον πολὺ ἐσιχάθηκε τὰ πράγματα τοῦ κόσμου καὶ τίποτε δὲν ἐνόμιζεν ὅτι ἦσαν, ὥστε νὰ μὴ ἀνέχεται νὰ βλέπῃ ἐντελῶς τίποτε ἀπὸ τὰ κοσμικά. 'Απὸ ἀντίθεσιν λοιπὸν καὶ ἀντιπάθειαν πρὸς τὰ λαμπρὰ ἐνδύματα τοῦ προηγουμένου κοσμικοῦ βίου, τὰ ὁποῖα ἐφόρει ὅταν ἔμενεν εἰς τὸ παλάτι, μετεχειρίζετο πάρα πολὺ εὔθηνὰ ἐνδύματα καὶ τιποτένια, ὥστε νὰ μὴ διαφέρῃ καθόλου ἀπὸ ἕνα πτωχὸν χωρικόν, ἐνδεδυμένον μὲ ἐσχισμένα καὶ ταπεινὰ ἐνδύματα. 'Αλλὰ τὸν Μέγαν ἐκεῖνον 'Αρσένιον εὐχαριστοῦσαν πάρα πολὺ αὐτὰ τὰ πτωχικὰ ἐνδύματα, ποὺ ἦσαν γιὰ πέταμα, καὶ ἐκαμάρωνε μὲ αὐτά, ἐπειδὴ ἐφρόντιζε περισσότερον διὰ τὸν ἐξωτερικόν του κόσμον καὶ ἤθελε νὰ στολίζῃ περισσότερον τὴν ψυχήν του, παρὰ τὸ σῶμα του.

Γ'. 'Εν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· καλόν ἐστι κτήσασθαι δύο χιτῶνας; καὶ εἶπεν ὁ γέρων· κτῆσαι δύο χιτῶνας, καὶ μὴ κτήσῃ κακίαν τὴν σπιλοῦσαν ὅλον τὸ

σῶμα καὶ τὴν ψυχήν· ἡ γὰρ ψυχὴ οὐ χρείαν ἔχει τῆς κακίας, τὸ δὲ σῶμα χρείαν ἔχει τῆς σκέπης· ἔχοντες οὖν τὰ δέοντα καὶ αὐτάρκη, τούτοις κατὰ τὸ γεγραμμένον ἀρκεσθησώμεθα.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

— Εἶναι καλόν, Πάτερ, νὰ ἀποκτήσω δύο χιτῶνας;

— Ἀπόκτησε δύο χιτῶνας —ἀπήντησεν ὁ Γέρων— καὶ μὴ ἀποκτήσῃς κακίαν, ποὺ κηλιδώνει τὸ σῶμα καὶ τὴν ψυχήν· ἡ ψυχὴ δὲν ἔχει ἀνάγκην ἀπὸ σκέπασμα. Ἔχοντες λοιπὸν τὰ ἀπαραίτητα καὶ τὰ ἀναγκαῖα, ἂς ἀρκεσθῶμεν εἰς αὐτά (Α´ Τιμ. στ´, 8), ὅπως λέγει καὶ ὁ Ἀπόστολος.

Δ'. Τοῦ Ἀββᾶ Ἠσαΐου

ΟΡΑ μὴ ἐάσῃς τὸ σῶμά σου ἐν ρυπαρίᾳ ἄμορφον καὶ κλέψῃ σε ἡ κενοδοξία· εἰ δὲ νεώτερος εἶ, ἔασον αὐτὸ ἐν πάσῃ ἀμορφίᾳ· συμφέρον γάρ σοί ἐστιν. Μὴ ἐπιθυμήσῃς τινὸς τοῦ πλησίον σου θεασάμενος αὐτό, εἴτε ἔνδυμα εἴτε ζώνην εἴτε κουκούλιον, καὶ μὴ πληρώσῃς τὴν ἐπιθυμίαν σου, ποιήσας σεαυτῷ καθ' ὁμοιότητα αὐτοῦ· ἀλλὰ καὶ βιβλίον ἐὰν ποιήσῃς σεαυτῷ μὴ καλλωπίσῃς τὴν κόσμησιν αὐτοῦ· πάθος γάρ σοί ἐστι. Κόσμησις σώματος, ψυχῆς ἐστι καταστροφή· τὸ δὲ φροντίσαι αὐτῶν κατὰ φόβον Θεοῦ, καλόν.

Ἑρμηνεία

ΠΡΟΣΕΞΕ νὰ μὴ ἀφήσῃς τὸ σῶμα σου καὶ γίνῃ ἄσχημον ἀπὸ τὴν ρυπαρότητα, ὁπόταν εἶναι κίνδυνος νὰ σὲ κυριεύσῃ ἡ κενοδοξία. Ἂν, ὅμως, εἶσαι νεώτερος, τότε ἄφησέ το εἰς κάθε ἀσχημίαν, διότι αὐτὸ εἶναι τὸ συμφέρον σου. Νὰ μὴ ἐπιθυμήσῃς κάτι ἀπὸ τὸν πλησίον σου, μόλις τὸ ἰδῇς, εἴτε ἔνδυμα, εἴτε ζώνην, εἴτε κουκούλιον, καὶ μὴ ἱκανοποιήσῃς τὴν ἐπιθυμίαν σου, μὲ τὸ νὰ κατασκευάσῃς διὰ τὸν ἑαυτόν του κάτι παρόμοιον μὲ αὐτό· ἀλλὰ καὶ βιβλίον ἐὰν ἀποκτήσῃς, νὰ μὴ τὸ καλλωπίσῃς καὶ τὸ περικοσμήσῃς, διότι καὶ αὐτὸ εἶναι πάθος. Ὁ στολισμὸς τοῦ σώματος εἶναι ἡ καταστροφὴ τῆς ψυχῆς· τὸ νὰ φροντίσῃς ὅμως δι' αὐτά, μὲ φόβον Θεοῦ, εἶναι καλόν.

Ε'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΑΓΑΠΗΣΟΝ τὰ πενιχρὰ ἱμάτια ἐν ἐνδύμασί σου, ἵνα ἐξουδενώσῃς τὰς ἐπιφυούσας σοι ἐνθυμήσεις, λέγω δὴ τὴν ὑψηλοφροσύνην· ὁ γὰρ τὴν στιλπνότητα ἀγαπῶν, οὐ δύναται κτήσασθαι ταπεινὰς ἐνθυμήσεις· διότι ἡ καρδία τοῖς ἐξωτέροις σχήμασι συνδιατυποῦται.

Ἑρμηνεία

ΝΑ ΑΓΑΠΗΣΗΣ τὰ πτωχικὰ ἐνδύματα, διὰ νὰ ἐνδυθῇς, ὥστε νὰ ἀφανίσῃς τὰς σκέψεις, ποὺ φύονται εἰς σέ, ὅπως, π.χ. τὴν ὑψηλοφρο-

σύνην· διότι αὐτὸς ποὺ ἀγαπᾷ τὴν κομψότητα, δὲν ἠμπορεῖ νὰ ἀποκτήσῃ ταπεινὰς σκέψεις· διότι ἡ καρδία ἐξομοιώνεται μὲ τὰ ἐξωτερικὰ σχήματα.

ΣΤ'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΕΝ ὁ Ἀββᾶς Ἰσαὰκ τοῖς ἀδελφοῖς, ὅτι οἱ Πατέρες ἡμῶν καὶ ὁ Ἀββᾶς Παμβὼ παλαιὰ πολύρραφα ἐφόρουν καὶ σιβέννινα· νῦν δὲ πολύτιμα φορεῖτε, ὑπάγετε ἔνθεν· ἠρημώσατε τὰ ὧδε· ὅτε δὲ ἔμελλεν ὑπάγειν εἰς τὸ θέρος, ἔλεγεν αὐτοῖς· οὐκέτι ἡμῖν παρέχω ἐντολάς· οὐ φυλάσσετε γάρ.

2. Εἶπεν ὁ αὐτός, ὅτι ἔλεγεν ὁ Ἀββᾶς Παμβώ, ὅτι τοιοῦτον ὀφείλει ὁ Μοναχὸς φορεῖν ἱμάτιον, ὥς τε εἰ ῥίψει αὐτὸ ἔξω τοῦ κελλίου καὶ ἐάσει ἐπὶ τρεῖς ἡμέρας, μηδένα λαβεῖν αὐτό, ἤτοι διὰ τὴν εὐτέλειαν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἰσαὰκ ἔλεγεν εἰς τοὺς ἀδελφούς, ὅτι οἱ Πατέρες μας καὶ ὁ Ἀββᾶς Παμβὼ ἐφόρουν παλαιὰ πολυμπαλωμένα καὶ χονδροϋφασμένα ἐνδύματα· τώρα σεῖς φορεῖτε πολύτιμα· φεύγετε ἀπὸ ἐδῶ, ἐρημώσατε αὐτὸν τὸν τόπον. Ὅταν δὲ ἐπρόκειτο νὰ ὑπάγῃ εἰς τὴν ἐργασίαν τοῦ θέρους ἔλεγεν εἰς αὐτούς· δὲν σᾶς δίδω πλέον ἐντολάς. διότι δὲν τὰς φυλάσσετε.


2. Ὁ ἴδιος εἶπεν, ὅτι ὁ Ἀββᾶς Παμβὼ ἔλεγεν, ὅτι ὁ Μοναχὸς ὀφείλει νὰ φορῇ τέτοιο ἔνδυμα, ὥστε ἐὰν τὸ ρίξῃ ἔξω ἀπὸ τὸ κελλί του καὶ τὸ ἀφήσῃ ἐπὶ τρεῖς ἡμέρας. κανεὶς νὰ μὴ εὑρεθῇ νὰ τὸ πάρῃ, διότι θὰ εἶναι πολὺ εὐτελές.

Ζ'. Τοῦ Ἁγίου Ἐφραὶμ

Ο ΚΑΛΛΩΠΙΖΩΝ ἱμάτια ἑαυτοῦ, βλάπτει ψυχὴν ἑαυτοῦ· πολυτέλεια γὰρ ἱματίων, μωμοῖ ψυχὴν Μοναχοῦ, ὑπερηφανίαν αὐτῇ ἐμποιοῦσα· εὐτέλεια δὲ ἱματίων, ὠφέλεια καὶ ἔπαινος Μοναχοῦ. Ἐπιμελοῦ, Μοναχέ, τῆς ἔνδον ἐργασίας καὶ μὴ καλλώπιζε τοίχους ἀνωφελεῖς· εὐμορφία γὰρ κελλίου, ὑπομονὴν Μοναχῷ οὐ δίδωσι. Τὰ πρὸς τὴν χρείαν ζητήσωμεν· τὰ γὰρ περισσὰ καὶ περισπασμὸν ἡμῖν παρέχοντα, βλαβερὰ καὶ ὀλέθρια.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ, ποὺ καλλωπίζει τὰ ἐνδύματά του, βλάπτει τὴν ψυχήν του· διότι ἡ πολυτέλεια τῶν φορεμάτων προξενεῖ ψόγον εἰς τὴν ψυχὴν τοῦ Μοναχοῦ, ἐπειδὴ φέρει εἰς αὐτὴν τὴν ὑπερηφάνειαν. Ἡ πενιχρότης τῶν ἱματίων εἶναι ὠφέλεια καὶ ἔπαινος τοῦ Μοναχοῦ. Φρόντιζε, Μοναχέ, διὰ τὴν ἐσωτερικὴν ἐργασίαν καὶ μὴ στολίζῃς τοίχους, ποὺ δὲν ὠφελοῦν· διότι ἡ ὡραιότης τοῦ κελλιοῦ δὲν χαρίζει εἰς τὸν Μοναχὸν ὑπομονήν. Νὰ ἐπιζητήσωμεν τὰ ἀπολύτως ἀναγκαῖα· διότι τὰ περιττά, τὰ ὁποῖα μᾶς ἀπασχολοῦν καὶ μᾶς φέρουν εἰς περισπασμόν, εἶναι βλαβερὰ καὶ ὀλέθρια.



ΥΠΟΘΕΣΙΣ Ν΄

Ὅτι οὐ δεῖ πρὸς τέρψιν ἢ κατὰ προσπάθειάν τι ποιεῖν.

Ὅτι δὲν πρέπει πρὸς εὐχαρίστησιν ἢ ἀπὸ σφοδρὰν ἐπιθυμίαν νὰ πράττωμεν τίποτε.



Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου



ΜΕΓΑΣ Παχώμιος ἐν Μονῇ τινι τῶν ὑπ᾽ αὐτὸν οἰκοδομήσας εὐκτήριον, ποιήσας τε στοὰς καὶ στύλους εὐρύθμως διὰ πλίνθων, ἐτέρφθη τῷ ἔργῳ, ἐφ᾽ ᾧ καλῶς ᾠκοδόμησε· καὶ λογισάμενος μὴ χρῆναι θαυμάζειν ἔργα χειρῶν καὶ ἐπὶ τῇ ὡραιότητι τῶν οἰκείων ἔργων τέρπεσθαι, νεαροῦ ἔτι τοῦ ἔργου ὑπάρχοντος, λαβὼν σχοινία καὶ δήσας τοὺς στύλους, ἐκέλευσε τοῖς ἀδελφοῖς σύρειν μετὰ πάσης ἰσχύος, ἕως οὗ κλιθέντες γεγόνασιν ἀπρεπεῖς. Καὶ ὑπολαβὼν ἤρξατο λέγειν· μὴ φιλονικήσητε καὶ ὑμεῖς ἐπὶ τῷ καλλωπίζειν ἐπὶ πολὺ τὸ ἔργον τῶν χειρῶν ὑμῶν, ἀδελφοί, ἀλλ᾽ εὔξασθε μᾶλλον ὅπως χάριτι Χριστοῦ καὶ τῇ δωρεᾷ τοῦ Ἁγίου Πνεύματος ἄσυλα ὑμῶν μενεῖ τὰ ἔργα, καὶ ὅπως μὴ διὰ τοῦ πρὸς τὴν τέχνην ἐπαίνου, ὀλισθήσας ὁ νοῦς, θήραμα γένηται τοῦ διαβόλου· πολλαὶ γοῦν αὐτοῦ αἱ μεθοδίαι.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ Παχώμιος, εἰς κάποιο ἀπὸ τὰ Μοναστήρια του, ἀνῳκοδόμησε ναὸν καὶ κατεσκεύασε πέριξ τοῦ ναοῦ στοάς, μὲ ὡραίους στύλους καὶ τοῦβλα· ὅταν ἐτελείωσε, ηὐχαριστήθη διὰ τὸ ἔργον, ποὺ τόσον ὡραῖα ἀνῳκοδόμησε· σκεφθείς, ὅμως, ὅτι δὲν πρέπει νὰ θαυμάζῃ ἔργα χειρῶν καὶ νὰ εὐχαριστῆται ἀπὸ τὴν καλλιτεχνίαν τῶν κατασκευασμάτων του, ἐνῷ ἀκόμη ἦτο καινούργιο τὸ οἰκοδόμημα, ἐπῆρε σχοινία, ἔδεσε τοὺς στύλους, καὶ διέταξε τοὺς ἀδελφοὺς νὰ σύρουν μὲ ὅλην των τὴν δύναμιν, ἕως ὅτου ἡ στῦλοι ἔγειραν καὶ ἔγιναν ἄσχημοι. Ἐν συνεχείᾳ ἔλαβε τὸν λόγον καὶ ἤρχισε νὰ λέγῃ:

— Καὶ σεῖς, ἀδελφοί μου, νὰ μὴ κοπιάζετε, διὰ νὰ καλλωπίζετε

ἐπὶ πολὺ τὰ ἔργα τῶν χειρῶν σας, ἀλλ' εἶναι προτιμότερον νὰ εὔχεσθε, πῶς μὲ τὴν Χάριν τοῦ Χριστοῦ καὶ τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος, θὰ διαμείνουν ἀκυρίευτα τὰ ἔργα σας (ἀπὸ φιλοδοξίαν ἢ κενοδοξίαν) καὶ ὅπως μὴ τυχόν, ἀπὸ τὸν ἔπαινον πρὸς τὴν τέχνην, γλιστρήση ὁ νοῦς καὶ καταστῇ θῦμα τοῦ διαβόλου· διότι αἱ τέχναι τοῦ διαβόλου εἶναι πολλαί.

Β'. Ἐκ τοῦ Ἀββᾶ Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· ἐὰν ἐμπέσῃ μοι σκεῦος καὶ χρήζω αὐτοῦ εἰς τὴν διακονίαν, ἣν ἐνεπιστεύθην τοῦ οἰκονομίου, βλέπω δὲ ὅτι ἔχω προσπάθειαν εἰς αὐτό, ἄρα μὴ πάθος μοί ἐστιν, ἐὰν λάβω αὐτό; ἀπεκρίθη ὁ γέρων· ἐὰν χρήζῃς τοῦ σκεύους, πολεμῇ δέ σε ὁ λογισμὸς τῆς προσπαθείας εἰς αὐτό, εἰπὲ τῷ λογισμῷ· χρεία ἐστὶν αὐτοῦ, καὶ διατί πολεμοῖς με κατ' ἐπιθυμίαν τοῦτο λαβεῖν; Καὶ εἰ μὲν παύσηται ἀπὸ σοῦ τὸ πάθος, λάβε αὐτό· εἰ δὲ μή, ἐὰν ᾖ δυνατὸν γενέσθαι τὴν χρείαν δι' ἄλλου σκεύους, ποίησον καὶ καταπόνησον τὸ πάθος· εἰ δὲ οὐκ ἐνδέχεται, λάβε τὸ σκεῦος μεμφόμενος σεαυτὸν καὶ λέγων· εἰ μὴ διὰ τὴν χρείαν, οὐκ εἶχον αὐτὸ λαβεῖν, διότι ἡττῶμαι τῇ προσπαθείᾳ.

Ἔφη ὁ ἀδελφός· ἐάν τις παρέχῃ μοι πρᾶγμα καὶ χρήζω αὐτοῦ, βλέπω δὲ τὴν καρδίαν μου ὡς πάθος θέλουσαν αὐτὸ δέξασθαι, τί ποιήσω; λάβω διὰ τὴν χρείαν, ἢ παραιτήσομαι διὰ τὴν προσπάθειαν; ἀπεκρίθη ὁ γέρων· κατὰ τὴν τροφὴν ἔχε καὶ τοῦτο· οἶδας ὅτι χρήζομεν τῆς τροφῆς καθ' ἡμέραν, καὶ κωλυόμεθα λαβεῖν αὐτὴν μεθ' ἡδονῆς· ἀλλ' ἐὰν εὐχαριστοῦντες τῷ δόντι αὐτὴν Θεῷ καὶ κατακρίνοντες ἑαυτοὺς ὡς ἀναξίους λάβωμεν, ὁ Θεὸς ποιεῖ αὐτὴν εἰς ἁγιασμὸν καὶ εὐλογίαν. Ὥς τε οὖν ὅταν χρήζῃς τοῦ πράγματος καὶ κατευοδῶται, εὐχαρίστησον τῷ κατευοδώσαντι Θεῷ καὶ κατάκρινον ἑαυτὸν ὡς ἀνάξιον, καὶ διώκει ἀπὸ σοῦ ὁ Θεὸς τὴν προσπάθειαν· πάντα γὰρ αὐτῷ δύναται. Εἰ δὲ οὐ χρήζεις τοῦ πράγματος, μὴ λαμβάνεις αὐτό, ἐπεὶ πλεονεξία ἐστίν..

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησε ἕνα Γέροντα:

—Ἐὰν μοῦ τύχῃ ἕνα ἀντικείμενον, ποὺ τὸ χρειάζομαι διὰ τὴν ὑπηρεσίαν τοῦ οἰκονόμου ποὺ ἔχω, παρατηρῶ δὲ εἰς τὸν ἑαυτόν μου ἰδιαιτέραν ἀγάπην πρὸς αὐτό, ἄραγε μήπως μοῦ εἶναι πάθος ὅταν τὸ πάρω, διὰ νὰ τὸ χρησιμοποιήσω;

Εἰς τὴν ἀπορίαν αὐτὴν ὁ Γέρων ἀπήντησεν:

—Ἐὰν χρειάζεσαι τὸ ἀντικείμενον αὐτὸ καὶ σὲ πολεμῇ ὁ λογισμὸς μὲ μίαν συνεχῆ πρὸς αὐτὸ σκέψιν, νὰ εἰπῇς εἰς τὸν λογισμόν σου· εἶναι ἀνάγκη νὰ ἔχω τὸ ἀντικείμενον αὐτὸ διὰ τὴν ὑπηρεσίαν μου· διατί, λοιπόν, μὲ πολεμεῖς νὰ τὸ πάρω μὲ κίνητρον τὴν ἐπιθυμίαν; Καὶ ἐὰν μὲν παύσῃ μέσα σου ἡ ἐνέργεια τοῦ πάθους, πάρε το· ἐὰν ὅμως δὲν σταματήσῃ, τότε, ἐὰν εἶναι εὔκολον νὰ ἱκανοποιηθῇ ἡ ἀνάγκη τοῦ διακονήματος μὲ ἄλλο σκεῦος, κάμε τὴν δουλειάν σου μὲ τὸ ἄλλο ἀντικείμενον καὶ πολέμησε τὸ πάθος σου. Ἐάν, ὅμως, δὲν εἶναι δυνατόν, τότε χρησιμοποίησε τὸ ἀντι-

κείμενον αὐτὸ καὶ κατηγόρησε τὸν ἑαυτόν σου· ἐὰν δὲν ἦτο ἀνάγκη —νὰ τοῦ εἰπῇς— δὲν θὰ τὸ ἔπαιρνα, διότι μὲ νικᾷ ἡ πρὸς αὐτὸ ἐπιθυμία.

Ὁ ἀδελφός, ἐν συνεχείᾳ, ἠρώτησε πάλιν:

—Ἐὰν μοῦ δίδῃ κάποιος ἕνα πρᾶγμα, ποὺ τὸ χρειάζομαι καὶ βλέπω πῶς ἡ καρδιά μου θέλει μετὰ πάθους νὰ τὸ δεχθῇ, τί νὰ κάνω; νὰ τὸ πάρω, ἐπειδὴ τὸ χρειάζομαι; ἢ νὰ τὸ ἀφήσω, διὰ νὰ μὴ νικηθῶ ἀπὸ τὴν σφοδρὰν ἐπιθυμίαν;


Ὁ Γέρων ἀπήντησε καὶ εἰς αὐτὴν τὴν ἀπορίαν, ὡς ἑξῆς:

— Νὰ τὸ ἔχῃς ὅπως ἔχεις καὶ τὴν τροφήν σου· γνωρίζεις ὅτι ἔχομεν ἀνάγκην τῆς καθημερινῆς τροφῆς καὶ ἐμποδιζόμεθα νὰ τὴν λάβωμεν μὲ ἡδονήν· ἀλλ' ἐὰν λάβωμεν τὴν ἀπαραίτητον τροφήν μας, εὐχαριστοῦντες τὸν Θεὸν ποὺ μᾶς τὴν ἔδωσε καὶ κατακρίνωμεν τοὺς ἑαυτούς μας ὡς ἀναξίους τῆς δωρεᾶς αὐτῆς, τότε ὁ Θεὸς τὴν εὐλογεῖ καὶ τὴν ἁγιάζει. Ὥστε, λοιπόν, ἐὰν χρειάζεσαι ἕνα πρᾶγμα καὶ πηγαίνει καλά, τότε εὐχαρίστησε τὸν Θεόν, ποὺ κατευοδώνει τὴν ἐργασίαν σου καὶ κατάκρινε τὸν ἑαυτόν σου ὡς ἀνάξιον καὶ τότε ὁ Θεὸς θὰ ἀπομακρύνῃ ἀπὸ σένα τὴν σφοδρὰν ἐπιθυμίαν διὰ τὸ πρᾶγμα αὐτό, διότι ὅλα εἶναι δυνατὰ διὰ τὸν Θεόν. Ἐάν, ὅμως, δὲν χρειάζεσαι τὸ ἀντικείμενον αὐτὸ διὰ τὰς ἀνάγκας σου, τότε μὴ τὸ παίρνῃς διότι αὐτὸ θὰ εἶναι πλεονεξία.



Τέλος τοῦ πρώτου βιβλίου τοῦ Εὐεργετινοῦ
καὶ τῷ Θεῷ Δόξα * Ἀμήν *





ΠΙΝΑΞ
ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ ΤΟΥ ΕΥΕΡΓΕΤΙΝΟΥ

Διὰ πᾶσαν πληροφορίαν ἀπευθύνεσθε:

† **Ἐπίσκοπον Ματθαῖον Λαγγῆν**

157 71 Ζωγράφου

ΑΘΗΝΑΙ — ΤΗΛ. 770.73.50